PATROLOGIÆ
CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, OECONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS, ET AD CONCILII FLORENTINI TEMPORA (ANN. 1439) PRO GRÆCIS FLORUERUNT:

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS AUCTA; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., OPERA, RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT:

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM, ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO AD CONCILII USQUE FLORENTINI TEMPORA, ET AMPLIUS, NEMPE MORTEM CARDINALIS BESSARIONIS.

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM. AMBÆ PARTES JAM INTEGRE EXARATÆ SUNT. LATINA, 222 VOLUMINIBUS MOLE SUA STANS, 1110 FRANCIS VENIT: GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, ET 104 VOLUMINA IN 109 TOMIS, PRO PRIMA SERIE, NON EXCEDIT. POSTERIOR VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA 55 VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA AD 58 VOLUMINA TANTUM ATTINGIT; DUM HUJUS VERSIO MERE LATINA 29 VOLUMINIBUS EST ABSOLUTA. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM 8, UNUMQUODQUE MERE LATINUM 5 FRANCIS SOLUMMODO EMITUR: UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. IDEO, SI QUIS TANTUM EMAT LICET INTEGRE, SED SEORSIM, COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO 9 VEL PRO 6 FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES POSTERIORI PATROLOGIÆ LATINÆ SERIEI, PATRES AB INNOCENTIO III AD CONCILIUM TRIDENTINUM EXHIBENTI, APPLICABUNTUR. PATROLOGIA QUÆ MANUSCRIPTIS IN BIBLIOTHECIS ORBIS UNIVERSI QUIESCENTIBUS CONSTABIT, NECNON PATROLOGIA ORIENTALIS, CONDITIONIBUS SPECIALIBUS SUBJICIENTUR, ET IN TEMPORE SUO ANNUNTIABUNTUR, SI TEMPUS EAS TYPIS MANDANDI NOBIS NON DEFUERIT.

PATROLOGIÆ GRÆCÆ TOMUS CLV.

SYMEON THESSALONICENSIS ARCHIEPISCOPUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1866


THE PENNSYLVANIA STATE UNIVERSITY
Library

TRADITIO CATHOLICA.

SÆCULUM XV. ANNUS 1430

ΣΥΜΕΩΝ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

SYMEONIS

THESSALONICENSIS ARCHIEPISCOPI

OPERA OMNIA,

IASSII IN MOLDAVIA, ANNO 1683, GRÆCE; LATINE VERO NUNC PRIMUM EDITA,

ACCURANTE ET DENUO RECOGNOSCENTE J.-P. MIGNE,
BIBLIOTHECÆ CLERI UNIVERSÆ,
SIVE
CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS UNICUS.

VENIT 12 FRANCIS GALLICIS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1866

TRADITIO CATHOLICA.

SÆCULUM XV, ANNUS 1430.

—

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO CLV CONTINENTUR.

SYMEON THESSALONICENSIS ARCHIEPISCOPUS.

(Sequebatur in editione Iassensi Marci Eugenici, metropolitæ Ephesi, Expositio ordinis liturgiæ ecclesiasticæ, quam invenies inter Ephesii scripta a nobis edita in tomo CLX.)

Parisiis. — Ex Typis J.-P. MIGNE.

NOTITIA.

(Ex Leone Allatio in Diatriba *De Symeonibus.*)

—

De Symeone archiepiscopo Thessalonicensi hæc scripseram in opere meo de utriusque Ecclesiæ Consensione libro II, cap. 18, n. 13 : « Hoc eodem tempore florebat Symeon archiepiscopus Thessalonicensis. Vixit enim post Barlaamum, Acindynum, Palamam, Gregoram, Philotheum patriarcham, Nilum Thessalonicensem, Nicolaum Cabasilam, Nilum patriarcham Constantinopolitanum, Isidorum Thessalonicensem, quorum omnium ipse in Dialogo Ecclesiastico contra omnes Hæreses, et de aliis rebus ecclesiasticis meminit. Imo ipse in eodem Dialogo (1) ætatem suam prodit. Ἐξαιρέτως δὲ ἐν ταῖς ἡμέραις ἡμῶν ταύταις περὶ αὐτῆς συνεγράψαντο, πνεύματι ὡς καὶ αὐτοὶ ὄντες ἐκ Θεοῦ οἱ θεηγόροι, καὶ θεοφόροι, καὶ χριστοφόροι, καὶ ἔνθεοι ὄντες ἀληθῶς, ὅτε ἐν ἁγίοις Πατὴρ ἡμῶν Κάλλιστος, ὁ τῆς βασιλευούσης γεγονὼς Νέας Ῥώμης ἐκ Θεοῦ πατριάρχης, καὶ ὁ σύμπνους αὐτῷ καὶ συνασκητὴς ὅσιος Ἰγνάτιος, καὶ βίβλῳ οἰκείᾳ συντεθείσῃ παρ' αὐτῶν πνευματικῶς τε καὶ θεοφρόνως, καὶ λίαν ὑψηλῶς ἐφιλοσόφησαν ἐν ρ' κεφαλαίοις, τῷ ἐντελεῖ ἀριθμῷ τελείαν τὴν περὶ ταύτης γνῶσιν ἐκθέμενοι. *Potissimum vero hac nostra ætate de vita monastica conscripserunt, Spiritu tanquam qui et ipsi ex Deo cum sint, Deiloqui et Deiferi, et Christiferi, et a Deo afflati vere existant, sanctus Pater noster Callistus, qui Regiæ urbis novæ Romæ ex Deo fuit patriarcha, et qui una cum ipso spirabat et exercitabatur confessor Ignatius, et libro peculiari ab illis composito, spiritualiter, divine, et excelse nimis philosophati sunt, centum capitibus, numero perfecto, perfectam de ea cognitionem tradentes.* Opus Callisti et Ignatii habetur in Bibliotheca Barberina sub hoc titulo (2) : Τῶν ἐν μονοτρόποις ἐλαχίστων Καλλίστου καὶ Ἰγνατίου τῶν Ξανθοπούλων μέθοδος καὶ κανὼν ἀκριβὴς, καὶ παρὰ τῶν ἁγίων ἔχων τὰς μαρτυρίας περὶ τῶν αἱρουμένων ἡσύχως βιῶναι καὶ μοναστικῶς, περί τε ἀγωγῆς, καὶ πολιτείας καὶ διαίτης αὐτῶν, καὶ περὶ τοῦ ὅσων ἡλίκων ἀγαθῶν πρόξενος ἡ ἡσυχία καθίσταται τοῖς λόγῳ μετιοῦσιν αὐτήν. Διακέκριται δὲ ἡ παροῦσα τοῦ λόγου πραγματεία ἐν κεφαλαίοις ρ'. *Ignatii et Callisti Xanthopulorum methodus et regula exquisita, testimoniis Patrum comprobata de iis, qui eligunt vitam quietam et monasticam, et de vitæ instituto, ac ratione prædictorum, et quorum bonorum causa quies sit, iis qui secundum rationem eam amplectuntur. Opus divisum in capita centum.* P. Ἔδει μὲν ἡμᾶς κατὰ τοὺς θείους φάναι χρησμοὺς θεοδιδάκτους τυγχάνοντας. Et cum duo sint Callisti, alter sub Joanne Cantacuzeno, alter sub Manuele Palæologo, annos post fere quadraginta sex, in dubium verti posset, de quonam iste Callisto verba faciat : sed cum Nicolai Cabasilæ meminerit, qui sub Manuele florebat, necesse est eum de secundo Callisto, qui circa annum Domini 1406 patriarchatum regebat, sermonem habere. Quare ipse circa Joannis Palæologi tempora, vel paulo ante floruit, a Symeone seniore Thessalonicense post Isidorum, cujus ipse meminit, tertius : inter enim Isidorum et ipsum tantum recensetur Gabriel. Hinc colligitur, quantum hallucinetur Possevinus in *Apparatu*, qui immani anachronismo scribit, eum vixisse ante annos sexcentos, qui nonnisi ante annos centum octoginta, Possevini tempore, vixerat. In omnibus suis scriptis in Latinos injurius est, quos sæpe carpit, eorumque ritus cum Græcis comparans, insectatur. »

Et hæc quidem de eo tunc temporis breviter scripsi, nunc cum tempus locusque postulat, alia addam : præeatque illius elogium, quod Eugenius Nomophylax (qua id facultate egerit, dicent similis sortis homines) in Synodico Dominica Orthodoxiæ in Ecclesia Thessalonicensi recitari solito, appinxit.

Συμεὼν τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ τῆς ἐκτός τε καὶ τῆς πνευματικῆς σοφίας πλήρους ὑπερφυῶς γενομένου, κἂν τῇ ἀσκητικῇ εἴτ' οὖν ἀγγελικῇ ἀγωγῇ τε καὶ πολιτείᾳ διαπρέψαντος, καὶ ταύτην εἰς ἄκρον κατωρθωκότος, τῇ δὲ κατὰ Χριστὸν ταπεινώσει τῇ τῶν ἀρετῶν κρηπῖδι κατὰ τὰς ἀψευδεῖς Δεσποτικὰς ἐπαγγελίας ἀνυψωθέντος, καὶ διὰ πράξεως ἀναβάν-

Symeonis beatæ memoriæ sanctissimi Thessalonicensis archiepiscopi, qui externæ et spiritalis sapientiæ super humanum captum repletus in ascetico, sive potius angelico instituto, et vitæ ratione excelluit, eamque cum summa virtute et laude perfectissime egit, et secundum Christum sui depressione, virtutum excellentia juxta divina promissa mentiri nescia exaltatus, per actionem in

(1) In libro *de sacra precatione*, cap. 295, p. 210 ed. Jassen s. EDIT.
(2) Editum est in Φιλοκαλίᾳ τῶν ἱερῶν Νηπτικῶν. Venetiis 1782. Vide tomum nostrum CXLVII. EDIT.

A speculationem ascendit, indeque ita annuente Deo, ut fax lucifera super candelabrum posita, et super excelsum montem ut clarissimus veritatis præco ascendens, dulcibus splendoribus suis, nempe instructionibus, non propriam tantum hanc celeberrimam metropolim, sed universum etiam terrarum orbem solis instar illuminavit, et erga Deum et proximum amorem, si quis alius, ostendit, et sacris cantibus sanctorum choros, et ex propriis exornavit, quorum vitam æmulatus confecit: angelicis vero, venerandis, ac plane divinis moribus et totius statu hilari vere Deifer re et visu, et zelum fervidum Eliæ quispiam dixerit, propriis, avitisque Ecclesiæ dogmatibus, enutrivit, et diebus singulis suavi doctrinæ latice abunde irrigabat et sermonibus flexanimis ac jucundis et loquela melliflua universos, veluti Sirenum vi quadam, quæ verbis exprimi nequit, trahebat ad se, detinebatque; et antiquorum veluti signum et expressum simulacrum, et pietatis columnam, et virtutis regulam, et Christianæ vitæ typum, propriam vitam ostendere summo studio conatus est, hisque homines universos, qui aliter ac nos sentimus, de fide sentiebant, in stuporem et admirationem, et laudem et glorificationem magni rerum omnium Dei excitavit; memoria sempiterna.

τος εἰς θεωρίαν, κἀντεῦθεν νεύσει Θεοῦ, ὡς φωσφόρου λαμπτῆρος ἐπὶ τὴν λυχνίαν τεθέντος, καὶ ἐπ' ὄρους ὑψηλοῦ ὡς λαμπροῦ τῆς ἀληθείας κήρυκος ἀναβεβηκότος, καὶ ταῖς γλυκείαις μαρμαρυγαῖς, δηλαδὴ ταῖς αὐτοῦ διδασκαλίαις, οὐ τὴν ἰδίαν μόνον ταύτην τὴν περιώνυμον μητρόπολιν, ἀλλ' ἤδη καὶ τὴν οἰκουμένην ἅπασαν δίκην ἡλίου καταυγάσαντος, καὶ τὴν πρὸς Θεὸν, καὶ τὴν πλησίον ἀγάπην εἰς ἄκρον, ὡς οὐδεὶς σχεδὸν τῶν ἁπάντων ἐπιδειξαμένου, καὶ ᾠδαῖς ἱεραῖς τοὺς τῶν ἁγίων χοροὺς, καὶ οἴκοθεν καταστέψαντος, ὧν τὸν βίον ἐζήλωκε, καὶ διήνυσε· τῷ δὲ ἀγγελικῷ καὶ σεμνῷ, καὶ θεοειδεῖ τῶν ἠθῶν, καὶ τῇ ἱλαρᾷ καταστάσει ὅλου τῷ ὄντι θεοφόρου, καὶ ὄντος, καὶ φαινομένου, καὶ ζῆλον ἔνθερμον Ἡλιού τις ἄρ' εἴποι τρέφοντος ὑπὲρ τῶν B εὐσεβῶν, καὶ πατρικῶν τῆς Ἐκκλησίας δογμάτων, καὶ καθεκάστην ἀφθόνως τῷ γλυκεῖ διδασκαλίας ἀρδεύοντος νάματι, καὶ τῷ τῶν λόγων ἐπαγωγῷ καὶ τερπνῷ, καὶ τῇ μελιρρύτῳ φθογγῇ πάντας ὥσπερ ἀῤῥήτῳ τινὶ Σειρήνων δυνάμει πρὸς ἑαυτὸν ἕλκοντος, καὶ παρακατέχοντος, καὶ τῶν παλαιῶν ὥσπερ ἐκμαγεῖόν τι, ἢ ἐπισφράγισμα, καὶ στήλην εὐσεβείας καὶ ἀρετῆς κανόνα, καὶ Χριστιανικῆς πολιτείας τύπον τὸν ἑαυτοῦ βίον ἀναδεῖξαι φιλονεικήσαντος, ἐκ τούτων τε τοὺς ἀνθρώπους ἅπαντας, καὶ τοὺς ἄλλως, ἢ ὡς ἡμεῖς φρονοῦμεν περὶ τὴν πίστιν δοξάζοντας εἰς ἔκπληξιν, καὶ θαῦμα, καὶ ὕμνον, καὶ δοξολογίαν τοῦ μεγάλου Θεοῦ τῶν ὅλων κινήσαντος, αἰωνία ἡ μνήμη.

Annon bene lavit suum Æthiopem Eugenicus? Ex scriptis Symeonis, mentita et falsa esse, quæ ille de doctrina et eloquentia tradit, manifesto evincitur. Quis nobis in aliis eum vera dicere asseverabit? Fides suspecta est.

Et ut Thessalonicensium episcoporum series habeatur, exponenda sunt, quæ ex eodem Thessalonicensi Synodico exscripsimus, quæ sunt:

C Isidori, beatæ recordationis sanctissimi archiepiscopi Thessalonicensis, qui instar splendidi sideris gregem suum hunc illustravit suis quotidianis doctrinis et admonitionibus, et æque atque bonus et primus pastor Christus, modis omnibus ovilis curam gessit et longas peregrinationes sustinuit, et quidquid divinum et saluti conducibile videbatur, et sermonibus edocuit, et operibus demonstravit, et vere iis qui ante eum et virtute, et doctrina conspicui fuere, rebus omnibus exæquatus est; perpetua memoria. Gabrielis beatæ memoriæ sanctissimi archiepiscopi Thessalonicensis, qui ab infantia ipsa Deo addictus fuit, et in monastico vitæ instituto primum locum occupavit, indeque veluti virtutis præmium curationem hujus urbis consecutus, multis operibus, et ad Deum precibus eam conservavit, et præ aliis, quibus spiritualibus donis enituit, mansuetudine et charitate condecoratus est, et paternum affectum semper erga spiritales filios commonstravit: perpetua memoria. Symeonis beatæ recordationis, etc., Gregorii beatæ recordationis archiepiscopi Thessalonicensis, qui et ante pontificatum inter primos ejusdem atque ille ordinis numera-

Ἰσιδώρου τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ δίκην ἀστέρος λαμπροῦ τὴν ποίμνην αὐτοῦ ταύτην καταφωτίσαντος ταῖς καθ' ἡμέραν ἱεραῖς αὐτοῦ διδασκαλίαις, καὶ εἰσηγήσεσι· καὶ κατὰ τὸν καλὸν καὶ πρῶτον ποιμένα Χριστὸν τοῦ ποιμνίου πάντα τρόπον πεφροντικότος, καὶ μακρὰς ὁδοιπορίας ὑπενεγκόντος, καὶ πᾶν εἴ τι θεῖον, καὶ πρὸς σωτηρίαν ἐνάγον καὶ λόγοις διδάξαντος, καὶ ἔργοις ἐνδειξαμένου, καὶ τῷ ὄντι τοῖς ἐπ' ἀρετῇ καὶ σοφίᾳ πρὸ αὐτοῦ διαλάμψασιν ἐξισωθέντος τοῖς ὅλοις, αἰωνία ἡ μνήμη. Γαβριὴλ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ σχεδὸν ἐκ βρέφους τῷ Θεῷ ἀνατεθειμένου, κἀν τῇ μοναδικῇ D πολιτείᾳ τὰ πρῶτα σχόντος, κἀντεῦθεν ὡς ἀρετῆς ἔπαθλον τὴν προστασίαν τῆς πόλεως ταύτης ἀναδεξαμένου, πολλοῖς τε ἔργοις, καὶ ταῖς πρὸς τὸ θεῖον δεήσεσι ταύτην τηρήσαντος, καὶ πρὸς τοῖς ἄλλοις, οἷς ἔσχε πνευματικοῖς χαρίσμασι, πραότητι καὶ ἀγάπῃ κεκοσμημένου, καὶ τὴν πατρικὴν εὔνοιαν ἀεὶ πρὸς τὰ πνευματικὰ τέκνα ἐνδεικνυμένου, αἰωνία ἡ μνήμη. Συμεὼν τοῦ ἐν μακαρίᾳ τῇ λήξει, καὶ τὰ ἑξῆς. Habes supra. Tum sequitur: Γρηγορίου, τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἀρχιεπισκόπου

Θεσσαλονίκης, τοῦ καὶ πρὸ τῆς ἀρχιερωσύνης ἐν A τοῖς πρώτοις μὲν τῶν ὁμοταγῶν ἐνταῦθα τελοῦντος, τὸ δὲ ἐμπιστευθὲν αὐτῷ πρότερον τοῦ Χριστοῦ ποίμνιον καλῶς ποιμάναντος καὶ φυλάξαντος, μετὰ τὴν ἅλωσιν τῆς πόλεως ταύτης εἰς τὸν ἱερὸν αὐτῆς θρόνον μετατεθέντος, καὶ μηδενὸς τῶν εἰς σύστασιν ταύτης ἠμεληκότα, οἷς ἐδύνατο τρόποις, βαθμοῖς τε ἱεροῖς τὸν κλῆρον τοῦτον σχεδὸν πάντα τετιμηκότος καὶ αὖθις, καὶ κοινῇ, καὶ ἰδίᾳ πᾶσι πρὸς τὰς ἐπερχομένας ἀνάγκας καὶ βοηθοῦντος καὶ συνεργοῦντος ἀόκνως, καὶ τὸ ἀφιέναι πᾶσιν ἔργοις αὐτοῦ κατὰ τὸν θεῖον νόμον δεικνύντος, αἰωνία ἡ μνήμη. Νίφωνος τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ θειοτάτου, τοῦ μητροπολίτου Θεσσαλονίκης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας, πολλὰ ἔτη.

tus, prius sibi concreditum ovile recte pavit et conservavit, post vero hujus urbis excidium, in sacrum illius thronum evocatus, nihil quod ad illum stabiliendum faceret, modo quo poterat, prætermisit, gradibusque sacris clerum hunc fere universum decoravit, rursumque publice et privatim in necessitatibus erumpentibus auxilia opemque ferebat diligenter, omnibus condonandum suis actionibus, ut divina lex præcipit edocebat: sempiterna memoria. Niphonis sanctissimi nostri Domini Metaphrastæ Thessalonicensis, Hypertimi atque Exarchi universæ Thessaliæ, multi anni.

Quæ de Niphone hic dicuntur erant postrema in illo codice et alia manu exarata, ut hinc colligatur eo ipso tempore Niphonis scripta fuisse, et præcipue cum multos annos precatur, non æternam memoriam, quod pro mortuis acclamatur, commemorat. In elogio Gabrielis in margine adnotatum erat Συμεὼν, *Symeon*, vel *Symeonis :* et si non fallit conjectura, Symeon iste, de quo verba facimus, illius auctor fuit, quemadmodum Symeonis elogium Eugenicus dictitavit. Vixit itaque Symeon ante captam ab Amurate Thessalonicam, et ante excidium illius urbis sex menses fato functus est : illi post captam successit Gregorius. Capta autem est Thessalonica ab Amurate anno ab orbe condito 6938, Christi 1430. Joannes Anagnosta oculatus rerum testis Narratione de postremo excidio Thessalonicensi : Ἐννάτην ἦγε καὶ εἰκοστὴν ὁ Μάρτιος τότε· ἔτος δὲ τριακοστὸν ὄγδοον πρὸς τῷ ἑξακισχιλιοστῷ ἐνναχοστῷ ἐνειστήκει : *Diem aperiebat mensis Martius nonum et vicesimum anni sex millesimi nongentesimi tricesimi octavi.* Hinc videas, quantum fallatur *Historiæ politicæ* auctor apud Martinum Crusium et cum eo Leunclavius, Jacobus Pontanus Notis in protovestiarium et alii, qui Thessalonicæ oppugnationem ad annum Christi 1431 referunt. Alii majori anachronismo ad 32, primum Amuratis adventum cum urbem oppressit, cum secundo confundentes ; post enim annos duos in eamdem rediit, et quidquid post expugnatam urbem beneficus Christianis concessit, hoc secundo maligne admodum pervertit et in pessimum statum res commutavit. Fuit Symeon animo virili, præsentique, qui nec præmiis oblatis ab Amurathe Thessalonicensibus, nec minis in eam sententiam duci potuit, ut Græci ejectis Latinis in deditionem Amuratis concederent, ideoque a malevolis acrius accusatus. Rem pluribus prosequitur idem Anagnosta, cujus, cum rarus sit nec omnibus obvius, verba licet prolixiora hic apponam.

Οὕτως οὖν ἡμῖν ἐχούσιν, ὅσαι τε ὧραι μυρία τὰ B χαλεπὰ φέρουσι, καὶ τὴν σωτηρίαν ἀπαγορεύουσι, κακὸν ἐξαίφνης ἐπῆλθεν ἕτερον. Τὸ δ' ἦν ἡ τοῦ καλοῦ ποιμένος, καὶ κατὰ τὸν πρῶτον ποιμένα τὴν ψυχὴν ἐφ' ἑκάστης ἀφειδῶς ὑπὲρ τοῦ ποιμνίου τιθέντος, κατὰ θεῖον βούλημα τελευτή· ἐν καλῷ μὲν ἐκείνῳ γεγενημένη, βλάβος δ' ἡμῖν ἐπενεγκοῦσα πολὺ, τῶν ἐκείνου λιτῶν πρὸς Θεὸν στερηθεῖσιν, αἷς ἐσωζόμεθα. Ὅτι δὲ κατὰ θείαν αὕτη βούλησιν ἦν, ἄκουε τοῦ φανέντος τῷ μακαρίῳ περιόντι κατ' ὄναρ ἐκείνῳ. Ἔδοξε πρὸ τοῦ τὴν πόλιν τῷ πολέμῳ ληφθῆναι οἶκόν τινα λαμπρὸν εἰσιέναι καὶ παμμεγέθη, περισκοπεῖν τε αὐτὸν κατὰ μέρος, καὶ θαυμάζειν αὐτοῦ τό τε κάλλος καὶ μέγεθος. Ἐν τούτῳ δ' ὄντι φωνὴν ἔξωθεν ἐνεχθῆναι, λέγουσαν, « Ὁ μὲν οἶκος οὗτος, οὗ τὰ καθ' ἕκαστον, ὦ δέσποτα, ὡς λίαν C λαμπρὰ καὶ ὡραῖα θαυμάζεις περιαθρῶν, πίπτει τὸ τάχος· καὶ ἵνα μή σε καλύψῃ πεσὼν, ἔξιθι τούτου ταχέως. » Οὕτως εἶχεν ἡ ὄψις· καὶ εἰς ἔργον ἧκεν οὐκ εἰς μακράν· ἐκεῖνος μὲν γὰρ, ἵνα ἀναφανῇ δίκαιος, καὶ τῶν πολλῶν τῆς ἀρετῆς ἐκείνου καμάτων λάβῃ τὰς ἀντιδόσεις, εἰκότως οὕτω, καὶ πρὸ τῆς κοινῆς συμφορᾶς, πρὸς ὃν ἐπόθει Κύριον ἐξεδήμησεν. Οὐ γὰρ δίκαιον τοῦτο παρὰ Θεοῦ κέκριτο, τοιούτων ἵνα κακῶν πεῖραν σχῇ, καὶ κοινωνήσῃ τῶν

Cum itaque res nostræ ita se haberent, et singula momenta innumeras prope noxas inferrent, deque salute desperaremus, malum aliud repente irrupit, et validiorem adamante animum disjiciens, boni scilicet pastoris, et æque ac primus pastor quotidie profuse animam ponentis, divino consilio obitus, illi quidem fortunate succedens, nobis vero damna eaque ingentia importans, qui illius ad Deum precibus, quibus saluti nostræ providebatur, privamur. Et divino consilio illum contigisse conjicies ex illis quæ illi adhuc superstiti inter somniandum evenerant. Visus est sibi, antequam urbs bello concideret, domum præclaram et maximam ingresso, singulas illius partes inspicere, et decora, et magnitudinem magnopere demirari. His intentum vocem deforis advenientem inaudisse. « Domus hæc, cujus partes singulas illustres atque venustas considerans admiraris, actutum concidet, et ne te sua ruina opprimat, quam cito foras eripe te. » Visum hoc effectu non multo post comprobatum est. Ille etenim, ut justus appareret, et virtutis suæ multorum laborum præmia referret, sic, uti par erat et ante commune infortunium ad Deum, quem tantopere concupiverat migravit. Neque enim justum apud Deum reputa-

batur, similium malorum eum participem fieri. Vita siquidem illius non erat aliis similis, et semitæ diversæ, ut cum Salomone loquar. Nos vero improbitate plane repleti, in cogitationibus cordis nostri pessimi ambulantes, ut Jeremias inquit, et perinde atque antiquus Israel, murmurantes, u nobis allubescit, rebus non succedentibus jure merito mala, et solida calamitate mactamur, et tali viro orbamur, qui solus afflictissimis hisce temporibus et in tantis rerum discriminibus solatium remanserat. Omnes siquidem eum, uti vitalem in nobis facultatem reputabamus, illius mortem tantummodo ducebamus adversus nos justissimæ Numinis punitionis exordium. Hoc eos redarguit apertissime, qui indigna dicta in eum ingerunt et infamia onerant, quod proditionem non suaserit, et quod eos propriis consiliis altius quidpiam meditantes in se, represserit. Opinor equidem ego, cum vellet Deus, ut omnibus innotesceret, quis vir ille sacer esset et quorum dignus, qui vero nos et quibus pœnis obnoxii, quibus miseriis juste excruciandi, id propter res utriusque, in rem utrique disposuisse. Itaque tam diro malo, obitu nempe illius adnexo et omnibus in civitate viris, mulieribus, pueris, Latinis, Judæis quoque ipsis miserandum in modum sermones conferentibus, et reliqua omnia, quæ eos tum affligebant, e memoria deponentibus, pastoris tantum privationem in mentem revocantibus et sæpe sæpius proferentibus, asserentibusque, ut jam innui, et non temere credentibus, indicium illud esse et divinæ punitionis et subsecuti excidii, etc... Sed cum huc pervenerim, paucis compellabo hujus, alteriusve insimulatores. Ubinam eratis vos, cum hæc Murates offerret? Nonne in urbe, et vestris ea auribus usurpastis? Qua igitur ratione cogitatis usi non estis? Quare de quibus alios incusatis, quod non fecerint, vos ipsi occasione premente et nullo impediente non perfecistis? Tum enim nullus pastor erat. Namque ante sex menses inter vivos esse desierat: neque diræ erant, nec alia, quæ vos recensetis et per digitos exacte numeratis. Quid igitur vobis impedimento fuit? aut cujus opus eventus? Nullius, quilibet respondebit, pie rem computans, quam nostræ improbitatis, quæ ab iracundia liberum Deum in iracundiam movit et ad nostri punitionem, qui incorrecte labimur, excitavit, ut ad nosmetipsos redeuntes in posterum sapiamus. Quod si quis ante acta tempora commemorans iterum nobis opponat, et Pastori causam appingat, qui dedere se volentibus, etiam sententia dicta contradixit, insanientis cogitationes suscipit. Primum enim non addecet pontificem rerum militarium jura, et hunc quidem tyrannorum more principatu pellere, illum contra in possessionem immittere, et mutationum et cædium, necnon damnorum, quæ dum rerum status immutatur, eveniunt, auctorem esse. Neque enim ipse in tyrannicum, sed in sacerdotale et mitis

A ἴσων ἡμῖν· ἀνόμοιος γὰρ ἦν τοῖς ἄλλοις ὁ βίος ἐκείνου, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι, τὸ Σολομῶντος εἰπεῖν· ἡμεῖς δὲ κακίας γέμοντες ὅλως καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας ἡμῶν τῆς πονηρᾶς. Τοῦτο δὴ τὸ τοῦ Ἱερεμίου, πορευόμενοι· καὶ κατὰ τὸν πάλαι γογγυσταὶ τυγχάνοντες Ἰσραὴλ, κατὰ τὴν ἡμετέραν ἐπιθυμίαν ἀπολαύειν ὅπως οὐκ ἔχομεν τῶν πραγμάτων, δικαίως οὕτω πεπράγαμεν δυστυχέστατα, καὶ τούτου τἀνδρὸς ἐστερήμεθα, μόνου περιλειφθέντος ἐν τοιούτοις καιροῖς καὶ τοσούτοις ἀνιαροῖς παραμύθιον. Πάντες γὰρ ὥσπερ τινὰ δύναμιν ζωτικὴν ἐν ἡμῖν ἐνομίζομεν τοῦτον, καὶ τὴν τελευτὴν ἐκείνου μηδὲν ἄλλο νομίζειν εἴχομεν, ἢ τῆς ἐφ' ἡμᾶς τοῦ Θεοῦ δικαιοτάτης παιδείας οἷον προοίμιον. Τοῦτο τῶν κατειπεῖν ᾑρημένων ἐκείνου σα- B φέστατος ἔλεγχος, καὶ τοὺς ἀδικίαν κατ' ἐκείνου λαλοῦντας, ὅτι μὴ προδοσίαν ἐσκέψαντο, μηδὲ τῶν σφίσι δοκούντων συνιέντας βαθύτερον ἐνδίκως ἐπιστομίζει· οἶμαι γὰρ ἐγὼ, δεῖξαι βουληθεὶς ὁ Θεὸς, οἷος μὲν ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ, καὶ τίνων ἄξιος ἦν, οἷοι δ' ἡμεῖς, καὶ τίνας εἰσπραχθῆναι δίκας δίκαιοι ἦμεν, διὰ τοῦτο τὰ καθ' ἑκάτερον μέρος οὕτως ᾠκονόμησε συμφερόντως. Τούτου οὖν τοῦ δεινοῦ, τῆς τελευτῆς ἐκείνου φημὶ, προστεθειμένου τοῖς ἄλλοις, καὶ πάντων τῶν ἐν τῇ πόλει ἀνδρῶν, γυναικῶν, παίδων, Λατίνων τε καὶ αὐτῶν Ἰουδαίων ἐλεεινῶς πρὸς ἀλλήλους διομιλούντων, καὶ τὰ μὲν ἄλλ' ὅσα τούτους ἐπίεζε δηλονότι τῇ λήθῃ παραπεμπόντων, τὴν τοῦ ποιμένος δὲ στέρησιν ἐπὶ νοῦν λαμβανόντων, καὶ συνεχῶς προφερόντων, τῆς τοῦ Θεοῦ τε παιδείας, C ὡς προὔφην, καὶ τῆς γεγενημένης ἁλώσεως, καὶ λεγόντων σημεῖον τοῦτο, καὶ πιστευόντων... Et infra: Ἀλλ' ἐνταῦθα μικρὸν ἐρήσομαι τοὺς κατηγοροῦντας τοῦ δεῖνος, καὶ τῆς δεῖνος. Ποῦ ποθ' ὑμεῖς ἦτε, ἔθ' ὁ Μουράτης τὰ τοιαῦτα ὑπέσχετο; Οὐκ ἐν τῇ πόλει καὶ αὐτήκοοι τῶν κηρυττομένων; Πῶς οὖν οὐκ ἐχρήσασθε τῷ λογισμῷ; Πῶς ἃ διανοεῖσθε οὐκ εἰς πέρας ἠγάγετε; Πῶς ἃ τῶν ἄλλων κατηγορεῖτε μὴ πεπραχότων, ὑμεῖς οὐκ ἐπράξατε, καιροῦ καλοῦντος, καὶ τῶν ἀπειργόντων οὐκ ὄντων; τότε γὰρ ποιμὴν οὐκ ἦν· μῆνας γὰρ εἶχεν ἓξ γενόμενος ἐξ ἀνθρώπων· οὐδὲ ἀραὶ, οὐδ' ὅσ' ἕτερ' ἀπαριθμεῖτε. Τί λοιπὸν τὸ κωλῦσαν ἡμᾶς ἦν, ἢ τίνος ἔργον, ὅσα συμβέβηκεν; Οὐδενὸς πᾶς τις ἂν εἴποι λογιζόμενος εὐσεβῶς, ἢ D τῆς ἡμῶν ἁμαρτίας ἑκάστου τὸν ἀόργητον εἰς ὀργὴν καθ' ἡμῶν κινησάσης, παιδείαν ἡμῖν ἐπενεγκεῖν, πταίουσιν ἀδιόρθωτα, ἵνα γοῦν ἑαυτῶν γενόμενοι καὶ τοῦ λοιποῦ σωφρονίσωμεν. Εἰ δέ τις τῶν πρὶν ἀπομνημονεύων χρόνων, καὶ πάλιν ἡμῖν ἀντιλέγῃ, καὶ τῷ ποιμένι τὴν αἰτίαν ἐπάγῃ, τοῖς προδεδόσθαι ἐθέλουσι μὴ τὰ ἴσα φρονήσαντι, καὶ βουλευσαμένῳ, μεμηνότος οἶμαι, κέκτηται λογισμούς. Πρῶτον μὲν γὰρ οὐ τοῦ σχήματος τοῦ ἀρχιερέως στρατηγικῶν πραγμάτων ἀντιλαμβάνεσθαι, καὶ τὸν μὲν τυραννικῶς ἐξωθεῖν τῆς ἀρχῆς, τὸν δὲ ἀντεισάγειν, καὶ πραγμάτων, καὶ φόνους καὶ ζημιῶν, τούτων δὴ τῶν ἐν ταῖς ἐναλλαγαῖς τῶν ἀρχῶν συμβαινόντων, αἴτιον δείκνυσθαι. Οὐ γὰρ ἐπὶ θρόνον αὐτὸν καθίζουσι τυραννικὸν, ἀλλ' ἐπὶ θρόνον ἱερατικὸν, καὶ Δεσπότου

πραέος, καὶ εἰρήνην διδάξαντος, καὶ δεῖ τοῦτον ἐκ παντὸς τρόπου μιμεῖσθαι, καὶ λόγοις καὶ πράγμασιν. Ἔπειτα τί ἐστιν ὅπερ εἴργαστο; ὅτι τοῖς τοῦ Θεοῦ νόμοις ἐμμένειν παρῄνει, καὶ τὴν εὐσέβειαν συνεβούλευε μὴ προέσθαι; ὅτι μὴ κατεξανίστασθαι τῶν ἀρχόντων, ἀλλὰ τούτους, ὡς ἐκ Θεοῦ προβληθέντας, ἐδίδασκε στέργειν; Καὶ τί γε ἄλλο προσῆκεν ἐκείνῳ ψυχὰς ἀνθρώπων πρὸς Θεοῦ πιστευθέντι; Ὅμως ἐκεῖνος καὶ οὕτως ἔχων ἐφ' ἑκάστου σχεδὸν ἔτους ἠξίου τὴν πόλιν ἀπολιπεῖν καὶ πρὸς τὴν ἐνεγκαμένην γενέσθαι· ἴσως ἵν' ἡμεῖς ὑπὲρ ἑαυτῶν φρονήσωμεν· ἀλλ' οὐδ' οὕτως ἠνέχεσθε. Οὕτω γνώμης τινὲς τετυχήκεσαν πρὸς πᾶν ὁτιοῦν τὸ τρεπτὸν κεκτημένης, καὶ συμμεταβαλλομένης τοῖς καιροῖς καὶ τοῖς πράγμασιν.

A Domini, et qui pacem deprædicavit, cujus vestigiis insistere modis omnibus et dicta factaque sequi debet, solium promovetur. Deinceps quid ille molitus est? An quod in legibus divinis perdurare adhortabatur? Non a principibus desciscendum, quos veluti a Deo promotos exosculandum esse docebat? Et tamen in aliud incumbendum erat, cui mortalium animæ per Deum erant concreditæ. Nihilominus ille hoc modo dispositus fere singulis annis ab urbe recedere volebat et in patriam reverti, forte ut nos nostra accuraremus. Sed neque hac ratione passi estis. Ita mente nonnulli præditi sunt, quæ cum quolibet mutationem subiente sese immutat et variat.

Hic Symeonis certissima tempora teneo. Capta est Thessalonica anno Domini 1430, Martii die nona et vicesima, Symeon e vivis excesserat ante sex menses, ergo præterito Septembri, qui primus anni Græcorum supputatione numeratur. Ergo sub Joanne Manuelis filio Manuele ipso, necnon Joanne Cantacuzeno vitam egit.

NOTITIA ALTERA.

(Fabric. *Biblioth. Gr.* ed. Harles., tom. XI, p. 328.)

Simeon, Thessalonicensis archiepiscopus (*a*), sexto mense ante captam a Murate a. C. 1430, 29 Martii, Thessalonicam (*b*) defunctus, varia scripsit, quibus et ritus et dogmata Ecclesiæ Græcæ illustravit insigniter, et oppugnavit Latinos. Itaque Nic. Comnenus, Græcus licet, Latinorum propugnator acerrimus, p. 215 Prænot. mystag., Simeonem *inter Photianos non Photianæ plane ignorantiæ participem virum* appellat, *et ni desipuisset in dogmatibus, nemini recentiorum theologorum imparem.* (*Fabr.*) Conf. Henr. Wharton et Rob. Gerius ad Cavei *Hist. litter. S. S. Eccl.* tom. II, p. 113 seq.; uterque citat quosdam codd.; prior autem scripsit, Sim. Thessal. claruisse a. 1410 et obiisse a. 1429, mense Sept., sex mensibus ante Thessalonicam ab Amurate iterum expugnatam: posterior autem prodit, eum claruisse a. 1418, et vita decessisse paulo ante captam suam metropolin, a. 1430. — Oudin. *Comment. de SS. Eccl.* tom. III, p. 2242 seq. ad a. 1410, qui multus est de ætate, potissimum de scriptis horumque codd. et ex aliis præcipue Lambecio et Goaro multa exscripsit. — Hamberger *Zuverlæss. Nachr.* tom. IV, p. 682 seq., ad a. mortis 1429, et Saxius in *Onom. litt.* part. II, p. 390 seq. qui, eum mortuum esse a. 1430, adjecit. (*Harl.*)

1. Præcipuum ejus opus est *De fide, ritibus et mysteriis ecclesiasticis,* quod integrum Græce lucem vidit Jassii in Moldavia a. 1683 fol., curante Dositheo, patriarcha Hierosolymitano, et merito laudatur ab H. Whartono in Auctario historiæ dogmaticæ Usserii de Scripturis et sacris vernaculis p. 440; et Rich. Simone in *Bibl. Selecta*, tom. I, cap. 29, pag. 237 seq. (*Fabr.*) Fabricius noster infra in vol. XIV, p. 49 seq. vet. ed. Simeonis Thessalonic. Opus ecclesiasticum, quod beneficio Maurocordati, Hungaro Walachiæ principis, acceperat, curatius et uberius descripsit, et capitum ejus elenchum et quædam specimina dedit. Auspiciis, ait, et sumptu Joannis ducis, labore Joannis Molibdi, Heracleensis, excusum, Græce lucem vidit Jassii in Moldavia a. 1683 fol. opus Simeonis hoc titulo: Συμεὼν τοῦ μακαρίου ἀρχιεπισκόπου Θεσσαλονίκης κατὰ αἱρέσεων, *et cætera quæ in fronte operis infra leguntur.*

(*a*) Eugenius Nomophylax in Synodico, Dominica orthodoxiæ in ecclesia Thessalonicensi recitari solito, apud Allatium, *De Simeonibus* (*supra*), ubi celebrantur Thessalonicæ archiepiscopi Isidorus, Gabriel, Simeon, Gregorius et Niphon. Etiam senioris Simeonis Thessalonicensis meminit Allatius, *De consensu utriusque Ecclesiæ*, p. 863. Is est, qui Isidorum in archiepiscopatu Thessalonicensi antecessit.

(*b*) Joannes Anagnosta, in Narratione de capta Thessalonica, in Allatii *Symmictis*, p. 346 et 354.

Præmittitur volumini præfatio duplex Dosithei, patriarchæ Hierosol., in quarum posteriore (1) Simeon Thessalonicensis celebratur.

In prima præfatione, data Adrianopoli et directa ad Joannem Ducam, Dositheus laudat hujusce curam ac benignitatem in promovenda Simeonis editione, publico bono demonstratam (2).

Hujus operis partes sunt: Ἑρμηνεία περί τε τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερῶν τε πέρι καὶ διακόνων καὶ ἀρχιερέων τε καὶ ὧν ἕκαστος τούτων στολῶν ἱερῶν περιβάλλεται. Οὐ μὴν ἀλλὰ καὶ περὶ τῆς θείας μυσταγωγίας λόγον ἑκάστῳ διδοῦσα τῶν ἐν αὐτῷ τελουμένων θείως καὶ τοῖς ἐν Κρήτῃ ζητήσασι ἀποσταλεῖσα, *de templo et missa*, quod Græce et Latine edidit Jacobus Goar, in *Euchologio*, pag. 212, 232 (3). Latine et minus sincerum Jacobus Pontanus, S. I. Ingolstad. 1603, 4, pag. 425 seq., in Append. Opp. Sym. Junioris theol. recusum in *Supplemento Bibliothecæ Patrum*, Morelliano Paris. 1639, fol. tom. I, pag. 865; et in Lugdunensi *Bibl. Patrum*, tom. XXII, pag. 767. (*Fabr.*) Item in Colon. *Bibl. Patr.* 1618, fol. vol. XII, part. I, p. 741. — MS. *Vindob.* in cod. Cæs. CLXVI, n. II, et in cod. 272, V. Lambec. IV, p. 390 seq. et V, p, 457 seq. Koll. — Ibid. in cod. 270, plura sunt Simeonis Thessal. scripta; n. 1: *Dialogus ecclesiasticus et de sola vera fide, simul etiam de septem Ecclesiæ sacramentis, et de templo, rebusque et hominibus ad illud pertinentibus*: tum secundum Fabricii ordinem n. 2, 3-6: *Precationes sacræ sex*(a), n. 7 codicis, et n. 8 cod. *Accurata dijudicatio legitimarum et illegitimarum nuptiarum, excerpta ex libro juridico Theodori Balsamonis*; de quibus copiose agit Lambec. V, pag. 451 seq. Kollar. — Ibid. p. 470, in cod. 282, Excerpta ex Simeonis Thessal. *monitis de vita ascetica, s. monastica*. Monac. in codd. Bavar. 58 et 286 *Expositio de divino templo*, etc. V. Hardt. in *Aretini Beytrægen*, etc. a. 1804; part. I, p. 34, etc. s. Cat. mss. Gr. Bavar. pag. 43 et 44. — in cod. Harlei. 5630, opera quædam, quorum tamen tituli non indicantur in catal. mss. bibl. Harlei. Oxon. in codd. Barocc. 75, *De templo*, etc.; 107. *Expositio liturgiæ*; inc. Ἐξ ἀγάπης θείας. Et plura sim. scripta in cod. 294, nempe sec. ordinem Fabricii n. I, 4, 5 ac 6, et *Epistola adhortatoria ad viam salutis*, etc. — *Explanatio liturgiæ s. missæ* est quoque Vindobon. in cod. Cæs. XIII, n. 6, et incipit: Προσήγετο δῶρα τῷ Θεῷ. V. Kollar. *Supplem. ad Lambec.* I, p. 129 seq., qui observat opus in hoc cod. esse multo copiosius, quam illud quod vulgavit Goar in *Euchologio* suo, pag. 212, et luce publica dignum. — *Taurin.* in cod. 65, in quo etiam est Sim. Thessal. *Dialogus contra hæreses*, etc. V. Cat. codd. Gr. Taurin. pag. 161 seq. — Paris. in Bibl. publ. codd. 1267 et 1281, *Expositio liturgiæ*, et in duobus posterioribus sunt quoque *Responsiones ad interrogata Gabrielis*, etc. Ibid. in cod. 1282, exstant varia Sym. Thessal. opera, quæ omnia lucem vidisse Iassii a. 1683, dicuntur, in Cat. mss. bibl. Reg. II, p. 274. — Sec. Montfauc. in *Bibl. biblioth. mss.* p. 478, bibl. Venet. in bibl. Grimana et pag. 623 B. in cod. Scorial. *De mysteriis Ecclesiæ*. — pag. 504 A. in bibl. Ambros. *Mediol. de sacramentis Ecclesiæ; de templo Dei*, etc., *De oratione; Responsiones ad interrogata sacerdotis cujusdam de rebus theologicis*. (*Harl.*)

Ἐκκλησιαστικὸς διάλογος κατὰ πασῶν τῶν αἱρέσεων καὶ περὶ τῆς μόνης πίστεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῶν ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας, οὐδὲν αὐτοῦ ἴδιον κεκτημένος, ἀλλ' ἐκ τῶν ἁγίων Γραφῶν καὶ τῶν Πατέρων ἐρανισθεὶς αὐτῷ καὶ συντεθεὶς κατὰ δύναμιν, ἀπολογίαν διδοὺς ἑκάστῳ τῶν κατὰ καιροὺς ἠρωτηκότων. *Dialogus adversus omnes hæreses*, in quo inter alia laudat clarum sua ætate Callistum Xanthopulum, qui a. 1395 fuit patriarcha CPolitanus, et Latinos hæreticis ascribit. Varia ex illo dialogo producit passim Allatius in suis scriptis, ut libro *De Simeonibus*, p, 185; *De ætate ordinum*, pag. 42 seq.; *De libris ecclesiasticis*, p. 7; *De purgatorio*, p. 100,

(a) Desunt in editione Iassensi. Earum titulos et initia Lambecius ita exscribit: « Septimo, et quidem a fol. 466, pag. 2, usque ad fol. 477 pag. 2: *Ejusdem Symeonis archiepiscopi Thessalonicensis Precationes sacræ sex*, quarum prima *contra hostium Gentilium incursionem* inscribitur atque incipit his verbis: Τοῦ αὐτοῦ εὐχὴ κατ' ἐθνικῶν πολεμίων ἐν παντὶ καιρῷ ἀναγκαία τῆς αὐτῶν ἐπιθέσεως. Πάτερ, Υἱὲ, καὶ Πνεῦμα ἅγιον, ὁ μόνος ἐν Τριάδι Θεὸς, ὁ ἀγαθὸς, ὁ ἐλεήμων, etc. Secunda in Encæniis templi beatissimæ Virginis Deiparæ τῆς Ἀχειροποιήτου sive non manufactæ: Εὐχὴ ἐπὶ τοῖς ἐγκαινίοις τοῦ θείου ναοῦ τῆς παναγίας Θεοτόκου, τῆς ἀχειροποιήτου. Λέγεται δὲ καὶ πρὸ τῶν πυλῶν τοῦ ναοῦ τῆς Θεοτόκου, ἡνίκα μετὰ λιτανείας εἰσέρχεται ὁ ἀρχιερεὺς, ὑπαλλάσσων μικρὸν τὰ περὶ τῶν ἐγκαινίων ῥήματα. Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, etc. Tertia ad beatissimam Virginem Deiparam in solemni supplicatione. Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐν λιτῇ γενομένη, Ἁγιωτέρα τῶν ἀγγέλων, ἐνδοξοτέρα τῶν ἀρχαγγέλων, etc. Quarta ad beatissimam Virginem Deiparam cujuslibet necessitatis causa: Εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐπὶ πάσῃ αἰτήσει. Κεχαριτωμένη, εὐλογημένη, ὑπὲρ πᾶσαν τετιμημένη κτίσιν, etc. Quinta tempore terræ motus, siccitatis et famis et quarumcunque aliarum calamitatum: Τοῦ αὐτοῦ ἑτέρα εὐχὴ ἐπὶ σεισμῷ, καὶ αὐχμῷ, καὶ λοιμῷ, καὶ πάσῃ ἄλλῃ κακώσει. Κύριε Ἰησοῦ Χριστὲ, παντοκράτορ ὁ Θεὸς τῶν ἀγγέλων, ὁ βασιλεὺς τῶν ἁγίων, ὁ κτίστης τοῦ σύμπαντος, etc. Sexta ad Spiritum sanctum in festo Pentecostes: Εὐχὴ εἰς τὴν Πεντηκοστὴν, εἰς τὸ ἅγιον Πνεῦμα, Ἀγαθὲ καὶ ἀγαθότητος πηγὴ, ἅγιε καὶ ἁγιασμοῦ χορηγέ.

(1) *priore* Fabric., male. Edit.
(2) Duplicem Præfationem vide infra in fronte Operum Simeonis. Id.
(3) At hujus operis textus tertia parte auctior est in editione Iassensi. Id.

110, etc. Exstat mss. in Bibl. Cæsarea, Vaticana aliisque. (*Fabr.*) Add. modo memoratis codd. inter mss. codd. Paris. bibl. publ. a Sevino ex Oriente allatos, cod. 17, teste Montfauc. in *Bibl. biblioth. mss.* p. 1031 *C.* et Mart. Crusium in *Turco-Græcia*, supra, in vol. VIII, pag. 96, sub fin. (*Harl.*)

De septem Ecclesiæ Sacramentis, quem librum Fridericus Metius Latinitate donavit, teste Possevino, sed non edita est ejus interpretatio : dialogum *De pœnitentia* Græce et Latine vulgavit Joannes Morinus in opere *De sacramento pœnitentiæ*, Paris. 1651 fol. et recuso Bruxell. 1685 et Venet. 1702 fol. p. 471-476, nec non περὶ τῶν χειροτονιῶν libellum *De ordinatione* in opere de sacris ordinationis ritibus Paris. 1655 fol. Bruxell. 1686 fol. Utraque ex Morini versione leguntur etiam in *Bibliotheca Patrum* edit. Lugd. tom. XXII, pag. 792 et 793. [Quosdam codd. jam paulo ante laudavi. Add. in cod. bibl. Escorial. *De Ecclesiæ sacramentis* capita 14 teste Pluero in *Itinerar. per Hispan.* pag. 190. — *Vindobon.* in cod. Cæsar. 15, n. 4, sunt quoque capita 14 Conf. Kollar. in Supplem. ad Lambec. qui pluribus, vel ex disertis nostri cod. verbis in fine contra Fabric. nostrum docet, illud syntagma nihil aliud esse, nisi partem magnam operis Sim. Thessal. ante memorati, s. *Dialogi eccles. contra hæreses :* quod etiam colligi potest ex ordine capitum in ed. Dosithei. Ex eo etiam cognoscimus, quæ, ab Allatio memorata, et a Fabricio pro ineditis habita, in illa editione lucem viderint. (*Harl.*)] — Laudant Simeonis de sacramentis Jeremias patriarcha CPol. in Responsionibus ad theologos Wirtenbergenses, Franciscus Turrianus ad *Constitutt. apostol.* Petrus Arcudius in *Concordia*, pag. 6, 7, 19, et passim; Gabrielem quoque Severum Philadelphiensem plura ab eo mutuatum notans, pag. 10. Similiter Allatius in pluribus scriptorum suorum locis, ut *De consensu*, pag. 1139 seq., 1256, 1259, 1276, etc., de ætate ordinum, pag. 42 seq., 136 seq.

Cætera hujus Simeonis adhuc quod sciam inedita (1), ab eodem Allatio memorantur n. 193 seq. libro *De Simeonibus.*

2. Ἀπόκρισις πρὸς τὰς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου Πενταπόλεως κῦρ Γαβριήλ. *Responsiones ad interrogata sanctissimi metropolitæ Pentapolitani Gabrielis.* P. Ἔδει μὲν τὰς τοιαύτας τῶν ἐρωτήσεων ὑψηλοτέρας, καὶ ὑπὲρ ἡμᾶς. Responsiones sunt numero 85 (*a*). Legebantur in Palatina, et nunc in Vaticana, [et *Mosquensi*, cod. 389. V. Matthæi notit. etc., p. 248. (Harl.) Continent multa theologica, moralia et ecclesiastica, et essent maxime utiles, si ederentur.

3. Ejusdem : Περὶ ἱερωσύνης πρός τινα τῶν εὐλαβῶν μοναχῶν ἱερᾶς διακονίας ἠξιωμένων, ἔτι καὶ τοῦ ἀρχιερέως εἰς τὸν τοῦ πρεσβυτέρου τελοῦντος τότε βαθμόν. *De sacerdotio ad quemdam pium monachum sacro ministerio insignitum, adhuc præsule in presbyteri ordine exsistente.* P. Ἐν Χριστῷ μοι ἀγαπητὲ καὶ γνησιώτατε ἀδελφὲ τὴν ὀφειλὴν τῆς ἀγάπης. (*Fabr.*) ms. in cod. Baroc. 294, n. 13. In bibl. Bodlei. inter adversaria Ger. Langbaeni, ex Sym. Thessal. responsis de fine sæculi, et ex ejusd. quæstionibus de typicis Sabæ et Damasceni. V. Cat. mss. Angl. etc. I, p. 268. (*Harl.*)

4. Τοῦ αὐτοῦ Ἑρμηνεία συνοπτικὴ κατὰ δύναμιν εἰς τὸ τῆς ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν θεῖον καὶ ἱερὸν Σύμβολον. *Expositio compendiosa, uti potuit, in orthodoxæ et inculpatæ nostræ fidei Christianorum sacrosanctum Symbolum.* P. Περὶ τοῦ ἱερωτάτου Συμβόλου τῆς ἀληθοῦς καὶ μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως. Mosquæ in cod. synod. 81, 8. V. Matthæi Notit. codd. Gr. Mosq. p. 61, et p. 321, in cod. 39, in quo etiam sunt sequens opus, et *De articulis fidei.* (*Harl.*)]

5. Τοῦ αὐτοῦ Ἔκθεσις ἀναγκαιοτάτη περὶ τῶν τοῦ ἱεροῦ Συμβόλου ῥήσεων, ὅθεν συνελέγησαν, καὶ κατὰ τίνων αὗται συγκείμεναί εἰσι. *Expositio perquam necessaria sententiarum sacri Symboli, unde collectæ sunt, et adversus quos dictatæ.* P. Καλὸν ἐκθέσθαι, καὶ ὅθεν τὸ ἱερώτατον παρὰ τῶν θείων Πατέρων συνετέθη Σύμβολον. (*Fabr.*) Mosquæ in cod. synod. 279, 8. V. Matthæi l. c. p. 180. (*Harl.*)

6. Περιεκτικὰ, ὡς δυνατὸν, τῆς μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως κεφάλαια δώδεκα, ἅπερ τινὲς ἄρθρα καλοῦσι τῆς πίστεως, σαφέστερον συντεθέντα παρὰ τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης Συμεὼν, καὶ ὅτι ταῦτα περιέχει τὸ θεῖον Σύμβολον, καὶ περὶ τῶν περιεκτικῶν ἀρετῶν. *Continentia, ut fieri potuit, solam Christianorum fidem capita duodecim, quæ nonnulli articulos fidei nuncupant, clarius elucidata ab archiepiscopo Thessalonicensi Symeone; eaque comprehendere sacrum Symbolum, et de comprehensivis virtutibus.* P. Ἡ ἀληθὴς καὶ μόνη τῶν Χριστιανῶν ἡμῶν πίστις ὑπὲρ νοῦν οὖσα καὶ λόγον. (*Fabr.*) Mosquæ in cod. Synod. 279 8: V. Matthæi l. c. p. 180. (*Harl.*)

(*a*) Nonnulla ex his profert Allatius, lib. *De purgatorio*, pag. 31, 140, 214, et *Contra Hottinger.* pag. 8. Exstant etiam mss. in bibl. Bodleiana, codice Barocc. 91, e quibus locus adducitur ab Humfredo Hody in libro anglice edito : *The case of sees vacant*, pag. 86. (*Fabr.*) Item in cod. Barocc. 85. — Vindobon. in cod. 13, n. 5, sunt tantum responsa decem. v. Kollar. Supplem. pag. 128 seq. Integra sunt in cod. 170, n. 2. V. Lambec. 5, supra, ubi jam aliorum codd. mentio facta est, memoratum. (*Harl.*)

(1) Sequentia opuscula, sub num. 2, 3, 4, 5, 6, 7 memorata, jam ab annis plus centum edita prostabant cum Harlesius Fabricii *Bibliothecam* retractabat, de quo monere debuisset. Edit.

7. Τοῦ αὐτοῦ περὶ ὧν καινοτομοῦσι Λατῖνοι (1). *De iis, circa quæ Latini innovant.* P. Πρῶτον μὲν τὸ περὶ τὴν πίστιν ἀποσφαλῆναι, καὶ προσθήκην θεῖναι τῷ ἱερωτάτῳ Συμβόλῳ.

8. Ejusdem plura referuntur ad leges et canones pertinentia a Manuele Malaxa in Nomocanone.

9. Canones etiam et hymnos in sanctos composuisse, ex Eugenio colligo : Καὶ ᾠδαῖς ἱεραῖς τοὺς τῶν ἁγίων χορούς, καὶ οἴκοθεν καταστέψαντος, ὧν τὸν βίον ἐζήλωσε, καὶ διήνυσε. *Et sacris cantibus sanctorum choros, et ex propriis exornavit, quorum vitam æmulatus confecit.* Horum tamen ipse nihil vidi. Hactenus Allatius. (*Fabr.*) V. cod. Vindob. citat. n. 7 et 8. (*Harl.*)

[In cat. codd. Gr. Nanian. p. 151, n. 7. cod. 74, citantur Simeonis Thessalon. Oratio, quæ tamen auctorem habet Simeonem Mamant. (2) et supra numeratur n. 25 ; et p. 152. Opus ejusd. Sim. Mam. — Sim. Thessal. Oratio *in Assumptionem Mariæ*, Paris. in bibl. publ. Cod. 987, n. 7. (*Harl.*)]

10. Simeonis Thessalonicensis *Chronicon* ms. in Philippico imp. laudat Cangius in *Glossario Græco*, p. 1606, nisi calami errore Thessalonicensem posuit, atque intellexit Chronicon Simeonis Logothetæ quod frequentissime citat alibi, ut in diss. De hebdomo, pag. 128, 129, 153, 154 ; et notis ad Zonaram p. 28, 55, 70, et 79 ; et in Appendice ad Glossar. p. 4, 5, 6, 7, 22, 23, 36, 45, 56, 57, 58, 59, 72, 74, 75, 83, 84, 86, 90, 92, 100, 101, 103, 106, 110, 113, 114, 115, etc. De hoc dixi vol. VI, p. 352 et 158. [s. vol. VII, p. 471 sq. et p. 683 sq. ed. nov.], ubi etiam de Historia chronica adhuc itidem inedita Simeonis Sethi lingua Græcorum vulgari, ab origine mundi ad imperium usque Constantini Ducæ, de qua paulo ante de Simeone Setho, n. 7.

(1) Est caput vicesimum libri *Contra hæreses*. Edit.
(2) Seu Juniorem, jam a nobis recusum tom. CXX. Edit

ΣΥΜΕΩΝ

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΚΑΤΑ ΑΙΡΕΣΕΩΝ

ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΜΟΝΗΣ ΟΡΘΗΣ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΗΜΩΝ ΠΙΣΤΕΩΣ, ΤΩΝ ΤΕ ΙΕΡΩΝ ΤΕΛΕΤΩΝ
ΚΑΙ ΜΥΣΤΗΡΙΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΔΙΑΛΟΓΟΣ,

ΠΕΡΙ ΤΕ ΤΟΥ ΘΕΙΟΥ ΝΑΟΥ

ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤῼ ΑΡΧΙΕΡΕΩΝ ΤΕ ΚΑΙ ΙΕΡΕΩΝ
ΚΑΙ ΔΙΑΚΟΝΩΝ,

Καὶ τῶν ὧν ἕκαστος τούτων στολῶν ἱερῶν περιβάλλεται,

ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΜΥΣΤΑΓΩΓΙΑΣ

ΕΙΣ ΤΕ ΤΟ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΠΙΣΤΕΩΣ ΣΥΜΒΟΛΟΝ ΕΡΜΗΝΕΙΑ,

Καὶ τῶν τούτου ῥήσεων ἔκθεσις ὅθεν τε συνελέγησαν, καὶ κατὰ τίνων συγκείμεναί εἰσιν,
Ἔτι δὲ Περιεκτικὰ τῆς ὀρθοδόξου πίστεως κεφάλαια, ἤτοι ἄρθρα δώδεκα,
Καὶ ὅτι ταῦτα περιέχει τὸ ἱερὸν Σύμβολον. Καὶ περὶ τῶν περιεκτικῶν ἀρετῶν,
Ἀποκρίσεις τε πρός τινας ἐρωτήσεις ἀρχιερέως ἠρωτηκότος αὐτόν,

ΚΑΙ ΤΕΛΕΥΤΑΙΟΝ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ,

ΜΕΘ' ΩΝ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΜΑΡΚΟΥ ΕΥΓΕΝΙΚΟΥ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ (1).

Τυπωθέντα διὰ δαπάνης τοῦ εὐσεβεστάτου ἐνδοξοτάτου ἐκλαμπροτάτου τε καὶ γαληνοτάτου ἡγεμόνος κυρίου κυρίου Ἰωάννου Δούκα βοεβόδα πάσης Μολδοβλαχίας, Τοῦ μεγαλοπρεπεστάτου αὐθέντου καὶ ἀρχηγοῦ πάσης Ὀκραΐνης,
Ἐπιμελείᾳ καὶ διορθώσει τοῦ λογιωτάτου νοταρίου τῆς Μεγάλης Ἐκκλησίας κυρίου Ἰωάννου Μολίβδου τοῦ ἐξ Ἡρακλείας,
Ἐν τῇ σεβασμίᾳ πατριαρχικῇ καὶ αὐθεντικῇ μονῇ τῶν πρωτοκορυφαίων Ἀποστόλων, τῇ καλουμένῃ Τζετατζούϊα,
Ἐν ἔτει σωτηρίῳ ,ΑΧΠΓ', κατὰ μῆνα Ὀκτώβριον.

ΕΝ ΓΙΑΣΙῼ ΤΗΣ ΜΟΛΔΟΒΙΑΣ (2).

---

(1) Latine : *B. Simeonis archiepiscopi Thessalonicensis contra hæreses, et de sola recta nostra Christianorum fide, et de sacris ritibus et mysteriis Ecclesiæ Dialogus. Præterea de divino templo et de episcopis, presbyteris ac diaconis, et de sacris stolis sive vestimentis, quibus quisque induitur, et de divino cultu ac mystagogia. Interpretatio in Symbolum fidei Christianæ, et vocum ejus expositio, atque unde collectæ illæ et quibus oppositæ fuerint. Capita item et articuli quibus recta fides continetur, et quod illa sacro comprehendantur Symbolo, et de virtutibus quæ in eodem commendantur. Responsiones ad quædam quæsita episcopi, et denique de sacerdotio. Post hæc, Marci Eugenici sapientissimi doctissimique metropolitæ Ephesi expositio ordinis liturgiæ ecclesiasticæ. Impressum, etc.*

(2) Et in calce libri : Ἐπιμελείᾳ δὲ καὶ διορθώσει τοῦ λογιωτάτου κυρίου Ἰωάννου Μολίβδου, τοῦ Περινθίου, παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Χουσίου, κυρίου Μητροφάνους.

Χριστὲ, δίδου πονέσαντι τεὴν πολύολβον ἀρωγήν.

DOSITHEI NUNCUPATORIA

AD JOANNEM DUCAM

Laudat ejus curam ac benignitatem in promovenda Symeonis editione, publico bono demonstratam.

—

Τῷ ἐκλαμπροτάτῳ, ἐνδοξοτάτῳ, εὐσεβεστάτῳ, γαληνοτάτῳ τε καὶ μεγαλοπρεπεστάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Μολδοβλαχίας τὸ τρίτον, καὶ Ὀκραΐνης τὸ πρῶτον, κυρίῳ κυρίῳ ΙΩΑΝΝΗ ΔΟΥΚΑ Βοεβόδα, τῷ ἐν ἁγίῳ Πνεύματι υἱῷ ποθεινοτάτῳ τῆς ἡμῶν μετριότητος, ἀποστολικὴν εὐλογίαν ἐν ἁγίῳ φιλήματι.

Συγκρίνων τις τῶν ἁγίων Πατέρων τὸν παλαιὸν Ἰσραὴλ μετὰ τοῦ εὐαγγελικοῦ ἀνθρώπου, ἔλεγεν· Ὦ τόσης χάριτος ἠξιώθης, ἄνθρωπε, ἰδὼν τὸν Θεόν. Εἶδε, καὶ ἤκουσεν Ἀβραὰμ, ἀλλ' ἐξωτέρως, ἤτοι δι' εἰκόνων. Εἶδεν Ἰὼβ καὶ ἤκουσεν, ἀλλὰ διὰ λαίλαπος καὶ νεφῶν. Εἶδε Μωϋσῆς ἐν τῇ βάτῳ, καὶ ἐν τῷ ὄρει Σινᾶ, ἀλλὰ δι' αἰνιγμάτων εἶδεν ἐπὶ τῆς πέτρας, καὶ μάλιστα εἰς ὀπὴν τῆς πέτρας, ἀλλ' εἶδε τὰ ὀπίσθια. Εἶδεν Ἡσαΐας, ἀλλ' ἐξωτέρως, ἐν θρόνῳ ὑψηλῷ δηλονότι. Εἶδεν Ἰεζεκιὴλ, ἀλλὰ καὶ οὗτος ἐξωτέρως, ἐν μέσῳ τεσσάρων ζώων. Καὶ ἵνα ἐάσω τοὺς λοιποὺς, εἶδε Δανιὴλ ἀλλ' ἐν ὁράματι νυκτός. Εἴδασιν, ὅμως τὸ Πνεῦμα τὸ ἅγιον οὐκ εἶχον. Εἶχον Πνεῦμα προφητείας, « Ἀφελῶ » γάρ, φησίν, « ἀπὸ τοῦ Πνεύματός σου, » τῷ Μωϋσῇ ὁ Θεὸς, ἀλλ' οὐκ εἶχον τὸ Πνεῦμα τὸ ἅγιον. Ὅθεν ἡ Γραφὴ περὶ τῶν Σαμαρειτῶν φησίν· « Οὔπω γὰρ ἦν ἐπιπεπτωκὸς ἐπ' οὐδενὶ αὐτῶν Πνεῦμα ἅγιον. » Καί τινες μαθηταὶ ἔλεγον τῷ Παύλῳ ἐν Ἐφέσῳ, « Οὐδὲ γὰρ εἰ Πνεῦμα ἅγιόν ἐστιν, » ἠκούσαμεν. Οὐχ ὅτι οὐ κεῖται ἐν τῇ Γραφῇ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὅτι μηδενὸς τῶν παλαιῶν Πνεῦμα ἅγιον εἰληφότος, Οὐδ' εἰ Πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν, ἔλεγον. Ἀλλὰ σὺ ἀξιοῦσαι τῆς τοιαύτης χάριτος οὐσιωδῶς, ὡς ὁ Κύριος ἐπηγγείλατο· « Καὶ ἐγὼ, » φησίν, « ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. » Ὁρᾷς, Χριστιανὲ, ἣν ἔλαβες χάριν; Ἧς οὐδ' οἱ προφῆται, οὐδ' οἱ φίλοι τοῦ Θεοῦ προπάτορες ἠξιώθησαν; Ὅθεν ἔλεγεν ὁ Κύριος, « Ἀμὴν λέγω ὑμῖν, πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκηκόατε, καὶ οὐκ ἤκουσαν. » Ὥστε μόνοις τοῖς πιστοῖς ἐπ' ἐσχάτων τῶν ἡμερῶν, σκηνώσαντος ἐν ἡμῖν τοῦ Θεοῦ Λόγου, ἐδόθη τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μένει μεθ' ἡμῶν εἰς τὸν αἰῶνα, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Ἐπερίσσευσε δὲ τὸ μέτρον τῆς δωρεᾶς ταύτης ἐν τῷ καθ' ἡμᾶς αἰῶνι εἰς τὴν σὴν ἐκλαμπρότητα, ὅτι εἰς τοὺς καιροὺς τῆς ἡγεμονίας αὐτῆς ἐγένετο καὶ τῷ γένει ἡμῶν ὁ Ἑλληνικὸς τύπος, δι' οὗ παντὶ τῷ κόσμῳ Πνευματικὴ εὐφροσύνη εὐαγγελίζεται. Καὶ ὁ μὲν βασιλεὺς Ἰωσίας τὸ βιβλίον τοῦ νόμου ἀναγνοὺς, ἐνώπιον τοῦ πορευθέντος ἐν Ἱερουσαλὴμ Ἰσραὴλ, ἐπαινεῖται, ἡ δὲ σὴ ἐκλαμπρότης, διαδιδοῦσα τύπῳ τὴν βίβλον ταύτην εἰς τὴν καθολικὴν Ἐκκλησίαν, οὐ σκιώδη ἐμφαίνουσαν, ἀλλὰ πᾶσαν τὴν Εὐαγγελικὴν ἀλήθειαν, καὶ μάλιστα ἐν καιρῷ τῷ προσήκοντι, μακαρίζεται. Οἱ γὰρ τῆς Χριστιανικῆς ὀρθῆς λεωφόρου τῶν δογμάτων ἐκτραπέντες ἐθνικοὶ, καὶ οἱ τὴν ἀκριβῆ τοῖς ἀποστόλοις τε καὶ Πατράσιν ἀτραπὸν ἀπωσάμενοι αἱρετικοί τε καὶ σχισματικοὶ, ἀκάνθαις καὶ τριβόλοις περιπεπτώκασιν. Ὧν τὴν Ἐκκλησίαν ἐμπλῆσαι βουληθέντες, τοῦ σκοποῦ διήμαρτον, τοῦ Κυρίου τὴν βασιλικὴν ὁδὸν ἀρρήτοις θριγκοῖς, τοῖς τῶν ἁγίων Πατέρων συγγράμμασι κατησφαλισαμένου. Ὧν σύνοψίς ἐστιν ὁ τῆς παρούσης βίβλου ἐν ἁγίῳ Πνεύματι Πατήρ. Ὁ τῆς ὁσίας μνήμης *Θεσσαλονίκης ἀρχιεπίσκοπος Συμεών*. Ὃν οἷόν τι φῶς νυνὶ διὰ τοῦ τύπου λαμπαδουχεῖς, καὶ καθιστᾷς δῆλον ἐξ ἀδήλου, καὶ φανερὸν ἐξ ἀφανοῦς, ὡς ἂν μὴ οἱ φονευταὶ ἐπεισπηδήσωσι τῇ Ἐκκλησίᾳ, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ, τῆς προφητείας πληρώσας τὴν πρόῤῥησιν. Ὅτι δὲ τῶν εὐσεβῶν ἡγεμόνων ἐστὶν ἴδιον τρόποις παντοίοις, καὶ ὅση δύναμις τῇ προσκυνητῇ καὶ καθολικῇ θρησκείᾳ τῶν ὀρθοδόξων Χριστιανῶν διακονεῖν, ὁ ἰσαπόστολος Κωνσταντῖνος ἐμπεδοῖ. Τοῦτό μοι πρὸ πάντων, φησίν, εἰς ἕνα προσήκει σκοπὸν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς Ἐκκλησίας πλήθεσι, πίστιν μίαν, καὶ εἰλικρινῆ ἀγάπην, ὁμογνώμονά τε περὶ τὸν παγκρατῆ Θεὸν εὐσέβειαν διατηρῆσαι. Εἰ δὲ καὶ ἀληθὲς τὸ τινὶ σοφῷ εἰρημένον, ὅτι δεῖ ἐν μὲν τοῖς φυσικοῖς Θεὸν ὑμνεῖν, καὶ δίκην, καὶ πρόνοιαν, ἐν δὲ ἠθικοῖς νόμον, καὶ κοινωνίαν, ἐν δὲ πολιτείᾳ τὸ καλὸν ἐκδιδάσκειν. Ταῦτα πάντα ἡ σὴ μεγαλόνοια νυνὶ ἀπετέλεσε, τὴν περὶ τῆς τοῦ Θεοῦ καὶ τῶν θείων ἀληθοῦς θεολογίας, ὅσων τε περὶ δημιουργίας, καὶ προνοίας, καὶ κρίματος αἰωνίου, καὶ ὅσων περὶ μυστηρίων, καὶ ἐθῶν, καὶ τάξεων, καὶ τῆς ἐκκλησιαστικῆς κατατάξεως, καὶ κοινωνίας μὲν τῶν ὀρθοδόξων, ἀκοινωνησίας δὲ τῶν αἱρετικῶν καὶ σχισματικῶν, καὶ ὅσων περὶ πολιτείας ἐνθέου συνιρδὰ τῇ Γραφῇ, καὶ τῷ δημιουργῷ ταύτης ἁγίῳ Πνεύματι, τῶν ἁγίων, ἢ τῶν εἰρημένων τοῖς ἁγίοις σύνοψιν, ἣν *ὁ μακαριώτατος Συμεὼν* λιτῇ τῇ φράσει συνέταξε προθύμως, διὰ τῆς ἐνεργείας ταύτης τῷ Θεῷ ἀφοσιωσαμένη. Εἰ δὲ καὶ ἀρχαῖον καὶ πρεσβύτατον ἔργον τῆς παλαιᾶς Ἠπείρου τὸ περὶ τοὺς φίλους εὐχάριστον. Πύῤῥος γὰρ ὁ τῶν Ἠπειρωτῶν βασι-

λεῦς, Ἀερόπου τινὸς φίλου ἀποθανόντος, οὐκ ἤνεγκε μετρίως, ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων, ἑαυτῷ δὲ μεμφόμενος, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων, χάριν οὐκ ἀπέδωκεν αὐτῷ· πόσῳ μᾶλλον αὐτὸς, Ἠπειρώτης μὲν ὢν, ἀλλ' εὐσεβέστατος, καὶ αὐθέντης, ἀλλὰ φιλόχριστος, καὶ ἡγεμὼν, ἀλλὰ μεγαλοπρεπέστατος, οὐ φίλον τινὰ, ἀλλὰ τὸν πάντων Δεσπότην καὶ βασιλέα Χριστὸν τιμῶν, ἕνεκα ὧν εἴληφεν ἐγκοσμίων τε καὶ πνευματικῶν ἀγαθῶν, τοιαύτην, ἀποδοῦναι τὴν εὐχαριστίαν, καὶ ἐπισφραγίσαι δι' αὐτῆς τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ἧς οὐδὲν τῶν ἐν τῷ κόσμῳ τερπνῶν καὶ μεγάλων, ἰσότιμόν τε καὶ ἰσοστάσιον; Ἀλλ' ἐπειδὴ καρπός ἐστί σοι τοῦτο τοῦ ἐνοικοῦντος ἐν σοὶ ἁγίου Πνεύματος, ὡς εἴρηται, ἀξιωθείης ἀεὶ καρποφορεῖν ἐς τῷ τῆς Ἐκκλησίας πληρώματι, καὶ ἐπεκτείνεσθαι ἐν τοῖς ἔμπροσθεν, καὶ μετὰ βαθύτατον γῆρας ἀποδημήσας τοῦ σώματος, ἀπολαύσοις τῆς θείας μακαριότητος. Ἀμήν. Ἐν ἔτει, αχπγ' κατὰ μῆνα Μάρτιον. Ἀπὸ Ἀδριανουπόλεως.

ΔΟΣΙΘΕΟΣ ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, καὶ εὐχέτης τῆς σῆς ἐκλαμπρότητος.

DOSITHEI PRÆFATIO

AD LECTOREM

Δοσίθεος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας, καὶ προσκυνητῆς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ Θεοῦ Ἀναστάσεως, τοῖς ἐντευξομένοις τῷ παρόντι ὀρθοδόξοις Χριστιανοῖς, ἱερωμένοις τε καὶ λαϊκοῖς, ἀδελφοῖς καὶ τέκνοις τῆς ἡμῶν μετριότητος ἐν ἁγίῳ Πνεύματι, χάριν ἄνωθεν πρὸς ἔργα σωτηριώδη.

Πᾶς κυνηγὸς ἐπιτήδειος ὢν, καὶ ἄριστος περὶ τὰ κυνηγέσια τεχνίτης, ἀναγκαίως χρᾶται τὰ ἁρμόδια αὐτῷ ὄργανα, εἴπερ βούλεται τέλος Χριστὸν ἐπιθήσειν τῇ τέχνῃ. Χάριν λόγου, εἰς τὸ θηρεῦσαι πετεινὰ μὲν χρᾶται δίκτυα· χερσαῖα δὲ, ἄρκυας καὶ παγίδας· ἰχθύας δὲ, κἀκεῖ δίκτυα, ἀμφίβληστρα, ἄγκιστρα, πεζοβόλους, καὶ ὅσ' ἄλλα ἡ τέχνη διδάσκει, ἵνα λάβῃ καὶ κερδήσῃ ἃ βούλεται. Εἰ δὲ ἀνθρώπους τις θηρεῦσαι ἠβούλετο, τίν' ἂν ὄργανα χρήσαιτο; Ἐπείπερ καὶ οἱ ἄνθρωποι κυνηγῶνται, καὶ συλλαμβάνονται, ὡς ἰχθύες (ὡς ἔλεγεν ὁ Κύριος, « Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων »), οὐκ ἄλλα δηλονότι, εἰ μὴ τὴν διδασκαλίαν καὶ τὸν λόγον. Οὐκ ἔστι γὰρ ἀμφίβληστρον, καὶ δίκτυον διὰ τὸν ἄνθρωπον, ὡς ἡ διδασκαλία πεπλεγμένη ἀπὸ λόγων καὶ ἀπὸ μαρτυριῶν, ἐν οἷς σαγηνεύεται ὁ ἄνθρωπος, καὶ οἰκειοῦται τῷ Θεῷ, ἵν' αἰωνίως μακαρίζηται. Αὕτη ἀμφίβληστρον (ἡ διδασκαλία) βαλλομένη εἰς ἑκάτερα τὰ μέρη, δεξιὰ, καὶ ἀριστερὰ, καὶ περὶ τῶν παρόντων καὶ περὶ τῶν μελλόντων. Αὕτη ἄγκιστρον· τοῖς γὰρ λόγοις καὶ ταῖς μαρτυρίαις τοῦ Πνεύματος, λαμβάνει τὸν ἄνθρωπον ἀπὸ τῶν σπλάγχνων, καὶ ἁλιεύει εἰς τὸ φῶς τῆς θεογνωσίας. Περὶ ταύτης λέγει ἐν τῷ βιβλίῳ τῶν Ἀριθμῶν ὁ τῶν ὅλων Θεός· « Ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτὰς, ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολὰς, καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς γενεὰς ὑμῶν. » Σάλπιγγας φησὶ τοὺς διδασκάλους τῆς Ἐκκλησίας. Ὡς γὰρ αἱ σάλπιγγες χρῶνται πνεῦμα ἀπὸ τῶν ἐντοσθίων ἐξερχόμενον (καὶ οὐχ ὡς κύμβαλα ἢ κιθάραι κρουόμεναι), οὕτως οἱ διδάσκαλοι, οὐκ ἐκ τῆς ἔξωθεν σοφίας καὶ τῆς τινῶν μυθολογίας συλλογίζονται κατὰ τῆς σωτηρίας τῶν ἀνθρώπων, ἀλλ' ἔσωθεν τὴν διδασκαλίαν Πνεύματος ἁγίου πλήρη ἔχοντες, τὴν σωτηρίαν πραγματεύονται τῶν ἀνθρώπων, ὥσπερ αὐτοῖς λέγεται διὰ τοῦ Ἡσαΐου· « Ἀνα-βόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ, ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου. » Οὐ λέγει, Ὡς κύμβαλον καὶ κιθάραν, ἀλλ' ὡς *σάλπιγγι ὕψωσον τὴν φωνήν σου*. Ἤγουν μετὰ φωνῶν ἐξερχομένων ἀπὸ τῶν ἐντὸς, αἵτινές εἰσιν ἡ ἁγία Γραφὴ, παλαιά τε καὶ νέα· μυστήρια ἑπτὰ, καὶ παραδόσεις τῆς καθολικῆς Ἐκκλησίας, ἀπὸ τοῦ Κυρίου καὶ τῶν ἀποστόλων παρειλημμένα, κανόνες τῶν ἁγίων ἀποστόλων. Ὅροι τῶν οἰκουμενικῶν συνόδων καὶ Πρακτικὰ, ὅροι τοπικῶν συνόδων καὶ τινῶν Πατέρων, οὓς αἱ οἰκουμενικαὶ ἐδέξαντο σύνοδοι. Συγγράμματα καὶ ἑρμηνεῖαι τῆς Γραφῆς τῶν ἁγίων Πατέρων, ἐν οἷς συμφωνοῦσιν ἀλλήλοις, καὶ ταῖς οἰκουμενικαῖς συνόδοις. Ἱστορίαι ἐκκλησιαστικαί. Νόμοι βασιλικοὶ, τῶν ἁγίων Πατέρων τοῖς ὅροις συμβαίνοντες, ἅτινα συμπεπληγμένα, ἐνέργειαν ἔχουσι τῆς ὀρθῆς καὶ ἀληθοῦς καὶ ὀρθοδόξου, καθολικῆς τε καὶ ἀποστολικῆς πίστεως, καὶ ἁλιεύουσι τὸν ἄνθρωπον εἰς ζωὴν αἰώνιον. Δύο δὲ σάλπιγγες, ὅτι τῇ μιᾷ τὴν εἰς ὀρθοδοξίαν τῶν προστεθέντων, ἢ ἀφαιρησάντων, τῆς τοιαύτης πίστεως ἐπιστροφὴν ὑπαινίττεται· θατέρα δὲ τῶν εὐσεβῶν ἁμαρτησάντων, τὴν εἰς ἀληθῆ μετάνοιαν ἐπιστροφὴν ὑποσημαίνει. Ὅθεν φησὶν, « Ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν. » Ἀργυραῖ δὲ, ὅτι οἱ τῆς τοιαύτης διδασκαλίας λόγοι δεδοκιμασμένοι εἰσὶν, ὡς ἀργύριον πεπυρωμένον καὶ δεδοκιμασμένον. Ἐλαταὶ δὲ, ὅτι ἐλαύνουσι τοὺς πειθομένους ἀπὸ τῶν προσκαίρων εἰς τὰ αἰώνια. Καὶ ὅ τι σοι δοκεῖ τῆς φωνῆς πρόσκαιρον, ἐκεῖ δεῖ ἀνάγειν ἐν τοῖς ἐπουρανίοις δηλονότι. Αὕτη ἡ φωνὴ τῶν σαλπίγγων, καὶ ταῦτα τὰ ὄργανα, οἷς χρῆται ὁ Κύριος ἐν τῇ Ἐκκλησίᾳ, καὶ διδάσκει ἀεὶ διὰ τῶν διδασκάλων, καὶ ὑψοῖ τὴν φωνὴν αὐτῶν ἐν ἰσχύϊ, καὶ σάλπιγξιν ἀνακαλέσαι τὴν συναγωγὴν· ἣν περιεποιήσατο τῷ τιμίῳ αὐτοῦ αἵματι, καὶ ἐξᾶραι τὰς παρεμβολὰς, τὰς

πατριὰς τῶν ἐθνῶν, ἀπὸ τῶν κάτω εἰς τὰ ἄνω· οὗ αὐτὸς κάθηται ἐν δεξιᾷ τοῦ Πατρός. Ἐξ ὧν εἷς ἐστι καὶ ὁ συγγραφεὺς τῆς παρούσης βίβλου, ὁ τῆς θεσπεσίου καὶ ἀοιδίμου μνήμης *Θεσσαλονίκης ἀρχιεπίσκοπος Συμεών*. Σύνοψιν τῆς τε Γραφῆς, καὶ τῶν Πατέρων, ἄριστα καὶ ἀσφαλέστατα ποιησάμενος, διὰ τὸ εὐμάθητον τῶν ἀγραμμάτων, καὶ διὰ τὸ εὐκατάληπτον τῶν σπουδαίων, καὶ διὰ τὸ εὐμνημόνευτον τῶν σοφῶν. Τὴν γὰρ ἀκτῖνα τῆς θεαρχικωτάτης αἴγλης, πληρέστατα εἰσδεξάμενος, ἥλιος πνευματικὸς τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ χρηματίζει, καταφωτίζων καὶ σοφοὺς καὶ ἰδιώτας ταῖς ἀκτῖσι τῆς διδασκαλίας αὐτοῦ. Καὶ ὡς ἐν χρυσίῳ μάλιστα ἡ βασιλικὴ εἰκὼν, οὕτω τῇ καθαρότητι τῆς μακαρίας αὐτοῦ ψυχῆς εἰκὼν ὁρᾶται τοῦ Θεοῦ τετυπωμένη. Διὸ καὶ θεοφόροις Πατράσιν ἐν τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων συναγάλλεται, τῷ πανταιτίῳ τῶν τοιούτων σαλπίγγων Χριστῷ παριστάμενος (1). Ἦν δ' ἕως ἄρτι ὡς κῆπος κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη τοῖς πολλοῖς ἀγνοούμενος. Ἀλλ' ὁ πάντ' ἄριστος, ὁ ἐκλαμπρότατος καὶ εὐσεβέστατος αὐθέντης καὶ ἡγεμὼν πάσης Μολδοβλαχίας καὶ Οὐκραίνας κύριος *Ἰωάννης Δοῦκας βοεβόδας*. Καὶ ἤδη ὑπὲρ Χριστοῦ πρεσβεύσασιν ὡς τοῦ Θεοῦ παρακαλέσαντος δι' ἡμῶν ἐνδιδοὺς οἷα φιλόχριστος τῇ παρακλήσει, ἤγαγε τοῦτον εἰς φῶς, ἰδίοις ὁρίσας τυπωθῆναι ἀναλώμασι, καὶ ὡς δῶρον πολύτιμον τῇ μητρὶ αὐτοῦ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ χαρισθῆναι. Ἐντυγχάνοντες οὖν τῇ βίβλῳ (ᾗ προστίθεται καὶ ἡ τοῦ σοφωτάτου Μάρκου μητροπολίτου Ἐφέσου συνοπτικὴ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἐξήγησις) εἴσεσθε τὸ ταύτης ὠφέλιμον καὶ ἀναγκαῖον. Ὅθεν δόξαν μὲν δότε τῷ Θεῷ, τῷ παρέχοντι ἀεὶ διάφορα χαρίσματα τῷ ἔθνει τῷ ἁγίῳ τῷ ὀρθοδόξῳ λαῷ. Ὑπὲρ δὲ τῆς σωτηρίας καὶ εἰρηνικῆς καταστάσεως τοῦ ἐκλαμπροτάτου αὐθεντὸς καὶ εὐεργέτου εὔχεσθε. Σπουδάζετε δὲ, μὴ ἐν κτήσει μόνῃ, ἀλλὰ πολλῷ μᾶλλον ἐν χρήσει ἔχειν τὴν βίβλον, ἵν' ἐνεργοῦντες κατ' αὐτὴν τύχοιτε τῆς θείας μακαριότητος ἐν αὐτῷ τῷ ἐν Τριάδι Θεῷ, ᾧ πρέπει δόξα ἀΐδιος ἐπ' ἀϊδίους αἰῶνας. Ἀμήν.

(1) *Beatæ et celebratissimæ memoriæ archiepiscopus Thessalonicensis Simeon, qui compendium Scripturæ sacræ et Patrum quam optime et solidissime composuit, ut et inerudili facile discere, et comprehendere studiosi, et docti tenere memoria valeant. Divini enim splendoris radio plenissime imbutus, solis instar spiritualis est Ecclesiæ Dei, qui radiis doctrinæ suæ doctos pariter indoctosque illuminat. Ac sicut in auro maxime regia effigies, sic in beati illius animi puritate, Dei expressa imago cernitur. Quare etiam cum divinis Patribus in Ecclesia primogenitorum beatus et Christo qui sanctarum hujuscemodi tubarum auctor est, præsens et assistens exsultat.*

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΣΥΜΕΩΝ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΔΙΑΛΟΓΟΣ

ΕΝ ΧΡΙΣΤΩ

ΚΑΤΑ ΠΑΣΩΝ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

Καὶ περὶ τῆς μόνης πίστεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,
Τῶν Ἱερῶν τελετῶν τε καὶ μυστηρίων πάντων τῆς Ἐκκλησίας,
Οὐδὲν αὐτοῦ ἴδιον κεκτημένος,
Ἀλλ' ἐκ τῶν ἁγίων Γραφῶν, καὶ τῶν Πατέρων ἐρανισθεὶς αὐτῷ καὶ συντεθεὶς κατὰ δύναμιν,
Ἀπολογίας διδοὺς ἑκάστῳ τῶν κατὰ καιροὺς ἠρωτηκότων.

—

BEATISSIMI SYMEONIS

ARCHIEPISCOPI THESSALONICENSIS

DIALOGUS

IN CHRISTO

ADVERSUS OMNES HÆRESES

Et de sola fide Domini et Dei et Salvatoris nostri Jesu Christi,
Necnon de sacris ritibus et singulis Ecclesiæ mysteriis,
Cujus auctor nihil de suo addidit,
Sed omnia e sacris Scripturis et Patribus quæritando collegit et pro viribus composuit
Respondens ad singulos pro tempore interrogantes.

—

1 ΑΡΧΙΕΡΕΥΣ. A

Ἐν Χριστῷ τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ Θεῷ ἡμῶν, τῇ ζώσῃ σοφίᾳ, τῷ χορηγοῦντι Λόγῳ λόγον ἐν ἀνοίξει τοῦ στόματος, ὑμῖν, ἀδελφοί, πειθόμενος ὡς ἡ ἐντολή, κατὰ δύναμιν πρὸς τὸ λέγειν ἥκω, περὶ ὧν ἡμᾶς ἠρωτήσατε. Διὸ καὶ τοὺς παρ' ὑμῶν λόγους εἰς ἡμᾶς, καὶ τοὺς ἀφ' ἡμῶν πρὸς ὑμᾶς ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει ποιήσομαι, καὶ ἐν σχήματι διαλόγου. Καὶ τὸν μὲν ἐξάρχοντα τοῦ παρ' ὑμῶν λόγου, ὡς καὶ ἠρωτηκότα πρότερον, καὶ τῶν ἀπολογιῶν ἡμῖν αἴτιον δεδειγμένον, προθήσομεν ἐρωτῶντα, ἡμᾶς δὲ μετὰ τοῦτο πρὸς τὰς παρ' ὑμῶν πεύσεις τὰς ἀποκρίσεις ἐν Χριστῷ ποιουμένους. Οὕτω καὶ γὰρ εὐληπτότερος

PONTIFEX.

In Christo unigenito Dei Patrisque Filio et Deo nostro qui est sapientia vivens, et Verbum quod sermonem suppeditat in apertione oris, vobis, fratres, suasus, sicut jussum est, quantum potero locuturus adsum, de quibus nos interrogaveritis. Ideo vestros ad nos, nostrosque ad vos sermones sub interrogationis et responsionis forma faciam et sub specie sermocinationis. Primum quidem eum qui dicenda a vobis suscepit, utpote qui jam nos prius percontatus est, et responsi causam nobis præbuit interrogantem præmittam, nos vero deinde vestris a nobis quæsitis responsa in Christo facientes. Ita fortasse sermo vobis et cæteris fratribus intellectu

facilior erit et utilior, et ab eo quid commodi, Deo volente, forsitan percipietis.

CLERICUS.

Sicut jam prius, Domine sancte, de spiritualibus divinisque rebus te, ut nostrum in Spiritu Patrem interrogavimus, ita et nunc ad hunc finem confidenter accedimus. Quia ergo in charitate Christi sermones nostros animo paterno accipis, ecce nunc quoque fiducialiter in Christo interrogamus. Nos quidem Christiani recte credimus in Deum Patrem et Filium et Spiritum sanctum; sanctam Trinitatem prædicamus secundum Scripturas in una essentia et deitate, necnon Christi, unius Trinitatis personæ, Dei Verbi, ex Virgine in Spiritu sancto incarnationem, et veritatem ex animo confitemur; sed cum multæ sint opiniones tam veteres quam recentes, quæ veræ huic fidei nostræ adversentur, quomodo vel infideles persuadebimus vel infirmiores confirmabimus vel singula interrogantium dubia solvemus, cum jam ut reddamus rationem de ea quæ est in nobis spe edocti fuerimus?

Pontifex. Veritatis prædicatio, frater, et pietatis confessio, ante omnia nobis est necessaria, eamque coram omnibus confiteri necesse est, hoc est enim omnis credentis fundamentum. Propter confessionem beatus dicitur Petrus, Deique regni janitor constituitur; Paulus vero sperat coronam vitæ accipere, quoniam servavit et prædicavit fidem; et totus sanctorum chorus, quia ita fecit et cursum bene consummavit glorificatur. Necesse est etiam proximum pro posse ædificare, sed nequaquam necessarium est omnem hominem persuadere, cum omnes persuadere minime sit possibile; attamen, si quiveris, dicenda tibi erunt omnia quæ poteris, si quidem sermo ad ædificationem spectat. Quod si ædificaveris, multus erit quæstus tibi et ei quem lucratus fueris; si vero non ædificaveris, nihil hujus gratia Deo debebis: quod tuum est fecisti. Rursum tibi cavendum est ne quid supra vires dicas, ne forte, dum conaris jacentem erigere, cum eo concidas; nam secundum divinissimum Paulum, omnium confessione magnum est pietatis mysterium, et oportet cum prudentia et quam maxima circumspectione sermocinantem de ea colloqui, ipsum autem probatum esse et doctoris gratiam accepisse; ne quis de his quæ nescit contendens, in laqueos blasphemiæ, aut in retia dubitationis, aut in dogmata impietatis ex sermonibus irreligiosis decidat. Nam scimus multos infirmos propterea corruisse.

Clericus. Utrum tutius est disserere ex naturalibus cogitationibus an e scriptis testimoniis?

Pontifex. E scriptis testimoniis; ita enim ait Dominus: « Scrutamini Scripturas, quia vos putatis in ipsis vitam æternam haberi; et illæ sunt quæ testimonium perhibent de me. » Poteris etiam præterea ex communibus cogitationibus et exem-

A τε ὑμῖν καὶ τοῖς ἄλλοις ἀδελφοῖς ὁ λόγος ἂν εἴη καὶ λυσιτελέστερος, ἐκ τούτου τε ἴσως βουλομένου Θεοῦ, καί τι ἐπωφελὲς προσγενήσεται.

ΚΛΗΡΙΚΟΣ.

Ἡμεῖς θαῤῥούντως, ἅγιε Δέσποτα, περὶ ὧν ἐζητήσαμεν πνευματικῶν τε καὶ θείων, τὰς ἐρωτήσεις ἐποιησάμεθα ὡς πρὸς πατέρα ἡμῶν ἐν Πνεύματι, καὶ πρὸς τοῦτο νῦν ὡς καὶ ἄλλοτε ἥκομεν. Ἐπεὶ οὖν ἐν ἀγάπῃ Χριστοῦ τοὺς λόγους ἡμῶν δέχῃ πατρικῶς, ἐν Χριστῷ προθύμως καὶ αὐτοὶ τὰς ἐρωτήσεις ἰδοὺ ποιούμεθα. Ἡμῶν μὲν εἰς Θεὸν πιστευόντων ὀρθῶς τῶν χριστιανῶν, καὶ Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα κατὰ τὰς Γραφὰς κηρυσσόντων ἐν μιᾷ οὐσίᾳ τε καὶ θεότητι, τοῦ ἑνός τε τῆς Τριάδος Χριστοῦ τοῦ Θεοῦ Λόγου, τὴν ἐκ B Παρθένου ἐν ἁγίῳ Πνεύματι σάρκωσιν, καὶ τὴν ἀλήθειαν ἐκ ψυχῆς ἀνομολογούντων· δοξῶν δὲ οὐσῶν πολλῶν παλαιῶν τε καὶ νέων, ἐναντίων καθάπαξ τῇ ἀληθινῇ ταύτῃ ἡμῶν πίστει, πῶς ἢ πείσωμεν τοὺς ἀπίστους, ἢ ἀσφαλισώμεθα τοὺς ἀσθενεστέρους, ἢ θεραπεύσωμεν τοὺς διερωτῶντας, ἐπεὶ καὶ διδόναι λόγον ἐδιδάχθημεν περὶ τῆς ἐν ἡμῖν ἐλπίδος;

Ἀρχιερεύς. Ἡ τῆς ἀληθείας ἀνακήρυξις, ἀδελφὲ, καὶ τῆς εὐσεβείας ὁμολογία, ἀναγκαία πρὸ παντὸς ἡμῖν, καὶ ταύτην ὁμολογεῖν ἐνώπιον ἁπάντων χρεών. Τοῦτο καὶ γὰρ πιστοῦ παντὸς ὁ θεμέλιος· δι' ἣν ὁμολογίαν μακαρίζεται μὲν Πέτρος, Θεοῦ τε βασιλείας κλειδοῦχος καθίσταται, Παῦλος δὲ τὸν στέφανον ἐλπίζει λαβεῖν τῆς ζωῆς, τηρήσας καὶ κηρύ- C ξας τὴν πίστιν. Καὶ πᾶς δὲ ὁ τῶν ἁγίων χορὸς, οὕτω ποιήσας, καὶ καλῶς τελέσας τὸν δρόμον, δεδόξασται. Χρεὼν δὲ καὶ τὸν πλησίον οἰκοδομεῖν ὡς δύναμις, οὐκ ἀνάγκη δὲ πάντα ἄνθρωπον πείθειν, ἐπεὶ μηδὲ πάντας πεῖσαι δυνατόν. Ὅμως λεκτέον εἰ δύναμίς σοι τὰ κατὰ δύναμιν, εἰ πρὸς οἰκοδομὴν ὁ λόγος ὁρᾷ· καὶ εἰ μὲν οἰκοδομήσεις, πολὺ σοί τε καὶ τῷ ὠφελημένῳ παρὰ σοῦ τὸ ὄφελος· εἰ δ' οὖν, οὐκ ὀφείλεις τι τῷ Θεῷ τούτου χάριν· τὸ σαυτοῦ γὰρ τετέλεκας. Πάλιν δὲ καὶ τοῦτό σοι φυλακτέον· μὴ παρὰ τὴν δύναμιν λέγε, μήποτ' ἐπιχειρῶν τὸν κείμενον ἀνιστᾷν, συγκαταπέσῃς αὐτῷ. Κατὰ γὰρ τὸν θειότατον Παῦλον, μέγα ὁμολογουμένως ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· καὶ χρὴ μετ' εὐλαβείας καὶ D προσοχῆς ὅτι πλείστης τὸν διαλεγόμενον περὶ αὐτῆς διαλέγεσθαι· τοῦτον δὲ δεδοκιμασμένον εἶναι, καὶ διδασκαλικοῦ τετυχηκότα χαρίσματος· ἵνα μή τις περὶ ὧν οὐκ οἶδεν ἐρίζων, ἢ τοῖς τῆς βλασφημίας δικτύοις, ἢ πάγαις διχονοίας, ἢ δόγμασι δυσσεβείας ἐκ τῶν τῆς ἀσεβείας περιπέσῃ ῥημάτων. Οἴδαμεν γὰρ ἐκ τούτου παραβλαβέντας τῶν ἀστηρίκτων πολλούς.

Κληρικός. Καὶ πόθεν ἀσφαλέστερον διαλέγεσθαι, ἐκ φυσικῶν ἐννοιῶν, ἢ γραφικῶν μαρτυριῶν;

Ἀρχιερεύς. Ἀπὸ τῶν ἁγίων Γραφῶν. Οὕτω γάρ φησι καὶ ὁ Κύριος· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν· καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ. » Ἔστι δ' εἴτε καὶ ἀπὸ κοινῶν ἐννοιῶν καὶ παραδειγμάτων. Πλὴν ἐκεῖνα

λεκτέον, ὅσαπερ ἐν παραδείγμασι τῶν ἁγίων πλεῖστοι εἰρήκασι, καὶ ὅσα οὐ πρὸς ἐναντίωσιν τῶν ἁγίων Γραφῶν ὁρᾷ· καὶ ταῦτα ὡς ἐν παρέργῳ. Οὐ γὰρ ἔξω τῶν θείων Γραφῶν ὅλως δεῖ χωρεῖν, ἢ φρονεῖν.

A plis disserere, qualia plures invenerunt in exemplis sanctorum, quæ Scripturis sacris nequaquam adversantur; hæc autem quasi per consequentiam accedunt, non enim extra divinas Scripturas prorsus oportet procedere vel cogitare.

ΚΕΦΑΛ. Α'.

Κατὰ ἀθέων, καὶ ὅτι ἔστι Θεός.

Κληρικός. Ἐπειδή, πάτερ, διάφοροι, ὡς προείρηκα, δόξαι πολλοῖς τῶν ἐθνικῶν περὶ τοῦ θείου εἰσί, καὶ οἱ μὲν πολλῶν θεῶν ἔσχον πλάνην, οἱ δὲ Θεὸν μὲν ἕνα δῆθεν δοξάζουσιν, οὐ τρισυπόστατον δέ, οὐδὲ γὰρ ὁμολογοῦσι τὸν τοῦ Θεοῦ Λόγον καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οἱ δὲ καὶ μὴ εἶναι Θεὸν ἀσεβεστάτως εἰρήκασι, τίνι τρόπῳ πρὸς τὴν ἀληθῆ πίστιν ἐφελκύσωμεν τούτους;

Ἀρχιερεύς. Πρῶτον μὲν ἐντεύξει τῇ πρὸς Θεόν, ἔπειτα δὲ ταπεινώσει καὶ ἔργοις ἀγάπης πνευματικῆς, ἀμέμπτῳ τε βίῳ μαρτυροῦντι τὴν πίστιν ὡς καὶ οἱ ἀπόστολοι ἐδίδαξάν τε καὶ ἔδειξαν· ἀποστολικὸν γὰρ τοῦτο τὸ ἔργον· καὶ τελευταῖον λόγοις ἀφιλονείκοις τοῖς ἀπὸ τῶν θείων Γραφῶν. Τὸ φιλονεικεῖν γὰρ καὶ διαμάχεσθαι τῆς Ἐκκλησίας ἀλλότριον.

CAPUT I.

Contra atheos, quod est Deus.

Clericus. Quoniam, Pater, sicut prædixi, variæ sunt plurimis ex gentilibus de numine opiniones, et alii quidem plurium deorum errorem sequuntur; alii vero Deum quidem unum credunt, sed non in tribus personis, nec confitentur Dei Verbum et Spiritum sanctum; alii autem Deum non esse impio ausu di- B xerunt, quonam modo eos ad veram fidem attrahemus?

Pontifex. Primum quidem per orationem ad Deum, deinde vero per humilitatem et opera charitatis spiritualis, per vitam irreprehensibilem quæ fidei testimonium perhibet, prout docuerunt et ostenderunt apostoli; nam apostolicum est istud opus; denique autem per verba minime litigiosa, quippe litigare et contendere Ecclesiæ alienum est.

3 ΚΕΦΑΛ. Β'.

Ὅτι ἔστι Θεός, ἀπόδειξις πρώτη ἀπὸ τῶν ἁγίων γραφῶν.

Κληρικός. Καὶ πόθεν τὸν ἄθεον πείσωμεν ὅτι ἔστι Θεός;

Ἀρχιερεύς. Πρῶτον μέν, ὡς εἰρήκαμεν, ἀπὸ τῶν ἁγίων Γραφῶν, τὸν Θεὸν ὁμολογουσῶν διὰ πάντων, μᾶλλον δὲ αἰτίαν ἐχουσῶν τὸν Θεόν, καὶ ποιητὴν τῶν ὅλων αὐτὸν καταγγελουσῶν, καὶ ἀεὶ ὄντα μετὰ τοῦ Λόγου αὐτοῦ καὶ τοῦ Πνεύματος. Καὶ γὰρ ὁ μὲν Μωϋσῆς φησιν· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ εἶπεν ὁ Θεός, Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, » καὶ τὰ λοιπὰ ὁμοίως. Καί, « Ἐγώ εἰμι ὁ ὤν. » Καὶ ἐν τῇ βάτῳ, « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, » τὴν Τριάδα σημαίνων. Καὶ περὶ τοῦ ἀνθρώπου· « Καὶ εἶπεν ὁ Θεός, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· » καὶ ἐν πᾶσι Μωϋσῆς Θεὸν εἶναι διδάσκει, καὶ Λόγον ἔχειν τὸν Θεόν, καὶ ἅγιον Πνεῦμα· καὶ ὅτι διὰ τοῦ Λόγου τὰ πάντα ἐποίησε, καὶ τῷ Πνεύματι αὐτοῦ ἐτελείωσε καὶ ἡγίασε. Καὶ πάντες δὲ οἱ προφῆται μετὰ τοῦ Δαβὶδ τοῦτο ἐδίδαξαν. Αὐτὸς δὲ ὁ Δαβὶδ καὶ ἄφρονα καλεῖ τὸν μὴ ὁμολογοῦντα Θεόν. Καί φησιν· « Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. » Τοῦτο δὲ πόρρω πάσης ἐστὶν ἀσεβείας, καὶ αὐτὸς γὰρ ὁ διάβολος ὁμολογεῖ εἶναι Θεόν, εἰ καὶ ἑαυτὸν ὁ ἀντίθετος καὶ ἀσεβὴς ἀντεισάγει, κλέπτων τὴν θείαν τιμήν. Διὸ καὶ τοὺς ἀθέους ἀπεπλάνησεν Ἕλληνας, τοῖς στοιχείοις καὶ δαιμονίοις ἀπατηθέντας, καὶ θεοὺς τὰ κτίσματα ὀνομάσαντας. Πάντη οὖν ἄλογος καὶ ἀθεώτατος καὶ ἀφρονέστατος καὶ χείρων τῶν δαιμονίων ὁ μὴ λέγων εἶναι Θεόν, καὶ ἐκ τούτου μὲν πρῶτον ἐλεγχθήσεται.

CAPUT II.

Deum esse, demonstratio prima ex sacris litteris.

Clericus. Quibus argumentis atheum ut credat C esse Deum persuadebimus?

Pontifex. Primum quidem, ut diximus, e sacris Scripturis quæ Deum in omnibus confitentur, vel potius auctorem habent Deum, eumque omnium factorem prædicant qui est semper cum Verbo ejus et Spiritu. Moyses enim dixit: «In principio creavit Deus cœlum et terram.» Et dixit Deus: Fiat lux, et facta est lux, » et cætera similiter. Et: « Ego sum qui sum; » et in rubo: « Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob, » Trinitatem significans. Insuper de homine: « Et dixit Deus: Faciamus hominem ad imaginem et similitudinem nostram. » Et ubique Moyses docet Deum esse, Deumque Verbum habere et Spiritum sanctum, necnon eum- D dem per Verbum omnia fecisse, suoque Spiritu consecrasse et sanctificasse. Omnes vero prophetæ post David istud docuerunt, et David ipse insanum vocat eum qui Deum non confitetur; et ait: « Dixit insanus in corde suo: Non est Deus. » Hoc autem omnem impietatem superat. Imo ipse diabolus confitetur Deum esse, licet semetipsum adversarius et impius opponat divinam surripiendo gloriam. Ideo atheos errare fecit Græcos elementis rerum et dæmoniis delusos deosque vocantes creaturas. Omnino igitur amens et maxime atheus, et stultissimus dæmoniisque pejor qui negat Deum esse. Qui ex dictis jam primum convincitur.

CAPUT III.

Deum esse, demonstratio secunda petita ab ipso homine, qui de Deo notionem habet, loquitur et inquirit.

Deinde eruitur argumentum ex ipsa hominis mente quæ de Deo indagat, quippe de Deo indagare et meditari edocet Deum esse illius mentis auctorem, et ipsum esse mentem æternam. Mens autem nostra de Deo Verbo disserens ipsum Deum, mentem æternam demonstrat Verbum habere. Et cum vivat is qui de Deo meditatur et loquitur, vitam quoque in Deo esse testatur Spiritum sanctum. Unde constat mentem istam hominem creavisse; nam omne quod factum est auctorem suum inquirit. Quoniam vero mens hominis intelligens est et acer et expedita, necnon prævidens et contemplativa, rursus eadem divinam testatur mentem, et quantum fieri potest eam effingit; nam si homo tanta fert in sua mente, magna ergo est mens, et sine principio, et in æternum vivens ad quam omnes eriguntur mentes, quam inquirunt, quæ est omnis intelligentiæ pax et requies. Et hæc est mens æterna Verbum seu rationem habens viventem, ad quam elevatur omnis ratio; nam mens non est sine verbo, ita ut mens æterna Deus Pater et Verbum habeat, per quod solum Verbum spiritualia omnia sunt ratione prædita, tam angeli quam animæ, sapientiaque et doctrina replentur, et mens ista sola et prima et vivens et semper existens vitam in semetipsa atque ex semetipsa procedentem habeat et ferat, Spiritum sanctum per quem spiritualia omnia spirituali vita vivant, et spiritus sint ex Spiritu, et sanctificationem ex sancto participent, necnon fortitudinem et motum accipiant ex illo omnipotente qui omnibus potentiam largitur, ideò et ipse qui Deum abjicit et cogitat et vivit et Verbum habet in semetipso. Deum ergo testatur homo in semetipso, quapropter scriptum est hominem ad imaginem Dei fuisse creatum.

CAPUT IV.

Deum esse, demonstratio tertia ab ipsa creatura: et productione ejus, bona ordinatione, providentia et dispensatione.

Ipsa etiam creatio artificem testatur, et fas est ex visibilibus visibilia conspicere. Quod ait Paulus scribens: « Invisibilia ipsius a creatura mundi per ea quæ facta sunt intellecta conspiciuntur: sempiterna quoque ejus virtus et divinitas. » Quis enim sursum posuit cœlum? quis in medio terram? quis illud quidem sine quiete movet, tamque pulchrò ordine, huic vero potestatem dedit plantas secundum tempora producendi? Unde soli splendor et virtus? Quanam manu gubernatus motu fertur orbico, et cursu opposito rursum volvitur? Unde lunæ perennes et diversæ viæ? Num ex casu ignis quidem sursum fertur et lucet et splendet; aqua autem deorsum tendit et motu facili distenditur; aer vero undequaque movetur, et flatus emittit? Unde elementa omnia contrarie et consentanee habentur, et ita mundus

A

ΚΕΦΑΛ. Γ'.

Ὅτι ἐστὶ Θεὸς, ἀπόδειξις δευτέρα ἀπ' αὐτοῦ τοῦ ἀνθρώπου νοοῦντος καὶ λέγοντος καὶ ζητοῦντος περὶ Θεοῦ.

Ἔπειτα δὲ καὶ ἀπ' αὐτοῦ τοῦ ἀνθρωπίνου νοὸς, ζητοῦντος περὶ Θεοῦ· τὸ ζητεῖν γὰρ περὶ Θεοῦ καὶ θεωρεῖν, ὅτι Θεός ἐστιν ἐκδιδάσκει αἴτιος τούτου τοῦ νοὸς, καὶ οὗτος ἄναρχος νοῦς. Καὶ ὁ νοῦς δὲ ὁ ἡμέτερος λόγῳ ἐρευνῶν περὶ Θεοῦ, τὸν ἄναρχον νοῦν τὸν Θεὸν, καὶ Λόγον ἔχειν διδάσκει. Καὶ ζῶν δὲ ὢν ὁ περὶ Θεοῦ διανοούμενος καὶ λαλῶν, καὶ ζωὴν ἐν τῷ Θεῷ εἶναι μαρτυρεῖ, τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ὅτι δημιουργὸς οὗτος ὁ νοῦς τοῦ ἀνθρώπου. Πᾶν γὰρ γεγονὸς ζητεῖ τούτου τὸν αἴτιον. Ἐπεὶ δὲ καὶ νοερὸς καὶ διαβατικὸς ὁ νοῦς τοῦ ἀνθρώπου, καὶ

B

ταχὺς, προνοητικός τε καὶ θεωρητικὸς τῶν ὄντων ἐστὶ, μαρτυρεῖ τὸν θεῖον νοῦν πάλιν αὐτὸς, καὶ ὡς δυνατὸν, αὐτὸν ἐξεικονίζει. Εἰ γὰρ ἄνθρωπος τοιαῦτα φέρει ἐν τῷ ἑαυτοῦ νοΐ, ἄρα καὶ μέγας ἐστὶ νοῦς, καὶ ἄναρχος, καὶ ἀεὶ ὢν, πρὸς ὃν ἀνάγονται πάντες νόες, καὶ ὃν ζητοῦσι, καὶ ὅς μόνος παντὸς νοεροῦ ἐστι καὶ κατάπαυσις καὶ ἀνάπαυσις. Καὶ οὗτος ὁ ἄναρχος νοῦς, λόγον ἔχει ζῶντα, πρὸς ὃν ἀναφέρεται λόγος ἅπας. Οὐδὲ γάρ ἐστι νοῦς δίχα λόγου· ὥστε ὁ ἄναρχος νοῦς ὁ Θεὸς καὶ Πατὴρ καὶ Λόγον ἔχει· δι' ὃν Λόγον τὸν μόνον, καὶ τὰ νοερὰ πάντα εἰσὶ λογικὰ, οἱ ἄγγελοί τε καὶ αἱ ψυχαὶ, καὶ σοφίας πεπληρωμένα καὶ γνώσεως· καὶ οὗτος ὁ νοῦς καὶ μόνος καὶ πρῶτος καὶ ζῶν, καὶ ἀεὶ ὢν, καὶ ζωὴν

C

ἐν ἑαυτῷ καὶ ἐξ ἑαυτοῦ προϊοῦσαν ἔχει καὶ φέρει, τὸ Πνεῦμα τὸ ἅγιον, δι' οὗ καὶ τὰ νοερὰ πάντα νοερῶς ζῶσιν ἐκ ζωῆς, καὶ πνεύματά εἰσιν ἐκ τοῦ Πνεύματος, καὶ ἁγιασμοῦ μετέχει ἐκ τοῦ ἁγίου, καὶ δυνάμεως δὲ καὶ κινήσεως ἐκ τοῦ παντοδυνάμου καὶ πᾶσι διδόντος δύναμιν. Διὸ καὶ αὐτὸς ὁ τὸν Θεὸν ἀθετῶν καὶ νοεῖ καὶ ζῇ, καὶ λόγον ἔχει ἐν ἑαυτῷ. Τὸν Θεὸν ἄρα μαρτυρεῖ ἄνθρωπος ἐν ἑαυτῷ. Ἐπεὶ καὶ κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπος γέγραπται.

ΚΕΦΑΛ. Δ'.

Ὅτι ἐστὶ Θεὸς, ἀπόδειξις τρίτη ἀπ' αὐτῆς τῆς κτίσεως, τῆς τε παραγωγῆς, καὶ εὐταξίας, καὶ προνοίας, καὶ διοικήσεως αὐτῆς.

Καὶ αὐτὴ δὲ καὶ κτίσις τὸν δημιουργὸν μαρτυ-

D

ρεῖ· καὶ ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔστι κατιδεῖν. Καὶ τοῦτό φησιν ὁ Παῦλος, γράφων· « Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Τίς ἔθηκε γὰρ ἄνω τὸν οὐρανόν; Τίς ἐν τῷ μέσῳ τὴν γῆν; Τίς ἐκεῖνον μὲν ἀπαύστως κινεῖ, καὶ οὕτως εὐτάκτως, ταύτῃ δὲ κατὰ καιροὺς ἁρμοδίως βλαστάνειν δύναμιν δέδωκε; Πόθεν δὲ τῷ ἡλίῳ ἡ λάμψις καὶ δύναμις; Παρὰ τίνος δὲ καὶ συνεχόμενος, φέρεται κυκλοφορικῶς, καὶ τὴν ἐναντίαν αὖθις βαδίζει; Πόθεν δὲ τῇ σελήνῃ αἱ συνεχεῖς τοῦ φέγγους καὶ τῆς κινήσεως μεταβολαὶ, τῶν τε ἄλλων ἀστέρων αἱ ποικίλαι ὁδοὶ καὶ διάφοροι; Ἢ κατὰ τύχην τῷ πυρὶ μὲν τὸ ἄνω τρέχειν καὶ φωτίζειν καὶ φλέγειν, τῷ ὕδατι δὲ τὸ κάτω φέρεσθαι,

καὶ εὐκινήτως ἐχχεῖσθαι, καὶ τῷ ἀέρι μὲν τὸ πανταχόθεν κινεῖσθαι καὶ ἀναπνοὰς ἐνεργεῖν, καὶ πᾶσι δὲ στοιχείοις ἐναντίως τε καὶ συμφώνως ἔχειν, καὶ οὕτω τόνδε τὸν κόσμον συνιστᾷν; Τί δαί; Εἰκαίως ἄρα καὶ τὰ μυρία τῶν ζώων γένη, καὶ αἱ φύσεις αὐτῶν εἰσιν; ἢ αὐτομάτως ταῦτα καὶ χωρίς τινος γέγονε; Καὶ πῶς οὐκ ἄλλαι φύσεις κατὰ καιρὸν αὐτομάτως, ἀλλὰ τὰ αὐτὰ πάντοτε ζώοις τε καὶ φυτοῖς, καὶ ἐκ τῶν αὐτῶν ὅμοια; Εἰ οὖν κατὰ διαδοχὴν, πόθεν τὰ πρῶτα καὶ ἐξαρχῆς; Παρ' οὐδενὸς ἄρά εἰσι; Τοῦτο ἀσεβὲς εἴ τις εἴποι. Ἀλλ' ἔστιν αἴτιος ὁ κτίστης ὁ Θεὸς καὶ τῶν πρώτων ἐκείνων, ἐκ μὴ ὄντων ταῦτα πεποιηκὼς, καὶ τῶν ἐφεξῆς ἐξ αὐτῶν, δύναμιν διδοὺς ἅπασι καὶ τοῦ μένειν ταῦτα καὶ τίκτειν καὶ τίκτεσθαι, καὶ φύειν καὶ φύεσθαι, καὶ οἰκονομεῖσθαι καλῶς τὰ διοικούμενά τε καὶ συνεχόμενα εἰς σύστασιν ἑαυτῶν, ἀλλὰ καὶ τοῖς νοεροῖς τὸ νοεῖν αὐτὸς δίδωσι, καὶ τοῖς ζῶσι τὸ ζῆν, καὶ τοῖς σοφιζομένοις τὴν σοφίαν, καὶ τοῖς ποθοῦσι τὴν ἔφεσιν, ἥτις δὴ καὶ ἐσπαρμένη ἐν ὅλοις τυγχάνει τοῖς κτίσμασιν. Ἡ ἀνθρωπίνη δὲ φύσις αὐτομάτως ἄρά ἐστι; καὶ ἀλόγως οὕτω ταπεινή τε καὶ ὑψηλὴ, χοϊκὴ καὶ ἀσώματος προνοητική τε καὶ σοφὴ, θνητὴ καὶ ἀθάνατος. Ἆρ' οὖν παρ' ἑαυτῶν ταῦτα πᾶσι. Καὶ ἡ διακόσμησις δὲ τοῦ παντὸς παρ' οὐδενὸς συνέστη ἢ τέτακται; καὶ οὐ παρά τινος διακυβερνᾶται; Καὶ τίς ἄρα νοῦν ἔχων οὕτως ἄθλιος καὶ ἀσύνετος, ὥστε χωρὶς Θεοῦ εἶναι ταῦτα καὶ διοικεῖσθαι νοεῖν; Πόθεν δὲ οἱ καιροί; πόθεν οἱ καρποί; πόθεν αἱ προνοητικαὶ περὶ τὴν σύστασιν τοῦ παντὸς εὐταξίαι τε καὶ κινήσεις; Οὐ πάντα τὴν τοῦ τὰ πάντα πεποιηκότος φανεροῦσι δύναμίν τε καὶ πρόνοιαν; Ἐκ τούτων καὶ τῶν ὁμοίων καὶ Ἀβραὰμ ἐπέγνω τὸν τῶν ὅλων δημιουργὸν, καὶ τοῖς ἁγίοις δὲ πᾶσιν ἡ περὶ Θεοῦ γέγονε γνῶσις. Καὶ ἐκ τούτων, οἶμαι, καὶ τῶν ὁμοίων πᾶς ἀσυνέτως ἔχων καὶ ἀθετῶν τὸν Θεὸν τὸν ποιητὴν μὲν ἐπιγνώσεται, καὶ τὸν κοινὸν ὁμολογήσει δεσπότην. Καταισχυνεῖ δὲ αὐτὸν καὶ ἡ τῶν πλειόνων περὶ τοῦ εἶναι Θεὸν γνῶσις, ὡς ἔφημεν, καὶ τῶν πολυθέων αὐτῶν.

A constat? Quid ergo? Num fortuito sunt sexcenta animalium genera eorumque naturæ? num sponte sua et sine alterius auxilio facta sunt? Et quare aliæ naturæ nequaquam sponte in suo tempore nascuntur, sed omnes ab animalibus vel plantis quibus assimilatæ sunt, oriuntur? Igitur si ex semine transmisso prodeunt, unde egressa sunt prima genera, unde principia? Num ex nullo sunt? Istud impium nemo est qui dicere audeat. Sed auctor Deus fecit primas illas species, qui eas e nihilo eduxit, et posteriores ex primis, dans omnibus virtutem qua maneant, et generent et generentur, et producant et producantur, et omnia bene ordinata et distincta atque contenta sibimetipsis constent; sed et mentibus dat intelligentiam et viventibus vitam et sapientibus sapientiam et desiderantibus proclivitatem quæ in omnibus creaturis diffusa reperitur. Num sponte prodiit humana natura? Num sine ratione est ita humilis et sublimis, terrena et incorporea, provida et sapiens, mortalis simul et immortalis? Numquid ergo hæc omnia ex se ipsis facta sunt? Nonne mundi totius ordinatio ab aliquo stat et componitur? Nonne ab aliquo gubernatur? Quis ergo mentem habens ita nequam et insanus sit ut sine Deo ista esse et gubernari censeat? Unde tempora? unde fructus? unde sapientes de statu mundi dispositiones et motus? Nonne omnia ejus qui fecit omnia potestatem et providentiam manifestant? Ex his et similibus Abraham agnovit universorum opificem, et sancti omnes qui scientiam Dei acceperunt. Similiter ex his, puto, et similibus omnis insanus Deumque abjiciens creatorem cognoscet, et communem dominum confitebitur. Hunc etiam confundit plerorumque, ut diximus, scientia de exsistentia Dei, ipsorum etiam ethnicorum.

Κληρικός. Ἱκανὰ ταῦτα, δέσποτα, κατὰ τῶν ἀθέως ἐχόντων, καὶ οὐδεὶς ἂν, ὥς γε νομίζω, ἀντερεῖ, εἰ μή που καὶ χείρων δαιμόνων ἔσται. Αὐτοὶ γὰρ καὶ ἄκοντες ὡμολόγουν τὸν τοῦ ζῶντος Θεοῦ Υἱόν. Τίνα δὲ πάλιν ἐροῦμεν πρὸς τοὺς τὴν πολυθεΐαν νοσήσαντας, καὶ τοὺς περὶ ἀστρολογίαν τε καὶ γένεσιν, καὶ εἱμαρμένην, καὶ τύχην πλανωμένους;

Clericus. Sufficiunt ista, domine, contra eos qui Deum non cognoscunt, et nullus est, puto, qui contradicat, nisi jam pejor sit dæmonibus, nam et ipsi invite confitentur Filium Dei vivi. Quænam autem rursum dicemus adversus eos qui gentilitate laborant, et qui circa astrologiam et rerum originem, vel etiam circa fatum et fortunam, erraverunt?

5 ΚΕΦΑΛ. Ε'.

Κατὰ τῶν πολυθέων Ἑλλήνων.

Ἀρχιερεύς. Πρόδηλος αὐτῶν καὶ εὐέλεγκτος ἡ ἀπάτη, ἣ καὶ λαμπρῶς ἰσχύϊ Χριστοῦ καταβέβληται, καὶ οὐδεὶς νῦν ὁ διαμαχόμενος περὶ ταύτης. Δι' ἁλιέων γὰρ τὴν Ἑλλήνων μωρὰν σοφίαν καθεῖλεν ὁ ὑπὲρ ἡμῶν σταυρωθεὶς, αὐτὸς σοφία ὑπάρχων τοῦ Πατρὸς ἡ ζῶσα καὶ ἐνυπόστατος. Ὅμως ἐξ ὧν καὶ ὁ Παῦλος γράφει, καὶ ἀπὸ τῆς κτίσεως αὐτῆς καταμαθεῖν ἔξεστιν, ὡς εἷς ἐστιν ὁ ἐν Τριάδι μόνος Θεὸς, καὶ οὐδεὶς ἄλλος, πλὴν αὐτοῦ. Εἰ γὰρ, ὡς Ἕλληνές φασι, πολλοί εἰσι καὶ διάφοροι, διάφορος ἄρα αὐτῶν ἥ τε δύναμις καὶ ἐνέργεια·

CAPUT V.

Contra ethnicos multorum deorum cultores.

Pontifex. Manifestus et confutatu facilis error eorum, vel etiam præclare virtute Christi dejectus est, et nemo est qui hodie pro illo dimicare satagat; etenim per piscatores Græcorum stultam sapientiam evertit qui pro nobis crucifixus est, cum sit vivens et substantialis Patris sapientia. Pariter, prout scribit Paulus, a creatione fas est ediscere unum esse tantum in Trinitate Deum, nec ullum esse alium præter eum. Si enim, quemadmodum dixerunt Græci, multi sunt et diversi, diversa ergo eorum potestas et virtus, nec jam poterunt universum

gubernare; cum sint in modum multitudinis, seditiosi erunt, et potestate contrarii, et non dii. Quippe verus Deus est omnium Dominus, universorum opifex, capaxque omnia gubernandi. Sed si multi sunt et diversi, erunt et finiti; et si finiti, infirmi; et proinde nequaquam omnipotentes. Ex eo quod diversas habeant potestates, ostenditur eos non esse omnipotentes, et propterea sibi invicem contrarios; ideoque sibi mutuo adversantes. Insuper si, ut dixerunt, masculi sunt et feminæ, et secundum genus distincti erunt, et corpora habent (corpus enim implicat sexus diversitas), et passionibus obnoxii, necnon omnibus quæ ex hoc fluunt: corruptioni et immunditiæ et pollutioni; nam ad genus suum quisque movebitur. Et si initia habuerunt, erunt primi et posteri, et alii qui post istos, ut effutiunt Græci, inceperunt esse. At quomodo hi sunt principes? quomodo mundi rectores? Et si cœlum est sine principio, ut inepte garriunt Græci, quomodo quidam cœlum regunt, cœlumque habitant, qui post cœlum facti sunt? Ex his et similibus ridendi sunt dicentes, plures esse deos. Si vero creaturas in numero deorum habuérunt Græci, multo magis adhuc erunt perridiculi; nam ipsæ sua potestate et virtute testantur se esse servas, et exiguas et infirmas, et aliunde vim et motum accepere; imo, quoniam virtus earum et motus nobis hominibus cognoscuntur; nam cœli siderumque motum sciunt homines; ideo nec cœlum, nec astra nec quidquam eorum quæ videntur, Deus est, sunt autem Dei universorum creaturæ; ab eo enim et potentiam et exsistentiam acceperunt. Neque etiam spirituales virtutes dii sunt, sed spirituales Dei creaturæ, quarum aliæ quidem Deum videntes atque laudantes, Dei sunt ministri; aliæ vero pessima voluntate ab eo recesserunt et vocantur dæmonia, quæ errorem Græcis imposuerunt.

A καὶ οὐ δυνατοὶ ἔσονται τὸ πᾶν συνέχειν· καὶ ὅτι ὡς πλῆθος ὄντες, καὶ στασιώδεις ἔσονται, καὶ ἐναντίοι τῇ δυνάμει, καὶ οὐ θεοί. Θεὸς γὰρ ἀληθὴς ὁ πάντων δεσπότης, καὶ παντὸς δημιουργὸς, καὶ πάντα διακυβερνᾷν ἐξισχύων. Ἀλλὰ καὶ περιγραπτοὶ, εἰ πολλοί εἰσι καὶ διάφοροι. Καὶ εἰ περιγραπτοὶ, ἀσθενεῖς, καὶ οὐ παντοδύναμοι ἄρα. Καὶ τὸ διαφόρους δὲ δυνάμεις ἔχειν οὐ παντοδυνάμους αὐτοὺς δηλοῖ, καὶ ἐκ τούτου ἐναντίους ἀλλήλοις, καὶ μαχομένους ἄρα. Εἰ δὲ καὶ ἄῤῥενες καὶ θήλειαι, ὥς φασιν, εἰσὶ, καὶ κατὰ τὸ γένος ἠλλοιωμένοι τελοῦσι, καὶ σώματα τυγχάνουσι· σωμάτων γὰρ τὸ θῆλυ καὶ ἄῤῥεν· καὶ ἐμπαθεῖς, καὶ τομὴ, καὶ ῥεῦσις ἐκ τούτου, καὶ φθορὰ περὶ τούτους, καὶ ἀκαθαρσία παρ' αὐτοῖς καὶ μολυσμός. Πρὸς γὰρ τὸ B γένος αὐτοῦ κινούμενος ἔσται ἕκαστος. Εἰ δὲ καὶ ἀρχαὶ παρ' αὐτοῖς καὶ πρῶτοι καὶ ὕστεροι, καὶ μετὰ τούτους ἄλλοι, ὡς Ἕλληνες φληναφοῦσιν, ἀρχὴν ἐσχηκότες εἰσί. Καὶ πῶς ἂν ἄρχοντες οὗτοι; Ἢ πῶς διοικηταὶ τῶν τοῦ κόσμου; Καὶ εἰ οὐρανός ἐστιν ἄναρχος, ὡς Ἕλληνες ληρωδοῦσι, πῶς ἡγοῦνταί τινες τοῦ οὐρανοῦ, καὶ τὸν οὐρανὸν οἰκοῦσιν οἱ μετὰ τὸν οὐρανὸν γεγονότες; Ἐκ τούτων καὶ τῶν ὁμοίων ἔστι μυκτηρίσαι τοὺς πολλοὺς θεοὺς λέγοντας. Εἰ δὲ καὶ τὰ κτίσματα θεοὺς ὑπειλήφασιν Ἕλληνες, καταγελαστότατοι μᾶλλον. Αὐτὰ γὰρ ἑαυτοῖς μαρτυροῦσι ταῖς ἐνεργείαις τε καὶ δυνάμεσιν, ὡς δοῦλα καὶ μερικὰ ταῦτα καὶ ἀσθενῆ τελοῦσι, καὶ ἄλλοθεν ἔχει τὴν δύναμίν τε καὶ κίνησιν· καὶ μᾶλλον ὅτι καὶ ἡ δύναμις τούτων καὶ κίνησις τοῖς ἀνθρώποις C ἡμῖν γνωστή. Καὶ οὐρανοῦ κίνησιν γὰρ καὶ ἀστέρων ἴσασιν ἄνθρωποι. Οὐκ ἄρα οὐρανὸς, ἢ ἀστέρες, ἤ τι τῶν ὁρωμένων εἰσὶ θεοὶ, ἀλλὰ τοῦ Θεοῦ τῶν ὅλων κτίσματα, παρ' αὐτοῦ καὶ τὸ δύνασθαί τε καὶ τὸ εἶναι λαβόντα. Ἀλλ' οὐδὲ νοηταί τινες δυνάμεις εἰσὶ θεοὶ, κτίσματα δὲ Θεοῦ νοερά. Καὶ τὰ μὲν τούτων, Θεὸν ὁρῶντα καὶ μέλποντα, οἳ καὶ λειτουργοὶ Θεοῦ εἰσι, τὰ δὲ προαιρέσει κακίστῃ ἀποστατήσαντα τούτου, ἃ καὶ δαιμόνια λέλεκται, καὶ τὴν πλάνην τοῖς Ἕλλησιν ἔθηκε.

CAPUT VI.

Contra eos qui fatum et fortunam impie docent, et de astrologia.

Quidam vero de fortuna et fato, de genealogia et astrologia inepte garriunt; quod est maximæ stultitiæ et impietatis signum. Nam primum quidem Creatoris libertatem auferunt qui ea e nihilo fecit, et vere justeque, prout voluerit, gubernat. Dein auferunt et libertatem hominis, quippe cum homo sit animal ratione et libertate præditum, illa vero careant ratione et anima; quomodo ergo anima ab eis agatur? quomodo motu eorum simul translata atque portata? nam nefas est irrationabilia movere rationabilia. Quod si moveant, jam non est virtus nec vitium; frustra leges, frustra doctrinæ, frustra prophetiæ, frustra vetera et nova, frustra denique facta est Verbi Dei incarnatio ad renovandum homines et creaturas; jam neque debet esse pœna neque vindicta quam æternam esse Salvator demonstrat; evertuntur res publicæ; hoc,

ΚΕΦΑΛ. Ϛʹ.

Κατὰ τῶν ἀσεβῶς δοξαζόντων εἱμαρμένην καὶ τύχην, καὶ περὶ ἀστρολογίας.

Τὸ δὲ καὶ περὶ τύχης καὶ εἱμαρμένης, γενεθλιαλογίας τε καὶ ἀστρολογίας φλυαρεῖν τινας ἀλογώτατον ἅμα καὶ ἀθεώτατον. D Πρῶτον μὲν γὰρ τὸ τοῦ Δημιουργοῦ αὐτεξούσιον ἀναιρεῖ, τοῦ ποιήσαντος αὐτὰ ἐκ μὴ ὄντων, καὶ διοικοῦντος ὡς βούλεται, καὶ ἀληθῶς καὶ δικαίως. Ἔπειτα δὲ καὶ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου· εἰ γὰρ ἄνθρωπος λογικὸν ζῶον καὶ αὐτεξούσιον, ταῦτα δὲ τὰ ὁρώμενα ἄλογά τε καὶ ἄψυχα, πῶς ἄρα ὑπ' αὐτῶν ἔσται ἡ ψυχὴ ἀγομένη; καὶ τῇ κινήσει τούτων συνδιατιθεμένη καὶ φερομένη; Οὐ γὰρ τὸ ἄλογον κινήσει τὸ λογικόν· εἰ δ' οὖν ἔσται δυναστεία, καὶ οὔτε ἀρετὴ λοιπὸν, οὔτε κακία, καὶ εἰς κενὸν νόμοι, εἰς κενὸν διδασκαλίαι, εἰς κενὸν προφητεῖαι, (B) εἰς κενὸν τὰ παλαιά τε καὶ νέα, καὶ ἡ τοῦ Θεοῦ Λόγου τελευταῖον εἰς ἀνακαινισμὸν τῶν ἀνθρώπων καὶ τῆς κτίσεως σάρκωσις· καὶ οὔτε κόλασις, οὔτε τιμωρία, ἅπερ

αἰώνια εἶναι ὁ Σωτὴρ ἀποφαίνεται. Καὶ ἀνατροπὴ A τῶν καθόλου, καὶ ἀθεΐας τοῦτο καὶ ἀσεβείας πονηρά ἐστι δόξα. Εἰ δὲ καί τινες ἄθεοι ἀλόγως ταῦτα λέγουσιν ἔμψυχά τε καὶ λογικὰ, ὁ λόγος πάντη ἄλογος καὶ ψευδής. Πρῶτον μὲν ἀπὸ τῆς ἁγίας Γραφῆς, λογικὰ μόνον ἀγγέλους τε καὶ ἀνθρώπους λεγούσης· ἔπειτα δὲ καὶ ἀπὸ τῶν ἐνεργειῶν αὐτῶν, καὶ τῆς τοῦ οὐρανοῦ κινήσεως. Εἰ γὰρ, κατὰ τοὺς Ἕλληνας, λογικὰ οἱ ἀστέρες, πᾶν δὲ λογικὸν αὐτεξούσιον, ταῦτα δὲ τὴν αὐτὴν ἀεὶ καὶ ὁμοίαν κινεῖται κίνησιν, πῶς λογικά τε καὶ προαιρετικά; Εἰ δὲ τὸ οὕτω κινεῖσθαι τὴν καλὴν καὶ ἁπλῆν λέγουσιν εἶναι κίνησιν, πῶς ἡ ἐνέργεια τῆς κινήσεως τὰ πονηρὰ ἐνεργεῖ κατὰ τὴν αὐτῶν δόξαν, καὶ τὴν κατ' αὐτῶν τῶν ἀστέρων ἔννοιαν πολλῶν τε καὶ γνῶσιν; B Εἰ γὰρ θεοὺς αὐτὰ λέγουσιν, οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων οὐ θεοὺς αὐτὰ νενομίκασι, τὴν δὲ πίστιν, ὥς φασιν Ἕλληνες, τῶν ἀνθρώπων καὶ τὴν θρησκείαν ἐκ τῆς τῶν ἀστέρων εἶναι κινήσεως, λοιπὸν καθ' ἑαυτῶν κινοῦνται, καὶ τὴν κατ' αὐτῶν γνῶσιν τοῖς ἀνθρώποις παρέχουσι. Καὶ δῆλον ἐντεῦθεν, ὡς οὐ προαιρετικὰ οὐδὲ λογικά. Πᾶν γὰρ προαιρετικὸν καὶ δυνάμενον τῇ ἑαυτοῦ βουλήσει κινεῖται. Ἐπεὶ δὲ καὶ, ὥς φασιν, ἀγαθὴν κινοῦνται κίνησιν, καὶ προαιρετικὴν ταύτην, ἡ κίνησις δὲ αὐτῶν ἐν πολλοῖς κακίαν ἐνεργεῖ, καὶ τὴν ἀρετὴν ἀναιρεῖ, καὶ ἀπώλειαν ἐμποιεῖ. Ὡς γὰρ δοξάζουσιν Ἕλληνες, διὰ τῶν ἀστέρων ἐστὶ καὶ τὸ ἐνάρετον εἶναι, καὶ τὸ πονηρὸν εἶναι, ἀκάθαρτόν τε καὶ σώφρονα, φονικόν τε καὶ δίκαιον, καὶ ἔτι θανάτους ἐθνῶν C καὶ αὐξήσεις, διωγμοὺς καὶ ὑψώσεις, καὶ μυρία τὰ κατὰ τοὺς ἀνθρώπους συμβαίνοντα, ἐναντίως ἔχοντα καὶ πλεῖστα κακωτικῶς· ἄρα καὶ κακίας ἐργάται καὶ πονηρίας, καὶ φόνου καὶ βλάβης καὶ ἀρετῆς ἀναιρέται, καὶ ὅλως οὐκ ἀγαθοί. Ἀλλὰ ταῦτα μὲν τῶν βλασφήμων τε καὶ ἀθέων. Τὰ κτίσματα δέ γε τοῦ Θεοῦ ἀγαθὰ, ἐπεὶ καὶ ἀγαθοῦ κτίσματα, ὡς καὶ πάντα εἶδεν αὐτὸς, καὶ ἰδοὺ καλὰ λίαν· καὶ ἀγαθῶς κινεῖται, εἰς ὃ ἔλαβε δύναμιν ἕκαστον. Καὶ οὐ λογικὰ ταῦτα, ἀλλὰ σώματα μόνον ἄψυχα, τὴν αἰσθητὴν κινούμενα κίνησιν, εἰς ἐξοικονομίαν τοῦ ὁρωμένου. Καὶ δῆλον ἀφ' ὧν ἐνεργοῦσιν αἰσθητῶν. Τὰ δὲ ἐν ἡμῖν κακία καὶ ἀρετὴ τῷ αὐτεξουσίῳ ἡμῶν τελεῖται, τῆς ἀρετῆς μὲν ἐσπαρμένης παρὰ Θεοῦ, τῆς κακίας δὲ μὴ οὔσης, ἀλλ' ἐφευ- D ρεθείσης τῷ πονηρῷ τῇ ἀργίᾳ τῆς ἀρετῆς. Καὶ τὰ ἐν τῷ κόσμῳ δὲ καὶ ἐν ἡμῖν γινόμενα βουλήσει γίνεται δι' ἡμᾶς, τὰ μὲν εὐδοκοῦντος, τὰ δὲ παραχωροῦντος ἐκ τῆς ἡμῶν αἰτίας. Διὸ ἀποβλητέον τὰς τοιαύτας μωρὰς ζητήσεις. Καὶ τοὺς μὲν ἀστέρας κατὰ τὴν ἁγίαν Γραφὴν γεγονέναι παρὰ Θεοῦ δοξάζωμεν, καὶ τὸν ἥλιον καὶ σελήνην εἰς τὸ φαίνειν ἐπὶ γῆς, καὶ τὸν μὲν ἄρχειν τῆς ἡμέρας, τὴν δὲ τῆς νυκτὸς, καὶ κινεῖσθαι εἰς ἐξοικονόμησιν τῶν φυτῶν τε καὶ τῶν σωμάτων, καὶ εἰς καιροὺς, ἔαρος, θέρους, φθινοπώρου τε καὶ χειμῶνος, καὶ εἰς σημεῖα ὄμβρων τε καὶ ἀνέμων καὶ λοιπῶν ἄλλων αἰσθητῶν, ἐπεὶ καὶ αὐτὰ σώματά τε καὶ αἰσθητά· καὶ εἰς ἐνιαυτοὺς, ὅτι πληρουμένου τοῦ

ut breviter dicam, prava erit impietatis et irreligionis opinio. Si vero quidam impii stulte hæc dicant esse animata et rationabilia, sermo erit omnino irrationalis et mendax. Primo quidem probatur ex Scriptura, quæ angelos tantum et homines dicit esse ratione donatos. Deinde ex eorum virtute et motu cœli. Nam si, prout obganniunt Græci, astra ratione gaudent, omne autem rationabile libertate potiatur, cum vero illa simili motu semper moveantur, quomodo sunt rationabilia et libera? Quod si talis motus pulchrum et sincerum esse motum dixerint, quomodo eorum motus affectio, ipsorum gentilium judicio, malum operatur? Ita enim multi adversus sidera somniantes dixerunt. Si enim hæc deos dicant, plerique autem homines illa deos esse non censeant, si, ut aiunt Græci, fides et religio hominum e sideribus defluat, ergo sibimetipsis contraria volvuntur, et notitiam sibi adversam hominibus largiuntur. Unde patet ea esse neque rationabilia neque libera; nam omne liberum, si possit, pro sua voluntate movetur. At quia, ut dicunt, bono motu volvuntur et motu libero, hic vero motus in multis nequitiam operatur, et virtutem tollit, et perniciem perpetrat; ut enim desipiunt Græci, ex astris sequitur esse probum et nequam, immundum et castum, latronem et justum, gentes disperire et augeri, premi et exaltari, necnon omnia quæ hominibus accidunt, quæ plerumque contrarie et male contingunt; igitur astra sunt nequitiæ operatores et malitiæ, cædis et opprobrii, et nullo modo bona. Sed hæc quidem blasphemant impii; Dei autem creaturæ sunt bonæ, cum bonus sit earum creator, qui ipse omnia videt, et ecce valde bona, et bene moventur ad finem ad quem singula potestatem acceperunt. Nec omnia sunt creaturæ ratione præditæ, sed corpora solum sunt inanimata, quæ sensibili motu ad œconomiam universi moventur; et evidens est ab eis sensibilia operari; ea autem quæ in nobis sunt malitia et virtus libertate nostra efficiuntur; virtus quidem a Deo diffunditur; non autem malitia, quæ a maligno, desidente virtute, procedit; ea vero quæ in mundo et in nobis fiunt, propter nos e proposito contingunt, aliis quidem a nobis procedentibus ut a principio, aliis autem non procedentibus. Idcirco rejiciendæ sunt tam stultæ inquisitiones, et credamus sidera a Deo, secundum sacram Scripturam, esse creata, solem vero et lunam, ut super terram luceant, et alius quidem diei, alia vero nocti præsit, et moveantur in œconomiam plantarum et animalium; necnon in tempestates veris, æstatis, autumni et hiemis, et in signa pluviarum et ventorum aliorumque cæterorum sensibilium, cum et ipsa sint corporea et sensibilia, et in annorum reditus, nam completo anno, rursum motu eorum initium accipit, et ita reguntur visibilia prout voluerit Deus et mandaverit, sed certe neque imperium habent creaturæ, neque dominatione potiuntur, nec opiniones faciunt, nec cogunt ad peccatum neque virtutem operantur, neque

A reges vel principes constituunt, inopesve et divites, ægros et sanos, morientes et viventes, viles et honorabiles, stultos et sapientes, bonos et malos; nam impietatis est credere talia posse astra et nativitatem. Sancta enim dixit Scriptura: « Dominus inopem facit et ditat, humiliat et sublevat, » et sic deinde. Et: « Dominus mortificat et vivificat, ducit ad inferos et reducit, » equidem juste secundum uniuscujusque electionem atque voluntatem, vi autem minime, quoniam justus est Dominus et justitiam dilexit; et, « Tu reddes, inquit, unicuique secundum opera ejus. » Quomodo autem reddet, si quis vi peccatum virtutemve operatur? nam si vi agat, neque peccat iniquus, neque bene facit justus, neque trucidat interfector, nec adulterat mœchus; impurus non est impurus, neque fur furatur,
B neque salvat salvator, nec virgo virginitate claret, neque sapit sapiens. Quomodo denique puniet Dominus? quomodo justi et multa sive veteris sive novæ legis exempla? Nobis vero credentibus non solummodo secundum naturam moveri creduntur visibilia, sed etiam jure super naturam. Nam qui creaturas fecit potest eas, ut voluerit, immutare. Ideo prodigia fecit supra naturam posita tam ante legem, quam in lege, et post legem orationibus justorum, et miraculum fecit magnum super omnem mentem atque sermonem. Verbum propter nos incarnatum et per vitam inter nos conversatum, et carne passum, et redivivum et post resurrectionem conspectum, tactum atque progressum,
C necnon in cœlum cum carne ascendens, et per apostolos naturam humanam replens Spiritu sancto; et signa fecit Deus atque prodigia, terramque ad fidem traxit sola prædicatione et miraculis, necnon usque ad hanc horam prodigia patravit, et mortuis sanctorum reliquiis precibusque sanctorum mirabilia operatur, et ligandi atque solvendi potestas manifestatur; quæ omnia sunt supra naturam, Deique opera omnipotentis. Propterea infirmi precamur ut sanitatem accipiamus, et tentati ut liberemur ex adversis, et dum elementa inordinate moventur, postulamus ut secundum ordinem moveantur, et pleraque fiunt virorum sanctorum precibus, velut pluvia post æstum, ut hostium clades, ut famis et pestis solutio, et pleraque alia,
D et infirmorum sanationes, et calamitatum exstinctiones, propter quæ deprecatur Ecclesia. Igitur spem in Deum evertit falsa de fortuna et fato opinio, ipsumque Deum destruit, divinamque ejus potentiam, et omnem Scripturam sanctam, et iniquorum pœnas, et justorum mercedem, et omnia Dei mysteria. Ideo nolite Christianum ducere eum qui de fato et astrologia atque similibus studet. Et si quis dixerit se talibus doceri, a dæmone deluditur et rejicitur, et ab Ecclesia fit alienus et mendax. Omnis autem vir religiosus, cum sit Christi, qui est virtus Patris, veritas, Verbum omnipotens, speret in Dominum, qui est nunc et per omne sæculum, quoniam præterit figura hujus

ἔτους, τῇ κινήσει· τούτων αὖθις ἀρχὴν λαμβάνει, καὶ διοικεῖται τὰ ὁρώμενα οὕτω, θελήσει Θεοῦ καὶ προστάγματι συμφερόντως. Οὐ μὴν δὲ ἀρχὴν ἔχει τὰ κτίσματα, ἢ δυναστείαν ἐπάγει, ἢ γνώμῃ ποιεῖ, ἢ τῆς ψυχῆς κατάρχει, ἢ ἁμαρτάνειν ἀναγκάζει, ἢ ἀρετὴν ἐνεργεῖν, ἢ βασιλεῖς καθιστᾷν τε καὶ ἄρχοντας, πενομένους τε καὶ πλουσίους, ὑγιαίνοντας καὶ ἀῤῥώστους, θνήσκοντας καὶ ζῶντας, ἀτίμους τε καὶ τιμίους, ἔμφρονάς τε καὶ ἄφρονας, ἀγαθούς τε καὶ πονηρούς. Ἀθεΐας γὰρ τὸ τοιαῦτα δύνασθαι τὴν γένεσιν καὶ τοὺς ἀστέρας δοξάζειν. Ἡ γὰρ ἁγία Γραφὴ, Κύριος, φησὶ, πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ, καὶ τὰ καθεξῆς. 7 Καὶ Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει, καὶ τοῦτο δικαίως καὶ κατὰ προαίρεσιν ἑκάστου καὶ κίνησιν, καὶ οὐ κατὰ βίαν. Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησε. Καὶ ὅτι «Σὺ ἀποδώσεις ἑκάστῳ, φησὶ, κατὰ τὰ ἔργα αὐτοῦ.» Καὶ πῶς ἀποδώσει, εἰ κατὰ βίαν ἁμαρτάνει, ἢ κατορθοῖ; ὁ γὰρ κατὰ βίαν ποιῶν οὔτε ἄδικος ἁμαρτάνων, οὔτε δίκαιος κατορθῶν· καὶ οὔτε ὁ φονεύσας φονεὺς, ἢ ὁ μοιχεύσας μοιχὸς, ἢ ὁ ἀκάθαρτος καὶ ἅρπαξ, ἀκάθαρτος τε καὶ ἅρπαξ, οὔτε ὁ σώζων σωτὴρ, καὶ ὁ παρθένος παρθένος, καὶ σώφρων ὁ σώφρων, καὶ ὁ δίκαιος δίκαιος. Καὶ πῶς λοιπὸν κολάζει Θεός; καὶ πῶς δικαιοῖ καὶ πλεῖστα ἔν τε τῇ Παλαιᾷ καὶ Καινῇ τὰ ὑποδείγματα; Ἀλλὰ τοῖς πιστοῖς ἡμῖν οὐδὲ τὸ κατὰ φύσιν κινεῖσθαι τὰ ὁρώμενα μόνον δόξα, ἀλλὰ καὶ ὑπὲρ φύσιν δικαίως. Ὁ γὰρ ποιήσας τὴν κτίσιν ἰσχύει μεταβάλλειν ὡς βούλεται. Διὸ καὶ τέρατα πεποίηκεν ὑπὲρ φύσιν, τὰ πρὸ τοῦ νόμου, τὰ ἐν τῷ νόμῳ, καὶ μετὰ νόμον προσευχαῖς τῶν δικαίων, καὶ τὸ μέγα καὶ ὑπὲρ πάντα νοῦν τε καὶ λόγον τὸ σαρκωθῆναι τὸν Λόγον ὑπὲρ ἡμῶν, καὶ ἐμπολιτευθῆναι τῷ βίῳ, καὶ σαρκὶ παθεῖν, καὶ ἀναστῆναι, καὶ ὁραθῆναι μετὰ τὴν ἔγερσιν, καὶ ψηλαφηθῆναι, καὶ τραφῆναι, καὶ εἰς οὐρανοὺς μετὰ τῆς σαρκὸς ἀνελθεῖν καὶ πλῆσαι Πνεύματος ἁγίου τὴν ἀνθρωπίνην φύσιν διὰ τῶν ἀποστόλων, καὶ σημεῖα καὶ τέρατα ἐνεργῆσαι, καὶ τὴν οἰκουμένην εἰς τὴν πίστιν ἑλκῦσαι μόνῳ τῷ κηρύγματι καὶ τοῖς θαύμασι, καὶ ἄχρι τοῦ νῦν ἐν θαύμασιν ἐνεργεῖν, καὶ νεκροῖς λειψάνοις ἁγίων, καὶ εὐχαῖς ἱερέων τερατουργεῖν τὸν Θεὸν, καὶ τὴν τοῦ λύειν καὶ δεσμεῖν φανεροῦσθαι δύναμιν, ἅπερ πάντα ὑπερφυῆ, καὶ τοῦ παντοδυνάμου ἔργα Θεοῦ. Διὸ καὶ ἀῤῥωστοῦντες εὐχόμεθα ὑγείαν εὑρεῖν, καὶ περιστατούμενοι, λυτρωθῆναι τῶν δυσχερῶν, καὶ τῶν στοιχείων παραλόγως κινουμένων, εἰς τὸ εὐφόρως κινεῖσθαι. Καὶ πλεῖστα γίνεται εὐχαῖς δικαίων ἀνδρῶν· ὡς ὑετὸς ἐξ αὐχμοῦ, ὡς καταστροφὴ πολεμίων, ὡς λιμοῦ λύσις καὶ λοιμοῦ, καὶ πλεῖστα ἄλλα· καὶ ἀσθενῶν ἀναῤῥώσεις, καὶ ἀπαλλαγὴ λυπηρῶν, δι' ἃ καὶ ἡ Ἐκκλησία προσεύχεται. Ἀνατρέπει τοίνυν τὴν εἰς Θεὸν ἐλπίδα τὰ τῆς τύχης τε καὶ γενέσεως καὶ αὐτὸν ἀθετεῖ τὸν Θεὸν, καὶ τὴν αὐτοῦ θείαν δύναμιν, καὶ πᾶσαν ἁγίαν Γραφὴν, καὶ κόλασιν ἀδίκων, καὶ ἀπόλαυσιν δικαίων, καὶ πάντα Θεοῦ μυστήρια. Διὸ καὶ μηδεὶς

ἡγείσθω Χριστιανὸν, τὸν περὶ γένεσιν καὶ ἀστρολογίαν καὶ τὰ τοιαῦτα σχολάζοντα. Καὶ εἴ τις εἴποι ἐκ τῶν τοιούτων μανθάνειν, ἠπατημένος ὑπὸ δαιμόνων, καὶ ἀπόβλητος, καὶ τῆς Ἐκκλησίας ἀλλότριος, καὶ ἀπατεών. Πᾶς δὲ εὐσεβὴς, ὡς τοῦ Χριστοῦ ὢν, τῆς δυνάμεως τοῦ Πατρὸς, τῆς ἀληθείας, τοῦ παντοδυνάμου Λόγου, ἐλπισάτω ἐπὶ Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ἡ κτίσις φθαρτὴ, καὶ ἀλλοιωθήσεται. Καὶ ἡμεῖς ἐν Χριστῷ οὐκ ἐσμὲν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου δεδουλωμένοι, ὥς φησι Παῦλος· ἀλλ' ὑπέρτεροι τῇ ψυχῇ καὶ τῇ σαρκὶ γεγόναμεν τῆς φθορᾶς, τῇ τοῦ ἀφθάρτου Πνεύματος χάριτι. Δημιουργήματα οὖν πάντα Θεοῦ, καὶ οὐδεὶς αὐτῶν Θεός.

A mundi, et creatura corrumpitur atque mutatur; nos autem in Christo non sumus sub elementis mundi servientes, prout dixit Paulus, sed anima et carne corruptioni superiores facti sumus gratia Spiritus incorruptibilis. Igitur omnia sunt Dei opera, nec quidquam eorum Deus.

ΚΕΦΑΛ. Ζ'.

Ὅτι μόνος Θεὸς ἡ ἁγία Τριάς.

Εἷς δὲ μόνος ἐστὶ καὶ ἀληθινὸς, ὁ ἐν Τριάδι Θεὸς, καὶ τοῦτον πᾶσα κηρύττει κτίσις. Οὖσα γάρ ἐστιν ἐκ τοῦ ὄντος ἀεὶ Πατρὸς, καὶ λόγῳ διοικουμένη, ἐκ τοῦ ζῶντος Λόγου τοῦ ἀεὶ Πατρός· καὶ Πνεύματι συνεχομένη καὶ μένουσα ζωοποιῷ τοῦ Θεοῦ τοῦ μόνου καὶ ζῶντος. Καὶ Ἀθανάσιος περὶ τούτου ὁ μέγας, καὶ Γρηγόριός σε ὁ θεορρήμων διδάξουσι, καὶ οἱ λοιποὶ σὺν αὐτοῖς τῶν Πατέρων.

8 *Κληρικός.* Ἱκανῶς, δέσποτα, καὶ τὸν λόγον τὸν κατὰ τῶν Ἑλλήνων τῶν πολυθέων ἐπέγνωμεν. Ἀνάγκη δὲ γνῶναι καὶ τὸν περὶ Τριάδος ἀριδηλότερον λόγον, ὡς ἂν τοὺς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἀθετοῦντας πρὸς τὴν τῆς ἀληθείας γνῶσιν ἑλκύσωμεν. Καὶ γὰρ πρὸς τοῦτο μάλιστα ὁ ἀγὼν, πολλῶν ὄντων τῶν ἀσεβῶς ἀθετούντων τὸν τοῦ Θεοῦ Λόγον καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

CAPUT VII.

Quod sacrosancta Trinitas solus sit Deus.

Unus vero solus et verus qui est in Trinitate Deus, B et hoc omnes prædicant creaturæ; sunt enim ex eo qui semper est Pater, et Verbo administrantur, cum generetur Verbum ab eo qui semper est Pater, et Spiritu vivificanti solius vivi Dei adunatæ permanent. Quod te docebunt Athanasius magnus, Gregorius Theologus cæterique cum ipsis Patres.

Clericus. Satis, domine, orationem contra Græcos plura numina adorantes percepimus; at necesse est scire lucidum de Trinitate sermonem, ut eos qui Filium et Spiritum Dei rejiciunt ad notitiam veritatis adducamus. Nam in hoc præcipue constat pugna, cum multi sint Dei Verbum et Spiritum sanctum impie abnegantes.

C

ΚΕΦΑΛ. Η'.

Κατὰ Ἰουδαίων καὶ Σαβελλίου, καὶ τῶν λοιπῶν ἀθέων.

Ἀρχιερεύς. Οὐδὲ πρὸς τοῦτο σπουδῆς ἄρα χρεία πολλῆς, ὡς τῆς ἁγίας ἁπάσης Γραφῆς περὶ τοῦ Λόγου τοῦ Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος μαρτυρούσης. Ἣν δήπερ ἁγίαν Γραφὴν δέχεσθαι λέγουσι δῆθεν οἱ Θεὸν δίχα Λόγου φρονοῦντες καὶ Πνεύματος. Ἄθεοι δὲ καὶ οὗτοι, εἰ καὶ Θεὸν εἰδέναι νομίζουσιν. Ὁ ἀθετῶν γὰρ, φησὶ, τὸν Υἱὸν ἀθετεῖ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν. Καὶ ἄλογον καὶ ἄσοφον Θεὸν ἑαυτῷ κηρύσσει, καὶ Πνεύματος χωρὶς τοῦ ζῶντος καὶ ζωὴν πᾶσι νέμοντος. Ὅθεν ἄθεοι, ὡς ἔφημεν, καὶ οὗτοί εἰσι, καὶ καθάπαξ ἀσεβοῦντές τε καὶ ἀντίθεοι. Ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, μετὰ τοῦ ἐνυποστάτου αὐτοῦ Λόγου, καὶ τοῦ ζωοποιοῦ Πνεύματος, καθὼς παρελάβομεν, καὶ καθὼς ἡμᾶς αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἐδίδαξεν Ἰησοῦς Χριστὸς, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατρὸς ἐν τῷ ἀποστέλλειν τοὺς μαθητὰς μαθητεύειν τὰ ἔθνη, παραγγείλας βαπτίζειν τοὺς πιστεύοντας εἰς αὐτὸν, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· ἅμα γὰρ καὶ τὸ ἑνιαῖον καὶ τὸ τρισσὸν τῆς Τριάδος αὐτὸς ὁ εἷς τῆς Τριάδος ἐδίδαξε. Καὶ ἐν τῷ εἰπεῖν μὲν « εἰς τὸ ὄνομα, » τὸ τῆς Τριάδος ἐκήρυξεν ἑνιαῖον· ἓν γὰρ καὶ ἀδιαίρετον καὶ τὸ ὄνομα, ὡς καὶ ἡ οὐσία μία καὶ δύναμις καὶ ἐνέργεια· τὰς τρεῖς δὲ ὑποστάσεις, ἐν τῷ εἰ-

CAPUT VIII.

Contra Judæos et Sabellium, et alios impia docentes.

Pontifex. Non multo ad hoc opus est studio, cum Scriptura sacra ubique de Verbo Dei et Spiritu sancto testimonium faciat, quam saltem Scripturam sacram prorsus asserunt se accipere qui Deum sine Verbo et Spiritu excogitant. Porro athei sunt et isti, etsi Deum noscere censeant. Ait enim: « Qui negat Filium, negat et Patrem qui misit eum, » et Deum sine Verbo et sine sapientia sibimetipsi prædicat necnon sine Spiritu qui vivit et vitam omnibus impertit. Quapropter, ut diximus, athei sunt et isti, et prorsus irreli- D giosi Deoque adversarii. Nobis autem unus Deus Pater, cum consubstantiali ejus Verbo et vivificante Spiritu, prout traditum est nobis, et prout ipsum Dei Verbum nos edocuit, Jesus Christus, splendor gloriæ et figura substantiæ Patris, quando discipulos misit ad docendas gentes, jubens baptizare credentes in eum in nomine Patris, et Filii, et Spiritus sancti. Quippe Trinitatem simul et unitatem Triadis ipse unus ex Triade demonstravit; dicendo quidem: « In nomine » Triadis unitatem prædicavit, unum enim est et indivisibile nomen, sicut et natura una, et potestas et virtus, tres autem personas docuit, dicens: Patris et Filii et Spiritus sancti; et rursum unius Triadis eamdem et unam potestatem atque virtutem ostendit

dicens : « Baptizantes eos; » nam non tantum agitur de baptizando, sed etiam de renovando et de reficiendo homine, quod fit virtute et potestate et gratia unius nominis omnipotentis Trinitatis; sed personarum Trinitatem declaravit dicendo : Patris, et Filii, et Spiritus sancti. Quod etiam confitetur Joannes Theologus, in initio sui Evangelii sic scribens : « In principio erat Verbum, » Filium annuntians; « et Verbum erat apud Deum, » Patrem docens; « et Deus erat Verbum, » Filium esse Patri consubstantialem demonstrans. « Hoc erat in principio apud Deum, » quoniam consubstantiale est Patri et coæternum. « Omnia per ipsum facta sunt; » quoniam creanti cooperatus est Patri, nam : « Verbo Domini cœli firmati sunt, » ait David; et : « Sine ipso factum est nihil quod factum est, « addit Evangelium. « Omnia enim, » dixit David ad Deum, « in sapientia fecisti. » Et : « In ipso vita erat, » divinus Spiritus a Patre procedens, « in quo et nos vivimus, movemur et sumus; » qui in ipso ut Verbo manet et quiescit, de quo ipse iterum dixit : « Cum venerit Paracletus quem ego mittam vobis a Patre, Spiritum veritatis qui a Patre procedit, ille testimonium perhibebit de me. » Quibus Dominus nos sapienter docet Spiritum etiam ex Patre procedere ipsumque ad nos venire, non quidem per hypostasim habitando, sed quasi in tabernaculo per gratiam manendo. Viden' mysterium unius Dei in Trinitate ?

A πεῖν, « τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Καὶ πάλιν τῆς μιᾶς Τριάδος τὴν αὐτὴν καὶ μίαν δύναμιν καὶ ἐνέργειαν, ἐν τῷ λέγειν « βαπτίζοντες αὐτούς. » Οὐδὲ γὰρ ἁπλῶς βαπτίζειν ἐστὶν, ἀλλ' ἀνακαινίζειν καὶ ἀναπλάττειν τὸν βαπτιζόμενον· ὃ δὴ γίνεται τῇ ἐνεργείᾳ καὶ δυνάμει καὶ χάριτι τοῦ ἑνὸς ὀνόματος τῆς παντοδυνάμου Τριάδος· τὸ τρισυπόστατον δὲ, ἐν τῷ λέγειν « Τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Ταύτην τὴν ὁμολογίαν καὶ Ἰωάννης ἐν ἀρχῇ τοῦ Εὐαγγελίου θεολογεῖ, οὕτω γράφων· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » τὸν Υἱὸν καταγγέλλων, « καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, » τὸν Πατέρα διδάσκων, « καὶ Θεὸς ἦν ὁ Λόγος, » τὸ ὁμοούσιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα παριστῶν. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν B Θεόν. Ἐπειδὴ καὶ ὁμοούσιός ἐστι τῷ Πατρὶ καὶ συνάναρχος. « Πάντα δι' αὐτοῦ ἐγένετο. » Ὅτι καὶ συνδημιουργεῖ τῷ Πατρί. « Τῷ » γὰρ « Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, » ὁ Δαβὶδ λέγει. Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε· τὸ Εὐαγγέλιον πάλιν· « Πάντα » γὰρ, ὁ Δαβὶδ φησι πρὸς τὸν Θεὸν, « ἐν σοφίᾳ ἐποίησας· » καὶ « Ἐν αὐτῷ ζωὴ ἦν, » τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον θεῖον Πνεῦμα, ἐν ᾧ καὶ ἡμεῖς ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, ἐν τούτῳ μένον ἀϊδίως ὡς Λόγῳ καὶ ἐπαναπαυόμενον περὶ οὗ καὶ πάλιν αὐτός φησιν, « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Ἐνταῦθα σαφῶς διδάσκει ὁ Κύριος, ὅτι καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, καὶ αὐτὸ πρὸς ἡμᾶς ἔρχεται, οὐχ ὑποστατικῶς ἐνοικοῦν, ἀλλὰ τῇ χάριτι ἐνσκηνοῦν. Ὁρᾷς τὸ μυστήριον τοῦ μόνου ἐν Τριάδι Θεοῦ;

CAPUT IX.

Evangelica dicta Sabellio opposita. Alia (ex V. T.) contra Judæos et reliquas impias gentes.

Evangelica quidem dicta sunt propter blasphemias Afri Sabellii, qui profecto Evangelium accipiebat; tibi autem ostendam ea quæ vetus Scriptura de Deo in tribus personis profert. Hoc non solummodo Evangelium, sed et Moyses in lege, atque prophetæ prædicarunt. Moyses quidem eum qui semper est Deum et Patrem ubique prædicat, qui Verbi Dei Filii mysterium intelligit in audita voce divina et suscepta virtute Verbi viventis. Nam audiens audivit Verbum cujus incarnationem præcognovit. Primum quidem rubum vidit ardentem et tamen minime consumptam, ipsumque Dei Verbum sub hominis forma ei colloquens, quia secundum Jeremiam propter homines in terra visum est, et inter homines conversatum est, et ad ipsum Moysen dixit : « Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob, » quod ut homo apparens et angelus a Scriptura appellatum, simul semetipsum vocat Deum, triumque meminit patriarcharum, dicens : « Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob, » ut inde monstraret, sicut et ipsum e Virgine incarnatum monstrabit, Trinitatis mysterium. Deinde Dei verba in tabulis lapideis Moyses accepit, virtutem Verbi viventis ostendens et docens per opera mirabilia

C

9 ΚΕΦΑΛ. Θ'.

Τὰ εὐαγγελικὰ κατὰ Σαβελλίου. Ταῦτα δὲ κατὰ Ἰουδαίων, καὶ τῶν λοιπῶν ἀθέων ἐθνῶν.

Ἀλλὰ τὰ εὐαγγελικὰ μὲν διὰ τὰς τοῦ Λίβυος Σαβελλίου λέλεκται βλασφημίας, δῆθεν τὸ Εὐαγγέλιον δεχομένου. Ἐκθήσομαι δέ σοι καὶ ἐκ τῆς παλαιᾶς Γραφῆς τὰ περὶ τοῦ ἐν Τριάδι Θεοῦ. Τοῦτον οὐ τὸ Εὐαγγέλιον μόνον, ἀλλὰ καὶ Μωϋσῆς ἐν τῷ νόμῳ καὶ προφῆται πάντες ἐκήρυξαν. Ὁ μὲν γὰρ Μωϋσῆς τὸν ἀεὶ ὄντα Θεὸν καὶ Πατέρα διὰ πάντων κηρύσσει, ὃς καὶ τοῦ Λόγου κατανοεῖ τοῦ Υἱοῦ Θεοῦ τὸ μυστήριον, ἐν τῷ θείας ἀκούειν φωνῆς, καὶ τοῦ Λόγου τοῦ ζῶντος δέχεσθαι τὴν ἐνέργειαν. Τὸ γὰρ ἀκούειν, Λόγου ἐστὶν ἀκούειν, οὗ καὶ τὴν σάρκωσιν προέγνω, πρῶτον μὲν βάτον κατ- D ιδὼν φλεγομένην, μηδαμῶς δὲ καιομένην, καὶ αὐτὸν τὸν τοῦ Θεοῦ Λόγον διομιλούμενον αὐτῷ ἐν σχήματι ἀνθρωπίνῳ. Ἐπεὶ καὶ ὑπὲρ ἀνθρώπων ἐπὶ τῆς γῆς κατὰ τὸν Ἱερεμίαν ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ πρὸς αὐτὸν εἰρήκει τὸν Μωϋσῆν· « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. » Ὁ ὡς ἀνὴρ φαινόμενος, καὶ ἄγγελος παρὰ τῇ Γραφῇ λεγόμενος, οὗτος ὅμως ἑαυτὸν Θεὸν ὀνομάζει, καὶ τριῶν πατριαρχῶν μέμνηται, « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, » λέγων, ἵνα δείξῃ κἀν τούτῳ, ὡς οὗτος σαρκωθεὶς ἐκ Παρθένου, τὸ τῆς Τριάδος φανερώσει μυστ[illegible]

καὶ τοὺς τοῦ Θεοῦ λόγους· ἐν πλαξὶ λιθίναις Μωϋσῆς ὑπεδέξατο, τὴν δύναμιν τοῦ ζῶντος Λόγου δεικνὺς, ἐκδιδάσκων τε δι' ἔργων θαυμαστικῶν, ὡς καὶ Λόγος ἐστὶν ἐν τῷ Θεῷ, καὶ σαρκωθήσεται οὗτος, καὶ παχυνθήσεται ὕστερον, ὡς ἐν πλαξὶ γραφεὶς τῇ Θεοτόκῳ Παρθένῳ. Καὶ φωνῆς δὲ θείας ἤκουσε πολλάκις Μωϋσῆς ἐν τῇ σκηνῇ ἀνὰ μέσον τῆς κιβωτοῦ. Φωνὴ δὲ λόγου ἐστὶν ἀπήχημα. Ὁ δὴ τὸν ζῶντα Λόγον τοῦ ζῶντος Πατρὸς ἐμαρτύρει. Ὑπεδέξατο δὲ καὶ Πνεῦμα ἅγιον Μωϋσῆς. Καὶ ἀπὸ τοῦ Πνεύματος δὲ τοῦ ἐπ' αὐτῷ ἀφελὼν ὁ Θεὸς, μετέδωκεν ἀνδράσι πιστοῖς, ὡς γέγραπται Ἑβδομήκοντα. Καὶ οὗτοι δὴ προεφήτευον, ὥστε καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, ὅς ἐστιν ὁ Λόγος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, προέγνω καὶ προεκήρυξε Μωϋσῆς. Καὶ ἐν B τῷ λέγειν, « Εἶπεν ὁ Θεὸς, Γενηθήτω φῶς, » καὶ, « Εἶπεν ὁ Θεὸς, Γενηθήτω στερέωμα, » καὶ, « Εἶπεν ὁ Θεὸς, Βλαστησάτω ἡ γῆ, » τὸν τοῦ Θεοῦ Λόγον διδάσκει. Καὶ οὗτος ζῶν καὶ εἷς καὶ μονογενὴς, ὡς καὶ ὁ Θεὸς καὶ Πατὴρ εἷς καὶ ζῶν καὶ μόνος ἐστί. Καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, « Καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος, » φησί· καὶ περὶ τοῦ ἀνθρώπου· « Καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· » καὶ ἐπὶ τοῦ Νῶε, « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις· « καὶ, » Πνεύματος ἁγίου ἐπλήσθη ἡ σκηνή. » Οὕτω σαφῶς Μωσῆς διὰ πολλῶν περὶ τοῦ Λόγου τοῦ ζῶντος ἐκήρυξε τοῦ Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀλλὰ καὶ πρὸ αὐτοῦ Ἀβραὰμ, τοὺς τρεῖς ὑποδεξάμενος ἄνδρας ἐν τῇ δρυῒ C τῇ Μαμβρῇ, οὓς καὶ Θεὸν ἕνα σαφῶς ἀνεκήρυξε, τὸν ἐν Τριάδι Θεὸν ἐκήρυξεν, ἄνδρας μὲν τρεῖς φαινόμενον διὰ τὸ ἰδιάζον τῶν ὑποστάσεων, ἕνα δὲ κηρυττόμενον ὑπὸ Ἀβραὰμ διὰ τὸ ἑνιαῖον τῆς φύσεως, δι' ὧν τὸ τρισσὸν ὁμοῦ καὶ τὸ μοναδικὸν ἐσημαίνετο τῆς Τριάδος. Ἀλλὰ καὶ Ἰσαὰκ, τὸ τῆς Τριάδος καὶ τῆς σαρκώσεως τοῦ Λόγου ἐπέγνω τε καὶ διέγραψε μυστήριον, γεννηθεὶς μὲν, ἡνίκα τοὺς τρεῖς ἄνδρας Ἀβραὰμ εἶδε, τὴν σάρκωσιν δὲ δηλῶν, σταύρωσίν τε καὶ ἀνάστασιν τοῦ Χριστοῦ, ἐν τῷ ἀναχθῆναι παρὰ πατρὸς, τὰ ξύλα τοῖς ὤμοις βαστάζων, τὸν Σταυρὸν ἐκτυποῦντα, καὶ ἐν αὐτοῖς συμποδίζεσθαι, ὥστε θυσίαν γενέσθαι Θεῷ καὶ σφαγιασθῆναι, φωνῆς τε ἀκηκοέναι Θεοῦ, ἣ τὸν τοῦ Θεοῦ Λόγον διδάσκει, D
10 λέγοντος τῷ Πατρὶ αὐτοῦ, « Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον. » Ὅτι δὲ ὁ Θεὸς Λόγος ἦν ὁ λαλῶν, δῆλον ἐξ ὧν φησι πρὸς τὸν Ἀβραάμ· « Νῦν ἔγνων, ὅτι οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. » Οὗτος ἄρα ἦν ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος, ὁ Υἱὸς τοῦ Ὑψίστου, ὁ καὶ τῷ Πατρὶ αὐτοῦ Ἀβραὰμ διαλεγόμενος, ὁ καὶ τῷ Ἰακὼβ τὴν πάλην στησάμενος, καὶ Θεὸν τῶν πατέρων αὐτοῦ ἑαυτὸν ὀνομάσας, ὁ καὶ Πνεύματι ἁγίῳ πρὸς θεωρίας ὕψος αὐτὸν ἀναγαγὼν, δι' οὗ καὶ λόγον ὁ Ἰακὼβ ξενιτεῦσαι ἐδέξατο, καὶ φεύγειν ἀπὸ Ἡσαῦ, καὶ κλίμακα εἶδεν ἐν ὕπνοις εἰς τοὺς οὐρανοὺς φθάνουσαν, καὶ ἐπ' αὐτῆς, ἥτις ἦν εἰκὼν τῆς τοῦ σαρκωθέντος Λόγου Μητρὸς, τὸν Θεὸν καθεζό-

A Verbum esse in Deo, et istum postea esse incarnandum necnon in corpore conspiciendum, in utero Deiparæ Virginis velut in tabula scriptum. Vocem divinam pluries audivit Moyses in tabernaculo, in medio arcæ. Vox autem nihil est aliud ac sonus verbi; quod Verbum vivens viventis Patris testabatur. Insuper Moyses sanctum quoque Spiritum accepit, de quo Spiritu, sicut scriptum est, Deus assumens partem, dedit viris fidelibus Septuaginta, et isti prophetaverunt, ita ut Moyses Patrem et Filium qui est Verbum, et Spiritum sanctum præcognoverit atque prædixerit. Dicendo autem: « Dixit Deus: Fiat lux, » et, « Dixit Deus: Fiat firmamentum; » et, « Dixit Deus: Germinet terra, » Dei Verbum manifestat, quod est vivens, unum et unigenitum, quemadmodum Deus Pater unus est et vivens et solus. Et de Spiritu sancto: « Et Spiritus Dei ferebatur super aquas, » inquit; et de homine: « Insufflavit in faciem ejus Spiritum vitæ; » et de Noe: « Non permanebit Spiritus meus in hominibus istis; » et, « Spiritu sancto repletum est tabernaculum. » Ita sapienter Moyses in multis locis Verbum vivens et Spiritum sanctum prædicavit. At ante eum Abraham tres viros sub quercu Mambre suscipiens quos unum Deum recte prædicavit, Deum in Trinitate proclamavit sub specie trium virorum apparentem, propter proprietatem personarum, unum tamen ab Abraham prædicatum propter unitatem naturæ, quibus Trinitatem simul et unitatem Triadis signavit. Sed Isaac quoque Trinitatis et Incarnationis Verbi mysterium præcognitum descripsit, genitus quidem quando tres viros Abraham vidit, incarnationem vero, crucifixionem et resurrectionem Christi declarans, quando adductus est a patre, lignum crucis figuram in humeris portans, et in ipso ligatus, ut victima Deo fieret et occideretur, atque audita est vox Dei quæ Dei Verbum significat, quæ patri ejus dixit: « Non extendas manum tuam super puerum. » Quod esset Verbum Deus qui loquebatur patet ex eis quæ ad Abraham dixit: « Nunc cognovi quod times Deum, et non pepercisti dilecto filio tuo propter me. » Hic igitur erat Angelus magni consilii, Filius Altissimi, qui patri ejus Abraham locutus est, idemque Jacob luctam intulit, et semetipsum patrum ejus Deum appellavit, eumque ad apicem contemplationis per Spiritum sanctum adduxit, a quo Jacob jussus est ab Esau aufugere et ad alienigenas perigrinari, scalamque vidit ad cœlum pertingentem, et in ea quæ figura erat Verbi incarnati, Deum sedentem, et rursum jussus est propinquum fugere, mirasque vidit revelationes. Quæ omnia Verbi Dei virtutem et Spiritus Dei potentiam in justis istis operantem prædicaverunt. Quid vero Joseph? Nonne per somnia Verbum Dei suscepit? Nonne Spiritu Dei movebatur? Unde ipsi sapientia cujus ope ab Ægyptiis ad regem ejusque ministros transeuntibus liberatus est? Nonne virtute divini

Spiritus? Nonne omnipotenti imperio viventis sapientiæ seu Dei Verbi? Ita etiam fere in omnibus prophetis scriptum est: « Verbum Domini quod factum est ad Isaiam filium Amos. » Et: « Verbum Domini quod factum est ad Jeremiam filium Helciæ. » Et sic de cæteris: « Principium Verbi ad Osee; » et: « Verba Amos quæ vidit super Jerusalem; » et: « Factum est Verbum Domini ad Michæam Morathiten; » et: « Verbum Domini quod factum est ad Joel filium Phatuel; » et: « Hæc dicit Dominus Deus, inquit Abdias, » quod est de Verbo, quemadmodum omnes prophetæ locuti sunt: « Hæc dicit Dominus, » Verbum illius vivens prædicantes: « Et factum est Verbum Domini ad Jonam filium Amathi dicens; » Nahum autem: « Onus Ninive, » inquit; quod onus dicendi Jeremias non accipit, sed Verbum; similiter et Nahum pergens: « Hæc dicit Dominus, ait, qui dominatur aquis multis; » et rursus: « Ecce ego super te, ait Dominus omnipotens; » et: « Onus quod vidit Habacuc propheta. » Quod idem est ac si dicat se regi et ferri Spiritu. Quod onus sit Spiritus sancti, audi dicentem: « Terribilis egregius est, » id est Deus. « Ex semetipso judicium ejus erit, » scilicet Verbum ejus, nam judicium est Verbum, et, « Onus ejus ex ipso egredietur. » Viden' virtutem Spiritus a Patre procedentis? Et rursum: « Super custodiam meam stabo; et contemplabor ut videam quod dicatur mihi, et respondit ad me Dominus; » en rursus Verbum. Qui insuper de dispensatione Dei Verbi nos docet, et: « Audivi auditionem tuam, et timui, » inquit; et: « Deus ex Pharan veniet; » et cætera plurima de illius incarnatione. Quod Verbum Dei esset carnem sumpturum testatur dicens: « Ante faciem ejus ibit Verbum; » et: « Verbum Domini quod factum est ad Sophoniam filium Chusi; » et: « Factum est Verbum Domini in manu Aggæi prophetæ, dicens; » et: « Factum est Verbum Domini ad Zachariam filium Barachiæ, dicens; » hic quoque de incarnatione Verbi plura prædixit. Et: « Onus Verbi Domini ad Israel in manu angeli ejus, » seu Malachiæ. En iterum onus Verbi, et virtus Spiritus atque Verbi. Qui Malachias nomen Dei magnum esse in gentibus dixit. Vidistin' omnes prophetas Verbum Dei et Spiritum prædicavisse? Atheus igitur qui ea non prædicat. Et ipse David: « Omnia in sapientia fecisti, » ad Deum clamavit; et: « Verbum tuum, Domine, permanet in cœlo in generationem et generationem usque in sæculum; » et Verbo Domini cœlos firmatos esse testatur, virtutemque eorum e Spiritu oris illius; quem Spiritum postulat in visceribus suis renovari, et a se non auferri; et recte Deum Patrem prædicat cum Verbo et Spiritu. Et omnis quidem justorum chorus Verbum Dei atque Spiritum manifeste demonstrat.

A μενον, καὶ τὸν κηδεστὴν δὲ φεύγειν λόγον ἐδέξατο, καὶ ἀποκαλύψεις σαφῶς ἐθεάσατο. Ἃ δὴ πάντα τὴν τοῦ Θεοῦ Λόγου δύναμιν καὶ τοῦ Πνεύματος Θεοῦ τὴν ἐνέργειαν ἐν τοῖς δικαίοις ἐκείνοις ἐνεργοῦσαν ἐκήρυξε. Τί δὲ Ἰωσήφ; οὐ δι' ὀνείρων λόγους Θεοῦ ἐδέξατο; οὐ πνευματοκίνητος ἦν; Πόθεν αὐτῷ ἡ σοφία, καὶ διὰ ταύτης τῶν διαπορουμένων τῷ βασιλεῖ Αἰγυπτίων καὶ τῶν τούτου ὑπηρετῶν αἱ λύσεις; Οὐ δυνάμει τοῦ θείου Πνεύματος; οὐ τῆς ζώσης σοφίας τοῦ Θεοῦ Λόγου τῇ παντουργικῇ δυναστείᾳ; Οὕτω καὶ ἐν τοῖς προφήταις σχεδὸν ἅπασι γέγραπται· « Λόγος Κυρίου, ὃς ἐγένετο πρὸς Ἠσαΐαν υἱὸν Ἀμώς. » Καὶ, « Λόγος Κυρίου, ὃς ἐγένετο πρὸς Ἱερεμίαν τὸν τοῦ Χελκίου. » Καὶ ἐν τοῖς λοιποῖς οὕτω· « Ἀρχὴ λόγου πρὸς Ὠσηέ. « Καὶ, » Λόγοι B Ἀμὼς, οὓς εἶδεν ὑπὲρ Ἱερουσαλήμ. » Καὶ, « Ἐγένετο λόγος Κυρίου πρὸς Μιχαίαν τὸν τοῦ Μωραθί. » Καὶ, « Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. » Καὶ, « Τάδε λέγει Κύριος ὁ Θεὸς, » Ἀβδιοῦ φησιν, ὃ περὶ τοῦ Λόγου ἐστὶ, καθὰ καὶ πάντες οἱ προφῆταί φασι, « Τάδε λέγει Κύριος, » τὸν Λόγον αὐτοῦ τὸν ζῶντα κηρύττοντες. Καὶ, « Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ, λέγων. » Καὶ Ναοὺμ μὲν, « Λῆμμα, φησὶ, Νινευΐ· » ὃ λῆμμα λέγειν Ἱερεμίας οὐ δέχεται, ἀλλὰ Λόγον. Ὁμοίως καὶ Ναοὺμ προϊὼν, « Τάδε λέγει Κύριος, φησὶ, κατάρχων ὑδάτων πολλῶν. » Καὶ πάλιν, « Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος παντοκράτωρ. » Καὶ, « Τὸ λῆμμα ὃ εἶδεν Ἀββακοὺμ ὁ C προφήτης. » Τοῦτο δέ ἐστιν εἰπεῖν τὸ κρατηθῆναι καὶ ἄγεσθαι Πνεύματι. Ὅτι δὲ Πνεύματος ἁγίου τὸ λῆμμα, ἄκουσον λέγοντος· « Φοβερὸς ἐπιφανής ἐστιν, » ὁ Θεὸς δηλονότι. « Ἐξ αὐτοῦ τὸ κρίμα αὐτοῦ ἔσται· » τουτέστιν ὁ Λόγος αὐτοῦ· κρίμα γὰρ ὁ Λόγος. Καὶ, « Τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. « Ὁρᾷς τὴν τοῦ Πνεύματος δύναμιν τοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευομένου; καὶ πάλιν· « Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ, » καὶ, « Ἀπεκρίθη πρός με Κύριος. » Ἰδοὺ πάλιν ὁ Λόγος. Οὗτος καὶ περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ Λόγου διδάσκει. Καὶ, « Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, » φησί. Καὶ, « Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. » Καὶ λοιπὰ πλεῖστα περὶ τῆς σαρκώσεως αὐτοῦ. Καὶ ὅτι ὁ Λόγος σαρκωθήσεται D τοῦ Θεοῦ, λέγει, « Πρὸ προσώπου αὐτοῦ προπορεύσεται Λόγος. » Καὶ, « Λόγος Κυρίου ὃς ἐγενήθη πρὸς Σοφονίαν τὸν τοῦ Χουσί. » Καὶ, « Ἐγένετο Λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων. » Καὶ, « Ἐγένετο Λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν Βαραχίου, λέγων. » Οὗτος καὶ περὶ τῆς τοῦ Λόγου σαρκώσεως πλεῖστα προεφήτευσε. » Καὶ, « Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ, » ἤτοι τοῦ Μαλαχίου. Ἰδοὺ καὶ λῆμμα Λόγου ἡ δύναμις τοῦ Πνεύματος καὶ τοῦ Λόγου, ὃς Μαλαχίας καὶ τὸ ὄνομα τοῦ Θεοῦ ἐπιφανὲς ἐν τοῖς ἔθνεσί φησιν. Ὁρᾷς ὅτι πάντες οἱ προφῆται τὸν τοῦ Θεοῦ Λόγον καὶ τὸ Πνεῦμα ἐκήρυξαν; Ἄθεος τοιγαροῦν ὁ μὴ ταῦτα κηρύττων. Καὶ αὐτὸς δὲ ὁ Δαβίδ, « Πάντα ἐν σοφίᾳ ἐποίησας, » πρὸς τὸν Θεὸν ἀνακράζει. Καὶ, « Ὁ Λόγος σου, Κύριε, διαμένει ἐν τῷ οὐρανῷ εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. » Καὶ τῷ λόγῳ Κυρίου τοὺς οὐρανοὺς ἐστε-

ρεῶσθαι μαρτυρεῖ, **11** καὶ τὴν δύναμιν αὐτῶν εἶναι τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. Ὁ Πνεῦμα ἐγκαινισθῆναι τοῖς ἐγκάτοις αὐτοῦ ἐυσωπεῖ, καὶ μὴ ἀπολειφθῆναι τούτου. Καὶ σαφῶς τὸν Θεὸν καὶ Πατέρα κηρύσσει σὺν τῷ Λόγῳ καὶ Πνεύματι. Καὶ πᾶς δὲ ὁ τῶν δικαίων χορὸς τὸν Λόγον τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα ἀριδήλως διδάσκει.

ΚΕΦΑΛ. Γ'.

Περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Εἰ μὲν ουν ταῖς θείαις Γραφαῖς ὁ ἀντικείμενος ἕπεται, ἐκ τούτων καὶ τῶν ὁμοίων τοῦ φιλονεικεῖν παύσεται· πλήρης γὰρ τούτων ἡ θεία Γραφή· εἰ δ' οὖν, καὶ ἀπὸ τῆς κτίσεως αὐτῆς καὶ τῆς ἀνθρωπίνης φύσεως ἐπιγνώσεται τὴν ἀλήθειαν. Εἰ γὰρ δημιουργὸς τῶν ὅλων ἐστὶ Θεὸς, διατί ἄρα τὰ κτίσματα γέγονε; διατί οὖν; Ἵνα Θεοῦ ἀπολαύῃ. Τίνα δὲ Θεοῦ ἀπολαύει, καὶ δύναμιν ἔχει Θεὸν εἰδέναι; Τὰ λόγον ἔχοντα. Διὰ τοῦ λόγου γὰρ ἡ γνῶσις. Εἰ οὖν διὰ τῶν λογικῶν ἡ γνῶσις, λόγος ἄρα μᾶλλον ἐν τῷ Θεῷ. Καὶ εἰ διὰ τὰ λογικὰ ὁ ὁρώμενος κόσμος, διὰ τὸν Λόγον ἄρα καὶ διὰ τοῦ Λόγου ἡ κτίσις· καὶ μᾶλλον ὁ Λόγος ἔσται ἐν τῷ Θεῷ· καὶ αὐτὸν ἦν θεωρῶν ὁ Πατὴρ πρὸ τοῦ γενέσθαι τὰ πάντα ὡς εἰκόνα ζῶσαν αὐτοῦ, καὶ χαρακτῆρα ἀκίνητον, σοφίαν τε καὶ ἀπαύγασμα, καὶ Λόγον καὶ δύναμιν, καὶ ἀγαπητὸν Υἱὸν, καὶ τὸ πανάγιον Πνεῦμα, ὡς ἁγιασμὸν, ὡς πηγὴν ἀγάπης, ὡς ζωὴν ἐκ ζωῆς, ὡς ζωοποιὸν, ὡς θησαυρὸν ἀγαθότητος. Καὶ τοῦτό ἐστιν ὅπερ ὁ Θεολόγος φησὶν Γρηγόριος, τὸ τὸν Θεὸν κινεῖσθαι τῇ ἑαυτοῦ θεωρίᾳ. Καὶ εἰ τὰ κτίσματα λόγου μετέχει, ἵνα γινώσκῃ Θεὸν, πολλῷ μᾶλλον Λόγος ἔσται ἐν τῷ Θεῷ, ἐν ᾧ καὶ δι' οὗ καὶ πρὸ τοῦ γενέσθαι τὰ πάντα οἶδε. Καὶ εἰ κατὰ λόγον ἡ κτίσις γέγονεν, ἡ μὲν λογικὴ, ἡ δὲ εἰς ὑπηρεσίαν τῶν λογικῶν, ἄρα καὶ Λόγος ἐν τῷ Θεῷ. Καὶ εἰ τὰ λογικὰ νοεῖ καὶ τὸ αὐτεξούσιον ἔχει καὶ ἀεὶ ζῇ, πολλῷ γε μᾶλλον ὁ ταῦτα ποιήσας λογικὰ λόγον ἔχει ἀεὶ ἐν ἑαυτῷ· μᾶλλον δὲ διὰ τοῦτο καὶ κτίσματα λογικὰ, ὅτι λόγον ἔχει Θεός. Καὶ αὐτὰ δὲ τὰ μὴ λόγου μετέχοντα κατὰ λόγον εἰσὶ συνεστῶτα καὶ μένοντα καὶ κινούμενα· ὅτι λόγον ἔχει Θεός. Ἀλλὰ διάφορα μὲν τὰ κτίσματα, ἐρεῖ τις, καὶ διάφορος δὲ ὁ λόγος αὐτῶν; Ἀκουσάτω οὗτος, ὅτι πολλὰ ταῦτα ὡς κτίσματα καὶ ἀρξάμενα καὶ διάφορα τῇ γνώμῃ καὶ φύσει, καὶ ἐκ μὴ ὄντων· διὸ καὶ ἀνυπόστατον καὶ ποικίλον τὸν λόγον καὶ οὐχ ἐνυπόστατον ἔχει. Ἐπεὶ δὲ ζῶν καὶ εἷς Θεὸς ὁ Πατὴρ, καὶ ἀεὶ ὢν, καὶ εἷς ὁ Λόγος ἐστὶν αὐτοῦ, καὶ ζῶν ὡς καὶ ὁ Πατὴρ, καὶ ἀεὶ ὢν, ὡς ὁ Πατὴρ ὤν, καὶ τέλειος, ἐπεὶ καὶ τέλειος ὁ Πατήρ· διὸ καὶ οὐ λόγοι πολλοὶ, οὐδ' ἀνυπόστατοι ἐν Θεῷ, ἵνα μὴ ἀτελὴς φανείη καὶ ἀλλοιούμενος, καὶ πρὸς λόγον ὑψηλότερον ἀναγόμενος, καὶ προσλαμβάνων σοφίαν· ἀλλὰ μία καὶ τελεία καὶ ἐνυπόστατος καὶ ζῶσα καὶ συναΐδιος σοφία ἐν τῷ Θεῷ, ὁ μονογενὴς αὐτοῦ Λόγος, ἐν ᾧ πάντες οἱ λόγοι πρὸ τῶν αἰώνων εἰσί. Καὶ τὸ ζωοποιοῦν δὲ τὰ πάντα Πνεῦμα ἅγιον ἕν ἐστιν ἐξ ἑνὸς τοῦ Πατρὸς ὄν, καὶ ζῶν, καὶ ζωοποιοῦν. Καὶ ἐν τῷ ἁγίῳ Πνεύματι καὶ τὰ λογικὰ ζῶσι, καὶ μᾶλλόν εἰσιν ἀθάνατα· ὅτιπερ οὐδὲ λογικὰ χωρὶς Πνεύματος εἶναι δύναται. Τὰ μὲν οὖν λογικὰ ζῶντά εἰσιν ἐκ τοῦ

CAPUT X.

De Filio Dei unigenito et sancto Spiritu.

A Igitur si adversarius divinas sequatur Scripturas, ex dictis et similibus suasus a lucta desistet, nam Scriptura divina talibus referta est argumentis. Insuper ex ipsa creatione humanaque natura cognoscet veritatem. Quippe si Deus est universorum conditor, quare ergo factæ sunt creaturæ? Quare? Ut Deo fruantur; sed quænam Deo fruentur, et potestatem habebunt videndi Deum? Illæ quæ ratione sunt præditæ. Nam per rationem cognitio; igitur si per facultates rationales fit cognitio, quanto magis ratio seu Verbum in Deo est! et si mundus visibilis propter rationales creaturas

B factus est, igitur propter rationem et per rationem conditæ sunt creaturæ; et quanto magis ratio in Deo est, et illam contemplans erat Pater priusquam fierent omnia, ut suam imaginem vivam, et characterem indelebilem, sapientiam atque figuram, verbum et virtutem atque dilectum Filium, necnon Spiritum sanctissimum ut sanctitatem, ut charitatis fontem, ut vitam ex vita, ut vivificantem, ut thesaurum bonitatis. Hoc est quod Theologus dixit Gregorius: Deus movetur sua ipsius contemplatione; et si creaturæ rationis sunt participes ut Deum cognoscant, quanto potius ratio erit in Deo, in qua et per quam novit, priusquam fierent omnia. Et si creaturæ secundum rationem conditæ sunt, aliæ quidem rationales, aliæ autem quæ rationalibus

C inserviant, ergo ratio in Deo est. Quod si res ratione donatæ cogitant, et libertate gaudent, et semper vivunt, quanto magis qui eas rationales fecit rationem semper habet in semetipso! seu, ut melius dicam, sunt creaturæ rationales quia Deus rationem habet, aliæ vero quæ non sunt rationis participes, secundum rationem constant, permanent atque moventur, quoniam rationem habet Deus. Sed fortasse dicet aliquis diversas esse creaturas, diversamque earum rationem. Discat iste quoniam hæ res multæ, eo ipso quod sint creaturæ et inceperint esse, et diversæ sint tam sententia quam natura, necnon e nihilo fuerint eductæ, ideo instabilem et diversam rationem, minime vero substantialem habent. At cum unus sit Deus vivus

D qui et Pater semper vivit, unum quoque est ejus Verbum, seu una ratio, vivens sicut et Pater, semperque vivens, sicut Pater qui est, et perfecta quia Pater perfectus est; ideo non multæ sunt in Deo rationes quæ non sint substantiales, ne videatur imperfectus et mutabilis, et ad sublimiorem rationem evectus, sapientiamque accipiens; sed una est ratio perfecta, et substantialis, et vivens et coæterna sapientia in Deo, unigenitum ejus Verbum, in quo omnes rationes sunt ante sæcula. Insuper Spiritus sanctus omnia vivificans unus est

ex uno qui semper est Patre, et vivens et vivificans, et in Spiritu sancto vitam habent creaturæ rationabiles, vel potius immortalitatem, quoniam rationabilia sine Spiritu esse non possunt; unde res ratione præditæ vitam quidem habent ex sancto Spiritu, rationem vero ex Verbo vivente et exsistentiam ex eo qui est Patre; verum irrationabilia ex eo qui semper est Patre habent quod sint, ex vivo Patris Verbo quod sint modo rationi consentaneo, et propriam singulæ naturam habeant, necnon ex vivente omniaque coadunante sancto Spiritu quod moveantur et permaneant, propriamque singulæ virtutem consequantur. Etenim quid est ex omnibus quæ exsistunt quod non sit secundum rationem? vel quid est quod motum suum propriamque virtutem non habeat? Horum vero universorum auctor est Trinitas, qui semper est, vivit et manet Pater, et Verbum quod semper est cum Patre, Filius consubstantialis et incorporeus, splendor, figura, sapientia et virtus, atque Spiritus ex Deo procedens et in Deo vivificans, ab æterno in eo vivens, universaque vivificans et coadunans.

A ἁγίου Πνεύματος· λογικὰ δὲ ἐκ τοῦ Λόγου τοῦ ζῶντος, καὶ ὄντα ἐκ τοῦ ὄντος Πατρός. Καὶ τὰ ἄλογα δὲ τὸ εἶναι ἐκ τοῦ ἀεὶ ὄντος ἔχει Πατρός, καὶ τῷ Λόγῳ δὲ εἶναι, καὶ οὕτω πως ἔχειν ἕκαστον κατὰ φύσιν ἐκ τοῦ ζῶντος Λόγου τοῦ Πατρός, καὶ τὸ κινεῖσθαι δὲ καὶ μένειν καὶ δύναμιν οἰκείαν κεκτῆσθαι ἕκαστον ἐκ τοῦ ζωοῦντος καὶ συνέχοντος πάντα ἁγίου Πνεύματος. Τί γὰρ τῶν ὄντων, ὃ μὴ κατὰ λόγον ἐστίν; Ἢ τί ὃ μὴ κίνησιν ἰδίαν ἔχει καὶ δύναμιν; Πάντων δὲ τούτων αἴτιος ἡ Τριάς, **12** ὁ ἀεὶ ὢν καὶ ζῶν καὶ μένων Πατήρ. Καὶ ὁ ἀεὶ ὢν σὺν τῷ Πατρὶ Λόγος καὶ Υἱὸς συμφυὴς καὶ ἀσώματος, τὸ ἀπαύγασμα, ὁ χαρακτήρ, ἡ σοφία καὶ δύναμις. Καὶ τὸ ἐκ Θεοῦ καὶ ἐν τῷ Θεῷ ζωοποιὸν Πνεῦμα, ἀϊδίως ὑπάρχον ἐν αὐτῷ, ζωοποιοῦν τε καὶ συνέχον B τὰ σύμπαντα.

At cum ex omnibus istis visibilibus homo sit pulcherrimum, ad imaginem Dei creatus, ab ejus etiam creatione et natura Trinitatis imaginem perpendamus, nam ipse nequaquam factus est propter mundum visibilem, cum iste sit rationis expers et ejus motus perfectus nobisque cognitus, ipse potius propter hominem factus est, ut motu illius constet hominis corpus; anima autem homo spiritaliter movetur, et Creatorem contemplatur, ipsumque præ cæteris ad imaginem Dei creatum esse scriptum est, prout sancti multi de hac re senserunt; etenim invenies Trinitatem ab ipso testimonium accipiens, sicut hac super re de aliis latius diximus. Nam mente anima æternam mentem testatur Patrem, ratione Verbum et vitali potentia Spiritum omnia vivificantem. Angeli quoque, cum sint intelligentiæ, æternam mentem Patrem supersubstantialem prædicant; cum sint rationabiles et sapientes, Verbum et sapientiam viventem manentemque in magna mente declarant; et cum vita gaudeant, donumque luminum habeant, in vivente sanctoque Patre viventem et sanctificantem et vivificam substantialem virtutem manifestant Spiritum sanctum qui est fons gratiarum. Imo creatura rationis exspers Creatorem testatur; nam dum viventia ex viventibus generantur et generant etsi brevi tempore, dum corpora ex materia et elementis similia e similibus constant et singula immortalitatem appetunt, Deum qui Pater est et Verbum sine dolore generans necnon ex ipso vivificantem sanctumque Spiritum prædicant, illumque ut conditorem suum testantur creaturæ omnes. Sol vero eum manifestat radios lumenque emittens, monstrant et astra universa ignem vibrantia. Item de arboribus et plantis quæ flores fructusque producunt. Terra autem dum sexcentis viventium plantarum generibus luxuriat, et uno verbo omnes creaturæ solum universorum Deum in Trinitate glorificant, præsertim vero ex omnibus quæ perfecta sunt et perficiuntur

Ἐπεὶ δὲ καὶ τῶν ὁρωμένων τουτωνὶ τὸ κάλλιστον ἄνθρωπος, καὶ κατ' εἰκόνα Θεοῦ κτισθείς, καὶ ἀπὸ τῆς δημιουργίας τούτου καὶ φύσεως εἰκόνα τῆς Τριάδος κατανοήσωμεν. Οὐδὲ γὰρ αὐτὸς διὰ τὸν ὁρώμενον κόσμον, ἐπεὶ ἄλογος ὁ ὁρώμενος, καὶ πεπερασμένη τούτου καὶ ἐγνωσμένη ἡμῖν ἡ κίνησις, καὶ οὗτος δι' αὐτὸν τὸν ἄνθρωπον ἐστι μᾶλλον, ἵνα συνέχῃ τούτου τῇ κινήσει τὸ σῶμα. Τῇ ψυχῇ δὲ ἄνθρωπος νοερῶς κινεῖται καὶ θεωρεῖ τὸν κτίσαντα, καὶ αὐτὸς πρὸ τῶν ἄλλων κατ' εἰκόνα γέγραπται κτισθῆναι Θεοῦ, ὡς καὶ πολλοῖς τῶν C ἁγίων περὶ τούτου διείληπται. Εὑρήσεις γὰρ καὶ ἐξ αὐτοῦ μαρτυρουμένην τὴν Τριάδα, καθὰ καὶ ἐν ἄλλοις περὶ τούτου ἡμῖν πλατύτερον εἴρηται. Ἡ ψυχὴ γὰρ τῷ νοῒ τὸν ἄναρχον νοῦν μαρτυρεῖ, τὸν Πατέρα, καὶ τῷ λόγῳ τὸν Λόγον, καὶ τῇ ζωτικῇ δυνάμει τὸ ζωοποιοῦν πάντα Πνεῦμα. Καὶ ἄγγελοι δὲ νόες μὲν ὄντες οὕτω κηρύττουσι τὸν προαιώνιον νοῦν τὸν Πατέρα τὸν ὑπερούσιον· λογικοὶ δὲ ὄντες καὶ σοφοί, τὸν Λόγον καὶ τὴν σοφίαν τὴν ζῶσαν καὶ μένουσαν ἐν τῷ μεγάλῳ νοΐ. Ἀεὶ δὲ ζῶντες, καὶ φωτισμάτων δωρεὰς ἔχοντες, τὴν ἐν τῷ ζῶντι καὶ ἁγίῳ Πατρὶ ζῶσαν καὶ ζωοποιὸν καὶ ἁγιαστικὴν ἐνυπόστατον δύναμιν, τὸ πανάγιον Πνεῦμα, ὅπερ ἡ πηγὴ τῶν χαρισμάτων ἐστίν. Ἀλλὰ καὶ ἡ ἄλογος D πᾶσα κτίσις μαρτυρεῖ τὸν Δημιουργόν· τὸ γὰρ γεννᾷν καὶ γεννᾶσθαι ζῶντα ἐκ ζώντων, εἰ καὶ ῥευστῶς, διὰ τὸ ἐκ τῆς ὕλης καὶ τῶν στοιχείων ἔχειν τὰ σώματα, καὶ ὅμοια ἐξ ὁμοίων, καὶ τὴν ἀθανασίαν ἕκαστον τούτων ἐπιζητεῖν, τὸν ὄντα Πατέρα Θεόν, καὶ ἀπαθῶς τίκτοντα Λόγον, καὶ τὸ ἐξ αὐτοῦ ζωοποιὸν καὶ ἅγιον Πνεῦμα κηρύττουσι· καὶ τοῦτον ὡς κτίστην ἑαυτῆς ἡ κτίσις ἅπασα μαρτυρεῖ. Καὶ ἥλιος δὲ τοῦτο δείκνυσιν, ἀκτῖνας ἐκπέμπων καὶ φῶς, καὶ ἀστέρες πάντες· ὁμοίως τε καὶ τὸ πῦρ. Ἀλλὰ καὶ τὰ φυτὰ καὶ βοτάναι, ἄνθη προάγοντα καὶ καρπούς. Καὶ γῆ δέ, μυρία βλαστάνουσα φυτῶν εἴδη ζῶντα. Καὶ ἁπλῶς πᾶσα κτίσις τὸν ἐν Τριάδι μόνον Θεὸν τῶν ὅλων δοξολογεῖ. Ἐξαιρέτως δὲ ἐκ τῶν τελεσθέντων, καὶ ἔτι τελουμένων, καὶ

ἐναργῶς δεικνυμένων θαυμάτων καὶ λόγων καὶ πράξεων ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἡ τῆς Τριάδος ἀναδείκνυται καὶ κηρύσσεται δύναμις. Τίς γὰρ ὁ ἐξαπλώσας ἐν ὅλῳ τῷ κόσμῳ τὸ τῆς Τριάδος κήρυγμα, καὶ τὴν σάρκωσιν τοῦ Χριστοῦ; Καὶ ἔτι ἐξαπλῶν καὶ συνέχων, ἀμετρήτων ἀνθρώπων καὶ βασιλέων καὶ ἐθνῶν ἐναντιωθέντων αὐτῷ τῷ κηρύγματι καὶ διωξάντων, καὶ μέχρι νῦν διωκόντων; Πόθεν ὁ πόθος τῆς παρθενίας ἐν τοῖς πιστοῖς; Πόθεν ὁ ἔρως τῆς σωφροσύνης, καὶ τὸ φεύγειν τὰ ἐν τῷ κόσμῳ, καὶ ἡ ἐν ἐρήμοις πολλῶν ἀναχώρησις; Πόθεν ἡ χάρις τῶν ἱερέων, καὶ τὰ διὰ τῶν ἱερέων γινόμενα, λύσεις καὶ δεσμοὶ τῶν ἁμαρτημάτων; Ἃ καὶ δι' αἰσθητῶν καὶ νεκρῶν σωμάτων ἐπιμαρτυρεῖ ὁ Θεός. Πόθεν ἡ ἐν τοῖς ἁγίοις λειψάνοις τῶν ἰαμάτων ἐνέργεια; Ἣν καὶ ἀσεβοῦντες ὁρῶσι, καὶ ἄκοντες καθομολογεῖν ἀναγκάζονται. Πόθεν αὐτοῖς ἡ εὐωδία καὶ τὸ μένειν ἀλώβητα; Τὰ θεῖα δὲ ἐνεργήματα τὰ διὰ τῶν ἁγίων εἰκόνων καὶ ἱερῶν ναῶν, καὶ ἡγιασμένων ὑδάτων πόθεν; Οὐ ταῦτα μέχρι τοῦ νῦν ἐν τῇ Ἐκκλησίᾳ ἀριδήλως τελεῖται, τῇ ὀρθοδόξως ὁμολογούσῃ τὸν ἐν Τριάδι Θεόν; Ἀλλὰ καὶ τὰ ἐκ μαρτυρικῶν μύρα λειψάνων, καὶ αἱ θαυματουργίαι, καὶ αἱ πρόδηλοι τῶν ἁγίων αὐτῶν ἐπιστασίαι καὶ φυλακαὶ ἡμῶν τῶν πιστῶν παρ' ἀσεβούντων διωκομένων, καὶ αἱ τῶν ἀθέων αὐτῶν καταστροφαὶ πολλάκις καθ' ἡμῶν κινουμένων μανίᾳ καὶ συνεργείᾳ σατανικῇ, λαμπρῶς παριστῶσι τὸ τῆς εὐσεβείας αὐτῶν τῶν Χριστιανῶν θεῖον καὶ μέγα μυστήριον. Ἀλλὰ **13** καὶ αὐτὸ τὸ διώκεσθαι ἡμᾶς ὡς πιστούς τε καὶ ὀρθοδόξους παρὰ τῶν ἐναντίων, καὶ τὸ ταλαιπωρεῖσθαι καὶ πάσχειν τὸ μεθ' ἡμῶν εἶναι τὸν ἀληθῆ καὶ μόνον ἐν Τριάδι Θεὸν παρίστησιν. Οὐδὲ γὰρ ἀνάπαυσις Θεῷ ἐν τῷ κόσμῳ τούτῳ, οὐδὲ ἐν τοῖς ὁρωμένοις, καὶ ζητοῦσι τὰ τοῦ κόσμου τούτου καὶ ποθοῦσιν ἀνθρώποις, ἀλλ' ἐν τοῖς ἀγαπῶσιν αὐτὸν καὶ ζητοῦσι τὴν δόξαν αὐτοῦ, καὶ ὑπὲρ αὐτοῦ ἀγωνιζομένοις, οἵτινές εἰσιν οἱ κατὰ τούς πάλαι δικαίους θλιβόμενοι, διωκόμενοι, πενόμενοι, κακουχούμενοι, ἀποθνήσκοντες, ξενιτεύοντες, ὡς ὁ Ἄβελ καὶ Νῶε, καὶ Ἀβραάμ τε καὶ Ἰσαάκ, καὶ Ἰακὼβ καὶ οἱ αὐτοῦ παῖδες· ἔτι δὲ Μωϋσῆς καὶ Ἠλίας καὶ Δανιήλ, καὶ οἱ τρεῖς παῖδες, καὶ Ἰερεμίας, καὶ πρὸ αὐτοῦ Ἡσαΐας καὶ Ἰεζεκιήλ, καὶ Μακκαβαῖοι δὲ ὕστερον, καὶ εἴ τις κατ' αὐτοὺς ἕτερος. Καὶ τὸ ὑπομένειν δὲ πάσχοντας ἡμᾶς, καὶ πάντα φέρειν ὑπὲρ Χριστοῦ, τὴν αὐτοῦ ἀληθεστάτην καὶ μόνην καταγγέλλει πίστιν, καὶ τοὺς λόγους ἀληθεῖς τῆς διδασκαλίας αὐτοῦ· ὅτι καὶ περὶ τοῦ πάσχειν ἡμᾶς ἐν τούτῳ τῷ κόσμῳ προήγγειλεν· ἐπεὶ καὶ αὐτὸς ἔπαθεν ὑπὲρ ἡμῶν. Καὶ ἡ τῆς Ἐκκλησίας δὲ αὐτοῦ νομοθεσία καὶ γνῶσις καὶ παρθενίαν διδάσκει, καὶ ἁγνείαν καὶ καθαρότητα, ἔτι γε ταπείνωσιν καὶ ὑπομονὴν μετ' εὐχαριστίας πρὸς τὸν Θεόν, ἀκτημοσύνης τε καὶ τοῦ φεύγειν τὸν κόσμον παραίνεσιν. Καὶ οὐ μόνον μὴ τὸ πονηρὸν ἐνεργεῖν, μηδ' ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, ἀλλὰ καὶ ἀφιέναι τοῖς πταίσασι. Καὶ ἀγαπᾷν τοὺς ἐχθρούς, καὶ μὴ μνησικακεῖν ὅλως, μηδ' ὀργίζεσθαι, ἀλλὰ καὶ καλῶς

A et palam ostenduntur miraculis, sermonibus et gestis in Ecclesia Christi revelata prædicatur Trinitatis potestas. Nam quis in universo mundo prædicationem Trinitatis et incarnationem Christi propagavit? Quis nunc quoque propagans et colligens, innumeris hominibus regibusque et gentibus prædicationem repellentibus, persecutis et nunc etiam persequentibus? Unde in fidelibus virginitatis desiderium? Unde amor castimoniæ, et fuga eorum quæ in mundo sunt, et multorum in deserta secessus? Unde gratia sacerdotum, et ea quæ per sacerdotes facta sunt, dimissa retentaque peccata, quæ sensibilium mortuorumque corporum ope testatur Deus? Unde in sanctis reliquiis sanitatum virtus? Hanc et ipsi cernunt impii, et inviti coguntur
B confiteri. Unde bono odore redolent intactaque manent corpora? Unde divinæ operationes per sanctas imagines, per templa sacra, per aquas sanctificatas? Nonne hæc omnia usque ad nunc in Ecclesia perfecta sunt, in ea quæ, ut recta fert doctrina, Deum in Trinitate confitetur? Sed etiam unguenta e martyrum reliquiis manantia, et prodigia, et manifesta sanctorum ipsorum præsidia ac custodiæ quibus nos fideles ab infidelibus exagitatos tuentur, ipsorumque impiorum clades nos sæpius diabolica feritate vel ope satanica insectantium, evidenter divinum magnumque pietatis Christianorum patefaciunt mysterium; sed eo ipso quod nos ut fideles et orthodoxi ab ini-
C micis vexamur et cruciatibus afflicti patimur, solum et verum in Trinitate Deum esse nobiscum probatur; non enim quiescit Deus in hoc mundo, nec in his quæ videntur, neque in hominibus qui res mundi quærunt et desiderant, sed in eis qui eum diligunt et gloriam ejus quærunt, et propter eum dimicant; hi autem sunt qui secundum veteres justos contriti, afflicti, ad inopiam reducti, male habiti, occisi, in exsilium missi sunt, velut Abel, et Noe, et Abraham, et Isaac, et Jacob ejusque pueri, et insuper Moyses, Helias, Daniel, tres pueri, Jeremias, necnon ante istum Isaias et Ezechiel, postea Macchabæi et omnes alii iis similes. Dum nos patimur et affligimur et omnia propter Christum toleramus, verissima solaque ejus fides
D demonstratur, necnon veri ejus sermones atque doctrinæ; quoniam nos in mundo passuros prædixit sicut et ipse pro nobis passus est. Ipsaque ejus Ecclesia, et hujus institutio atque doctrina et virginitatem docet, et castitatem atque puritatem insuper et humilitatem atque patientiam, hortatur etiam ut gratias Deo agamus, paupertatem amemus, et mundum fugiamus, imo ut non solummodo malum non faciamus, neque malum pro malo reddamus, sed etiam ut nos offendentibus dimittamus, ut inimicos diligamus, et non tantum ut nullo modo injurias recordemur, neque irascamur, sed insuper ut benefaciamus iis qui oderunt nos, et pro illis deprecemur. Quæ et similia cœlestem et divinam et veram et solam Christianorum no-

stri fidem exhibent. Hæc enim sunt Dei omniumque Domini institutiones. Quibus, puto, et similibus impium ad cognitionem Evangelii deduces, inducesque ad noscendum vivum Dei Verbum et Spiritum sanctum, necnon ad discendam Ecclesiæ doctrinam utpote divinam et sanctam. Ex his suadebis ad discenda incarnationis unius e Trinitate personæ, Dei Verbi Jesu Christi mysteria, etsi non minus difficile sit suadere virum qui in impietate vixit quam tentare mortuum resuscitare, et stultum ad intelligentiam adducere, nisi Deus manum porrigat, illorumque dementiam velut oculos cæci a nativitate adaperiat: nam Deum noscere, Dei opus est, et præsertim velle suadere hominem qui carnalem habeat mentem, et quia super omnem mentem omneque verbum intelligentium et rationabilium omnium creator est Trinitas, et quia sine divina gratia creatura nequit Creatorem intelligere.

A ποιεῖν τοῖς μισοῦσι, καὶ ὑπὲρ αὐτῶν εὔχεσθαι. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα τὴν οὐράνιον καὶ θείαν καὶ ἀληθῆ καὶ μόνην τῶν Χριστιανῶν ἡμῶν πίστιν παρίστησι· Θεοῦ γὰρ ταῦτα καὶ δεσπότου τῶν ὅλων νομοθεσίαι. Ἐκ τούτων οἶμαι καὶ τῶν ὁμοίων πρὸς τὴν τοῦ Εὐαγγελίου ἑλκύσεις γνῶσιν τὸν ἀσεβῆ, καὶ πείσεις κατανοῆσαι τὸν τοῦ Θεοῦ ζῶντα Λόγον, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὰς παραδόσεις τῆς Ἐκκλησίας, ὡς θείας καὶ ἁγίας καταμαθεῖν. Ἐκ τούτων δὲ καὶ τὰ τῆς ἐνανθρωπήσεως τοῦ ἑνὸς τῆς Τριάδος Θεοῦ Λόγου Ἰησοῦ Χριστοῦ πείσεις νοῆσαι μυστήρια, εἰ καὶ χαλεπὸν τὸν ἀσεβῶς ζήσαντα πείθειν, ὡς καὶ νεκρὸν ἐγείρειν πειρᾶσθαι, καὶ τὸν ἀσύνετον εἰς σύνεσιν ἀγαγεῖν, εἰ μὴ Θεὸς ὀρέξειε χεῖρα, καὶ τὴν ἐκείνων ἄνοιαν, ὡς τοὺς ὀφθαλμοὺς B τοῦ ἐκ γενετῆς τυφλοῦ διανοίξειεν. Ἐπεὶ καὶ τὸ γνῶναι Θεὸν Θεοῦ ἔργον, καὶ μάλιστα τὸ ἄνθρωπον πείθειν βούλεσθαι νοῦν ἔχοντα σαρκικόν· καὶ ὅτι ὑπὲρ νοῦν καὶ λόγον, ὁ τῶν νοερῶν καὶ λογικῶν καὶ τῶν ἁπάντων δημιουργὸς ἡ Τριάς ἐστι· καὶ ὅτι χωρὶς τῆς τοῦ Θεοῦ χάριτος, οὐ δύναμις τῷ κτίσματι κατανοῆσαι τὸν κτίστην.

Clericus. Abunde, domine, multis verbis doctrinam de Trinitate nobis revelasti, et docuisti nos fere suadere impios de Filio Dei unigenito seu Verbo, eo magis quo Scripturam aliaque argumenta per exempla recordatus es, pariterque ea quæ divinitus in Ecclesia perfecta sunt, quibus necessarium est omnes atheos aggredi. Sed cum multa sit hæreseon turba, quarum sectatores omnes quidem Christiani appellantur, multimodis autem distrahuntur opinionibus, quid de istis faciemus? Sunt enim ex eis qui ad singulas hæreses pertinent, qui nos orthodoxos lacessere tentant rationemque petunt de recta fide nostra.

Pontifex. Rationem omnibus dare non est necessarium, prout prædiximus, sciscitantes vero docere oportet quos cum pace alloquendum est; sed ab eis qui contendere malunt abscedendum, nam contendere non amat Ecclesia Christi, sicut dixit Paulus: « Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque Ecclesia Dei; » ideo enim hæreticos omnes ut contentiosos et infideles anathemate ferit Ecclesia.

Clericus. Sed si quis ad suam utilitatem sciscitatur, quid faciendum?

Pontifex. Hunc oportet suscipere, et ei ministrare. Insuper si dicendi gratiam habeas, Christum deprecatus, ex eis quæ sancti adversus hæresim elucubraverunt dissere; nam nihil quod non dixerint Patres, cum et ipsis ingens lucta adversus hæreses incubuerit, quas adjuvante Spiritu vicerunt, et falsas earum revelaverunt opiniones. Quod si nequeas sciscitanti respondere vel quia gratiam vel quia licentiam non habes; nam lex Ecclesiæ constituit hanc facultatem dari ab impositione manuum; noli erubescere eum adducens sciscitantem ad virum religiosum qui sciat recte dicere; multa enim erit ambobus utilitas, atque, juvante Deo, vel errantem

Κληρικός. Ἀρκούντως, δέσποτα, καὶ διὰ πολλῶν ἡμῖν τὴν περὶ τῆς ἁγίας Τριάδος ἀπεκάλυψας γνῶσιν, καὶ πεῖσαι σχεδὸν τοὺς ἀθετοῦντας τὸν τοῦ Θεοῦ Υἱὸν τὸν μονογενῆ καὶ τὸν Λόγον ἐδίδαξας· καὶ μᾶλλον ὅτι γραφικῶν καὶ ἐννοιῶν ἑτέρων διὰ παραδειγμάτων ἐμνήσθης, καὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ θείως ἐνεργουμένων, ἃ καὶ πρὸς πάντας ἀθέους ἀναγκαῖά εἰσι λέγεσθαι. Ἐπεὶ δὲ καὶ πλῆθός ἐστι πολὺ τῶν αἱρέσεων, καὶ Χριστιανοὶ μὲν πάντες καλοῦνται, δόξαις δὲ μερίζονται πολυτρόποις, τί ἂν καὶ περὶ τούτων ποιήσαιμεν; Ἔστιν ὅτε ἑκάστης αἱρέσεως C τινῶν πρὸς τοὺς ὀρθοδόξους ἡμᾶς φιλονεικεῖν πειρωμένων, ἢ καὶ λόγον ἀπαιτούντων περὶ τῆς ὀρθῆς ἡμῶν πίστεως.

Ἀρχιερεύς. Οὐ πᾶσι διδόναι λόγον ἀνάγκη, καθὼς προειρήκαμεν· ἀλλὰ τοῖς μὲν ζητοῦσι μαθεῖν διαλέγεσθαι μετ' εἰρήνης, τῶν δ' αὖ ἀεὶ φιλονεικεῖν αἱρουμένων ἀφίστασθαι. Τὸν γὰρ φιλόνεικον οὐ προσίεται ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ὥσπερ ὁ Παῦλός φησιν, **14** « Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι ἐν ἡμῖν, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. » Διὰ τοῦτο γὰρ καὶ τοὺς αἱρετικοὺς πάντας ὡς φιλονείκους καὶ ἀπειθεῖς ἀναθεματίζει ἡ Ἐκκλησία.

Κληρικός. Καὶ ἐάν τις ὡς ὠφεληθῆναι ζητῇ, τί ποιητέον;

D *Ἀρχιερεύς*. Τὸν τοιοῦτον προσδεκτέον, καὶ ἐν ἀγάπῃ θεραπευτέον. Πλὴν εἰ μὲν χάρις ἐστί σοι τοῦ λέγειν, Χριστὸν ἐπικαλεσάμενος, ἐκ τῶν τοῖς ἁγίοις πεπονημένων κατὰ τῆς αἱρέσεως λέγε. Οὐδὲν γὰρ ὃ μὴ εἰρήκασιν οἱ Πατέρες. Ἐπεὶ καὶ πολὺς αὐτοῖς ὁ κατὰ τῶν αἱρέσεων ἀγὼν γέγονε, καὶ συνεργείᾳ τοῦ θείου Πνεύματος νενικήκασι ταύτας, καὶ τὰς δόξας αὐτῶν ψευδεῖς ἀπεφήναντο. Εἰ δ' ἀδυνάτως ἔχεις περὶ τοῦ ζητουμένου λέγειν, οὐδὲ χάριν τοῦ λέγειν ἢ ἔνδοσιν, καὶ τοῦτο γὰρ νόμος τῆς Ἐκκλησίας, τὸ χειροτονίαν ἔχειν καὶ ἔνδοσιν, μὴ αἰσχυνθῇς προσενεγκεῖν τὸν ζητοῦντα ἀνδρὶ θεοσεβεῖ καὶ εἰδότι λέγειν ὀρθῶς· πλείστη γὰρ ἔσται καὶ ἀμφο-

τέρ϶ι; ὠφέλεια· καὶ συναιρομένου Θεοῦ, ἢ καὶ τὸν πλανώμενον ἐκεῖνον ἴσως τῇ σπουδῇ καὶ τῇ θείᾳ ἀγάπῃ διορθώσεις, ἢ σεαυτῷ μισθὸν προξενήσ-ις, καὶ ἀντὶ τοῦ κόπου χάριν εὑρήσεις παρὰ Θεοῦ.

Κληρικός. Καὶ ποία τῶν αἱρέσεων χείρων;

Ἀρχιερεύς. Ἅπαν, ἀδελφὲ, ὅπερ εἰς βάραθρον ἀπωλείας συνωθεῖ, τῆς πονηρᾶς ἐστι μοίρας· καὶ πᾶν ὅπερ τὴν σωτηρίαν ζημιοῖ, τῆς ἀπολλυμένης τυγχάνει τάξεως. Ἀλλ' ὅμως ὥσπερ διαφοραὶ ἐν τοῖς ἀγαθοῖς, καὶ ἐν ἀρεταῖς ἀναβάσεων ἐπιδόσεις, καὶ κατὰ τὰς πράξεις αἱ ἀντιδόσεις, διὸ καί φησιν ὁ Κύριος· « Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσιν· » οὕτως, οἶμαι, καὶ ἐν τοῖς ἐναντίοις, εἰ καὶ ἀταξία πᾶσα ὄντως ἐστὶν ἐν αὐτοῖς, οὐδὲν γὰρ τῶν πονηρῶν ἐν τάξει, ἐπεὶ καὶ ἄτακτος ὁ πατὴρ τοῦ ψεύδους ἐστὶν, ἀλλ' ὅμως χείρων μὲν αἵρεσις ἡ περὶ Θεοῦ πλείονας ἔχουσα βλασφημίας, ἐφεξῆς δὲ μέσαι τε καὶ ἐσχάται αἱ ἐλάττωσιν δοκοῦσαι ἔχειν τινὰ τοῦ τῆς βλασφημίας κακοῦ. Τοῦτο δὲ καὶ ἐν τοῖς ἀσεβέσιν εἶναι λογίζομαι. Πρῶτος μὲν γὰρ τῶν ἀθέων ὁ μὴ Θεὸν ὅλως εἰδὼς, καὶ ἔτι ὁ τῇ πολυθέῳ πλάνῃ κρατούμενος. Οὐ γὰρ διαφορὰ τούτοις ἀσεβείας ἐστὶν, ἐπεὶ καὶ ἴσον τὸ μὴ εἰδέναι ὅλως Θεὸν τοῦ εἰδέναι λέγειν, καὶ σέβειν ἀθέως ὡς θεοὺς τὰ τοῦ Θεοῦ κτίσματα, ἢ τὰ ὁρώμενα ταῦτα, ἢ τὰ ἐναγῆ δαιμόνια· μετὰ δὲ τοὺς πρώτους ἀθέους οἱ Θεὸν μὲν δῆθεν λέγοντες Κύριον οὐρανοῦ καὶ γῆς, χωρὶς δὲ Λόγου ζῶντος καὶ Πνεύματος. Ἄθεοι οὖν καὶ οὗτοι, ὡς οὐ τὸν ἀληθῆ καὶ μόνον Θεὸν κηρύττοντες. Θεὸς γὰρ μόνος ἀληθὴς ὁ Πατὴρ μετὰ τοῦ μονογενοῦς ἑαυτοῦ Υἱοῦ καὶ τοῦ ζωοποιοῦ Πνεύματος. Εἰ οὖν καὶ οὗτοι καθόλου ἄθεοι, ἀλλ' ὅμως οὐ προσκυνοῦσι τὸ πῦρ, ἢ τὸν ἥλιον, οὐδὲ τοὺς δαίμονας λέγουσι θεούς· καὶ διὰ τοῦτο ἐλάττονος κακίας εἰσί.

Κληρικός. Μετὰ τούτους δὲ τίνες εἰσὶ χείρονες τῶν ἄλλων εἰς ἀσέβειαν;

ΚΕΦΑΛ. ΙΑ'.

Κατὰ Σίμωνος τοῦ μάγου, καὶ Μάνεντος, καὶ τῶν ὁμοίων, καὶ κατὰ τῶν δυσσεβῶν Βογομύλων, ἤτοι Κουδουγέρων.

Ἀρχιερεύς. Μετὰ τούτους αἱ ἐξ ἀρχῆς αἱρέσεις, ὅσαι τὸν Χριστὸν δῆθεν ἐδέξαντο μὲν, οὐχ ὀρθῶς
15 δὲ, οὐδὲ ὡς τὸ τῶν ἀποστόλων παρέδωκε κήρυγμα· ἀλλὰ καὶ περὶ τῆς ἐμφανείας αὐτοῦ καὶ σαρκώσεως διαφόρους ἐδέξαντο δόξας. Ἔτι δὲ καὶ τὸν περὶ τῆς ἁγίας Τριάδος ὀρθὸν ἠθέτησαν λόγον. Οἱ δὲ καὶ Παρακλήτους ἑαυτοὺς ἀπεκάλεσαν ἀσεβῶς, καὶ δύναμιν Θεοῦ, ὡς Σίμων ὁ μάγος, διώκων τὸν μέγαν Σίμωνα Πέτρον, καὶ Μάνης τις ἀλιτήριος, οἱ χείρονες καὶ τῶν ἀθέων εἰσίν. Ἔτι δὲ Κήρινθός τις καὶ Καρποκράτης οἱ μιαροὶ, ἐναντίοι τοῖς ἀποστόλοις Χριστοῦ· καὶ πλεῖστοι ἄλλοι τῆς ἀληθείας ἐχθροὶ, οἵτινες καὶ ἀθέως δύο ἀρχὰς ἐδογμάτιζον. Ἐξ ὧν καὶ νῦν εἰσιν οἱ Βογόμυλοι, ἀνθρώπια δυσσεβῆ, οἱ καὶ Κουδούγεροι καλούμενοι. Διὸ καὶ ὑμᾶς περὶ αὐτῶν ἀνάγκη μαθεῖν, ὡς καὶ πλησίον ὄντων τῇ κατοικίᾳ. Ἐν πολλῇ γὰρ ὑποκρίσει καὶ τῷ προσεύχεσθαι σχηματίζονται, καὶ τὸ Εὐαγγέλιον

A illum studio simul et divina charitate corriges, vel tibimetipsi mercedem comparabis, et pro labore gratiam apud Deum invenies.

Clericus. Et quænam est ex hæresibus pejor?

Pontifex. Omne, frater, quod in abyssum exitii immergit sortis est pessimæ, et omne quod salutem perimit iniquam habet fortunam; sed quemadmodum sunt discrepantiæ in bonis multique sunt gradus ad virtutem ascendentes et variæ secundum opera retributiones, propterea enim dixit Dominus: « In domo Patris mei multæ mansiones sunt; » ita, me judice, in contrariis, licet in ipsis sit omnis perturbatio, nihil enim mali est in ordine,
B cum inimicus sit ordinis pater mendacii, attamen pessima est inter hæreses quæ plures de Deo continet blasphemias; deinde quæ pauciores habent mediæ sunt, et ultimæ quæ quam paucissimis blasphemiis scatent. Quod etiam in impietatibus inveniri censeo. Primus quidem atheorum qui Deum prorsus nescit, et qui plurium numinum falsam opinionem sequitur; nam inter hæc nulla est impietatis discrepantia, cum par sit Deum prorsus non noscere et dicere se numen agnoscere, sed irreligiose ut deos adorando creaturas sive res quæ videntur sive maledicta dæmonia. Post istos atheos primos accedunt qui Deum quidem dicunt Dominum cœli et terræ, sed absque Verbo vivente et Spiritu. Igitur athei sunt isti qui talem verum solumque Deum præ-
C dicant; Deus enim solus verus est Pater cum unigenito ejus Filio et vivificante Spiritu. Ergo hi quoque sunt athei; sed cum non colant ignem vel solem, neque dicant deos esse dæmones, ideo minori malitia horrescunt.

Clericus. Verum ab istis, quinam e cæteris sunt pejores in impietate?

CAPUT XI.

Contra Simonem magum, Manetem et similes, nec non contra impios Bogomilos sive Cudugeros.

Pontifex. Ab istis pejores ab initio hæreses sunt illæ quæ Christum quidem acceperunt, non autem recte neque sicut apostolica tradidit prædicatio,
D sed de manifestatione ejus et incarnatione diversas tenuerunt opiniones, et insuper rectum de sancta Trinitate sermonem rejecerunt. Qui impie semetipsos vocaverunt paracletos et Dei virtutem, ut Simon magus qui magnum Simonem Petrum persequebatur, et Manes nequam, qui ipsis atheis pejores sunt, insuper Cerinthus et Carpocrates immundi, qui Christi apostolis adversabantur, aliique plurimi veritatis inimici qui nefarie duo principia ponentes falso dogmatizabant. Ex quibus nunc adhuc sunt Bogomili, irreligiosa multitudo, qui et Cudogeri appellantur. Propterea necesse est vos de ipsis doceri, cum non procul a vobis morentur; nam simulatione multa fingunt se deprecari, et Evangelium quidem se tueri simulant atque aposto-

lorum epistolas et Actus, sed præter ista cæteras prorsus rejiciunt Scripturas, nec quidquam evangelicorum et apostolicorum faciunt, sed potius contraria committunt, quippe ab adversario acti omnibus Domini verbis, operibus et traditionibus adversantur. Verum potius student toto corde cogitationibus operibusque partium Antichristi, quibusdam furoribus aguntur, preces in secreto lascivosque cantus aliaque impia et turpia atque immundissima operantur, quæ non fas est scripturæ committere. Rejiciunt etiam cum fide omnia Christi mysteria, et in ea evomunt blasphemias, in divinissimum baptisma, sacram communionem, crucis adorandæ signum, sacras imagines, templa augusta, divinas legis et prophetarum Scripturas, justos omnes et martyres, hierarchiam et sanctos, uno verbo, in omnia quæ sancta sunt, secundum Satan apostatam et dæmones, quibus incitati solum in Trinitate Deum, Verbique incarnationem et omnia quæ Dei sunt turpiter blasphemant. Hæc autem nobis tradidit Salvator noster qui apostolorum suorum operibus et sermonibus divinum baptisma commisit, tremendamque corporis et sanguinis sui communionem sacrumque ministerium, et cætera ejus divina mysteria. Ipse etiam nos orationem: *Pater noster*, aliasque docuit preces quibus ipse Patrem deprecabatur. Debemus etiam legem et prophetas accipere quæ ejus gratia præmissa sunt. Divina quoque veneremur templa; hoc enim nobis ostendit ex illo templo vetere, in quo nefarie vendentes flagello expulit, quod orationis domum, suique Patris domum appellavit. « Et non sinebat, ait Marcus, ut quisquam transferret vas per templum, » quibus nos docuit venerationem divinis templis debitam. Crucis autem figuram signum suum vocavit, et ante adventum suum posteriorem eam videndam esse prædixit: « Tunc, inquit, apparebit signum Filii hominis in cœlo, » id est crux, quam imperatori Constantino sursum ostendit, et sic eum ad fidem suam quasi manu perduxit, quam etiam supra Constantinum in media die monstravit. In hac cruce et Paulus gloriatur, omnesque sancti qui non spiritaliter tantum, sed et visibiliter eam coluerunt et amplexati sunt. Ipseque Petrus illam pati, id est, cruci affigi cupiebat, quod secundum Salvatoris prædictionem obtinuit, necnon Andreas ejus frater, cæterique omnes apostoli et martyres qui hoc signum Christi sigillum appellabant. Tremenda vero et salutifera divinitusque data mysteria Paulus tradidit quæ ipse a Domino accepit. Dominus etiam non solummodo nos orare docuit dicendo, *Pater noster*, sed et alias quas ipsi dedecori habent, preces indicavit, verbi gratia: « Deus, propitius esto mihi peccatori, » quo salvatus est Publicanus; et: « Peccavi in cœlum et coram te; » et salvatus est filius prodigus, quippe hujus verbi gratia susceptus est post conversionem et reditum. Et: « Memento mei, Domine, cum veneris in regnum tuum, » propter quod latro paradisum accepit. Insuper petere debemus in nomine Christi, quod ipse do-

A μὲν ὑποκρίνονται στέργειν, καὶ τὰς τῶν ἀποστόλων δὲ ἐπιστολάς τε καὶ Πράξεις. Πλὴν καὶ αὐτὰς καὶ τὰς ἄλλας καθάπαξ ἀθετοῦσι Γραφάς. Καὶ οὐδὲν οἱ ἄθεοι ἐνεργοῦσι τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν, ἀλλὰ τἀναντία μᾶλλον, ἐκ τῆς τοῦ ἐναντίου κινήσεως ἐναντιούμενοι πᾶσι τοῖς τοῦ Κυρίου λόγοις καὶ ἔργοις καὶ παραδόσεσι. Τελοῦσι δὲ μᾶλλον ὁλοσχερῶς ἐννοίαις τε καὶ ἔργοις τῆς τοῦ Ἀντιχρίστου μερίδος, ἐνθουσιασμούς τινας καὶ προσευχὰς ἐν κρυπτῷ καὶ ἐπῳδὰς μιαράς, καὶ ἄλλα ἄθεα ἐνεργοῦντες καὶ ἐναγῆ καὶ παμβέβηλα, ἅτινα οὐδὲ θεμιτὸν γραφῇ παραδοῦναι. Ἀθετοῦσι δὲ σὺν τῇ πίστει καὶ πάντα τοῦ Χριστοῦ τὰ μυστήρια, καὶ εἰς αὐτὰ βλασφημοῦσιν, εἴς τε τὸ θειότατον βάπτισμα καὶ τὴν ἱερὰν κοινωνίαν, καὶ τὸν τύπον τοῦ B τιμίου σταυροῦ, τάς ἱεράς τε εἰκόνας, τοὺς σεβασμίους ναούς, τὰς θείας τοῦ νόμου καὶ τῶν προφητῶν Γραφάς, τοὺς δικαίους πάντας καὶ μάρτυρας, ἱεράρχας τε καὶ ὁσίους· καὶ ἁπλῶς εἰς πάντα τὰ ἅγια, κατὰ τὸν ἀποστάτην Σατὰν καὶ τοὺς δαίμονας, τῇ τούτου κινήσει εἰς τὸν ἐν Τριάδι μόνον Θεὸν, καὶ τοῦ Λόγου τὴν σάρκωσιν, καὶ τὰ τοῦ Θεοῦ πάντα εἰσὶ βλασφημοῦντες οἱ μιαροί· καὶ ταῦτα τοῦ Σωτῆρος ἡμῶν, καὶ τῶν ἀποστόλων αὐτοῦ παραδεδωκότος ἔργοις καὶ λόγοις τὸ θεῖον βάπτισμα, καὶ τὴν φρικτὴν τοῦ σώματος αὐτοῦ καὶ αἵματος κοινωνίαν τε καὶ ἱερουργίαν, καὶ τὰ λοιπὰ τούτου θεῖα μυστήρια· καὶ ἔτι οὐ τὸ, *Πάτερ ἡμῶν*, μόνον, ἀλλὰ καὶ ἑτέρας προσευχὰς, δι' ὧν καὶ αὐτὸς πρὸς τὸν Πατέρα προσηύχετο· καὶ C τὸ ἀποδέχεσθαι τὰ τοῦ νόμου τε καὶ τῶν προφητῶν, χάριν αὐτοῦ προαγορευθέντα καὶ τὸ σέβεσθαι δὲ τοὺς θείους ναοὺς, ἀπὸ τοῦ ἱεροῦ ἐκείνου τοῦ παλαιοῦ τοῦτο ἀποδείξαντος, ἔνθα τοὺς θεοκαπήλους ἐκείνους ἐξεδίωξε φραγγελλίῳ, καὶ προσευχῆς οἶκον, καὶ Πατρὸς αὐτοῦ οἶκον τοῦτον ἐκάλεσε. Καὶ οὐκ ἤφιε, φησὶν, ἵνα τις σκεῦος διὰ τοῦ ἱεροῦ εἰσενέγκῃ, τὴν πρὸς τοὺς θείους ναοὺς ὀφειλομένην διδάσκων εὐλάβειαν. Καὶ τὸν τύπον δὲ τοῦ σταυροῦ σημεῖον ἑαυτοῦ ἐκάλεσεν ὁ Σωτὴρ, καὶ πρὸ τῆς παρουσίας αὐτοῦ τῆς δευτέρας φανῆναι προηγόρευσε, τότε φανήσεται, εἰπὼν, τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, ὁ σταυρὸς δηλονότι, ὃν καὶ τῷ Κωνσταντίνῳ βασιλεῖ ὑπέδειξεν ἄνω, καὶ D πρὸς τὴν αὐτοῦ πίστιν ἐχειραγώγησε, καὶ ἐπὶ Κωνσταντίνου ἐν οὐρανῷ ἐν μέσῃ ἔδειξεν ἡμέρᾳ. Ἐν τούτῳ δὲ τῷ σταυρῷ καὶ Παῦλος καυχᾶται, καὶ πάντες ἅγιοι, οὐ νοητῶς μόνον, ἀλλὰ καὶ αἰσθητῶς αὐτὸν τιμῶντες καὶ ἀσπαζόμενοι· καὶ Πέτρος αὐτὸς, τοῦτο ζητήσας παθεῖν, τὸ σταυρωθῆναι, ὃ καὶ παρὰ τοῦ Σωτῆρος προαγόρευσιν εἴληφε· καὶ Ἀνδρέας ὁ τούτου ἀδελφὸς, καὶ πλεῖστοι ἄλλοι τῶν ἀποστόλων καὶ μαρτύρων. Καὶ σφραγῖδα Χριστοῦ καὶ σημεῖον τοῦτον ὠνόμαζον. Τὰ φρικτὰ δὲ καὶ σωτήρια καὶ θεοπαράδοτα μυστήρια καὶ Παῦλος παρέδωκεν αὐτὸς λαβὼν ἀπὸ τοῦ Κυρίου. Ὁ Κύριος δὲ μὴ μόνον προσεύχεσθαι τὴν τοῦ, « Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, » παρέδωκε 16 προσευχὴν, ἀλλὰ καὶ ἑτέρας, ἃς αὐτοὶ ἀτιμάζουσιν· ὡς τὸ, « Ὁ

Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, » δι' οὗ ἐσώθη A τελώνης· καὶ τὸ, « Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, » δι' οὗ ἐσώθη ὁ ἄσωτος· χάριν τῆς φωνῆς ταύτης γὰρ προσεδέχθη μετὰ ἐπιστροφῆς τε καὶ ταπεινώσεως· καὶ τὸ, « Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, » δι' οὗ ὁ λῃστὴς τὸν παράδεισον ἔλαβε· καὶ τὸ αἰτεῖσθαι δὲ ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, ὅπερ αὐτὸς δι' ὅλου τοῦ Εὐαγγελίου ἐδίδαξε· καὶ τὸ προσευχομένους αἰτεῖσθαι μετὰ πίστεως καὶ λαμβάνειν· καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ πλεῖστα καὶ πρὸ τῆς Διαθήκης, καὶ ἐν τῇ Διαθήκῃ προσευξαμένου, καὶ αἰτεῖσθαι καὶ λαμβάνειν ἡμᾶς ἐγγυησαμένου, καὶ πάντα ὅσα ἂν ἐν τῇ προσευχῇ αἰτώμεθα, πιστεύοντας λαμβάνειν διδάξαντος· καὶ τῶν ἀποστόλων τοῦτο διενεργούντων, B καὶ οὐ μόνον τὸ, *Πάτερ ἡμῶν*, προσευχομένων, ἀλλὰ καὶ μυρίας ἄλλας εὐχὰς, ὡς καὶ ἐν τῇ τοῦ Ματθίου ἐκλογῇ δείκνυται. Καὶ ἐν τῷ ὑποστρέψαι τοὺς ἀποστόλους δαρέντας ὑπὸ τῶν Ἰουδαίων, ὅτε οὐ τὸ, *Πάτερ ἡμῶν*, προσεύξασθαι δείκνυνται, ἀλλ' ἑτέραν ἣν γράφουσι προσευχὴν αἱ Πράξεις, καὶ ἐπλήσθησαν ἁγίου Πνεύματος, καὶ ἐσαλεύθη ὁ τόπος ἐν ᾧπερ εἱστήκεσαν, καὶ ἔτι πλείστας ἄλλας προσευχὰς πεποιήκεσαν οὗτοι· καὶ τὸ διὰ τοῦ ὀνόματος δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ τὰς θεοσημείας μᾶλλον αὐτοὺς ἐνεργεῖν· καὶ τοῦ Κυρίου οὐ μόνον προσευχὰς καὶ ὕμνους παραδεδωκότος, « Ὑμνήσαντες » γὰρ, φησὶν ἐν τῷ Εὐαγγελίῳ, « ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, » ἀλλὰ δὲ καὶ τῶν ἀγγέλων καὶ ποιμένων τοῦτο παραδειξάντων ἐν τῇ γεννήσει τοῦ Σωτῆρος Χριστοῦ, ἀγγέλων μὲν τὸ, « Δόξα ἐν ὑψίστοις Θεῷ, » δοξολογούντων, ποιμένων δὲ αἰνούντων καὶ δοξαζόντων τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον· καὶ τῶν ἀποστόλων τοῦτο ποιούντων μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου, ὡς ἐν τῷ Εὐαγγελίῳ γέγραπται· « Ὅτι καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν. »

cuit in toto Evangelio; verum precantes cum fide petamus, et accipiemus; nam Christus ipse plura prius quam Testamentum morte firmaret et in ipsa mortis hora petiit, et nos accepturos promisit, modo petierimus, omniaque quæcunque in oratione petierimus, nos credentes accepturos docuit. Quod apostoli quoque fecerunt, qui non tantum *Pater noster* precantes dixerunt, sed et sexcentas preces alias, prout monstratum in electione Matthiæ, vel etiam quando reversi sunt apostoli a Judæis pressi; tum enim scriptum est eos oravisse, non dicendo quidem, *Pater noster*, sed aliam orationem quam referunt Actus, et repleti sunt Spiritu sancto, et contremuit domus in quam ingressi fuerant, multasque adhuc alias isti fecerunt orationes. Præterea in nomine Jesu Domini nostri divina magis ipsi operati sunt miracula; et non solum Dominus preces hymnosque tradidit; scriptum est enim in Evangelio: « Et hymno dicto, exierunt in montem Olivarum; » sed ipsi angeli et pastores hoc exhibuerunt in nativitate Salvatoris Christi; angeli quidem, cum cecinerunt: « Gloria in excelsis Deo; » pastores autem glorificantes et laudantes Deum in omnibus quæ audierant et viderant; apostoli vero ita fecerunt post Ascensionem Domini, ut scriptum est in Evangelio: « Erant, inquit, semper in templo, laudantes et benedicentes Deum. Amen. »

Οὗτοι οὖν πάσας τὰς προσευχὰς ταύτας, C καὶ τοὺς θείους ἀποσείονται ὕμνους. Καὶ τὸ, *Πάτερ ἡμῶν*, μόνον εἰς ἀθέτησιν τῶν ἄλλων δέχονται δῆθεν. Ἀλλὰ καὶ τῶν προφητῶν καὶ τοῦ Μωϋσέως τοὺς ἐνθέους λόγους, καὶ τοῦ Δαβὶδ τοὺς πανιέρους ψαλμοὺς ἀποδεχομένου τοῦ Σωτῆρος, ἐν τῷ λέγειν τὸ ἱερὸν Εὐαγγέλιον περὶ αὐτοῦ, ὅτι « Καὶ ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ· » καὶ αὐτοῦ λέγοντος, « Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ, » οὗτοι ἀσεβῶς ἀθετοῦσι ταῦτα· καὶ περὶ τῶν ἁγίων εἰκονισμάτων, οὐ τοῦ Μωσέως μόνον D νομοθετήσαντος τιμᾶσθαι ταῦτα διὰ τῶν ἐν τῇ σκηνῇ καὶ τῇ κιβωτῷ οὐρανίων ἐκμιμημάτων, εἰς τύπον γὰρ ἦσαν ἐκεῖνα τοῦ οὐρανοῦ, ἀλλὰ καὶ διὰ τῶν γλυπτῶν τῶν ἐπάνω τῆς κιβωτοῦ χερουβίμ· ἔτι δὲ καὶ τοῦ θείου Παύλου ταῦτα ἀποδεχομένου, καὶ πρώτην σκηνὴν ταῦτα καλοῦντος, καὶ τὰ ἐξώτερα μὲν ἅγια, τὰ ἐνδότερα δὲ Ἅγια ἁγίων. Καὶ τὰ γλυπτὰ δὲ διὰ τὸ θείων τύπους εἶναι, καὶ οὐ δαιμονικῶν εἰδώλων, ἢ ἀστέρων, ἢ κτισμάτων λοιπῶν, ταῦτα γὰρ μιαρὰ καὶ πανασεβῆ, ἀλλ' ἀγγελικῶν δυνάμεων ἱερὰς εἰκόνας, χερουβὶμ δόξης καλοῦντος κατασκιάζοντα τὸ ἱλαστήριον, καὶ διὰ πάντων παραδεδομένων προσκυνεῖσθαι τῶν θείων μορφωμά-

Igitur illi (hæretici) omnes istas preces divinosque respuunt hymnos, cæterisque abjectis, solam orationem *Pater noster* accipiunt; insuper divina prophetarum Moysisque verba sanctissimosque Davidis psalmos, quæ laudavit Salvator quemadmodum de eo dicit Evangelium: « Incipiens a Moyse et omnibus prophetis, interpretabatur illis in omnibus Scripturis quæ de ipso erant. » Ipse etiam dixit: « Hæc » sunt « verba quæ locutus sum ad vos, cum adhuc essem vobiscum, quoniam necesse est impleri omnia quæ scripta sunt in lege Moysi et Prophetis, et Psalmis de me. » Illi autem impie hæc aspernantur. Porro de sanctis imaginibus, non Moyses tantum jussit in honore haberi ex cœlestibus exemplaribus quæ erant in arca et tabernaculo; illa enim in figuram cœli facta erant; sed etiam ex cherubim super arcam exsculptis: et divus Paulus hæc laudavit, illa vocans prius tabernaculum et exteriora quidem sancta dicens, interiora vero Sancta sanctorum; opera autem sculptilia divinarum rerum erant figuræ, non idolorum quidem dæmoniacorum, nec siderum, nec aliarum creaturarum, quæ fœda erant et maximæ impietatis, sed sanctæ erant angelicarum potestatum imagines, sicut Apostolus appellavit cherubim propitiatorium obumbrans. Idem etiam indixit Moyses ex omnibus divinis figuris quas venerationi proposuit, ut sicut anima per confessionem, ita corpore per ea quæ sen-

tinntur, sanctificemur qui corpore et anima constamus. Quam ob causam incorporeum Dei Verbum propter nos caro factum est, Deusque noster homo fuit nobis similis cum anima et corpore, ut lapsam totam purgaret et sanctificaret naturam nostram; illi autem sordibus fœdi, cum multis quidem aliis, singulari vero insolentia divina injuriis proscindunt, et summa impietate omnia Ecclesiæ mysteria abjiciunt. Christus quidem nudus baptizatus est ut spiritale nobis traderet divinum baptisma, et Spiritus super eum descendit ut baptismi qui in Christo conficitur virtutem accipiamus, dixitque in Evangelio: « Nisi quis renatus fuerit ex aqua et Spiritu sancto, non potest introire in regnum cœlorum, » et discipulos suos baptizari jussit tam ante passionem quam post resurrectionem, primum quidem in Bethania, ubi erat Joannes baptizans, quia decebat umbram transire, verumque a Christo baptismum appropinquare, et ubi multæ erant aquæ, quemadmodum scribit Evangelium. Et rursum: « Etsi Jesus eos non baptizaret, » sed discipuli ejus, postquam potestatem eis dedisset. Insuper ipse ad eos post resurrectionem dixit: « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti; » et: « Qui baptizatus fuerit salvus erit; qui vero non crediderit, condemnabitur. » Ipsi etiam apostoli baptizati sunt. Petrus quidem a Christo, prout multis traditum est; Andreas vero et Joannes a Petro, et cæteri ab Andrea et Joanne; Paulus autem ab Anania, ut in Actibus scriptum est; Samaritani quoque a Philippo, et Eunuchus ab eodem, ut scriptum est: « Descenderunt in aquam. » Et rursum Paulus ab initio baptizat eos qui Joannis tantum baptismum acceperant. Illi autem contaminatissimi baptisma rejiciunt, cum infidelibus censentur, nostræque renovationis et regenerationis quæ in Christo datur sunt indigni. Præterea Christus, ut dictum est, nobis tradidit ministerium, accepit panem et gratias agens dixit: « Accipite et manducate, hoc est corpus meum: » et calici benedicens dixit: « Bibite ex eo omnes, hoc est sanguis meus: » et: « Hoc facite in meam commemorationem. » Paulus quoque istud testatus est dicens: « Panis quem frangimus, nonne communicatio corporis Christi est? et potus quem bibimus, nonne communicatio sanguinis Christi est? Nam accepit panem, » et cætera, et iterum: « Unum corpus sumus, omnes enim ex uno pane et potu communicamus; et, « Qui manducat panem, et bibit calicem Domini indigne, judicium sibi manducat et bibit. » Et rursum: «Probet autem se ipsum homo, et sic de pane illo edat et de calice bibat; qui enim manducat et bibit indigne, judicium sibi manducat et bibit, non judicans corpus Domini. » Dominus quidem in Evangelio dixerat: « Qui manducat meam carnem et bibit meum sanguinem in me manet et ego in eo, » et: « Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis: » et iterum:

A των, ἵνα ὡς ταῖς ψυχαῖς διὰ τῆς ὁμολογίας, καὶ τοῖς σώμασι διὰ τῶν αἰσθητῶς τελουμένων καθαγιαζώμεθα, ἐκ σώματος συγκείμενοι καὶ ψυχῆς. Δι' ἣν αἰτίαν καὶ ὁ τοῦ Θεοῦ ἀσώματος Λόγος δι' ἡμᾶς ἐσαρκώθη, καὶ καθ' ἡμᾶς μετὰ ψυχῆς καὶ σώματος ἄνθρωπος γέγονεν ὁ Θεὸς ἡμῶν, ἵν' ὅλην ἡμῶν παραπεσοῦσαν τὴν φύσιν ἀνακαθάρῃ καὶ ἁγιάσῃ, οἱ παμμίαροι οὗτοι μετὰ πολλῶν μὲν καὶ ἄλλων **17** δυσσεβῶν, ἐξαιρέτως δὲ αὐτοὶ ἐνυβρίζουσιν εἰς τὰ θεῖα, καὶ ἀσεβοῦσι καθάπαξ, καὶ τὰ τῆς Ἐκκλησίας ἀθετοῦσι πάντα μυστήρια. Καὶ Χριστὸς μὲν γυμνωθεὶς ἐβαπτίσατο, ἵνα τὸ πνευματικὸν ἡμῖν παραδῷ θεῖον βάπτισμα, καὶ τὸ Πνεῦμα κατῆλθεν ἐπ' αὐτὸν, ἵνα τοῦ ἐν Χριστῷ βαπτίσματος τὴν δύναμιν γνῶμεν. Καὶ ἐν τῷ Εὐαγγελίῳ
B φησίν· « Ἐὰν μὴ ἀναγεννηθῆτε δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Καὶ τοὺς μαθητὰς δὲ αὐτοῦ παρήγγειλε βαπτίζειν καὶ πρὸ τοῦ πάθους καὶ μετὰ τὴν ἔγερσιν, ἐν Βηθαβαρᾷ μὲν πρότερον, ὅπου ἦν Ἰωάννης βαπτίζων διὰ τὸ τὴν σκιὰν παρελθεῖν, καὶ τὸ ἀληθινὸν ἐλθεῖν βάπτισμα τὸ ἀπὸ τοῦ Χριστοῦ, ὅπου καὶ πολλὰ ἦν ὕδατα, ὡς τὸ Εὐαγγέλιον γράφει. Καὶ πάλιν· « Καίτοι γε αὐτὸς Ἰησοῦς οὐκ ἐβάπτισεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ, ἐπεὶ τὴν ἐξουσίαν αὐτοῖς δέδωκε. » Καὶ ἔτι πρὸς αὐτοὺς αὐτὸς ἔφη μετὰ τὴν ἔγερσιν, « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Καί· « Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ
C ἀπιστήσας κατακριθήσεται. » Καὶ οἱ ἀπόστολοι δὲ αὐτοὶ ἐβαπτίσθησαν, Πέτρος μὲν ὑπὸ τοῦ Χριστοῦ, ὡς πολλοῖς παραδέδοται, Ἀνδρέας δὲ καὶ Ἰωάννης ὑπὸ Πέτρου, καὶ ὑπὸ τοῦ Ἀνδρέου καὶ Ἰωάννου οἱ λοιποί· ὁ Παῦλος δὲ ὑπ' Ἀνανίου, ὡς ἐν ταῖς Πράξεσι γέγραπται. Καὶ οἱ ἐν Σαμαρείᾳ ὑπὸ Φιλίππου· καὶ ἔτι ὁ Εὐνοῦχος ὑπ' αὐτοῦ, ἐλθόντων ἐπί τι ὕδωρ, ὡς γέγραπται. Καὶ ὁ Παῦλος δὲ βαπτίζει πάλιν καὶ ἐξ ἀρχῆς τοὺς τὸ Ἰωάννου μόνον βάπτισμα δεξαμένους. Οὗτοι δὲ οἱ παμμίαροι ἀποσείονται τοῦτο, καὶ μετὰ τῶν ἀπίστων εἰσὶ, τῆς ἀναπλάσεως ἡμῶν καὶ ἀναγεννήσεως ἐν Χριστῷ μὴ ἠξιωμένοι. Καὶ τοῦ Χριστοῦ, ὡς εἴρηται, τὴν ἱερουργίαν, παραδεδωκότος ἡμῖν, καὶ ἄρτον λαβόν-
D τος καὶ εὐχαριστήσαντος, καὶ, « Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου, » εἰρηκότος, καὶ τὸ ποτήριον εὐλογήσαντος, καὶ εἰπόντος, « Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, » καὶ, « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· » καὶ τοῦ Παύλου τοῦτο ἐπιμαρτυροῦντος, καὶ λέγοντος, « Ὁ ἄρτος ὃν κλῶμεν οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστι; Καὶ τὸ ποτήριον ὃ πίνομεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; » Καὶ γὰρ ἔλαβεν ἄρτον, καὶ τὰ ἑξῆς. Καὶ πάλιν, « Ἓν σῶμά ἐσμεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχομεν. » Καί, « Ὃς ἐσθίει τὸν ἄρτον, καὶ πίνει τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. » Καὶ πάλιν, « Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέ-

τω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων A καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου· » καὶ τοῦ Κυρίου δὲ διὰ τοῦ Εὐαγγελίου λέγοντος· « Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· » καί, « Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· » καὶ πάλιν· « Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις· » Καί, « Ἐγὼ ζῶ, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ· » καὶ ταῦτα τοῦ Εὐαγγελίου καὶ τῶν ἀποστόλων ἐν Γραφαῖς κηρυττόντων, οὗτοι οἱ ἐναγεῖς καὶ εἰς τὴν θείαν ταύτην τοῦ Χριστοῦ καὶ Θεοῦ μου κοινωνίαν βλασφημοῦσιν ἀσεβῶς. καὶ εἰς τοὺς ἱεροὺς δὲ ναούς, B καὶ τὸν τιμιώτατον αὐτοῦ τοῦ Κυρίου σταυρόν, τὸν καὶ τοῖς δαίμοσι φοβερὸν ὄντα. Χείρους καὶ τῶν δαιμόνων ὄντες οἱ ἀλιτήριοι, βλασφημοῦσι, καὶ τὰς ἁγιωτάτας εἰκόνας οὐ προσκυνοῦσιν, οὐδὲ τιμῶσιν ὅλως. Καὶ τὰς πρὸς Θεὸν προσευχὰς καὶ τοὺς ἱεροὺς ὕμνους παντελῶς ἀποστρέφονται· ἔτι δὲ τὰς παλαιὰς τοῦ νόμου καὶ τῶν προφητῶν ἁγίας Γραφὰς (ὡς εἰρήκαμεν) ὑπὸ δαιμόνων τὸν νοῦν ἐκβακχευόμενοί τε καὶ σκοτιζόμενοι. Καὶ τὸ μὲν προσεύχεσθαι τό, **18** « Πάτερ ἡμῶν, » ὡς παρὰ Χριστοῦ διδομένον, δῆθεν προσεύχονται. Φαντασίας δὲ ὁρῶσί τινας δαιμονίων, δαιμονιώδει κρατούμενοι λογισμῷ, ἵνα τι θεάσωνται, καὶ τοῦ πρώτου τῆς κακίας ἐξάρχου τοῦ πονηροῦ διαβόλου, ὃν καὶ Τόκακ γῆς βαρβάρῳ φωνῇ, τουτέστιν ἔνοικον ἢ ἄρχοντα τὸν ἀρχηγὸν τῆς ἁμαρτίας καὶ τοῦ σκότους καλοῦσι, καὶ Ἑλληνικῶς οἱ τάλανες λατρεύουσιν αὐ- C

« Caro enim mea vere est cibus, et sanguis meus vere est potus : » et : « Vivo ego, et qui manducat me, et ipse vivet propter me. » Hæc quidem Evangelium et apostoli in Scripturis prædicant, illi autem maledicti divinam hanc Christi et Dei communicationem impie blasphemant. Neque sanctissimas colunt imagines, ut supra diximus, nec in ullo honore habent, preces ad Deum hymnosque prorsus respuunt, necnon veteres legis et prophetarum sacras Scripturas, a dæmonibus mente capti et obcæcati. Dominicam quidem orationem, « Pater noster, » utpote a Christo traditam accipiunt, formas autem dæmonum, dæmoniacæ cogitationi servientes, si quid velint noscere, conspiciunt, cum primus eorum malitiæ auctor sit diabolus nequam, quem Tocapem terræ barbara voce, id est, habitatorem vel principem ducemve peccati et tenebrarum, appellant, quem miseri gentiliter colunt, et ab eo delusi non nisi ægre solvuntur errori servientes. Illi ergo etsi Christum invocent, similes tamen impiis sunt, ne pejores dicam, cum diabolo ministrent, et nefandis sordibus non se ipsos tantum sed et alios plerosque, ut didicimus, contaminent, eo magis quod in mortis articulo multos pios fallunt atque a Christo avertunt : nam mortis tempore ad negandam fidem adhortantur. Quos oportet totis viribus fugere et ab eorum hypocrisi abhorrere, quoniam dolis maligni sunt referti, istaque impietas omni nequitia miscetur ; et ideo longius de ea disseruimus, ut omnes fideles firmentur, neque cum eis societatem habeant ; nam student ut pios etiam sua labe inquinent.

τῷ. Καὶ παρ' ἐκείνου ἐξαπατώμενοι, δυσαπόνιπτοι γίνονται, τῇ πλάνῃ δεδουλωμένοι· Οὗτοι τοίνυν εἰ καὶ Χριστὸν ὀνομάζουσιν, ἀλλ' ἴσοι τελοῦσι τοῖς ἀσεβέσιν, ἔστι δ' ὅτε καὶ χείρονες, ὡς καὶ τῷ διαβόλῳ λατρεύοντες, καὶ μιαρίαις τισὶν ἀλλοκότοις οὐ μόνον ἑαυτούς, ἀλλὰ καὶ ἑτέρους πλείστους καταμολύνοντες, ὡς μανθάνομεν, καὶ μᾶλλον ἐν τῷ τέλει πολλοὺς πλανῶντες τῶν εὐσεβῶν, καὶ τοῦ Χριστοῦ ἀποκόπτοντες. Κατὰ γὰρ τὸν καιρὸν τοῦ τέλους πρὸς ἄρνησιν ἐκκαλοῦνται. Καὶ φευκτέον τούτους ὁπόση δύναμις, καὶ τὰς ὑποκρίσεις αὐτῶν βδελυκτέον, ὡς πλήρεις δόλου τοῦ πονηροῦ· ὅτι ἡ ἀσέβεια αὕτη μίγμα πάσης ἐστὶ κακίας. Καὶ τούτου χάριν πλατύτερον τὰ περὶ αὐτῆς ἐξεθέμην, ἵν' ἀσφαλίζωνται πάντες οἱ πιστοί, καὶ μὴ κοινωνίαν τούτοις παρέχωσι. Σπεύδουσι γὰρ καὶ πρὸς τοῦτο, ὥστε μολύνειν τοὺς εὐσεβεῖς.

ΚΕΦΑΛ. ΙΒ'.

Κατὰ Ἀρείου, Σαβελλίου, Εὐνομίου, Μακεδονίου, καὶ τοῦ δυσσεβοῦς Ἀπολλιναρίου.

Μετ' αὐτὴν δέ, ἡ καὶ ἴση ταύτῃ, ἡ Σαβελλίου καὶ D Ἀρείου ἐστὶ δυσσέβεια, ἀπεναντίας ἀλλήλαις οὖσαι, ἡ μὲν ἀναιροῦσα τὰς ὑποστάσεις καὶ εἰς Ἰουδαϊσμὸν φέρουσα, ἡ δὲ τὸ τῶν ὑποστάσεων ὁμοούσιον ἀθετοῦσα, καὶ τὸν Ἑλληνισμὸν ἐπεισάγουσα. Καὶ αὗται μὲν αἱ τῶν ἀσεβῶν τούτων δόξαι, καὶ ἔτι σὺν αὐταῖς ἄλλαι, Εὐνομίου τε καὶ Μακεδονίου καὶ λοιπῶν· οὐ γὰρ περὶ πασῶν λέγειν ὁ λόγος ὥρμηται· αἳ τὸ ὁμοούσιον καὶ συμφυὲς ἀθετοῦσι τῆς ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος, μᾶλλον δὲ αὐτὴν ἀθετοῦσι τὴν ἁγίαν Τριάδα. Μετ' αὐτὰς δὲ ἑτέρα ἡ τοῦ Ἀπολλιναρίου ἐστὶν ἐπὶ τῆς οἰκονομίας δυσσέβεια, ἀτελῆ τὴν ἐνανθρώπησιν βλασφημοῦσα τοῦ Λόγου, δίχα ψυχῆς νοερᾶς φληναφοῦντος αὐτοῦ ἐνανθρωπῆσαι τὸν Κύριον, ὅπερ οὐκ ἐνανθρωπῆσαι

CAPUT XII.

Contra Arium, Sabellium, Eunomium, Macedonium impiumque Apollinarium.

Post eam eique similes Sabellii et Arii ponuntur impietates quæ sibi invicem adversantur ; illa quidem personas tollit et ad Judaismum ducit ; hæc vero, rejecta personarum consubstantialitate, ad paganismum impellit : istæ quidem sunt horum impiorum opiniones et cum eis aliæ, scilicet Eunomii, Macedonii et cæterorum de quibus non necesse est singulatim dicere, quæ substantiæ et naturæ unitatem indivisibilis et inconfusibilis Trinitatis tollunt, seu potius sanctam Trinitatem rejiciunt. Post eas altera venit de dispensatione Apollinaris impietas quæ imperfectam dicens blasphemat incarnationem Verbi; iste enim somniavit Dominum sine anima intelligendi capace incarnatum, quod nequaquam erat incarnari, nec ita Dominus formam servi

accepisset; homo enim ex anima et corpore constat. Hic igitur respuit eum qui dixit: « Animam meam pono pro ovibus meis, et potestatem habeo ponendi eam et potestatem habeo iterum sumendi eam: hoc mandatum accepi a Patre meo, et nemo tollit eam a me. Pater, in manus tuas commendo spiritum meum, id est animam. Monstratur etiam illum animam habere, ex eo quod corpore mortuus a mortuis resurrexit, anima rursus corpori adunata; quod fecit ut me totum anima et corpore resuscitaret; ideo in resurrectione illius multa eorum qui dormierant corpora resurrexerunt in testimonium liberationis animarum quæ prius in inferno erant et incorruptibilitatis corporum humanorum; quæ bona eis contigerunt per animam Domini quæ ad inferos descendit, et, devicta morte, deinde divino corpori conjuncta est, quando Dominus secundum corpus resurrexit.

CAPUT XIII.

Contra Nestorium Christi adversarium et hominicolam.

Verum ex hac hæresi multi propriæ perniciei occasionem acceperunt, quorum primus est Nestorius. Iste enim, cum adversaretur Apollinari, docebat Verbum a Christo separari, Christum quidem vocans humanam Salvatoris naturam, a Verbo autem per gratiam in ipso habitanti, sed non secundum personam conjuncto separatum, unde amens negabat salutem nostram no. trumque naturæ divinæ consortium. Nam nisi incarnatus fuisset unigenitus Dei Filius, et nisi Verbum caro factum fuisset et in nobis habitasset, nullam perciperemus utilitatem; nam quomodo essemus sanctificati? vel quomodo vita nova viveremus nisi vitæ conjuncti? quomodo purgati, nisi qui mundus est et a peccato immunis nobiscum esset? Ideo ille impietatis argutus est necnon a societate fidelium exclusus; Deus enim vere nobiscum fuit, ut dixit Isaias: Virgo peperit filium, cujus nomen Emmanuel, id est Deus nobiscum; puer natus est nobis et filius datus est nobis, magni consilii angelus, filius Altissimi, cujus imperium super humerum ejus, qui ut Verbum Dei admirabilis est consiliarius, Deus fortis, utpote Patri consubstantialis, nobisque similis secundum naturam humanam, dux, princeps pacis, Pater futuri sæculi, prout scriptum est. Et quod fuit ab initio, ut dilectus clamat discipulus, quod perspeximus et manus nostræ contrectaverunt de Verbo vitæ, et vita manifestata est. Propterea nos quidem ex Deo, quoniam omnis spiritus qui confitetur Dominum Jesum in carne venisse ex Deo est. Nestorius autem ex Antechristo; nam omnis spiritus qui non confitetur Dominum Jesum in carne venisse, ex Deo non est, et hic est Antichristi. Ita Nestorius et cæterarum hæreseon causa fuit, imo multis etiam aliquo modo impietatis auctor factus est.

A ἐστιν, οὐδὲ τὴν μορφὴν τοῦ δούλου λαβεῖν τὸν Κύριον· καὶ γὰρ ἄνθρωπος ἐκ ψυχῆς τε καὶ σώματός ἐστιν. Ἀθετεῖ οὖν καὶ οὗτος αὐτὸν τὸν εἰρηκότα, « Τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων· » καί· « Ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν πάλιν λαβεῖν αὐτήν. » Καί· « Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· » καί· « Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου, » τὴν ψυχὴν δηλονότι· καὶ τοῦτο μαρτυρεῖ τὸ ψυχὴν ἔχειν σωματικῶς, νεκρωθείς, καὶ πάλιν ἀναστὰς ἐκ νεκρῶν, τῆς ψυχῆς ἑνωθείσης τῷ σώματι. Τοῦτο δὲ εἰργάσατο, ἵν' ὅλον ἐμὲ ψυχῇ καὶ σώματι ἀναστήσῃ. Διὸ καὶ τῇ τούτου ἐγέρσει πολλὰ τῶν κεκοιμημένων ἁγίων ἠγέρθη σώματα, εἰς μαρτύριον τῆς ἐλευθερίας τῶν τε πρὶν ἐν ᾅδου ψυχῶν, καὶ τῆς ἀφθαρσίας τῶν
B ἀνθρωπίνων σωμάτων, διὰ τῆς κυριακῆς ψυχῆς ἐν ᾅδου κατελθούσης, καὶ καταργησάσης τὸν θάνατον, εἶτα τῷ θείῳ ἑνωθείσης σώματι, ἐξεγερθέντος σωματικῶς τοῦ Κυρίου.

ΚΕΦΑΛ. ΙΓ'.

Κατὰ τοῦ Χριστομάχου καὶ ἀνθρωπολάτρου Νεστορίου.

Ἐκ ταύτης δὲ τῆς αἱρέσεως ἀφορμὰς εἰλήφασι πλεῖστοι τῆς ἑαυτῶν ἀπωλείας· ὧν καὶ πρῶτος Νεστόριος. Οὗτος γὰρ οἷον ἐναντιούμενος Ἀπολλιναρίῳ, τὸ χωρὶς εἶναι τὸν Λόγον, καὶ χωρὶς τὸν Χριστὸν ἐδογμάτιζε, Χριστὸν μὲν λέγων τὸ ἀνθρώπινον τοῦ Σωτῆρος, ἰδίᾳ δὲ τὸν Λόγον κατὰ χάριν ἐνοικοῦντα αὐτῷ, καὶ μὴ **19** καθ' ὑπόστασιν ἑνω-
C θέντα, ἀρνούμενος ὁ παράφρων τὴν σωτηρίαν ἡμῶν καὶ θέωσιν. Εἰ μὴ γὰρ σεσάρκωται ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός, καὶ εἰ μὴ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, οὐκ ὠφελήθημεν ἡμεῖς ὅλως. Ἢ πῶς ἂν ἡμεῖς ἡγιάσθημεν; ἢ πῶς ἀνεζήσαμεν, μὴ ἑνωθέντες τῇ ζωῇ; ἢ πῶς ἂν ἐκαθάρθημεν, μὴ τοῦ καθαροῦ καὶ ἀναμαρτήτου μεθ' ἡμῶν γενομένου; Ἀλλ' ἐκεῖνος μὲν ἀσεβῶν ἀπεδείχθη, καὶ ἐξωστράκισται· μεθ' ἡμῶν δὲ γέγονεν ἀληθῶς ὁ Θεὸς (ὥς φησιν Ἡσαΐας)· « Καὶ ἡ Παρθένος τέτοκεν Υἱόν, οὗ τὸ ὄνομα Ἐμμανουήλ, » ὅπερ « Μεθ' ἡμῶν ὁ Θεός. » Καὶ παιδίον ἐγεννήθη ἡμῖν, Υἱός, καὶ ἐδόθη ἡμῖν, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ Υἱὸς τοῦ Ὑψίστου, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, ὃς θαυμαστὸς σύμβουλος ὡς Λόγος τοῦ
D Πατρός, Θεὸς ἰσχυρὸς ὡς ὁμοούσιος τῷ Πατρί, καὶ ἡμῖν ὁμοφυὴς κατὰ τὸ ἀνθρώπινον, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὡς γέγραπται. Καὶ ὃ ἦν ἀπ' ἀρχῆς, ὡς ὁ ἠγαπημένος βοᾷ, ὃ καὶ ἑωράκαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη. Διὸ καὶ ἡμεῖς μὲν ἐκ τοῦ Θεοῦ, ἐπεὶ πᾶν Πνεῦμα ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ Θεοῦ ἐστι. Νεστόριος δὲ ἐκ τοῦ Ἀντιχρίστου ἐστί. Πᾶν γὰρ πνεῦμα ὃ μὴ ὁμολογεῖ Κύριον Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι. Καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου. Οὗτος ὁ Νεστόριος καὶ λοιπῶν ἄλλων γέγονεν αἱρέσεων αἴτιος, μᾶλλον δὲ καὶ ἀσεβείας πολλοῖς παραίτιος.

Κληρικός. Τίσι γέγονεν ἀσεβείας αἴτιος, δέσποτα; A

ΚΕΦΑΛ. ΙΔ'.

Κατὰ ἐθνῶν.

Ἀρχιερεύς. Τοῖς ἐθνικοῖς καλουμένοις· οὗτοι γὰρ πρότερον ἄστρῳ τῷ ἑωθινῷ λατρεύοντες, ὕστερον ὑπό τινος ἀπατηθέντες δυσσεβεστάτου καὶ μαινομένου Βαρβάρου, ὁμογενοῦς ὄντος αὐτοῖς, ἀκαθάρτου καὶ ἀσελγοῦς, καὶ διὰ τοῦτο τὴν ἐνέργειαν πᾶσαν τοῦ πονηροῦ δεξαμένου, Θεὸν μὲν δῆθεν λέγουσιν εἶναι, ἄθεοι δὲ καθάπαξ εἰσὶ, καθὰ καὶ πρώην ἐτύγχανον, τὸν ἀληθῆ μὴ ἐγνωκότες Θεὸν, μηδ' ὁμολογοῦντες τὸν ἄναρχον Πατέρα τοῦ ζῶντος Λόγου, τὸν ἀγέννητον, τὸν παναίτιον, τὸν ἀεὶ ὄντα, τὸν τῆς ζώσης σοφίας τοῦ μονογενοῦς καὶ ἀσωμάτου Υἱοῦ γεννήτορα, τὸν τῆς ἀληθινῆς ζωῆς προβολέα, τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ ἁγιάζοντος ἀγαθοῦ καὶ ἁγίου Πνεύματος. B Ἀθετοῦσι γὰρ καὶ οἱ παράφρονες οὗτοι τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τὸν ἀσώματον, καὶ τὸ ἐξ αὐτοῦ θεῖον καὶ ζωοποιὸν Πνεῦμα. Πᾶν δὲ ἐναγὲς ἐνεργοῦσι καὶ βέβηλον, καὶ τὸ χεῖρον, ὡς καὶ κατὰ νόμον δεδομένον αὐτοῖς, καὶ τὰ παρὰ φύσιν τῶν Σοδομιτῶν ὡς πολίτευμα κέκτηνται, ἀνερυθριάστως καταμιαινόμενοι, καὶ τὴν ἀτιμίαν τῆς πλάνης αὐτῶν (ὥς φησι Παῦλος) ἐν ἑαυτοῖς ὑπομένοντες πλῆθός τε γυναικῶν συνάγουσιν ἑαυτοῖς, καὶ φόνου πλήρεις καὶ λῃστείας ὑπάρχουσιν. Ἐπὶ γὰρ τῷ τόξῳ καὶ τῇ μαχαίρᾳ ζῶντες, κατὰ παντὸς γένους φέρονται, διώκοντες, φονεύοντες ὡς λῃσταὶ, C ἁρπάζοντες τὰ ἀλλότρια, διασπῶντες πατέρας ἐκ τέκνων, γυναῖκας ἐξ ἀνδρῶν, μηδένα τῆς φύσεως οἶκτον ποιούμενοι, μανικῶς περὶ τὰ χρήματα ἔχοντες, μανικῶς περὶ πᾶσαν τρυφὴν καὶ ἀσέλγειαν, καὶ τὸ χεῖρον, πλανώμενοι ὡς ὅτι ταῦτα ὡς δίκαιοι λαμβάνουσι καὶ πιστοὶ, ἀγνοοῦντες οἱ τάλανες, ὡς ὁ κόσμος οὗτος παράγεται, καὶ ὡς παροικία τοῖς ἀνθρώποις καὶ ὑπερορία ἐστὶ, καὶ οἱ ἁμαρτωλοὶ μᾶλλον ἅρπαγές τε καὶ ἄδικοι ἐν τούτῳ 20 τὸ πλέον ἔχουσιν. Ἐπεὶ καὶ πάροικος Δαβὶδ ἐν τῇ γῇ, καὶ πενθεῖ λέγων· « Οἴμοι! ὅτι ἡ παροικία μου ἐμακρύνθη. » Καὶ Ἀβραὰμ διὰ Θεὸν τὴν παροικίαν μᾶλλον ἠγάπησε· καὶ Ἰσαὰκ τε καὶ Ἰακὼβ, καὶ Μωϋσῆς σὺν πᾶσι προφήταις. Καὶ τὴν πτωχείαν πάντες ἐζήτησαν. D Ἔτι δὲ καὶ νόμον ὃ ἰσχυρίζονται ἔχειν, παρανομίαν ὄντα, καὶ πάσης ἀσεβείας καὶ ἀθεΐας, καὶ ἀσελγείας πλήρωμα, πεπλανημένοι παρ' ἀνθρώπου μιαροῦ καὶ βαρβάρου, πλάναις ὑποπεσόντος δαιμονικαῖς, ἑαυτὸν ἀπόστολον Θεοῦ λέγοντος, καὶ εἰς οὐρανὸν ἀνελθεῖν, εἰς ἀνατροπὴν, φεῦ! τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναλήψεως, καὶ ἑαυτὸν ὑπὲρ τὸν Χριστὸν εἶναι κατατολμῶντος λέγειν τοῦ δυσσεβοῦς, καὶ τὸν Θεὸν ἰδεῖν κρυσταλλώδη τε καὶ ὁλόσφαιρον· ὃς καὶ προσευχὰς δῆθεν διδάσκει, ἐνθουσιασμούς τινας, καὶ παραφροσύνης παρεκτικὰς, παραδείσους τε, εἰσηγεῖται πάσης ἀκολασίας μεστούς. Καὶ τί δεῖ λέγειν περὶ ταύτης τῆς ἀθεΐας; ἣν ὁ πονηρὸς ἐξαιρέ-

Clericus Quibusnam, domine, causa factus est impietatis?

CAPUT XIV.

Contra gentes impias.

Pontifex. Impiis dico gentibus, (1) quippe quæ prius astro matutino servientes, posterius a quodam furente valdeque impio barbaro deceptæ, immundo et protervo, ejusdem ac illæ generis, qui propterea totam maligni violentiam acceperat, Deum quidem esse dicunt, sed omnino sunt atheæ, ut prius erant, cum verum Deum non cognoscant, neque confiteantur æternum Verbi viventis Patrem, ingenitum, factorem omnium, semper exsistentem, viventis sapientiæ unigeniti et incorporei Filii genitorem, fontemque veræ vitæ, boni et sancti Spiritus omnia vivificantis et sanctificantis. Nam hi gentiles amentia capti Filium et Verbum Dei incorporeum, divinumque ex eo et vivificantem Spiritum rejiciunt, omnem vero immunditiam omneque flagitium perpetrant; et quod pejus est, nefanda contra naturam Sodomitarum facinora, ut si essent secundum legem ipsis traditam, in rationem vitæ communem admittunt, fonte irreverenti semetipsos contaminantes, et ignominiam erroris sui, sicut ait Paulus, in semetipsis recipientes, uxorum copiam sibi colligunt, manus habent cæde et latrocinio plenas; arcu enim gladioque viventes, adversus omnem gentem moventur, persequentes, interficientes more latronum, aliena rapientes, abstrahentes a liberis patres, uxores a viris, nec ullam naturæ miserationem facientes, avido furore divitias arripientes, et omni voluptati omnique turpitudini similiter indulgentes; et quod pejus est, ista ut justi et fideles admittunt. Quoniam nesciunt miseri hunc mundum transire, huncque hominibus incolatum esse et exsilium, peccatores illi seu magis prædones et injusti in eo spes suas plerumque ponunt, licet David se incolam in terra dixerit, et præ mœrore loquens: « Hei mihi! inquit, quia incolatus meus prolongatus est. » Abraham autem propter Deum incolatum dilexit, necnon Isaac, Jacob et Moyses, qui omnes paupertatem coluerunt. Insuper se legem habere asserunt quæ iniquitatem fovet atque omni impietate et irreligiositate, omnique turpitudine referta est, decepti ab homine immundo et barbaro, qui in errores diabolicas incidit, semetipsum dixit Dei apostolum, asseveravit se in cœlum ascendisse, ad evertendam, heu! Christi Deique nostri ascensionem, et semetipsum super Christum esse impia jactantia dicere ausus est, Deumque vidisse crystallinum et splendore indutum; qui etiam preces edocuit quosdam furore plenas ad incontinentiam impellentes, paradisosque proposuit omni libidine repletos. Quid amplius dicam de ista irreligione quam malignus præcipuam, quia stolida est omnique errore referta et super omnes

(1) Hic auctor loquitur de Mahumetis sectatoribus.

immunda, adversus nos Christianos invexit, contra pietatem nostam furens, et quæcunque ab Antichristo facienda divinæ tradunt Scripturæ per hanc impiam gentem adversus nos operatur, solamque veram Christi fidem insectatur, ipso permittente Christo, ut sui probentur, et quia mundus iste transit, et quia, sicut illum persecuti sunt, ita et nos ejus famuli persecutionem patiemur; sed quando advenerit, nos quidem vivemus, et cum eo et angelis in sæcula erimus; impii autem cum maligno quoniam æmulati sunt ejus amorem sanguinis Deique odium, immunditiam, rapacitatem, furorem, pertinaciam, simultatem, fallaciam et perfidiam, ad gehennam in perpetuum condemnabuntur. At quomodo Nestorius dedit eis impietatis causam? Dominum nostrum Jesum Christum non voluit impurus confiteri Dei Filium, Verbumque coæternum incarnatum, prout dilectus dixit discipulus: « Et Verbum caro factum est, et habitavit in nobis »: sed Verbum quidem seorsum esse, Christum autem non nisi assumptum Verbi vocavit; ipsumque hominem gratia plenum appellavit; ideoque Christiparam impie nominavit sanctissimam Virginem Deiparam. Idcirco Nestorio in Oasim relegato, deinceps immundissimus gentilium erroris auctor, nefandis illius impii doctrinis in ipsis regionibus acceptis, ibi degens magnum quidem omnibusque prophetis præstantem Christum dicebat, in Filium Dei nostrumque Deum blasphemias eructans; dixit etiam illum in cœlum ascendisse, ibique sedere; sed eum impius Deum non confitetur, neque Verbum Dei Deum esse, sed a Verbo Dei factum. Nescit iste irreligiosus quoniam, si Verbum Dei est, Verbo autem Dei cœlum et terra omnesque factæ sunt creaturæ, ipsum Verbum est quod vivit et permanet in sæcula, quemadmodum ait David; per quod cœli facti sunt, quod erat in principio, ut docet Evangelium, et erat apud Deum, et per ipsum facta sunt omnia, et sine eo factum est nihil quod factum est; ideo David ad Deum cecinit: « Omnia in sapientia fecisti; » Salomon autem: « Deus patrum meorum, qui fecisti omnia Verbo tuo, et sapientia tua constituisti hominem ». Ipsum est de quo scriptum est: « Et Verbum caro factum est, et habitavit in nobis ». Sed superfluum est de ista horum atheorum impietate plura disserere, quæ simul arguitur cum impietate Judæorum a quibus repulsi sunt Dominus et prophetæ ejus sanctaque illius lex vetus, de Verbo Dei sanctoque Spiritu manifeste prædicantes, necnon de incarnatione Verbi ex Virgine, totaque illius dispensatione; gentiles enim Judæorum infidelitati sunt affines, pariterque adversus Deum dimicant, vivum Dei Filium rejiciunt, ejusque incarnationem ex Virgine pro mundo factam, sanctumque Spiritum omnia vivificantem et universa coadunantem. Porro ex blasphemiis Nestorii multi alii, ut diximus, in malesanas omnis generis opiniones ceciderunt.

A τως ὡς ἄλογον παρὰ πάσας τὰς πλάνας οὖσαν, καὶ ὑπὲρ πάσας ἀκάθαρτον, ἐξήγειρε καθ' ἡμῶν τῶν Χριστιανῶν, κατὰ τῆς εὐσεβείας ἡμῶν μαινόμενος, καὶ τὰ τοῦ Ἀντιχρίστου ὥσπερ αἱ θεῖαι Γραφαὶ λέγουσι, διὰ τοῦ ἀσεβοῦς τούτου ἔθνους ἐνεργεῖ καθ' ἡμῶν, καὶ τὴν ἀληθῆ τοῦ Χριστοῦ καὶ μόνην διώκει πίστιν, παραχωροῦντος αὐτοῦ τοῦ Χριστοῦ εἰς δοκιμὴν τῶν αὐτοῦ. Καὶ ὅτι ὁ κόσμος οὗτος παράγεται, καὶ ὅτι ὡς αὐτὸς ἐδιώχθη, καὶ ἡμεῖς οἱ αὐτοῦ διωχθησόμεθα δοῦλοι. Ἀλλ' ἐλθόντος αὐτοῦ, ζησόμεθα μὲν ἡμεῖς, καὶ σὺν αὐτῷ εἰς αἰῶνας καὶ τοῖς ἀγγέλοις ἐσόμεθα, οἱ ἀσεβοῦντες δὲ σὺν τῷ πονηρῷ, ὡς ζηλώσαντες τούτου τὸ φονῶδές τε καὶ ἀντίθεον, καὶ τὸ ἀκάθαρτον, καὶ ἁρπακτικὸν, καὶ μανικὸν, καὶ ἐχθρῶδες, καὶ ἄσπονδον, καὶ ψευδὲς, καὶ ἐπίορκον, B εἰς τὴν γέενναν συγκαταδικασθήσονται αἰωνίως. Πῶς δὲ Νεστόριος δέδωκεν αὐτοῖς τὰς αἰτίας τῆς ἀσεβείας; Τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὐκ ἠθέλησεν ὁ μιαρὸς Υἱὸν ὁμολογῆσαι Θεοῦ, καὶ Λόγον συναΐδιον σαρκωθέντα, ὥσπερ ὁ ἠγαπημένος φησί· « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἀλλὰ τὸν Λόγον μὲν χωρὶς ἐδογμάτισεν, ἰδίᾳ δὲ ἔλεγε Χριστὸν τὸ πρόσλημμα τοῦ Λόγου, καὶ ἄνθρωπον κεχαριτωμένον αὐτὸν ὠνόμαζε· διὸ καὶ Χριστοτόκον τὴν παναγίαν Παρθένον δυσσεβῶς ἀπεκάλει τὴν Θεοτόκον. Τούτου τοίνυν τοῦ δυσσεβοῦς τὰς μυσαρὰς ὕστερον διδασκαλίας ἐν ἐκείνοις τοῖς τόποις δεξάμενος, εἰς Ὄασιν τοῦ Νεστορίου ἐξορισθέντος, ὁ παμμίαρος προστάτης τῆς τῶν ἐθνικῶν ἀσε- C βείας, διατρίβων ἐκεῖσε μέγαν μὲν καὶ ὑπὲρ πάντας προφήτας τὸν Χριστὸν ἀπεκάλει εἰς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἡμῶν βλασφημῶν· καὶ εἰς τοὺς οὐρανοὺς μὲν ἀναληφθῆναι, καὶ ἐκεῖσε καθίσαι, οὐ μέντοι Θεὸν τοῦτον ὁ ἀσεβὴς ὡμολόγει, οὐδὲ Λόγον Θεοῦ καὶ Θεὸν, ἀλλὰ λόγῳ Θεοῦ γεγονότα· ἀγνοῶν ὁ δυσσεβὴς, ὅτι εἰ Λόγος ἐστὶ Θεοῦ, λόγῳ δὲ Θεοῦ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶσα κτίσις γεγένηται, αὐτὸς ὁ Λόγος ἐστὶν ὁ ζῶν, ὁ διαμένων εἰς τοὺς αἰῶνας, καθάπερ ἔφη Δαβὶδ, δι' οὗ καὶ οἱ οὐρανοὶ ἐστερέωνται, ὃς καὶ ἐν ἀρχῇ ἦν, ὡς τὸ Εὐαγγέλιον καταγγέλλει, καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ δι' αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐπεὶ καὶ « Πάντα ἐν σοφίᾳ ἐποίησας », πρὸς τὸν Θεὸν ψάλλει Δαβίδ. Καὶ ὁ Σολομὼν, « Θεὲ πατέρων, » D λέγει, « ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον ». Καὶ ὅτι αὐτός ἐστι περὶ οὗ γέγραπται, « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. » Ἀλλὰ περιττὸν περὶ τῆς ἀσεβείας ταύτης τουτωνὶ τῶν ἀθέων καὶ πλείω λέγειν, ἐξελεγχομένης αὐτῆς μετὰ τῆς δυσσεβείας τῶν Ἰουδαίων τῶν ἀθετησάντων τὸν Κύριον καὶ τοὺς προφήτας αὐτοῦ, καὶ τὸν πάλαι ἅγιον νόμον αὐτοῦ, περί τε Λόγου Θεοῦ προδήλως καὶ Πνεύματος ἁγίου κηρύξαντας, καὶ περὶ τῆς τοῦ Λόγου ἐκ Παρθένου σαρκώσεως, καὶ πάσης αὐτοῦ τῆς οἰκονομίας. Ὧν δὴ Ἰουδαίων τῆς ἀπιστίας συγγενεῖς καὶ θεομαχίας εἰσὶν οἱ ἐθνικοὶ, καὶ τὸν τοῦ Θεοῦ ζῶντα Υἱὸν ἀθετοῦσι, καὶ τὴν σάρκωσιν αὐτοῦ τὴν ἐκ Παρθένου ὑπὲρ τοῦ κόσμου γεγενημένην, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ζωοποιοῦν πάντα καὶ συνέχον τὰ σύμ-

πάντα. Ἐκ τῶν βλασφημιῶν δὲ Νεστορίου καὶ πολλοὶ ἕτεροι, ὡς εἰρήκαμεν, πρὸς ἀλλοδαπὰς δυσφημίας ἐξέπεσον.

Κληρικός. Καὶ τίνες οὗτοι, ἅγιε δέσποτα;

21 ΚΕΦΑΛ. ΙΕ'.

Κατὰ τοῦ δυσσεβοῦς Εὐτυχοῦς, καὶ Διοσκόρου καὶ τῶν ἀφρόνων Ἀρμενίων, καὶ Ἰακωβιτῶν καὶ λοιπῶν Ἀκεφάλων· ἔτι τε κατὰ Σεργίου, καὶ Πύῤῥου, καὶ Ὀνωρίου, καὶ τῶν λοιπῶν Μονοθελητῶν.

Ἀρχιερεύς. Εὐτυχής τις πρεσβύτερος, μᾶλλον δὲ δυστυχὴς καὶ τῆς ἀπωλείας υἱὸς ἐν γήρᾳ, καὶ σὺν αὐτῷ πλεῖστοι ἕτεροι, Διόσκορός τις Ἀλεξανδρείας τὸν θρόνον καταμιάνας, καὶ σὺν αὐτῷ πολλοὶ ἕτεροι, οἳ καὶ τοῖς Ἀρμενίοις καὶ Ἰακωβίταις, καὶ Μονοθελήταις λεγομένοις ὕστερον τὰ τῆς δυσσεβείας παρέπεμψαν. Οὗτοι γὰρ ἅπαντες δῆθεν ἐναντιούμενοι Νεστορίῳ, οἱ μὲν μίαν φύσιν ἀνοήτως ἐπὶ Χριστοῦ, οἱ δὲ ἓν θέλημα καὶ ἐνέργειαν ἐδογμάτισαν. Τῶν Μονοθελητῶν ἔξαρχοι δὲ Πύῤῥος τις καὶ Ὀνώριος καὶ Μακάριος καὶ Ζωόρας, καὶ σὺν αὐτοῖς ἕτεροι, ἀδιαίρετον ἐκ τούτου δῆθεν τὸν σαρκωθέντα Λόγον κηρύττειν νομίζοντες· ἀγνοοῦντες οἱ τάλανες, ὡς ἀνατρέπουσι τὰ τῆς ἡμῶν σωτηρίας, καὶ συγχέουσι τὰ τῶν φύσεων, μᾶλλον δὲ τὰ τῆς οἰκονομίας ἀθετοῦσι τοῦ Λόγου. Εἰ γὰρ μία φύσις ὁ Λόγος σαρκωθείς, ἢ εἰς θεότητα μετεβλήθη ἡ ἀνθρωπότης, ὅπερ δυσσεβὲς καὶ ἀδύνατον, τὸ κτίσμα γενέσθαι ἄκτιστον· ἢ ἡ θεότης εἰς ἀνθρωπότητα ἠλλοιώθη, ὅπερ πάντη ἄθεον καὶ ἀσύμβατον· ἀναλλοίωτος γὰρ καὶ ὡσαύτως ἔχουσα ἡ τοῦ Θεοῦ φύσις, καὶ οὐδὲ κιρναμένη, οὐδὲ σύγχυσιν ὑπομένουσα. Οἱ μίαν φύσιν οὖν καὶ ἓν θέλημα δογματίζοντες οὐκ εἰς μικράν τινα δυσσέβειαν (ὥς τινες ἀφρόνως νοοῦσιν) εἰσὶ περιπίπτοντες, ἀλλ' εἰς τὴν ἐσχάτην καὶ πάσης πλήρωμα δυσφημίας. Ἢ γὰρ οὐ σεσάρκωται ὁ Λόγος κατ' αὐτούς, κατὰ φαντασίαν δὲ ὤφθη, ὥς τινες ἐδυσφήμησαν, καὶ ἐντεῦθεν οὔτε ἐτέχθη ὑπὸ Παρθένου, οὔτε βεβάπτισται, οὔτε συνανεστράφη ἀνθρώποις, οὔτε ὑπὲρ ἡμῶν πέπονθεν, οὔτε ἀνέστη, καὶ οὐδὲ ἡ σωτηρία ἡμῶν τετέλεσται, καὶ κενὰ τὰ Εὐαγγέλια, καὶ κενὸν ἅπαν τὸ σωτήριον κήρυγμα· ἢ εἰ σεσάρκωται, ὅπερ ἀληθὲς καὶ σεσάρκωται, Θεὸς δὲ ἦν ὁ σαρκωθείς, «Ὁ Λόγος γὰρ σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν,» καὶ ἀληθῶς ἐνηνθρώπησε, καὶ ἐν μιᾷ ὑποστάσει διφυής ἐστιν ὁ Χριστός· ὃ γὰρ ἦν διέμεινε, Λόγος γὰρ ἦν, καὶ ὃ οὐκ ἦν προσείληφε, γέγονε γὰρ σάρξ· καὶ ἀδιαίρετος ἔμεινεν, ἐκ δύο ὑπάρχων εἷς· ὅτι καὶ ἐν τῇ ἑαυτοῦ ὑποστάσει ὁ Λόγος τὴν φύσιν ἡμῶν τελείαν προσείληφεν· ἐπεὶ καὶ ἀληθῶς ἐνηνθρώπησεν. Εἰ οὖν ἐνηνθρώπησεν ἀληθῶς, πῶς φύσις μία; ἀνθρωπίνη, ἢ θεία; Καὶ εἰ μὲν ἀνθρωπίνη, οὐ Θεὸς κατ' αὐτούς· εἰ δὲ Θεὸς μόνον, οὐκ ἀνθρωπίνη. Καὶ πῶς γέννησιν δοξάζει ἐκ τῆς Παρθένου ὁ μίαν λέγων φύσιν; ἢ πῶς βάπτισμα; ἢ πῶς ἄρσιν χειρῶν; πῶς ὁδοιπορίαν Χριστοῦ; πῶς τὸ πεινῆσαι αὐτόν; πῶς τὸ διψῆσαι; πῶς τὸ κεκοπιακέναι; πῶς τὸ φαγεῖν; πῶς τὸ φυγεῖν; πῶς τὸ κρυβῆναι; πῶς τὸ ὑπνῶσαι; ἢ πῶς τὸ δεσμευθῆναι, καὶ σταυ-

A *Clericus*. Quinam isti, sancte domine?

CAPUT XV.

Contra impium Eutychen, Dioscorum stolidosque Armenios, Jacobitas, et cæteros Acephalos: contra Sergium quoque et Pyrrhum atque Honorium et cæteros Monotheletas.

Pontifex. Eutyches quidam presbyter, qui Fortunatus interpretatur, sed magis Infortunatus fuit, et destructionis filius in senectute, et cum eo alii multi, Dioscorus quidam, a quo sedes Alexandriæ polluta fuit, necnon cum eo plures alii qui Armeniis, Jacobitis et Monotheletis postea dictis viam impietatis aperuerunt, in malesanas opiniones exciderunt. Illi ergo omnes Nestorio contradicentes, alii
B quidem stulte unam in Christo naturam, alii vero unam voluntatem et energiam esse dixerunt; principes autem Monotheletarum erant Pyrrhus quidam, Honorius, Macarius et Zooras, atque cum eis alii qui proinde indivisibile prædicabant Verbum incarnatum, ignorantes, heu! miseri, se nostram salutem evertere, naturas confundere, potiusque dispensationem Verbi rejicere. Nam si una esset natura Verbi incarnati, vel in deitatem translata esset humanitas, quod irreligiosum est et impossibile creaturam fieri increatam; vel divinitas in humanitatem transmutata fuisset, quod est prorsus impium et omnino abhorrens, cum immutabilis sit et maxime propria Dei natura, neque
C immiscenda, neque confusionis patiens. Idcirco qui unam naturam unamque voluntatem prædicant, non in parvam quamdam impietatem, ut nonnulli insane cogitant, ceciderunt, sed in ultimam maledictionem, in plenitudinem omnis blasphemiæ. Quippe eorum judicio vel non incarnatum est Verbum, sed phantasmatis more apparuit, ut quidam blasphemaverunt, et proinde neque natum ex Virgine, neque baptizatum, neque cum hominibus conversatum, neque pro nobis passum, neque resurrexit, neque salus nostra perfecta est; vanum est Evangelium, vana est tota salutaris prædicatio; vel si incarnatum est, quod est verum, et carnem sumpsit, Deus autem erat incarnatus; nam «Verbum caro factum est, et habitavit in nobis»,
D vereque homo factus est, et in una persona duas Christus habet naturas; etenim id quod erat permansit, nam erat Verbum, et quod non erat assumpsit, nam caro factum est, et inconfusibilis mansit, ex duobus naturis unus, quoniam in persona sua Verbum naturam nostram perfectam assumpsit; ideoque vere factus est homo; si vero vere homo factus est, quomodo natura una? humanave aut divina? Si humana quidem, non Deus est secundum eorum sententiam; si autem Deus est tantum, jam homo non est. Porro quomodo ejus nativitatem ex Virgine honorat qui unam naturam dicit? quomodo baptizatus est? quomodo manibus

latus? Quomodo iter fecit Christus? quomodo A esuriit? Quomodo sitiit? quomodo fatigatus? quomodo manducavit? quomodo fugiit? quomodo latuit? quomodo dormivit? quomodo denique vinctus, crucifixus, mortuus, sepultus? quomodo resurrexit? quid pati et resurgere? quid post resurrectionem apparere? unde signa clavorum? unde plaga lanceæ? quomodo assumptus est? quomodo rursus veniet? Hæc enim corporis sunt; si autem corpus habuit et talia in corpore vere passus est, ex duobus naturis constat, et ipse Deus est homoque simul, et duplicis utriusque naturæ operationes habet atque voluntates, non sibi invicem adversantes, sed humanum divino subjicitur, totumque est divinum utpote Deo adunatum; sed si una tantum est natura ipsaque divina; igitur, secundum B blasphemos, totum Evangelium mendacio refertum est. Insuper quare fiunt mysteria? quare in sacrificium offertur Christi corpus et sanguis? quare colitur sepulcrum? quomodo venit? et quomodo rursum veniet? Videsne quam inepta sint ista? et quoniam tales opiniones pietatis mysterium evertunt? Superest ergo ut fugiamus eos qui mente capti tales finxerunt opiniones, ut a Deo repudiatos. Verbum vero caro factum est propter nos qui a Verbo rationales creati sumus, et contra rationem excidimus, ut ipsum nos erigeret Verbum, et lapsos contritosque reficeret, primumque decorem restitueret. Perfectum igitur est ab æterno Verbum, Deus de Deo, lumen de lumine, et splen- C dor Patris, necnon divinitate immutabilis; ait enim: « Ego sum et non mutor; » postea vero caro factum est, et cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, ut dixit Paulus; et in similitudinem hominum factus formam servi accepit et cum hominibus conversatus est. Idem ergo verus est Deus, ut Filius Dei unigenitus et vivens sapientia, idemque vere homo, ex Matre semper virgine incarnatus; idem est simul unus et duplex, idemque perfectus secundum duas naturas, quoniam idem perfectum Dei vivi Verbum in semetipso naturam humanam e Virgine assumpsit, a qua nequaquam separatum est, sed ipsum humanæ naturæ factum est principium et persona, ideo hæc natura assumptum appellatur, D quia ipsum eam assumpsit, et in seipso adunavit modo inenarrabili et supra sermonem posito, nihil patiens in ea assumenda, sed magis eam faciens deitatis participem, cum humanitas ipsius nihil de suo divinitati tribuit, sed ab ea accepit, et elevata quidem fuit a Verbo eam assumente, sed illud nullo modo humiliavit, licet incarnari humiliationem dicat; quod etiam vocatur regnum et decor, scilicet incarnatio viventis Dei Filii; ait enim: « Dominus regnavit, decorem indutus est ». Quapropter unus quidem Christus, quoniam secundum personam unus est; ideo unus Dominus Jesus Christus, ait Paulus; duplex autem naturis, quoniam Verbum caro factum est, et vita mani-

ρωθῆναι, καὶ ἀποθανεῖν, καὶ ταφῆναι, καὶ ἀναστῆναι; **22** Ποῖον τὸ παθὸν καὶ ἀναστάν; ποῖον τὸ ἐμφανισθὲν μετὰ τὴν ἀνάστασιν; Ποῦ οἱ τύποι τῶν ἥλων; ποῦ ἡ τῆς λόγχης πληγή; Πῶς δὲ ἀνελήπται; Πῶς δὲ ἐλεύσεται; ταῦτα γὰρ σώματός ἐστι. Καὶ εἰ μὲν σῶμα φορῶν ἐστι, καὶ ἐν τῷ σώματι ὑπέστη ταῦτα ἀληθῶς, ἐκ δύο φύσεών ἐστι, καὶ Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς, καὶ διπλᾶς ἑκατέρας φύσεως καὶ τὰς ἐνεργείας ἔχει καὶ τὰ θελήματα, οὐκ ἐναντιούμενα ἀλλήλοις, ἀλλ' ὑποτασσομένου τοῦ ἀνθρωπίνου τῷ θείῳ, καὶ θείου ὅλου ὄντος, ὡς τῷ Θεῷ ἡνωμένου· εἰ δὲ μία φύσις καὶ θεία αὕτη, λοιπὸν κατὰ τοὺς βλασφήμους τὰ τοῦ Εὐαγγελίου πάντα ψευδῆ. Καὶ διὰ τί τὰ μυστήρια ἐνεργοῦσι; Καὶ τί τὸ ἱερουργούμενον σῶμα καὶ αἷμα Χριστοῦ; Τί δὲ προσκυνεῖται ὁ τάφος; Πῶς δὲ ἦλθεν; ἢ πῶς πάλιν ἐλεύσεται; Ὁρᾷς τὴν ἀτοπίαν ὁπόση; καὶ ὅτι τὰ τοιαῦτα δόγματα ἀνατροπὴ τοῦ μυστηρίου τῆς εὐσεβείας ἐστί; Λοιπὸν φευκτέον ἐκ τῶν τὰ τοιαῦτα νοσούντων δόγματα ὡς ἀποβλήτων Θεοῦ. Γέγονε δὲ σὰρξ ὁ Λόγος δι' ἡμᾶς λογικοὺς κτισθέντας παρὰ τοῦ Λόγου, καὶ παρὰ λόγον πεσόντας, ἵν' αὐτὸς ἡμᾶς ἐπαναγάγῃ ὁ Λόγος, καὶ παραπεσόντας καὶ συντριβέντας ἐξαναπλάσῃ, καὶ τὸ πρῶτον ἡμῖν χορηγήσῃ κάλλος. Τέλειος μὲν οὖν ἐστιν ἀϊδίως Θεὸς ἐκ Θεοῦ τοῦ Πατρὸς ὁ Λόγος, ὡς φῶς ἐκ φωτὸς καὶ ἀπαύγασμα, καὶ τῇ θεότητι ἀναλλοίωτος. « Ἐγὼ γάρ εἰμι, » φησὶ διὰ τοῦ προφήτου, « καὶ οὐκ ἠλλοίωμαι. » Γέγονε δὲ ὕστερον σὰρξ, καὶ ἐν μορφῇ Θεοῦ ὢν, καὶ ἴσα Θεῷ εἶναι οὐ καθ' ἁρπαγὴν ἔχων (ὥς φησι Παῦλος) καὶ ἐν ὁμοιώματι ἀνθρώπων ἐγένετο, καὶ μορφὴν δούλου ἀνέλαβε. Καὶ Θεὸς ὢν ἀληθῶς ὡς τοῦ Θεοῦ Λόγος, καὶ ἄνθρωπος ἀληθῶς ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Ὁ αὐτὸς οὖν καὶ Θεὸς ἀληθινὸς ὡς τοῦ Θεοῦ Υἱὸς ὁ μονογενὴς, καὶ ζῶσα σοφία, καὶ ἄνθρωπος ὁ αὐτὸς ἀληθῶς, ἐκ τῆς Ἀειπαρθένου σεσαρκωμένος. Καὶ εἷς ὁ αὐτὸς καὶ διπλοῦς, καὶ τέλειος κατ' ἄμφω ὁ αὐτός. Ὅτι ὁ αὐτὸς τέλειος καὶ ζῶντος Θεοῦ Λόγος, ἐν ἑαυτῷ τὴν ἀνθρωπείαν φύσιν ἐκ τῆς Παρθένου ἀνείληφεν, οὐ κεχωρισμένος ὢν, ἀλλ' αὐτὸς τῇ ἀνθρωπίνῃ φύσει γεγονὼς ἀρχὴ καὶ ὑπόστασις. Διὸ καὶ πρόσλημμα αὕτη καλεῖται, ἐπειδήπερ αὐτὸς αὐτὴν προσελάβετο, καὶ ἐν ἑαυτῷ ἥνωσεν ἀπορρήτως καὶ ὑπὲρ λόγον, οὐδὲν πεπονθὼς τῷ προσλαβεῖν, μᾶλλον δὲ μεταδοὺς αὐτῇ τῆς θεώσεως, ἐπειδὴ καὶ τὸ ἀνθρώπινον αὐτοῦ οὐ μετεδίδου τῇ θεότητι αὐτοῦ τινος, ἀλλ' ἐλάμβανεν ἐξ αὐτοῦ. Καὶ ἀνυψοῦτο μὲν ὑπὸ τοῦ λαβόντος αὐτὸ, οὐκ ἐταπείνου δὲ τὸν λαβόντα, εἰ καὶ τὸ σαρκωθῆναι ταπεινωθῆναι λέγεται. Ὃ καὶ δόξα πάλιν καλεῖται καὶ βασιλεία Θεοῦ καὶ εὐπρέπεια, ἡ σάρκωσις δηλονότι τοῦ ζῶντος Υἱοῦ τοῦ Θεοῦ· « Ὁ Κύριος » γάρ φησιν, « ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. » Διὰ τοῦτο εἷς μὲν ὁ Χριστὸς, ὅτι κατὰ τὴν ὑπόστασιν εἷς, διὸ καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, ὁ Παῦλός φησι· δύο δὲ φύσεις, ὅτι ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἡ ζωὴ ἐφανερώθη ἐν σαρκὶ, καὶ ἐκ τοῦ Θεοῦ πᾶς ὁ ὁμολογῶν Κύριον Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ὡς ὁ

ἠγαπημένος φησί. Καὶ ἐπειδὴ τὰ παιδία κεκοινώ- A νηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου, καὶ τὰ ἑξῆς. Καὶ ὅρα τὰς ῥήσεις τοῦ θειοτάτου Παύλου, ἀνατρεπούσας ἅπασαν αἵρεσιν· Κεκοινώνηκε, λέγει, σαρκὸς καὶ αἵματος, διά τε τοὺς φαντασιαστὰς, καὶ τὸν ἄφρονα Νεστόριον, ἀθετοῦντας τοῦ Λόγου τὴν σάρκωσιν, ἑκατέρους· καὶ τοὺς Μονοφυσίτας τε καὶ Μονοθελήτας. Πῶς γὰρ τῶν αὐτῶν τοῖς παιδίοις μετέσχηκεν, εἰ μία φύσις ἐστὶ καὶ θέλημα ἕν; Καὶ πῶς δὲ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, εἰ μία φύσις ἐστίν; Ἀπολλινάριον καταισχύνει δὲ, εἰρηκώς· «Ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.» Εἰ γὰρ μὴ ἀνθρωπίνην εἶχε ψυχὴν λογικὴν, πῶς ἀπέθνησκε τῇ σαρκὶ, καὶ διὰ τοῦ θανάτου ἀνίστα καὶ ἔσωζεν; Ὥστε **23** Λόγος B τοῦ Θεοῦ καὶ σὰρξ ὁ αὐτὸς, εἷς ἐκ δύο φύσεων Κύριος Ἰησοῦς Χριστὸς, καὶ ἐν δύο τοῖς θελήμασιν οὗτος εἷς· οὐκ ἐναντιούμενα γὰρ ἀλλήλοις ἔχει θελήματα, καθὼς ἔφημεν, ἀλλὰ τὸ φυσικὸν ἑκάστης αὐτοῦ φύσεως, ὅτι τέλεια ἐν αὐτῷ καὶ οὐχ ἠλλοίωται ὅλως. Ὑποτάσσεται δὲ τῷ θείῳ τὸ ἀνθρώπινον θέλημα. Καὶ μαρτυρεῖ τοῦτο τοῦ Σωτῆρος αὐτοῦ ἡ πρὸς τὸν Πατέρα φωνή· «Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·» περὶ τοῦ θανάτου λέγων τῆς σαρκὸς διὰ τὸ ἀνθρώπινον. Ἐπεὶ καὶ ἡμᾶς εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν διὰ τὸ ἀσθενὲς τῆς φύσεως ἐκδιδάσκει. «Πλὴν μὴ τὸ θέλημά μου,» τὸ ἀνθρώπινον δηλονότι, «ἀλλὰ τὸ σὸν γενέσθω,» τὸ θεῖον δηλαδὴ, ὅπερ ἕν ἐστι Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ὁρᾷς ὅπως C οὐχ ἐναντίον τὸ ἀνθρώπινον, ἀλλ' ὑπεῖκόν ἐστι τῷ θείῳ; ἐπεὶ καὶ ἓν μὲν τὸ θέλημα τοῦ Λόγου καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, ὡς εἰρήκαμεν· ὅτι καὶ μία δύναμις, καὶ θέλησις, καὶ βουλὴ, καὶ ἐνέργεια τοῖς τρισίν. Ἄλλο δὲ τὸ θέλημα τὸ φυσικὸν τῆς σαρκὸς, δι' οὗ καὶ τραφῆναι ἤθελε καὶ πιεῖν, καὶ τὸν θάνατον ἐδειλία· διὸ καὶ προσηύχετο, παρελθεῖν λέγων, εἰ δυνατὸν, τὸ ποτήριον τοῦ θανάτου. Ὃ καὶ πάλιν ὑπέτασσε τῷ Πατρὶ, «Πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω,» εὐχόμενος, τὸ θεῖον δηλονότι καὶ μὴ τὸ τῆς σαρκός. Δυσσεβεῖς ἄρα καὶ οὗτοι καὶ ἀναιρέται τῆς οἰκονομίας τοῦ Θεοῦ Λόγου εἰσὶν οἱ μίαν φύσιν καὶ ἐνέργειαν καὶ ἓν θέλημα δογματίζοντες.

D

Κληρικός. Τίνες δὲ μετὰ τούτους δυσσεβεῖς ἄλλοι, θειότατε δέσποτα;

ΚΕΦΑΛ. ΙϚʹ.

Κατὰ τοῦ δυσσεβοῦς Ὠριγένους, Διδύμου τε καὶ Εὐαγρίου, καὶ τῶν κατ' αὐτοὺς αἱρετικῶν· καὶ περὶ νεκρῶν ἀναστάσεως.

Ἀρχιερεύς. Καὶ μετὰ τούτους μὲν ἄλλοι· ἀλλὰ πρὸ τούτων Ὠριγένης ἐστὶ καὶ οἱ σὺν αὐτῷ, οἳ τὴν ἀνάστασιν ἀπαρνούμενοι τῶν νεκρῶν, καὶ τέλος κολάσεως ἐπεισάγουσι· καὶ μετεμψυχώσεις δέ τινας καὶ μεταγγισμοὺς ψυχῶν φληναφοῦσι Πλατωνικῶς· καὶ σχεδὸν πάντα ἄρδην τὰ θεῖα ἀνατρέπειν ἐπιχειροῦσιν. Εἰ γὰρ μὴ ἀνάστασις νεκρῶν, οὐδὲ τοῦ Χριστοῦ ἡ ἀνάστασις, καὶ τὰ τῆς οἰκονομίας κατ'

festata est in carne, et ex Deo est omnis qui confitetur Dominum Jesum Christum in carne venisse, sicut dilectus ait discipulus, et quia « pueri communicaverunt carni et sanguini, et ipse similiter participavit eisdem, ut per mortem destrueret eum », et cætera . . . Vide verba divinissimi Pauli, quibus omnis hæresis evertitur : « Communicavit, inquit, carni et sanguini », ita propter somniantes et insanum Nestorium incarnationem Verbi rejicientes, sive Monophysitas, sive Monotheletas. Nam quomodo eisdem ac pueri participavit, si una natura voluntasque una esset? quomodo semen Abrahæ apprehendit, si una est natura ? Apollinarem confundit dicens : « Ut per mortem destrueret eum qui habebat mortis imperium. » Etenim nisi humanam haberet rationalem animam, quomodo carne interiit, et per mortem erexit atque salvavit? Igitur cum idem sit Dei Verbum et caro, unus ex duobus naturis Dominus Jesus Christus, unus in duplici voluntate, quippe voluntates habet non sibi invicem contrarias, ut diximus, sed quæque natura suam habet naturalem voluntatem, quoniam in ipso perfecta est, nec prorsus immutatur. Divinæ autem humana subditur voluntas, quod ipse Salvator testatur ad Patrem dicens : « Pater, si possibile est, transeat a me calix iste », de carnis morte loquitur secundum humanam voluntatem ; ideo nos docet orare propter infirmitatem naturæ, ne intremus in tentationem. « Verumtamen non mea voluntas, id est humana, sed tua fiat. » Scilicet divina, quæ una est Patris et Filii et Spiritus sancti. Viden quomodo humana non adversatur, sed divinæ subjicitur voluntati? et quia una quidem est voluntas Verbi, Patris et Spiritus, sicuti una potestas et volitio, et consilium unum, unaque tribus virtus, alia autem naturalis voluntas carnis qua vesci et bibere volebat atque mortem timebat, ideo orabat dicens : « Transeat, si possibile, calix mortis » quam voluntatem rursum Patri subjiciebat : « Verumtamen non mea voluntas sed tua fiat, » precans ut divina, non carnalis voluntas fieret. Igitur impii sunt isti et destruunt œconomiam Verbi Dei qui unam naturam et virtutem unamque voluntatem prædicant.

Clericus. At quinam post illos alii impii, divinissime domine?

CAPUT XVI.

Contra impium Origenem, Didymum et Evagrium et hæreticos qui cum ipsis faciunt ; et de resurrectione mortuorum.

Pontifex. Alii quidem post illos veniunt, sed ante istos Origenes cum suis qui resurrectionem mortuorum negant, et finem damnationis inducunt, et quasdam metempsychoses animarumque migrationes more Platonis somniant, et fere omnia divina tentant penitus subvertere. Si enim non est mortuorum resurrectio, neque Christus resurrexit, in vanum omnia ejus dispensationis mysteria

juxta hos impios. Si resurrectio mortuorum non est, frustra facta est hominis creatio. Quare enim corpus plasmavit Deus? Num incassum visibilis creatus est mundus? Si non est resurrectio, injustus est Deus, dum sola dat pœnas anima, cum corpus voluptatibus fruitum sit; vel si pugnavit corpus, nihil voluptatis habuit, et proinde Deus erga hos injustus est; rursus si nec est merces nec supplicium, tunc valet impia Epicuri opinio, omnia fortuito accidunt; et illi ad hujus instar vere sunt athei. Si vero, ut somniant, finis damnationis est, igitur in vanum leges, in vanum institutiones, in vanum vetera, in vanum prophetarum et apostolorum sermones et Evangelia, in vanum justorum contra peccatores studium, Moysis contra idololatras, Eliæ contra pseudo-prophetas, Baptistæ contra Herodiadem, Petri contra Ananiam et Sapphiram, et Simonem magum, Pauli contra Corinthium fornicatorem, aliorumque sexcentorum Dei amicorum contra infideles, sed et in vanum juxta hos impios Christi incarnatio, o quanta blasphemia! Si finis est damnationis, quid ergo profuit Christi incarnatio? Quare ergo facta est, ut regnum debeant accipere et qui in impœnitentia mortui sunt, et qui impie vixerunt? Sed mendacem eum faciunt qui dixit: « Ego sum veritas; » et, « Cœlum et terra transibunt, verba autem mea non transibunt, » qui supplicium æternum vocat et regnum æternum. O qualis irreligio! Quare ergo data est pœnitentia, si finis est damnationis? ad quid ea opus est? Quomodo ibi erit vita immutabilis et æterna? quomodo dies unus sine vespere? quænam tunc erunt tempora? quænam supererunt, postquam elapsum fuerit suppliciorum tempus? Ergo æterna non erunt futura sæcula? Ergo vita quoque finem habebit? sed non ita sane; nam hi sunt impiorum et amentium de talibus sermones, sermo autem Dei vitam æternam dixit justis hæreditatem, et erit, et injustis æternum supplicium, et erit, quod eruamur per pœnitentiam ipsius Christi misericordia.

Clericus. Quis est iste Origenes, qui tam impia dogmata in Ecclesiam Christi induxit?

Pontifex. Multi quidem de eo scribunt, et ex ipsis tibi est discendi copia; paucis et nos tibi de eo declarabimus. Antiquus vir ille genere Alexandrinus fuit. E Christianis parentibus natus, in dignitatem presbyteri et doctoris venit; sed postquam arrogantiæ causa primo casu cecidisset, propter externam sapientiam invaluit, et casu priore periculosiore cecidit; isteque Ario hujusque discipulis factus est impietatis radix et pater; a Deo recessit, et dæmonibus nequissimus sacrificavit, vitio arrogantiæ obcæcatus, quod vitium multis aliis qui humilitati non student, boni autem videntur et pietatem simulant, causa fuit irreligionis et multos cadere fecit.

A αὐτοὺς τοὺς δυσσεβεῖς εἰς κενόν. Καὶ εἰ μὴ ἀνάστασις σαρκὸς, εἰς μάτην καὶ τοῦ ἀνθρώπου ἡ πλάσις ἔσται. Διατί γὰρ καὶ σῶμα Θεὸς πεπλαστούργηκε; καὶ ὁ ὁρώμενος κόσμος κενῶς ἐκτίσθη; Καὶ εἰ μὴ ἀνάστασις, ἀδικία παρὰ Θεῷ, μόνης ψυχῆς τιμωρουμένης, τοῦ σώματος ἀπολαύσαντος ἡδοναῖς. Εἰ δὲ καὶ ἀγωνισαμένου τοῦ σώματος, οὐδὲν αὐτῷ ἀπολαύσεως, ἀδικία μᾶλλον ἡμῖν παρὰ τοῦ Θεοῦ. Εἰ δέ γε πάλιν οὔτε ἀπόλαυσις οὔτε τιμωρία ἐστὶ, τὸ τοῦ Ἐπικούρου δόγμα ἄθεον, καὶ αὐτόματα πάντα, καὶ ἄθεοι οὗτοι κατ' αὐτόν. Εἰ δὲ καὶ ὡς φληναφοῦσι τέλος κολάσεως, εἰς κενὸν ἄρα νόμοι, εἰς κενὸν νουθεσίαι, εἰς κενὸν τὰ παλαιὰ, εἰς κενὸν προφητῶν λόγοι καὶ ἀποστόλων, καὶ Εὐαγγέλια, εἰς κενὸν δικαίων ζῆλοι κατὰ ἁμαρτανόντων· Μωϋσέως κατὰ ἀσεβησάντων, Ἠλιοῦ κατὰ B τῶν ψευδοπροφητῶν, τοῦ Βαπτιστοῦ κατὰ τῆς Ἡρωδιάδος, Πέτρου κατὰ Ἀνανίου καὶ Σαπφείρας, καὶ τοῦ μάγου Σίμωνος, Παύλου κατὰ τοῦ ἐν Κορίνθῳ πορνεύσαντος, καὶ μυρίων ἄλλων θεοφιλῶν κατὰ ἀπειθῶν· ἀλλὰ καὶ εἰς κενὸν Χριστοῦ ἐνανθρώπησις κατὰ τοὺς δυσσεβεῖς τούτους. Ὢ τῆς ἀθέου βλασφημίας! Εἰ τέλος κολάσεως τί ὠφέλησεν ἄρα ἡ τοῦ Χριστοῦ ἐνανθρώπησις; Ἢ διατί 24 γέγονεν ἄρα; εἴγε μέλλουσι τὴν βασιλείαν λαβεῖν οἱ ἀμετανοήτως ἡμαρτηκότες καὶ οἱ ἀσεβῶς ζήσαντες; Ἀλλὰ καὶ ψεύστην αὐτὸν ποιοῦσι τὸν εἰρηκότα, « Ἐγώ εἰμι ἡ ἀλήθεια· » καὶ, « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι· » καὶ κόλασιν αἰώνιον καλοῦντα, καὶ C βασιλείαν αἰώνιον. Βαβαὶ τῆς δυσσεβείας! Διατί δὲ ἄρα ἐδόθη μετάνοια, εἰ τέλος κολάσεως ἔσται; Καὶ τίς λοιπὸν αὐτῆς χρεία; Ἢ πῶς ἀναλλοίωτος ἡ ἐκεῖσε ἔσται ζωὴ καὶ αἰώνιος; Καὶ πῶς μία ἡμέρα ἀπέραντος; καὶ οἱ ἐκεῖσε ἔσονται καιροί; Καὶ μετὰ τὸ ἐπὶ καιροὺς κολασθῆναι, τινὲς ἀνεθήσονται; Λοιπὸν οὐχ αἰώνια τὰ μέλλοντα· λοιπὸν πέρας καὶ τῆς ζωῆς ἔσται. Ἀλλ' οὐχ οὕτω ταῦτα. Δυσσεβῶν γὰρ καὶ ἀσυνέτων οἱ περὶ τούτων λόγοι εἰσίν. Ὁ τοῦ Θεοῦ δὲ Λόγος ζωὴν αἰώνιόν φησι τοῖς δικαίοις κληρονομίαν, καὶ ἔσται, καὶ τοῖς ἀδίκοις αἰώνιον κόλασιν, καὶ ἔσται. Ἧς καὶ ῥυσθείημεν διὰ μετανοίας ἐλέει αὐτοῦ τοῦ Χριστοῦ.

Κληρικός. Καὶ τίς οὗτος ὁ Ὠριγένης, ὁ τοιαῦτα D εἰσάγων τῇ Ἐκκλησίᾳ Χριστοῦ ἀθεώτατα δόγματα;

Ἀρχιερεύς. Πολλοὶ μὲν περὶ αὐτοῦ γράφουσι, καὶ ἐξ αὐτῶν μαθήσῃ· ἐν ὀλίγῳ δέ σοι περὶ αὐτοῦ καὶ ἡμεῖς δηλώσομεν. Ἀρχαῖος οὗτος ἀνὴρ, Ἀλεξανδρεὺς τῷ γένει, Χριστιανὸς ἐκ προγόνων, καὶ εἰς πρεσβυτέρου καὶ διδασκάλου ἐλθὼν ἀξίωμα. Ἀλλ' ἐπειδὴ τῇ οἰήσει τῷ πρώτῳ πτώματι γέγονεν ἔκδοτος, καὶ τῇ ἔξω σοφίᾳ ἐν ὑπερηφανίᾳ τεθάῤῥηκε, πέπτωκε κατὰ τὸν πρώτως πεσόντα πτῶμα δεινόν. Καὶ σχεδὸν οὗτος Ἀρείῳ καὶ τοῖς ἐκείνου τῆς ἀθεΐας ῥίζα γεγένηται καὶ πατήρ. Ἀπέστη δὲ Θεοῦ, καὶ τοῖς δαιμονίοις ὁ ἄθλιος τέθυκε, τῷ πάθει τῆς οἰήσεως σκοτισθείς. Ὃ δὴ πάθος καὶ πολλοῖς ἄλλοις τοῖς μὴ τῇ ταπεινώσει προσέχουσι, δοκοῦσί τε καὶ εὐλάβειαν ὑποκρινομένοις, ἀσεβείας καὶ πτωμάτων καθίσταται πρόξενον.

Κληρικός. Καὶ τοσοῦτον, δέσποτα, τὸ νόσημα τῆς οἰήσεως; A

ΚΕΦΑΛ. ΙΖ'.

Ὅτι τὸ τῆς ὑπερηφανίας καὶ οἰήσεως πάθος αἴτιον πίπτειν τοὺς αἱρέσεσιν ὑποπίπτοντας.

Ἀρχιερεύς. Εἰ θέλεις μαθεῖν οἷον, ἄκουε τοῦ Σωτῆρος, « Ἐθεώρουν, » λέγοντος, « τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· » οὐ διὰ πάθος σαρκικὸν τοῦτο πεπονθότα, δι' ἔπαρσιν δὲ μόνον καὶ Θεοῦ ἐναντίωσιν, δι' ἣν καὶ ἐχθρὸς οὗτος λέγεται Θεοῦ. Καὶ καταργεῖται ὑπὸ Θεοῦ, καὶ τῇ οἰκονομίᾳ τοῦ Λόγου μάλιστα καταβέβληται, μέχρι σαρκὸς ταπεινωθέντος καὶ θανάτου, καὶ τούτου διὰ σταυροῦ. Διὸ καὶ τῷ σταυρῷ μᾶλλον ὡς ταπεινώσεως σημείῳ Θεοῦ καὶ ἄκρας ἀγάπης τῆς εἰς ἡμᾶς B καταβάλλεται καὶ διώκεται. Καὶ οἱ τοῦτον δὲ τὸν ὑπερήφανον μιμούμενοι μισοῦνται παρὰ τοῦ ταπεινωθέντος Σωτῆρος, καὶ ἐκφαυλίζονται, ἐγκαταλιμπανόμενοι παρ' αὐτοῦ. Ἐπεὶ καὶ ἐχθροὶ καλοῦνται Θεοῦ, καὶ ἀκάθαρτοι. Ἀκάθαρτος γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος· καὶ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ὡς ἐναντιουμένοις οἷον αὐτῷ. Διὰ τούτου τοῦ πάθους καὶ Ἀδὰμ πέπτωκε, καὶ Κάϊν, καὶ Χάμ, καὶ Φαραώ, καὶ Ναβουχοδονόσορ ἀπώλετο, καὶ Σολομὼν ἠπατήθη, καὶ ὁ υἱὸς αὐτοῦ τὴν βασιλείαν ἠλάττωσε, καὶ ψευδοπροφῆται πλεῖστοι γεγόνασι, καὶ αἱρέσεων ἀρχηγοί, καὶ μέχρι τοῦ νῦν τινες, οἱ τῆς Ἐκκλησίας **25** ἀποστατοῦντες, καὶ αἱρετικοῖς συμπεριφερόμενοι, ὑπερηφάνῳ γνώμῃ, C καὶ τῷ θαῤῥεῖν ἑαυτοῖς, τῷ σοφοὶ δοκοῦντες εἶναι, μωραινόμενοι μᾶλλον, ὡς ὁ θεῖος Παῦλός φησι, καὶ ἔρημοι τῆς θείας γινόμενοι χάριτος, κατὰ τὸ λόγιον, « Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, » ἀποστάται γίνονται θεόθεν ἐγκαταλιμπανόμενοι. Καὶ ὅπερ ἐπὶ τῶν αἰσθητῶν Ἰουδαῖοι, τοῦτο ἐπὶ τῶν ψυχῶν οὗτοι πεπόνθασιν, ὡς καὶ ὁ πατὴρ αὐτῶν, τῇ ὑπερηφανίᾳ σκοτεινὸν σκεῦος ἀντὶ φωτεινοῦ γεγονώς· οὐ γὰρ ἡ θεία χάρις τῷ πολεμίῳ αὐτῆς καὶ ἐχθρῷ ἐπιλάμπει. Διὸ καὶ σκοτεινός ἐστι νοῦς, καὶ ἄφρων, ὡς ἄθεος, καὶ ἀθεΐας τοῖς μὴ προσέχουσι πρόξενος.

Κληρικός. Μεγάλων δεινῶν τὸ τῆς οἰήσεως, ὡς μανθάνομεν, πρόξενον. Καὶ ῥύσαιτο ἡμᾶς τούτου Κύριος ταῖς εὐχαῖς. Ἀλλὰ δίδαξον ἡμᾶς καὶ περὶ τῶν εἰκονομαχούντων, τίνος τε τάξεως οὗτοι, καὶ τίνα λέξομεν πρὸς τούτους φιλονεικοῦντας. D

ΚΕΦΑΛ. ΙΗ'.

Κατὰ τῶν εἰκονομαχούντων δυσσεβῶν Βογομύλων.

Ἀρχιερεύς. Περὶ τούτου οὐ χρεία πλειόνων λόγων. Καὶ τὰ παλαιὰ γὰρ καὶ νέα τὴν τῆς Ἐκκλησίας παράδοσιν μαρτυροῦσιν, ὡς ἐκ Θεοῦ καὶ ἅγια ὄντως ἐστί. Πλὴν καὶ ἡμεῖς ἐροῦμεν, ὅσον ἐκ τῶν Πατέρων ἐμάθομεν. Οὐ γὰρ τοῖς ἡμετέροις δεῖ θαῤῥεῖν ἡμᾶς· διὸ οὐδὲ ἡμέτερα λέγομεν. Σήμερον τῶν ἐν Χριστιανοῖς λεγομένοις αἱρετικοῖς εἰκονομαχοῦντες οὐκ εἰσίν, εἰ μὴ ἡ τῶν δυσσεβῶν Βογομύλων μιαρὰ συμμορία, οὓς οὐδόλως καλεῖσθαι δέον Χριστιανούς, ὅτι καὶ τὰ τῆς Ἐκκλησίας πάντα ἀπαρ-

Clericus. Tantusne est, domine, morbus arrogantiæ?

CAPUT XVII.

Quod affectus superbiæ arrogansque existimatio sui, causa sit in hæresin incidentibus.

Pontifex. Si volueris discere quantus sit hic morbus, audi Salvatorem qui dicit: « Videbam Satanam sicut fulgur de cœlo cadentem, » qui non propter carnale vitium hoc perpessus est, sed tantum ob superbiam suamque in Deum contumaciam, cujus causa dictus est Dei inimicus. Et eversus fuit a Deo et præsertim dispensatione Verbi dejectus, quod semetipsum humiliavit usque ad carnem et mortem, mortem autem crucis, ideo præcipue crucis mysterio, utpote humiliationis, Dei signo ejusque erga nos summæ dilectionis, prostratus ille expellitur. Verum qui hunc superbum imitantur odiosi sunt humiliato Salvatori, et ab eo contemnuntur derelicti, quapropter inimici Dei et immundi, nam: « Immundus est Deo omnis elatus corde, » et: « Dominus superbis resistit, » ut sibi quantum possunt adversantibus. Propter vitium istud Adam cecidit, et Cain, et Cham, et Pharao, et Nabuchodonosor in perniciem ruit, et Salomon deceptus est, ejusque filius regnum suum minuit; multi pseudoprophetæ facti sunt et hæreseon principes; etiam nunc nonnulli ab Ecclesia recedentes sese hæreticis commiscuerunt mente superba, nimia sui confidentia, qui dum videntur esse sapientes, stulti facti sunt, ut divus ait Paulus, divina privati gratia secundum hunc sermonem: « Ecce relinquetur domus vestra deserta, » apostatæ facti sunt a Deo derelicti; et quod corpore passi sunt Judæi, hi mente subierunt, quemadmodum eorum pater, facti sunt tenebrosum pro luminoso tabernaculum; nam divina gratia nequaquam splendet super ejus inimicum et adversarium; ideo mens est tenebrosa et insensata, quia impia est et non caventibus impietatis causa.

Clericus. Malorum ingentium, ut didicimus, causa est superbia; a qua nos Dominus precibus tuis eruat. Sed nos doce etiam de Iconoclastis, cujus sint ordinis, et quid dicamus adversus hos novarum contentionum amicos.

CAPUT XVIII.

Contra impios Bogomylos, imaginum cultui repugnantes.

Pontifex. De hac re non multis opus est verbis; vetera enim et nova Ecclesiæ traditionem testantur quoniam sancta vere sunt et a Deo. Cæterum nos quoque dicemus quod a Patribus didicimus; nam oportet nos non in nostris confidere, ideo non nostra dicimus. Hodie inter eos qui ex Christianis hæretici dicuntur jam non sunt Iconoclastæ, nisi impura impiorum Bogomylorum secta, qui falso nomine Christiani appellantur, quoniam omnia Ecclesiæ abnegant mysteria, sicut supra di-

ctum est, et inter istas sacras rejiciunt imagines. Veteres Iconoclastæ, fere eadem ac isti opinantes, dicebant quidem adorandum esse sanctum crucis signum, templa sacra, divinum baptisma, Patrumque de fide monumenta; sed divinas imagines impie idola appellabant. Ex hoc principio in malitiam ultra procedentes, sacras ipsas sanctorum reliquias abjicere conabantur, necnon ipsa miracula, imo impii prædicabant neminem sanctum esse vocandum. Verum hæc penitus evertunt dona Dei nobis data per vivens Verbum carnem factum, et manifeste repellunt ea quæ verbis operibusque suis Salvator noster confessus est et prædicavit. Cum gentiles quoque et Judæi contra sacras imagines ferantur, quas ipsi etiam idola appellant, paucis omnes istos refellemus, et pauca satis erunt intelligentibus. Deus est invisibilis, utpote sine carne, sine corpore, sine figura, et propterea circumscribi nequit; sed illum novimus, a prophetis conscriptum, tum et figuratum, et sub imagine conspectum, nam Abraham Deum vidit, vidit et Jacob in summa scala, Moyses in rubo et in monte, Isaias in excelso solio sedentem, pariterque Ezechiel in medio animalium, Daniel in nubibus ut Antiquum dierum, plerique prophetæ alii. De his ergo interrogandum est an vera sint aut falsa. Certo vera esse dicent, cum Scripturas accipiant; sed si vera, suntne divina vel idolorum phantasmata? Confitebuntur, ut puto, illa esse divina, cum visiones Dei secundum videntium virtutem a Deo factæ sint; numen enim, cum figuram non habeat, nequaquam potest sicuti est conspici. Igitur cum ista sint a Deo, quoniam ipse dixit: « Ego visiones multiplicavi, et in manibus prophetarum assimilatus sum, » et hæc sint visa Dei; augustæ igitur et sanctæ et adorandæ sunt istæ visiones, et sicut in divinis libris, ita et in imaginibus descriptæ sunt sanctæ, et sicut mente cogitatæ verbisque expressæ, ita et in tabulis et muris et vestimentis pie et bene et divinitus depictæ pie et bene effinguntur; ut nos quoque videamus corporis oculis divinarum esse imaginum quæ depinguntur velut in libris et cogitationibus atque visionibus ea quæ conspexerunt prophetæ, quæ sunt Dei species et visiones, ut quemadmodum mente legendo sanctificamur, ita carne constantes et verbo loquentes oculisque videntes sensus nostros sanctificemus.

Sunt etiam dæmonum imagines, sed horrendæ sunt, immundæ et turpes, et ab omni fideli abjiciendæ; libri vero his referti exsecrandi, necnon earum sententiæ ut impiæ et immundæ, insuper simul cum illis rejiciendæ sunt earum similitudines. Idcirco ex dictis unus colligitur finis: quæ fiunt in nomine Dei, divina sunt, et quæ fiunt in nomine dæmonum fœda sunt et deterrima.

A νοῦνται μυστήρια, ὡς προείρηται, καὶ τὰς ἱερὰς εἰκόνας σὺν αὐτοῖς. Οἱ δέ γε πρώην Εἰκονομάχοι, σχεδὸν τὰ ἴσα τούτοις φρονήσαντες, ὅμως ἔλεγον μὲν δῆθεν τιμᾷν καὶ σταυροῦ τύπον ἅγιον, καὶ ναοὺς ἱεροὺς, καὶ θεῖον βάπτισμα, καὶ τοὺς τῶν Πατέρων περὶ πίστεως ὅρους. Τὰς θείας δὲ εἰκόνας δυσσεβῶς εἴδωλα κατωνόμαζον. Ἐκ τούτου τε εἰς τὸ πρόσω τῆς κακίας χωρήσαντες, καὶ τὰ τῶν ἁγίων ἱερὰ λείψανα ἀθετεῖν ἐπεχείρουν· ἔτι δὲ καὶ τὰ θαύματα. Ἀλλὰ μὴν οὐδὲ ἅγιόν τινα καλεῖσθαι οἱ δυσσεβεῖς ἐδογμάτιζον. Ταῦτα δὲ ἀνατροπὴ τῶν εἰς ἡμᾶς Θεοῦ δωρεῶν ἐστι δεδωρημένων ἡμῖν διὰ τῆς τοῦ ζῶντος Λόγου ἐνανθρωπήσεως, καὶ προδήλως ἀθέτησις τῆς διὰ λόγων καὶ ἔργων αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν ὁμολογίας τε καὶ ἀνακηρύξεως. Ἐπεὶ B δὲ καὶ ἐθνικοὶ καὶ Ἰουδαῖοι κατὰ τῶν ἁγίων εἰκόνων φέρονται, καὶ εἴδωλα ταύτας καλοῦσιν, ἐν ὀλίγῳ καὶ πρὸς αὐτοὺς ἅπαντας ἀπολογησόμεθα. Καὶ ἔσται τὸ βραχὺ ἱκανὸν τοῖς συνιοῦσιν. Ὁ Θεὸς ἀόρατός ἐστιν, ὡς ἀσώματος καὶ ἄσαρκος, ἀσχημάτιστος· καὶ διὰ τοῦτο οὐδὲ περιγραπτὸς ἄρα. Ἀλλὰ τοῦτον οἴδαμεν περιγραφόμενον τοῖς προφήταις καὶ σχηματιζόμενον, καὶ εἰκονικῶς θεωρούμενον. Καὶ Ἀβραὰμ γὰρ Θεὸν εἶδε, καὶ Ἰακὼβ ἐπὶ τῆς κλίμακος, καὶ Μωϋσῆς ἐν τῇ βάτῳ καὶ ἐν τῷ ὄρει, καὶ Ἡσαΐας ἐπὶ θρόνου ὑψηλοῦ καθήμενον, καὶ Ἰεζεκιὴλ ὁμοίως ἐν μέσῳ ζώων, καὶ Δανιὴλ ἐπὶ τῶν νεφελῶν ὡς παλαιὸν ἡμερῶν, καὶ πλεῖστοι τῶν προφητῶν ἕτεροι. Ταῦτα οὖν ἀληθῆ ἐρωτητέον, ἢ C ψευδῆ; Πάντως εἴποιεν ἀληθῆ, εἴγε δέχονται τὰς Γραφάς. Καὶ εἰ ἀληθῆ, θεῖα ταῦτα, ἢ εἰδώλων φαντάσματα; Ὁμολογήσουσιν, οἶμαι, ὡς θεῖα ὑπάρχουσιν, ἐπειδὴ Θεοῦ ὀπτασίαι κατὰ τὴν τῶν ὁρώντων δύναμιν παρὰ Θεοῦ γινόμεναι. Οὐδὲ γὰρ ὡς ἔχει τὸ θεῖον ὅλως ὁρᾶταί ποτε· ὅτι ἀσχημάτιστόν ἐστιν. Ἐπεὶ δὲ ταῦτα παρὰ Θεοῦ, ὅτι καὶ φησιν, « Ἐγὼ ὁράσεις ἐπλήθυνα **26** καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην, » καὶ ὀπτασίαι ταῦτα Θεοῦ· σεπταὶ ἄρα καὶ ἅγιαι αὗται καὶ προσκυνηταὶ αἱ ὁράσεις, καὶ ὥσπερ ἐν βίβλοις θείαις, οὕτω καὶ ἐν εἰκόσιν ἅγιαι τελοῦσι γραφόμεναι, καὶ ὥσπερ γνώσει νοούμεναι, καὶ λόγῳ λεγόμεναι, οὕτω καὶ ἐν σανίσι καὶ τοίχοις καὶ ἱματίοις εὐσεβῶς καὶ καλῶς καὶ θείως γραφόμεναι, καλῶς καὶ εὐσεβῶς γράφονται· ὡς ἂν ἴδω- D μεν καὶ ἡμεῖς ὁρατῶς ταῖς γραφομέναις θείαις εἰκόσιν ὥσπερ ἐν βίβλοις καὶ ἐννοίαις καὶ τῇ ὁράσει τὰ παρὰ τῶν προφητῶν ὁραθέντα, ἅτινά εἰσιν ὁράσεις καὶ ὀπτασίαι Θεοῦ, καὶ τῷ μὲν νοῒ διὰ τῶν ἀναγνωσμάτων ἁγιαζώμεθα, ὡς ἐκ σαρκὸς δὲ συγκείμενοι καὶ τῷ λόγῳ λαλοῦντες, καὶ τῇ ὁράσει ὁρῶντες, τὰς αἰσθήσεις ἁγιασθῶμεν.

Εἰσὶ δὲ καὶ φαντασίαι δαιμονικαὶ, ἀλλ' ἀπευκταῖαι αὗται, μιαραί τε καὶ μυσαραὶ, καὶ παντὶ πιστῷ ἀπόβλητοι· καὶ αἱ βίβλοι δὲ τούτων καὶ τὰ νοήματα βδελυκτὰ, ὅτι ἀσεβῆ τε καὶ μιαρά· καὶ τὰ ὁμοιώματα τούτων σὺν ἐκείνοις ἀπόβλητα. Τοίνυν ἐκ τούτων εἷς συνάγεται ὁ σκοπός· ὡς ὅσα μὲν ἐπ' ὀνόματι τοῦ Θεοῦ θεῖά εἰσιν, ὅσα δὲ ἐπ' ὀνόματι δαιμονίων μυσαρά τε καὶ βδελυκτά. Διὸ καὶ Μωϋσῆς κατὰ μὲν τῶν δαιμονι-

τῶν εἰδώλων οὕτω φησίν· « Οὐ ποιήσεις πᾶν A ὁμοίωμα, οὔτε ὅσα ἐν τῷ οὐρανῷ, οὔτε ὅσα ἐν τῇ γῇ· » ἐπεὶ ταῦτα ἐθεοποίουν οἱ Ἕλληνες. Τοὺς δὲ τῶν θείων τύπους ὡς εἶδεν ἐν τῷ ὄρει, κατεσκεύασε διὰ τῆς σκηνῆς. Καὶ πλάκας εἶχε καὶ κιβωτὸν τὴν ἔχουσαν ταύτας, καὶ τὴν βλαστήσασαν ῥάβδον· καὶ ἔτι τὸ μάννα τὸ ὑεθέν. Καὶ ἐνώπιον αὐτῶν προσεκύνει, ἀνάγων τὴν προσκύνησιν εἰς Θεόν. Καὶ εἰκόνας δὲ χωνευτὰς ὁμοιωμάτων ἀγγέλων εἶχεν, ἵνα ἐμφανίσῃ σαφέστερον τῆς ἀληθείας τῶν οὐρανίων τὴν εἰκόνα. Ἐπεὶ γὰρ ἄνω ζῶντές εἰσιν ἄγγελοι περὶ τὴν θείαν φύσιν ἐκείνην, καὶ οὗτος περὶ τὴν σκηνὴν γλυπτοὺς ἀγγέλους ἔστησε· δεικνὺς διὰ πάντων καὶ μαρτυρῶν, ὅτιπερ ὅσα ἐπ' ὀνόματι Θεοῦ ἅγια πάντα, καὶ ὅσα ἐπ' ὀνόματι B δαιμονίων ἄθεα καὶ ἀπόβλητα. Καὶ ἐπὶ τῶν θυσιῶν ὁμοίως, ἔταξε μὲν θύειν ὁ Μωϋσῆς ἄλογα ζῶα, εἶχον δὲ τοῦτο καὶ Ἕλληνες, ἀλλὰ θεῖα θύματα μὲν τὰ Μωσέως Θεῷ προσαγόμενα, καὶ ἅγια κρέα, καὶ τὰ λοιπὰ προσαγόμενα εἰς θυσίαν ἅγια, καὶ Θεοῦ ἐκαλεῖτο θύματα ταῦτα, καὶ πρὸς ἱλασμὸν καὶ κάθαρσιν ἐτελεῖτο, καὶ ὅσα προσεφέρετο, Θεῷ προσεφέρετο· τὰ δὲ τῶν Ἑλλήνων καὶ ἀθέων μιαρά τε καὶ ἐναγῆ, ὡς δαίμοσι προσφερόμενα, καὶ μεταδοτικὰ βδελυρίας· διὸ καὶ ἡμῖν ἀπόβλητα. Καὶ ὁ Παῦλος τοῦτό φησιν. « Ἐὰν δέ τις ὑμῖν εἴποι, Τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε. » Καὶ ὁ Θεάδελφος δὲ σὺν τοῖς λοιποῖς ἀποστόλοις τοῖς ἀπὸ τῶν ἐθνῶν πιστεύουσι παραγγέλλει φυλάσσεσθαι ἀπό τε εἰδωλοθύτων καὶ πορνείας καὶ πνικτοῦ. Καὶ πάλιν ὁ C Παῦλος, « Ὅτι τὰ ἔθνη δαιμονίοις θύει καὶ οὐ Θεῷ, » φησίν. Ὥσπερ οὖν τὰ θυόμενα τοῖς δαίμοσι πονηρὰ, καὶ τὰ εἰκονίζοντα τοὺς δαίμονας πονηρὰ καὶ πλήρη κακίας αὐτῶν, οὐχ ὅτι τὰ τοῦ Θεοῦ κτίσματα πονηρὰ, ὅτι καὶ οἱ δαίμονες κτίσματα, καὶ οὐ παρὰ τοῦτο κακοὶ, ἐπεὶ τὰ παρὰ τοῦ Θεοῦ πάντα καλὰ, ἀλλ' ὅτι πονηροὶ γεγένηνται τῇ προαιρέσει, καὶ ἀποστάται Θεοῦ αὐτοθελῶς τῷ αὐτεξουσίῳ, καὶ τὰ τούτοις παρ' ἀσεβῶν προσαγόμενα βδελυκτὰ, ὡς καὶ τῶν δαιμονίων ἐν αὐτοῖς ἐνοικούντων, καὶ δι' αὐτῶν ἐνεργούντων· οὕτω καὶ λόγοι καὶ δόγματα καὶ βίβλοι δυσσεβῶν ἐναγῆ, ὡς κατὰ Θεοῦ λεγόμενά τε καὶ γραφόμενα. Λόγοι δὲ καὶ κηρύγματα καὶ βίβλοι θείων ἀνδρῶν προσκυνητὰ καὶ σεβάσμια, εἰς D δόξαν ὄντα Θεοῦ καὶ θείας μετέχοντα χάριτος. Τοῦτο καὶ ἐπὶ τῶν θείων εἰκονισμάτων νόει. Καὶ προσκυνητὰ μὲν ἡγοῦ, ὅσα εἴτε ὁράσεις προφητικὰς περιέχει, εἴτε τὸν ἐνανθρωπήσαντα τοῦ Θεοῦ Λόγον δι' ἡμᾶς ἄνδρα γενόμενον εἰκονίζει, καὶ τὴν αὐτὸν τεκοῦσαν σαρκὶ ἐκ τοῦ Ἀβραὰμ καὶ Δαβὶδ κατὰ γένος κατάγομένην, καὶ τοὺς αὐτὸν τεθεραπευκότας τὸν Κύριον ἢ ἀποστολικῶς ἢ ἱεραρχικῶς ἢ 27 μαρτυρικῶς ἢ ἀσκητικῶς καὶ παρθενικῶς ζήσαντας, καὶ σκεύη δεδειγμένους ἔτι περιόντας Θεοῦ, καὶ προφητικὰς χάριτας, καὶ ἰαμάτων καὶ σημείων κεκτημένους δυνάμεις καὶ μετὰ θάνατον δὲ διὰ τῶν λειψάνων καὶ ἐπικλήσεων ἐνεργοῦντάς θεῖα καὶ ἐνεργήσαντας, καὶ διὰ τῶν μορφωμάτων δὲ καὶ εἰκόνων τὰ ὅμοια ποιοῦντας· εἴωθε γὰρ τὰ τοιαῦτα

Ideo Moyses adversus idola dæmoniaca hæc dixit: « Non facies omnem similitudinem quæ est in cœlo desuper et quæ in terra deorsum, » quoniam hæc ut deos Græci colebant; divinorum autem figuras ut vidit in monte, in tabernaculo constituit, et tabulas habebat et arcam in qua continebantur, et virgam quæ floruerat, et manna quæ de cœlo pluerat, et coram illis adorabat, adorationem ad Deum referendo, et imagines fusasque angelorum imagines habuit, ut clarius imaginem veritatis cœlestium manifestaret. Nam perinde ac sursum viventes angeli circa divinam illam naturam versantur, ita circa tabernaculum sculptos angelos composuit, per omnia ostendens et testans quoniam omnia quæ fiunt in nomine Dei sancta sunt; quæ autem fiunt in nomine dæmonum impia sunt et abjicienda. Similiter in sacrificiis jussit quidem Moyses viva immolari animalia; gentes autem ipsæ quoque hunc morem habebant; sed divina quidem erant sacrificia quæ Moyses Deo obtulit, et sanctæ carnes, sanctaque omnia quæ in sacrificium offerebantur, et hæc vocabantur sacrificia Dei, ad propitiationem et expiationem perficiebantur, et quidquid offerebatur, Deo offerebatur; gentilium vero et impiorum sacrificia fœda erant et exsecranda, utpote dæmoniis oblata, et nequitiam communicabant, ideo nobis sunt abjicienda. Quod dixit Paulus: « Si quis vobis dixerit: Hoc immolatum est idolis, nolite manducare. » Et frater Domini cum cæteris apostolis eis qui ex gentibus credunt mandat ut abstineant ab immolatis simulacrorum et fornicatione et suffocato. Rursumque Paulus: « Gentes, ait, dæmonibus sacrificant, et non Deo. » Igitur quemadmodum prava sunt quæ dæmoniis offeruntur, ita et dæmoniorum simulacra prava sunt et plena nequitiæ, non quia pravæ sunt Dei creaturæ; quoniam enim dæmones sunt creaturæ, non propter hoc sunt mali, sed propria electione pravi facti sunt, et sponte liberaque voluntate a Deo defecerunt, et ea quæ ab impiis dæmonibus offeruntur nefaria sunt, cum dæmonia in eis habitent et per eos operentur; ita exsecranda sunt verba et dogmata et libri impiorum, utpote adversus Deum dicta et scripta; verba autem prædicationesque et libri divinorum virorum veneranda sunt et augusta, cum sint in gloriam Dei, divinamque gratiam largiantur. Idem de divinis imaginibus cogita, quas in honore habere debes, sive propheticas visiones exprimant, sive incarnatum Dei Verbum propter nos hominem factum effingant, vel eam quæ carne illud genuit ex Abraham et David sanguine productam, vel Domini ministros, sive apostolos, sive martyres, sive ascetas, sive virgines, qui, dum viverent se vasa Dei esse ostenderunt, et propheticas gratias virtutemque sanationum et signorum consecuti sunt, necnon post mortem per reliquias et intercessiones divina operantes et operati, similia per figuras et formas patraverunt; dat enim eis talia facere illud quod in eis habitans

semper vivit, et per omnes operatur Dei Verbum vivens et omnipotens, sine quo nihil factum est; idem aquas divino Spiritu sanctificat, et incorruptibiles conservat, ut cineres mortuaque servorum corpora. Ipsum inanimata suipsius templa sanctificat, et in sacris locis ubi Christus, vel ejus Mater aut ejus sancti invocantur, multa patrantur miracula. Non ligna quidem, aut lapides aut fontes hanc virtutem possident, cum sint creaturæ Dei, sed divina invocatio et gratia Spiritus quæ ipsis inhabitat. Unde omnia quæ sunt Christi ex omni materia, sive crux, sive templum, sive aqua sancta virtute Christi mirabilia operantur. Panis in nomine Trinitatis benedictus, solum crucis signum in aera exhalatum palam dæmonas repellit, omnem fascinationem aut magiam evertit, quoniam Christus adversus diabolum incarnatus est, ut hujus potentiam destrueret. Quid destruxerit liquet, nam quis dæmonas reddidit imbecilles? quis gentilitatem prostravit? quis idola evertit? quis oracula evidenter dejecit? Christus omnia diaboli mysteria per discipulos suos destruxit. Numquid lex istud potuit? numquid prophetæ? numquid deicida et infidelis Judæorum natio? numquid admodum impii et turpissimi gentiles? Quis ex ipsis contra tyrannos restitit? quis gentes docuit? quis mundum suasit ut nosceret unum solum in Trinitate Deum? et suasit sine armis, sine divitiis, sine principum imperio, sine mundana sapientia, sed cum pauperibus, cum inopibus, cum viris humilibus nulla eloquentia præstantibus; nonne hæc Christus? Mundum correxit per piscatores servos suos in tempore humiles, mortales, oppressos cruciatos, quod usque ad hanc horam manifeste constat. Hæc est magna Patris potentia, viva Dei sapientia, Verbum consubstantiale, incorporeum sigillum et figura, splendor coæternus; sicut sensibilis radius solis qui conspicitur, lumen est ex lumine, ita lux illa spiritalis ex incorporea et ingenita luce omnia sua illuminat et omnia sanctificat. Quemadmodum omnia quæ videntur modo sensibili illustrat sol et calefacit, ita per omnia illabitur solis Justitiæ potentia. Idcirco omnia quæ ejus sunt sancta ejusque imagines et vestimenta quibus fiebant miracula, et pariter res universæ ad eum spectantes; ille enim his virtutem largiebatur dicens: « Qui credit in me, opera quæ ego facio et ipse faciet, et majora his faciet; » quæ per ipsum facient; rursus enim eis dixit: « Sine me nihil potestis facere. » Patet eos majora fecisse, cum per eum mundum omnem ab idolorum errore ad fidem divinam converterint, divino operante Spiritu. Ideo omnia quæ ad eum pertinent sancta sunt, deterrima autem et fœda et infamia quæ ad dæmones spectant, necnon maxime immunda quæ impiorum sunt, templa, synagogæ et libri. Quare a Judæis gentilibusque simul quamobrem libros suos venerabiles habeant et velut amuleta custodiant? quamobrem pelles honorent et colores in eis picto, ni

A ποιεῖν αὐτοῦ; ὁ ἐν αὐτοῖς ἐνοικήσας καὶ ἀεὶ ζῶν, καὶ διὰ πάντων ἐνεργῶν, ὁ τοῦ Θεοῦ Λόγος, ὁ ζῶν τε καὶ ἐνεργής, καὶ οὐδὲν τῶν ὄντων χωρὶς αὐτοῦ. Ὃς καὶ ὕδατα ἁγιάζει τῷ θείῳ Πνεύματι, καὶ ἄφθαρτα συντηρεῖ, ὡς καὶ τὴν κόνιν καὶ τὰ νεκρωθέντα σώματα τῶν δούλων αὐτοῦ. Καὶ τοὺς ἀψύχους δὲ ναοὺς αὐτοῦ ἁγιάζει. Καὶ ἐν τόποις ἱεροῖς, ἔνθα Χριστοῦ ἢ τῆς αὐτοῦ μητρὸς, ἢ τῶν ἁγίων αὐτοῦ ἐπίκλησις, πλεῖστα σημεῖα τελεῖται. Καὶ οὐ τὰ ξύλα καίτοι λίθοι ἢ αἱ πηγαὶ τὴν δύναμιν κέκτηνται, καὶ ταῦτα γὰρ κτίσματα Θεοῦ, ἀλλ' ἡ θεία ἐπίκλησις καὶ ἡ τοῦ Πνεύματος χάρις αὐτοῖς ἐνοικήσασα. Ὅθεν πάντα μὲν τὰ τοῦ Χριστοῦ ἐκ πάσης ὕλης, εἴτε σταυρὸς, εἴτε ναὸς, εἴτε ἅγιον ὕδωρ, τῇ τοῦ Χριστοῦ δυνάμει θαυματουργεῖ· καὶ ἀνυψούμενος ἄρτος ἐπ' ὀνόματι τῆς Τριάδος, καὶ τύπος
B μόνος σταυροῦ εἰς ἀέρα γινόμενος. Διώκει γὰρ τοὺς δαίμονας φανερῶς, καὶ γοητείαν πᾶσαν καὶ ἐπῳδὴν καταργεῖ, ἐπειδὴ Χριστὸς κατὰ τοῦ διαβόλου σεσάρκωται, ἵνα καταργήσῃ τούτου τὴν δύναμιν. Καὶ δῆλον ὅτι κατήργησε. Τίς γὰρ τοὺς δαίμονας πεποίηκεν ἀσθενεῖς; Τίς τὴν πολυθεΐαν κατέπαυσε; Τίς τὰ εἰδωλεῖα διέφθειρε; Τίς τὰ μαντεῖα κατέπαυσε προδήλως; ὡς ὁ Χριστὸς πάντα τὰ τοῦ διαβόλου κατήργησε διὰ τῶν αὐτοῦ μαθητῶν. Μὴ νόμος ἴσχυσε τοῦτο; μὴ προφῆται; μὴ τὸ γένος τῶν Ἰουδαίων τὸ θεοκτόνον καὶ ἀπειθές; μὴ οἱ ἀθεώτατοι καὶ ἀσελγέστατοι ἐθνικοί; Τίς ἐξ αὐτῶν πρὸς τυράννους ἀντέστη; τίς ἐδίδαξεν ἔθνη; τίς τὸν κόσμον γνῶναι τὸν ἐν Τριάδι Θεὸν ἀληθῆ μόνον
C ἔπεισε; καὶ δίχα ὅπλων, καὶ δίχα πλούτου, καὶ δίχα τυραννίδος ἀρχικῆς, καὶ δίχα σοφίας κοσμικῆς, καὶ μετὰ πτωχῶν καὶ πενήτων καὶ ταπεινῶν, καὶ τῷ λόγῳ ἰδιωτῶν. Οὐχὶ Χριστὸς ταῦτα δι' ἁλιέων καὶ τῶν κατὰ καιροὺς ταπεινῶν αὐτοῦ δούλων κατώρθωσεν, ἀποθνησκόντων, διωκομένων, τυραννουμένων; ὃ καὶ μέχρι του παρόντος προδήλως δείκνυται. Οὗτος οὖν ἡ μεγάλη δύναμις τοῦ Πατρὸς, ἡ ζῶσα σοφία τοῦ Θεοῦ, ὁ ἐνυπόστατος Λόγος, ἡ ἀσώματός τε σφραγὶς καὶ εἰκὼν, τὸ συναΐδιον ἀπαύγασμα, ὥσπερ ἡ αἰσθητὴ αὕτη ἀκτὶς τοῦ ὁρωμένου ἡλίου, φῶς ἐστιν ἐκ τοῦ φωτὸς, καὶ αὐτὸς τὸ ἄϋλον φῶς ἐκ τοῦ ἀσωμάτου καὶ ἀγεννήτου φωτὸς, φωτίζει τὰ αὐτοῦ πάντα, καὶ ἁγιάζει πάντα. Καὶ ὥσπερ
D πάντα τὰ ὁρώμενα αἰσθητῶς φαίνει τε καὶ θάλπει ὁ ἥλιος, οὕτω καὶ διὰ πάντων διήκει ἡ δύναμις τοῦ τῆς δικαιοσύνης ἡλίου. Διὸ καὶ πάντα εἰσὶν ἅγια τὰ αὐτοῦ, καὶ αἱ εἰκόνες αὐτοῦ, καὶ τὰ ἱμάτια αὐτοῦ, ἃ δὴ καὶ σημεῖα ἐποίουν· καὶ τῶν αὐτοῦ δὲ πάντων ὁμοίως. Ἐκεῖνος γὰρ αὐτοῖς τὴν ἰσχὺν ἐδωρήσατο, εἰρηκὼς, « Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. » Καὶ τοῦτο δὲ δι' αὐτοῦ. Ἔφη γὰρ πάλιν αὐτοῖς· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Καὶ δῆλον ὡς μείζονα πεποιήκασι, τὸν κόσμον ἅπαντα δι' αὐτοῦ ἐκ τῆς τῶν εἰδώλων ἀπάτης εἰς τὴν αὐτοῦ θείαν ἐπιστρέψαντες πίστιν τῇ ἐνεργείᾳ τοῦ Θείου Πνεύματος. Διὸ πάντα μὲν ἅγια τὰ αὐτοῦ, ἐναγῆ δὲ τὰ τῶν δαιμόνων καὶ μιαρὰ καὶ

κατάπτυστα, καὶ τὰ τῶν ἀσεβῶν πάντα, ναοί τε τούτων καὶ συναγωγαὶ καὶ βίβλοι παμμίαροι. Ὅμως ἐρωτητέον Ἰουδαίους τε καὶ ἐθνικοὺς διατί τὰ παρ' αὐτοῖς βιβλία αἰδέσιμα τούτοις καὶ ὡς φυλακτήρια κατεχόμενα; Διὰ τὰ δέρματα ἄρα; καὶ τὰ ἐν αὐτοῖς χρώματα; τὸ **28** μέλαν, ἢ κυανοῦν, ἢ χρυσοῦν ἐν τοῖς γράμμασι; Ἢ διατί συναγωγὰς οἰκοδομοῦντες, συνάγονται ἐν αὐταῖς, οὐχ ἁπλῶς οἰκίας αὐτὰς λογιζόμενοι; Ἐροῦσιν, οἶμαι, ὡς ἐπ' ὀνόματι τῆς ἑαυτῶν θρησκείας γεγραμμένας τὰς αὐτῶν βίβλους, καὶ τὰς συναγωγὰς οἰκοδομηθείσας ἔχοντες, τιμῶσι ταύτας, ὡς τῆς θρησκείας αὐτῶν. Λοιπὸν ἐντεῦθεν λελυμένον αὐτοῖς τὸ ἀπόρημα. Εἰ γὰρ οὐ διὰ τὴν ὕλην, ἀλλ' ὅτι Θεοῦ χάριν, ὡς λέγουσι, μὴ Θεὸν εἰδότες, τιμῶσι ταῦτα, πῶς ἡμῖν ἐγκαλοῦσιν, εἰς Θεὸν τὸν ἀληθῆ καὶ μόνον ἐν Τριάδι πιστεύουσι; καὶ τὰ ἐπ' ὀνόματι τούτου πάντα τιμῶσι, καὶ ἔτι τὰ τῆς οἰκονομίας τοῦ Λόγου ἀληθῶς σαρκωθέντος καὶ τοῖς ἀνθρώποις ὀφθέντος ἐξεικονίζουσι καὶ τιμῶσι; καὶ τὰ τῶν ἁγίων αὐτοῦ, καὶ ὡς διὰ γραμμάτων τῶν ἁγίων εἰκόνων; τοὺς τε μὴ εἰδότας Γραφὰς ἐκδιδάσκουσιν ἡμῖν, καὶ τὸν νοῦν καὶ τὴν ὄψιν καὶ πᾶσαν αἴσθησιν δι' αὐτῶν ἁγιαζομένοις, ὅπου καὶ Μωϋσῆς αὐτὴν σκηνὴν ἐπήξατο κατὰ μίμησιν καὶ εἰκόνα τῶν οὐρανίων, ὡς ἔφημεν, καὶ στύλας τῶν Χερουβὶμ τορευτάς τε καὶ γλυπτὰς ἔστησεν ἐν τῷ θυσιαστηρίῳ, καὶ ξυλίνῃ κιβωτῷ προσεκύνει, καὶ πλαξὶ λιθίναις καὶ τοῖς λοιποῖς τῆς σκηνῆς. Οὐκ ἀπόβλητοι τοίνυν τῶν θείων οἱ τύποι. Καὶ ἱκανὰ ταῦτα πρὸς τοὺς ἀθέους καὶ ἀνοήτως φιλονεικεῖν αἱρουμένους.

grum scilicet, cæruleum et aureum quibus eorum finguntur litteræ? Quamobrem synagogas ædificent in quas conveniant, quas nequaquam vulgares domos censent? Dicent, ut puto, libros suos in nomine religionis suæ conscriptos esse, ædificatasque synagogas, et proinde ista in honore haberi, quoniam ad religionem pertinent. Hinc solvitur eorum insimulatio. Si enim minime propter materiam sed Dei gratia, ut aiunt, licet Deum nesciant, illa in honore habeant, quid nos insimulant qui in solum verum in Trinitate Deum credimus, et omnia in nomine ejus facta veneratione prosequimur; qui insuper Verbi vere incarnati hominibusque conspecti dispensationis mysteria colimus pictura expressa? qui imaginibus sanctis quasi litteris sanctos ejus celebramus? Se Scripturas nescire nos docent qui et mente et oculis et singulis sensibus per eas sanctificamur; in his enim videmus Moysen ipsum tabernaculum composuisse secundum exemplar et imaginem cœlestium, ut diximus, columnas Cherubini circinatas et sculptas in altari erexisse, arcam ligneam adorasse, necnon tabulas lapideas resque cæteras quæ erant in tabernaculo. Igitur rejiciendæ non sunt divinorum imagines. Quæ sufficiunt ad confutandum atheos qui insane verbis contendere malunt.

Κληρικός. Ἱκανῶς καὶ τὸν περὶ τούτου ἐδιδάχθημεν λόγον, ἅγιε δέσποτα. Ἐναπολέλειπται μαθεῖν, καὶ τίς ἄρα τῶν αἱρέσεων μετὰ τὴν οἰκουμενικὴν σύνοδον τὴν ἑβδόμην παρεισεφθάρη τῇ Ἐκκλησίᾳ· καὶ τίνα τὴν λύμην εἰργάσατο· καὶ πῶς ἀπολογητέον πρὸς τοὺς ταύτης ἐξεχομένους.

Clericus. Satis, sancte domine, de ista materia edocti sumus. Superest ut discamus quænam hæresis post septimum universale concilium in Ecclesiam calamitose irrepserit et quale damnum intulerit, et quomodo respondendum sit ad eos qui illam amplexi sunt.

Ἀρχιερεύς. Οὐκ ἀφ' ἡμῶν, ἀδελφὲ, καὶ τοὺς προτέρους λόγους εἰρήκαμεν, ἀλλ' ὅσους ἔχομεν ἐκ Πατέρων, καὶ τούτων δὲ μερικούς τινας, οὔτε γὰρ πρόθεσις ἡμῖν περὶ πάντων λέγειν, οὔτ' αὖ πρὸς τοῦτο ἱκανὴ δύναμις, τῷ πρὸς Θεὸν δὲ θάῤῥει διὰ τὴν ὑμῖν αἴτησιν καὶ πρὸς τοῦτο ἥκομεν τὸ ὑπὲρ ἡμᾶς.

Pontifex. Non a nobis, frater, superius dicta protulimus, sed qualia habemus a Patribus, e quibus quædam loca solummodo extraximus; nam neque nobis est consilium de omnibus disserendi, neque sufficiens ad hoc facultas: attamen Deo confisi propter sciscitationem vestram, ad id etiam quod vires nostras superat accedimus.

ΚΕΦΑΛ. ΙΘ'.

Κατὰ Λατίνων.

Ἑτέρα μὲν οὖν μετὰ τὴν ἑβδόμην οἰκουμενικὴ οὐ γέγονε σύνοδος, εἰ μὴ ἡ ὀγδόη λεγομένη, ἧς καὶ Λατῖνοι μέμνηνται. Καὶ τὰ Πρακτικὰ ταύτης ἀπὸ μέρους τυγχάνουσιν ἐμφανῆ, ἐν οἷς καὶ περὶ τῆς καινοτομίας τῶν Λατίνων ἔστι μαθεῖν ἀκριβέστερον· καὶ ὅπως ἡ σύνοδος αὕτη τοὺς καὶ ἐκ τοῦ Υἱοῦ τὸ θεῖον Πνεῦμα ἐκπορεύεσθαι τολμῶντας λέγειν ἀναθέματι καθυπέβαλε. Τηρεῖν τε τὰ τοῦ ἱεροῦ συμβόλου ἀμείωτα παντὶ τρόπῳ παρέδωκεν. Ἀλλ' οὐκ οἶδ' ὅπως Λατῖνοι ταῦτα παρεῖδον. Οἶμαι δὲ ἐξ ὑπερηφανίας τοῦτο πεπόνθασι καὶ οἰήσεως, ἃ καὶ τοὺς πρὶν ἀγγέλους κατέῤῥαξε, καὶ πτώματος δὲ τοῖς τοῦ γένους ἡμῶν ἀρχηγοῖς καὶ θανάτου πρόξενα γέγονε. Ταῦτα οὖν καὶ τῇ τῶν Λατίνων Ἐκκλησίᾳ μεγίστου πτώματος ὑπῆρξεν αἰτία, πρότερον μὲν καὶ τῷ συμ-

CAPUT XIX.

Adversus Latinos.

Aliud quidem post septimum non factum est universale concilium, nisi quod octavum dicitur, quod Latini quoque referunt, hujusque acta partim sunt divulgata in quibus ea quæ a Romanis novata sunt discere fas est, necnon quomodo ipsum concilium anathemate percusserit audentes dicere divinum Spiritum a Filio procedere, intactaque servare sacri Symboli capita mandaverit. Sed nescio quamobrem Latini ista neglexerint; censeo autem eos ita egisse ex superbia et præsumptione quibus olim dejecti sunt angeli, quibus ceciderunt et interierunt generis nostri principes. Talium igitur causa casu gravi cecidit Latinorum Ecclesia quæ prius quidem Symbolum atque apostolorum et Patrum traditiones recte faciebat et

sequebatur, quæ insuper omnium erat Ecclesiarum A princeps; veritatem enim non abscondimus; nam volebamus et cupiebamus ejus principatum agnoscere, si tantum orthodoxæ fidei characterem servavisset intemeratum; nunc autem Latini omnium contemptores, neque perpendentes ea quæ scripta sunt: « Qui voluerit primus esse erit omnium servus, » et: « Omnis qui se exaltat humiliabitur », verum eadem desiderantes et quærentes quæ prius Christo fideles gentium impietatem per piscatorem Petrum eique similes repudiaverant, necnon insanam illam exteriorem sapientiam secundum sapientes paganos appetentes, et dum semetipsos cæteris fratribus sapientiores opinarentur, putarentque apud semetipsos se esse sapientes, B ut dixit Paulus, casu gravissimo ceciderunt, et jacent, heu! insanabili perniciosoque superbiæ morbo usque ægrotantes, ita ut nolint pœnitentia sanari, neque suasi pareant divino Symbolo, prout de divino Spiritu docuerunt Patres; imo nos quoque in suam insaniam trahere conentur. Insuper magni Petri potestate gloriantes, contra pœnitentiam Petri ambulant, qui, ut ex his conjicitur, Romanis doctor primusque pastor factus est, ut conversionem edoceret et pœnitentiam indicaret semetipsum in exemplum proponens; ipse enim jactantia et præsumptione dejectus, et propterea a confessione quam prius confessus erat abductus, non nisi per pœnitentiam resurgere potuisset. Verum censeo ea quæ ipsi dicta sunt prophetice probata C fuisse: « Simon, Simon, ecce Satanas expetivit vos ut cribraret sicut triticum; ego autem oravi pro te ut non deficiat fides tua, et tu aliquando conversus confirma fratres tuos, » quod tunc quidem ipsi contigit quando post negationem conversus est et multos confirmavit. Faciat vero precibus Petri benignitas Christi, ut Romani secundum Petrum ad eam a qua exciderunt fidei rectitudinem feliciter conversi humilitate Christi ardentique confessione, secundum amorem ferventemque Petri fidem, in pace et charitate bonaque orthodoxi Patrum Symboli confessione fratres suos confirment. Sed Petrus pœnitentia et lacrymis, ut dictum est, et trina suæ erga Christum dilectionis confessione, non solum apostolorum choro D rursum adunatus est, sed etiam caput eorum monstratus, pastorque gregis Christi fuit ordinatus. Latini vero, jactantes se Petri præstantiam habere aliosque despicientes, sibimetipsis atque aliis defectionis a rectis dogmatibus aliorumque lapsuum pluribus auctores facti sunt; unde damnum majus quam omnes adversus Ecclesiam unquam furentes fecerunt, cum membra Christi dilaceraverint, et jam tanto tempore sexcentas scandalorum formas fratribus omnibus divino Christi sanguine redemptis præbuerint.

δόλῳ, καὶ ταῖς τῶν ἀποστόλων καὶ Πατέρων παραδόσεσιν ἀγομένῃ καὶ ἑπομένῃ καλῶς, καὶ πρώτῃ πάντων τελούσῃ· οὐ γὰρ κρύπτομεν τὴν ἀλήθειαν, ἐπεὶ καὶ πρώτην ἐβουλόμεθα καὶ ἐποθοῦμεν ἔχειν αὐτὴν, εἰ τὸν χαρακτῆρα τῆς ὀρθοδόξου πίστεως μόνον ἀκηλίδωτον διετήρει· νῦν δὲ ὑπερφρονήσαντες πάντων Λατῖνοι, καὶ μήτε τὸ, « Ὁ θέλων πρῶτος εἶναι ἔστω πάντων ἔσχατος, » λογισάμενοι, μήτε τὸ, « Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, » ποθήσαντες δὲ καὶ ζητήσαντες τὰ τῶν Ἑλλήνων ὡς ὕβρινά οἱ πιστοὶ Χριστῷ καὶ τὴν ἀθεΐαν Ἑλλήνων διὰ τοῦ ἁλιέως Πέτρου καὶ τῶν αὐτῷ ὁμοίων πρώην ἀποβαλλόμενοι, καὶ τὴν **29** μωρὰν ταύτην σοφίαν τῶν ἔξω ζηλώσαντες κατὰ τοὺς τῶν Ἑλλήνων σοφοὺς, καὶ τῶν ἄλλων ἀδελφῶν νομίσαντες εἶναι σοφώτεροι, καὶ δόξαντες, ὡς Παῦλός φησι, παρ' ἑαυτοῖς εἶναι σοφοὶ, πτῶμα πεπτώκασι χαλεπόν. Καὶ κεῖνται (φεῦ!) διηνεκῶς ἀλαζονείαν νοσήσαντες, νόσον ἀνίατόν τε καὶ χαλεπὴν, ὡς μὴ μετανοίᾳ θεραπευθῆναι βουλόμενοι, μηδ' ὑποταγῆναι τῷ θείῳ Συμβόλῳ πειθόμενοι, συντεθειμένῳ θείῳ Πνεύματι παρὰ τῶν Πατέρων. Βούλονται δὲ μᾶλλον ἕλκειν ἡμᾶς εἰς τὴν αὐτὴν ἐκείνοις παραφροσύνην· καὶ ἐπὶ τῇ ἐξουσίᾳ τοῦ μεγάλου Πέτρου καυχώμενοι, ἀπεναντίας βαίνουσι τῇ μετανοίᾳ τοῦ Πέτρου, ὃς ὡς ἔοικε διὰ τοῦτο μᾶλλον τοῖς ἐν τῇ Ῥώμῃ διδάσκαλος γέγονε καὶ πρῶτος ποιμὴν, ὡς ἂν καὶ τὰ τῆς ἐπιστροφῆς ἐκδιδάξῃ, καὶ τὰ τῆς μετανοίας ὑπόθηται, ἑαυτὸν προτιθεὶς εἰς ὑπόδειγμα. Καὶ αὐτὸς γὰρ τῇ καυχήσει καὶ ἀλαζονείᾳ ὑποσυρεὶς, καὶ διὰ τοῦτο ἧς πρότερον ὡμολόγησεν ὁμολογίας ἀποσφαλεὶς, οὐκ ἄλλως, εἰ μὴ μετανοίᾳ εὗρε τὴν ἐπανόρθωσιν. Οἶμαι δὲ καὶ τὸ πρὸς αὐτὸν εἰρημένον προφητικῶς εἰρῆσθαι, τὸ, « Σίμων, Σίμων, ἰδοὺ ἐξῃτήσατο ὑμᾶς ὁ Σατανᾶς τοῦ συνιάσαι ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. » Ὃ δὴ καὶ τότε μὲν γέγονεν αὐτῷ, μετὰ τὴν ἄρνησιν ἐπιστραφέντι, καὶ πολλοὺς στηρίξαντι· γένοιτο δὲ καὶ νῦν φιλανθρωπίᾳ Χριστοῦ διὰ τῶν εὐχῶν Πέτρου τοῖς ἐν τῇ Ῥώμῃ κατὰ τὸν Πέτρον, ἀφ' ἧς ἐξέπεσον ὀρθοδοξίας, πρὸς αὐτὴν καλῶς ἐπιστρέψαντας τῇ τοῦ Χριστοῦ ταπεινώσει καὶ θερμῇ ὁμολογίᾳ, κατὰ τὴν ἀγάπην τοῦ Πέτρου καὶ θερμὴν πίστιν στηρίξαι ἐν εἰρήνῃ καὶ ἀγάπῃ καὶ τῇ καλῇ ὁμολογίᾳ τοῦ ὀρθοδόξου τῶν Πατέρων Συμβόλου τοὺς ἀδελφούς. Ἀλλὰ Πέτρος μὲν τῇ μετανοίᾳ καὶ δάκρυσι, καθὼς εἴρηται, καὶ τῇ τριττῇ τῆς εἰς Χριστὸν ἀγάπης ὁμολογίᾳ, οὐ μόνον τῇ τῶν ἀποστόλων χορείᾳ πάλιν συντέτακται, ἀλλὰ καὶ κορυφὴ τούτων δέδεικται, καὶ ποιμὴν τῆς Χριστοῦ ποίμνης κεχειροτόνηται. Λατῖνοι δὲ κομπάζοντες τὴν ὑπεροχὴν ἔχειν Πέτρου, καὶ τῶν ἄλλων κατεπαιρόμενοι, καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀποστασίας τε τῶν ὀρθῶν δογμάτων καὶ πτωμάτων ἄλλων πολλοῖς τυγχάνουσι πρόξενοι. Ὅθεν καὶ βλάβης τῇ Ἐκκλησίᾳ Χριστοῦ παρὰ πάντας τοὺς κατ' αὐτῆς πώποτε κινηθέντας γεγόνασιν αἴτιοι, τὰ μέλη διασχίσαντες τοῦ Χριστοῦ, καὶ ἐπὶ τοσοῦτον ἤδη τὸν χρόνον σκανδάλων μυρίας ἀφορμὰς τοῖς ἀδελφοῖς ἅπασι παρασχόντες, τοῖς ἠγορασμένοις τῷ θείῳ αἵματι τοῦ Χριστοῦ.

Κληρικός. Καὶ τίνα, δέσποτα, ἐξαιρέτως, οἷς ἡ Λατίνων καινοτομία συνίσταται; δι' ἃ καὶ τῆς τοῦ Χριστοῦ καθολικῆς ἀπεῤῥάγησαν Ἐκκλησίας;

ΚΕΦΑΛ. Κ'.

Τίνα εἰς ἃ καινοτομοῦσι Λατῖνοι.

Ἀρχιερεύς. Πρῶτον μὲν τὸ περὶ τὴν πίστιν ἀποσφαλῆναι, καὶ προσθήκην θεῖναι τῷ ἱερωτάτῳ Συμβόλῳ, περὶ οὗ οἱ Πατέρες ἐξησφαλίσαντο, μηδένα προσθεῖναι τούτῳ, μηδ' ἀφελεῖν· ἐπὶ τούτῳ δὲ καὶ ἕτερα πλεῖστα παρὰ τὸ ἄνωθεν ἔθος τῆς Ἐκκλησίας κεκαινοτόμηται παρ' αὐτοῖς· μᾶλλον δὲ πάντα σχεδὸν τὰ τῆς Ἐκκλησίας. Καὶ γὰρ ἄζυμα τοῖς μυστηρίοις προσφέρουσιν εἰς θυσίαν, ὅπερ ἔθος Ἰουδαίοις ἐστί. Τὰς ἀπὸ τῶν ἀποστόλων καὶ τῶν Πατέρων παραδεδομένας καταλύουσι νηστείας, καθὰ μανθάνομεν, Τετράδος φημὶ καὶ Παρασκευῆς, καὶ τῶν δύο πρώτων ἡμερῶν τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ τῶν ἄλλων δὲ παραδεδομένων νηστειῶν, ὅπερ οὐκ ἔθος Χριστιανοῖς, **30** οὐδὲ τῶν ἁγίων ἡμῶν Πατέρων λόγος. Περὶ ὧν νηστειῶν καὶ ὁ ἀποστολικὸς κανὼν παραγγέλλει, καὶ πᾶς ὁ τῶν ἁγίων χορὸς καὶ ἐδίδαξε, καὶ ταύτας ἐφύλαξε. Τὸ ἐν Σαββάτῳ παντὶ νηστεύειν παρὰ κανόνα καὶ τοῦτο τὸν ἀποστολικὸν καὶ τὰς τῶν Πατέρων νομοθεσίας. Ἐν ἑνὶ γὰρ καὶ μόνῳ νηστεύειν καὶ οὐκ ἐν ἄλλῳ φησίν, ὅτι εὐχαριστία τῆς δημιουργίας ἐστὶ τὸ Σάββατον, ὡς καὶ ἡ Κυριακὴ τῆς ἀναστάσεως· καὶ ὅτι προοίμιον τῆς ἀναστάσεως ἀληθῶς, ὑπὸ τὸν ᾅδην τοῦ Σωτῆρος τῇ θείᾳ ψυχῇ παραγεγονότος, καὶ τὴν ἐλευθερίαν παρεσχηκότος καὶ τὴν ἀνάστασιν. Ὃ καὶ πιστουμένη ἡ Ἐκκλησία ἐν ἑκάστῳ Σαββάτῳ τὰ ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων ἐνεργεῖ· τὸ γάμους παρανόμους συνιστᾷν, καὶ πατέρα συνάπτειν καὶ υἱὸν μετὰ μητρός τε καὶ θυγατρὸς, ἀδελφούς τέ τινας μετὰ ἀδελφῶν γυναικῶν· τὸ τὰς χειροτονίας ἑτέρως ποιεῖν ἢ ὡς οἱ Πατέρες παραδεδώκασι καὶ ἀπόστολοι. Παρέδωκαν γὰρ οὗτοι, δι' ἐπιθέσεως χειρῶν ταύτας ἐνεργεῖν καὶ οὐ χρίσματος, ὡς νομικῶς οἱ Λατῖνοι. Καὶ ὁ τῶν ἀποστόλων διάδοχος περὶ τούτου συγγράφεται Διονύσιος. Καὶ οὐδὲ τὴν ἱερουργίαν οὗτοι ἀμώμητον, ἀλλὰ παρὰ τὴν παράδοσιν ἐνεργοῦσι, προηγουμένως μὲν δι' ἀζύμων. Καὶ Ἰουδαῖοι μὲν προσέφερον ἄζυμα, καὶ δι' ἀζύμων ἑώρταζον· ἡμῖν δὲ τὰ πάντα καινὰ, καὶ τέλειος ἄρτος προσάγεσθαι παραδέδοται. Ἐπεὶ καὶ ὁ τῆς ζωῆς ἄρτος τέλειος ἡμῖν χορηγεῖται, ὁ τοῦ Θεοῦ Λόγος, ἑνωθεὶς ἡμῶν τῷ φυράματι, τέλειος ὢν Θεὸς, καὶ τέλειος γενόμενος ἄνθρωπος. Διὸ καὶ ζύμῃ τὴν βασιλείαν αὐτοῦ καὶ οἰκονομίαν παρείκασεν ὁ Σωτὴρ, λέγων, « Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, » καὶ τὰ ἑξῆς. Ἔπειτα οὐδ' ὁμοῦ λειτουργοῦσι Λατῖνοι, οὐδὲ ἀπὸ τοῦ αὐτοῦ ποτηρίου καὶ ἄρτου κοινωνοῦσι τοὺς λαϊκοὺς, ὡς ἡ Ἐκκλησία ποιεῖ, καὶ παρέλαβεν, ἀλλὰ καθ' ἕτερον ἔθος. Ἔτι δὲ καὶ τὸ βάπτισμα. Οὐ γὰρ ἐν καταδύσεσι τρισὶν, ἀλλ' ἐπιχύσεσιν ἐνεργοῦσι, καὶ δίχα μύρου. Οὐδὲ κοινωνίας τοῖς βαπτιζομένοις μεταδιδόασι βρέφεσι, καὶ τοῖς ἄχρι πλειόνων ἐτῶν ἐλθοῦσι. Καὶ τὰ πλείω τούτων βρέφη ἀσφράγιστα. Καὶ οἱ πλεῖστοι αὐτῶν τελευτῶντες ὅσοι μὴ λαλεῖν

A *Clericus*. Quæ sunt, domine, quibus præsertim constant Latinorum novitates? quibusnam catholicam Christi Ecclesiam consciderunt?

CAPUT XX.

Quænam sint a Latinis innovata.

Pontifex. Primum quidem circa fidem erraverunt et additamentum sanctissimo Symbolo imposuerunt, de quo Patres statuerunt ne quid ei adderetur, nec ab eo detraheretur. Insuper alia multa præter antiquum Ecclesiæ morem ab eis novata sunt, ne potius dicam fere omnes usus Ecclesiæ. Nam azyma in mysteriis ad sacrificium offerunt, quæ Judæis erat consuetudo. Ab apostolis et Patribus mandata solvunt jejunia, quemadmodum didicimus, de feria quarta loquor et de Parasceve, B necnon de duobus primis diebus sanctæ Quadragesimæ, aliisque traditis jejuniis, contra Christianorum consuetudinem et minime suffragantibus SS. Patribus; de quibus jejuniis canon apostolicus mandatum habet, omnisque sanctorum chorus illa docuit illaque servavit. In omni Sabbato jejunare canoni apostolico adversatur, Patrumque institutionibus; dicunt enim licere in uno tantum Sabbato jejunare, non autem in alio, quoniam Sabbatum est grata creationis memoria, sicut et Dominicæ resurrectionis, quia etiam Sabbatum vere est resurrectionis prœmium, cum ad inferos Dominus anima divina descenderit et libertatem atque resurrectionem inde retulerit; quod credens Ecclesia in Sabbato preces fundit pro eis qui in C fide dormierunt. Præterea illicita ineunt matrimonia; pater filiam, filius matrem ducit, fratresque fratrum mulieribus adhærent. Ordinationes aliter faciunt ac tradiderunt Patres et apostoli; hi enim eas docuerunt esse faciendas per impositionem manuum, nequaquam per chrisma, ut mos est Latinis; hæresque apostolorum de hac re scripsit Dionysius. Sacra ipsa eorum non sunt irreprehensibilia, sed contra traditionem faciunt; nam primo azymis utuntur; Judæi quidem azyma offerebant et per azyma celebrabant; nobis autem omnia sunt nova, panisque perfectus præcipitur offerendus, quoniam panis vitæ perfectus nobis datus est, Dei Verbum figmento nostro adunatum, perfectus Deus, per- D fectus homo factus. Ideo regnum suum et dispensationem suam cum fermento contulit Salvator dicens: « Simile est regnum cœlorum fermento, et cætera. » Deinde Latini non simul faciunt liturgiam, neque laicos sacris epulis in calice et pane admittunt, quemadmodum facit et accepit Ecclesia, sed secundum aliam consuetudinem. Præterea baptismum non trina immersione sed infusione ministrant, et absque unguento. Infantibus baptizatis Christi corpus nequaquam præbent, etiamsi ad plures annos pervenerint, multique infantes sine sigillo chrismatis moriuntur, viatico vitæ absque communione mysteriorum ab his terris discedentes. Suorum adhuc episcoporum ordinationes minime manuum impositione in altari faciunt, secundum antiquam Christi

Deique nostri et apostolorum traditionem, qui, elevatis manibus, benedixit eis, ut relatum est; et Spiritus sanctus super capita apostolorum sedit: « Per impositionem manuum presbyteri » ait Paulus, nequaquam per unguentum et chrisma. Et: « Noli negligere, ait Timotheo, gratiam quæ est in te, quæ data est tibi per impositionem manuum mearum. » Septem diaconi, Barnabas ipseque Paulus et omnes impositionem manuum acceperunt quod est vereque dicitur χειροτονία seu manuum elevatio. Neque per plures episcopos, ut dicit canon apostolicus, neque per impositionem aperti Evangelii, ut magnus docet Dionysius, sed apud eos sæpe unus episcopus episcopum instituit cujusdam ope unguenti chrismatis, contra traditionem apostolorum, eo magis quod ex lege id faciunt. Si vero plures aliquando adsint episcopi, hi tamen nequaquam cum primo ministrant, non enim possunt, ideoque cum non simul ministrent, ordinandum minime simul ordinant. Sed neque possunt illi cum aliis simul sacrum facere, quoniam consecrata azyma frangere nequeunt et pluribus distribuere, sicut tradidit Salvator qui benedixit et fregit discipulisque distribuit. Quapropter non mos est Latinis ut plures presbyteri vel episcopi simul operentur. Nec simul ex uno pane unoque calice participant, quemadmodum Paulus a Domino accepit, nosque pios facere edocuit; idcirco nemo apud eos simul cum papa sacrum facit nisi solus diaconus. Omnia innovant contra traditionem apostolorum Salvatorisque nostri atque Patrum qui apostolis successerunt, quemadmodum de habitu monachorum. Etenim cum unus esset habitus, hunc illi in multas partes diviserunt, pluresque habitus fecerunt, quod nullus e Patribus mandavit, sed omnes unum solum sicut et baptismum monachi habitum dicunt; de quo divus quoque mandavit Dionysius. Si vero apud nos major et minor habitus appellatur, minime duos illos dicimus, sed unus qui major et perfectus est, et qui minor dicitur, qui majoris pignus est hujusque initium et prooemium; sero a quibusdam Patribus fuit excogitatus, ut arrhabo prioris traditus, posterius autem perfectus fuit, ita ut unus tantum tradatur; ideo pignus majoris sanctique habitus vocatur. Longam de re ista orationem facit magnus inter theologos confessor et Pater Studites Theodorus. Sed non ista tantum contra perantiquam Ecclesiæ consuetudinem, verum etiam sexcenta alia Christianis discordia patrant. Multi luxuria et lascivia diffluunt, et de hac re nullus est eis sermo, sive monachis, sive sacerdotibus, sive laicis, etsi Dominus impure conspicientem castigaverit et adulterum illum dixerit, etsi Paulus tanta docuerit adversus fornicantes, et apostoli ab initio per epistolam mandaverint ut credentes e gentibus ab idolothytis, sanguine, suffocato et fornicatione abstinerent. Hæc dicimus, minime quia nonnulli ex nostris in fornicationem non ceciderint; novimus enim quosdam lapsos esse, et hos pœnitentia corrigimus; sed quia apud Latinos fornicari est prope-

A δύνανται, ἄμοιροι τοῦ ἐφοδίου τῆς ζωῆς, δίχα κοινωνίας τῶν μυστηρίων τῶν ὧδε ἐξερχόμενοι. Ἀλλ' οὐδ' ἐν τῷ θυσιαστηρίῳ τῇ ἐπιθέσει τῶν χειρῶν τὰς χειροτονίας ἐνεργοῦσι τῶν οἰκείων ἐπισκόπων, κατὰ τὴν ἄνωθεν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καὶ τῶν ἀποστόλων αὐτοῦ παράδοσιν· ὃς ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς, φησί, καὶ τὸ Πνεῦμα τὸ ἅγιον εἰς τὰς κεφαλὰς τῶν ἀποστόλων ἐκάθισε, καὶ διὰ τῆς ἐπιθέσεως (φησὶ Παῦλος) τῶν χειρῶν τοῦ πρεσβυτερίου, καὶ οὐ διὰ μύρου καὶ χρίσματος. Καὶ μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι, Τιμοθέῳ λέγει, διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. Καὶ οἱ ἑπτὰ δὲ τῶν διακόνων, καὶ Βαρνάβας καὶ Παῦλος αὐτὸς καὶ πάντες, ἐπιθέσεις χειρῶν ἐδέξαντο· ὃ καὶ χειροτονία ἐστί τε καὶ λέγεται ἀλη-
B θῶς· οὐδ' ὑπὸ πλειόνων ἐπισκόπων, ὡς ὁ ἀποστολικὸς κανὼν λέγει, οὐδὲ διὰ τῆς τοῦ Εὐαγγελίου ἀνεῳγμένου ἐπιθέσεως, ὡς ὁ μέγας διδάσκει Διονύσιος· ἀλλ' εἷς ἐπίσκοπος παρ' αὐτοῖς πολλάκις ἐπίσκοπον χειροτονεῖ, καὶ χρίσματι μύρου τινὸς, παρὰ τὴν τῶν ἀποστόλων παράδοσιν· μάλιστα δὲ νομικῶς. Εἰ δὲ καὶ πάρεισί ποτε πλείους τῶν ἐπισκόπων, ἀλλ' οὐ συλλειτουργοῦσιν οὗτοι τῷ πρώτῳ. Οὐδὲ γὰρ δύνανται. Διὸ μὴ συλλειτουργοῦντες, οὐδὲ συγχειροτονοῦσι τὸν χειροτονούμενον. Ἀλλ' οὐδὲ δυνατὸν αὐτοῖς ἐστιν ἀλλήλοις συλλειτουργεῖν, ὅτι οὐδὲ δυνατὸν τὸ ἱερουργούμενον ἄζυμον κλᾶσθαι, καὶ τοῖς πολλοῖς μεταδίδοσθαι, ὡς παραδέδωκεν ὁ Σωτὴρ, ἱερουργήσας καὶ κλάσας, καὶ τοῖς μαθηταῖς μεταδούς. Διὸ οὐδ' ἔθος Λατίνοις ὁμοῦ λειτουργεῖν πρε-
C σβυτέρους πλείους ἢ ἐπισκόπους, οὐδ' ὁμοῦ ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχειν, ὥσπερ ὁ Παῦλος παρέλαβεν ἀπὸ τοῦ Κυρίου, καὶ παρέδωκε τοῖς εὐσεβεῖς **31** ἡμᾶς ἐνεργεῖν. Διὸ οὐδὲ συλλειτουργοῦσι τῷ πάππᾳ τινὲς αὐτῶν εἰ μὴ διάκονος μόνος· πάντα ποιοῦντες καινότερα καὶ παρὰ τὴν τῶν ἀποστόλων καὶ τοῦ Σωτῆρος ἡμῶν παράδοσιν καὶ τῶν διαδόχων τῶν ἀποστόλων Πατέρων, ὡς καὶ τὸ σχῆμα τῶν μοναχῶν· ἑνὸς γὰρ ὄντος τοῦ σχήματος, εἰς πολλὰς οὗτοι τοῦτο κατέτεμον μοίρας, καὶ πλεῖστα τὰ σχήματα πεποιήκασιν. Ὅπερ οὐδεὶς νενομοθέτηκε τῶν Πατέρων, ἀλλὰ πάντες ἓν καὶ μόνον ὡς καὶ τὸ βάπτισμα λέγουσι τὸ σχῆμα τοῦ μοναχοῦ, περὶ οὗ καὶ ὁ θεῖος νομοθετεῖ Διονύσιος. Εἰ δὲ καὶ παρ' ἡμῖν
D μικρὸν καὶ μέγα λέγεται σχῆμα, οὐ δύο ταῦτά φαμεν, ἀλλ' ἓν αὐτὸ τὸ μέγα καὶ τέλειον. Αὐτὸ δὲ ὃ λέγεται μικρὸν, ἀῤῥαβών ἐστι τοῦ μεγάλου, καὶ ἀπαρχὴ αὐτοῦ καὶ προοίμιον, καὶ διὰ τὴν ἀσθένειαν ὕστερον ἐπινοηθὲν τισι τῶν Πατέρων, ὡς ἀῤῥαβὼν τοῦ πρώτου διδόμενον, ὕστερον δὲ τελειούμενον εἰς αὐτὸ δὴ τὸ παραδεδομένον καὶ ἕν. Διὰ τοῦτο καὶ ἀῤῥαβὼν τοῦ μεγάλου καὶ ἁγίου καλεῖται σχήματος. Καὶ πολὺν περὶ τούτου ποιεῖται τὸν λόγον ὁ μέγας ἐν θεολόγοις καὶ ὁμολογητὴς καὶ Πατὴρ, ὁ Στουδίτης Θεόδωρος. Οὐ μόνον τοίνυν τὰ τοιαῦτα παρὰ τὴν ἐκκλησιαστικὴν ἐξαρχῆς συνήθειαν, ἀλλὰ καὶ μυρία ἕτερα Χριστιανοῖς ἀνάρμοστα ἐνεργοῦσι, πορνείας σχεδὸν ἅπαντες ἀκολάστους. Καὶ οὐ λόγος αὐτοῖς ὅλως περὶ τούτου ἔν τε μοναχοῖς, καὶ ἱερω-

μένοις, καὶ λαϊκοῖς. καίτοι γε τοῦ Κυρίου τὸν ἐμπαθῶς ὁρῶντα κολάζοντος, καὶ μοιχὸν αὐτὸν εἶναι λέγοντος, καὶ τοῦ Παύλου τοσαῦτα διδάσκοντος κατὰ πορνευόντων, καὶ τῶν ἀποστόλων ἐξ ἀρχῆς τοῦτο δι' ἐπιστολῆς νομοθετησάντων ἀπέχεσθαι τοὺς ἐξ ἐθνῶν πιστεύοντας εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας. Καὶ ταῦτά φαμεν, οὐχ ὅτι καὶ τῶν ἡμετέρων τινὲς πορνείαις οὐ περιπίπτουσιν· ἴσμεν γάρ τινας περιπίπτοντας, καὶ μετανοίᾳ διορθούμεθα τούτους· ἀλλ' ὅτι παρὰ Λατίνοις τὸ πορνεύειν σχεδὸν ἀνέγκλητον, καὶ τοσοῦτον ὡς μηδὲ κώλυμα αὐτοῖς εἰς ἱερωσύνην ὅλως εἶναι. Τῶν παρ' αὐτοῖς γὰρ ἱερωμένων πολλοὶ παλλακάς τε ἔχουσι, καὶ τέκνα φανερῶς ἐκ πορνείας, καὶ προδήλως ἐν τοῖς χαμαιτυπείοις εἰσέρχονται, καὶ πορνεύουσιν ἀναιδῶς, καὶ ἱερουργεῖν οὐ κωλύονται. Καὶ οἱ λαϊκοὶ B δὲ τούτων κατὰ τόπους λαμβάνουσι παλλακὰς, καὶ ἀνερυθριάστως πορνεύουσι, μὴ λογιζόμενοι τοῦτο ἀκαθαρσίαν εἶναι καὶ ἁμαρτίαν. Ἔτι δὲ καὶ τὸ ἀκαθάρτων ἅπτεσθαι καὶ ῥυπαρῶν ζώων, καὶ μάλιστα πνικτῶν, οὐ καλὸν, ἅπερ οὐχ ὡς μεμολυσμένα μὲν ἀπηγόρευται, ἐπεὶ « πᾶν κτίσμα Θεοῦ καλὸν, ὥς Παῦλός φησι, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· πλὴν μετ' εὐχαριστίας, φησὶν, οὐ μὴν ἀδιαφορίας· καὶ ὅτι ἁγιάζεται, γράφει, διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Ποῦ δὲ περὶ τούτου ὅλως λόγος Λατίνοις; Καὶ τῶν περιττωμάτων γὰρ αὐτῶν ἅπτονται, καὶ οὔρων ἀπογεύονται, ὡς εἶδον πολλοί. Καὶ ὁ μὲν θεῖος ἀπόστολος Ἰούδας, «Μισοῦντες, φησὶ, καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα·» οὗτοι C δὲ τὸν ἐκ τῆς σαρκὸς μολυσμὸν οὐ μόνον οὐ βδελύσσονται καὶ μισοῦσιν, ἀλλ' ἐν οἷς τὰ τῆς τροφῆς ἐνεργοῦσι σκεύεσιν, ἐν τούτοις καὶ τοὺς μεμολυσμένους χιτῶνας καὶ τὰς ἀναξυρίδας εἰσάγουσιν. Ὁ μολυσμὸς δὲ τῆς σαρκὸς τὴν φθορὰν τὴν ἐκ τῆς ἁμαρτίας παρίστησι, δι' οὗ καὶ ἐν ἀνομίαις συλληφθῆναι μανθάνομεν, καὶ οὐκ ἔστι καθαρθῆναι, εἰ μὴ διὰ τοῦ θείου βαπτίσματος, καὶ μετανοίᾳ πάλιν ἐκ τούτου. Ἀλλ' οὗτοι τὰ ἐκ τῶν μελῶν αὐτῶν περιττώματα ἐξ ὧν καὶ ὁ μολυσμὸς, προσφέρουσι (φεῦ!) αὐτῶν τοῖς χείλεσι καὶ τῷ στόματι. Καίτοι γε τὸ εὐλαβεῖς εἶναι ἡμᾶς καὶ ἐγκρατεῖς ἐν πᾶσι παρὰ τοῦ Ἀποστόλου μανθάνομεν. « Ὁ ἀγωνιζόμενος » γὰρ, φησὶ, « πάντα ἐγκρατεύεται. Καὶ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, » λέγει. Καὶ ὅτι δεῖ ἐγκρατεύεσθαι καὶ **32** κρέατος ἀπέχεσθαι, αὐτός τε Παῦλος νηστεύων διδάσκει, « Ἐν νηστείαις πολλάκις, » λέγων, καὶ, « Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. » Καὶ Πέτρος δὲ ἀσσαρίου θερμίοις ἐτρέφετο, καὶ οἱ λοιποὶ μαθηταὶ νηστείαις ἐσχόλαζον, οἳ καὶ τὴν νηστείαν ἡμῖν παραδεδώκασι τοῦ Σωτῆρος, Τετράδα τε καὶ Παρασκευὴν, ἐν οἷς καὶ κρέατος ἀπέχεσθαι καὶ ᾠοῦ καὶ γάλακτος νενομοθετήκασιν, ὡς παρελάβομεν ἄνωθεν ἐξ αὐτῶν τε καὶ τῶν ἀποστόλων καὶ τῶν Πατέρων.

A modum inculpatum, ita ut istud censeant sanctitati non obstare; quippe plures ex eorum sacerdotibus pellices habent, et liberos manifeste ex fornicatione, et palam in lupanaria ingrediuntur, et impudenter mœchantur, nec prohibentur ne sacra faciant. Laici autem, eorum exemplo, pellices accipiunt, et fornicantes non erubescunt, nequaquam cogitantes in hoc esse peccatum et immunditiam. Insuper impura et immunda tangere animalia, præsertim suffocata, non est bonum; nullo modo, quoniam quasi fœdata prohibentur, cum « omnis creatura Dei bona sit, quemadmodum dixit Paulus, et nihil rejiciendum quod cum gratiarum actione percipitur: » cum gratiarum actione, inquit, non autem fastidiose; et quoniam sanctificatur per verbum Dei et orationem. Ubi Latinis sermo de hac materia? Ipsa enim purgamenta tangunt, nec a sordibus prohibentur, ut viderunt multi. Ait quidem divus apostolus Judas: « Odientes et eam quæ carnalis est maculatam tunicam; » illi vero non tantum a pollutione carnis non abhorrent neque eam in odio habent, sed in ea quibus cibos parant vasa maculatas tunicas et feminalia immittunt. Carnis autem fœdatio maculationem ex peccato acceptam exhibet, quo discimus nos in iniquitatibus esse conceptos, quibus mundari non possumus nisi divini ope baptismi, et postea rursus per pœnitentiam. At illi membrorum superflua quibus fœdantur heu! ad labia osque admovent, etsi Apostolus nos doceat pios esse et in omnibus temperantes; nam ait, « Qui in agone contendit ab omnibus se abstinet; » vel, « Si esca scandalizat fratrem meum, non manducabo carnem in sæculum, » inquit. Nos oportere esse temperantes et a carnibus abstinere ipse Paulus jejunans demonstrat, dicens: « In jejuniis pluries; » necnon: « Castigo corpus meum et in servitutem redigo. » Petrus autem paucis lupinis vescebatur cæterique discipuli jejuniis indulgebant, qui Salvatoris jejunium nobis tradiderunt per quatriduum et parasceven in quibus carne, ovis et lacte abstinere jusserunt, ut jam dudum ab ipsis apostolis et Patribus accepimus.

D

ΚΕΦΑΛ. ΚΑ'.

Κατὰ τῶν ἐσθιόντων τὰ μὴ παραδεδομένα.

Εἰ οὖν καὶ τῶν νενομισμένων κρεῶν ἀπέχεσθαι χρὴ κατὰ καιρὸν, καὶ τοῦτο μαρτυροῦσιν οἱ ἀπόστολοι καὶ οἱ ἅγιοι, τὰς νηστείας καὶ Τετράδα καὶ Παρασκευὴν παραδεδωκότες νηστεύειν, πολλῷ μᾶλλον ῥυπαρῶν ζώων καὶ θηρίων κρέατος ἀπέχεσθαι χρὴ, ὧν καὶ αὐτὴ ἡ φύσις πρὸς τὴν βρῶσιν ἀηδῶς ἔχει καὶ ἀπεχθῶς. Ἀκρασίας τοίνυν τοῦτο σημεῖον, καὶ θηριώδους γνώμης καὶ διαθέσεως. Καὶ γὰρ οὐδὲ

CAPUT XXI.

Contra eos qui vescuntur cibis traditione ecclesiastica improbatis.

Igitur si legalibus carnibus vesci abstinere oportet secundum tempus, quod testantur apostoli et sancti, jubentes jejunia per quatriduum et parasceven exercenda, multo magis immundorum animalium carne abstinere oportet, quorum ipsa natura horrorem et fastidium generat, ne manducentur, et proinde hoc est intemperantiæ signum mentisque feræ et animi truculenti. Non enim multa

animalia carne vescuntur, sed tantum bestiæ quæ gaudent sanguine, et quæ carne vescuntur, non quamlibet carnem tangunt, sed solummodo mundioribus et salubrioribus utuntur; ergo qui his escis abutitur intemperantia ducitur ferasque feritate superat, quasi irrationabilem haberet animam. Purgamenta vero et sordes gustare mentis est immundissimæ et obscenæ feræque naturæ finis ultimus. Latini autem talibus utentes nos qui ab istis abhorremus irrident forte, quoniam sunt maxime religiosi, cordeque mundissimi; et sic erga talia se habent. Sacras domos vulgo pervias relinquunt, ipsaque adyta et terribilia penetrare sinunt non mulieres tantum, sed et cujuslibet ætatis homines, fornicarios, immundos ipsosque impios, non perpendentes quæ dicta sunt: « Nolite sanctum dare canibus; » et: « Domus mea domus orationis vocabitur, » et cætera; et propterea zelavit Jesus, ita ut mansuetus ipse flagello hujus gratia uteretur; et non sinebat, ut scriptum est, ut quispiam transferret vas per templum; illud autem templum erat legale umbraque futuri, nunc autem majus est templo, quemadmodum Salvator de semetipso dixit; et tamen tanta audent. Nihil mirum eos qui circa conscientiam defecerunt, qui indifferenter et inique conversantur, circa fidem naufragasse, prout docet Paulus. Vel etiam, ut rursum dicam, nihil mirum eos circa fidem nova cogitasse qui circa agendi rationem declinaverunt; nam sibi invicem respondent fides et vita; idcirco hi quoque qui ex orthodoxis fidem recte cognoscentes circa vitam soluti sunt, pœnæ sunt obnoxii, nisi pœnitentia et abstinentia a malo corrigantur. Perpendat sciscitans quoniam qui in peccata incidunt ignavi fiunt et frigidi atque segnes, tam circa verba fidei quam circa opera, neque ferventes sunt circa zelum et consuetudines; ideo verum est istud fratris Domini: « Fides sine operibus mortua est, sicut et opera sine fide. Quid autem Latini circa pœnitentiam innovaverunt? Cum magnum hoc donum in spem salutis nobis impertitum fuerit, aliudque secundum piaculum post baptisma in confessione et abstinentia a malo lacrymis nostris concessum fuerit, qua pœnitentiæ propriæque accusationis gratia omnis fidelis qui post baptisma peccavit salutis confidentiam assequitur, illi contra regulas traditionemque Patrum agentes arguuntur; equidem ad confitendum currunt, non autem multum curant de abstinentia a peccato; imo quædam prohibita patrandi a papa ipsisque episcopis facultatem impetrant et accipiunt, multisque datur licentia carne utendi sanctissimi jejunii tempore, et aliis pellicem habendi et quæcunque petierint illicita obtinent, neque paucis dici potest quanta contra Christianorum vitam Patrumque canones agere non erubescunt.

Clericus. Quare, domine, quidam ex nostris de

A πολλὰ τῶν ζώων κρεωφαγεῖ, ἀλλὰ τὰ αἱμοβόρα θηρία μόνον· καὶ τὰ κρεοφαγοῦντα δὲ οὐ πάσης σαρκὸς ἅπτεται, ἀλλὰ τῆς καθαρωτέρας τε καὶ ὑγιεινοτέρας. Ἄρα τὸ παραχρῆσθαι τοῖς βρώμασι καὶ ἀκρατῶς ἔχειν πρὸς αὐτὰ καὶ παρὰ τὰ θηρία ἐστὶ, καὶ οἱονεὶ ἀλόγου ψυχῆς. Τὸ δὲ καὶ τῶν περιττωμάτων καὶ οὔρων γεύεσθαι ἀκαθαρτοτάτης γνώμης καὶ μιαρᾶς, καὶ τῆς θηριώδους αὐτῆς πέρα φύσεως. Οὐδὲ γὰρ τὰ θηρία περιττωμάτων ἰδίων γεύεται, δεικνύντα, ὡς οὐ κατὰ φύσιν τοῦτό ἐστιν. Ὅμως δὲ Λατῖνοι τούτων γευόμενοι, τοὺς ἀποστρεφομένους ταῦτα καταγελῶσιν ἡμᾶς, ὡς δῆθεν λεπτοί τινες ὄντες αὐτοὶ, καὶ τὴν διάνοιαν καθαροί. Καὶ οὕτω μὲν ἔχουσι περὶ τὰ τοιαῦτα. Τοὺς δέ γε ἱεροὺς οἴκους βατοὺς τίθενται τοῖς πολλοῖς, καὶ αὐτὰ τὰ B ἄδυτα καὶ φρικτὰ· καὶ οὐ γυναιξὶ μόνον εἰσιτητὰ, ἀλλὰ καὶ ἡλικίᾳ πάσῃ καὶ πόρνοις καὶ ἀκαθάρτοις, καὶ ἀσεβέσιν αὐτοῖς, οὐδὲν λογιζόμενοι τὸ, « Μὴ δότε τὰ ἅγια τοῖς κυσὶ, » καὶ, « Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται, » καὶ τὰ ἑξῆς, καὶ τὸν ὑπὲρ τούτου ζῆλον τοῦ Ἰησοῦ, ὅτι καὶ φραγγελλίῳ τούτου χάριν ἐχρήσατο ὁ πρᾶος· καὶ οὐδὲ ἤφιεν, ὡς γέγραπται, ἵνα τις σκεῦος διὰ τοῦ ἱεροῦ εἰσενέγκῃ, καὶ ταῦτα νομικοῦ καὶ σκιώδους ὄντος ἐκείνου τοῦ ναοῦ. Νῦν δὲ μεῖζον τοῦ ἱεροῦ ἐστιν ὧδε, ὁ Σωτὴρ περὶ τῶν αὐτοῦ φησι. Καὶ ὅμως τὰ τοιαῦτα τολμῶσι. Καὶ οὐ θαυμαστόν. Οἱ γὰρ περὶ τὴν συνείδησιν ἀστοχήσαντες ἀδιαφόρως ζῶντες καὶ ἐναγῶς καὶ περὶ τὴν πίστιν ἐναυάγησαν, ὡς Παῦλος διδάσκει. C Διὸ καὶ πάλιν ἔστιν εἰπεῖν, ὡς οἱ περὶ τὴν πίστιν καινοτομήσαντες καὶ περὶ τὸν βίον ἐξέκλιναν. Ἐχόμενα γὰρ ἀλλήλων εἰσὶ πίστις καὶ βίος. Διὸ καὶ τῶν ὀρθοδόξων τινὲς περὶ τὴν πίστιν καλῶς ἱστάμενοι, περὶ τὸν βίον ἠμεληκότες, ἔνοχοί εἰσι τῇ κολάσει, εἰ μὴ μετανοίᾳ καὶ τῇ τῶν κακῶν ἀποχῇ διορθώσωσι. Καὶ κατανοήσειέ τις ἐρευνῶν, ὡς ἡνίκα περιπίπτωσιν ἁμαρτίαις τινὲς, ἀμβλεῖς καὶ ψυχροὶ οὗτοι καὶ ῥᾴθυμοι καὶ περὶ τῶν τῆς πίστεώς εἰσι λόγων καὶ ἔργων, καὶ οὐ θερμοὶ περὶ τὸν ζῆλόν τε καὶ τὰ ἔθη. Διὸ καὶ ἀληθὲς τὸ τοῦ Θεαδέλφου, « Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως. » Τί δὲ Λατῖνοι καὶ περὶ μετανοίας κεκαινοτομήκασι; Τοῦ μεγάλου τούτου δώρου εἰς ἐλπίδα σωτηρίας ἡμῖν δεδωρημένου, καὶ δευτέ- D ρου ἄλλου μετὰ τὸ λουτρὸν καθαρσίου ἐν ἐξομολογήσει καὶ ἀποχῇ κακοῦ βραβευθέντος ἡμῖν καὶ δάκρυσιν, ἐν ᾧ χαρίσματι τῆς μετανοίας τε καὶ ἐξαγορεύσεως πᾶς πιστὸς τὴν προσδοκίαν κέκτηται τοῦ σωθῆναι ἁμαρτήσας μετὰ τὸ βάπτισμα, οὗτοι παρὰ τοὺς ὅρους καὶ τοῦτο ποιεῖν τῶν Πατέρων καὶ τὴν παράδοσιν ἀποδείκνυνται. Καὶ δῆθεν μὲν πρὸς τὴν ἐξομολόγησιν τρέχουσιν· οὐχ ἀποσχέσθαι δὲ τοῦ κακοῦ λόγος πολὺς παρ' αὐτοῖς. Ἀλλὰ καὶ τῶν
33 ἀπηγορευμένων τινὰ πράττειν παρά τε τοῦ πάππα, καὶ τῶν ἐπισκόπων αὐτῶν, συγχώρησιν ἐξαιτοῦσί τε καὶ λαμβάνουσι, καὶ δίδοται πολλοῖς ἄδεια κρέατος μετέχειν τῷ καιρῷ τῆς ἁγιωτάτης νηστείας, καὶ ἄλλοις παλλακὴν ἔχειν, καὶ ἅπερ αἰτήσονται ἄλλα τινὰ τῶν ἀθεμίτων λαμβάνουσι· καὶ ἁπλῶς οὐκ ἔστιν εἰπεῖν, ὅσα παρὰ τὴν Χριστιανικὴν ζωὴν καὶ τοὺς τῶν Πατέρων κανόνας ἐνεργεῖν οὐκ αἰσχύνονται.

Κληρικός. Καὶ πῶς, δέσποτα, τῶν ἡμετέρων τι-

νὲς οὐ πολὺν ἡγοῦνται τὸν περὶ τῶν τοιούτων λόγον, A ἀλλὰ περὶ τοῦ συμβόλου μόνον ζητοῦσι τῆς πίστεως, καί φασιν, ὡς εἰ τοῦτο μόνον ὀρθῶς ἐβούλοντο λέγειν τὸ ἱερώτατον σύμβολον, οὐκ ἀπεσείοντο ἂν αὐτοὺς διὰ τὰ λοιπά ; Καίτοι γε μέγιστα καὶ κατὰ τῆς ὀρθοδόξου καὶ εὐσεβοῦς ζωῆς τὰ προειρημένα, καὶ πλεῖστοι τῶν ἁγίων ἀνδρῶν καὶ ὑπὲρ μικρῶν τινων τοιούτων ζῆλον ἄχρι καὶ θανάτου σχεδὸν ἐπεδείξαντο μέγιστον. Τίς οὖν ὁ περὶ τούτου λόγος ;

Ἀρχιερεύς. Οἶμαι, ἀδελφὲ, ὡς τοῖς τοιούτοις τῶν ἡμετέρων οὐκ ἐγνωσμένα καθαρῶς τὰ παρὰ Λατίνοις. Εἰ δὲ καὶ τούτων οἴδασί τινα, ἐπεὶ καὶ περὶ τῶν ἀζύμων πλεῖστα πολλοὶ γράφουσιν, ὡς οὐ θέμις ἄζυμα προσφέρειν, ἀλλὰ τὰ πλείω οὐκ ἴσασιν. Εἰ δὲ καί τινές εἰσι τῶν εἰδότων, οἰκονομικῶς τοῦτο λέγουσιν, ὡς οἶμαι, ἐπανορθοῦν αὐτοὺς τῷ καιριωτέρῳ B τῇ πίστει βουλόμενοι, καὶ οὕτω κατὰ μικρὸν πρὸς τὴν διόρθωσιν καὶ τῶν λοιπῶν ἐπιφέρειν.

talibus non magnam rationem habent, sed tantum de Symbolo fidei contendunt atque dicunt quoniam, si istud sanctissimum symbolum solummodo recte dicere vellent, eos propter cætera non ejicerent? Nam gravia sunt contra orthodoxam piamque vitam quæ supra protulisti, et plerique viri sancti propter istas res parvas maximum atque flagrans fere usque ad mortem studium exhibuerunt. Quid ergo de hoc dicis ?

Pontifex. Censeo, frater, nostris illis non penitus cognosci quæ apud Latinos fiunt ; equidem nonnulla noverunt, cum multi plura de azymis scripserint quoniam azyma offerre non licet, sed pleraque non sciunt ; quod si quidam cognoscant, ita, opinor, ex proposito agunt, quia volunt eos ad ad caput præcipuum fidem corrigere, et sic paulatim ad correctionem cæterorum adducere.

ΚΕΦΑΛ. ΚΒ'.

Ὅτι καὶ ἀπὸ τῶν δοκούντων μικρῶν δεῖ προσέχειν.

Ὅτι δὲ καὶ τοῖς ἀποστόλοις ἔμελε καὶ περὶ τῶν δοκούντων μικρῶν διορθοῦσθαι τοὺς εὐσεβεῖς, δῆλον ἐξ ὧν ἔγραψαν τοῖς ἀπὸ τῶν ἐθνῶν διὰ Βαρνάβα καὶ Παύλου, ὅτι ἀπέχεσθαι χρὴ εἰδωλοθύτων καὶ πορνείας τε καὶ πνικτοῦ. Ὅπερ (τὸ περὶ τοῦ πνικτοῦ δηλαδὴ) ὀλίγον εἶναι δοκεῖ καὶ τῶν ἡμετέρων πολλοῖς, καθάπαξ δὲ ἀπεναντίας τοῖς ἀποστόλοις τὸ πνικτὰ ἐσθίειν Λατίνους πᾶσιν ἔργον ἐστὶν ἀπαραίτητον. Ἔτι δὲ καὶ τὸ παλλακὰς ἔχειν ἀνέγκλητον, C καὶ πορνεύειν ἀνεπαισχύντως. Ἀλλ' οὐ τοῖς ἀποστόλοις τοῦτο ἐδόκει παροπτέον, ἀλλὰ γεγράφασιν ἅπερ ἔγραψαν. Καὶ εἰδωλολατρείας ἴσον τὸ πορνεύειν καὶ πνικτὰ ἐσθίειν εἰρήκασιν· ἐπεὶ Θεὸς τοῦτο καὶ πρὸ τοῦ νόμου τῷ Νῶε νενομοθέτηκε. Τοίνυν οὐδὲ τὰ παρὰ Θεοῦ τοῖς παλαιοῖς δεδομένα καλόν ἐστι πάντα παρορᾷν, ἀλλὰ πνευματικῶς ἐκεῖνα διενεργεῖν καὶ νοεῖν, καὶ εἰς τὸ κρεῖττον ἐπανορθοῦν, καὶ ὑπὲρ τὸν νόμον ποιεῖν, οὐ μὴν δὲ παρανομεῖν. « Ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, » φησὶν, « οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· » καὶ, « Ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· » οὐ μὴν δὲ Ἰουδαϊκῶς, ἀλλ' ὑπὲρ τὸν νόμον πνευματικῶς. Ὡς γὰρ ἀντὶ τῆς περιτομῆς D ἡμῖν ἐδόθη τὸ βάπτισμα καὶ ἡ ἐν Χριστῷ ἡγιασμένη ζωὴ, καὶ ἀντὶ τῶν ἀλόγων θυμάτων ἡ λογικὴ καὶ ζῶσα θυσία ἀναίμακτος, ἡ διὰ τοῦ ἄρτου καὶ ποτηρίου τοῦ ἀληθῶς σώματος καὶ αἵματος τοῦ Χριστοῦ, καὶ ὁ γάμος ὁ τίμιός τε καὶ καθαρὸς, οὐ πολυγαμία δὲ ἢ πορνεία, καὶ ἔτι ἡ παρθενία ἀντὶ χηρείας ἡ ὑψηλοτέρα τοῦ γάμου καὶ τῶν ἀγγέλων ἰσότιμος· οὕτω καὶ ἐν τοῖς βρώμασιν ἐγκράτεια ἀντὶ ἀκρασίας, καὶ νηστεία ὑψηλοτέρα τῆς νομικῆς δέδοται. Διὸ καὶ κρέατος ἀποχὴ ἐν ἡμέραις τε καὶ καιροῖς. Οὐκ ἄρα τὸ ἀργῆσαι τὸν νόμον τὸ καταλῦσαί ἐστιν, ἀλλὰ τὸ ὑψηλοτέρως καὶ θείως **34** ἐνεργεῖν καὶ πνευματικῶς. Ὅτι σκιὰ μὲν ἐκεῖνα τὰ νομικὰ, καὶ προγραμμικαὶ προτυπώσεις, τὰ δὲ ἡμέτερα σαφῶς

CAPUT XXII.

Quod etiam in parvis cautum esse oporteat.

Apostolos operam dedisse ut viri religiosi etiam circa ea quæ parva videntur, corrigerentur patet ex his quæ scripserunt ad fideles ex gentibus per Barnabam et Paulum, quoniam abstinere oportet ab idolothytis, a fornicatione et suffocato, quod (suffocatum scilicet) parvum videtur multis etiam ex nostris, Latinis autem omnibus ex adverso apostolorum suffocata manducare opus est irreprehensibile. Insuper pellices habere culpa caret, et fornicari nullo modo est rubore dignum. Apostolis autem talia non videbantur contemnenda, sed scribentes condemnaverunt, et fornicari suffocataque manducare genus esse idololatriæ dixerunt ; ideo hæc Deus Noe etiam ante legem prohibuit. Igitur omnia aspernari præcepta a Deo antiquis data non est bonum, sed oportet ea spiritaliter adimplere et perpendere necnon in melius corrigere atque supra legem facere, non autem despicere. Dictum est enim : « Nisi abundaverit justitia vestra plusquam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum ; » et, « Iota unum aut unus apex non præteribit a lege, donec omnia fiant, » non more quidem Judæorum, sed modo supra legem spirituali. Nam quemadmodum pro circumcisione datus est nobis baptismus et vita in Christo sanctificata, pro hostiis irrationabilibus rationabilis et vivens neque cruenta hostia, corporis scilicet et sanguinis Christi per panem et calicem ; connubium honorabile et mundum, non autem polygamia et fornicatio, et virginitas pro viduitate sublimior connubio angelisque honore non impar ; ita et in escis temperantia pro intemperantia, jejuniumque datur legali sublimius ; ideo etiam carne abstinendum est in quibusdam diebus atque temporibus. Lex ergo minime negligenda est neque solvenda, sed sublimius et divinitus atque spiritaliter implenda, quoniam umbra erant illa legalia figuræque symbolicæ, nostra autem mysteria ipsa sunt veritas ; ibi quidem Moyses, hic

vero Christus, Dei Verbum pro nobis incarnatum; quapropter novus Israel sumus qui vere Trinitatem unum reipsa Deum cognoscimus et cogitamus, verumque Messiam Jesum Christum Dei vivi Filium recepimus, et spiritualia omnia legalibus præstantia accepimus ac servare debemus, non autem tepide et utcunque ceciderit vivere, neque præter æquum et barbarice conversari; nunc enim tenebræ non sumus, sed lux in Domino.

CAPUT XXIII.

Quod oporteat res divinas imaginibus repræsentare pie et juxta traditam consuetudinem.

Quid aliud illis contra ecclesiasticam consuetudinem innovatum est? Sanctæ ac venerandæ imagines fidelibus pie propositæ in honorem divinorum exemplarium et observantiam pro ratione eorum quos referant sanctorum, verumque exprimendo demonstrant. Nam Verbum propter nos incarnatum effingunt, omniaque divina ejus propter nos opera et miracula atque mysteria, necnon sanctissimam sanctæ ejus Matris semper virginis figuram ejusque sanctorum formam et quæcunque referunt historia evangelica cæteræque divinæ Scripturæ, velut aliis litteris, coloribus aliisque materiis pingendo edocent. Illi autem omnia, ut dictum est, innovantes, sanctas quoque imagines, omissa lege consuetudinis, sæpe alio modo conficiunt quas humanis capillis et stolis pro pictis crinibus atque indumentis exornant, quod non est capillorum et vestium imago, sed cujusdam hominis coma et vestimentum, neque imago vel figura exemplarium. Unde imagines modo irreverenti concinnant et exornant, quod potius est eis adversari, prout subjicit canon septimi universalis concilii; dixit enim ea non esse exprimenda quæ vel simplicissimis non prosunt. Insuper quod fit contra ordinem, non recte fit, nec illud approbant Patres. Præterea ut in theatro quædam faciunt divinis legibus contraria, veluti cum exprimunt mysterium annuntiationis Virginis Deiparæ, vel crucifixionem Salvatoris et cætera, in triviis et plateis homines contra ordinem ponunt, quorum unus quidem Virginem refert, alterum autem Mariæ virum appellant, hic vocatur angelus, ille vero senex dierum cui canos capillos in barbam componunt, quos cum Latini non habeant venuste contra leges naturæ tondentes alienos ponunt, inde ostendentes se nequaquam sibimetipsis convenire. Nam si Deum capillos perfectam imaginem exprimentes habentem viderunt prophetæ, igitur in honorem naturæ et Deo favente nobis sunt capilli, igitur contra assensum Dei faciunt et in dedecus naturæ qui illos tondent, et præcipue sacerdotes et monachi, quibus prohibetur ne carni ministrent. Dierum etiam Antiquum faciunt habentem pro Spiritu sancto columbam volantem, hinc rursus monstrantes se contra semetipsos sentire. Quippe si Spiritum credant ex Filio procedere, quare Filium Antiquo dierum assistere

A ἡ ἀλήθεια. Καὶ Μωϋσῆς μὲν ἐκεῖ, ὧδε δὲ Χριστὸς τοῦ Θεοῦ ὁ Λόγος ἐνανθρωπήσας ὑπὲρ ἡμῶν. Διὸ καὶ Ἰσραὴλ νέος ἡμεῖς, ὡς ἀληθῶς τὴν Τριάδα τὸν μόνον ὄντως ὄντα Θεὸν γνωρίσαντες καὶ νοοῦντες, καὶ τὸν ἀληθῆ Μεσσίαν Χριστὸν Ἰησοῦν, τὸν Υἱὸν τοῦ ζῶντος Θεοῦ δεξάμενοι, καὶ πνευματικὰ πάντα καὶ ὑπὲρ τὸν νόμον λαβόντες, καὶ φυλάσσειν ὀφείλοντες, οὐ μὴν δὲ ἀδιαφόρως καὶ ὡς ἔτυχε ζῆν, καὶ ἀλόγως καὶ βαρβαρικῶς βιοῦν τε καὶ πολιτεύεσθαι. Οὐ γὰρ σκότος νῦν ἐσμεν, ἀλλὰ φῶς ἐν Κυρίῳ.

ΚΕΦΑΛ. ΚΓ'.

Ὅτι δεῖ ἀνιστορεῖν εὐλαβῶς τὰ θεῖα καὶ εὐσεβῶς, καὶ κατὰ τὴν δεδομένην συνήθειαν.

Τί δὲ καὶ ἄλλο αὐτοῖς παρὰ τὴν ἐκκλησιαστικὴν ἐκαινοτομήθη παράδοσιν; τῶν ἁγίων καὶ σεπτῶν
B εἰκόνων εὐσεβῶς παραδιδομένων εἰς τιμὴν τῶν θείων πρωτοτύπων, καὶ τὴν κατὰ σχέσιν αὐτῶν τῶν ἁγίων εἰκονισμάτων προσκύνησιν τοῖς πιστοῖς, καὶ τὴν ἀλήθειαν ἐμφαινόντων εἰκονικῶς. Τὸν γὰρ σαρκωθέντα Λόγον δι' ἡμᾶς εἰκονίζουσι, καὶ πάντα τὰ ὑπὲρ ἡμῶν αὐτοῦ θεῖα ἔργα καὶ πάθη καὶ θαύματα καὶ μυστήρια, καὶ ἔτι τὸ πανάγιον εἶδος τῆς ἁγίας αὐτοῦ ἀειπαρθένου μητρὸς, καὶ τῶν ἁγίων αὐτοῦ, καὶ ἅπερ ἡ εὐαγγελικὴ ἱστορία καὶ αἱ λοιπαὶ θεῖαι Γραφαὶ λέγουσιν, ὡς γράμμασιν ἄλλοις, τῇ χρωματουργίᾳ καὶ λοιπῇ ὕλῃ εἰκονικῶς ἐκδιδάσκουσιν, οὗτοι πάντα καινοτομοῦντες, ὡς εἴρηται, καὶ τὰς ἱερὰς εἰκόνας παρὰ τὸ νενομισμένον ἑτέρῳ τρόπῳ πολλάκις ἀνιστοροῦσιν, ἀντὶ εἰκονικῶν ἐνδυμάτων τε καὶ τριχῶν, ἀνθρωπείαις θριξὶ καὶ στο-
C λαῖς καλλωπίζοντες, ὅπερ οὐκ εἰκὼν τριχὸς καὶ ἐνδύματος, ἀλλ' ἀνθρώπου τινός εἰσι θρὶξ καὶ ἔνδυμα, καὶ οὐχὶ εἰκών τε τῶν πρωτοτύπων καὶ τύπος. Καὶ παρὰ τὸ εὐλαβὲς δὲ ἀνιστοροῦσι ταύτας καὶ καλλωπίζουσιν, ὅπερ κατὰ τῶν ἁγίων εἰκόνων ἐστὶ μᾶλλον, ὡς ὁ τῆς οἰκουμενικῆς ἕκτης συνόδου κανὼν ὑποτίθησιν. Οὐδὲ γὰρ ἀνιστορεῖν φησιν αὐτὸς τὰ τοὺς ἁπλουστέρους μὴ ὠφελοῦντα. Καὶ τὸ παρὰ τὴν τάξιν οὐκ εὐαγές. Καὶ οἱ Πατέρες τοῦτο οὐ παραδέχονται. Ἔτι δὲ καὶ ὡς ἐν δράματί τινα ποιοῦσι παρὰ τοὺς θείους θεσμούς. Οἱονεὶ γὰρ ἐξεικονίζοντες τὰ τοῦ εὐαγγελισμοῦ τῆς Παρθένου καὶ Θεομήτορος, καὶ τὰ τῆς σταυρώσεως τοῦ Σωτῆρος καὶ λοιπὰ, ἐπὶ τριόδων καὶ πλατειῶν ἀνθρώπους καθι-
D στῶσι παρὰ τὴν τάξιν. Καὶ ὁ μὲν τυποῖ τὴν Παρθένον, καὶ τὸν ἄνδρα ἐκεῖνον Μαριὰμ αὐτοὶ ὀνομάζουσιν· ὁ δὲ ἄγγελος ὀνομάζεται· ὁ δὲ Παλαιὸς τῶν ἡμερῶν, ᾧ καὶ περιτιθέασι τρίχας λευκὰς εἰς τὸν πώγωνα. Ἐπεὶ γὰρ οὐκ ἔχουσι κείροντες ταύτας θρυπτικῶς καὶ παρὰ τοὺς θεσμοὺς τῆς φύσεως οἱ Λατῖνοι, ἀλλοτρίας τιθέασιν, ἐντεῦθεν καὶ τὰ καθ' ἑαυτῶν ἐνεργεῖν δεικνύμενοι. Εἰ γὰρ τρίχας εἰκονικῶς ἔχειν εἶδον οἱ προφῆται τὸν Θεὸν, εἰς τιμὴν ἄρα τῆς φύσεως καὶ κατὰ γνώμην Θεοῦ ἐν ἡμῖν αἱ τρίχες. Λοιπὸν παρὰ γνώμην Θεοῦ ποιοῦσι καὶ εἰς ἀτιμίαν τῆς φύσεως οἱ κείροντες, καὶ μάλιστα ἱερωμένοι καὶ μοναχοὶ, οἷς καὶ ἀπηγόρευται τὸ θεραπεύειν τὴν σάρκα. Ἀλλὰ καὶ κατέχοντα ποιοῦσι περιστερὰν τὸ πτηνὸν ἀντὶ τοῦ θείου Πνεύματος τὸν

Παλαιὸν τῶν ἡμερῶν, ἐνταῦθα πάλιν καθ' ἑαυτῶν A φρονεῖν οὗτοι δεικνύμενοι. Εἰ γὰρ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα δοξάζουσι, πῶς οὐχὶ καὶ Υἱὸν τῷ Παλαιῷ τῶν ἡμερῶν συγκαθίζουσιν, ἵνα καὶ ἄμφω τὴν περιστερὰν ἀποστέλλωσιν; Ἀλλ' ὤφειλον πάλιν καὶ Υἱὸν ἀποστέλλειν πρὸς ὃν καλοῦσι Μαριάμ. Οὐ γὰρ τὸ Πνεῦμα σεσάρκωται, εἰ καὶ ἐπεσκίαζε τῇ Παρθένῳ. Ἀλλὰ παρὰ λόγον ἅπαντα ταῦτα, καὶ τῆς ἐκκλησιαστικῆς ἀλλότρια παραδόσεως, καὶ εἰς ὕβριν μᾶλλον τῶν **35** μυστηρίων, καὶ τῆς Χριστιανικῆς εὐλαβείας. Τί δὲ τὰ παρ' αὐτοῖς τυπούμενα χάριν Χριστοῦ τῆς σταυρώσεως; Αἷμα ζώων ἀλόγων ἐν χολάσι ζώων εἰσάγοντες, ἀντὶ τοῦ δεσποτικοῦ ῥέειν κατασκευάζουσιν αἵματος, ἀπὸ τῶν τοῦ δῆθεν ἐσταυρωμένου ἀνθρώπου τινὸς χειρῶν καὶ ποδῶν τε καὶ τῆς πλευρᾶς. Τίς B ἄρα ἐκεῖνός ἐστιν ὁ σταυρούμενος; τί δὲ τὸ αἷμα; ἀλήθεια, ἢ εἰκών; Καὶ εἰ μὲν εἰκών, πῶς ἄνθρωπος καὶ αἷμα; οὐ γὰρ ἡ εἰκὼν ἄνθρωπος. Εἰ δ' ἀληθείᾳ ἄνθρωπος καὶ αἷμα, οὐχ ἄρα εἰκών. Καὶ λοιπὸν τίς ἐκεῖνος; καὶ τί τὸ αἷμα ἐκεῖνο; καὶ τίνος ἄρα λογιστέον αὐτὸ, τοῦ Σωτῆρος, ἢ κοινόν; Βαβαὶ τῆς ἀτοπίας! κατὰ τῶν ἱερῶν εἰκόνων ταῦτα καὶ τῶν Εὐαγγελίων εἰσὶ, καὶ τῶν φρικτῶν μᾶλλον τοῦ Χριστοῦ μυστηρίων. Ἀλλὰ πόθεν ταῦτα παρέλαβον; τίς τῶν ἁγίων τοιαῦτα παρέδωκεν; Ἀληθῶς πάντα κεκαινοτομήκασιν οὗτοι. Καὶ τοιαῦτα ποιοῦσιν ἐπὶ τριόδων καὶ πλατειῶν, ἀνθρώπους καθιστῶντες παρὰ τὴν τάξιν, καὶ περὶ τῶν ὑπὲρ λόγον καὶ θαυμαστῶν ἐξ ὧν μὴ θέμις, δραματουργίας ἐπιδεικνύμενοι, καὶ τὴν περιστερὰν τὸ ὄρνεον Πνεῦμα ἅγιον ὀνομάζοντες. C Καὶ φθέγγονται οἱ τοιοῦτοι καὶ ἀντιφθέγγονται τὰ περὶ τῶν ἑορτῶν. Καὶ ἡ δοκοῦσα Μαριὰμ τὴν ἄλογον περιστερὰν ἀντὶ τοῦ Πνεύματος ὑποδέχεται. Πάλιν δέ γε, ὡς ἔφημεν, σταυροῦταί τις, Χριστὸς παρ' αὐτοῖς καλούμενος, καὶ ἡ σταύρωσις οὐκ ἀληθὴς, καὶ τὸ ῥέον αἷμα ζώου τινὸς εἰς ὕβριν τοῦ θεοῤῥύτου· καίτοι γε οὐχ οὕτω τὴν ἀνάμνησιν τῶν μυστηρίων ποιεῖν τοῦ Κυρίου προστάξαντος, ἀλλ' ὡς αὐτὸς παραδέδωκεν, ἐν οἷς ἐνεργεῖ πάλιν αὐτὸς, καὶ ἱερουργεῖ ἑαυτόν· καὶ αὐτὸ ἐκείνου τὸ σῶμα καὶ αἷμα τὸ ἱερουργούμενον. Ἆρ' οὖν οὐκ ἐπισφαλῆ τὰ παρ' ἐκείνων οὕτω γινόμενα, καὶ λίαν ἐπισφαλῆ; Εἰ θέλεις, ἄνθρωπε, ταῦτα παριστᾷν, καὶ τοῖς ἀνθρώποις διδάσκειν, ἱερούργει ὡς παραδέδωκε, δίδασκε λόγοις, γράφε συγγράμμασιν, εἰκόνιζε καὶ διὰ χρωμάτων ὡς παραδέδοται· ὅπερ καὶ D ὁ ἀληθὴς ἐστιν ἐξεικονισμὸς, ὡς καὶ ἡ ἐν βίβλοις γραφὴ, καὶ χάρις ἐν αὐτοῖς ἐστι θεία, ἐπεὶ καὶ τὰ τυπούμενα ἅγια. Ἀλλ' οὗτοι παρατραπέντες ἐφάπαξ, εἰς ἃ μὴ δεῖ τρέχουσιν. Εἰ δὲ καὶ περὶ τῆς καμίνου τῶν παίδων ἡμᾶς αἰτιάσονται, ἀλλ' οὐ χαιρήσουσιν ὅλως. Οὐ γὰρ ἀνάπτομεν κάμινον, ἀλλὰ κηροὺς μετὰ φώτων, καὶ θυμίαμα Θεῷ κατὰ τὸ ἔθος προσφέρομεν, καὶ ἄγγελον εἰκονίζομεν, οὐκ ἄνθρωπον ἀποστέλλομεν. Παῖδας δὲ μόνον ὑμνοῦντας καθαροὺς ὡς ἐκείνους τοὺς παῖδας τρεῖς παριστῶμεν, ᾄδειν αὐτοὺς τὴν ᾠδὴν ἐκείνων ὡς παραδέδοται. Οὓς παῖδας καὶ πάντες οἱ ἐσφραγισμένοι καὶ ἱεροὶ τυποῦσι παῖδες. Καὶ ἱερωμένοι δὲ πάντες, ἕκαστος

A non faciunt ut ambo columbam emittant? Rursum debebant Filium mittere ad eum quem Mariam appellant; Spiritus enim non incarnatus est, cum Virgini adumbraverit. At hæc omnia rationi repugnant, ab ecclesiastica traditione sunt aliena, et potius in injuriam mysteriorum pietatisque Christianæ patrantur. Quænam autem exprimunt Christi crucifixionis gratia? Irrationabilium animalium cruorem in visceribus animalis infusum loco dominici sanguinis manare faciunt ex manibus pedibusque et latere cujusdam hominis crucifixi. Quis ergo est ille crucifixus? Quis vero sanguis? Veritas an imago? Si imago quidem, quare homo et sanguis? Homo enim imago non est; si autem veritas homo et sanguis, igitur imago non est. Denique quisnam B ille? et quid ille sanguis? cujusnam pretii habendus est? an Salvatoris vel communis? Proh insaniam! sacris imaginibus et Evangeliis adversantur, imo metuendis Christi mysteriis. Sed unde ista acceperunt? quisnam e sanctis talia tradidit? Vere omnia novaverunt illi, et talia faciunt in triviis et plateis homines contra ordinem collocantes. Iterum circa ea quæ rationem superant mirabilia, de quibus fas non est, fabulas exhibent, avem columbam sanctum Spiritum appellantes. Dicunt illi et respondent ea quæ in festis aguntur, et illa quæ Mariam refert irrationabilem columbam pro Spiritu suscipit. Rursum, ut diximus, quidam crucifigitur Christus ab eis appellatus, et crucifixio verá non C est, manatque cruor cujusdam animalis in injuriam divini sanguinis. Attamen non ita mandavit Dominus mysteriorum commemorationem facere, sed sicut ipse tradidit, in quibus ipse rursus operatur et semetipsum offert, ipsumque ejus corpus et ipse sanguis offertur. Ideo non tantum periculosa sunt quæ ita apud eos fiunt, sed etiam nimis periculosa. Si volueris, homo, talia producere et homines docere, operare quemadmodum ipse tradidit, doce verbis, litteris scribe, colorum etiam ope effinge, ut traditum fuit, quod est vera effigies, velut scriptura in libris, eisque inest divina gratia cum sancta sint quæ exprimuntur. Illi autem semel vagati ubi non oportet currunt. Quod si nos arguant de fornace puerorum, jam prorsus nihil gaudebunt; D fornacem enim non accendimus, sed cereos cum luminibus, et incensum Deo secundum consuetudinem offerimus; angelum quidem exprimimus, hominem vero non emittimus, sed pueros tantum mundos canentes sicut illi tres pueri constituimus ut horum canticum concinant, prout traditum est, quos pueros pueri referunt omnes sancti baptismoque signati, et sacerdotes universi res sui ordinis effingunt singuli: Dominum quidem primus pontifex, episcopi vero primos apostolos, cum eorum gratia donati fuerint, presbyteri septuaginta viros, diaconi Levitas, subdiaconi et cæteri prophetarum ordinem. Altera etiam lege pontifex incarnatum Dei Verbum exprimit, presbyteri autem ordines inferiores, diaconi vero subjacentes ministerii po-

testatès, clerusque universus cum populo orthodoxo ultimos ordines, et omnes isti ordinem habent secundum gradus gratiamque respondentem; ideo nihil dissentiens pueros effingere illos tres pueros, quoniam possunt eorum habere gratiam. Dominum vero in crucifixione exprimere et simulare videri, necnon manare sanguinem, sed non vere neque secundum divinam traditionem; et Deiparam per virum aut mulierculam referre, et avem loco Spiritus accipere, prorsus est absonum. Insuper per aliorum capillos et vestes sanctorum formas effingere et ornare fit contra religionem neque a Patribus ostensum fuit, et uno verbo, velut in scena et theatro divina monstrare mysteria neque pium est, neque traditum, neque Christianis dignum. Neque dicant sacerdotes ista operari et in hoc eos posse Dominum virginemque ejus matrem referre; nam istud in his facere non recte dicitur. Referunt enim in his quibus oportet, baptizando, sacrificando, lavando alterutrius pedes, et in aliis quæ dixit Salvator, in quibus pontifices et sacerdotes operari traditum est, item quando hymnos canendo imitantur cantatores, nequaquam autem quando fit crucifixio, falsusque fluit sanguis, præsertim animalis cruor, nisi quis in martyrio proprium sanguinem vere effundere voluerit, vel etiam si crucifigatur caro cum vitiis et concupiscentiis, prout ait Paulus qui addidit: « Mihi mundus crucifixus est et ego mundo, » cui rei omnes debent incumbere. Virginis autem Deiparæ sive puritatem sive gratiam qua in Spiritu Dominum carne concepit et peperit, nemo potest imitari, quoniam hæc ei soli data sunt; eam vero imitatur qui caste vivit et virginitatem elegit, seque dignum accipienda gratia quantum potest exhibet; et proinde cupiendum est omnes eam in his pro viribus imitari. Si vero ista cum pictis divinis imaginibus conferant, sine ratione ratiocinantur; nam in effigie quidem vere est imago, et Christi vere pingitur imago, et sanguis exprimitur necnon Dei mater in imagine et angelus, et apostolus et summus pontifex, et martyr et Spiritus in specie columbæ, et omnia effinguntur; rerum quidem divinarum imagines et picturæ augustæ sunt et venerandæ; homines vero hæc imitari fas non est. Sed non ista tantum, verum etiam plura similia Latini facere et excogitare non dubitant. Hinc etiam secundum Origenem finem decernunt inferni, purgatorium nescio quod ante tormenta eorum expurgatorium proponentes in quod qui deliquerunt, ingredientes, inquiunt, pœnas luunt ad diem usque extremum. Quod nemo ex sanctis tenuit, tanquam quod verba Domini destruat, quæ inferni pœnas, quemadmodum et vitam æternam, æternas astruunt, ac divini Pauli dicta convellat, de sanctis asserente, qui in fide vitam posuere, nondum propter nos recepisse promissionem, nec sine nobis perfectionem assecutos, et tunc perfectionem futuram esse, cum nos resurgemus, et singuli recipient simul cum corpore, cum quo aut peccarunt, aut laudabilia gesserunt, secundum opera sua. Et

A τὴν τῆς ἑαυτοῦ τυποῖ τάξεως· καὶ τὸν Κύριον μὲν ὁ πρῶτος ἀρχιερεὺς, ἐπίσκοποι δὲ τοὺς πρώτους τῶν ἀποστόλων, ἐπεὶ καὶ τὴν αὐτῶν χάριν ἔχουσι· πρεσβύτεροι δέ γε τοὺς ἑβδομήκοντα· διάκονοι δὲ τοὺς Λευΐτας· ὑποδιάκονοι δὲ καὶ λοιποὶ τὴν τάξιν τῶν προφητῶν. Καὶ καθ' ἕτερον δὲ σκοπὸν ὁ ἀρχιερεὺς τὸν ἐνανθρωπήσαντα Θεὸν Λόγον ἐκτυποῖ· πρεσβύτεροι δὲ τὰς ὑπερκειμένας τῶν τάξεων· διάκονοι δὲ τὰς ὑποδεεστέρας λειτουργικὰς δυνάμεις· καὶ ὁ λοιπὸς δὲ κλῆρος τὰς τελευταίας τάξεις μετὰ τοῦ ὀρθοδόξου λαοῦ. Καὶ πάντες οὗτοι καὶ τάξιν ἔχουσι κατὰ τοὺς βαθμοὺς, καὶ ἀναλογοῦσαν τὴν χάριν. Διὸ καὶ οὐδὲν ἀπᾷδον τὸ εἰκονίζειν παῖδας τοὺς τρεῖς ἐκείνους παῖδας, ὅτι καὶ δυνατὸν τὴν χάριν ἔχειν αὐτῶν. Τὸ δὲ εἰκονίζειν ἐν τῇ σταυρώσει τὸν Κύριον, B καὶ σφάττεσθαι δοκεῖν, καὶ αἷμα ἐκχέειν, οὐκ ἀληθῶς οὐδὲ κατὰ τὴν θείαν παράδοσιν. Καὶ τὴν Θεομήτορα δὲ εἰκονίζεσθαι δι' ἀνδρὸς ἢ γυναίου, καὶ πτηνὸν ἀντὶ Πνεύματος δέχεσθαι, λίαν ἄτοπον. Καὶ τὸ διὰ τριχῶν ἀλλοτρίων καὶ ἐνδυμάτων ἐξεικονίζειν τὰ τῶν ἁγίων μορφώματα, καὶ καλλωπίζειν 36 παρὰ τὸ εὐλαβὲς, οὐκ ἐνδεδομένον παρὰ τοῖς Πατράσι· καὶ ἁπλῶς τὸ ὥσπερ ἐν σκηνῇ τε καὶ δράματι τὰ θεῖα δεικνύναι οὐκ εὐσεβὲς, καὶ μὴ δεδομένον, μηδὲ Χριστιανοῖς ἄξιον. Εἰ δ' εἴποιεν ὡς καὶ οἱ τὰ τοιαῦτα διενεργοῦντες ἱερεῖς τελοῦσι καὶ κατὰ τοῦτο δυνατὸν αὐτοὺς τὸν Κύριόν τε καὶ τὴν παρθένον αὐτοῦ μητέρα τυποῦν, οὐκ εὔλογον ἐν τούτοις τοῦτο ποιεῖν. Τυποῦσι μὲν γὰρ ἐν οἷς δέον, ἐν τῷ βαπτίζειν, ἐν τῷ ἱερουργεῖν, ἐν τῷ νίπτειν τοὺς C πόδας ἀλλήλων, ὡς καὶ τοῖς λοιποῖς οἷς εἴρηκεν ὁ Σωτὴρ, οἷς ἐνεργεῖν ἱεράρχας καὶ ἱερεῖς παραδέδοται. Καὶ τοὺς ὑμνῳδοὺς δὲ καὶ ἀναγινώσκειν ἐσφραγισμένους, ἐν τῷ ἀναγινώσκειν τε καὶ ὑμνεῖν. Οὐ μὴν δέ γε σταυροῦσθαι καὶ ἐκχέειν αἷμα ψευδῶς, ἢ μᾶλλον αἷμα ζώου· εἰ μὴ κατὰ τὸ μαρτύριον ἀληθῶς οἰκεῖον αἷμα ἐκχέειν τις αἱρεῖται, καὶ ἔτι κατὰ τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις (καθάπερ Παῦλός φησιν) ἀγωνίζεται, καὶ τὸ, ὅτι « Ἐμοὶ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ, » καὶ πρὸς τοῦτο πάντες σπευδέτωσαν. Καὶ τὴν Παρθένον δὲ Θεοτόκον οὐδεὶς ἐκμιμεῖσθαι δύναται ἢ κατὰ τὴν ἁγνείαν, ἢ τὸ ἐν Πνεύματι συλλαμβάνειν σαρκὶ καὶ τίκτειν τὸν Κύριον, ὅτι μόνον D τοῦτο καὶ παρὰ μόνῃ· μιμεῖται δέ τις αὐτὴν, ἁγνῶς βιῶν καὶ παρθενεύειν αἱρούμενος, ἄξιός τε τῆς ὑποδοχῆς τῆς χάριτος ὡς δυνατὸν δεδειγμένος. Εὐκτέον τοίνυν ἐν τούτοις ὡς ἐγχωρεῖ πάντας αὐτὴν ἐκμιμήσασθαι. Εἰ δὲ καὶ ὡς τὰς γραφομένας θείας εἰκόνας ταῦτά φασιν, οὐ κατὰ λόγον ὁ λόγος, ὅτι ἐν εἰκονίσμασι μὲν ἀληθῶς εἰκὼν, καὶ Χριστοῦ εἰκὼν γραφομένη, καὶ αἷμα εἰκονιζόμενον, καὶ Θεοῦ μήτηρ ἐν εἰκόνι, καὶ ἄγγελος, καὶ ἀπόστολος, καὶ ἱεράρχης, καὶ μάρτυς, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, καὶ πάντα εἰκὼν, καὶ ὡς τῶν θείων εἰκόνες τε καὶ γραφαὶ, προσκυνηταὶ καὶ σεβάσμιοι· τὸ δὲ ἀνθρώπους ταῦτα μιμεῖσθαι οὐκ εὐαγές. Ἀλλ' οὐ μόνον ταῦτα, καὶ πλεῖστα δέ γε τοιαῦτα οὐ παραιτοῦνται Λατῖνοι ποιεῖν καὶ φρονεῖν. Ὅθεν κατὰ τὸν

Ὠριγένην καὶ τέλος εἶναι κολάσεως δογματίζουσιν οὗτοι, Πουργατώριόν τι προφέροντες, πρὸ τῆς κολάσεως ἐκείνης προκαθαρτήριον, ἐν ᾧ καὶ τοὺς ἁμαρτήσαντας λέγουσιν εἰσιόντας ἀποτιννύναι δίκην ἄχρι τῆς ἡμέρας τῆς τελευταίας. Ὅπερ οὐδεὶς τῶν ἁγίων ἐφρόνησε, καὶ ἀναιρετικὸν τοῦτο τῶν κυριακῶν λόγων, τῶν τὴν κόλασιν αἰώνιον εἶναι, καὶ τὴν ζωὴν λεγόντων αἰώνιον, καὶ τῶν τοῦ θείου Παύλου ῥητῶν ἀνατρεπτικὸν, περὶ τῶν ἁγίων φάσκοντος τῶν ἐν πίστει τελειωθέντων, μὴ λαβεῖν ἔτι δι' ἡμᾶς τὴν ἐπαγγελίαν, « Ἵνα μὴ (φησὶ) χωρὶς ἡμῶν τελειωθῶσιν. » Ἐπεὶ καὶ τότε ἔσται τὸ τέλειον ἐξαναστάντων ἡμῶν, ἀποληψομένου ἑκάστου μεθ' οὗπερ κατώρθωσεν, ἢ ἐξήμαρτε σώματος, κατὰ τὰ ἔργα αὐτοῦ. Καὶ τοῦτο δόξα πᾶσι τοῖς ἁγίοις ἐστί. Καὶ οὐδεὶς αὐτῶν προτέραν δοξάζει κόλασιν, εἰ μὴ τὸ ἐν ὀδύνῃ εἶναι, καὶ ἐν τόποις ἀπαρακλήτοις τὰς ἡμαρτηκυίας ψυχὰς ὡς ἐν εἱρκτῇ, ἀναμενούσας τὴν τιμωρίαν, καὶ τὰς τῶν δικαίων ἐν τόποις φωτὸς καὶ ἀνέσεως, ἀπεκδεχομένας τὴν μακαρίαν μετὰ τῶν σωμάτων ἀπόλαυσιν. Δίδωσι δὲ καὶ ἄνεσίν τινα τῆς λύπης τε καὶ τοῦ φόβου τοῖς ἐν μετανοίᾳ πλὴν ἀτελῶς ἐξελθοῦσιν, οὐ πῦρ τι κολαστήριον καθαῖρον αὐτοὺς, ὡς οὗτοί φασιν, ἀλλ' αἱ ἱεραὶ προσευχαὶ καὶ θυσίαι ὑπὲρ ἐκείνων Θεῷ προσφερόμεναι, εἴγε μόνον ὀρθοδόξῳ πίστει τῶν ὧδε μετέστησαν, καὶ μετανοίᾳ κἂν ἐν τῷ τέλει, καὶ αἱ ὑπὲρ τούτων εὐποιΐαι καὶ λοιπαὶ ἀγαθοεργίαι, οὐ μὴν δὲ, ὥς φασιν οὗτοι παρὰ τὴν δόξαν τῆς Ἐκκλησίας, πῦρ προκαθάρσιον. Εἰ γὰρ ἔστι νῦν πῦρ, καὶ τελευτᾷ αὐτοῦ ἡ ὀδύνη, καὶ τέλος ἔσται κολάσεως. Ἀλλ' αἰώνιον κόλασιν εἴρηκεν ὁ Κύριος, ὡς καὶ αἰώνιον βασιλείαν. Ὃ δέ φησι περὶ τοῦ πλουσίου, ἀπαρχὴν εἴρηκε τῆς ὀδύνης περὶ τῶν ἀμετανοήτως ἐξελθόντων τῆς αἰωνίου κολάσεως, **37** ἧς εἶχε τὰς ἀπαρχὰς πυρπολούμενος τῷ ἑαυτοῦ συνειδότι, οὐ μὴν δὲ τελέως κολαζόμενος ἢ προκαθαιρόμενος. Οὔπω γὰρ ἡ ἀπόφασις, « Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον. » Ἀλλ' ἐπὶ τούτοις μᾶλλον ἐν οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπαίρονται καὶ οὐ συντρίβονται ὅλως, ἀπονοίᾳ κρατούμενοι. Δι' ἃ καὶ ἡμῖν προσεκτέον τὴν πρὸς αὐτοὺς κοινωνίαν, μάλιστα δέ γε καὶ ἐξαιρέτως διὰ τὴν μεγάλην ἐν τῇ πίστει καινοτομίαν, δι' ἣν καὶ πλεῖστα τὰ σκάνδαλα τῇ Ἐκκλησίᾳ γεγένηται, καθὰ καὶ προέφημεν.

hæc est sanctorum omnium sententia, nec ullus inter eos præcedentem punitionem agnoscit, præter eam quæ est, in mœrore esse et in locis inconsolabilibus animas peccatrices, veluti in carcere, pœnas exspectantes : animas vero justorum in locis luminis et relaxationis, exspectantes beatam cum corporibus possessionem. Dat quoque et relaxationem quamdam a mœrore et timore iis, qui cum pœnitentia, sed non perfecte ex hac vita migrarunt, non ignis aliquis puniens et eos purgans, ut ipsi tradunt, sed sacræ preces et sacrificia pro iis Deo oblata, si modo recte sentientes in fide a vita excesserint, et pœnitentes saltem in fine, et pro iis bona opera, et reliqua recte facta, non vero, ut ipsi inquiunt, præter Ecclesiæ sententiam, ignis ante purgans. Etenim si modo est ignis, et dolor illius finem habet, erit et finis inferni : sed pœnas inferni æternas dixit Dominus, quemadmodum et regnum æternum. Quod vero ait de divite, principium est tormentorum æternæ punitionis, de iis, qui absque pœnitentia decesserunt, quorum ille primitias habebat propria conscientia ustulatus, et qui non finaliter pœnis traditur, aut ante expurgatur. Neque enim decretum latum erat, *Et abibunt hi in ignem æternum, justi vero in vitam æternam*. Insuper de his quæ abscondi oportebat gloriantur neque vel minimum conteruntur, insipientia capti. Quapropter absit ut eorum communionem quæramus, præsertim et præcipue propter magnam in fide novitatem cujus gratia multa in Ecclesia orta sunt scandala, prout prædiximus.

Κληρικός. Καὶ πῶς οὗτοί γε, δέσποτα, περὶ ἑαυτῶν μεγαλαυχοῦντές φασιν, ὡς ὁ παρ' αὐτοῖς πάππας πρῶτος τῶν ἄλλων ἐστί ; μάλιστα δὲ μόνος πρῶτος, καὶ τὰ παρ' αὐτοῦ πάντα δέον εἶναι στερκτὰ (?), καὶ ὡς παρ' αὐτοῦ τοῦ κορυφαίου Πέτρου· καὶ ὅτι καθολικὴ μόνη ἡ παρ' αὐτοῖς Ἐκκλησία, ὡς οὖσα τῶν ἄλλων πρώτη. Ὅθεν καὶ ἑαυτοὺς μόνους αὐτοὶ καθολικοὺς καλοῦσι, καὶ οὐχ ἑτέρους. Καὶ ἕτερά τινα κομπάζουσιν ὅμοια.

Clericus. Quomodo, domine, illi de semetipsis gloriantes dicunt papam suum esse primum aliorum, imoque solum primum, et omnia ei esse submittenda quemadmodum coryphæo ipsi Petro, solam eorum Ecclesiam esse catholicam et proinde aliis excellere, unde semetipsos solos vocant catholicos, non autem alios, aliaque jactant similia ?

Ἀρχιερεύς. Τὸ καυχᾶσθαί τε καὶ κομπάζειν καὶ ὑπεραίρεσθαι τοῦ τῆς ὑπερηφανίας πάθους ἐστὶν, ὡς εἴρηται. Ὅθεν καὶ τούτου χάριν μᾶλλον οὗτοι ταπεινωθέντες τῷ βίῳ τε καὶ τῇ πίστει καὶ συντριβέντες εἰσί. « Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, » Δαβὶδ λέγει. Πλὴν ἐν οἷς αὐτὸς ἐρωτᾷς, πλεῖστοι τῶν ἡμετέρων ἀγαθοί τε καὶ ἀρετῶν ἐργάται καὶ ὑψηλοὶ τοῖς λόγοις καὶ ἀγγελικοὶ τῷ νοΐ, ὧν ἐστι καὶ ὁ μακάριος Θεσσαλονίκης Νεῖλος, ἀληθῶς τε καὶ ἀναντιῤῥήτως ἐδίδαξαν· καὶ πρὸ αὐτοῦ ὁ μέγας ἐν ἱεράρχαις καὶ θαυμάτων ἐργάτης Γρηγόριος, ὁ καὶ τὴν τοῦ δυσσεβοῦς Βαρλαὰμ καὶ Ἀκιν-

Pontifex. Gloriari, ostentare, efferri pertinet, ut dictum est, ad vitium superbiæ ; ideo illi hujus rei gratia magis sunt moribus humiliati et fide contriti ; «Dominus enim, ait David, superbis resistit.» Cæterum de his de quibus sciscitaris plures ex nostris boni virtutumque cultores, verbis sublimes et mente angelici, ex quibus beatus est Nilus Thessalonicensis, vere et inexpugnabili ratione docuerunt, et ante istum magnus inter pontifices et miraculorum auctor Gregorius qui impii Barlaam et Acindyni errorem confudit atque subvertit. Plures etiam cum ipsis e numero electorum Dei de eis

quæ Latini in dogmatibus et sanctissimo Symbolo novaverunt necnon de superbia eorum locuti sunt, suique nominis digna et divina conscripserunt, ac idonea quibus lapsi erigerentur veritatis gratia protulerunt. Unde ipsi ad ea quæ nostri dixerunt quasi ex apostolis et Patribus essent oculos intendamus, et facile adversariorum tela exstinguemus, nobisque veritatis lumen servabimus. Ut vero tibi nos modicam cognitionem tradamus, pro viribus ex dictis Patrum dicimus. Latinis, qui primatum Romano astruunt, contradicere opus non est; neque id lædit Ecclesiam. Ostendant tantummodo ipsum in Petri fide et illius successorum persistere; et habeat sibi Petri omnia, et primus sit et vertex et caput omnium et supremus antistes; id enim de patriarchis Romanis, qui pro tempore fuerunt, scriptum est; et apostolicus hic thronus, et,qui in eo insidet, pontifex, rectam fidem tenens, successor dicitur Petri; nullusque recte sentientium et loquentium oppositum affirmabit. Ideo secunda synodus, licet æqualia judicaret sedis Constantinopolitanæ jura, primum esse dixit Romanum pontificem, et licet Constantinopolis episcopum tanta posse putaret quanta Romæ episcopus, illum tamen post hunc secundum præstare dixit. Et quartum concilium in quo, triginta et trecenti convenerunt episcopi, eodem innovato statuto paria dixit jura Romani et Constantinopolitani pontificis. Ipsum vero Leonem, qui epistolas ad concilium scripsit, apostolicum vocaverunt Patres concilii, asserentes se vocem ejus velut Petri accipere, et columnam rectæ fidei epistolam ejus nominaverunt; necnon Patres sextæ septimæque synodi et cæterarum sedem ipsam apostolicam appellant, et nos non auferimus Patrum leges; rectam fidem tantummodo profiteatur Silvestri et Agathonis, Leonis et Liberii, Martini atque Gregorii successor Romanus pontifex, et tunc illum apostolicum cæterorumque pontificum principem prædicabimus; et ipsi obedientiam præstabimus, non tantum velut Petro, sed etiam velut ipsi Salvatori. At si sanctorum illorum fidei hæres non sit, neque sedis erit hæres, neque modo nequaquam erit apostolicus, neque primus, neque Pater, sed econtratio adversarius et vastator et apostolorum inimicus. Unde memini aliquid tale ad quemdam ex parte Latinorum Constantinopoli dixisse. Quippe cum is me collocuturus adivisset, argumentanti respondi quæcunque Deus mihi dedit ex sanctorum ejus dictis de ipso divinisque ipsius veritatibus dicere. Denique, Quare, inquit, cum Orientis pontificibus dictisque patriarchis societatem initis atque memoriam eorum in Ecclesia facitis, etsi sint barbari neque cognoscant quid sit Christianismus, papam autem licet sapiens sit virosque doctos quibus stipatur minime accipitis? Cui respondi nos papam verum nequaquam aversari, nec a communione nostra rejicere, imoque nos cum illo sicut cum Christo unum esse, ipsumque patrem et pastorem appellare. Ille autem

A δύνου πλάνην καταισχύνας τε καὶ καταβαλών· καὶ σὺν αὐτοῖς ἕτεροι πλεῖστοι τῶν θεόθεν ἐκλελεγμένων, περί τε τῆς καινοτομίας Λατίνων τῆς ἐν τοῖς δόγμασι καὶ τῷ ἱερωτάτῳ Συμβόλῳ, καὶ περὶ ὧν ὑπερηφάνως λαλοῦσιν, ἀξίως ἑαυτῶν ἐκεῖνοι καὶ θείως συνεγράψαντο. Καὶ ἱκανὰ τὰ παρ' ἐκείνων τῆς ἀληθείας χάριν καὶ τοῦ ἐπανορθωθῆναι τοὺς καταπεσόντας ῥηθέντα. Ὅθεν καὶ ἡμεῖς πρὸς ἐκεῖνα ὁρῶμεν, ἅπερ ἔφησαν οἱ ἡμῶν, ὡς ἐκ τῶν ἀποστόλων ὄντα καὶ τῶν Πατέρων, καὶ ἱκανῶς ἐσόμεθα τὰ τῶν ἐναντίων κατασβεννύντες, καὶ ἡμῖν τὸ φέγγος τῆς ἀληθείας περιφυλάσσοντες. Ἵνα δέ σοι καὶ μικρὰν ὧδε τὴν εἴδησιν δῶμεν καὶ ἡμεῖς, ὡς δύναμις ἐκ τῶν τοῖς ἁγίοις ῥηθέντων φαμὲν, ὡς τὸ λέγειν Λατίνους πρῶτον εἶναι τὸν Ῥώμης, ἀντι- B λέγειν οὐκ ἀναγκαῖον, οὐδὲ παραβλάπτον τοῦτο τὴν Ἐκκλησίαν ἐστί. Δειξάτωσαν μόνον αὐτὸν ἐν τῇ πίστει ὄντα τοῦ Πέτρου καὶ τῶν διαδόχων τοῦ Πέτρου· καὶ πάντα ἐχέτω τὰ τοῦ Πέτρου, καὶ πρῶτος ἔστω καὶ κορυφὴ καὶ κεφαλὴ πάντων, καὶ ἄκρος ἀρχιερεύς. Καὶ γὰρ τοῦτο περὶ τῶν κατὰ καιροὺς πατριαρχῶν Ῥώμης γέγραπται, καὶ ἀποστολικὸς οὗτος ὁ θρόνος, καὶ ὁ ἐπ' αὐτῷ τῆς ὀρθοδοξίας ἐχόμενος ἀρχιερεὺς διάδοχος λέγεται τοῦ Πέτρου· καὶ οὐδεὶς τῶν ὀρθὰ φρονούντων τε καὶ λεγόντων ἐπὶ τούτοις ἀντερεῖ. Ἐπεὶ καὶ ἡ δευτέρα σύνοδος, ἡ τὰ ἴσα πρεσβεῖα τῷ Κωνσταντινουπόλεως νέμουσα, πρῶτον εἶναι τὸν Ῥώμης φησὶ, καὶ τὸν τῆς Κωνσταντινουπόλεως ἴσα μὲν τῷ Ῥώμης δυνάμενον εἶναι, δεύτερον δὲ μετ' ἐκεῖνον ὑπάρχειν. Καὶ ἡ τε- C τάρτη δὲ τῶν ἑξακοσίων τριάκοντα, τὸν αὐτὸν ἀνακεφαλαιουμένη κανόνα, τὰ ὅμοια περὶ τῶν πρεσβείων τοῦ Ῥώμης τε καὶ τοῦ Κωνσταντινουπόλεώς φησι. Καὶ αὐτὸν δὲ τὸν Λέοντα ὃς τὴν ἐπιστολὴν ἔγραψε τῇ συνόδῳ, ἀποστολικόν φασιν οἱ τῆς συνόδου Πατέρες, καὶ ὡς τοῦ Πέτρου δέχεσθαι τὰς αὐτοῦ φωνὰς, καὶ στήλην ὀρθοδοξίας τὴν ἐπιστολὴν αὐτοῦ **38** κατωνόμασαν. Καὶ οἱ τῆς ἕκτης συνόδου καὶ τῆς ἑβδόμης καὶ αἱ λοιπαὶ ἀποστολικὸν θρόνον αὐτὸν ὀνομάζουσι. Καὶ ἡμεῖς οὐκ ἀναιροῦμεν τοὺς τῶν Πατέρων ὅρους. Ἔστω μόνον τῆς ὀρθοδοξίας Σιλβέστρου τε καὶ Ἀγάθωνος, Λέοντός τε καὶ Λιβερίου καὶ Μαρτίνου, καὶ Γρηγορίου διάδοχος ὁ τῆς Ῥώμης, καὶ οὕτως ἀποστολικὸν αὐτὸν καὶ πρῶτον τῶν ἄλλων D ἐροῦμεν ἀρχιερέων, καὶ τὴν ὑποταγὴν αὐτῷ δώσομεν, οὐχ ὡς τῷ Πέτρῳ μόνον, ἀλλ' ὡς αὐτῷ τῷ Σωτῆρι. Εἰ δ' οὐ διάδοχος τῇ πίστει τοῖς ἁγίοις ἐκείνοις ἐστὶν, οὐδὲ διάδοχος τοῦ θρόνου. Καὶ οὐ μόνον οὐκ ἀποστολικὸς καὶ οὐ πρῶτος οὐδὲ Πατὴρ, ἀλλὰ καὶ ἐναντίος καὶ λυμεὼν καὶ τῶν ἀποστόλων ἔσται πολέμιος. Ὅθεν καὶ μέμνημαι, ἀδελφὲ, τοιοῦτόν τι ἐν Κωνσταντινουπόλει πρός τινα τῆς τῶν Λατίνων μοίρας εἰρηκώς. Ἐπεὶ γάρ μοι προσῆλθεν οὗτος διαλεγόμενος, πρὸς τὰ ἐκείνου μὲν ἐκεῖνα εἰρήκειν, ὅσα μοι Θεὸς δέδωκεν ἐκ τῶν αὐτοῦ ἁγίων ὑπὲρ αὐτοῦ καὶ τῶν αὐτοῦ θείων δογμάτων εἰπεῖν· τέλος δέ μοι, Καὶ διατί, ἠρώτα, τοῖς μὲν Ἀνατολικοῖς ἱεράρχαις τοῖς λεγομένοις πατριάρχαις τὴν κοινωνίαν παρέχετε, καὶ τὴν τούτων μνήμην ἐπ' ἐκκλη-

A σίας ποιεῖσθε, βαρβάρων ὄντων αὐτῶν, καὶ μηδὲ τί ἐστι Χριστιανισμὸς γινωσκόντων, τὸν δὲ πάππαν ὄντα σοφὸν καὶ τοὺς περὶ αὐτὸν ἐλλογίμους οὐκ ἀποδέχεσθε; Πρὸς ὃν εἰρήκειν ἐγὼ, ὡς Οὐ τὸν πάππαν ἡμεῖς ἀποστρεφόμεθα ὅλως, καὶ οὐδὲ τούτου ἐσμὲν ἀκοινώνητοι, μᾶλλον δὲ ἓν ἐσμεν μετ' αὐτοῦ ὡς καὶ μετὰ τοῦ Χριστοῦ, καὶ Πατέρα αὐτὸν ἡγούμεθα καὶ ποιμένα. Τοῦ δὲ διαπορουμένου, καὶ ὅπως ἔχει τοῦτο διερωτῶντος, ἐπεὶ τὸν παρ' αὐτοῖς πάππαν οὐ μόνον οὐ κοινωνικὸν ἔχομεν, ἀλλὰ καὶ αἱρετικὸν ἀποκαλοῦμεν, ἔγωγε αὐτῷ ἀπεκρίθην, ὡς μετὰ τοῦ πάππα ἡμεῖς τοῦ Πέτρου καὶ Λίνου καὶ Κλήμεντος καὶ Στεφάνου, καὶ Ἱππολύτου, καὶ Σιλβέστρου, Ἰννοκεντίου τε καὶ Λέοντος καὶ Ἀγαπητοῦ, Μαρτίνου τε καὶ Ἀγάθωνος, καὶ τῶν ὁμοίων τούτοις παππῶν B καὶ πατριαρχῶν, κοινωνίαν ἀδιάσπαστον ἐν Χριστῷ καὶ ἕνωσιν ἔχομεν, καὶ οὐδεὶς λόγος χωρίσει τούτων ἡμᾶς. Καὶ δῆλον ἐξ ὧν ἑορτάζομεν τούτους ἅπαντας, διδασκάλους ἡγούμενοι καὶ Πατέρας, καὶ τὰς ἱερὰς αὐτῶν μνήμας ἄγοντες, καὶ πατριάρχας τούτους καὶ Πατέρας καλοῦντες, ἐπείπερ καὶ τὸ Σύμβολον τῆς ἐκείνων πίστεως ἡμεῖς ἀκηλίδωτον περιφέρομεν, καὶ ὡς ἐβαπτίσαντο, ἐβαπτίσθημεν, καὶ ὡς ἱερώθησαν, ἱερώθημεν, καὶ ὡς παραδεδώκασι Χριστῷ τὰς ψυχὰς ἐν τῷ Συμβόλῳ, καὶ ἡμεῖς παρατίθεμεν. Εἴ τις οὖν ὅμοιος τούτοις τῷ Συμβόλῳ τῆς πίστεως καὶ τῷ βίῳ καὶ τοῖς ἔθεσι τῆς ὀρθοδοξίας, κοινωνικὸς ἡμῖν οὗτος ὁ Πατήρ. Καὶ ὡς τὸν Πέτρον αὐτὸν ἔχομεν, καὶ τὰ τῆς ἑνώσεως ἐπὶ πολὺν τὸν χρόνον ἡμῖν καὶ εἰς αἰῶνας ἔσται αἰώνων. Ἐπειδὴ καὶ C ἄχρι χιλίων ἐτῶν τὰ τῆς ὀρθοδοξίας τοῖς ἁγίοις ἐκείνοις διέμεινε, καὶ ἡ ὀρθόδοξος αὐτῶν πίστις παρ' ἡμῖν. Δῆλον γὰρ ὡς οὕτω τὸ θεῖον Σύμβολον ἐκεῖνοι, ὡς ἡμεῖς, ὡμολόγουν, καὶ μαρτυροῦσι τοῦτο τοῖς ὅροις, καὶ πᾶσαι μὲν, καθαρώτερον δὲ ἡ ἕκτη τε καὶ ἑβδόμη τῶν οἰκουμενικῶν συνόδων. Ἐξότου δὲ ἡ καινοτομία περὶ τὸ θεῖον συνέβη Σύμβολον, οὐκ ἔτι τὸν πάππαν εὑρίσκομεν, οὐδὲ τὸν ἀποστολικὸν καὶ Πατέρα· ἐπεὶ οὐδὲ κατὰ τὴν πίστιν τοῦ ἀποστόλου Πέτρου καὶ τὴν ὁμολογίαν ἔστιν εὑρεῖν τοὺς νυνὶ λεγομένους πάππας, ἀλλὰ κατὰ μόνην τὴν ἄρνησιν. Καὶ ὥσπερ οὐ Πέτρος ὁ Πέτρος, οὐδ' ἀπόστολος, οὐδὲ πρῶτος τὸν Χριστὸν ἀρνησάμενος, οὐδ' ὁ λεγόμενος πάππας ἔσται πάππας ποτὲ, μὴ τὴν πίστιν ἔχων τοῦ Πέτρου, ἣν τριττῇ ὁμολογίᾳ ὡς ἀγαπῶν D ὁ Πέτρος ἐσφράγισεν, ἐπεὶ τρὶς ἐξηρνήσατο· οὐδ' ἔσται διάδοχος, εἰ μὴ πλουτῶν ἔχῃ τὰ τῆς καλῆς ὁμολογίας τοῦ θείου Πέτρου καὶ τῶν ἐκείνου διαδόχων, ἣν ὁ Πατὴρ ἄνωθεν ἀπεκάλυψε. Ταῦτα ἡμῶν λεγόντων, ὁ διαλεγόμενος θαυμάσας σεσίγηκε. Καὶ τοῦτό ἐστιν ἀλήθεια. Καὶ ὁ Κύριος ἡ ἀλήθειά φησιν· « Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ Πνεῦμα
39 τὸ ἐν αὐτῷ, καὶ οὐδεὶς τὰ τοῦ Θεοῦ εἶδεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐν αὐτῷ· » τίς ἄρα νοῆσαί τι καυχήσεται τοῦ Πνεύματος ὑψηλότερον; τοῦ Πνεύματος δὲ οἱ Πατέρες, καὶ τὰ ἐν ταῖς θείαις Γραφαῖς. Καὶ ὅτι τοῦτό γε ἀληθὲς, « Ἐρευνᾶτε, φησὶν αὐτὸς, τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν. Καὶ αὗταί εἰσιν αἱ δηλοῦσαι περὶ ἐμοῦ. » Τίς

pergens quæsivit quomodo hoc fieri potest, dum eorum papam non modo non communicatorem habemus, sed etiam hæreticum appellamus? Ego vero ei respondi nos cum papa Petro et Lino, Clemente et Stephano, Hippolyto, Silvestro, Innocente, Leone et Agapeto, Martino et Agathone, horumque similibus papis et patriarchis perennem communionem et unionem cum Christo habere nullamque rationem nos ab istis separaturam esse; et istud patet ex eo quod hos omnes celebramus quos doctores et patres vocamus, sanctamque eorum memoriam facimus, eosque patriarchas atque patres ciemus, quoniam eorum fidei symbolum servamus intemeratum, et quemadmodum baptizaverunt, ita et nos baptizamus, quemadmodum sacrum fecerunt, ita et nos fecimus, quemadmodum animas Christo in symbolo commendaverunt, ita et nos commendamus. Si quis ergo his similis sit symbolo fidei, conversatione et moribus recta opinione dignis, is nobis erit communicator et pater, eumque sicut Petrum habebimus, et unionis vincula per longum tempus et in sæcula sæculorum permanebunt, quemadmodum fidei integritas a mille annis illis sanctis permansit, et sincera eorum fides apud nos manet. Constat enim eos idem ac nos Symbolum confessos esse, quod statutis testantur omnia quidem ex œcumenicis concilia, expressius autem sextum et septimum. Sed ex quo nova circa divinum Symbolum ficta sunt, jam non papam invenimus, nec apostolicum neque Patrem, cum secundum fidem atque confessionem apostoli Petri non inveniantur qui nunc papæ dicuntur, sed solummodo secundum negationem. Et quemadmodum, negato Christo, Petrus jam Petrus non est, nec apostolus neque primus, ita nec is qui papa dicitur jam erit papa, cum non habeat Petri fidem quam trina confessione, utpote diligens, signavit Petrus, postquam ter negavisset, neque successor erit nisi ditescat bona divi Petri ejusque successorum confessione quam Pater cœlitus revelavit. Quæ cum diceremus, collocutor miratus tacuit; et hoc est veritas, et Dominus qui veritas est dixit: « Nemo scit quæ sunt hominis, nisi spiritus qui in eo est, et nemo cognovit quæ Dei sunt ni i Spiritus qui in eo est, » quis ergo gloriabitur quasi sublimiora Spiritu cogitaverit? in Spiritu Patres divinæque docent Scripturæ. Istud quoque verum est; ait enim Dominus: « Scrutamini Scripturas, quoniam putatis in eis vitam æternam invenire, et illæ sunt quæ testimonium perhibent de me. » Quis igitur audebit contra Scripturas nova moliri, et contra Patres quos repleverat Spiritus loqui? Nam si Dominus dixit: « Scrutamini Scripturas; » et Paulus: « Christus passus est pro nobis secundum Scripturas, et crucifixus, et tertia die resurrexit secundum Scripturas, » Dominus vero incipiens a Moyse et omnibus prophetis interpretatus est in omnibus Scripturis quæ de ipso erant, nec ullus ex apostolis

vel Patribus doctrinam sine Scripturarum testimonio fidelibus tradidit, quis ergo audebit adversus Scripturas et habentes Spiritum Patres fidem aliam instituere, fidemque a Spiritu Patribus sicut Petro per Spiritum revelatam auferre? Nonne per Spiritum pro Spiritu divi Patres dimicaverunt, et simul confessionem Spiritus constituerunt? Sane ego dico et profiteor, per Spiritum; et qui ita non loquitur a Spiritu sancto alienus est. Nonne novisti, frater, quinam sacrum fidei Symbolum explicaverunt?

A ἄρα παρὰ τὰς Γραφὰς τολμήσειε κατά τι νεανιεύσασθαι, καὶ παρὰ τοὺς πνευματοφόρους Πατέρας λέγειν; Εἰ γὰρ ὁ Κύριος, «Τὰς Γραφὰς ἐρευνᾶτε,» φησὶ, καὶ Παῦλος, «Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν κατὰ τὰς Γραφὰς,» καὶ ὅτι ἐσταυρώθη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ὁ Κύριος ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ, καὶ οὐδεὶς τῶν ἀποστόλων καὶ Πατέρων ἀμάρτυρον ἐτίθει τοῖς πιστοῖς τὴν διδασκαλίαν· τίς ἄρα τολμήσειε παρὰ τὰς Γραφὰς καὶ τοὺς ἔχοντας τὸ Πνεῦμα Πατέρας πίστιν ἄλλην ἐκτίθεσθαι; καὶ τὴν ἀποκαλυφθεῖσαν διὰ τοῦ Πνεύματος τοῖς Πατράσιν ὡς καὶ τῷ Πέτρῳ ἀναιρεῖν; Ἢ οὐ διὰ τοῦ Πνεύματος οἱ ὑπὲρ τοῦ Πνεύματος ἀγωνισάμενοι θεῖοι Πατέρες ὁμοῦ τὴν ὁμολογίαν τοῦ Πνεύματος ἐξέθεντο; Ἐγώ φημι καὶ κηρύττω, διὰ τοῦ Πνεύματος. Ὁ δὲ μὴ λέγων οὕτως τοῦ Πνεύματος ἀλλότριος τοῦ ἁγίου. Οὐκ οἶδας, ἀδελφὲ, τίνες τὸ ἱερὸν τῆς πίστεως ἐξέθεντο Σύμβολον;

Clericus. Nequaquam, domine, hos cognosco.

Pontifex. Audi diligenter. Pace Ecclesiæ reddita, qui seminat zizania vadens in damnum Ecclesiæ, sicut prius vadens in damnum Salvatoris inter homines conversantis, Judæos adversus eum incendit, ita post ejus Passionem, Resurrectionem et Ascensionem divinique Spiritus adventum, rursum adversus apostolos Spiritu plenos incitavit Judæos et turbam quoque antichristorum falsorumque apostolorum ad solvendam prædicationem, velut magum illum Simonem, Demam et Hermogenem, Hymenæum et Philetum, Cerinthum et Carpocraten, Manem quemdam et Paulum Samosatensem, Sabellium cum Ario et Origenem, multosque alios deceptores, inter quos postea Eunomius et Macedonius atque Apollinarius cæterique similes qui nova contra veritatem machinati sunt.

B *Κληρικός*. Ἀκριβῶς, δέσποτα, οὐκ οἶδα.

Ἀρχιερεύς. Καὶ ἄκουε ἀκριβῶς. Τῆς Ἐκκλησίας εἰρηνευούσης, ὁ τῶν ζιζανίων σπορεὺς ἐπὶ λύμῃ τῆς Ἐκκλησίας, ὡς καὶ πρότερον, τοῦ Σωτῆρος φανερωθέντος, τοὺς Ἰουδαίους ἐξέμηνε κατ' αὐτοῦ, καὶ μετὰ τὸ πάθος τήν ἔγερσίν τε καὶ ἀνάληψιν αὐτοῦ καὶ ἐπιδημίαν τοῦ θείου Πνεύματος πάλιν κατὰ τῶν πνευματοφόρων ἀποστόλων τοὺς Ἰουδαίους ἐξήγειρε, καὶ ἔτι πλῆθος ἀντιχρίστων τε καὶ ψευδαποστόλων πρὸς κατάλυσιν τοῦ κηρύγματος· οἷον τὸν μάγον ἐκεῖνον Σίμωνα, Δημᾶν τε καὶ Ἑρμογένην, Ὑμέναιόν τε καὶ Φιλητὸν, Κήρινθόν τε καὶ Καρποκράτην, Μάνην τέ τινα καὶ Παῦλον Σαμοσατέα, καὶ Σαβέλλιον σὺν Ἀρείῳ, καὶ Ὠριγένην, καὶ πλείστους ἄλλους ἀπατεῶνας, μεθ' ὧν καὶ Εὐνόμιον ὕστερον καὶ Μακεδόνιον καὶ Ἀπολλινάριον, C καὶ τοὺς ὁμοίως κατὰ τῆς ἀληθείας κενὰ μελετήσαντας.

CAPUT XXIV.

De prima synodo.

Sed postquam pietas splendidius reluxisset, et Deo juvante optimo, sincera fide Constantini Christo amici refloruisset, quemadmodum omnes illos apostatas et vastatores Christus velut inferi portas fregerat, atrocique urgente tyrannorum valde impiorum vexatione, per apostolos eorumque successores fidei integritatem servaverat, ita, pii Constantini tempore, religionis adversarios interfecit, veritatem fidei confessione divi Petri indeclinabili per Patres inconcussam custodiens, atheumque Arium cum aliis pluribus impiis dejiciens, orthodoxæ fidei ipsius dogmata nobis piis ejus servis usque ad hanc horam intacta servavit. Juvante enim primo illo imperatore Christiano, divino concilio sanctorum confessorum Patrum atque pontificum qui trecenti octoque et decem numerati sunt, eversa est impietas, et anathemate percussus est Arius qui impiissima temeritate blasphemans prædicabat Filium atque Spiritum Dei Patris esse creaturas, divinæ vero tres personæ a Patribus consubstantiales appellatæ sunt, quod a prophetis et Evangelio prædicatum

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς πρώτης συνόδου.

Ἀλλ' ἐπειδήπερ τὰ τῆς εὐσεβείας λαμπρότερον ἀνεδόθη, καὶ Θεὸς εὐδόκησεν ἀναθάλλειν ὁ ὑπεράγαθος τῇ φιλοχρίστῳ πίστει τοῦ εὐσεβοῦς Κωνσταντίνου, ὥσπερ πάντας ἐκείνους τοὺς ἀποστάτας καὶ λυμεῶνας Χριστὸς ὡς ᾅδου πύλας ὄντας κατέβαλε, καὶ διωγμοῦ τῶν δυσσεβεστάτων τυράννων ἐπικειμένου χαλεποῦ, καὶ διὰ τῶν ἀποστόλων καὶ διαδόχων αὐτῶν τὸ ὀρθὸν τῆς πίστεως διετήρησεν, οὕτω καὶ τοὺς ἐπὶ Κωνσταντίνου τοῦ εὐσεβοῦς πολεμίους D τῆς εὐσεβείας κατέθραυσε, τῇ τῆς ἀληθοῦς πίστεως ἀκλινεστάτῃ ὁμολογίᾳ τοῦ θείου Πέτρου τηρήσας αὐτὴν διὰ τῶν Πατέρων ἀκλόνητον. Καὶ τὸν ἄθεον Ἄρειον σὺν πολλοῖς ἄλλοις δυσσεβέσι καταβαλὼν, καὶ τὰ τῆς ὀρθοδόξου αὐτοῦ πίστεως ἀσινῆ ἡμῖν τοῖς εὐσεβέσι δούλοις αὐτοῦ ἔκτοτε καὶ νῦν διετήρησε. Δι' αὐτοῦ γὰρ τοῦ πρώτου ἐν Χριστιανοῖς βασιλέως συνόδῳ θείᾳ ὁμολογητῶν ἁγίων Πατέρων ἱεραρχῶν, εἰς τριακοσίους καὶ δεκαοκτὼ ἀριθμουμένων αὐτῶν, τὰ τῆς δυσσεβείας καταργεῖται, καὶ ἀναθέματι καθυποβάλλεται Ἄρειος, κτίσμα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς βλασφημῶν δυσσεβέστατα. Ὁμοούσιος δὲ παρὰ τῶν Πατέ-

ρων ἡ Τριὰς ὁ Θεὸς καταγγέλλεται. Ἐπεὶ καὶ οὕτω A παρὰ τῶν προφητῶν καὶ τοῦ Εὐαγγελίου κεκήρυκται, καθὰ διὰ τῶν προφητῶν ἀπεδείξαμεν, ὧν ἐξαίρετος ὁ καὶ θεοπάτωρ Δαβὶδ, λέγων, « Τῷ λόγῳ Κυρίου τοὺς οὐρανοὺς ἐστερεῶσθαι, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ τὴν αὐτῶν πᾶσαν δύναμιν. » Ὁ δέ γε Σωτὴρ ἐν ὄνομά φησι, καὶ εἰς τοῦτο πάντας βαπτίζεσθαι, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ, « Ὁ μονογενὴς Υἱὸς (τὸ Εὐαγγέλιόν φησιν), ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός· » καὶ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος· » καὶ, « Πάντα δι' αὐτοῦ ἐγένετο· » καὶ, « Ἐν αὐτῷ ζωὴ ἦν· » καὶ, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· » καὶ ὅσα τοιαῦτα. Καὶ ἐπὶ τούτοις τὸ ἱερὸν ἐξέθεντο Σύμβολον, ἤτοι σημεῖον τῆς πίστεως, ἀναθέματι καθυποβαλόντες οἱ Πατέρες τὸν παρὰ τοῦτο φρονήσαντα.

fuerat, prout per prophetas demonstravimus, ex quibus eximius Deique pater ait David: « Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum; » Salvator autem nomen unum dixit: « Omnes, inquit, baptizantes in nomine Patris et Filii et Spiritus sancti; » et: « Filius unigenitus, ait Evangelium, qui est in sinu Patris; » et: « In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum; » et: « Omnia per ipsum facta sunt; » et: « In ipso vita erat; » et: « Ego et Pater unum sumus, » et similia. Ex quibus Patres sanctum enucleaverunt Symbolum sive signum fidei, anathemate ferientes eum qui contraria opinatus erat.

B

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς δευτέρας συνόδου.

Ἐπεὶ δὲ περὶ τοῦ ἁγίου Πνεύματος φανερώτερον οὐκ ἐξέθεντο, περὶ τοῦ Υἱοῦ μὲν γὰρ τότε βλασφημῶν ὑπῆρχεν ὁ ἀλιτήριος Ἄρειος, ὕστερον δὲ καὶ ὁ δυσσεβὴς Μακεδόνιος τὰ περὶ τοῦ Πνεύματος ἐδείκνυτο γλωσσαλγιῶν, καὶ κτίσμα τοῦτο κατωνόμαζε καὶ ποίημα τοῦ Υἱοῦ, πάλιν τῶν τοῦ Θεοῦ ἱερέων συγκροτεῖται συνάθροισις, καὶ συγκαλεῖται ταύτην ὁ μέγας καλούμενος καὶ ὢν ἀληθῶς Θεοδόσιος βασιλεύς. Καὶ τῇ μὲν πρώτῃ συνόδῳ ἡ Νίκαια τόπος ἦν, ταύτῃ δὲ τῇ δευτέρᾳ ἡ Κωνσταντίνου φιλόχριστος, ἣν καὶ ἔδει τὰ τῆς Τριάδος ἐπισφραγίσαι, ὡς καὶ θεμελιωθεῖσαν ἐν τῇ Τριάδι καὶ ἀνοικοδομηθεῖσαν, καὶ ταύτης κηρύξασαν ἀκραιφνῶς τὸ μυστήριον, C καὶ ὑπὲρ τῆς Τριάδος ἐναθλοῦσάν τε καὶ ἀγωνιζομένην ἀεὶ, καὶ ὑπὸ τῶν ἐχθρῶν τῆς Τριάδος πολεμουμένην, καὶ τοὺς κήρυκας τῆς Τριάδος χειροτονοῦσάν τε καὶ καθιστῶσαν ἐν Πνεύματι, καὶ παντὶ τῷ κόσμῳ ὡς ἀποστόλους ἐξαποστέλλουσαν. Μέγιστοι δὲ τῶν ὁμολογητῶν καὶ Πατέρων καὶ οἱ ἐν ταύτῃ συναθροισθέντες· Γρηγόριος γὰρ ἡ θεολόγος φωνὴ, καὶ Γρηγόριος ἄλλος ὁ Νυσσαέων φωστὴρ, μᾶλλον δὲ τῆς οἰκουμένης ἁπάσης, ὁ καὶ τοῦ μεγίστου Βασιλείου καὶ ἀδελφὸς καὶ ὁμότροπος· Ἀμφιλόχιός τε ὁ Ἰκονίου, καὶ πρὸ τούτου Μελέτιος· ἔτι τε Εὐστάθιος τῆς Ἀντιοχείας, καὶ ὁ Ἀλεξανδρείας Τιμόθεος· καὶ πλεῖστοι σὺν αὐτοῖς ἄλλοι τῶν καὶ θεολογίᾳ καὶ σημείοις λαμψάντων. Ὧν δὴ καὶ ὁ ἀριθμὸς εἰς τρεῖς πεντηκοντάδας ὑπῆρχε. Καὶ οὕτως D τῆς θείας Τριάδος παρίστησι τὸ τέλειον ἀριθμός. Καὶ τὴν τοῦ Πνεύματος δὲ ὁμολογίαν ἀληθῆ καὶ τελείαν παρέδωκεν ἅμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὡς ὁμοούσιον δοξάζεσθαι παραδούς. Τρεῖς δὲ πεντηκοντάδες, εἰς τιμὴν τῆς Τριάδος. Καὶ τέλειαι καὶ ἴσαι, ὅτι ὁμοούσιος ἡ Τριὰς, καὶ μόνη τελεία. Καὶ αἱ πεντηκοντάδες ἡνωμέναι, ὅτι ἡ Τριὰς ἀδιαίρετος. Καὶ πεντηκοντάδες, ἐπεὶ κατὰ τὴν θείαν Πεντηκοστὴν τοῖς ἀποστόλοις τὸ Πνεῦμα φανερώτερον πεφανέρωται. Ἐκτίθεται οὖν ἡ δευτέρα οἰκουμενικὴ θεία σύνοδος αὕτη τὸν περὶ τοῦ Πνεύματος τρανότερον λόγον, ἐκ τῶν Γραφῶν ποιησαμένη τὴν ἔκθεσιν. Καὶ τῆς πρώτης λεγούσης συνόδου μόνον,

CAPUT XXV.

De secunda synodo.

Sed quia nihil de Spiritu sancto conceptis verbis explanatum fuerat, cum tunc maledictus Arius de Filio blasphemaret, cum autem postea impius Macedonius effutiens doceret ea quæ ad Spiritum spectant, illumque Filii creaturam atque opus appellaret, rursus sacerdotum Dei cœtus convocatur quem congregat imperator, cui cognomen Magnus vereque a Deo datus Theodosius. Primi quidem concilii locus erat Nicæa, secundi vero amica Christo Constantini civitas, quam oportebat Trinitatis veritatem obsignare, utpote in Trinitate fundatam et ædificatam quæ Trinitatis mysterium sincere prædicavit, et pro Trinitate congressa semper decertavit, adversus inimicos Trinitatis pugnavit, et Trinitatis præcones ordinatos atque in Spiritu institutos in universum mundum velut apostolos emisit. Maximi vero e confessoribus et Patribus in hanc synodum convenerunt, Gregorius scilicet vox theologiæ, Gregorius alter, Nyssenorum vel magis totius orbis lumen, Basilii maximi frater et sodalis, Amphilochius Iconiensis et ante eum Meletius, Eustathius quoque Antiochenus, Timotheus Alexandrinus, et multi qui cum illis theologica doctrina et miraculis splenduerunt. Quorum numerus in tres numeros quinquagenarios dividebatur, unde hic numerus divinæ Trinitatis perfectionem referebat, veramque et perfectam Spiritus confessionem tradidit quem ut consubstantialem Patri et Filio adorandum edocuit. Tres quidem numeri quinquagenarii in honorem Trinitatis, et perfecti atque pares quoniam consubstantialis est Trinitas solaque perfecta. Qui numeri secum simul uniuntur, quoniam Trinitas est indivisibilis; et quinquageni, sunt quoniam in divina Pentecoste Spiritus apostolis manifestius apparuit. Secundum ergo divinum generale concilium planiorem exposuit de Spiritu sermonem, quam expositionem e Scripturis confecit. Prima synodus tantummodo dixerat: « Et in Spiritum sanctum, » quod clamant prophetæ et Evangelium, cum David quidem dixerit: « Spiritum sanctum tuum ne auferas a me; » Evan-

gelium autem: «Baptizantes eos in nomine Patris et Filii et Spiritus sancti;» illi vero adjecerunt: «Dominum vivificantem, qui ex Patre procedit, qui cum Patre et Filio simul adoratur et conglorificatur, qui locutus est per prophetas; in unam sanctam catholicam et apostolicam Ecclesiam.» Equidem illud «Dominum» ex epistola divi Pauli accipiunt dicentis: «Dominus autem Spiritus; ubi vero Spiritus Domini, ibi libertas» istud vero: «Vivificantem,» ex sacro Evangelio quo scriptum est: «Spiritus est qui vivificat.» Similiter illud: «Qui ex Patre procedit,» ab Evangelio sumunt, nec a semetipsis quidquam addere audent. Ipse enim dixerat Dominus: «Spiritus veritatis qui ex Patre procedit,» dicendo quidem, «veritatis,» monstravit proprium Patri Spiritum esse, utpote consubstantialem et indivisibilem et in eo jugiter manentem; hoc autem: «Qui ex Patre procedit,» ipsius Spiritus principium et causam testatur; videlicet eum esse a Patre perinde ac ipse Filius, cum de semetipso dixerit: «Ego exivi a Patre et vado;» et rursus: «Exivi a Patre et veni in mundum.» Idcirco si ista intelligere oportet de incarnatione, dicendo etiam: «In principio erat, et apud Deum erat,» testatur Veritas Patrem esse suiipsius et Spiritus causam: cum Pater solus sit fons et principium, et radix, et causa Verbi et Spiritus; cum insuper sit Pater luminum, ergo lumina sunt de lumine: aliud quidem generatione, aliud autem processione, Filius et Spiritus: «In lumine tuo, canit David, videbimus lumen;» et Pater est sola fontana divinitas, ait quidam theologus; unde nihil contra Scripturas addiderunt Patres. Unde illud: «Qui cum Patre et Filio simul adoratur et conglorificatur,» e sanctis Scripturis collegerunt Patres. Ait enim David: «*Adoremus*, et, *Glorificate eum*.» Quod Trinitas glorificatur ex hymno Seraphim constat: «Sanctus, sanctus, sanctus, Dominus Sabaoth; pleni sunt cœli et terra gloria ejus.» Viden' unam prædicatam Trinitatis gloriam? Illud enim, «Sanctus,» ter iteratum, prout interpretati sunt Patres, Trinitatem significat; hoc vero: «Dominus,» semel dictum gloriæ ejus et naturæ unitatem exhibet. Ideo, «Pleni sunt, inquit, cœli et terra gloria ejus,» non *eorum* dixit, quoniam trium personarum una est gloria et natura et virtus, sanctaque Trinitas unus Deus et Dominus unam habet gloriam et adorationem. Idcirco Spiritus sanctus cum Patre et Filio simul adoratur et conglorificatur ab ipsis angelis, cum David dicat: «Et adorent eum omnes angeli ejus,» sed etiam a nobis ipsis, cum David nobis dicat: «Venite, adoremus et ploremus coram Domino qui fecit nos.» Unus ergo Dominus Trinitas, ut dicunt angeli: «Sanctus, sanctus, sanctus, Dominus;» et unum nomen Trinitatis Patris et Filii et Spiritus sancti in quo baptizati sumus, quoniam et unus et solus Deus Trinitas, cum Deus sit Pater et Deus esset Verbum, quod erat in principio apud Deum. Et: «Quare mentitus es Sp-

A «Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον,» ὃ δὴ καὶ τῶν προφητῶν καὶ τοῦ Εὐαγγελίου ἐστὶ φωνή, τοῦ μὲν Δαβὶδ λέγοντος. «Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ,» τοῦ Εὐαγγελίου δὲ, «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος,» προστιθέασιν οὗτοι, «Τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν, εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.» Καὶ **41** τὸ μὲν κύριον ἀπὸ τῆς ἐπιστολῆς τοῦ θείου Παύλου λαμβάνουσιν, «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστι,» λέγοντος· «Ὅπου δὲ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία·» τὸ δὲ ζωοποιὸν ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, «Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν,» γρά-
B φοντος. Ὁμοίως δὲ καὶ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον ἐκ τοῦ Εὐαγγελίου λαμβάνουσι, καὶ οὐ τολμῶσί τι προστιθέναι ἀφ' ἑαυτῶν. Αὐτὸς γὰρ εἴρηκεν ὁ Σωτὴρ, «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται.» Καὶ «τῆς μὲν ἀληθείας» εἰπὼν, ἔδειξεν οἰκεῖον αὐτῷ τὸ Πνεῦμα, ὡς συμφυὲς καὶ ἀδιαίρετον ὂν, καὶ ἐν αὐτῷ μόνον ἀεί· τὸ δὲ «ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται,» τὴν ἀρχὴν αὐτοῦ τοῦ Πνεύματος καὶ τὴν αἰτίαν μαρτυρῶν, ὅτι παρὰ τοῦ Πατρὸς, ὡς καὶ αὐτὸς ὁ Υἱός. Ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησιν· «Ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω·» καὶ πάλιν, «Ἐξῆλθον παρὰ τοῦ Πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον.» Εἰ γοῦν καὶ κατὰ τὴν οἰκονομίαν ἔστι τοῦτο νοεῖν,
C ἀλλὰ καὶ ἐν ἀρχῇ ἦν, καὶ πρὸς τὸν Θεὸν ἦν, αἰτίαν ἑαυτοῦ καὶ τοῦ Πνεύματος τὸν Πατέρα μαρτυρῶν ἡ ἀλήθεια. Ἐπεὶ καὶ τῶν ἐξ αὐτοῦ ὁ Πατὴρ μόνος πηγὴ καὶ ἀρχὴ καὶ ῥίζα καὶ αἰτία τοῦ Λόγου τε καὶ τοῦ Πνεύματος. Ἐπεὶ καὶ Πατὴρ τῶν φώτων αὐτός. Φῶτα δὲ ἐκ φωτὸς, τὸ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα. «Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς,» ψάλλει Δαβίδ. Καὶ μόνη πηγαία Θεότης ὁ Πατὴρ, τῶν θεολόγων ἔφη τις. Οὕτως οὐδὲν παρὰ τὰς Γραφὰς οἱ Πατέρες τεθείκασιν. Ὅθεν καὶ τὸ «σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον» ἀπὸ τῶν ἁγίων συνελέξαντο Γραφῶν οἱ Πατέρες. Τὸ «Προσκυνήσωμεν» γὰρ ὁ Δαβὶδ λέγει, καὶ τὸ «Δοξάσατε αὐτόν.» Ὅτι δὲ ἡ Τριὰς συνδοξάζεται, καὶ ἀπὸ τοῦ ὕμνου τῶν Σεραφὶμ φα-
D νερόν· «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ. Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.» Ὁρᾶτε μίαν τὴν δόξαν κηρυττομένην τῆς Τριάδος; Τὸ γὰρ «ἅγιος» λεγόμενον τρὶς, ὡς οἱ Πατέρες εἰρήκασι, τὴν Τριάδα σημαίνει. Τὸ δὲ «Κύριος» ἅπαξ τὸ ὁμόδοξον καὶ συμφυὲς ταύτης παρίστησι. Διὸ καὶ «Πλήρης (φασὶν) ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.» Οὐχ *αὐτῶν*, ἐπειδὴ τῶν τριῶν ὑποστάσεων μία ἡ δόξα καὶ ἡ οὐσία καὶ δύναμις. Καὶ ἡ ἁγία Τριὰς ὁ μόνος Θεός τε καὶ Κύριος μίαν ἔχει τὴν δόξαν καὶ τὴν προσκύνησιν. Διὸ καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ συντιμᾶται καὶ συμπροσκυνεῖται καὶ παρὰ τῶν ἀγγέλων αὐτῶν, ἐπεὶ καὶ, «Προσκυνήσατε αὐτὸν, φησὶν ὁ Δαβὶδ, πάντες ἄγγελοι αὐτοῦ·» ἀλλὰ καὶ παρ' ἡμῶν αὐτῶν· ἐπεὶ

καὶ πρὸς ἡμᾶς φησιν ὁ Δαβίδ, « Δεῦτε, προσκυνήσωμεν καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. » Εἷς οὖν Κύριος ἡ Τριάς, ὡς καὶ οἱ ἄγγελοί φασιν, « Ἅγιος, ἅγιος, ἅγιος, Κύριος. » Καὶ ἓν τὸ ὄνομα τῆς Τριάδος τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἰς ὃ βαπτιζόμεθα, ὅτι καὶ εἷς καὶ μόνος Θεὸς ἡ Τριὰς, ἐπεὶ καὶ Θεός ἐστιν ὁ Πατὴρ, καὶ Θεὸς ἦν ὁ Λόγος, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Καὶ, « Ἵνα τί ἐψεύσω τὸ Πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ Θεῷ, » Πέτρος διδάσκει περὶ τοῦ Πνεύματος. Καὶ οὐ τρεῖς θεοὶ, ἀλλ' εἷς Θεὸς ἐν Τριάδι. Ἐπεὶ καὶ μία τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ὡς ἡ οὐσία καὶ φύσις, καὶ ἡ δύναμις καὶ βουλὴ καὶ κίνησις καὶ ἐνέργεια καὶ πρόνοια καὶ βασιλεία καὶ ἀρχὴ καὶ δόξα ἀχώριστος. Οὐδὲ γὰρ Πατὴρ δίχα Λόγου ποτὲ ἢ Πνεύματος· οὐδὲ Λόγος δίχα τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος· οὐδὲ Πνεῦμα δίχα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ὅτι καὶ ἀδιαίρετος καὶ ἀσύγχυτος ἡ Τριάς· ἀσύγχυτος μὲν ὅτι Πατὴρ ἀληθῶς καὶ Υἱὸς ἀληθῶς, καὶ Πνεῦμα ἅγιον ἀληθῶς· ἀδιαίρετος δὲ, ὅτι εἷς ὁ Πατὴρ καὶ ἄναρχος, καὶ τὰ ἐξ αὐτοῦ ἀνάρχως καὶ ἀϊδίως καὶ ἀπαθῶς. Πηγὴ γὰρ τῆς ὑπερουσίου Θεότητος ὁ Πατὴρ, ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα, οἷον ἄνθη, καὶ ὑπερούσια φῶτα, φησὶ Διονύσιος, μίαν **42** τὴν λάμψιν κεκτημένα, ὡς καὶ τὴν φύσιν μίαν καὶ τὴν δύναμιν καὶ κίνησιν καὶ ἐνέργειαν, καὶ οὐ κατ' ἀγγέλους καὶ ἀνθρώπους γνώμης τινὸς ἢ σοφίας διαφοράν. « Οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι· » ἀποκαλύπτει δὲ ὅσον βούλεται ὁ διδοὺς, καὶ ὅσον δύναται ὁ λαμβάνων διὰ τοῦ Πνεύματος. Καὶ, « Τὸ Πνεῦμα δὲ πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. Καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐν αὐτῷ. » Ὁρᾷς κατὰ δύναμιν ὡς τοῖς ἁγίοις ἀπεκαλύφθη τὸ μυστήριον τῆς ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος, τοῦ μόνου τῶν ὅλων Θεοῦ; Λοιπὸν μὴ περαιτέρω ζήτει· ἀρκοῦ τοῖς εἰρημένοις καὶ διδομένοις παρὰ Θεοῦ. Ἐπεὶ καὶ Πέτρος παρὰ τοῦ Πατρὸς τὸν Υἱὸν ἀποκαλύψει ἐγνώρισε· καὶ πάλιν σὺν τοῖς λοιποῖς ἀποστόλοις παρὰ τοῦ Υἱοῦ τὸν Πατέρα ἔμαθε διδαχθεὶς, « Ἐφανέρωσά σου τὸ ὄνομα, » λέγοντος, « τοῖς ἀνθρώποις, καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω. » Καὶ τὰ τοῖς ἀγγέλοις δὲ φρικτά τε καὶ ἄγνωστα διὰ τοῦ Πνεύματος ἡμῖν ἀπεκαλύφθη. Παῦλός φησιν, « Ἡμῖν δὲ ταῦτα ἀπεκάλυψε διὰ τοῦ Πνεύματος. » Λοιπὸν τηρῶμεν τὰ ἀποκαλυφθέντα τοῖς ἁγίοις, καὶ μὴ τὰ ἡμέτερα παρεισάγωμεν. Τὸ Πνεῦμα τῆς ἀληθείας, Πνεῦμα Θεοῦ, Πνεῦμα Πατρὸς, Πνεῦμα Χριστοῦ, Πνεῦμα τοῦ Υἱοῦ, ταῦτα τῆς ὁμοουσιότητος, τῆς ὁμοβουλίας, τῆς μιᾶς ἀρχῆς καὶ ἐνεργείας καὶ δυνάμεως. Τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ταῦτα τῆς αἰτίας καὶ πηγῆς καὶ μιᾶς ἀρχῆς τοῦ Πατρὸς, ὅς αἴτιος καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Ἐπεὶ καὶ περὶ τοῦ Υἱοῦ γέγραπται, « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι. Πάντα τὰ

A ritui sancto? Non es mentitus hominibus, sed Deo, » docet Petrus de Spiritu. Non tres dii, sed unus est Deus in Trinitate, cum sit Patris et Filii et Spiritus sancti essentia et natura, potentia et voluntas, motus et operatio, providentia et regnum, unum principium et gloria indivisibilis. Pater enim nunquam fuit sine Verbo et Spiritu, neque Verbum sine Patre et Spiritu, neque Spiritus sine Patre et Filio: quoniam individua est Trinitas atque inconfusibilis: inconfusibilis quidem, quoniam in ea est vere Pater, vere Filius, vere Spiritus sanctus: individua autem, quoniam unus Pater absque initio et quæ ex ipso sunt sine initio sunt, æterna sunt, sine passione procedunt. Pater enim est fons supersubstantialis Deitatis; Filius B vero et Spiritus velut flores et lumina supersubstantialia, ait Dionysius, lucem unam habentia, sicut et unam naturam et potestatem, et voluntatem et operationem, neque more hominum et angelorum scientia quadam aut sapientia differunt. « Nemo enim novit Filium nisi Pater, et nemo Patrem novit nisi Filius, et cui voluerit Filius revelare; » revelabit autem quantum voluerit is qui dat, et quantum potuerit is qui per Spiritum accipit. « Spiritus vero omnia scrutatur etiam profunda Dei, » et: « Quæ sunt Dei nemo novit nisi Spiritus qui est in eo. » Viden' quoniam pro viribus revelatum est sanctis mysterium indivisibilis et inconfusibilis Trinitatis, solius universorum Dei? Cæterum noli C altius inquirere; sufficiant quæ dicta sunt et data a Deo, quoniam Petrus quoque a Deo Filium revelatione cognovit, et iterum cum cæteris apostolis a Filio edoctus Patrem didicit qui dixit: « Manifestavi nomen tuum hominibus, et notum feci eis nomen tuum et notum faciam. » Et quæ angelis tremenda sunt atque ignota per Spiritum nobis revelata sunt: « Hæc nobis, ait Paulus, per Spiritum revelavit. » Superest ut revelata sanctis custodiamus, neque nostra immisceamus. Spiritus est veritatis, Spiritus Dei, Spiritus Patris, Spiritus Christi, Spiritus Filii vi unitatis substantiæ, et consilii, ejusdemque principii, operationis et potestatis. Verba: « Spiritu oris ejus qui ex Patre procedit, Spiritus qui ex Deo est, » causam, D fontem unumque Patris principium qui auctor est Filii et Spiritus exhibent; ideo de Filio scriptum est: « Ego et Pater unum sumus; Qui videt me videt et Patrem; Omnia quæcunque habet Pater mea sunt; Omnia tua mea sunt, et mea tua sunt; Sicut Pater resuscitat mortuos et vivificat, ita Filius quos vult vivificat, » et similia, quibus unitas naturæ et potentiæ atque consilii et individuitas monstratur. Et rursus: « In principio erat Verbum, et Verbum erat in principio apud Deum, et Deus erat Verbum; » necnon voces: « Pater, Unigenitus, Qui est in sinu Patris, Qui est splendor gloriæ, » hæc omnia Filium esse consubstantialem demonstrant, quemadmodum ista rursus de Spiritu dicta, « Ex me accipiet, et annuntiabit vobis, » indicant

eum revelasse et nos docuisse. « Hæc enim, ait Paulus, nobis revelavit per Spiritum. » — « Incerta et occulta sapientiæ tuæ, inquit David, manifestasti mihi, » videlicet per Spiritum; ideo etiam, « Spiritum sanctum tuum ne auferas a me, » orat et dicit David in Spiritu; et illud: « Accipite Spiritum sanctum, » gratiæ est largitio; nam Spiritus tunc non incepit exsistere, nec initium accepit, cum semper cum Patre fuerit Filio coæternus. Quod gratiam daret patet ex sequentibus: « Quibus remiseritis remittetur eis, » et cætera. Quod illud erat unum ex beneficiis a Verbo pro nobis in sancto Spiritu incarnato collatis ex his constat: « Orietur virga de radice Jesse, et flos de radice ejus ascendet, et requiescet super eum Spiritus Dei, Spiritus sapientiæ et intellectus, Spiritus consilii et fortitudinis, Spiritus scientiæ et pietatis, Spiritus timoris Dei replebit eum. » Quisnam iste? Qui ex semine David ortus est (quod tu nobiscum confiteris), Jesus Christus. Hic quidem utpote individuus cum Patre et Spiritu, et omnia habens ex Patre, necnon cum Spiritu operans, incarnatus accepit et corporaliter sumpsit quæ sunt Spiritus; dona autem accipit qui cum Spiritu habet non quamdam partem, sed omnem Deitatis plenitudinem, scilicet omnes facultates; quoniam ut Deus eas Verbum cum Spiritu possidebat, solumque incarnatum (nam neque Pater neque Spiritus incarnatus est), omnes etiam cum carne Spiritus et Patris operationes habuit. Ideo Paulus quoque dicit: « In ipso enim inhabitat omnis plenitudo divinitatis corporaliter. » Viden' quoniam, « corporaliter, » dixit? Cum sanctissimum illud corpus templum fuerit et tabernaculum omnis gloriæ, et pro nobis fuerit ex natura nostra libamen et piaculum, ex ipso gratiam accepimus. Naturam Dei non participamus, sed gratiarum ejus dona accipimus. Quod filius tonitrui Joannes dixit: « De plenitudine ejus nos omnes accepimus; » non plenitudinem accepimus, sed de plenitudine, ita ut non naturam quidem, sed gratiam consequamur; nam pars est et potentiæ nostræ accommodatum quod singuli suscepimus; ibi autem est plenitudo, quoniam persona Verbi incarnata est quæ divinitatis habet plenitudinem. Quid ergo accepimus? Gratiam pro gratia. Viden' quoniam gratiam, non naturam accepimus? Quippe personam Verbi solum illud divinum Salvatoris nostri templum in intimam unionem habuit, quia Verbum ipsius humanitati persona factum est, et solum Deus-Homo apparuit, solumque per personam unum ex duobus naturis coaluit, cum simul esset Deus et homo. Nec quisquam ex angelis vel mortalibus Dei naturæ factus est particeps, gratias vero singuli participant mensura sibi accommodata, divinamque illuminationem, et dii facti sunt multi, sed tantum secundum gratiam. Si ergo corpus Dominicum creatura manet, etsi Domino adunatum, solum vero fit divinitatis particeps, utpote Verbo intime conjunctum

A ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ· » καὶ τὰ τοιαῦτα. Τὸ σύμφυὲς δὲ διὰ τούτων καὶ ἰσοδύναμον καὶ ὁμόβουλον καὶ ἀχώριστον παρίσταται. Καὶ πάλιν, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Καὶ οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Καὶ Θεὸς ἦν ὁ Λόγος. » Καὶ τὸ « Πάτερ, » καὶ, « Ὁ Μονογενής, » καὶ, « Ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός· » καὶ, « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης. » Ταῦτα δὲ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν καὶ τὸ ὁμοούσιον δηλοῖ, ὡς τὸ, « Ἐξ ἐμοῦ λήψεται, » πάλιν περὶ τοῦ Παρακλήτου ῥηθὲν, « καὶ ἀναγγελεῖ ὑμῖν, » τὸ ἀποκαλύψαι καὶ διδάξαι ἡμᾶς δηλοῖ. Ἡμῖν γὰρ ἀπεκάλυψε ταῦτα (φησὶ Παῦλος) διὰ τοῦ Πνεύματος. Καὶ, « Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου (ὁ
B Δαβὶδ λέγει) ἐδήλωσάς μοι, » τῷ Πνεύματι δηλονότι. Ἐπεὶ καὶ, « Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ, » ἐξαιτεῖται, καὶ εἶπε Δαβὶδ ἐν Πνεύματι. Καὶ τὸ, « Λάβετε Πνεῦμα ἅγιον, » χάρισμα δοῦναί ἐστιν. Οὐδὲ γὰρ τότε τὸ Πνεῦμα ὑφίστατο, καὶ ἀρχὴν ἐλάμβανεν εἶναι, τὸ μετὰ τοῦ Πατρὸς ἀεὶ ὂν, καὶ τῷ Υἱῷ συναΐδιον. Καὶ ὅτι χάρισμα ἐδίδου, δῆλον. « Ἄν τινων ἀφῆτε, » φησὶν, « ἀφίενται, » καὶ τὰ λοιπά. Ὅτι δὲ ἓν τῶν χαρισμάτων ὑπῆρχε τὸ δοθὲν διὰ τοῦ Λόγου σαρκωθέντος ὑπὲρ ἡμῶν ἐν τῷ ἁγίῳ Πνεύματι, φανερὸν ὧδε. « Ἀναβήσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέ-
C σεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. » Τίς δὲ οὗτος; Ὁ ἐκ σπέρματος Δαβὶδ (εἴγε καὶ σὺ σὺν ἡμῖν ὁμολογεῖς) Ἰησοῦς Χριστός. Οὗτος οἷα μὲν Λόγος ἀδιαίρετος ὢν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ πάντα ἔχων ἐκ τοῦ Πατρὸς, καὶ ἐνεργῶν σὺν τῷ Πνεύματι, ἐνανθρωπήσας, καταδέχεται καὶ σωματικῶς λαβεῖν τὰ τοῦ Πνεύματος. Λαμβάνει δὲ τὰς δωρεὰς, ὁ σὺν τῷ Πνεύματι ἔχων, καὶ οὐ μερικάς τινας, ἀλλὰ τὸ πλήρωμα πᾶν τῆς Θεότητος, πάσας
43 τὰς δυνάμεις δηλαδή. Ἐπεὶ καὶ Θεὸς ὢν ὁ Λόγος, ταύτας ἐκέκτητο σὺν τῷ Πνεύματι· καὶ μόνος ἐνανθρωπήσας (οὐ γὰρ ὁ Πατὴρ ἢ τὸ Πνεῦμα σεσάρκωται) ἁπάσας εἶχε καὶ σὺν τῇ σαρκὶ τὰς τοῦ Πνεύματος καὶ τοῦ Πατρὸς ἐνεργείας. Διὸ καὶ Παῦλός
D φησιν, « Ἐν αὐτῷ γὰρ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. » Ὁρᾷς ὅτι « σωματικῶς » λέγει; Καὶ ναοῦ γενομένου καὶ σκηνώματος πάσης δόξης τοῦ παναγίου ἐκείνου σώματος, τοῦ καὶ γεγονότος ἀπαρχῆς τε καὶ θύματος ἐκ τῆς φύσεως ἡμῶν ὑπὲρ ἡμῶν, ἐξ αὐτοῦ καὶ ἡμεῖς λαμβάνομεν χάριν. Καὶ οὐ τῆς τοῦ Θεοῦ μετέχομεν φύσεως, ἀλλὰ τὰ τῶν χαρισμάτων αὐτοῦ λαμβάνομεν δῶρα. Καὶ τοῦτο ὁ τῆς βροντῆς υἱός φησιν Ἰωάννης· « Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. » Οὐ τὸ πλήρωμα ἐλάβομεν, ἀλλ' ἐκ τοῦ πληρώματος. Ὥστε οὐ φύσιν, ἀλλὰ χάριν, ὅτι μερικὸν μὲν καὶ κατὰ δύναμιν ἡμετέραν ὃ λαμβάνομεν ἕκαστος. Ἐκεῖ δὲ τὸ πᾶν ἐστιν, ὅτι καὶ ἡ ὑπόστασις τοῦ Λόγου σεσάρκωται, ἡ τὸ πᾶν ἔχουσα τῆς Θεότητος. Καὶ

τί ἄρα ἐλάβομεν; Καὶ χάριν ἀντὶ χάριτος. Ὁρᾷς ὅπως χάριν καὶ οὐ φύσιν ἐλάβομεν; Τὴν μὲν γὰρ ὑπόστασιν τοῦ Λόγου μόνος ἐκεῖνος ὁ θεῖος ναὸς τοῦ Σωτῆρος ἡμῶν εἰς ἄκραν ἔσχεν ἕνωσιν, ἐπεὶ καὶ ὁ Λόγος ὑπόστασις γέγονε τῷ ἀνθρωπίνῳ αὐτοῦ, καὶ μόνος ὤφθη Θεάνθρωπος, καὶ μόνος τῇ ὑποστάσει οὗτος εἷς ἐκ δύο συνετέθη φύσεων, Θεὸς καὶ ἄνθρωπος ὤν. Οὐδεὶς δὲ ἕτερός τις εἴτε ἀγγέλων εἴτε βροτῶν Θεοῦ μετείληφε φύσεως. Χαρίτων δὲ μετέχουσι πάντες, καὶ τούτων ἀναλόγως, καὶ τῆς θείας ἐλλάμψεως· καὶ θεοὶ τελοῦσι πολλοὶ, πλὴν κατὰ χάριν. Εἰ οὖν καὶ τὸ Δεσποτικὸν σῶμα κτίσμα μένει καὶ ἑνωθὲν τῷ Δεσπότῃ, ὁμόθεον δὲ μόνον τοῦτό ἐστιν, ὡς ἄκρως ἡνωμένον τῷ Λόγῳ, καὶ ἐν τῇ ὑποστάσει αὐτοῦ συστὰν, πῶς τις τολμήσειεν ἄρα ὑπόστασιν δέξασθαι Θεοῦ εἰπεῖν; Εἰ γὰρ ὑπόστασις τὸ ἐμπνευσθὲν καὶ οὐ χάρισμα, ὑποστάσεως ἄρα τότε τοῦ Πνεύματος μετέσχον οἱ μαθηταὶ, καὶ τότε δὴ ὑπαρξάσης· ὅπερ πάσης βλασφημίας ἐστὶν ἐπέκεινα. Λοιπὸν ἐκ τοῦ πληρώματος λαβόντες ἡμεῖς καὶ χάριν ἀντὶ χάριτος, ἀντὶ τῆς νομικῆς δηλονότι αὐτὸν τὸν Θεὸν μεθ' ἡμῶν, καὶ ἀντὶ σκιᾶς τὴν ἀλήθειαν. Ἐπεὶ καὶ τοῦτό φησιν, « Ὁ νόμος, » λέγων, « διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο, » προστρέχωμεν τῇ χάριτι καὶ τῇ ἀληθείᾳ, καὶ τὰ τῆς χάριτος ὁμολογῶμεν, καὶ συντηρῶμεν ἑαυτοῖς τὴν χάριν· καὶ τοῖς Πατράσιν ἑπώμεθα, τοῖς ὑπὸ τοῦ Πνεύματος τοῦ θείου κεκινημένοις. Ἐπεὶ καὶ τὸ λαλῆσάν φασι, διὰ τῶν προφητῶν, εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Καὶ Ζαχαρίας τοῦτό φησιν ὁ τοῦ Προδρόμου γενέτης, περὶ τοῦ Πατρὸς, « Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν. » Καὶ ἡ τοῦ Θεοῦ Λόγου δὲ ὕμνησε κατὰ σάρκα Μήτηρ, « Καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, » λέγουσαν, « τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. » Καὶ ἐν ταῖς Πράξεσι δὲ γέγραπται· « Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος. » Ἐλάλησεν οὖν τὸ Πνεῦμα ὃ ἐξέχεεν ὁ Θεὸς ἐν ταῖς ἐσχάταις ἡμέραις ἐπὶ πᾶσαν σάρκα, ὡς ἔφησεν Ἰωὴλ, καὶ τὴν καθολικὴν Ἐκκλησίαν ἐπῳκοδόμησεν, ἥτις θεμέλιον μὲν ἔσχε τὴν δι' ἀποκαλύψεως ὁμολογίαν τοῦ Πέτρου, δι' ἣν καὶ Πέτρος οὗτος ὠνόμασται, τὸ, « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Αὕτη γάρ ἐστιν ἡμῶν ὁ θεμέλιος τῆς ἀληθοῦς ὁμολογίας, δι' ἣν καὶ αὐτὸς, ὡς παρὰ τοῦ Πατρὸς μαθὼν, μακαρίζεται, καὶ οἱ ταύτην λαβόντες ἡμεῖς, ἀσινεῖς διαφυλαχθέντες, ἐποικοδομηθέντες **44** ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, οἳ κατοικητήριον Πνεύματός ἐσμεν. « Ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε, » Παῦλός φησιν, « εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι. » Ὁρᾶτε; Ἡ Ἐκκλησία αὕτη ἐν τῇ Τριάδι ἐγήγερται· ἐν ᾧ καὶ ὑμεῖς τῷ Χριστῷ Ἰησοῦ συνοικοδομεῖσθε, « Παῦλός φησιν, αὐτῷ τῷ Υἱῷ δηλαδὴ, « εἰς κατοικητήριον τοῦ Θεοῦ, » ἤτοι τοῦ Πατρὸς, « ἐν Πνεύματι. » Φα-

A et in persona hujus constans, quis audebit dicere se personam Dei accepisse? Nam si insufflatum persona est, non gratia, personam ergo Spiritus participaverunt discipuli, quæ tunc quidem exsistere cœpisset, quod est ex blasphemiis impiissima. Igitur cum de plenitudine ejus acceperimus gratiam pro gratia, nempe pro legali ipsum nobiscum Deum, et pro umbra veritatem, prout dictum est: « Lex, inquit, per Moysen data est, gratia et veritas per Jesum Christum facta est, » curramus ad gratiam et veritatem, dona gratiæ confiteamur, et nobis ipsis gratiam custodiamus, Patresque sequamur quos divinus movebat Spiritus, quia quod protulerant prophetæ dixerunt: « In unam sanctam catholicam et apostolicam Ecclesiam. » Zacharias
B quoque Præcursoris genitor istud de Patre dixit: « Sicut locutus est per os sanctorum, qui a sæculo sunt, prophetarum ejus salutem ex inimicis nostris; » cecinit Mater Verbi Dei secundum carnem: « Sicut locutus est ad Patres nostros, Abraham et semini ejus in sæcula. » Et in Actibus scriptum est: « Quem oportet cœlum suscipere usque in tempora restitutionis omnium, quæ locutus est Deus per os sanctorum suorum a sæculo prophetarum. » Locutus est ergo Spiritus quem effudit Deus in novissimis diebus super omnem carnem, ut dixit Joel, et catholicam ædificavit Ecclesiam, quæ fundamentum habet confessionem Petri revelatione institutam, propter quam iste cognominatus est
C Petrus, scilicet: « Tu es Christus Filius Dei vivi. » Hæc est enim fundamentum veræ confessionis nostræ propter quam ipse Petrus utpote a Patre acceptam beatus dicitur, et nos qui eam accepimus in tuto positi, superædificati sumus super fundamentum apostolorum et prophetarum, ipso summo angulari lapide Christo Jesu, qui Spiritus habitaculum sumus; « In quo, ait Paulus, et vos coædificamini in habitaculum Dei in Spiritu. » Videtisne? Ipsa Ecclesia in Trinitate fundatur; « In quo et vos Christo Jesu coædificamini, » ait Paulus, videlicet Filio, « in habitaculum Dei, » id est Patris, « in Spiritu. » In his manifesta fit Trinitatis confessio, et Spiritus sanctus in ipsa loquitur Ecclesia. Quapropter tres congregati in nomine Jesu Christi ipsum habent in
D medio; et qui diligit Christum in Spiritu diligit; « Nemo enim potest dicere Dominum Jesum nisi in sancto Spiritu » est cum Patre et Filio et Spiritu sancto, et Trinitas in eo est, non natura quidem, sed gratia. « Ego enim, inquit, et Pater veniemus et mansionem apud eum faciemus. » Igitur catholica est Ecclesia, non Romana, neque Hierosolymitana, neque Constantinopolitana est, nec Antiochena, nec Alexandrina, sed catholica est et una; quæ simul sancta est et apostolica, sanctitatem quidem habens ex sancto Spiritu, apostolicam vero dignitatem ex apostolorum prædicatione. Quæ cum habeat verum veritatis integrum, sermonibusque polleat apostolicis, et sanctificatione Spiritus gaudeat, ipsa una et sancta atque apostolica, seu ma-

gis Jesu Christi est Ecclesia qui apostolos elegit A sanctoque Spiritu confirmavit. In quo Christo Jesu utpote vivo et electo summo angulari lapide omnis ædificatio constructa crescit in templum sanctum, in Domino, prout dixit Paulus : « Et fundamentum aliud nemo potest ponere præter id quod positum est, quod est Christus Jesus ; » et : « Si quis vobis evangelizaverit præter id quod accepistis, anathema sit. » Igitur servanda est, fratres, hæc fides quæ fundamentum quidem habet Christum, honorabiles vero lapides apostolos et prophetas divinumque omnem chorum nempe pontificum et martyrum, præconum atque justorum ac universam sanctorum coronam. Cujus fidei sinceram et irreprehensibilem confessionem, cum, sicut dictum est, ex prophetis, apostolis et Patribus fuerit desumpta, B ne novis lædamus utpote in Spiritu signatam caveamus. Nam primum quidem concilium incepit symbolum et enuntiavit ; secundum vero illud enucleavit, seu magis circa incarnationem Verbi sanctumque Spiritum perfecit. Quoniam abunde traditus est sermo de religione, fideique signum ex divinis Scripturis santissimoque Evangelio obsignatum fuit, firmum et omnino inconcussum ad punctum piis omnibus illud esse creditum est ; quod esse signum veræ et orthodoxæ confessionis Patribus placuit, audacesque fidem aliam inducere tentantes anathemate feriendos declaraverunt.

νερῶς ἐν τούτῳ ἡ Τριὰς ἀνομολογεῖται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν ταύτῃ λαλεῖ τῇ Ἐκκλησίᾳ. Διόπερ δύο καὶ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ αὐτὸν ἔχουσι μέσον. Καὶ ὁ ἀγαπῶν τὸν Χριστὸν ἐν Πνεύματι ἀγαπᾷ· οὐ γὰρ δύναταί τις εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, μετὰ τοῦ Πατρός ἐστι καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Καὶ ἡ Τριάς ἐστιν ἐν αὐτῷ, οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ χάριτι. « Ἐγὼ » γὰρ « καὶ ὁ Πατήρ, » φησίν, « ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. » Καθολικὴ τοίνυν Ἐκκλησία οὐχὶ Ῥώμη καὶ Ἱερουσαλὴμ. οὐδέ γε ἡ Κωνσταντίνου καὶ Ἀντιόχου καὶ Ἀλεξάνδρου, ἀλλ' ἡ καθολικὴ καὶ μία, καὶ αὕτη ἁγία καὶ ἀποστολική, τὸ ἅγιον μὲν ἐκ τοῦ ἁγίου Πνεύματος ἔχουσα, τὸ ἀποστολικὸν δὲ ἐκ τοῦ τῶν ἀποστόλων κηρύγματος. Ἡ τὸν λόγον τοίνυν ὀρθοτομοῦσα τῆς ἀληθείας, καὶ τοὺς ἀποστολικοὺς κρατύνουσα λόγους, καὶ τὸν ἁγιασμὸν τοῦ Πνεύματος ἔχουσα, αὕτη μία καὶ ἁγία Ἐκκλησία καὶ ἀποστολική ἐστι· μᾶλλον δὲ Ἰησοῦ Χριστοῦ, τοῦ τοὺς ἀποστόλους ἐκλεξαμένου, καὶ τῷ ἁγίῳ ἐνισχύσαντος Πνεύματι. Ἐν ᾧ Ἰησοῦ Χριστῷ ὡς ζῶντι ἀκρογωνιαίῳ λίθῳ καὶ ἐκλεκτῷ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, καθάπερ Παῦλός φησι· « Καὶ θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός· » καί, « Εἴ τις εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. » Τηρητέον τοίνυν ταύτην τὴν πίστιν, ἀδελφοί, ἣ Χριστὸν μὲν ἔχει θεμέλιον, λίθους δέ γε τιμίους τοὺς ἀποστόλους τε καὶ προφήτας, καὶ πάντα δὴ θεῖον χορὸν ἱεραρχῶν φημι καὶ μαρτύρων, κηρύκων τε καὶ ὁσίων, καὶ πᾶν ἁγίων συνάθροισμα. Ἧς δὴ πίστεως ὁμολογίαν ἀκραιφνῆ τε καὶ ἄμεμπτον, ὡς ἐκ τῶν προφητῶν οὖσαν καὶ ἀποστόλων, ὡς εἴρηται, καὶ Πατέρων, μὴ καινοτομήσωμεν ὡς ἐν Πνεύματι σφραγισθεῖσαν. Καὶ γὰρ τῆς πρώτης συνόδου ἀρξαμένης τε καὶ ἐκθεμένης τὸ Σύμβολον, ἡ δευτέρα τοῦτο σαφηνίσασα, πλέον περὶ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως καὶ τοῦ ἁγίου Πνεύματος τετελείωκε. Καὶ ἐπειδήπερ ὁ περὶ τῆς εὐσεβείας ἱκανῶς ἐξεδόθη λόγος, καὶ τὸ σημεῖον τῆς πίστεως ἀπὸ τῶν θείων Γραφῶν καὶ τοῦ ἱερωτάτου Εὐαγγελίου ἐσφράγισται, βέβαιον καὶ πάντῃ ἀκίνητον ἄχρι καὶ κεραίας ἔδοξε πᾶσιν εἶναι τοῖς εὐσεβοῦσι. Καὶ τοῦτο σημεῖον εἶναι ὁμολογίας ἀληθοῦς τε καὶ ὀρθοδόξου παρὰ τῶν Πατέρων ἐστέρχθη, καὶ τοῖς τολμῶσιν ἑτέραν πίστιν τοῖς ἐπιστρέφουσιν ἐκτιθέναι ὑποκεῖσθαι τῷ ἀναθέματι.

C

CAPUT XXVI.

De tertia synodo.

Quamobrem tertium ex œcumenicis concilium ducentis Patribus constans, cui præfuit Cyrillus, nequaquam fidem aliam protulit, sed eam quæ a Patribus tam in primo Nicææ quam in secundo Constantinopolis concilio signata fuerat, firmam solamque divinam habuit ; veritates quidem quarum causa vocati erant, de incarnatione Unigeniti, proprio statuto stabilivit, nihil autem prorsus Symbolo addidit, et impium Nestorium qui impia inaniter spargebat dogmata, nostramque arctam cum natura divina adunationem atque salutem negabat, rejecit.

ΚΕΦΑΛ. ΚϚʹ.

Περὶ τῆς τρίτης συνόδου.

Τοίνυν οὐδὲ ἡ τρίτη τῶν οἰκουμενικῶν συνόδων ἐν Πατράσι διακοσίοις, Κύριλλον ἔξαρχον ἔχουσα, ἑτέραν πίστιν ἐξέθετο, ἀλλὰ ταύτην τὴν ὑπὸ τῶν ἐν Νικαίᾳ καὶ τῶν ἐν τῇ Κωνσταντίνου τῆς δευτέρας συνόδου βεβαίαν καὶ μόνην θείαν πίστιν ἡγήσατο· καὶ τὰ περὶ ὧν αὐτοῖς ἡ ζήτησις, περὶ τῆς σαρκώσεως τοῦ Μονογενοῦς, ἐν ἰδίῳ ἔθετο ὅρῳ, μηδὲν τῷ Συμβόλῳ προσθεῖσα τοσύνολον· καὶ τὸν δυσσεβῆ Νεστόριον ἀπεβάλετο ἀσεβοῦντα διακενῆς, καὶ τὴν θέωσιν ἡμῶν καὶ σωτηρίαν ἀρνούμενον.

D

CAPUT XXVII.

De quarta synodo.

Magnum autem in Chalcedone quartum concilium cui sexcenti et triginta Patres adfuerunt, manifestius de divino hoc Symbolo disserens, nihil ei adjecit, sed illud veneratione prosequitur, et capita quorum gratia congregatum fuit explanat, di-

45 ΚΕΦΑΛ. ΚΖʹ.

Περὶ τῆς τετάρτης συνόδου.

Καὶ ἡ μεγάλη τετάρτη ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα ἀριδηλότερον περὶ τοῦ θείου τούτου Συμβόλου διεξοῦσα, οὐδὲν τούτῳ προστίθησιν. Ἐπεῖται δὲ τοῦτο σεβαζομένη, καὶ τὰ περὶ ὧν ἠθροίσθη ἐν ἑτέρῳ ὅρῳ διασαφεῖ, συνεργὸν μὲν δι' ἐπιστολῆς

τὸν θεῖον Λέοντα πάππαν ἔχουσα, καὶ τοὺς αὐτοῦ τοποτηρητάς, Διόσκορον δὲ Ἀλεξανδρείας καὶ Εὐτυχῆ πρεσβύτερον καὶ τοὺς σὺν αὐτοῖς καθαιροῦσα.

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῆς πέμπτης συνόδου.

Καὶ ἡ πέμπτη δὲ τῶν ἑκατὸν ἑξήκοντα ἁγίων Πατέρων, ἧς Ἀγαπητὸς πάππας ἔξαρχος ἐν τῇ Κωνσταντίνου, κατὰ τοῦ Ὠριγένους καὶ Διδύμου τε καὶ Εὐαγρίου, παλαιῶν τινων τὴν κακίαν, περί τε ἀναστάσεως νεκρῶν καὶ πλείστων ἄλλων ζητήσεων ἀθροισθεῖσα, τὰ ὅμοια ταῖς πρὸ αὐτῆς περὶ τοῦ ἱεροῦ Συμβόλου νενομοθέτηκεν.

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ τῆς ἕκτης τε καὶ ἑβδόμης συνόδου.

Ἡ ἕκτη δὲ τῶν ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἑβδόμη τῶν τριακοσίων ἑξήκοντα, ὧν ἡ μὲν ἐν τῇ Νέᾳ Ῥώμῃ τῇ Κωνσταντίνου κατά τε Ὀνωρίου τῆς παλαιᾶς Ῥώμης καὶ Σεργίου καὶ Πύῤῥου τῆς Κωνσταντινουπόλεως, καὶ λοιπῶν ἄλλων Μονοθελητῶν, ἡ δὲ, ἐν Νικαίᾳ τὸ δεύτερον, κατὰ τῶν δυσσεβῶν εἰκονομαχούντων, ἀριδηλότερόν τε καὶ μετὰ πολλοῦ ζήλου τὰ περὶ τοῦ θείου Συμβόλου ἐξέθετο. Καὶ ἡ μὲν ἕκτη λέξεσιν αὐταῖς καὶ τὸ τῆς πρώτης συνόδου ἐκτίθησι Σύμβολον καὶ τὸ τῆς δευτέρας, καὶ μηδὲν τούτῳ προσθεῖναι διακελεύεται· ἡ δέ γε ἑβδόμη, ἓν ἔχουσα τὸ τῆς πρώτης τε καὶ δευτέρας, ὅπερ δὴ καὶ ἐπ' ἐκκλησίας κηρύττομεν, λέξεσιν αὐταῖς αὐτὸ γράφει. Καὶ τοὺς προσθήσοντας ἐν τούτῳ ἢ ἀφελόντας, ἱερωμένους μὲν καθαιρέσει καὶ κληρικοὺς, λαϊκοὺς δὲ καθυποβάλλει τῷ ἀναθέματι. Οὕτω τὸ σεπτὸν τοῦτο συνεκροτήθη πάντοθεν Σύμβολον, καὶ ὑπὸ τῶν Πατέρων ἐπισφραγισθὲν, ἐκηρύχθη, καὶ τοῖς θαύμασιν ἐκείνων καὶ λόγοις ἐβεβαιώθη, καὶ τοῖς συγγράμμασι καὶ τῷ τέλει. Τοῦτο γὰρ καὶ βαπτιζόμενοι, ὡς εἰρήκαμεν, ἐπ' ἐκκλησίας καθωμολόγησαν, καὶ τὴν ἱερωσύνην δεχόμενοι, προεκήρυξαν, καὶ τελευτῶντες ὡς ἐφόδιον ὡμολόγουν, καὶ Θεῷ δῶρον παρεῖχον ἐπιτελεύτιον, ὧν καὶ τὰ λείψανα, καὶ τὰ μέχρι τοῦ νῦν δι' αὐτῶν ἰάματά τε καὶ θαύματα τὸ θεῖον τοῦτο Σύμβολον ἐπιμαρτυροῦσι, δι' οὗ καὶ τὴν εἰρήνην ἡ Ἐκκλησία ἐκέκτητο, καὶ τὰ μέλη τοῦ Χριστοῦ ἡνωμένα ἀλλήλοις ἦσαν, καὶ Χριστὸς ἡ εἰρήνη ἡμῶν ὡς κεφαλὴ ἦν τοῖς μέλεσιν αὐτοῦ ἡνωμένος καθόλου καὶ εὐφραινόμενος ἐν αὐτοῖς. Τὸ δὲ φιλοπρωτεύειν, καὶ τῶν ἀδελφῶν ὑπεραίρεσθαι καὶ ὑπερφρονεῖν, καὶ οὐχ ἐπὶ τὴν καθέδραν τοῦ Πέτρου, ἀλλ' ἐπὶ τῶν νεφελῶν καὶ ὑπεράνω δοκεῖν καθέζεσθαι, καὶ ἡ ἰσοθεΐα, ὡς καὶ τὸ ἀποθνήσκειν τοῖς ἀνθρώποις πρότερον, καὶ νῦν τὸ ἀποθνήσκειν πολλοὺς πολλῷ χαλεπώτερον ἀπειργάσατο· καὶ τὸ κινδυνεύειν καταπεσεῖν τὴν Ἐκκλησίαν, καὶ Χριστοῦ διασπασθῆναι τὰ μέλη, καὶ ἔχθραν τεθεῖναι ἀναμέσον τῶν τῆς εἰρήνης υἱῶν, οὓς ἐν ἀγάπῃ Θεὸς ἡ ἀγάπη συνήγαγε, μὴ φεισάμενος τοῦ ἀγαπητοῦ, βαβαὶ τῆς δαιμονικῆς ἐπηρείας! καὶ συλλογισμοὶ ἐπὶ τούτοις τῶν ἀθέων Ἑλλήνων, οἱ τὴν πολυθεΐαν πάλαι ἢ μᾶλλον ἀθεΐαν εἰπεῖν συγκροτήσαντες, καὶ διαβολαὶ ῥητῶν γραφικῶν, καὶ παρερμη-

A vum quidem Leonem papam adjuvantem habens vicemque ejus præstantes, Dioscorum vero Alexandrinum et Eutychen presbyterum eorumque asseclas subvertens.

CAPUT XXVIII.

De synodo quinta.

At quintum concilium ad quod centum et septuaginta Patres sancti convenerunt, cui præfuit Agapetus papa in civitate Constantini, contra Origenem, Didymum et Evagrium, viros malitia veteres, necnon resurrectionis mortuorum causa pluriumque aliorum capitum similia de sancto Symbolo statuit ac concilia prius convocata.

CAPUT XXIX.

De synodo sexta et septima.

B Sextum concilium, cui centum et sexaginta quinque Patres, et septimum, cui trecenti et sexaginta adfuerunt, illud quidem novæ Romæ a Constantino ædificatæ adversus Honorium veteris Romæ episcopum atque Sergium et Pyrrhum Constantinopolitanum cæterosque alios Monotheletas, hoc vero iterum Nicææ adversus impios imaginum eversores convocatum fuit, palam multo studio ea quæ ad divinum Symbolum spectant declaraverunt. Sextum quidem primi et secundi concilii Symbolum firmavit, et ne quid adderetur prohibuit. Septimum autem unum primi secundique concilii Symbolum habens quod in ecclesia prædicamus, hoc suis scripsit litteris, eique audentes quidquam C addere vel ab eo detrahere sacerdotes quidem et clericos a dignitate dejicit, laicos vero anathemati subjicit. Itaque augustum illud Symbolum undique fuit conclamatum et a Patribus obsignatum, necnon ab eisdem prædicatum atque miraculis eorum et verbis scriptisque ac morte firmatum. Istud enim, sicut diximus, et baptizati in ecclesia confessi sunt, et sacerdotio initiati prædicaverunt, et morientes ut viaticum habuerunt, Deoque ultimum munus obtulerunt; quorum reliquiæ et sanationes atque miracula per eas impleta divinum illud Symbolum testantur, quo pacem Ecclesia consecuta est, et membra Christi sibi invicem conjuncta sunt, Christusque pax nostra factus est; nam arcte ut caput membris suis adunatus in ipsis delecta- D batur. Primatum autem amare, fratribus superbia et contumacia insultare, nequaquam super cathedram Petri, sed super nubes vel etiam sublimius considere videri, Deo sese assimilare, perinde ac olim mortem in mundum induxit, ita et nunc multos morte multo graviore affecit; inde Ecclesia exitio periclitata est, Christi membra dilacerata sunt, inimicitia inducta est inter filios pacis quos in charitate Deus qui charitas est congregavit, suam effundens charitatem. Heu! quanta a dæmone pernicies! et argumenta de hac materia Græcis atheis digna, qui multos olim deos seu potius nullum colebant, et Scripturæ vocum depravationes, et sermonum Patrum falsæ interpretationes, solummodo ut superbiam tuerentur! O homo, omnes uno animo

A clamaverunt Patres, non semel tantum vel bis aut ter, sed et pluries, sicut nosti, quam agendi rationem testatus est Deus, tu autem divinum sancti Patris Verbum pravando frustraris, vi cogens ut non de illo capite bene, vero de alio prolatum fuerit, illudque aliena cogitatione adigis ut secundum tuam errantem opinionem cogitet et cogitetur! Ergo temetipsum seducis. Et si protuleris Cyrillum aut Basilium, vel vere magnum Athanasium et Augustinum, et Ambrosium, ego etiam tibi ipse ante te profero, vel etiam multo plures, quoniam in ipsis ego potius confidenter gloriabor, et argumenta tua Græcis digna quibus gloriaris ex mente repudio; ego vero in honorem causæ meæ alios adhuc qui ante dictos Patres vixerunt proponam, nempe B Dionysium, et cum ipso Jerotheum, necnon signorum opificem Gregorium, Justinum philosophum et martyrem, ejusque antecessores et coætaneos, insuper Gregorium et Gregorium, Joannem ore aureum, Maximum et Joannem philosophos, universumque cum ipsis Patrum chorum. Tu quidem stabis contentione disputans et argumentis insolescens; ego autem dicam te Scripturas et Patres falsa explicatione corrumpere et aspernari, Græcorumque non Patrum esse discipulum. Attamen, si vellem, ego quoque habeo argumenta tuis præstantia quibus dejiciantur sophisticæ tuæ ratiunculæ, illa autem rejicio, et demonstrationes ex Patribus eorumque sermonibus componam. Tu quidem Aristotelem et Platonem vel etiam quemdam ex C novis tuis doctoribus repones; sed ego tibi piscatores opponam eorumque prædicationis sinceritatem, et veram sapientiam quam tu stultitiam judicas, vel etiam simpliciter pietatis mysterium quod Paulus magnum esse recte prædicat, et sapientiam tuam stultam faciam, et dicam: « Deum nemo vidit unquam; mane in eis quæ didicisti et considera, sciens a quo didicisti; stultas quæstiones devita; præcipio tibi coram Christo Jesu, serva bonam confessionem; et fundamentum aliud nemo potest ponere præter id quod positum est; si quis evangelizaverit vobis præter id quod accepistis, anathema sit. » Et tu quidem ita reverteris vacuus, ego vero gloriabor in gloria Patrum meorum, non D enim evacuata fuit crux Christi, etsi ejus prædicatio quibusdam stultitia videatur. Unde accepimus quod accepimus? A Spiritu. Et quicunque Spiritu Dei aguntur, ii sunt filii Dei, quarum sententiarum fines protrahere non oportet. Vide igitur ne stultus fias filius, qui natus es ex Patribus qui te in Spiritu genuerunt, neque videaris generatio prava atque perversa eorum qui minime quæ Domini sunt, sed quæ sua sunt quærunt, qui non in ædificationem, sed in destructionem ambulant. Sed quid tibi vult multa hæc contentio? Deum noscere? Nosce sicut didicisti. Eum sicuti est cognoscere? Sed nunquam istud discere poteris; est enim incomprehensibilis, et non tibi tantum, sed et angelis, quod tibi ostendit doctor lingua aureus; si istum eique simi-

νεῖαι πατρικῶν λόγων, 46 ἵνα μόνον τὸ τῆς ὑπερηφανίας ἐπεκδικήσωσιν. Ἄνθρωπε, πάντες ὁμοῦ συνεφώνησαν οἱ Πατέρες, καὶ οὐ μίαν ἢ δὶς μόνον ἢ τρὶς, ἀλλὰ καὶ ἑπτάκις, ὡς οἶσθα. Καὶ τὸ παρ' αὐτῶν Θεὸς μεμαρτύρηκε. Σὺ δὲ κλέπτεις ῥητόν τι θεῖον κακουργῶν ἁγίου Πατρὸς, ἀναγκαίως ὑπὲρ ἑτέρου ζητήματος, καὶ οὐχ ὑπὲρ τούτου αὐτῷ ῥηθέντος, καὶ καθ' ἑτέραν ἔννοιαν, καὶ τοῦτο βιάζῃ νοεῖν καὶ νοεῖσθαι κατὰ τὴν πεπλανημένην δόξαν τὴν σήν; Φρεναπατᾷς οὖν ἑαυτόν. Καὶ εἰ προφέρεις Κύριλλον ἢ Βασίλειον, ἢ Ἀθανάσιον τὸν ἀληθῶς μέγαν, καὶ Αὐγουστῖνόν τε καὶ Ἀμβρόσιον· καὶ αὐτός σοι γὰρ τούτους πρὸ σοῦ προφέρω, καὶ ἔτι τοὺς πλείονας, ἐπεὶ καὶ ἐπὶ τούτοις μᾶλλον θαῤῥῶν ἐγὼ καυχῶμαι. Καὶ τὰ Ἑλληνικά σου σοφίσματα οἷς αὐτὸς ἐγκαυχᾷ, ἀποστρέφομαι ἐκ ψυχῆς. Προσθήσω δὲ ὑπὲρ ἐμοῦ καὶ τοὺς πρὸ τῶν εἰρημένων ἄλλους ἁγίων, Διονύσιόν φημι, καὶ Ἱερόθεον σὺν αὐτῷ, καὶ τὸν Θαυματουργὸν Πατέρα Γρηγόριον, καὶ τὸν φιλόσοφον Ἰουστῖνον καὶ μάρτυρα, καὶ τοὺς πρὸ τούτου καὶ σὺν τούτῳ· ἔτι τε Γρηγόριον καὶ Γρηγόριον, Ἰωάννην τε τὸν χρυσοῦν, καὶ Μάξιμον καὶ Ἰωάννην τοὺς φιλοσόφους, καὶ σὺν αὐτοῖς πάντα τὸν τῶν Πατέρων χορόν. Καὶ σὺ μὲν στήσῃ φιλονεικῶν, καὶ συλλογισμοῖς φρυαττόμενος· ἔγωγε δὲ ὡς παρερμηνεύεις καὶ διαβάλλεις ἐρῶ τὰς Γραφὰς καὶ τοὺς Πατέρας, καὶ ὡς τῶν Ἑλλήνων καὶ οὐ τῶν Πατέρων μαθητὴς εἶ. Καίτοι γε εἰ βουλοίμην, καὶ συλλογισμοὺς ὑπὲρ τοὺς σοὺς κατὰ τῶν σῶν λογισμῶν τῶν σοφιστικῶν κέκτημαι. Ἀποῤῥίπτω δὲ τούτους, ὡς μὴ διὰ τῆς θύρας εἰσερχομένους, καὶ τὰς ἀποδείξεις ἐκ τῶν Πατέρων καὶ τῶν ἐκείνων σοι λόγων ποιήσομαι. Καὶ σὺ μὲν ἀντιφήσεις τὰ Ἀριστοτέλους καὶ Πλάτωνος, ἔτι δὲ καὶ τῶν νέων σου διδασκάλων· ἐγὼ δέ σοι τοὺς ἁλιεῖς ἀντιθήσω, καὶ τὸ ἁπλοῦν αὐτῶν τοῦ κηρύγματος, καὶ τὴν ὄντως σοφίαν, δοκοῦσαν δέ σοι μωρίαν. Καὶ ἔτι τὸ τῆς εὐσεβείας μυστήριον ἐν ἁπλότητι, ὅπερ ὁ Παῦλος μέγα εἶναι ὁμολογουμένως μαρτυρεῖ. Καὶ τὴν σοφίαν σου μωρανῶ. Καὶ, « Τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε, » προσθήσω. Καὶ, « Μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες. » Καὶ τὸ, « Τὰς μωρὰς ζητήσεις παραιτοῦ. » Καὶ παραγγέλλω σοι ἐνώπιον Ἰησοῦ Χριστοῦ, φύλαξον τὴν καλὴν ὁμολογίαν. Καὶ θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον. Καὶ εἴ τις εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Καὶ οὕτω σὺ μὲν ἀπελεύσῃ κενὸς, ἐγὼ δὲ δοξασθήσομαι ἐν τῇ τῶν Πατέρων μου δόξῃ. Οὐ γὰρ μὴ κενωθῇ ποτε ὁ σταυρὸς τοῦ Χριστοῦ, εἰ καὶ μωρία δόξει τισὶ τὸ κήρυγμα. Πόθεν δὲ παρελάβομεν ὃ παρελάβομεν; Ἀπὸ τῶν τοῦ Πνεύματος. Καὶ, « Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. » Καὶ οὐ δεῖ μεταίρειν τούτων τὰ ὅρια. Ὅρα τοίνυν μὴ μωμητὸν γένῃ τέκνον, κατὰ τῶν γεγεννηκότων ἐν Πνεύματι γεγονὼς, καὶ γενεὰ σκολιὰ καὶ διεστραμμένη ὀφθῇς, καὶ τῶν μὴ ζητούντων τὰ τοῦ Κυρίου, ἀλλὰ τὰ ἑαυτῶν, καὶ τῶν οὐκ εἰς οἰκοδομὴν περιπατούντων, ἀλλ' εἰς καθαίρεσιν. Ἀλλὰ τί σοι βούλεται τὸ πολὺ τῆς φιλονεικίας; Θεὸν εἰδέναι;

Γνῶθι ὡς ἔμαθες. Ἀλλ' ὡς ἔστιν; Οὐ μὴ δυνηθῇς μαθεῖν. Καὶ γὰρ ἀκατάληπτος· καὶ οὐ σοὶ μόνον, ἀλλὰ καὶ τοῖς ἀγγέλοις. Καὶ ὁ χρυσοῦς τὴν γλῶτταν περὶ τούτου διδάσκει σε, εἴ γε καὶ μέλει σοι τούτου καὶ τῶν ὁμοίων αὐτῷ, καὶ μὴ καὶ ὑπὲρ τούτους δοκεῖς παρὰ σεαυτῷ φρονεῖν. Ἀλλὰ τίς Θεοῦ οἶδε φύσιν, ἢ ἐξηγόρευσε; Πείσθητι λοιπὸν τοῖς τοῦ Θεοῦ φίλοις, οἷς αὐτὸς ἑωράθη ὅσον δυνατὸν ἦν, ὡς καὶ Μωϋσῇ πρότερον, οἷς ἀπεκαλύφθη, ὡς καὶ τῷ Πέτρῳ, οἷς ἐμφανὴς γέγονεν, ὡς τῷ Παύλῳ καὶ τοῖς ὁμοίοις Παύλῳ. Καὶ πείσθητι τούτῳ τῷ Παύλῳ ὡς εἰς οὐρανοὺς ἀνελθόντι ὑπὲρ σὲ (θαῤῥῶ λέγειν), καὶ τῶν ἀποῤῥήτων ἀκούσαντι κρεῖττόν σου καὶ κηρύσσοντι, « Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν **47** καὶ ὑπείκετε. » Ἡγούμενος δὲ τῶν ψυχῶν ἡμῶν οὗτός τε καὶ οἱ τῆς εὐσεβείας Πατέρες, οἱ ὁμοῦ πάντες τὸ τῆς πίστεως ἐξέθεντο Σύμβολον, καὶ οἳ τοῦτο καθωμολόγουν, καὶ οἳ ὁμοῦ ἐπεσφράγιζον. Εἰ δ' οὖν, αὐτῶν παρακούων, καὶ αὐτοὺς ἀθετῶν, Χριστὸν ἀθετεῖς, ὁ Χριστὸς ἔφη, Χριστοῦ παρακούεις, καὶ τῶν Πενταπολιτῶν ἐκεῖσε χεῖρον κατακριθήσῃ. Ἀνεκτότερον γὰρ ἔσται Σοδόμοις ἢ Γομόῤῥοις, φησὶν, ἐν ἡμέρᾳ κρίσεως ἢ τοῖς μὴ δεξαμένοις τὸ κήρυγμα. Κήρυγμα δὲ Χριστοῦ, ὡς τὸ τῶν ἀποστόλων καὶ τῶν Πατέρων. Καὶ εἰ ὁ σκανδαλίζων ἕνα τῶν μικρῶν ἀδελφῶν, ἔνοχος κατακρίματος τηλικούτου, ὁ τοσούτους σκανδαλίζων καὶ διασπῶν ὁποίου; Γένοιτο δὲ ταπεινωθέντα σε τῇ μιμήσει τοῦ εἰρηνικοῦ τε καὶ πράου ἐπανελθεῖν καὶ ἑνωθῆναι τοῖς κατὰ Θεὸν ἀδελφοῖς, καὶ ἓν γενέσθαι μετὰ Χριστοῦ καὶ αὐτῶν, καὶ τῶν τοῦ Χριστοῦ θεραπόντων, ἡμῶν δὲ Πατέρων, τὸ παρ' ἐκείνων ἐκτεθὲν, ὡς ἐξέθεντο, ἀνομολογήσαντα Σύμβολον ὀρθοδόξως, ἵνα καὶ ὧδε κἀκεῖ ἓν ὦμεν ἐν Χριστῷ Ἰησοῦ, ὡς ὁ Χριστὸς ηὔξατο.

les in numero putaveris, noli saltem in mente tua cogitare te illis majora cognoscere. Sed quis naturam Dei vidit vel patefecit? Cæterum crede amicis Dei quibus ipse quantum fieri poterat apparuit, ut prius Moysi, quibus revelatus est, ut Petro, quibus manifestus factus est, ut Paulo et Paulo similibus; crede huic Paulo qui licet in cœlum altius quam tu (confidenter dico) ascenderit, et ineffabilia magis quam tu audiverit: « Obedite, inquit, præpositis vestris et subjacete eis. » Præpositus animarum nostrarum ille est omnesque pietatis Patres, qui omnes simul fidei Symbolum constituerunt, qui illud confessi sunt, qui illud simul obsignaverunt. Igitur si istos aspernans, istosque rejiciens, Christum aspernaris, ut ait Christus, Christumque rejicis, pejus Pentapolitanis judicium habebis; nam tolerabilius erit terræ Sodomorum et Gomorrhæorum, inquit, in die judicii quam eis qui non receperunt prædicationem, nempe prædicationem Christi, cum ab Apostolis et Patribus facta fuerit. Et si quis scandalizaverit unum ex pusillis fratribus reus erit tantæ damnationis, quantæ qui tot scandalizaverit et in prava distraxerit. Utinam temetipsum humilians ad exemplum pacifici mansuetique Salvatoris, redux convenias ad eos qui secundum Deum fratres sunt, et unum fias cum Christo et illis Christique famulis Patribus nostris, definitum ab eis quale declaraverunt Symbolum recta fide confessus, ut hic et illic unum simus in Christo Jesu, prout deprecatus est Christus.

Κληρικός. Χάρις τῷ Θεῷ, δέσποτα. Ἱκανῶς γὰρ τὰ περὶ τῆς Λατινικῆς καινοτομίας ἐμάθομεν, καὶ ὡς οὐ κατὰ πίστιν αὕτη σφάλλεται μόνον, ἐπεὶ κατὰ τοῦ ἱεροῦ κινεῖται Συμβόλου τῆς πίστεως, ἀλλὰ καὶ κατὰ πάντων σχεδὸν τῶν ἐθῶν τε καὶ παραδόσεων τῆς ἱερᾶς Ἐκκλησίας. Λοιπὸν προσεκτέον ἔσται ἡμῖν τὰ περὶ τῆς κοινωνίας αὐτῶν, καὶ τὸ περὶ τῆς λεγομένης ἑνώσεως δέον καλῶς ἐξετάσαι.

Clericus. Deo gratias, domine. Nam satis ea quæ a Latinis novata sunt didicimus, et novimus eos non solummodo secundum fidem nutare, cum sacrum fidei Symbolum violaverint, sed etiam ferme secundum omnes sanctæ Ecclesiæ consuetudines et traditiones. Superest ut de eorum communione instruamur, et diligenter oportet de dicta adunatione inquirere.

Ἀρχιερεύς. Δέον, ἀδελφὲ, ἐπεὶ οὐδ' ἁπλῶς τοῖς πρὸ ἡμῶν ἡ διάστασις γέγονεν. Οἶδας γὰρ, ὡς καὶ ὁ τῆς ἑνώσεως δηλοῖ Τόμος, ὅπως χάριν δευτέρου καὶ τρίτου γάμου, ἔτι δὲ καὶ τετάρτου, οἷον σχίσμα γεγένηται καὶ ἐπὶ πολλοῖς, ὡς μανθάνομεν, ἔτεσι, καὶ περὶ ζητημάτων δέ τινων ἄλλων μικρῶν δοκούντων πολὺς ζῆλος ἐγεγόνει τινῶν. Εἰ οὖν περὶ τῆς κατὰ τὴν πολιτείαν τῶν εὐσεβῶν ἡμῶν εὐταξίας πολὺς ὁ λόγος πολλάκις γέγονεν, ὅτι καὶ βίος παρ' ἡμῖν ὡς καὶ ἡ πίστις κηρύττεται, πολλῷ δὴ μᾶλλον ἔσται περὶ τῆς πίστεως.

Pontifex. Hoc sane, frater, est necessarium, cum non semel prioribus nostris facta sit disjunctio; scis enim, prout aperit liber unionis, quoniam occasione secundi et tertii vel etiam quarti conjugii quoddam schisma per multos, ut discimus, annos ortum est, et circa alias quasdam quæstiones quæ leves videntur, nonnulli magnum exprompsere studium. Igitur si propter disciplinam piamque conversationem nostram multa pluries data est opera, quoniam agendi regula sicut et credendi apud nos prædicatur, quanto magis de fide curandum est.

Κληρικός. Οὕτως ἡ ἀλήθεια ἔχει, Πάτερ. Πλὴν ἔτι δεόμεθα, δίδαξον ἡμᾶς εἰ ἀνεφύη καὶ ἄλλο τι κατὰ τῆς ὀρθοδόξου ζιζάνιον πίστεως μετὰ τοῦτο δὴ τὸ Λατίνων.

Clericus. Ita, Pater, sese habet veritas. Sed adhuc deprecamur, doce nos an post zizaniam a Latinis seminatam alia etiam contra sinceram sanctamque fidem creverit.

CAPUT XXX.

Contra Barlaamum et Acindynum horumque similes divinam sacrosanctæ Trinitatis gratiam impie reprobantes.

Pontifex. Etiam, frater, variæ ortæ sunt hæreses quæ velut mali carbones rore divinæ gratiæ fuerunt exstinctæ. Ultimum vero incendium idololatrica Nabuchodonosor fornace damnosius ab impiis Barlaam et Acindyno fuit conflatum, qui, dum more Græcorum (1) opinarentur, eorum errores exsuscitaverunt, et falsam sapientiam, quam melius stultitiam appellaveris, renovaverunt.

Clericus. De hac hæresi, domine, disserentem libenter audiemus. Quænam sit et quomodo inceperit discere desideramus.

Pontifex. Quænam sit et quomodo inceperit, nos quidem dicere non oportet; sacra vero annalium monumenta qui legere voluerit quæ orthodoxa Christi erexit Ecclesia, omnia prorsus agnoscet, primum quidem illa quæ contra impium illum Barlaam Calabrum statuta sunt; deinde vero quæ contra periclitatum in eadem ac Barlaam materia valdeque periculosum Acindynum; tertio autem quæ contra tertium et pluries (quoniam pluries per eum aliosque similes varios hæresiarchas tumultus passa est Ecclesia Christi), pluries, inquam, nimisque secundum animam emortuum necnon impietatis pondere gravique somno oppressum Gregoram apparata sunt; hic noscet quam diversa, quam dolosa, quam simul impia et damnosa fuerit hæresis ista, quis fuerit (ejus) machinator, quinam ex ea creverint rami non steriles tantum terramque pietatis exinanientes, sed et spinosi nimisque asperi necnon molesti et Ecclesiæ plantationem dilacerantes.

CAPUT XXXI.

De S. Gregorio Thessalonicensi Thaumaturgo.

Qui tamen voluerit rem planius cognoscere, melius discet ex scriptis illius qui velut sol alius in terra in illo tempore ortus est, capax qui verbo et exemplo obscuram impietatis noctem fugaret. Iste est Gregorius sapientissimus qui postea Thessalonicæ præfuit Ecclesiæ, lumen magnum in lucenti candelabro positum, lux pietatis magna jam ante pontificatum conspicua. Qui a juventute Deo adhærens, patria quidem urbe regina relicta, relictis etiam genere, et institutione, et sapientia aulaque imperatoria, Deum quærens in eremo, primum quidem genus Deo devovens, obedientia autem vitæque integritate ad contemplationis apicem pertingens et intercessu purissimæ Deiparæ quam in multa dilectione habebat et ab ea quam ut se illuminaret precabatur collustratus, acceptis inde futuri sæculi pignoribus vi istius illuminationis, modo quidem quasi beatum hoc munus tentaret eximie disputabat, modo autem ad alia conversus una cum angelis in quorum societatem veniebat lumen

(1) Id est gentilium.

A

ΚΕΦΑΛ. Λ'.

Κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ τῶν ὁμοίων αὐτοῖς, τῆς ἁγίας Τριάδος τὴν θείαν χάριν δυσσεβῶς ἀθετούντων.

Ἀρχιερεύς. Ναὶ, ἀδελφὲ, καὶ διάφορα, περὶ ὧν οὐ χρὴ λέγειν, κατασβεσθέντων ὡς πονηρῶν ἀνθράκων τῷ τοῦ Θεοῦ τῆς χάριτος ὑετῷ. Τελευταία δέ τις πυρκαϊὰ, καὶ τῆς εἰδωλικῆς ἐκείνης τοῦ Ναβουχοδονόσορ καμίνου χαλεπωτέρα, ἡ τοῦ Βαρλαὰμ τε καὶ Ἀκινδύνου δυσσέβεια, ὡς ἑλληνόφρων οὖσα, καὶ τὰ τῶν Ἑλλήνων ἀναῤῥιπίζουσα, καὶ τὰ τῆς Ἑλληνικῆς ἀσόφου σοφίας, μωρίας δὲ μᾶλλον εἰπεῖν, ὑπανάπτουσα.

Κληρικός. Ἤκουσται ἡμῖν περὶ ταύτης, δέσποτα. Τίς δὲ αὕτη καὶ ὅπως ἤρξατο, ἐπιζητοῦμεν μαθεῖν.

B *Ἀρχιερεύς.* Τίς μὲν αὕτη, καὶ ὅθεν ἤρξατο, οὐ χρὴ λέγειν ἡμᾶς· τοῖς ἱεροῖς δὲ Τόμοις ἐντυχὼν ὁ
48 βουλόμενος, οὓς ἡ τοῦ Χριστοῦ ὀρθόδοξος ἀνεστήλωσεν Ἐκκλησία, εἴσεται ἀκριβῶς πάντα, πρότερον μὲν τῷ ἐκτεθέντι κατὰ τοῦ δυσσεβοῦς ἐκείνου Βαρλαὰμ τοῦ Καλαβροῦ, δεύτερον δὲ τῷ κατὰ τοῦ κινδυνεύσαντος ἐν ὁμοίοις τῷ Βαρλαὰμ πολυκινδύνου Ἀκινδύνου· τρίτῳ δέ γε κατὰ τοῦ τρίτον καὶ πολλάκις (ἐπεὶ καὶ πολλάκις παρ' αὐτοῦ τε καὶ διαφόρων ἄλλων αἱρετιζόντων ὁμοίως ἔσχε τὰς ταραχὰς ἡ Ἐκκλησία Χριστοῦ), φημὶ δὲ τοῦ λίαν νενεκρωμένου τὴν ψυχὴν καὶ κάρῳ δυσσεβείας καὶ ὕπνῳ βαρεῖ κατεχομένου Γρηγορᾶ συντεθέντι. Καὶ γνώσεται οἷον τὸ τῆς αἱρέσεως ταύτης ποικίλον τε καὶ δο-
C λερὸν, καὶ ἅμα τὸ ἄθεον καὶ ἐπιβλαβὲς, καὶ τίς ὁ ταύτης προστάτης, καὶ τίνες οἱ ἐξ ἐκείνου φυέντες, οὐκ ἄκαρποι μόνον καὶ καταργοῦντες τὴν γῆν τῆς εὐσεβείας βλαστοὶ, ἀλλὰ καὶ ἀκανθώδεις καὶ λίαν τραχεῖς, παραλυποῦντες καὶ διασπῶντες τὰ τῆς Ἐκκλησίας γεννήματα.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τοῦ ἱεροῦ Γρηγορίου Θεσσαλονίκης τοῦ Θαυματουργοῦ.

Ὁ δέ γε ἀκριβέστερον βουλόμενος ἐκμαθεῖν γνώσεται μᾶλλον ἀφ' ὧν ἐκεῖνος συνεγράψατο, ὃς οἷάπερ ἄλλος τις ἥλιος τῇ οἰκουμένῃ ἀνέτειλε τῷ τότε καιρῷ ἱκανὸς ἀποσβῆσαι λόγῳ τε καὶ τῷ βίῳ πᾶσαν σκοτόμαιναν ἀθεΐας. Γρηγόριος οὗτος ἦν ὁ σοφώτατος, ὁ
D τῆς Θεσσαλονικέων ὕστερον προστὰς Ἐκκλησίας, καὶ φῶς μέγα ἐπὶ λαμπρὰν λυχνίαν τεθεὶς, μέγας τε φωστὴρ εὐσεβείας καὶ πρὸ τῆς ἀρχιερωσύνης δειχθείς. Ὃς ἀνατεθεὶς ἀπὸ νεότητος τῷ Θεῷ, καὶ τὴν πατρίδα μὲν καταλείψας τὴν βασιλεύουσαν, γένος τε καὶ ἀναγωγὴν, καὶ σοφίαν καὶ βασιλικὰς αὐλὰς, ἐν ἐρήμοις τε ζητήσας τὸν Κύριον, καὶ τὸ γένος μὲν πρότερον ἀφιερώσας Θεῷ, δι' ὑποταγῆς δὲ καὶ καθάρσεως βίου πρὸς θεωρίας ὕψος ἐληλακὼς, καὶ μεσιτείᾳ τῆς Πανάγνου καὶ Θεομήτορος πρὸς ἣν τὸν πολὺν ἔσχε πόθον, καὶ παρ' ἧς ἐξῄτει φωτισθῆναι καταυγασθεὶς, καὶ τοὺς ἀῤῥαβῶνας τοῦ μέλλοντος αἰῶνος ἐντεῦθεν ἀπολαβὼν, ὑπὲρ οὗ δὴ φωτισμοῦ, καὶ ἐνταῦθα μὲν ὡς πεῖραν ἔχων τοῦ μακαρίου ἐκείνου πάθους, λαμπρῶς ἠγωνίσατο, ἐκεῖσε δὲ μετα-

σιάς, καθαρώτερον μετέχει σὺν τοῖς ἀγγέλοις τῆς ἀθανάτου κοινωνῶν αὐτοῖς καὶ μὴ παυομένης φωτοχυσίας. Οὗτος οὖν, ἀξίως αὐτοῦ τῆς θεωρίας τε καὶ λαμπρότητος καὶ ἔγνω καὶ συνεγράψατο· καὶ ἐκ τῶν αὐτῷ καλῶς λίαν πεπονημένων γνώσεται πᾶς ὁ ζητῶν. Ἔτι δὲ καὶ παρὰ τῶν συμπονησάντων αὐτῷ πλείστων μὲν καὶ ἄλλων, ἐξαιρέτως δὲ τοῦ πεφιλημένου Θεῷ Φιλοθέου, τοῦ τῆς Κωνσταντινουπόλεώς φημι λαμπροῦ πατριάρχου, καὶ τοῦ μετ' αὐτὸν σοφωτάτου Νείλου, τῆς αὐτῆς αὐτῷ ἀρχιερατεύσαντος Ἐκκλησίας. Καὶ ἔτι ἑτέρου Νείλου θειοτάτου ἀνδρὸς, τοῦ τῆς Θεσσαλονικέων τὴν προεδρίαν μὲν εἰληφότος, μὴ πρὸς αὐτὴν δὲ φθάσαντος ἐλθεῖν, κατὰ δὲ τῆς τῶν Λατίνων καινοτομίας λαμπρὰ καὶ ἀληθῆ λίαν καὶ ἰσχυρὰ συγγραψαμένου, καὶ κατὰ τῆς δυστήνου ταυτησὶ τοῦ Βαρλαὰμ τε καὶ Ἀκινδύνου αἱρέσεως. Ὧν δὴ Πατέρων αἱ θειόταται συγγραφαὶ, καὶ ἔτι τοῦ μακαρίτου ἐκείνου Καβάσσιλα, τοῦ τὴν καλὴν νίκην ἐπ' εὐσεβείᾳ καὶ ἁγνότητι βίου συστησαμένου, Νικολάου κατὰ τὴν κλῆσιν, καὶ Θεοφάνους δὲ τοῦ Νικαίας ἄλλου σοφοῦ καὶ ὁμολογητοῦ νέου, καὶ Ἰσιδώρου Θεσσαλονίκης, οὐδὲν ἀπολειπομένου τοῦ σοφοῦ τὰ θεῖα Πηλουσιώτου ἐκείνου καὶ ὁμωνύμου, τὰ περὶ τῆς εἰρημένης αἱρέσεως ἀκριβῶς παριστῶσιν. Ἐκ τῶν τούτοις τοίνυν πεπονημένων ἔσται καταμαθεῖν ἃ ζητεῖ, πίστει τὰ τούτων ἀνεγνωκὼς, καὶ τῆς Βαρλααμίτιδος αἱρέσεως ἐπιγνώσεται τὸ ὀλέθριον, τῆς πολυκινδύνου τε λῃρωδίας καὶ κινδυνώδους βλασφημίας τοῦ Ἀκινδύνου τὸ βλαβερόν. Ὁ μὲν γὰρ Βαρλαὰμ, ὡς ἐν ὀλίγῳ φάναι, πλάναις
49 Ἑλληνικαῖς κατεχόμενος, καὶ μηδὲν περαιτέρω εἶναι τῶν ἐν αἰσθήσει οἰόμενος, φωτισμὸν μὲν Θεοῦ καὶ γνῶσιν μόνην καὶ σοφίαν ἡγεῖτο ὁ ἄθλιος τὴν περὶ τὰ ὁρώμενα καὶ ποιήματα κατανόησιν. Καὶ τὸ εἰδέναι τοὺς δρόμους ἡλίου τε καὶ σελήνης καὶ σχηματισμοὺς καὶ δυνάμεις, ἃς ἡ τῶν ἔξω σοφῶν μωρὰ διδάσκει περιεργία, γνῶσιν καὶ φωτισμὸν ἡγεῖτο καὶ ἔλεγε. Καὶ ἀριθμῶν δὲ τὰς ἀναλογίας, καὶ γεωμετρίας τὸ πολύσχημον καὶ ποικίλον, καὶ μουσικῆς τὴν ἁρμονίαν καὶ φθόγγους, καὶ τὴν σοφιστικὴν ἀλογίαν, ἣν δὴ καὶ λογικὴν ψευδωνύμως καλοῦσιν Ἕλληνες, γνῶσιν θείαν καὶ φωτισμὸν δυσσεβῶς κατωνόμαζε· καὶ τὸν μὴ εἰδότα τὴν τῶν τοιούτων μύησιν, μηδὲ τὴν ἐπιστήμην τῶν ἔξωθεν μαθημάτων, ἄλογον ἐκάλει καὶ σκοτεινόν· ἐξαιρέτως δὲ τὴν περὶ τὰ ἄστρα κίνησιν τὴν ἀνόητον περιεργίαν καὶ κατανόησιν, ὃ καὶ θεολογίαν φασὶν οἱ τὰ κτίσματα θεοποιούμενοι Ἕλληνες, καὶ τῇ κτίσει παρὰ τὸν κτίσαντα τὴν τιμὴν ἀπονέμοντες. Ἐν τούτοις οὖν ἔλεγεν ἐκεῖνος ὁ λίαν ἄσοφος τήν τε θεολογίαν εἶναι καὶ τὴν σοφίαν, καὶ τὴν κατάληψιν αὐτῶν ἔντευξιν εἶναι Θεοῦ καὶ ὄντως φωτισμὸν, ὁ ἐσκοτισμένος καὶ κτίσμα ὢν ἑκουσίως πονηρόν. Καὶ θεωρίαν ἀληθεστάτην ὠνόμαζε τὴν καὶ δυνατὴν τῷ βουλομένῳ σκέψασθαι, καὶ ἀκαθαρτοτάτῳ τῶν ἀνθρώπων νοΐ. Ὃς δὴ νοῦς ἀνθρώπινος καὶ τιμιώτερος ὁρᾶται, καὶ ὑψηλότερος τῆς τούτων κινήσεως, ὡς ταῦτα κατειληφὼς, καὶ δυνάμενος θεωρεῖν· μᾶλλον δὲ κύριος καὶ θεωρὸς τῆς ὁρωμένης κτίσεως γεγονώς. Ἐπεὶ καὶ δι' αὐτὸν ἡ

A immortale et nunquam deficiens participabat. Hic ergo digne pro sua contemplatione et illustratione pereruditus scripsit, cujus operibus admodum perspicuis omnis qui quærit cognoscet, necnon ex multis aliis qui cum eo laboraverunt, præsertim vero ex operibus Philothei Deo dilecti, clari scilicet Constantinopolis patriarchæ, Nili post eum sapientissimi qui eamdem pontifex rexit Ecclesiam, alterius quoque Nili qui Thessalonicensium primatiam accepit quam tamen declinare tentavit, qui contra Latinorum novitates eximia nimisque vera et vehementia conscripsit, atque adversus exitiosam istam Barlaam et Acindyni hæresim, quorum Patrum beatique etiam illius Cabassilæ Nicolai nomine qui bonam victoriam pietate sua vitæque
B munditia retulit, et Theophanis alius Nicææ philosophi noviqne confessoris, atque Thessalonicensis Isidori qui doctrina theologica nequaquam sapienti suo Pelusiotæ homonymo cedebat, quorum, inquam, scripta divinissima dictæ hæreseos gesta prorsus referunt. Igitur ex operibus istorum discenda sunt quæ sciscitatur vir studiosus, quibus confidenter perlectis et quam exitiosa fuerit Barlaam hæresis, quamque damnosæ Acindyni periculosissimæ ineptiæ plenæque discriminis blasphemiæ agnoscet. Etenim Barlaam quidem, ut paucis expediam, erroribus Græcorum imbutus, et æstimans nihil esse præter ea quæ sub sensus cadunt, ducebat ille nequam solam Dei illuminationem et scientiam atque sapientiam circa ea quæ facta sunt et con-
C spiciuntur versari; insuper scire cursum solis et lunæ formas atque affectiones quas fatua docet sapientium profanorum observatio, scientiam et illuminationem ille ducebat ac dicebat; necnon numerorum convenientias, variaque et multiformia geometriæ theoremata, musicæ harmoniam atque tonos, sophisticamque stultitiam quam falso logicæ vocabulo Græci appellant, divinam scientiam et illuminationem impie nominabat; virumque horum initia nescientem, neque profanarum notitiam habentem doctrinarum insanum vocabat et obcæcatum, præcipue si ignoraret stolidam scientiam et doctrinam quæ circa motus astrorum versatur, quod theologiam cient Græci qui creaturas
D inter numina ascribunt, creaturæque honorem Creatori debitum attribuunt; in his igitur quæ diximus vir ille insipiens nimis theologiam et sapientiam ponebat; horumque comprehensionem donum esse Dei veramque illustrationem dicebat ille obcæcatus homo Deique creatura libenter perversa, et veram contemplationem vocabat eam qua gaudere potest quicunque voluerit, mens etiam hominum immundissima, quæ mens humana pretiosior videtur et sideribus quæ moventur sublimior, cum ista comprehendat et intueri possit, imo cum homo dominus et speculator visibilis creationis factus fuerit, quoniam ejus gratia ipsa facta est creatio et propter eum corruptioni submissa, prout docet Paulus dicens: « Vani-

tali enim creatura subjecta est, non volens, sed propter eum qui subjecit eam in spe. » Stultus autem Barlaam mentem in disciplinis quæ ad artem pertinent rudem mentem irrationalem et tenebrosam vocabat ille nequissimus, nesciens homo vanus quoniam ista quidem propter nos ut corpori provideatur præsentique vitæ nostræ prosint facta sunt, alia vero sunt a Deo nobis præparata ante constitutionem, prout ipse olim dixit : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi. » Bona autem illius regni, ait Paulus, talia sunt ut « nec oculus hæc viderit nec auris audiverit nec in cor hominis ascenderit quæ præparavit Deus diligentibus se. » Ideo docet Dominus : « Cœlum et terra transibunt ; » prohibetque Paulus ne de his quæ videntur solliciti simus ; nam quæ videntur temporalia sunt, quæ autem non videntur æterna sunt. Et : « Cœli sicut liber complicabuntur ; » dixitque Petrus : « Cœli quidem magno stridore transibunt, elementa vero calore solventur ; terra autem et quæ in ipsa sunt opera exurentur. » At his omnibus dissolvendis, quales nos esse oportet ? Profecto in sancta conversatione operibusque pietatis exspectantes Domini nostri Jesu Christi adventum, de quo nos esse sollicitos oportet. Quænam enim utilitas ex contemplatione creaturarum ? Quantum inde torpet anima ! Quantum inde conteritur ! nisi etiam inde crescat præsumptio, impiaque superbi tenebrarum spiritus opinio mentibus insanis inseratur. Quod non ipsæ faciunt creaturæ cum bonæ sint utpote a bono creaturæ conditæ, sed sollicita earum consideratio, quam contemplatum apostatam dicunt quidam (sublimiore enim contemplatione dignus non fuit ille ab initio gloriabundus et insolentissimus qui tamen summo angelorum ordini præerat), dum intueretur superbivisse, seque jactitasse thronum suum super nubes et astra positurum, similemque fore Altissimo, qui Altissimum non cognoscebat. Hunc mens omnis semper contemplari debet velut mentem æternam Patrem cum Verbo et Spiritu, et eum appetere, atque ad eum creaturarum factorem continua propensione tendere, et eum in silentio adorare quemadmodum angeli; Deinque opera quænam sint intuitus homo debet secundum angelos agere, nempe eum hymnis et laudibus celebrare. Ait enim : « Quando facta sunt astra, laudabant me voce magna omnes angeli mei hymnisque ornabant. » Viden' ? humiliati sunt, et statim ad contemplationem et glorificationem Dei mentem erexerunt, quoniam ipse omnium Dominus ; neque propter eum, sed propter nos, ut nostra regantur corpora visibilia condidit, invisibilia autem ut animis nostris proficiant. Quæ igitur utilitas si de his corruptibilibus solliciti simus quæ studentibus non prosunt, nisi quis illa solummodo inspiciat ut Deo gratias et laudes tribuat, ut solent sancti, et David istud testatur in multis psalmis opera Dei prædicando. Ille autem immundus hæc omnino oblitus Græcorum ineptias

A κτίσις αὕτη γεγένηται, καὶ δι' αὐτὸν ὑπέκυψε τῇ φθορᾷ, καθά που καὶ Παῦλος περὶ τούτου φησί, « Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, » λέγων, « οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι ». Ὁ δέ γε ἀσύνετος Βαρλαὰμ νοῦν τὸν μὴ περὶ τῶν μαθημάτων τῶν ἐντέχνων εἰδότα νοῦν ἄλογον ὁ δείλαιος ἀπεκάλει καὶ σκοτεινόν, μὴ εἰδὼς ὁ μάταιος, ὡς ταῦτα μὲν δι' ἡμᾶς, καὶ ἵνα τὰ τοῦ σώματος διοικῆται, καὶ εἰς χρῆσιν ὦσι τῆς παρούσης ἡμῶν ζωῆς, ἕτερα δ' εἰσὶ τὰ πρὸ καταβολῆς κόσμου ἡτοιμασμένα ἡμῖν παρὰ τοῦ Θεοῦ, ὡς αὐτὸς ἐρεῖ τότε· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. » Τὰ δὲ τῆς βασιλείας ἐκείνης ἀγαθά, φησὶ Παῦλος, τοιαῦτα, ὅτι « Ὀφθαλμὸς ταῦτα οὐκ B οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν ». Καὶ ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται διδάσκει ὁ Κύριος. Καὶ οὐ δεῖ περὶ τῶν βλεπομένων ἡμᾶς, Παῦλός φησι, μεριμνᾷν. Τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Καὶ ὁ οὐρανὸς εἱληθήσεται ὡς βιβλίον. Καὶ Πέτρος φησίν, « Οὐρανοὶ μὲν ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται· καὶ γῆ καὶ τὰ ἐν αὐτῇ πάντα κατακαήσεται. » Τούτων δὲ πάντων λυομένων ποταποὺς δεῖ εἶναι ἡμᾶς; Ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, ἀπεκδεχομένους τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, περὶ ἧς δὴ καὶ φροντίζειν ἡμᾶς χρεών. Τί γὰρ τὸ ὄφελος ἐκ τῆς C τῶν κτισμάτων θεωρίας; ποία ἐκ τούτων ἀπάθεια; ποία ψυχῆς συντριβή; εἰ μὴ καὶ οἴησιν προστίθησι μᾶλλον, καὶ ταῖς τῶν ἀφρόνων ψυχαῖς τὴν τοῦ σκοτεινοῦ νοὸς καὶ ὑπερηφάνου ἀντίθεον γνώμην ἐντίθησιν. Οὐ τὰ κτίσματα δὲ τοῦτο ποιεῖ, καλὰ γὰρ ὡς καὶ καλοῦ κτίσματα, ἀλλ' ἡ περίεργος θεωρία, ἣν καὶ θεωρήσαντα τὸν ἀποστάτην φασί τινες (οὐ γὰρ ὑψηλοτέρας ἠξίωτο θεωρίας, ἀπ' ἀρχῆς ὢν ἀλαζὼν καὶ ὑπέροφρυς, τῆς τελευταίας δὲ τῶν ἀγγέλων ὑπῆρχε τάξεως) ὑπερφρονῆσαι ἐν τῷ ἰδεῖν, καὶ θεῖναι καυχήσασθαι ἐπάνω τῶν νεφελῶν καὶ τῶν ἄστρων τὸν θρόνον αὐτοῦ, καὶ ὅμοιον εἶναι τῷ Ὑψίστῳ, μὴ εἰδότα τὸν Ὕψιστον. Ὃν δεῖ θεωρεῖν πάντα νοῦν ἀεὶ ὡς **50** ἄναρχον ὄντα νοῦν τὸν Πατέρα D σὺν τῷ Λόγῳ καὶ Πνεύματι, καὶ πρὸς αὐτὸν τὴν ἔφεσιν ἔχειν, καὶ πρὸς αὐτὸν ἀεὶ ἀνατείνεσθαι, τὸν ποιητὴν τῶν κτισμάτων, καὶ δοξάζειν ἀσιγήτως αὐτὸν ὡς οἱ ἄγγελοι, καὶ κατὰ τοὺς ἀγγέλους ποιεῖν, θεωροῦντα τίνα τὰ τοῦ Θεοῦ κτίσματα, ὑμνεῖν αὐτὸν καὶ δοξολογεῖν. « Ὅτε » γάρ, φησίν, « ἐγένετο ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησαν. » Ὁρᾷς; Τεταπείνωνται, καὶ πρὸς τὴν τοῦ Θεοῦ θεωρίαν καὶ δοξολογίαν εὐθὺς τὸν νοῦν ἔστησαν· ὅτι καὶ αὐτὸς πάντων παραγωγεύς, καὶ οὐ δι' αὐτὸν τὰ κτίσματα, ἀλλὰ δι' ἡμᾶς, ἵνα κυβερνᾶται ἡμῶν τὰ σώματα. Τὰ δὲ ὑπὲρ τῶν ψυχῶν ἡμῶν ἀκατανόητα. Τίς οὖν ἡ χρεία μεριμνᾷν περὶ τῶν φθαρτῶν, καὶ μηδὲν ὠφελούντων ἐν τῷ κατανοεῖν, εἰ μή τις κατανοήσειε μικρὸν διὰ μόνην εὐχαριστίαν Θεοῦ καὶ δοξολογίαν, ὡς καὶ τοῖς ἁγίοις ἔθος ἐστί;

Καὶ Δαβὶδ τοῦτο μαρτυρεῖ, ἐν πολλοῖς τῶν ψαλμῶν τὰ τοῦ Θεοῦ διηγούμενος. Ἀλλὰ τούτων μηδενὸς μνησθεὶς ἐκεῖνος ὁ μιαρὸς, τὰς Ἑλληνικὰς φληναφίας καὶ τὰς τοῦ Πλάτωνος εἰσηγήσεις τε καὶ δόξας, καὶ ἃς καλοῦσιν « ἰδέας, » φωτισμὸν ἡγεῖτο καὶ γνῶσιν καὶ κάθαρσιν ὁ ἀκάθαρτος. Ἃ δὴ καὶ ἐλάττονα τῆς ἀνθρωπίνης εἰσὶ διανοίας, ὑπ' αὐτῆς καταλαμβανόμενα· καὶ μετρεῖται, καὶ ἐξετάσει διδόμενα ἐφευρίσκεται, καὶ μάλιστα τὰ περὶ τῆς τῶν ἀστέρων κινήσεως· καὶ οὐδὲν ἐκ τούτων ὄφελος τῷ ἀνθρώπῳ. Τί γὰρ παρὰ τὸ εἰδέναι ποῦ τὴν κίνησιν ἔχει ὁ ἥλιος καὶ σελήνη καὶ τὰ λοιπὰ τῶν ἄστρων; εἰ μὴ διά τινα χρείαν σαρκὸς ὡς ναυτικοὶ κέχρηνται. Καὶ παχυτέρως οὗτοι τὰ τῶν ἄστρων κατανοοῦσι κρειττόνως πολλάκις καὶ τῶν λεπτοτέρων δοκούντων παρὰ σοφοῖς. Εἰ δὲ περὶ γενέσεως ὁ λόγος ἐκείνῳ, φεῦ τῆς ἀπάτης! ὡς κτισματολάτρης γὰρ καὶ ἀντίθεος. Οὐ γὰρ τῇ τοῦ Θεοῦ προνοίᾳ τὴν ἡμῶν διοίκησιν ἀνατίθησιν, ἀλλὰ τῇ εἱμαρμένῃ καὶ τύχῃ καὶ τῷ αὐτομάτῳ κατὰ τὸν Ἐπίκουρον, ἢ ταῖς τῶν ἄστρων δυνάμεσι, καὶ τοῦτο τὸ τέλος τῆς ἀθείας. Καὶ Πτολεμαῖος ἄλλος ὁ Βαρλαὰμ, τὰ θεῖα μὲν δῆθεν δεχόμενος λόγια ὡς ἐκεῖνος τὰ τῶν Ἑβραίων, ἃ καὶ ἑρμηνείας ἠξίωσε, τὴν αὐτοῦ δὲ Τετράβιβλον κατὰ τῆς προνοίας συνθεὶς, ὡς καὶ οὗτος τὰ τῆς Ἐκκλησίας μὲν λέγων δέχεσθαι, καὶ κατὰ Λατίνων δὲ συγγραφόμενος, τὸν Ἑλληνισμὸν δὲ εἰσάγων. Εἰ δὲ καὶ τὸ τοῦ Παύλου ἀντιθείη τις ἡμῖν, « Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, » καὶ τὸ τοῦ Δαβὶδ, « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, » ἀλλ' οὕτω χρὴ τοῦτο νοεῖν, ὡς αὐτοὶ τοῦτο παραδεδώκασιν, εἰς τὸ εὐλογεῖν τὸν Κύριον καὶ ὑμνεῖν ἐκ τῶν ὁρωμένων αὐτὸν, καὶ, « Εὐλόγει, » λέγειν, « ἡ ψυχή μου, τὸν Κύριον· » καὶ, « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· » καὶ, « Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· » καὶ, « Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει, » καὶ τὰ λοιπά. Ἃ λέγει τὴν πρόνοιαν κηρύττων αὐτοῦ Δαβίδ. Ὁς κατὰ τοὺς ἁλιεῖς ἀποστόλους καὶ τοῦ ἀγραμμάτου κληθέντος κατὰ σάρκα Λόγου Πατὴρ φανεὶς, ἐν ἰδιωτείᾳ καυχᾶται, οὐκ ἐν σοφίᾳ· « Ὅτι οὐκ ἔγνων γραμματείας, » φησί· καὶ, « Ἀνέλαβέ με ἐκ τῶν ποιμνίων τῶν προβάτων τοῦ Πατρός μου. » Καὶ ὁ Παῦλος, « Οὐκ ἦλθον καθ' ὑπεροχὴν λόγου ἢ σοφίας. Καὶ οὐκ ἔκρινα τοῦ εἰδέναι τι ἐν ἡμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον· » καὶ, « Ἔτι (φησὶν) ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἐστὲ δεδουλωμένοι; » καὶ, « Τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη· » καὶ, « Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου· » καὶ, « Ἐμωράνθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. » Ὁρᾷς, ὡς οὐχ ὑπὲρ τούτων μελετᾷν ἡμᾶς χρή; « Τὰ ἄνω φρονεῖτε, » φησὶ, « τὰ ἄνω ζητεῖτε, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός· » καὶ, « Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. » Τίς ἄρα χρεία περὶ τῶν ἀλλοιωθησομένων ἡμᾶς **51** μεριμνᾷν τε καὶ μελετᾷν, καὶ μὴ περὶ τῶν αἰωνίων; Καὶ ταῦτα μὲν τὰ τῆς δόξης τοῦ Βαρ-

A Platonisque doctrinas et opiniones quas vocant ideas illustrationem et scientiam atque puritatem impurus ducebat; quæ humanæ cogitationi inferiora sunt, cum ab ea comprehensa mensurentur, et observationi data reperiantur, præcipue quæ circa motus astrorum versantur, ex quibus nullum homini commodum. Quid enim prodest si noverint quomodo moveantur sol et luna astraque cætera? Nisi inde quamdam carnis utilitatem sicut nautæ percipiant; istique mente hebetiores sæpe melius cognoscunt ea quæ ad sidera spectant quam illi qui sapientibus acutiores videntur. Si autem de origine rerum disserit, heu! quam cæca aberratio! quam impie loquitur divinum honorem creaturis exhibens! Non enim Dei providentia nostra guber- B nari existimat, sed fato fortunaque et sponte sua, prout docet Epicurus, vel ipso siderum influxu, quod est summæ impietatis, unde alius Ptolemæus Barlaam divina suscipiens oracula quemadmodum ille sacros quidem Hebræorum codices accepit quos interpretatione dignos judicavit, Bibliam autem suam quadruplam secundum insitas animo opiniones composuit, ita hic quidem Ecclesiæ instituta se dixit accipere imoque adversus Latinos scripsit, impias vero Græcorum sententias immiscuit. At si quis illud Pauli nobis opponat: « Invisibilia enim ipsius a creatura mundi per ea quæ facta sunt intellecta conspiciuntur; » vel illud David: « Cœli enarrant gloriam Dei, » hæc autem intelligas, prout ipsi tradiderunt, quoniam opor- C teat Dominum benedicere atque ex visibilibus celebrare dicendo: « Benedic, anima mea, Dominum; » et: « Quam magnificata sunt opera tua, Domine; omnia in sapientia fecisti; » et: « Mirabilis facta est scientia tua ex me, confortata est, et non potero ad eam; » et: « Si ascendero in cœlum, tu illic es, si descendero in infernum ades; » et cætera quæ dicit David præscientiam ejus prædicans, qui secundum piscatores apostolos, cum esset pater secundum carnem Verbi quod ipsum illitteratum fuit vocatum, de inscientia, nequaquam de sapientia gloriatur dicens: « Quoniam non cognovi litteraturam; » et: « Sustulit me de gregibus ovium patris mei; » et Paulus: D « Non veni secundum sublimitatem sermonis aut sapientiæ; » et: « Non judicavi me scire aliquid inter vos nisi Jesum Christum, et hunc crucifixum; » et: « Adhuc, inquit, sub elementis mundi estis servientes? » et: « Vanitati creatura subjecta est; » et: « Præterit figura hujus mundi; » et: « Stulti facti sunt, et coluerunt creaturam potius quam Creatorem. » Viden' quoniam oportet nos de his minime esse sollicitos? Quæ sursum sunt, inquit, sapite, quæ sursum sunt quærite, ubi præcursor pro nobis introivit Christus; » et: « Nostra conversatio in cœlis est. » Quid igitur oportet nos de his quæ mutanda sunt curis et anxietate consumi, minime vero de æternis? Hæc est Barlaam doctrina veræ contraria sapientiæ

quam piscatores mundo prædicaverunt, non in sapientia sermonum, ne evacuaretur crux Christi, sed in divino Spiritu; qui etiam tanto mundi sapientibus præstiterunt, quanti Patres in gratia divini Spiritus Barlaam excelluerunt. Nequam iste Barlaam plura etiam contra sacram orationem blasphemans conscripsit, necnon gratiam Dei et ejusdem illuminationem, has voces, « Sine intermissione orate, » nec intelligens nec is qui possit eas intelligere. Nam quomodo intelligeret ille cujus mens vanitati subjacet, qui animæ cogitationibus angelo superbiæ adhæret? Neque melius sequentia accepit : « Psallam spiritu, psallam et mente; » vel : « Cantantes et psallentes in corde vestro Domino; » vel : « Misit Deus Spiritum Filii sui (nempe gratiam) in cordibus nostris, in quo clamamus : Abba, Pater; » vel etiam : « In ecclesia malo quinque verba sensu meo loqui quam decem millia verborum in lingua. » Propterea mente conceptam orationem prohibuit, et præsertim invocationem Domini, quem confessus est Petrus palam dicens : « Tu es Christus, Filius Dei vivi. » Itaque est Domini traditio : « Si quid petieritis Patrem in nomine meo, inquit, accipietis. » Et : « In nomine meo dæmonia ejicient, » et cætera, quoniam nomen ejus vita æterna. « Hæc enim scripta sunt, ait Joannes, ut credatis quoniam Jesus est Christus Filius Dei, et ut credentes vitam æternam habeatis in nomine ejus. » Insuper Spiritum sanctum infundit invocatio Christi : « Nemo potest dicere Christum Jesum, inquit Paulus, nisi in Spiritu sancto; » sexcentaque alia de re eadem scripta sunt. Verum quanta ille obcæcatus contra divinum lumen protulit tenebrosa scilicet et obscura valdeque contraria divinæ illi quæ vesperam nescit et per noctem lucet illuminationi cujus luciferi angelorum chori lætantur participes, quoniam horum voluptas divinus splendor, eamdemque participant qui inter homines sunt mundi corde. Ideo adversus eos qui vitam in sanctitate reconditam agunt velut dæmon alius erat grassans in eos qui a tumultuosa plebe recedunt solique Deo adhærere desiderant, quos sæpius contritionibus multis pravi invidique et maledicti dæmones afficiunt erroribusque imbuunt gratiæ Dei divinæque illuminationi adversariis, qui cum tenebræ sint in angelum lucis transmutantur, volentes illos a bono proposito avertere, ne sint cum Deo, quoniam ipsi a Deo longe facti sunt, ne humana natura materiali corpore donata spiritali eorum naturæ præcelleat. Invidum enim dæmonum genus præ superbia cujus gratia a Deo defecerunt et cœlitus præcipites dejecti sunt, necnon usque invidet iis qui Deo volunt per solitudinem et munditiam atque orationem firmiter adhærere, ideoque, prout diximus, certantes sexcentis incursibus aggrediuntur, et quanquam tenebræ sint ac velut fulgur de cœlo ceciderint, in angelum lucis transmutantur ut nonnullos decipiant. Ille autem

A λαὰμ κατὰ τῆς ἀληθινῆς σοφίας, ἣν ἁλιεῖς τῷ κόσμῳ ἐκήρυξαν, οὐ σοφίᾳ λόγων, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, ἀλλὰ Πνεύματι θείῳ· καὶ τῶν τοῦ κόσμου σοφῶν ὑπερήρθησαν, ὡς καὶ οἱ Πατέρες ἐν χάριτι Πνεύματος θείου τοῦ Βαρλαὰμ ὑπερήρθησαν. Οὗτος ὁ δύστηνος Βαρλαὰμ καὶ πλεῖστα κατὰ τῆς ἱερᾶς προσευχῆς ἐβλασφήμησέ τε καὶ συνεγράψατο, καὶ τῆς τοῦ Θεοῦ χάριτός τε καὶ ἐλλάμψεως, τὸ, « Ἀδιαλείπτως προσεύχεσθε, » μὴ συνεὶς, μηδὲ δυνάμενος γνῶναι· πῶς γὰρ ὁ τῷ νοῒ ματαιάζων, καὶ τῷ ὑπερηφάνῳ ταῖς φαντασίαις τῆς διανοίας ἑνούμενος; μηδὲ τὸ, « Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· » μηδὲ τὸ, « Ἄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ, » καὶ ὅτι « Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα B τοῦ Υἱοῦ αὐτοῦ, » τὴν χάριν δηλονότι ἐν ταῖς καρδίαις ἡμῶν, κρᾶζον, « Ἀββᾶ ὁ Πατήρ· » καὶ, « Κρεῖσσον πέντε λόγους τῷ νοΐ μου ἐν ἐκκλησίᾳ λαλῆσαι ἢ μυρίους λόγους ἐν γλώσσῃ. » Διὸ καὶ τὴν νοερὰν προσευχὴν ἀπηγόρευε, καὶ μάλιστα τὴν ἐπίκλησιν τοῦ Κυρίου. Ὃ δὴ καὶ ὁμολογία τοῦ Πέτρου, τὸ, « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, » κηρύξαντος. Καὶ τοῦ Κυρίου παράδοσίς ἐστιν, « Ὅ τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, » λέγοντος, « λήψεσθε. Καὶ, « Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· » καὶ τὰ λοιπά. Ἐπεὶ καὶ τὸ ὄνομα αὐτοῦ ζωὴ αἰώνιός ἐστι. « Ταῦτα » γὰρ, φησὶν, « γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. » Καὶ Πνεύ- C ματος ἁγίου παρεκτικὴ ἡ ἐπίκλησις Χριστοῦ. « Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, » φησί· καὶ μυρία τὰ ὑπὲρ τούτου. Ὁποῖα δὲ ὁ ἐσκοτισμένος κατὰ τοῦ θείου φωτὸς ἐλάλησε, σκοτεινά τινα καὶ ζοφώδη καὶ πόῤῥω καὶ ἐναντία τῆς ἀνεσπέρου ἐκείνης φρυκτωρικῆς τε καὶ θείας ἐλλάμψεως, ἧς καὶ τῶν ἀγγέλων οἱ φαεσφόροι χοροὶ ἀκορέστως μετέχουσι καὶ εὐφραίνονται· ὅτι καὶ ἀπόλαυσις τούτοις ἡ θεία λαμπρότης, καὶ τῶν ἀνθρώπων οἱ καθαροὶ τὴν καρδίαν μετέχουσιν. Ἐπεὶ γὰρ κατὰ τῶν ἱερῶς ἡσυχαζόντων κινούμενος ἦν ὡς ἄλλο δαιμόνιον, βασκαῖνον τοῖς ἀναχωροῦσι τῶν ἐν θορύβοις, καὶ Θεῷ μόνον σχολάζειν ἐπιθυμοῦσιν, οἷς καὶ πλεῖστα πολλάκις οἱ πονηροὶ καὶ D φθονεροὶ καὶ κατάρατοι δαίμονες ἐπῆγον τὰ θλιβερὰ, καὶ κατὰ τῆς τοῦ Θεοῦ χάριτος καὶ τοῦ ἐνθέου φωτισμοῦ πλάνας ἐπῆγον αὐτοῖς, εἰς ἄγγελον φωτὸς οἱ σκότος ὄντες μετασχηματιζόμενοι, ἀπαγαγεῖν τῆς καλῆς αὐτοὺς προθυμίας βουλόμενοι, καὶ τοῦ μετὰ Θεοῦ εἶναι ὡς αὐτοὶ πόῤῥω γεγόνασι τοῦ Θεοῦ, ἵνα μὴ ἀνθρωπίνη φύσις καὶ τὸ ὑλικὸν τῷ σώματι κεκτημένη ὑπεράνω τῆς ἀΰλου ἐκείνων γένηται φύσεως· φθονερὸν γὰρ ὑπερηφανίᾳ τὸ δαιμόνιον φῦλον, δι' ἣν καὶ Θεοῦ ἠστόχησαν, καὶ οὐρανόθεν ἐῤῥίφησαν, καὶ ἀεὶ φθονοῦντές εἰσι τοῖς τῷ Θεῷ προσκολλᾶσθαι διὰ μονώσεως καὶ καθάρσεως καὶ προσευχῆς βουλομένοις· ὅθεν καὶ μυρίας ἐπάγουσι τοῖς ἀγωνιζομένοις τὰς ἐπηρείας, καὶ ὡς εἰρήκαμεν, εἰς ἄγγελον φωτὸς οἱ σκότος τελοῦντες,

A καὶ ὡς ἀστραπὴ πεσόντες ἀπ' οὐρανοῦ, μετασχηματίζονται, ἵν' ἀπατήσωσί τινας. Καὶ ὁ Βαρλαὰμ οὗτος, ὡς ἄγγελος τελῶν ἐκείνων, σκοτεινὸν φῶς ὑποκρινόμενος, κατὰ τῶν ἰσαγγέλων θείων ἀνδρῶν, καὶ αὐτοῦ τοῦ θείου φωτὸς ἀντετάξατο. Καὶ ἀκολούθως, ὡς ἔδει αὐτοῖς, τοῦτο διενοήθη τε καὶ διεπράχθη τοῖς δαίμοσι, καὶ τὸν μύστην τούτων αὐτοὶ κατὰ τοῦ θείου φωτὸς καὶ τῆς μακαρίας τῶν ἀγγέλων ἐλλάμψεως, οἱ σκότος γεγονότες τε καὶ λεγόμενοι, τὸν ἴσα τούτοις ἐσκοτισμένον κεκινήκασιν ἀνοήτως. Ἐπεὶ οὐδὲ ἴσασι τί τὸ φῶς ἐκεῖνο, μὴ τούτου μετέχοντες, πόῤῥω δὲ μᾶλλον ὄντες, καὶ εἰς τὸ ἐξώτερον σκότος **52** παραπεμπόμενοι σὺν τοῖς ὁμοίοις αὐτοῖς, τοῖς καὶ ὑπ' αὐτῶν κινουμένοις· ὃς καὶ δυσσεβῶς ἢ μὴ εἶναι θείαν ἔλλαμψιν ἐφληνάφησεν, B ἢ εἴπερ ὅλως ἐστὶ, φύσιν εἶναι ταύτην Θεοῦ, (βαβαί!) τοῦ ἀοράτου, καὶ ἀλήπτου, καὶ ἀπροσίτου. Καὶ πάλιν στρεφόμενος, ὡς ἀληθῶς ὢν παράφρων, « Εἰ ὤφθη φῶς, φησὶν, ὁρατὸν ἦν, καὶ εἰ ὁρατὸν, οὐ Θεός· καὶ εἰ ἐπαύσατο ὁρᾶσθαι, μηδὲ δύνασθαι εἶναι· καὶ διὰ τοῦτο φάσμα τι εἶναι τοῦτο. Εἰ δ' ἀληθῶς ἐστιν ἔλλαμψις, κτίσμα εἶναι κατὰ καιροὺς συνιστάμενον, γινόμενόν τε καὶ ἀπογινόμενον, τὴν τοῦ Θεοῦ χάριν καὶ νοητὴν ἔλλαμψιν κτιστὴν εἶναι, ἢ μηδαμῶς εἶναι δογματίζων ὁ δυσσεβής. Ἐν αἷς δήπερ ἀσεβείαις καὶ ἀτοπίαις καὶ διάδοχον ἑαυτοῦ τὸν δύστηνον ἐκεῖνον ἔσχεν Ἀκίνδυνον· καὶ ἔτι Δεξιόν τινα, τὸν τῆς ἀριστερᾶς μερίδος· καὶ Ἀργυρὸν τὸν ἰοῦ μεστὸν, τὸν καὶ C πολὺ τὸ κίβδηλον τῆς Ἑλλήνων φλυαρίας πλουτήσαντα· καὶ πρὸ αὐτῶν Γρηγορᾶν ἐκεῖνον τὸν ἀποστάτην· οἳ καὶ τὴν χάριν καθάπαξ ἠθετήκασι τοῦ Θεοῦ, καὶ τὴν φυσικὴν αὐτοῦ δύναμιν καὶ ἐνέργειαν ἐξηρνήσαντο, μηδεμίαν δύναμιν προσεῖναι λέγοντες τῷ Θεῷ, μηδὲ δωρεάν τε καὶ χάριν ἐξ αὐτοῦ προϊοῦσαν, ἀπεναντίας τῷ Εὐαγγελίῳ τε καὶ τοῖς λόγοις καὶ πράξεσι τῶν μαθητῶν τοῦ Χριστοῦ καὶ τῷ λοιπῷ χορῷ τῶν ἁγίων ἡμῶν Πατέρων βαίνοντες. Οἱ πάντες ὁμοῦ αὐτὸν μὲν τὸν Κύριον τὸν τοῦ Θεοῦ μονογενῆ Υἱὸν καὶ Λόγον ἐν τῇ ἰδίᾳ ὑποστάσει σαρκωθῆναί φασι, καὶ ἄνθρωπον γενέσθαι, κατὰ ἀλήθειαν μένοντα Θεὸν, καὶ ἀναλλοίωτον ὄντα· ἡμᾶς δὲ μὴ Θεὸν ἐνυποστάτως δέξασθαι καὶ κατὰ φύσιν ἑνωθῆναι. Ἓν γὰρ ἐκεῖνο τὸ πρόσλημμα, D ὅπερ προσείληφεν ἑαυτῷ ὁ τοῦ Θεοῦ μονογενὴς Λόγος, καὶ ᾧπερ ἄκρως ἡνώθη, καὶ ἀδιαίρετον τούτου μένει ὡς καὶ ἀσύγχυτον. Ἐπειδήπερ ἑκάστη φύσις τὰ ἴδια κέκτηται, ἡ θεία τὰ θεῖα, ἡ ἀνθρωπίνη τε τὰ ἀδιάβλητα τῶν ἀνθρώπων· καὶ ἐν ἐκείνῃ μὲν τὸ ἀπερίγραπτον, καὶ ἀκατάληπτον, καὶ ἄτρεπτον, καὶ ἀεὶ ὂν, καὶ τὸ παντοδύναμον, ἐν τῇ ἀνθρωπίνῃ δὲ τὸ περιγραπτὸν, τὸ ὁρατὸν, τὸ ψηλαφητὸν, τὸ ἀλλοιοῦσθαι, τὸ ἄρξασθαι. Διὸ δὴ καὶ σεσαρκωμένος ὁ Λόγος ἑωρᾶτο, καὶ ἐψηλαφᾶτο, καὶ ἔπασχε, καὶ ἔθνησκε, καὶ ἀνίστατο, οὐ τῇ φύσει τῆς θεότητος, τῇ δὲ φύσει τοῦ σώματος. Ὅθεν καὶ ὁ ἠγαπημένος φησὶν, « Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν, ὃ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, » περὶ τοῦ Λόγου τῆς ζωῆς·

tem Barlaam, ut angelus ex istis ordinibus, lucem tenebrosam referens, adversus viros divinos angelis similes ipsamque divinam lucem obstitit, eademque ac dæmones illi, ut necesse erat, machinatus tentavit, qui, cum tenebræ sint atque dicantur, eisdem tenebris caligantem animum invisibiliter movebant his erroribus imbutum, adversus divinum lumen faustamque angelorum illustrationem. Verum cum nesciant quid sit illud lumen a quo nedum illius facti sint participes, longe potius recesserunt in tenebras exteriores immissi cum consortibus suis animisque quas duxerunt, ille effutiens impie cantabat vel divinam non esse illustrationem, vel si prorsus sit, illam esse, proh! naturam Dei invisibilis et incomprehensibilis atque inaccessibilis. Rursumque conversus, cum vere insaniat, si lumen apparuit, aiebat, visibile erat, si vero erat visibile, Deus non erat, insuper si ab oculis evanuit, non tamen esse desiit, hoc erat phantasmati simile. Vera autem illuminatio creatura est pro temporis opportunitate constituta quæ modo fit et modo desinit, ille vero impius falsa spargens dogmata, gratiam Dei spiritalemque illustrationem aut conditorem esse aut nullatenus esse asserebat. In quibus impietatibus et ineptiis successorem habuit nequissimum Acindynum, et insuper Dexium quemdam qui ad sinistram partem declinavit, et Argyrum veneno plenum qui admodum erat ditatus prava Græcorum nugacitate, et ante illos Gregoram famosum apostatam, qui gratiam Dei penitus negaverunt, ipsamque ejus nativam potentiam et operationem abnuerunt, dicentes nullam Deo inesse potestatem, neque donum neque gratiam ab ipso prodire, adversus Evangelium, sermonesque et actus discipulorum Christi reliquumque chorum sanctorum Patrum nostrorum ambulantes. Qui omnes simul ipsum quidem Dominum Filium Dei unigenitum Verbumque dicunt in propria persona incarnatum fuisse hominemque factum esse, manentem in veritate Deum et in immutabilitate perstantem; nos vero nequaquam Deum secundum substantiam accepisse neque secundum naturam adunatos esse; unum enim erat illud quod sibi assumpsit Verbum Dei unigenitum, et cui arcte conjunctum est, a quo manet indivisibile sicut et inconfusibile. Cum cuique naturæ sua sint, divinæ divina, humanæ humana, vitiis exceptis, et in illa quidem incircumscripta immensitas, incomprehensibilis infinitas, immutabilitas, æternitas et omnipotentia; in humana autem esse circumscripta, visibilis, tactilis, mutabilis, et incepisse, quapropter incarnatum Verbum visum fuit et contrectatum passumque et mortuum, atque resurrexit, non divina equidem sed humana natura; unde dilectus ait discipulus: « Quod fuit ab initio, quod perspeximus, vidimus oculis nostris, et manus nostræ contrectaverunt de Verbo vitæ, et vita manifestata est; et annuntiamus vobis vitam æternam quæ erat apud Patrem. et ap-

paruit nobis. » Hic est igitur verus Deus et vita A æterna Jesus Christus solus, perfectus Deus de Deo, Verbum et Filius unigenitus a Patre vere incarnatus, et perfectus homo factus est propter nos homines, idem Deus idemque homo in una persona, unus idem in duabus naturis et voluntatibus ac operationibus cognitus; et idem erat miracula faciens, et pedibus incedens, et esuriens et vescens, et panes multiplicans, et dormiens, et motos cohibens ventos, et mortuos resuscitans, et ipse mortuus utpote mortalis, et signatus in monumento, et suum ipsius corpus a morte erigens, et post resurrectionem tactus, et clausis januis ingressus, perinde ac a sepulcro sigillis minime fractis exierat; cum idem simul esset B Deus et homo, illud quidem prius, istud vero posterius, alia quidem ut homo patiens, alia autem ut Deus efficiens, propterea ille solus Deus est et nemo alius, etsi fuerit incarnatus, illiusque solius secundum naturam. Pater est Pater qui super omnia Deus est, noster autem secundum gratiam. Qui ejus est Deus propter nos, quoniam primitias naturæ nostræ assumpsit, noster vero Deus, utpote creator noster, cum creaturæ simus, non autem filii. Filii quidem et nos sumus, sed per adoptionis gratiam, eximia benignitate Filii secundum naturam nobis adunati, atque adeo prout gratiæ participes sumus, quoniam ipse quidem cum sit natura Filius, secundum naturam habet quæ sunt Patris et Spiritus, et quemadmodum C ipsis communis est unaque natura, ita communis est potentia donaque communia. Corpus vero arcte nobis conjunctum omnia habet quæ secundam naturam sunt Verbi a quo assumptum est universaque Patris et Spiritus charismata, cum a Verbo sejungi nequeant, et proptèrea Christo inest omnis plenitudo divinitatis. In nobis autem dona sunt secundum partem et analogiam, nam ex plenitudine ejus omnes nos accepimus et gratiam pro gratia majorem, quippe pro umbra lucis veritatis lucem accepimus. Et hæc erat lux vera quæ illuminat hominem venientem in hunc mundum, Christus Jesus Deus noster qui dicit: « Ego sum lux mundi; » et: « Qui sequitur me non ambulat in tenebris, sed habebit lumen vitæ, » qui secun- D dum nos factus, ut nos duplicis substantiæ sanctificaret, mysteria adhibuit, et dupliciter nobis largitus est gratiam. Primum quidem baptismum dedit donorum principium, deinde vero unguentum per oleum et impositionem manuum, dona gratiarum et prophetiæ, apostolatus, prædicationis et sacerdotii per impositionem manuum, per adventum et stationem Spiritus in linguis igneis, operationes virtutum, interpretationes et linguarum varietates; atque ministerii charismata pluraque alia munera ineffabilia quæ omnia sunt ejusdem et unius sancti Spiritus operationes. Quamobrem diversa sunt charismata et in multis operantia, et alii quidem istud, alii autem aliud datur,

καὶ. « Ἡ ζωὴ ἐφανερώθη. » Καὶ, « Ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν. » Οὗτος τοίνυν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος Ἰησοῦς Χριστὸς μόνος, τέλειος ὢν Θεὸς ἐκ Θεοῦ Λόγος, καὶ Υἱὸς μονογενὴς ἐκ Πατρὸς, ἀληθῶς ἐνανθρωπήσας, καὶ τέλειος γέγονεν ἄνθρωπος ὑπὲρ ἡμῶν τῶν ἀνθρώπων, ὁ αὐτὸς Θεὸς ὢν καὶ ὁ αὐτὸς ἄνθρωπος ὢν ἐν μιᾷ τῇ ὑποστάσει, εἷς ὁ αὐτὸς ἐν δυσὶ ταῖς φύσεσι καὶ θελήσεσι καὶ ἐνεργείαις γνωριζόμενος. Καὶ ὁ αὐτὸς ἦν θαυματουργῶν, καὶ πεζοπορῶν, καὶ πεινῶν καὶ τρεφόμενος, καὶ πληθύνων τοὺς ἄρτους, καὶ κοιμώμενος, καὶ ἱστῶν κινήσεις ἀνέμων, καὶ ἀνιστῶν νεκροὺς, καὶ θανατούμενος ὡς θνητὸς, καὶ σφραγιζόμενος ἐν μνήματι, καὶ ἀνιστῶν ἑαυτοῦ τὸ σῶμα, καὶ ψηλαφόμενος μετὰ τὴν ἔγερσιν, καὶ εἰσιὼν κεκλεισμένων τῶν θυρῶν, ὡς καὶ ἐξῆλθε τοῦ τάφου μὴ διαλυθεισῶν τῶν σφραγίδων. Ἐπεὶ καὶ Θεὸς ἦν, καὶ ἄνθρωπος ὁ αὐτὸς, τὸ μὲν προὼν, τὸ δὲ ὕστερον γεγονὼς, καὶ τὰ μὲν πάσχων ὡς ἄνθρωπος, τὰ δὲ ὡς Θεὸς ἐνεργῶν. Διὰ τοῦτο ἐκεῖνος μόνος Θεός ἐστι, καὶ οὐδεὶς ἄλλος, εἰ καὶ ἐνηνθρώπησε. Κἀκείνου μόνου τῇ φύσει Πατὴρ ὁ Πατὴρ, ὁ καὶ ἐπὶ τῶν πάντων Θεὸς, ἡμῶν δὲ κατὰ χάριν. Ὃς καὶ Θεὸς αὐτοῦ δι' ἡμᾶς, καὶ ὃ προσείληφε πρόσλημμα, τῆς φύσεως ἡμῶν ἀπαρχὴν, καὶ Θεὸς ἡμῶν ὡς δημιουργὸς ἡμῶν, κτισμάτων ὄντων ἡμῶν, καὶ οὐχ υἱῶν. Εἰ δὲ καὶ υἱοὶ ἡμεῖς, ἀλλὰ κατὰ θέσιν καὶ διὰ τοῦ κατὰ φύσιν **53** Υἱοῦ ἡμῖν ἑνωθέντος ἄκρᾳ χρηστότητι. Τοίνυν οὕτω καὶ κατὰ τὸ μετέχειν ἡμᾶς τῆς χάριτος· ὅτι αὐτὸς μὲν οἷα φύσει Υἱὸς, κατὰ φύσιν ἔχει τὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ κοινὴ αὐτοῖς ὡς καὶ ἡ φύσις καὶ μία, καὶ ἡ δύναμις καὶ δωρεά· καὶ τὸ σῶμα δὲ τὸ ἄκρως ἡνωμένον αὐτῷ πάντα ἔχει τά τε κατὰ φύσιν τοῦ Λόγου τοῦ προσειληφότος αὐτὸ, καὶ τοῦ Πατρὸς καὶ Πνεύματος τὰ χαρίσματα, ἀχωρίστων ὄντων τοῦ Λόγου. Καὶ διὰ τοῦτο πᾶν τὸ πλήρωμα ἐν τῷ Χριστῷ τῆς θεότητος· ἐν ἡμῖν δὲ μερικὰ καὶ ἀνάλογα τὰ δωρήματα καθόσον δυνάμεθα. Ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος μείζονα. Ἀντὶ γὰρ τῆς σκιᾶς τοῦ νόμου τὰ τῆς ἀληθείας ἐλάβομεν. Καὶ τοῦτο ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ λέγων, « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Καὶ ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Ὃς καὶ καθ' ἡμᾶς γεγονὼς, ἵν' ἁγιάσῃ ἡμᾶς διπλοῦς ὄντας, καὶ μυστηρίων ἐδεήθη. Καὶ διπλῶς ἡμῖν τὴν χάριν ἐβράβευσε· καὶ βάπτισμα μὲν ἀπαρχὴν δωρημάτων δέδωκεν, ἔπειτα μύρον, ἐλαίῳ τε καὶ τῇ ἐπιθέσει τῶν χειρῶν, καὶ δωρήματα ἰαμάτων καὶ προφητείας, καὶ ἀποστολῆς, καὶ κηρύγματος, καὶ ἱερωσύνης, ἐπιθέσει χειρῶν, καὶ ἐπιδημίᾳ καὶ ἐπικαθίσει Πνεύματος διὰ πυρίνων γλωσσῶν, καὶ ἐνεργήματα δυνάμεων, καὶ ἑρμηνείας, καὶ γλωσσῶν διαφορὰς, καὶ διακονιῶν χαρίσματα, καὶ πλείστας ἄλλας ἀμυθήτους δωρεὰς, ἃ πάντα εἰσὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ἁγίου Πνεύματος ἐνεργήματα. Καὶ διὰ τοῦτο διάφορα καὶ τὰ

χαρίσματα, καὶ ἐν πολλοῖς ἐνεργούμενα. Καὶ ᾧ μὲν δέδοται τοῦτο, ᾧ δὲ ἐκείνῳ, ὡς Παῦλός φησι, λέγων, « Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεῖαι, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεῖαι γλωσσῶν. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ἰδίᾳ καθὼς βούλεται. Διότι καὶ ἓν μὲν αὐτὸ, διαιρεῖ δὲ ἑκάστῳ τὰ χαρίσματα, καθὼς βούλεται. » Καὶ Παῦλός φησιν· « Ἡμῖν δὲ εἷς Θεὸς καὶ Πατὴρ πάντων, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός. » Καὶ περὶ τοῦ Πνεύματος ὁμοίως· « Ἓν δὲ καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. »

ΚΕΦΑΛ. ΛΒʹ.

Κατὰ Λατίνων, ὅτι ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα.

Ὅθεν φανερόν ἐστιν, ὡς ἓν μὲν τὸ θεῖον Πνεῦμα, καὶ ἐκ τοῦ ἑνὸς τοῦ Πατρός. Ἓν τὸ Πνεῦμα ὡς ἐκπορευόμενον ἐξ αὐτοῦ, ὡς καὶ εἷς ὁ Κύριος καὶ Μονογενὴς, ἐκ μόνου τοῦ Πατρὸς γεννητῶς ἐστιν ὁ Υἱός. Καὶ διὰ τοῦτο οὐ δυνατὸν τὸ ἓν καὶ τὸ αὐτὸ ἐκ δύο ἔχειν τὴν ἀρχὴν, ὡς οἱ Λατῖνοί φασιν, ἐπεὶ καὶ ὁ Μονογενὴς εἷς ἐκ τοῦ ἑνός ἐστι. Καὶ μόνος ἐκ μόνου γεννητῶς, ὡς καὶ τὸ θεῖον Πνεῦμα ἕν, καὶ μόνον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορευτῶς. Καὶ εἷς ὁ αἴτιος τούτων, ὅτι καὶ πρὸς αὐτὸν τὰ ἐξ αὐτοῦ ἀναφέρεται. Καὶ διὰ τοῦτο μοναρχία τὸ προσκυνούμενον ἡμῖν, ὅτι πρὸς τὸ ἓν αἴτιον, τὸν Πατέρα, τὸ μόνον γεννητὸν ὁ Υἱὸς, μὴ ἀλλοιούμενον ὅλως, καὶ τὸ μόνον ἐκπορευτὸν ἅγιον Πνεῦμα, μὴ ἀλλοιούμενον ὅλως ἀναφέρεται. Οὐ φύσιν δὲ τὸ γεννητὸν δηλοῖ καὶ ἐκπορευτὸν, ὡς οἱ Πατέρες φασὶν, ἀλλ' ἰδιότητα μόνην. Μία γὰρ φύσις τοῖς τρισὶ, τηροῦσι τὰ ἑαυτῶν ἰδιώματα, ὅτι καὶ εἷς ὁ αἴτιος τοῦ Μονογενοῦς καὶ τοῦ ἐκπορευομένου Πνεύματος, ὁ Πατὴρ αὐτοῦ, τὸ μὲν γεννῶντος ἀφράστως καὶ ἀσωμάτως, τὸ δὲ ἐκπορεύοντος. Διὰ τοῦτο καὶ μία Θεότης ἐν Τριάδι, καὶ ἡ Τριὰς ἀδιαίρετος. **54** Ἕνωσις γὰρ Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, ἡ θεολόγος φησὶ φωνή. Τοῦ Πνεύματος δὲ καρποὶ διάφοροι, ἅπερ ἐνέργειαί εἰσι καὶ δυνάμεις. Καὶ τοῦτο Παῦλός φησιν, « Ὁ καρπὸς τοῦ Πνεύματος, » λέγων, « ἐστὶ χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης » καὶ τὰ λοιπὰ, ἃ καὶ οἱ λοιποὶ τῶν ἀποστόλων συμμαρτυροῦσιν, Ἰωάννης λέγων, « Ὁ δὲ Θεὸς ἀγάπη ἐστί. » Καὶ Παῦλος πάλιν, « Χαίρετε ἐν Κυρίῳ, » καὶ, « Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν. » Καὶ Δαβὶδ, « Χρηστὸς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν. » Καὶ, « Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. » Καὶ, « Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς διὰ τὴν ἀγαθωσύνην. » Καὶ, « Πιστὸς Κύριος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. » Καὶ ὁ Σωτὴρ, » Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι. » Καὶ καρπὸς τοῦ Πνεύματος ἡ πραότης. Καὶ, « Σὺ, Κύριε, » ὁ Δαβὶδ πάλιν φησὶ, « μακρόθυμος καὶ πολυέλεος. » Καὶ, « Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ, » διὰ τὴν ἐγκράτειαν. Ὥστε καὶ οἱ καρποὶ τοῦ Πνεύματος ἐν τῷ Πατρὶ θεωροῦνται καὶ τῷ Υἱῷ. Καὶ ἡ υἱοθεσία ἡμῖν ἐν Πνεύματι γίνεται,

A quemadmodum ait Paulus dicens : « Alii quidem per Spiritum datur sermo sapientiæ, alii autem sermo scientiæ secundum eumdem Spiritum ; alteri fides in eodem Spiritu ; alii operatio virtutum, alii prophetia, alii discretio spirituum ; alii genera linguarum ; alii interpretatio sermonum ; hæc autem omnia operatur unus atque idem Spiritus, dividens singulis prout vult : » ideo ipse quidem unus est, dividit autem singulis prout vult. Dixit etiam Paulus : « Nobis vero unus est Deus et Pater omnium, unusque Dominus Jesus Christus, » et similiter de Spiritu : « Unus atque idem Spiritus dividens singulis prout vult. »

B

CAPUT XXXII.

Contra Latinos, quod ex solo Patre Spiritus procedit.

Unde manifestum est unum esse Spiritum qui est a Patre. Unus est Spiritus quoniam ab ipso procedit, perinde ac unus est Dominus et Unigenitus qui a solo Patre generatur Filius. Et propterea impossibile est unum et idem a duobus habere quod exsistat, ideo et Unigenitus unus est quoniam ab uno generatur. Quemadmodum unus ex uno via generationis, ita unus divinus Spiritus solusque ex solo Patre via processionis. Unum est eorum principium quoniam ad ipsum quæ ab ipso sunt referuntur, et ideo una est potestas quam adoramus quoniam ad unum principium, nempe C Patrem, qui solus generatur Filius prorsus immutabilis, et qui solus procedit sanctus Spiritus omnino pariter immutabilis referuntur. Verum generari et procedere non naturam ostendit, ut aiunt Patres, sed solummodo proprietatem; una est enim tribus natura personis quæ propria servant idiomata, quoniam unum est principium Unigeniti et procedentis Spiritus, scilicet illius Pater, alius quidem principium per ineffabilem et incorpoream generationem, alterius vero per processionem. Quamobrem una Deitas in Trinitate et una Trinitas indivisibilis : vinculum enim Filii et Spiritus Pater, inquit Theologus. Spiritus fructus diversi sunt, videlicet operationes et virtutes, quod dixit Paulus : « Fru- D ctus, ait, Spiritus est gaudium, pax, longanimitas, benignitas et cætera, » quæ cæteri testantur apostoli ; Joannes dicit : « Deus est charitas ; et Paulus iterum : « Gaudete in Domino, » et, « Christus est pax nostra ; » David autem : « Bonus est Dominus omnibus invocantibus eum ; » et : « Gustate et videte quoniam suavis est Dominus ; » et : « Confitemini Domino quoniam bonus propter benignitatem ; » et : « Fidelis est Dominus in omnibus operibus suis ; » Dominus vero Salvator : « Discite a me quia mitis sum et humilis corde ; » porro Spiritus fructus mansuetudo ; et : « Tu, Domine, rursus ait David, longanimis et misericors ; » et : « Quicunque Spiritu Dei aguntur, ii sunt filii Dei, » nempe propter temperantiam. Quemadmodum fructus Spiritus in Patre et Filio videntur, ita filio-

rum adoptio nobis in Spiritu facta est, quoniam A communia sunt Trinitatis charismata, unaque est potestas, una Trinitatis operatio. Propterea athei sunt qui Trinitatis operationes non celebrant, vel confitentur quidem, creaturas autem eas appellant. Nam si illæ in nobis sunt creaturæ, quid tam eximium habemus? Si vero naturam Dei habemus, ut illi delirant, igitur nos quoque homines in persona Dei erimus, aliique Dii-homines, sicut Christus, non gratiam habentes sed personam Filii, vel Patris aut Spiritus; quid autem pejus hac blasphemia excogitari potest? Si autem creaturam in nobis habemus, Deum ergo non habemus; verum quomodo nobiscum Deus? Quomodo Spiritum qui ex Deo est accepimus? Quomodo Spiritum Christi B habemus? quomodo donum Spiritus accepimus? Quodnam est promissum Spiritus in nobis? quænam virtus ex alto apostolis supervenit? Quid Spiritus sanctus Cornelio ejusque sociis superveniens? Quid acceperunt viri a Philippo baptizati, Petro et Joanne manus eis imponentibus? Quid acceperunt viri a Paulo baptizati, qui prius nec sciebant nec audiverant si est Spiritus sanctus? Quid operationes virtutum? quid gratiæ sanitatum? quid meliora charismata? Quænam insuper gratia Domini nostri Jesu Christi? Quid illud: « Gratia vobis a Deo Patre et Domino Jesu Christo? » Quare invocatur divina gratia quando fiunt ordinationes? Numquid inani sensu dicitur gratia? Proh! fallaciam et blasphemiam eorum qui sine gratia gratiam Dei C aggrediuntur! Quid autem donum sancti Spiritus? Numquid natura in tribus personis? Nequaquam, naturam enim Dei nemo suscipit. Numquid igitur creatura? sed quomodo Deum in nobis habemus? quomodo Christum portamus? quomodo Spiritum sanctum in cordibus vere accepimus? Idcirco Trinitatis est in nobis gratia qua nobis a Patre per Filium incarnatum in sancto Spiritu impertitur. Ideo ipsa in nobis diverso modo operatur; et alium quidem sanctificat et per baptismum regenerat, alium vero ungit et obsignat per unguentum, alterum autem ordinat sacerdotem, et hunc etiam diversa ratione: hic quidem constituitur lector populo, ille vero subdiaconus, alius autem diaconus, sacerdos alter, alter denique D pontifex; et unus quidem est apostolus, alius autem propheta, alius doctor, aliusque virtutes vel gratias sanitatum habens, et cætera. Et alii quidem per Spiritum datur sermo sapientiæ, alii vero sermo scientiæ secundum eumdem Spiritum, et cætera ut diximus. Unde in nobis non est persona Spiritus, sed in Spiritu communis gratia Trinitatis et diversæ operationes. Ideo neque qui baptismum suscipit statim sacerdotio donatur, neque diaconus factus presbyterii potestatem accipit, neque presbyter ordinatus episcopi gratia adornatur, sed quisque suum accipit, et alius quidem minori, alius vero majori virtute præditus est. Diaconus quidem ministrat, sacerdos vero

ὅτι καὶ κοινὰ τὰ χαρίσματα τῆς Τριάδος. Ὅτι καὶ μία δύναμις καὶ ἐνέργεια τῆς Τριάδος. Διὰ τοῦτο ἄθεοι οἱ μὴ τὰς ἐνεργείας δοξάζοντες τῆς Τριάδος· ἢ ὁμολογοῦντες μὲν, κτίσματα δὲ ταύτας καλοῦντες. Εἰ γὰρ ἐν ἡμῖν κτίσματα, τί περισσὸν ἔχομεν; Εἰ δέ γε φύσιν ἔχομεν Θεοῦ, ὡς οὗτοι ληροῦσι, θεοϋπόστατοι καὶ ἡμεῖς ἐσόμεθα ἄνθρωποι, καὶ θεάνθρωποι ἄλλοι ὡς ὁ Χριστὸς, καὶ οὐ χάριν ἔχοντες, ἀλλὰ ἢ τὴν ὑπόστασιν τοῦ Υἱοῦ, ἢ τοῦ Πατρὸς, ἢ τοῦ Πνεύματος. Καὶ τί ἂν ἄλλο χεῖρον τῆς βλασφημίας ταύτης γένοιτό ποτε; Εἰ δὲ κτίσμα ἐν ἑαυτοῖς ἔχομεν, Θεὸν οὐχ ἔχομεν ἄρα. Καὶ πῶς μεθ' ἡμῶν ὁ Θεός; Καὶ πῶς τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν; Καὶ πῶς Πνεῦμα Χριστοῦ ἔχομεν; Καὶ πῶς τὴν δωρεὰν τοῦ Πνεύματος ἐλάβομεν; Καὶ τίς ἡ ἐπαγγελία τοῦ Πνεύματος ἐν ἡμῖν; Καὶ ποία ἡ ἐπελθοῦσα τοῖς ἀποστόλοις ἐξ ὕψους δύναμις; Καὶ τί τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐπελθὸν τῷ Κορνηλίῳ καὶ τοῖς σὺν αὐτῷ; Ποῖον δὲ ὃ ἐλάμβανον οἱ βαπτισθέντες ὑπὸ Φιλίππου; ἐπιτιθέντων τὰς χεῖρας αὐτοῖς Πέτρου καὶ Ἰωάννου; Ποῖον δὲ ὃ ἔλαβον οἱ βαπτισθέντες ὑπὸ Παύλου, πρότερον μὴ εἰδότες ἢ ἀκηκοότες εἰ ἔστι Πνεῦμα ἅγιον; Τί τὰ ἐνεργήματα τῶν δυνάμεων; τὰ χαρίσματα τῶν ἰαμάτων; τὰ χαρίσματα τὰ κρείττονα; Τί δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; καὶ τὸ, « Χάρις ὑμῖν εἴη ἀπὸ Θεοῦ Πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ; » Διατί δὲ ἡ ἐπίκλησις τῆς θείας χάριτο; γίνεται ἐν ταῖς γινομέναις χειροτονίαις; Ἆρα εἰς κενὸν λέγεται; Φεῦ τῆς ἀπάτης καὶ βλασφημίας τῶν κατὰ τῆς χάριτος τοῦ Θεοῦ δίχα χάριτος κινουμένων! Τίς δὲ ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος; Ἆρα ἡ τρισυπόστατος φύσις; Οὐδαμῶς. Οὐ γὰρ Θεοῦ φύσιν τις ὑποδέχεται. Καὶ λοιπὸν κτίσμα; Καὶ πῶς τὸν Θεὸν ἐν ἡμῖν ἔχομεν; Καὶ πῶς τὸν Χριστὸν φοροῦμεν; Καὶ πῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐν ταῖς καρδίαις ἐλάβομεν ἀληθῶς; Ἆρα χάρις ἐστὶ τῆς Τριάδος ἐν ἡμῖν. Καὶ χορηγεῖται αὕτη ἡμῖν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ σαρκωθέντος ἐν ἁγίῳ Πνεύματι. Διὰ τοῦτο καὶ διαφόρως ἐν ἡμῖν αὕτη ἐνεργεῖ. Καὶ ὃν μὲν τελειοῖ καὶ ἀναγεννᾷ διὰ τοῦ βαπτίσματος, ὃν δὲ χρίει καὶ σφραγίζει τῷ μύρῳ, ὃν δὲ ἱερέα χειροτονεῖ, καὶ τοῦτον δὲ διαφόρως. Ὁ μὲν γάρ ἐστιν ἀναγινώσκων τῷ λαῷ, ὁ δὲ ὑπουργὸς, ὁ δὲ διακονῶν, ὁ δὲ ἱερουργῶν, ὁ δὲ ἀρχιερατεύων τὸ τελεώτατον. Καὶ ὁ μὲν ἔστιν ἀπόστολος, ὁ δὲ προφήτης, ὁ δὲ διδάσκαλος, ὁ δὲ δυνάμεις ἢ χαρίσματα ἰαμάτων ἔχων, ἢ τὰ λοιπά. Καὶ ᾧ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, καὶ τὰ λοιπὰ, ὡς εἰρήκαμεν. Ὥστε οὐχ ἡ ὑπόστασίς ἐστι τοῦ Πνεύματος ἐν ἡμῖν, ἀλλ' ἐν τῷ Πνεύματι ἡ κοινὴ χάρις τῆς Τριάδος, καὶ τὰ διάφορα ἐνεργήματα. Διὸ οὐδὲ ὁ τὸ βάπτισμα λαβὼν εὐθὺς τυγχάνει καὶ ἱερεὺς, οὐδ' ὁ διάκονος γεγονὼς καὶ τὴν τοῦ πρεσβυτέρου λαμβάνει **55** δύναμιν, οὐδ' ὁ πρεσβύτερος χειροτονηθεὶς καὶ τὴν τοῦ ἐπισκόπου λαμβάνει χάριν· ἀλλ' ἕκαστος ὅπερ ἔλαβεν, ἔλαβε, καὶ ὁ μὲν ἐν ἐλάττονι, ὁ δὲ ἐν μείζονι ἐστι τῇ δυνάμει. Καὶ διάκονος μὲν ὑπηρετεῖ, ἱερεὺς δὲ ἱερουργεῖ, ἀρχιερεὺς δὲ χειρο-

τονεῖ, καὶ τῶν χαρισμάτων τοῦ Θεοῦ μεταδίδωσι, καὶ λύειν καὶ δεσμεῖν πταίσματα τὴν ἐξουσίαν πλουτεῖ. Τίς ἄρα αὕτη ἡ ἐξουσία; Τίς δύναμις τὸ χειροτονεῖν; Τί δέ ἐστιν ἡ χειροτονία; Ἄρα κτίσμα ἐν ἡμῖν; Καὶ τί ἄρα τὸ κτίσμα δύναται; Πῶς θεοῖ; Καὶ πῶς καθαίρει; Καὶ πῶς ἄρα τελειοῖ; Τί δὲ καὶ ἡ ἐπίκλησις τῆς τοῦ Θεοῦ χάριτος; Ἄρ' οὐκ ἰσχύει τι; Λοιπὸν οὐκ ἐν ἡμῖν τὸ Πνεῦμα τῆς χάριτος; Βαβαὶ τῆς βλασφημίας! Πόῤῥω ἐστὶ τῆς τοῦ Θεοῦ χάριτος ὁ μὴ κηρύττων τὴν τοῦ Θεοῦ χάριν, καὶ τοῦ Πνεύματος τοῦ Θεοῦ ἀλλότριος, καὶ ἀχαρίτωτος οὗτος, καὶ κοινωνίαν μὴ ἔχων μετὰ τοῦ θείου Πνεύματος, τοῦ ἀλλοτρίου δὲ μᾶλλον Πνεύματος, καὶ ἔμπλεως τούτου τῆς πονηρᾶς δυνάμεως. Οὗ δὴ καὶ τῇ ἐναγεῖ καὶ σκοτεινῇ ἐνεργείᾳ τὴν τῆς Τριάδος ἠρνήσατο χάριν ὁ δείλαιος, ὡς ἀνόητος ὤν, μωρανθεὶς, καὶ περὶ τῶν θείων κενὰ μεμελετηκώς. Καὶ τὸ φῶς τοῦ Θεοῦ οὐκ οἶδεν, ὅτι τοῦτο ἠθέτησε. Καὶ μὴ θελήσας, οὐκ ἠθελήθη. Καὶ οὐκ ἔγνω ψάλλειν μετὰ τοῦ Δαβὶδ, « Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, » καὶ, « Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. » Οὐδὲ τῆς τοῦ Θεοῦ βασιλείας ἠθέλησε κληρονόμος ἀναφανῆναι κατ' ἐκείνους, περὶ ὧν εἴρηται, « Οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει, » ἣν καὶ εἶδον ἐν τῷ ὄρει καθ' ὅσον ἠδύναντο, τὸ φῶς τὸ ἀνέσπερον, δι' οὗ καὶ οἱ δίκαιοι τότε ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ὡς ὁ τῆς δικαιοσύνης ἐδίδαξεν ἥλιος. Περὶ ἧς λαμπρότητος καὶ ὁ τὸ φῶς ἐκεῖνο ἰδὼν υἱὸς τῆς βροντῆς γράφει, « Νῦν οὐκ οἴδαμεν τί ἐσόμεθα. Οἴδαμεν δὲ ὅτι ὅταν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα. » Καὶ ὁ Παῦλος, ὡς μὴ πρότερον μὲν καθαρὸς ὤν, ἰδὼν ἐκεῖνο τὸ φῶς, καὶ πεσὼν, καθαρθεὶς ἀνέστη, ἐκ τούτου δεικνὺς τὴν ἐκ τῆς πτώσεως αὐτοῦ ἔγερσιν, καὶ τὸν ἐκ τοῦ σκότους φωτισμὸν, καὶ ἔτι δι' αὐτοῦ τὸν τῆς οἰκουμένης. Ὕστερον δὲ ἁρπαγεὶς εἰς τὸν οὐρανὸν ὡς κεκαθαρμένος ὅλος, τοῦτο λαμπρότερον εἶδε. Καὶ βοῶν ἔλεγεν, « Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. » Καὶ, « Νῦν γινώσκομεν ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. » Οὗ καὶ τοὺς ἀῤῥαβῶνας ἔσχε Μωϋσῆς ἐν τῷ ὄρει. Διὸ καὶ οὐκ ἠδύναντο θεωρεῖν αὐτοῦ τὸ πρόσωπον οἱ υἱοὶ τοῦ Ἰσραήλ. Καὶ Στέφανος δὲ λαμπρότερον τοῦτο τὸ φῶς εἶδε. Καὶ καταυγασθεὶς, τὸ πρόσωπον αὐτοῦ ἦν ὡσεὶ πρόσωπον ἀγγέλου, ὡς γέγραπται. Πρὸς γὰρ τὸ κάλλος ἐκεῖνο ἦν καὶ ἡ ἐξαλλομένη λαμπρότης τῷ σώματι. Ἡ ἐν τῇ ψυχῇ γὰρ ἐκχυθεῖσα θεία καὶ ἄϋλος τοῦ Πνεύματος ἀστραπὴ τε καὶ χάρις, καὶ τὸ σῶμα περιηύγαζεν, ὡς καὶ τὸ τοῦ Μωϋσέως. Τοῦτο δὲ τὸ φῶς, οὐ καθὼς ἔστιν, ἀλλ' ὡς δυνατὸν ἦν, ἑωρᾶτο τοῖς θεωμένοις, ὡς καὶ ἐν τοῖς προφήταις, οὐ καθὼς ἦν, ἀλλὰ κατὰ δύναμιν ἑωρᾶτο τῶν ὁρώντων, καὶ αὐτοὺς περιήστραπτε. Καὶ τί δεῖ πολλὰ λέγειν περὶ τῆς θείας ἐκείνης λαμπρότητος, δι' ἧς οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ παρουσίᾳ τοῦ Πατρὸς αὐτῶν (ὡς ἔφη Χριστὸς) τῶν ἀκτίνων τοῦ ἀδύτου ἡλίου μετέχον-

A sacrificat, pontifex autem ordinat et charismata Dei dispensat, gaudetque potestate peccata solvendi atque ligandi. Porro quænam ista potestas? Quænam ordinandi potentia? quid est ordinatio? nunquid creatura in nobis? Quid ergo potest creatura? quomodo deos facit? quomodo emundat? quomodo sanctificat? Quid invocatio gratiæ Dei? Nonne aliquid valet? Igitur in nobis non est Spiritus gratiæ? Proh! infandam blasphemiam! longe est a gratia Dei qui Dei gratiam non profitetur; hic alienus est a Spiritu Dei gratiaque vacuus, neque societatem habet cum divino Spiritu, vel magis plenus est alieni Spiritus, nempe Spiritus iniquæ potestatis, cujus nefaria et tenebrosa operatione Trinitatis gratiam nequissimus abnegavit B utpote amens, insensatus et inania de divinis rebus meditatus, et lumen Dei non novit, quoniam illud rejecit ipseque aspernatus abjectus est. Nescivit cum David psallere: « Et sit splendor Domini Dei nostri super nos, » et: « Illumina oculos meos, ne unquam obdorniam in morte; » neque voluit regni Dei hæres fieri secundum eos de quibus dictum est: « Sunt qui non gustabunt mortem donec videant regnum Dei veniens in virtute. » Quod viderunt in monte, quantum poterant, scilicet lucem sine vespere qua justi tunc fulgebunt sicut sol, prout docuit sol justitiæ. De quo splendore lucem illam intuitus tonitrui filius scribit: « Nunc nescimus quid erimus, scimus autem quoniam, cum apparuerit, similes ei erimus. » C Paulus vero, prius quidem nequaquam mundus, videns illud lumen et cadens surrexit purificatus, inde manifestans suam e casu surrectionem, suam e tenebris illustrationem, universæque terræ per eum illuminationem; posterius autem in cœlum raptus, utpote totus emundatus, illud splendidius vidit, et clamabat dicens: « Apparuit gratia Salvatoris nostri omnibus hominibus; et: Nunc cognoscimus in speculo et in ænigmate, tunc autem facie ad faciem; » cujus luminis pignora habuit Moyses in monte, ideo non poterant filii Israel in faciem ejus intendere. Stephanus vero clarius hanc lucem aspexit: resplenduit enim vultus ejus, prout scriptum est, sicut vultus angeli; D nam ad illum decorem spectabat splendor corpus adornans, et in anima erat diffusa divina et incorporea divini Spiritus gratia et coruscatio, ejusque emicabat corpus quemadmodum Moysis facies. Illud autem lumen non sicuti est, sed sicut erat possibile, ab intuentibus conspectum est, quemadmodum in prophetis non sicuti erat videbatur, sed secundum virtutem videntium, et oculos eorum perstringebat. Et quid oportet plura dicere de divino illo splendore, quo justi fulgebunt sicut sol in conspectu Patris eorum, ut dixit Christus, radios solis inaccessi participantes? Iste est lux vera quæ illuminat omnem hominem venientem in hunc mundum, inquit Joannes in Evangelio. In Apocalypsi vero scriptum est: « Justis non erit splendor

solis, sed agnus erit eis lucerna non deficiens.» Hic autem agnus est agnus Dei Jesus Christus qui est Dominus gloriæ, de quo David dixit: «Dominus gloriæ intonuit,» et Paulus: «Nunquam Dominum gloriæ crucifixissent.» Ideo scriptum est in Evangelio: «Et vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre,» quæ gloria non est persona ex tribus personis constans, sed gratia; «plenum, ait, gratiæ et veritatis.» Quod Petrus sapientissime testatur dicens: «Non enim doctas fabulas secuti, notam fecimus vobis Domini nostri Jesu Christi virtutem et præsentiam, sed speculatores facti illius magnitudinis,» quam gloriam et honorem vocat. Ait enim: «Accipiens a Deo Patre honorem et gloriam, voce delapsa ad eum hujuscemodi a magnifica gloria» ... Viden' quoniam Patrem gloriam vocat quia fons est et principium gloriæ, Filium vero regem gloriæ appellat? Sed Paulus quoque eum splendorem gloria cognominat dicens: «Qui cum sit splendor gloriæ.» Eodem nomine gratiam et personam significat quemadmodum diversa voce Spiritum operationes appellat, spiritumque vocat Spiritus divini personam a qua descendunt charismata. Communis ergo Trinitatis gloria, propterea: «Sanctus, sanctus, sanctus, Dominus Sabaoth: pleni sunt cœli et terra gloria ejus.» Una est Trinitatis divinitas, ideoque dii sunt quos illa tanto honore dignatur. Propterea etiam Deus est in synagoga deorum. Unus quoque Trinitatis splendor de quo David, ut diximus, precatur: «Et sit splendor Domini Dei nostri super nos,» et: «In splendoribus, inquit, sanctorum tuorum.» Aspice quoniam splendor est in Deo, et in sanctis quoque splendor; ait enim Petrus: «Vocavit nos in admirabile lumen suum;» de hoc nos docet alius theologus qui lucem Dei vidit et sustulit. Pastores autem illam ante eum viderant, nam gloria Domini circumfulsit eos, quæ fulgidos angelos manifestat. Ait enim Psalmista: «Qui facit angelos suos spiritus et ministros suos flammam ignis.» — «Erat autem aspectus ejus sicut fulgur, vestimenta autem alba sicut nix.» Ipse vero splendor gloriæ multo magis incarnatus effulsit, et quantum intueri poterant discipuli, istis in monte conspectus est: «Et resplenduit, inquit Matthæus, facies ejus sicut sol, vestimenta autem ejus facta sunt alba sicut nix;» alius autem Evangelista dixit: Sicut lux, quia non sicuti est, sed prout sustinere poterant cernebatur. Rursus etiam angelos in monumento fulgidos aspexerunt divinæ mulieres et Petrus in carcere. Sed angelis quidem lux erat secundum participationem, et ideo isti sunt lux secundaria primæ lucis ministri, ut dixit quidam theologus; Dominus autem lux vera secundum naturam habet splendorem propter quam precabatur David dicens: «Emitte lucem tuam et veritatem tuam,» quam alibi illuminationem vultus Dei cognominat. Necnon de illuminatione quæ datur sanctis: «Exortum est,

A τες; «Ὅς ἐστι τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον,» Ἰωάννης ἐν τῷ Εὐαγγελίῳ φησί. Καὶ ἐν τῇ Ἀποκαλύψει δὲ γέγραπται, ὡς οὐκ ἔσται τοῖς δικαίοις ἡλίου ἔλλαμψις, ἀλλὰ τὸ ἀρνίον ἔσται φῶς αὐτοῖς μὴ ἐκλειπόμενον. Ἀρνίον δὲ ὁ ἀμνὸς τοῦ Θεοῦ Ἰησοῦς Χριστὸς, ὃς καὶ Κύριος τῆς δόξης ἐστί. Καὶ Δαβὶδ περὶ τούτου φησί· «Κύριος τῆς δόξης ἐβρόντησε.» Καὶ ὁ Παῦλος, «Οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.» Διὸ καὶ ἐν τῷ Εὐαγγελίῳ γέγραπται, «Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν **56** ὡς Μονογενοῦς παρὰ Πατρός·» καὶ ταύτην οὐχ ὑπόστασιν ἐκ τῶν τριῶν ὑποστάσεων, ἀλλὰ χάριν. «Πλήρης χάριτος καὶ ἀληθείας,» φησί. Καὶ ὁ Πέτρος δὲ σαφέστατα τοῦτο μαρτυρεῖ, λέγων, «Οὐ
B γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου Ἰησοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητι.» Καὶ δόξαν τοῦτο καὶ τιμὴν ὀνομάζει. Λαβὼν γάρ, φησί, παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης. Ὁρᾷς ὅτι καὶ τὸν Πατέρα δόξαν φησίν; ὅτι πηγὴ καὶ ἀρχὴ τῆς δόξης, καὶ τὸν Υἱὸν δὲ βασιλέα τῆς δόξης; Ἀλλὰ καὶ Παῦλος, «Ἀπαύγασμα τῆς δόξης,» φησίν. «Ὅς ὢν ἀπαύγασμα τῆς δόξης·» ὁμωνύμως τῇ χάριτι καὶ τὴν ὑπόστασιν ὀνομάζων, ὡς καὶ Πνεῦμα διαφόρως τὰ ἐνεργήματα καλεῖ. Καὶ Πνεῦμα τὴν ὑπόστασιν αὐτὴν ὀνομάζει τοῦ θείου Πνεύματος, ἐξ ἧς τὰ χαρίσματα. Κοινὴ ἄρα ἡ δόξα τῆς Τριάδος. Ἐπεὶ καὶ
C «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.» Καὶ μία θεότης τῆς Τριάδος, ἐπεὶ καὶ θεοὶ οἱ ἀπὸ ταύτης θεούμενοι. Διὰ τοῦτο καὶ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. Καὶ μία λαμπρότης ἡ τῆς Τριάδος, περὶ ἧς εὔχεται Δαβὶδ, καθὼς ἔφημεν, «Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.» Καὶ, «Ἐν ταῖς λαμπρότησι, φησί, τῶν ἁγίων σου.» Ὅρα δὲ ὅτι καὶ ἐν τῷ Θεῷ λαμπρότης, καὶ ἐν τοῖς ἁγίοις λαμπρότης· «Ἐκάλεσε γὰρ ἡμᾶς πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς,» Πέτρος λέγει. Καὶ ἄλλος θεολόγος περὶ ταύτης διδάσκει, λαμπρότητα Θεοῦ καὶ ἰδὼν αὐτὸς καὶ παθών· καὶ οἱ ποιμένες δὲ πρὸ αὐτοῦ εἶδον. «Δόξα γάρ, φησί, Κυρίου περιέλαμψεν
D αὐτούς.» Αὕτη δὲ φωτεινοὺς καὶ τοὺς ἀγγέλους δεικνύει. «Ὁ ποιῶν» γάρ, φησί, «τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.» Καὶ ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Αὐτὸς δὲ ὁ καταυγάζων πολλῷ μᾶλλον ἐξέλαμψε σαρκωθείς. Καὶ καθόσον ἠδύναντο θεωρεῖν οἱ μαθηταί, ὤφθη τούτοις ἐπὶ τοῦ ὄρους. «Καὶ ἔλαμψε (φησὶ) τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ λίαν ὡς χιών·» ἕτερος δὲ τῶν εὐαγγελιστῶν φησιν· «Ὡς τὸ φῶς.» Ἐπειδὴ οὐ καθὼς ἦν, ἀλλὰ καθὼς ἠδύναντο χωρεῖν ἑωρᾶτο. Καὶ τοὺς ἀγγέλους δὲ ἐν τῷ μνήματι πάλιν φωτεινοὺς ἔβλεψαν αἱ θεῖαι γυναῖκες, καὶ ὁ Πέτρος ἐν τῇ εἱρκτῇ. Ἀλλὰ τοῖς μὲν ἀγγέλοις κατὰ μετε-

χὴν ἦν τὸ φῶς, ἐπεὶ καὶ δεύτερα φῶτα οὗτοι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, καθά που τῶν θεολόγων φησί τις· ὁ Κύριος δὲ φῶς ἀληθινὸν κατὰ φύσιν εἶχε τὴν λάμψιν, περὶ ἧς ηὔχετο Δαβὶδ, λέγων, « Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. » Ἀλλαχοῦ δὲ καὶ φωτισμὸν τοῦ προσώπου Θεοῦ ὀνομάζει τοῦτο. Καὶ περὶ τοῦ ἐν τοῖς δικαίοις φωτισμοῦ, « Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι, » περὶ οὗ φωτὸς καὶ τῆς ἀϊδίου καὶ θείας λαμπρότητος καὶ πᾶς ἠγωνίσατο ὁ τῶν ἁγίων χορὸς, καὶ τῶν ἀῤῥαβώνων τοῦ φωτισμοῦ τούτου, ὡς ἐγχωροῦν ἦν, καὶ τῆς ἐλλάμψεως ἔτυχεν. Οἴδασι γὰρ εὔχεσθαι μετὰ τοῦ Δαβὶδ τὸ, « Σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου. » Ὃς καὶ φωτισθεὶς καὶ εὐφροσύνης ἐκ τούτου πληρωθεὶς, ἔλεγε, « Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη, ἐν ᾗ καὶ χορτασθεὶς ἔλεγε. « Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου. » Μᾶλλον δὲ τοὺς ἀῤῥαβῶνας λαβὼν ὡς θεοπάτωρ, τὰ περὶ τῆς δόξης τοῦ Χριστοῦ καὶ λαμπρότητος προεκήρυττε, δι' ἧς καὶ ἡμεῖς υἱοὶ φωτὸς, καὶ τέκνα φωτός. Διὸ καὶ φωτὸς υἱοὺς ἡμᾶς οἱ θεολόγοι γεγράφασι, καὶ παράκλησιν καὶ χάριν, καὶ βασιλείαν, καὶ ἀῤῥαβῶνα, καὶ ἀπαρχὴν τοῦ μέλλοντος αἰῶνος τοῦτο τὸ φῶς εἰρήκασιν· οὐχ αἰσθητῶς γευσάμενοι τούτου· ἐπεὶ οὐδ' αἰσθητή ἡ λάμψις ἐστὶν ἐκείνη. Ὅμως ἐπειδήπερ διπλοῖ **57** ἡμεῖς, ἀληθὴς δὲ ἡ λάμψις ἐκείνη ἐκ τοῦ τῆς δικαιοσύνης Ἡλίου, καὶ ἡ ἀστραπὴ νοητὴ τῆς Θεότητος, καὶ νοητῶς ἐκ Πνεύματος ἁγίου ἡμῖν ἐπιλάμπουσα, οὐ τὴν ψυχὴν αὐγάζει μόνον, ἀλλὰ καὶ τὸ σῶμα καταλαμπρύνει. Καὶ τοῦτο ἔδειξε πρώην μὲν, ὡς ἔφημεν, Μωϋσῆς· ἔπειτα δὲ καὶ αὐτὴ ἡ ἀλήθεια, ἡ τὴν λάμψιν ἐκείνην πηγάζουσα, Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ὁ πρῶτος δὲ ἐναθλήσας ὑπὲρ αὐτοῦ Στέφανος ὁ μέγιστος, καὶ ὁ θειότατος Παῦλος, ὃς μήπω μὲν καθαρὸς ὢν, ἰδὼν, ἐτυφλώθη τὰς κόρας, ἕως κεκάθαρται τῷ βαπτίσματι, μετὰ ταῦτα δὲ ἔχων ἐν ἑαυτῷ διεθερμαίνετο λέγων, « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; » Καὶ ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν. » Καὶ, « Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, » τὴν χάριν λέγων τοῦ Πνεύματος, ἥτις κοινὴ τῆς Τριάδος. Καὶ Πέτρος δὲ ἐπὶ τῆς φυλακῆς τοῦτο τὸ φῶς ἰδὼν, ἐνισχύθη, καὶ αἱ ἁλύσεις ἔπεσον ἐξ αὐτοῦ. Καὶ πλεῖστοι τῶν θείων μαθητῶν τοῦ φωτισμοῦ τούτου ἔτυχον, καὶ Λουκᾶς καὶ Κλεώπας, τοῦ φωτὸς ἐκείνου τὴν θέρμην ἔλαβον, καὶ ἡ καρδία αὐτῶν καιομένη ἦν ἐν αὐτοῖς· τὸ γὰρ ἀληθινὸν φῶς, αὐτὸ τὸ πῦρ ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς περὶ οὗ καὶ ἔλεγε, « Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; » Καὶ ὁ Δαβὶδ ἐκ τούτου τοῦ πυρὸς ἐθερμαίνετο, « Ἐθερμάνθη, λέγων, ἡ καρδία μου ἐντός μου· καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. » Καὶ Ἀντώνιος δὲ τοῦτο ἰδὼν τὸ φῶς ἐν τῷ μνήματι παρεκλήθη· καὶ, « Ποῦ ἦς πρότερον ἐβόα πρὸς τὸν Θεόν; » ὡς ὁ μέγας φησὶν Ἀθανάσιος. Καὶ πολλοὶ τῶν συγχι-

A inquit, in tenebris lumen rectis, » propter quod lumen et æternam divinamque illuminationem omnis sanctorum chorus decertavit, et pignora illius splendoris et illustrationis pro viribus accepit. Sciunt enim cum David orare : « Et tu illuminas lucernam meam, Domine, Deus meus, illuminabis tenebras meas ; » qui illuminatus et propterea lætitia impletus dicebat : « Lux orta est justo, et rectis corde lætitia, » in qua exsultans dicebat : « Exsultabo cum apparuerit mihi gloria tua; » potius vero pignora accipiens utpote Dei proavus, gloriam et claritatem Christi prædicebat per quam filii lucis sumus et pueri lucis. Propterea lucis filios theologi nos scripserunt, atque solatium gratiamque et regnum, pignus et primitias futuri B sæculi lucem illam dixerunt, quam non sensu gustaverunt, cum claritas illa non sit sensibilis. Cum simul duplici substantia constemus, vera lux illa solis justitiæ, et spiritualis coruscatio Deitatis spiritualiter nobis ex sancto Spiritu illucens non mentem tantum illuminat, sed et corpus lumine perfundit. Quod patefecit primo quidem, ut diximus, Moyses, deinde vero ipsa veritas, fons istius lucis, Jesus Christus Deus noster, necnon primus qui pro eo certavit Stephanus maximus, Paulusque divinissimus, qui cum mundus nondum esset, videns, oculis captus est, usque dum baptismate mundaretur ; postea vero lumen habens in semetipso ardebat dicens : « Quis nos separabit a charitate C Christi ? » et : « Misit Deus Spiritum Filii sui in cordibus nostris ; » et : « Si quis Spiritum Christi non habet, hic non est ejus, » gratiam Spiritus dicens quæ Trinitati communis est. Petrus vero in carcere, luce aspecta, inde roboratus est, et catenæ ceciderunt de manibus ejus. Multi etiam e divinis discipulis hac illuminatione gavisi sunt, inter quos Lucas et Cleophas lucis illius calorem acceperunt, et cor eorum ardens erat in ipsis, nam lux vera ignem illum venit mittere in terram, de quo dicebat : « Ignem veni mittere in terram, et quid volo nisi ut accendatur ? » quo igne ardebat David dicens : « Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis. » Antonius autem lumen illud videns in monumento D consolationem accepit, et clamabat ad Deum : Ubinam eras antea ? ut magnus refert Athanasius. Multi quoque sancti in tenebris angustati eadem gratia dignati sunt, cum essent filii lucis, ex Deo deificati, Deum semper inter orandum intuentes, diique facti secundum gratiam, cum omnes essent gratiæ participes, quoniam Christus promisit se in suis habitaturum, et Spiritus ejus habitat in nobis. Ideo dixit Paulus : « Nescitis quoniam Christus habitat in nobis ? Secus vero, reprobi estis ; » et : « Misit Deus Spiritum Filii sui in cordibus nostris, in quo clamamus : Abba, Pater. » Habitat autem Christus cum Patre et Spiritu, et mansionem facit in nobis, non quidem secundum personam, sed secundum gratiam. Et Paulus clamat :

« Gratia Domini nostri Jesu Christi, et charitas Dei Patris, et communicatio Spiritus sancti, » et, « Gratia vobis et pax a Deo Patre et Domino Jesu Christo; » quod fere in omnibus epistolis dixit. In Actibus autem: « Gratia Domini nostri Jesu Christi vobiscum, et accipiebant donum Spiritus sancti. » Igitur donum et gratiam sanctæ Trinitatis accipimus, minime vero naturam, neque personam, nec unam e personis; sed divinum illud tantum quod assumpsit Verbum hujus personæ, ut diximus, fuit adunatum indivisibiliter et inconfusibiliter, in quo corporaliter habitat omnis plenitudo Divinitatis, nos vero omnes mensura naturæ nostræ accommodata de plenitudine ejus gratiam accepimus. Ex ista plenitudine divina velut ex fonte, omnes qui sunt Christi hauriunt, et præsertim qui propter eum pugnant et patiuntur, cum sint in tenebris et carcere, ex illa claritate sublevantur. Ideo dixit David: « Secundum multitudinem dolorum meorum in corde meo, consolationes tuæ lætificaverunt animam meam; » ideo etiam qui vivunt in Christi utpote mundo corde, Deum videbunt, non quidem secundum quam habet naturam, sed secundum gratiam. Vidistine communem Trinitatis gratiam? Misit Deus Spiritum Filii sui; ex plenitudine ejus omnes nos accepimus, et quid accepimus? Videlicet Spiritus gratiam, atque pro gratia gratiam. Et effudit in nos, inquit, donum Spiritus sancti, in quo clamamus: Abba, Pater. Quæ vox, abba, idem ac Pater sonat, quoniam filii per gratiam facti sumus; filios enim nos Pater accepit per Unigenitum suum in sancto Spiritu incarnatum. Itaque omnia divini, inquam, sive Veteris sive Novi gratiæ Testamenti gratiam Dei testantur; seu potius ipsa gratia nobis per dispensationem Verbi abundanter effusa mundum replevit universum. Quamobrem ipsa Verbi dispensatio gratia cognominatur. Verum qui carent gratia utpote indigni qui gratiam accipiant, donum, operationem et gratiam Spiritus rejiciunt, qui circa lucem tenebris obvolvuntur, luceque nequaquam accepta, divinæ illuminationis suavitatem non gustaverunt. Unde ignari aspernantur et impii blasphemant. Quis eis revelabit divinæ lucis suavitatem qui eam non gustaverunt, imo qui errant et in tenebris dormiunt, et cum tenebrosis et iniquis dæmonibus conversantur, qui delicatam mollemque vitam concupiscunt, atque circa contemplationem visibilium mutabiliumque creaturarum inania moliuntur, qui fere secundum Græcos insensatos, creaturæ præter Creatorem, prout dixit Paulus, inserviunt; pluris enim habita creaturarum contemplatione, nihil dicunt divinum fidei inesse, sed soli vanitatis cognitioni confidunt, stulteque opinantur nihil supra sensum, et mentem hominum esse amentium more dæmonum qui procul distant a spiritalibus radiis et ineffabili claritate Dei, et proinde teguntur caligine, solumque arroganter et stulte circa aera et terram versantur.

A κλεισμένων ἁγίων ἐν σκότει τῆς τοιαύτης ἠξιώθησαν χάριτος, ὡς φωτὸς ὄντες υἱοὶ, καὶ θεούμενοι ἐκ Θεοῦ, Θεὸν ὁρῶντες ταῖς προσευχαῖς ἀεὶ, καὶ θεοὶ γινόμενοι κατὰ χάριν, ἐπεὶ καὶ χάριτος μετέχουσι πάντες. Ὅτι καὶ ἐνοικεῖν Χριστὸς ἐν τοῖς αὐτοῦ ἐπηγγείλατο, καὶ τὸ Πνεῦμα αὐτοῦ οἰκεῖ ἐν ἡμῖν. Καὶ Παῦλός φησιν, « Οὐκ οἴδατε ὅτι Χριστὸς οἰκεῖ ἐν ἡμῖν; εἰ μὴ ὅτι ἄρα ἀδόκιμοί ἐστε. Καὶ ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ. » Οἰκεῖ δὲ Χριστὸς σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ μονὴν ποιεῖται ἐν ἡμῖν, οὐχ ὑποστατικῶς, ἀλλὰ κατὰ χάριν. Καὶ Παῦλος βοᾷ, « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος. »
B Καὶ, « Χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. » Καὶ σχεδὸν τοῦτο ἐν πάσαις φησὶ ταῖς ἐπιστολαῖς. Καὶ, « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. » Καὶ ἐν ταῖς Πράξεσι, « Καὶ ἔλαβον τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. » Λοιπὸν δωρεὰν καὶ χάριν τῆς ἁγίας Τριάδος λαμβάνομεν, καὶ οὐ φύσιν, οὐδὲ τὰς ὑποστάσεις, ἢ μίαν τῶν τριῶν ὑποστάσεων. Μόνον δὲ τὸ θεῖον πρόσλημμα, ὡς εἰρήκαμεν, τῇ ὑποστάσει ἥνωται τοῦ Λόγου, ἀδιαιρέτως καὶ ἀσυγχύτως, ἐν ᾧ καὶ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς, ἐκ τοῦ πληρώματος δὲ ἡμεῖς λαμβάνομεν χάριν ἀναλόγως. Ἐκ τούτου τοῦ θείου πληρώματος ὡς ἐκ πηγῆς οἱ τοῦ Χριστοῦ ἀρύονται ἅπαντες, καὶ μᾶλλον οἱ δι' αὐτὸν ἀγωνιζόμενοί τε καὶ πάσχοντες,
C καὶ ἐν εἱρκταῖς ὄντες καὶ ζόφῳ, ὑπὸ ταύτης παρεκαλοῦντο τῆς λαμπηδόνος. Καὶ ὁ Δαβὶδ, « Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου, » φησί. Καὶ οἱ ἐν Χριστῷ ζῶντες, ὡς καθαροὶ τὴν καρδίαν, τὸν Θεὸν βλέπουσιν, οὐχ ὡς ἔχει φύσεως (Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε), ἀλλὰ κατὰ χάριν. Ὁρᾷς τὴν κοινὴν τῆς Τριάδος χάριν; Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. » Καὶ τί ἐλάβομεν; δηλαδὴ τὴν χάριν τοῦ Πνεύματος, καὶ χάριν ἀντὶ χάριτος, καὶ ἐξέχεεν ἐφ' ἡμᾶς (φησὶ) τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. **58** Καὶ ἐν αὐτῷ κράζομεν, Ἀββᾶ ὁ Πατήρ. Αὐτὸ δὲ τὸ, Ἀββᾶ, Πάτερ
D δηλοῖ. Ἐπεὶ υἱοὶ γεγόναμεν χάριτι. Υἱοθετήθημεν γὰρ τῷ Πατρὶ διὰ τοῦ Μονογενοῦς σαρκωθέντος ἐν ἁγίῳ Πνεύματι. Καὶ διὰ πάντων οὕτω, τῆς τε παλαιᾶς φημι θείας Γραφῆς, καὶ τῆς χάριτος, τὰ περὶ τῆς τοῦ Θεοῦ χάριτος μαρτυρεῖται. Ἡ καὶ μᾶλλον ἡμῖν διὰ τῆς τοῦ Λόγου οἰκονομίας ἐκχυθεῖσα πλουσίως, πάντα τὸν κόσμον πεπλήρωκεν. Ἐντεῦθεν οὖν καὶ ἡ οἰκονομία τοῦ Λόγου χάρις κατονομάζεται. Ἀλλ' οἱ τῆς χάριτος ἄμοιροι, ὡς ἀνάξιοι τὴν χάριν λαβεῖν, ἀθετοῦσι τὴν δωρεὰν καὶ τὴν ἐνέργειαν καὶ χάριν τοῦ Πνεύματος, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, καὶ μὴ λαβόντες τὸ φῶς, καὶ τοῦ φωτισμοῦ τῆς θείας γλυκύτητος ἄγευστοι. Ὅθεν καὶ ἀπιστοῦσι μὴ ἐγνωκότες, καὶ ὡς ἀντίθεοι, βλασφημοῦσι. Καὶ τίς ἀναγγελεῖ αὐτοῖς τὴν γλυκύτητα τοῦ θείου φωτὸς, ὧ, μὴ

γευσαμένοις· μᾶλλον δὲ πλανηθεῖσι, καὶ ἐν ζόφῳ A κειμένοις, καὶ τοῖς ζοφεροῖς δαίμοσι συζῶσι καὶ πονηροῖς, τὴν αἰσθητήν τε ποθοῦσι ζωὴν, καὶ περὶ τὴν θεωρίαν ματαιοπονοῦσι τῶν ὁρωμένων καὶ ἀλλοιουμένων κτισμάτων· καὶ σχεδὸν κατὰ τοὺς ἄφρονας Ἕλληνας, τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὡς ὁ Παῦλος ἔφη, λατρεύουσι. Τὴν θεωρίαν γὰρ τῶν κτισμάτων περὶ πλείστου ποιούμενοι, μηδὲν τῇ πίστει θεῖον προσεῖναι λέγουσιν, ἀλλὰ τῇ τῆς ματαιότητος γνώσει θαῤῥοῦσι μόνον. Καὶ μηδὲν ὑπὲρ τὴν αἴσθησιν καὶ τὸν ἀνθρώπινον νοῦν εἶναι λογίζονται ἀσυνέτως, κατὰ τοὺς ἀνοήτους δαίμονας κεχωρισμένους ὀφθέντας τῆς τοῦ Θεοῦ νοητῆς ἀκτῖνος καὶ φωτοφανείας ἀῤῥήτου, καὶ σκοτεινοὺς ἐντεῦθεν, καὶ περὶ τὸν ἀέρα καὶ γῆν μόνον ὑπεργάνω; καὶ ἀνοήτως διαιτωμένους. B Διὰ τοῦτο καὶ περὶ τὰ ὁρώμενα ταῦτα καὶ περιγραπτὰ καὶ κινούμενα τοπικῶς ἢ φανταστικῶς τοῖς μαθήμασι κινούμενοι μόνοις οὗτοι, οὐδὲν ὑπὲρ τὸν οὐρανὸν καὶ τὰ κατ' αἴσθησιν ταῦτα καὶ τὸν ἡμέτερον νοῦν τὸν περιγραπτὸν λογίζονται οἱ δείλαιοι εἶναι· καὶ οἱονεὶ μαθηματικὴν καὶ ἔντεχνόν τινα τὴν ὑπὲρ λόγον καὶ κατὰ πίστιν μόνην ἐκ Θεοῦ χάριτι εὐσέβειαν δογματίζουσι. Καὶ τὸν μὴ εἰδότα ἄστρων κινήσεις, καὶ λογικὰς μεθόδους, καὶ ἀριθμοὺς, καὶ σχημάτων θέσεις, φασὶ μὴ εἰδέναι Θεὸν, καθάπαξ ἀθετοῦντες τὸ ἐν ἁπλότητι κήρυγμα, δι' οὗ ἐμώρανεν ὁ Θεὸς τὴν τοῦ κόσμου τούτου σοφίαν. Ἀλλ' ἐν ἡμῖν πᾶν τὸ τῶν ἁγίως ζησάντων σύστημα διὰ τῆς πίστεως C τετελείωται. Καὶ Ἄβελ πίστει ἐνήθλησε. Καὶ Ἐνὼς πίστει εἰς Θεὸν ἤλπισε. Καὶ Ἐνὼχ πίστει μετετέθη, Καὶ Νῶε πίστει κιβωτὸν ἔκτισε, καὶ διὰ ταύτης σέσωσται. Καὶ Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ πίστει Θεὸν εἶδε. Καὶ Ἰσαάκ τε καὶ Ἰακὼβ, ὃς καὶ τρανότερον Θεὸν εἶδεν, ὅτε τὴν κλίμακα ἔβλεψεν, ἐν ᾗ Κύριος ἐπεστήρικτο, καὶ ἀγγέλῳ ἐπάλαιεν, ὃς ἔλεγεν εἶναι Θεὸς τῶν πατέρων αὐτοῦ. Οὗτος δὲ ἦν ὁ λόγος ὁ τῆς μεγάλης βουλῆς τῆς ὑπὲρ ἡμῶν ἄγγελος. Καὶ Μωσῆς ἐν πυρὶ τῆς βάτου καὶ ἐν γνόφῳ καὶ ἐν φωτὶ κατὰ τὸ Σίναιον ὄρος Θεὸν εἶδε, καὶ κατελάμφθη. Καὶ Ἠλίας ἐν πυρίνῳ ἡρπάγη ἅρματι· καὶ Ἡσαΐας ἐπὶ θρόνου δόξης τὸν Θεὸν εἶδε· καὶ Ἰεζεκιὴλ, καὶ Δανιὴλ, καὶ σὺν αὐτοῖς οἱ λοιποὶ διὰ πίστεως. D Οἱ ἀπόστολοι δὲ τῷ Θεῷ σαρκωθέντι δῆλον ὡς πίστει ἐξυπηρέτησαν. Καὶ φῶς τοῦ κόσμου κληθέντες ἐκ τοῦ ἀληθινοῦ φωτὸς, πίστει εἶδον αὐτοῦ τὸ φῶς. Πρότερον μὲν ἐν τῷ ὄρει τῷ ἁγίῳ, ὕστερον δὲ καὶ ἐν γλώσσαις πυρὸς ἐν τῷ ὑπερῴῳ, καὶ πανταχοῦ ἐν αὐτοῖς περιέφερον. Καὶ οἱ χοροὶ τῶν ἁγίων ἅπαντες, καθὼς ἠδύναντο θεωρεῖν, ἐθεάσαντο καὶ ἑώρων. Καὶ ἐῶ τὰ τῶν ἁγίων διδασκάλων τε καὶ Πατέρων κατὰ μέρος ἅπαντα λέγειν, μήποτε κόρον ἐνθῶ τῷδε τῷ λόγῳ. Ἱκανὰ δὲ τὰ τῶν προφητῶν τε καὶ ἀποστόλων, ἃ καὶ τῆς εὐσεβείας εἰσὶ θεμέλιοι, ἀποδεῖξαι φανερῶς τὴν ἀλήθειαν. Διὸ ἡμεῖς (κατὰ Παῦλον ἔστιν εἰπεῖν) ἐν πίστει περιπατοῦμεν, καὶ τὰ τῆς πίστεως ἐν ἀῤῥαβῶνι λαμβάνομεν. « Νῦν γὰρ (ὁ Παῦλος πάλιν φησὶ) γινώσκομεν ἐν ἐσόπτρῳ καὶ ἐν **59** αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. » Λοιπὸν αἰσχυνέσθωσαν, καὶ ζόφου πληρούσθωσαν, οἱ μὴ δεχόμενοι τὸ φῶς, μηδὲ τῆς χάριτος αἰσθανόμενοι, ὡς ἀδόκιμοι ὄντες, ἡμεῖς δὲ ἐκ τοῦ θείου λαβόντες πληρώματος καὶ χάριν ἀντὶ χάριτος, ἀνυμνοῦμεν Ἰησοῦν τὸν Χριστὸν, τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὡς γέγραπται. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A Ideo viri solis doctrinis quæ circa visibilia et circumscripta atque motu sive locali sive simulato volutabilia versantur indulgentes nihil esse putant supra cœlum et ista quæ sensu percipiuntur, mentemque nostram finibus circumscriptam, et eum qui astrorum motus nescit logicasque dicendi vias, vel numeros et formarum ordines, Deum nescire dicunt, prorsus repudiantes prædicationem in simplicitate sermonis effectam, qua Deus stultam fecit hujus mundi sapientiam, necnon mathematicam laudant tanquam doctam quamdam pietatem omni sermone præstantiorem et secundum fidem ex Dei gratia procedentem. In nobis vero B totus ordo sancte viventium per fidem perfectus est. Fide certavit Abel, et Enos fide in Deum speravit; fide Henoch translatus est, fide Noe arcam aptavit et per eam salvus factus est; fide Abraham Deo credidit, fideque Deum vidit; item Isaac et Jacob qui manifestius Deum vidit quando scalam aspexit cui Dominus innitebatur, et adversus angelum luctatus est qui se dixit esse Deum Patrum ejus, iste autem erat Verbum magni pro nobis consilii angelus. Moyses quoque in flamma rubi, in caligine et in luce super montem Sinai Deum vidit et illuminatus est; Elias in curru igneo raptus est, et Isaias Deum vidit in throno gloriæ. Eadem gratia per fidem donati sunt Ezechiel, Daniel et cæteri cum ipsis. Patet quoniam apostoli Deo in- C carnato fide ministraverunt, ipsique a vera luce lux vocati fide lucem ipsius viderunt, prius quidem in monte sancto, deinde vero in linguis igneis in cœnaculo, et ubique in ipsis circumferebant. Universi etiam sanctorum chori, prout intueri poterant, contemplabantur et videbant. Omitto singula sanctorum doctorum atque Patrum proferre, ne fastidium in hoc sermone generem; satis est veritatem per prophetas et apostolos qui sunt pietatis fundamenta evidentius edidisse. Ideo nos, ut secundum Paulum loquar, in fide ambulamus; et ea quæ sunt fidei in pignus accipimus. « Nunc enim, rursus ait Paulus, cognoscimus in speculo et in ænigmate, tunc autem facie ad faciem. » D Igitur erubescant et tenebris involvantur qui lucem non recipiunt neque gratiam utpote reprobi sentiunt; nos vero qui de divina plenitudine accepimus gratiam pro gratia, laudemus Jesum Christum, lucem veram quæ illuminat omnem hominem venientem in hunc mundum, sicut scriptum est. Ipsi gloria in sæcula. Amen.

Κληρικός. Καὶ τίς ὁ σκοπὸς τοῖς αἱρετικοῖς, δέ-

Clericus. Quo tendunt hæretici, domine? nos

enim quemadmodum aperuisti et a sanctis didicimus, infinitam quidem et incomprehensibilem Dei naturam celebrare accepimus, gratiam autem ad nos ex natura emanare. Quid vero isti de hac re dicunt?

Pontifex. Hæreticorum quidem inventa, utpote diversa et impietatis plena contemnendum est, sunt enim insulsa. Nam vel Deum dicunt nullo modo posse participari, et proinde vi ejusdem sententiæ Deum in nobis non esse prædicant; vel si participari potest, secundum naturam communicari asserunt, unde alteram incarnationem, nempe Trinitatis incarnationem prædicant, quod nullus a sæculis impius evomuit, Dei vero gratiam et potentiam et operationem ex ejus natura procedentem nec esse neque posse esse impie asseverant. Nos autem pie Trinitatem personarum in una Deitate confitemur, et Deum unum Trinitatem in una potentia et operatione, et regno, et gratia pie prædicamus, necnon naturam quidem omnino invisibilem nequaquam posse nobis et omni creaturæ communicari confitemur, quemadmodum dixit Unigenitus: « Deum nemo vidit unquam, » quod intelligendum est secundum naturam. Ideo Moysi dixit: « Non videbit homo faciem meam, et vivet; » gloriam autem ejus et claritatem quæ ex natura derivatur, necnon gratiam et potestatem pro viribus videre et accipere credimus; unde visiones prophetarum, sanctisque datæ illuminationes, et in ipsis illustrationes, ministrationes et operationes virtutum, divinamque gratiam non naturam omnes accipimus; solum vero divinum illud assumptum hypostatice Verbo adunatum esse credimus, ut nos per illud, quantum fieri potest, Dei consortes simus. Verum in illo participamus gratiam, cum in ipso sit omnis plenitudo divinitatis corporaliter, quæ in eo inhabitat, prout docuit Paulus dicens: « Quoniam in eo inhabitat omnis plenitudo divinitatis corporaliter » non personæ Spiritus; nam unum Trinitatis solumque Verbum incarnatum est, et sola ejus humanitas divina persona perfecta est et ad divinam dignitatem elevata, utpote ipsi arcte, indivisibiliter et inconfusibiliter conjuncta, propriaque ejus effecta. Quapropter donum Dei et gratiam ab eo procedentem, participare credimus, non autem ejus naturam, sicuti impii somniant Massaliani et Bogomili, cujus testis est qui supra divinum pectus recumbens, inde copiosam theologiæ gratiam accepit, solusque is est qui testimonium reddat, quia verum est testimonium ejus, » et ille scit tanquam veritatis discipulus quoniam vera dicit, ut nos credamus. Hic quidem de divina natura ita dixit: « Deum nemo vidit unquam: » et testem adduxit Dominum dicens « Unigenitus Filius qui est in sinu Patris, ipse enarravit » sed de gloria ejus: « et vidimus gloriam ejus » et ne quis dicat eum de incarnatione sola hæc proferre, addit: « Gloriam quasi Unigeniti a Patre: » et ne quis naturam divinitatis dicat, rursum loquitur: « Plenum gratiæ

A σποτα; ἡμεῖς γὰρ (καθὼς ἀπέδειξας, καὶ παρὰ τῶν ἁγίων μανθάνομεν) ἄληπτον μὲν καὶ ἀκατάληπτον τὴν θείαν οὐσίαν δοξάζειν ἐλάβομεν, τὴν ἐκ τῆς οὐσίας δὲ χάριν πρὸς ἡμᾶς ἔρχεσθαι. Πῶς δὲ οὗτοι περὶ τούτου φασίν;

Ἀρχιερεύς. Τὰ μὲν παρὰ τῶν αἱρετικῶν, ὡς ποικίλα καὶ δυσσεβείας ἀνάμεστα, καταπτυστέον· ἀνόητα γάρ. Ἢ γὰρ ἀμέθεκτον πάντη φασὶ τὸν Θεὸν, καὶ διὰ τοῦτο κατ' αὐτοὺς μηδὲ εἶναι ἐν ἡμῖν τὸν Θεὸν δογματίζουσιν· ἢ εἴπερ ὅλως μετέχεται, μετέχεσθαι κατ' οὐσίαν. Ὅθεν ἑτέραν σάρκωσιν δογματίζουσι, καὶ σάρκωσιν τῆς Τριάδος, ὅπερ οὐδεὶς τῶν ἀπ' αἰῶνος δυσσεβῶν ἐξηρεύξατο. Θεοῦ δὲ χάριν καὶ δύναμιν καὶ ἐνέργειαν ἐκ τῆς οὐσίας προϊοῦσαν αὐτοῦ οὔτε εἶναι, οὔτε δυνατὸν εἶναι ἀθέως λέγουσιν.
B Ἡμεῖς δὲ εὐσεβῶς καὶ τὴν Τριάδα τῶν ὑποστάσεων ἐν μιᾷ Θεότητι καθομολογοῦμεν, καὶ Θεὸν ἕνα τὴν Τριάδα ἐν μιᾷ δυνάμει καὶ ἐνεργείᾳ, καὶ βασιλείᾳ καὶ χάριτι κηρύττομεν εὐσεβῶς· καὶ τὴν μὲν οὐσίαν ἀόρατόν τε πάντη καὶ ἀμέθεκτον καθομολογοῦμεν ἡμῖν τε καὶ πάσῃ τῇ κτίσει, ὡς καὶ ὁ Μονογενής φησι, « Θεὸν οὐδεὶς ἑώρακε πώποτε. » Ὡς ἔστι δηλονότι, καὶ κατ' οὐσίαν. Ἐπεὶ καὶ τῷ Μωϋσεῖ ἔφη, « Οὐ μὴ ἴδοι ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. » Τὴν δὲ δόξαν αὐτοῦ καὶ λαμπρότητα τὴν ἐκ τῆς οὐσίας καὶ χάριν καὶ δύναμιν ὁρᾷν ὡς δυνατὸν καὶ λαμβάνειν πιστεύομεν, καὶ κατὰ τοῦτο αἱ ὁράσεις τῶν προφητῶν, καὶ αἱ φωτοφάνειαι τοῖς ἁγίοις, καὶ ἐλλάμψεις αἱ ἐν αὐτοῖς, καὶ αἱ διακονίαι, καὶ τὰ
C ἐνεργήματα τῶν δυνάμεων, καὶ χάριν θείαν, οὐκ οὐσίαν, πάντες λαμβάνομεν, μόνον δὲ τὸ θεῖον ἐκεῖνο πρόσλημμα ὑποστατικῶς ἑνωθῆναι τῷ Λόγῳ πιστεύομεν, ἵνα δι' ἐκείνου ὡς δυνατὸν κοινωνήσωμεν ἡμεῖς τοῦ Θεοῦ. Κοινωνοῦμεν δὲ τῆς ἐν ἐκείνῳ χάριτος, τοῦ πληρώματος παντὸς ἐν αὐτῷ τῆς Θεότητος σωματικῶς ὄντος, ὅπερ ἐν ἑαυτῷ κατῴκησεν, ὥσπερ ὁ Παῦλός φησιν ὅτι ἐν αὐτῷ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς οὐ τῆς ὑποστάσεως τοῦ Πνεύματος. Ὅτι ὁ εἷς τῆς Τριάδος καὶ μόνος ὁ Λόγος σεσάρκωται. Καὶ μόνον ἐκείνου τὸ ἀνθρώπινον θεοϋπόστατόν ἐστι καὶ ὁμόθεον, ὡς ἡνωμένον ἄκρως αὐτῷ ἀδιαιρέτως καὶ ἀσυγχύτως, καὶ ἴδιον αὐτοῦ γεγονός. Διὸ καὶ τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ χάριτος πιστεύομεν μετέχειν
D προϊούσης ἐξ αὐτοῦ, οὐ τῆς οὐσίας, ὡς οἱ Μασσαλιανοὶ φρονοῦσιν οἱ δυσσεβεῖς καὶ Βογόμιλοι. Καὶ τούτου μάρτυς ὁ ἐπὶ τὸ θεῖον στῆθος πεσὼν, κἀκεῖθεν δαψιλῆ τὴν τῆς θεολογίας χάριν δεξάμενος. Καὶ ἱκανὸς οὗτος πρὸς μαρτυρίαν καὶ μόνος, ὅτι καὶ ἀληθὴς ἡ μαρτυρία αὐτοῦ, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ἡμεῖς πιστεύσωμεν, τῆς ἀληθείας ὢν μαθητής. Οὗτος περὶ μὲν τῆς θείας οὐσίας οὕτω φησί· « Θεὸν οὐδεὶς ἑώρακε πώποτε· » Καὶ μάρτυρα παρεισάγει τὸν Κύριον, λέγων, « Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. » Περὶ δὲ τῆς χάριτος αὐτοῦ, « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ. » Καὶ ἵνα μή τις εἴπῃ τὰ περὶ τῆς σαρκώσεως μόνον λέγειν, ἐπάγει, « Δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός. » Καὶ ἵνα μή τις τὴν

φύσιν τῆς Θεότητος εἴπῃ, πάλιν ἔφη, « Πλήρης χά- A ριτος καὶ ἀληθείας. » Βλέπετε κηρυττομένην ἐκ τῶν Εὐαγγελίων 60 ἐναργῶς τὴν ἀλήθειαν; Ὅτι δὲ ἡ δόξα τοῦ Θεοῦ ἐπιφαίνεται τοῖς ἁγίοις, αὐτὸς πάλιν ἐν τῷ Εὐαγγελίῳ περὶ τοῦ Ἡσαΐου φησὶ, λέγων· « Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ, τοῦ Χριστοῦ δηλονότι. » Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ τὴν τοῦ Πατρὸς βασιλείαν καὶ δύναμιν καὶ δόξαν ἀνακηρύττει, ἥτις κοινή ἐστιν, ὡς καὶ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Καὶ αὐτὸς μὲν ἐν τῇ προσευχῇ φησιν. « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. » Ἡ Ἐκκλησία δὲ καὶ τῶν τριῶν προσώπων τὸ κοινὸν ἀνακηρύττει τῆς βασιλείας καὶ δυνάμεώς τε καὶ δόξης, λέγουσα, « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ B δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. » Καὶ τοῦτο οὐχ ἁπλῶς φησιν, ἀλλ' ἀπὸ τῶν θείων Γραφῶν μαθοῦσα. Κοινὴ γὰρ ἡ χάρις τῆς Τριάδος καὶ ἡ δόξα καὶ δύναμις καὶ ἐνέργεια καὶ βασιλεία κηρύττεται. Ἐπεὶ καὶ οὐρανοὶ μὲν διηγοῦνται δόξαν Θεοῦ· οὗτοι δὲ λόγῳ Κυρίου ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ ἐνεδυναμώθησαν. Καὶ τοῦ Τρισαγίου Θεοῦ τῆς δόξης πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ, ὡς θεολογοῦσιν οἱ ἄγγελοι. Διὸ ἐκεῖνοι μὲν οἱ τὴν χάριν ἀθετοῦντες τοῦ Θεοῦ καὶ τὴν ἔλλαμψιν εἰς τὰ ὀπίσω ἀποστραφήτωσαν, ἡμεῖς δὲ οἱ ἐκ τοῦ πληρώματος λαβόντες, ἐκ τοῦ φωτὸς φῶς, καὶ χάριν ἀντὶ χάριτος, εὐχαριστήσωμεν τῷ χαριτώσαντι ἡμᾶς καὶ λαμπρύναντι, καὶ C τὴν βασιλείαν τὴν αἰώνιον πρὸ καταβολῆς ἡμῖν ἑτοιμάσαντι κόσμου, ἧς καὶ ἐπιτυχεῖν ἐλπίζομεν ἐλέει αὐτοῦ· καὶ ἐντεῦθεν καταξιοῦσθαι ταύτης ἐν ἀῤῥαβῶνος μέρει καθικετεύσωμεν. Ἔσται δὲ ἡμῖν, ἐὰν καθαροὶ γινόμενοι, ἐγγίζειν αὐτῷ τῷ καθαρωτάτῳ σπουδάζωμεν. Οὕτω καὶ γὰρ ὁ Δαβὶδ παραγγέλλει, « Προσέλθετε, λέγων, πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. » Ὅτι δὲ καὶ δύναμις ἐν ἡμῖν Θεοῦ καὶ ἐνέργεια ἐλέει αὐτοῦ, δῆλον ἐντεῦθεν. Πῶς βαπτιζόμεθα; καὶ τί λαμβάνομεν τῷ βαπτίσματι; Ἀναγεννώμεθα. Ἐὰν μὴ ἀναγεννηθῆτε, φησί. Χριστὸν ἐνδυόμεθα. « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. » Πῶς ἄρα ἐνεδυσάμεθα, ἐνυποστάτως, ἢ τῇ χάριτι; Τῇ χάριτι δηλονότι. « Ἐπεὶ καὶ ἐγὼ καὶ ὁ Πατὴρ, D φησὶν, ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. » Ὁ Πατὴρ δὲ οὐ σεσάρκωται. Ὥστε κατὰ χάριν ἐνοικεῖ. Καὶ τοῦ Υἱοῦ δὲ σαρκωθέντος, εἰ καὶ τῆς σαρκὸς αὐτοῦ κοινωνοῦμεν, ἀλλ' οὐ τῆς οὐσίας μετέχομεν τῆς Θεότητος, τῆς χάριτος δέ. Ἐκ τοῦ πληρώματος γὰρ λαμβάνομεν τῆς Θεότητος τοῦ ἐν τῇ σαρκί. Ὁμοίως δὲ καὶ τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος. Καὶ ἐκ τῶν χειροτονουμένων δὲ τοῦτο δῆλον. Σφραγίζεται ὁ ἀναγινώσκειν ταχθεὶς, καὶ λαμβάνων χάριν, ἀναγνώστου κέκτηται χάριν· οὐ γὰρ ἰσχύει τὰ τοῦ ὑποδιακόνου διενεργεῖν. Καὶ διάκονος δὲ ὁμοίως οὐ τὰ τοῦ πρεσβυτέρου ἰσχύει, οὐδὲ πρεσβύτερος, ὡς προέφημεν, τὰ τῆς ἀρχιερατικῆς χάριτος. Ὥστε χάρισμα καὶ οὐκ οὐσία τὸ χορη-

A et veritatis. » Viden' veritatem in Evangelio manifeste prædicatam? Sanctos vero gloriam Dei intueri ipse rursus in Evangelio de Isaia declaravit dicens: « Hæc dixit Isaias, quando vidit gloriam ejus, et locutus est de eo, » scilicet de Christo. Ipse etiam Salvator Patris regnum et potestatem prædicat atque gloriam quæ communis est, utpote Patris et Filii et Spiritus sancti. Ipse quidem in oratione dixit: Tibi regnum et potestas et gloria in sæcula, Amen. Ecclesia vero regni, potestatis et gloriæ inter tres personas communitatem prædicat dicens « Tibi est regnum et potestas et gloria Patris et Filii et Spiritus, sancti, » quod non inconsiderate dixit, sed divinis docta Scripturis quibus communis Trinitatis gratia, potestasque gloria et ope- B ratio, communeque regnum prædicatur. Quippe « cœli enarrant gloriam Domini; » isti autem Verbo Domini, « et spiritu oris ejus omnis virtus eorum: » verum in trisagio Dei: « Gloria pleni sunt cœli et terra, » ut divinitus concinunt angeli. Ideo illi quidem aspernati gratiam Dei et illuminationem retrorsum conversi sunt, nos autem qui de plenitudine accepimus, de lumine lumen et gratiam pro gratia, gratias agamus ei qui nobis gratiam et claritatem largitus est æternumque regnum ante constitutionem mundi præparavit quod ejus misericordia obtinendum speramus, et inde pro ratione pignoris deprecemur ut eo digni inveniamur. Quod erit nobis si mundi effecti ad eum qui purissimus C est appropinquare studeamus. Sic enim adhortatur David dicens: « Accedite ad eum, et illuminabimini, et facies vestræ non confundentur. » Unde liquet virtutem Dei et operationem ejusdem misericordia nobis inesse. Quare baptizamur? et quid in baptismo recipimus? Regeneramur, dixit enim « Nisi quis renatus fuerit; Christum induimus; quicumque in Christo baptizati estis, Christum induistis. » Quomodo igitur induimus an persona, vel gratia? Profecto gratia. Ideo dixit; « Ego et Pater veniemus et mansionem apud eum faciemus; » Pater vero non est incarnatus itaque secundum gratiam inhabitat. Filio quidem incarnato, si carnem ejus communicamus, minime divinitatis naturam, sed gratiam participamus. Quippe D de plenitudine divinitatis quæ est in eo corporaliter accepimus. Similiter et de donis Spiritus sancti, Quod patet ex impositione manuum. Signatur qui lector ordinatur et accepta gratia lectoris gratiam consequitur; non enim potest munere fungi subdiaconi; diaconus pariter, sicuti supra diximus, presbyteri, neque presbyter episcopi officia non potest adimplere ita ut datum sit charisma et non natura. Nam si esset substantia, jam opus non esset pluribus manuum impositionibus, neque diversæ essent manuum impositiones, cum una ordinatio statim omnia impertiret, si substantia esset in nobis inhabitans, Unde dixit Paulus: « Habentes charismata secundum gratiam quæ data est nobis diversa. Vide ut charismata secundum gratiam variari? « Sive

qui exhortatur, sive qui docet in doctrina, qui miseratur in hilaritate, qui præest in sollicitudine » et cætera. Divisiones gratiarum sunt, idem autem Spiritus; et divisiones ministrationum sunt, idem autem Dominus; et divisiones operationum sunt, idem vero Deus qui operatur omnia in omnibus. Sed quomodo creaturas condidit Deus? Quomodo præscivit? quomodo comprehendit? Numquid quia creatæ sunt, substantiam Dei res participant? Heu quam nefanda blasphemia! Nequaquam: nam incomprehensibilis est illa substantia, sed ipse supersubstantialis conditor sua creatrici potentia rebus quas statuit esse dedit et præbet, de suis providentia curat atque omnipotenti et universa patranti et continenti facultate omnia capit et conservat, et nihil est quod Dei potentiam et gratiam non participet. Etenim non essemus, nec quidquam prorsus esset, nisi Dei potentiam participaret. Unde omnis creatura sive rationalis sive mentis expers, tum sensu carens cum eodem donata, divina potentia, et vivit, et cogitat, et movetur, et loquitur, et operatur, et permanet, et quæcumque propria habent res singulæ conservant. Naturam autem Dei non participant; unus enim est Deus naturis omnibus præcellens, Trinitas omnipotens. Quæ nos de hac materia, prout cogitavimus, ex sanctis Scripturis pie et pro viribus nostris vobis enarravimus.

A γούμενόν ἐστιν. Εἰ γὰρ φύσις ἦν, οὐκ ἂν ἦν χρεία πλειόνων χειροτονιῶν· οὐδὲ διάφοροι ἦσαν ἂν αἱ χειροτονίαι, τῆς μιᾶς χειροτονίας πάντα διδούσης εὐθύς, εἰ φύσις ἦν τὸ ἐνοικοῦν ἐν ἡμῖν. Ὅθεν καὶ Παῦλός φησιν· « Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα. » Ὁρᾷς, ὅτι κατὰ τὴν χάριν καὶ χαρίσματα διάφορα; Εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, ὁ ἐλεῶν ἐν ἱλαρότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, καὶ τὰ ἐφεξῆς. Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Τί δὲ τὸ δημιουργικὸν καὶ προνοητικὸν ἐν τῇ κτίσει καὶ συνεκτικὸν τοῦ Θεοῦ; Ἆρα
B τὸ δημιουργηθῆναι τὰ κτίσματα οὐσίας ἐστὶ μεταλαβεῖν τοῦ Θεοῦ; Φεῦ τῆς βλασφημίας! οὐδαμῶς. Ἄληπτος γὰρ ἐκείνη. Ἀλλ' αὐτὸς ὁ ὑπερούσιος τῇ δημιουργικῇ δυνάμει **61** κατασκευάσας ταῦτα καὶ τὸ εἶναι τούτοις δέδωκε, καὶ παρέχει, τῇ προνοητικῇ τε κήδεται τῶν ἰδίων, καὶ τῷ παντοδυνάμῳ καὶ παντουργῷ καὶ συνεκτικῷ νεύματι συνέχει πάντα καὶ συντηρεῖ. Καὶ οὐδὲν τῶν ὄντων, ὃ μὴ δυνάμεως καὶ χάριτος μετέχει Θεοῦ. Οὐδὲ γὰρ ἔμενεν ἄν, οὐδ' ὅλως ἂν ἦν, εἰ μὴ Θεοῦ μετέσχε δυνάμεως. Ὅθεν ἄλογός τε καὶ λογικὴ πᾶσα κτίσις, καὶ αἰσθητὴ καὶ ἀναίσθητος θείᾳ δυνάμει καὶ ζῇ, καὶ νοεῖ, καὶ κινεῖται, καὶ λέγει, καὶ ἐνεργεῖ, καὶ μένει, καὶ ὅσαπερ ἕκαστον ἔχει κέκτηται. Οὐχ οὐσίας δὲ Θεοῦ μετέχει, εἷς γὰρ μόνος Θεὸς ὑπερούσιος, ἡ Τριὰς ἡ παντοδύναμος. Ταῦτα καὶ ἡμεῖς περὶ τούτου, ὡς ἐνοήσαμεν ἀπὸ τῶν Γραφῶν, εὐσεβῶς καὶ κατὰ δύναμιν ἡμετέραν ὑμῖν εἰρήκαμεν.

Clericus. Sufficiunt, domine, quæ dixisti, et idonea sunt omnibus in Christo confirmandis, in primis quia ex Scripturis sacris eruuntur. Hanc ergo ultimam et pessimam hæresim abjicimus, et cum cæteris in pietatibus eam anathemate ferimus. Nos vero aspiciat oriens ex alto Jesus Christus Deus noster divina sua gratia, et illuminet corda nostra lucidissimo et mundissimo scientiæ suæ lumine. Deprecamur autem, quum veram fidei notitiam accepimus, ut etiam sacramenta Ecclesiæ edoceamur, quot sint et quænam sint, et quæ sit singulorum virtus, et quodnam ab eis accipimus.

C *Κληρικός.* Ἀρκούμεθα, δέσποτα, τοῖς εἰρημένοις καὶ ἱκανὰ ταῦτα πληροφορῆσαι πάντας ἐν Χριστῷ, καὶ μᾶλλον ὅτι ἐκ τῶν θείων Γραφῶν εἰσι. Καὶ ταύτην οὖν τὴν τελευταίαν καὶ πονηροτάτην αἵρεσιν βδελυσσόμεθα, καὶ σὺν ταῖς λοιπαῖς ἀσεβείαις τε καὶ αἱρέσεσι καθυποβάλλομεν ἀναθέματι. Ἐπισκέψαιτο δὲ ἡμᾶς ἀνατολὴ ἐξ ὕψους Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν τῇ αὐτοῦ θείᾳ χάριτι· καὶ λάμψαι ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως αὐτοῦ ἐναργέστερόν τε καὶ καθαρώτερον. Παρακαλοῦμεν δὲ, ἐπειδὴ τὴν ἀληθῆ τῆς πίστεως γνῶσιν ἐδεξάμεθα, καὶ περὶ τῶν μυστηρίων διδαχθῆναι τῆς Ἐκκλησίας, ὅσα τέ εἰσι, καὶ τίνα, καὶ ὁποῖα ἡ τούτων ἑκάστου δύναμις, καὶ τί λαμβάνομεν ἐξ αὐτῶν.

ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ ΤΕΛΕΤΩΝ

DE SACRAMENTIS.

Pontifex. Frater, quæsitis vires meæ non suppetunt, tene vero me charitatis causa ad fines diligentiæ et humilitatis adductum propter nos dixisse quæcunque diximus, in hoc solo confisus quoniam ista e Scripturis sacris disserebamus. Nunc ergo

D *Ἀρχιερεύς.* Ἀδελφέ, ὑπὲρ ἐμὲ τὸ αἰτούμενον. Γίνωσκε δὲ ὅτι χάριν ἀγάπης ὑπὲρ τὸν ὅρον τῆς προσοχῆς καὶ τῆς ταπεινώσεως κινηθεὶς, δι' ὑμᾶς εἶπον ὅσαπερ εἶπον ὑμῖν, ἐν τούτῳ καὶ μόνῳ θαρρῶν, ὅτιπερ ταῦτα ἀπὸ τῶν θείων ἐκλέγομαι Γρα-

σῶν. Καὶ τανῦν οὖν ἐπεὶ περὶ τῶν μυστηρίων τῆς Ἐκκλησίας μαθεῖν ἐπιποθεῖς, ἐρῶ σοι καὶ περὶ τούτων, ὁπόσον ἂν ἐξισχύσαιμι, τὸ τῆς ἀγάπης πληρῶν. Σὺ δὲ μὴ τοῖς ῥηθησομένοις παρ' ἡμῶν ἀρκεσθῇς, ἀλλ' ὅσον ἐκ τούτων ἴσως εὕροις ὠφέλιμον λαβὼν, ἀεὶ ζήτει, καὶ τοῖς τὸν νοῦν ἔχουσι ὑψηλότερόν τε καὶ καθαρώτερον ἐγγίζων ἔσο καὶ ἐρωτῶν· καὶ οὐκ ἀστοχήσεις τοῦ ποθουμένου.

Κληρικός. Καὶ ὑπὲρ τούτου, Πάτερ, εὐχαριστοῦμεν, ὅτι πλείστας ἡμῖν ἀφορμὰς ταπεινώσεως δέδωκας. Καὶ δοίη ἡμῖν Κύριος διὰ τῶν σῶν ἱερῶν εὐχῶν μὴ ὑπὲρ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. Δήλωσον δὲ ἡμῖν τὰ περὶ τῶν μυστηρίων, παρακαλοῦμεν.

ΚΕΦΑΛ. ΛΓ'.

Ὅτι ἑπτὰ τὰ τῆς Ἐκκλησίας μυστήρια.

Ἀρχιερεύς. Ἐπείπερ ζητεῖτε, τὸ κατὰ δύναμιν ἐρῶ ἐν Χριστῷ. Ἑπτὰ τὰ χαρίσματα τοῦ Πνεύματος, ὡς Ἠσαΐας φησὶ, καὶ ἑπτὰ τὰ μυστήρια τῆς Ἐκκλησίας διὰ τοῦ Πνεύματος ἐνεργούμενα. Ταῦτα δέ εἰσι βάπτισμα, χρίσμα, κοινωνία, χειροτονία, γάμος, μετάνοια, καὶ ἔλαιον ἅγιον. Ἐν ὀλίγῳ δέ σοι καὶ περὶ ἑκάστου τούτων δηλώσω, εἰ καὶ πρότερον ἐν τῇ τῆς θείας λειτουργίας ἑρμηνείᾳ περὶ τούτων ἀμυδρῶς εἰρήκαμεν καθὼς ἐνεχώρει.

62 ΚΕΦΑΛ. ΛΔ'.

Περὶ βαπτίσματος.

Τὸ βάπτισμα τοίνυν ἀναγεννᾷ Πνεύματι, ἐπείπερ τὴν πρώτην ἀπαθῆ γέννησιν ἀπωλέσαμεν, καὶ ἐν ἀνομίαις ἡμεῖς συνελήφθημεν, καὶ ἐν ἁμαρτίαις, ὡς ψάλλει Δαβὶδ, ἐκίσσησεν ἕκαστον ἡμῶν ἡ μήτηρ αὐτοῦ.

ΚΕΦΑΛ. ΛΕ'.

Περὶ τοῦ χρίσματος.

Τὸ χρίσμα δὲ τὴν σφραγῖδα τὴν πρώτην, καὶ τὸ κατ' εἰκόνα ἐντίθησιν, ὅπερ διὰ παρακοὴν ἀπωλέσαμεν· ἔτι δὲ καὶ τὴν χάριν, ἣν ἐν τῇ ψυχῇ τῇ θείᾳ ἐμπνεύσει ἐλάβομεν. Διὸ καὶ τὴν τοῦ Πνεύματος φέρει δύναμιν, καὶ τὴν εὐωδίαν αὐτοῦ πλουτεῖ καὶ σημείωσις Χριστοῦ ἐστι καὶ σφραγίς.

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ τῆς θείας κοινωνίας.

Ἡ κοινωνία δὲ αὐτῷ ἑνοῖ τῷ Δεσπότῃ, καὶ αὐτοῦ τῆς σαρκὸς ἀληθῶς καὶ τοῦ αἵματος κοινωνοῦμεν. Καὶ ἐπεὶ διὰ βρώσεως ἀπεθάνομεν καὶ παραδείσου καὶ Θεοῦ ἐχωρίσθημεν, τὴν ζωὴν τὴν αἰώνιον διὰ τῆς κοινωνίας ἀναλαμβάνομεν αὖθις, καὶ τὴν φθορὰν ἀποβαλλόμενοι, τῷ ἀθανάτῳ ἑνούμεθα, θνητῷ δι' ἡμᾶς διὰ σαρκὸς γεγονότι.

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ τῆς χειροτονίας.

Ἡ χειροτονία δὲ τὴν ἐξουσίαν παρέχει καὶ δύναμιν τοῦ ποιήσαντος. Καὶ ἐπειδὴ οὐδὲν τῶν ὄντων χωρὶς αὐτοῦ, ἦλθε δὲ αὐτὸς εἰς τὸ εὖ εἶναι ἡμᾶς ἀγαγεῖν, ταύτην αὐτοῦ τὴν δύναμιν ἀναλαμβανόμενος ἀφ' ἡμῶν, παρέσχεν ἡμῖν διὰ τῆς αὐτοῦ ἱερωσύνης· καὶ δι' αὐτῆς πᾶσαι ἡμῖν αἱ τελεταὶ ἐνεργοῦνται, καὶ οὐδὲν ἅγιον χωρὶς ἱερέως ἐστίν. Ἔτι δὲ καὶ ἐξ ἀρχῆς ἄρχοντας ἡμᾶς τῶν ὁρωμένων καταστησάμε-

A quandoquidem mysteria Ecclesiæ doceri desideras, de his quæcumque potero tibi dicam, charitatem adimplens. Tibi vero dicta a nobis non sufficiant, sed quantumcumque poteris jure percepta ab eis utilitate, semper inquire, et cura ut eos qui mentem habent sublimiorem et mundiorem adeas et interroges, et à desiderio non frustraberis.

Clericus. De hoc etiam, Pater, gratias agimus quod plures humilitatis occasiones nobis dedisti. Det nobis Dominus per sanctas preces tuas nequaquam plusquam oportet sapere, sed sapere ad sobrietatem. Nobis autem, obsecramus, manifesta quæ ad mysteria pertinent.

B CAPUT XXXIII.

Quod septem sint Ecclesiæ sacramenta.

Pontifex. Quoniam quæritis, pro viribus loquar in Christo. Septem sunt Spiritus dona, prout dixit Isaias, et septem quoque Ecclesiæ mysteria per Spiritum operantia. Quæ sunt : Baptismus, Chrisma, Communio, Ordo, Matrimonium, Pœnitentia, et sanctum Oleum. Paucis vobis singula explanabo, quum prius sacram liturgiam interpretando, de illis obscure, ut necesse erat, disseruerim.

CAPUT XXXIV.

De baptismate.

Igitur baptisma in Spiritu regenerat, quoniam amissa priore a vitio immuni nativitate in iniquitatibus eramus concepti, et in peccatis, ut psallit C David, quemque nostrum mater sua parturivit.

CAPUT XXXV.

De chrismate.

Chrisma autem primum sigillum et imaginis imponit similitudinem quam per inobedientiam amisimus, et insuper gratiam quam animæ divinæ inspirat, accipimus. Quamobrem Spiritus potestatem confert, bonumque ejus odorem quo redolet infundit. Christi signum est atque character.

CAPUT XXXVI.

De divina Communione.

Communio vera ipsi Domino conjungit, ejusque carnem et sanguinem vere participamus. Quia per D cibum mortui sumus, atque a paradiso Deoque recessimus, vitam æternam vi hujus sacramenti rursum suscipimus, abjectaque corruptione, immortali adunamur qui mortalis propter nos per carnem factus est.

CAPUT XXXVII.

De impositione manuum.

Ordo autem potentiam præbet et virtutem Creatoris. Quoniam ipse sine quo nihil est ex eis quæ sunt, venit ut nos ad beatitudinem perduceret, sumpta pro nobis illa potentia, nobis eam sui ope sacerdotii exhibet, quo omnia nobis conficiuntur mysteria, ita ut nihil sanctum fiat sine sacerdote. Insuper nos a principio visibilium principes constitutos, iterum in præsenti sacramento modo nobi-

liori principes per sacerdotium instituit, ideo dixit A David: « Constitues eos principes super omnem terram » cœli enim claves nobis tradidit.

CAPUT XXXVIII.

De matrimonio.

Matrimonium donum est Dei propter generationem in liberorum indulgentis, donec hoc universum cum corruptione permanebit. Non enim volebat Deus animalem in nobis et semine sordidam esse concretionem, sed quia libenter mortui sumus, dimisit generis traditionem sicut et in animalibus operari, ut cognoscamus quia depressi descenderimus, usquedum resurgeret et mortem vinceret qui natura et immortalis, pro nobis mortuus et resurgens. Idcirco ipse matrimonium benedixit, ut benedictione non careat vitæ nostræ principium.

CAPUT XXXIX.

De pœnitentia.

Pœnitentia nos a lapsu rursum erigit. Quoniam post baptismum alia non est ad gratiam et dona Spiritus revocatio sine luctis et laboribus, nisi per conversionem et lacrymas, necnon per confessionem peccatorum et abstinentiam a malo, magnum istud datur donum, in quo induitur monachorum habitus, utpote qui pignus est pœnitentiæ.

CAPUT XL.

De sancto oleo.

Sanctum autem oleum ministratur tanquam sanctum sacramentum divinæque figura misericordiæ, in redemptionem et sanctificationem iis qui a peccato conversi sunt collatum. Ideo et a culpis solvit, et a morbis erigit, et sanctitate implet. Ista vero omnia Dominus noster Jesus Christus tradidit, et per eum divini ejus discipuli. Nam qui duplici constamus substantia, anima scilicet et corpore, duplici ratione nobis illa impertivit, sicuti et ipse duplicis naturæ pro nobis vere factus est, qui quum vere sit Deus, vere homo habitavit in nobis, ut per gratiam spiritus animas quidem nostras spiritaliter sanctificet; sensibilibus autem aqua et oleo, necnon pane et poto cæterisque in Spiritu sanctitatem conferentibus, corpora nostra sancta efficiat, et perfectam salutem conferat.

CAPUT XLI.

De resurrectione sive suscitatione corporum.

Ille etiam, ut nos sicuti condidit perfectos refficiat, et mortuos ressuscitabit, et cum eisdem quibus vixerimus et conversati fuerimus corporibus constituet, ut quod fecerimus consequamur. Igitur nos perfectos ad vitam revocaturus (nihil enim in vanum fecit), nequaquam autem corpus nostrum in corruptione relicturus (omnia enim ut sint creavit, neque vult quidquam perire), Deus qui perfectus est, solusque vere est, similis nobis homo factus est, assumpto corpore cum anima rationali et

νος, πάλιν ἐν τῷ παρόντι κρειττόνως ἄρχοντας ἡμᾶς διὰ τῆς ἱερωσύνης καθιστᾷ. Διὸ καὶ Δαβὶδ φησί, « Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. » Τοῦ οὐρανοῦ γὰρ τὰς κλεῖς ἡμῖν παραδέδωκεν.

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ γάμου.

Ὁ δέ γε γάμος συγκαταβάσεώς ἐστι δῶρον Θεοῦ διὰ τὴν παιδοποιΐαν, ἕως τὸ πᾶν τόδε μετὰ τῆς φθορᾶς ἵσταται. Οὐ γὰρ ἐβούλετο ὁ Θεὸς τὴν ἄλογον ἐν ἡμῖν καὶ ἀπὸ ῥοῆς καὶ ῥυπαρὰν σύστασιν εἶναι· ἀλλ' ἐπειδὴ ἀπεθάνομεν ἑκουσίως, ἀφῆκε τὴν διαδοχὴν οὕτω τοῦ γένους ἐνεργεῖν ὡς καὶ τοῖς ἀλόγοις, ἵνα γνῶμεν, εἰς τί κατέστημεν. Καὶ τοῦτο ἕως ἂν B ἐξαναστήσῃ καὶ ἀπαθανατίσῃ τὴν φύσιν ὁ ἄφθαρτος, καὶ θανὼν καὶ ὑπὲρ ἡμῶν ἀναστάς· διὸ καὶ εὐλογεῖ τὸν γάμον αὐτὸς, ὡς ἂν μὴ χωρὶς εὐλογίας ἡ ἀπαρχὴ τυγχάνῃ τῆς ἡμετέρας ζωῆς.

63 ΚΕΦΑΛ. ΛΘ'.

Περὶ μετανοίας.

Ἡ μετάνοια δὲ τὴν ἐπανόρθωσιν ἡμῶν αὖθις ἀπὸ τοῦ πτώματος ἐνεργεῖ. Καὶ ἐπειδήπερ μετὰ τὸ βάπτισμα οὐκ ἔστιν ἐπανάκλησις ἄλλη κατά τε χάριν καὶ δωρεὰν, καὶ ἀγώνων καὶ πόνων χωρὶς, εἰ μὴ δι' ἐπιστροφῆς καὶ δακρύων, καὶ τοῦ ἐξαγορεῦσαι τὰ πταίσματα καὶ ἀποστῆναι τῶν κακῶν, τοῦτο τὸ μέγα δέδοται δῶρον, ἐν ᾧ δὴ καὶ τὸ τῶν μοναχῶν εἰσάγεται σχῆμα, ὡς τῆς μετανοίας ὑπάρχον ἐνέχυρον.

ΚΕΦΑΛ. Μ'.

Περὶ ἁγίου ἐλαίου.

C Ἅγιον ἔλαιον δὲ παραδέδοται, καὶ τοῦτο ὡς ἱερὰ τελετὴ καὶ θείου τύπος ἐλέους, εἰς ἀπολύτρωσιν καὶ ἁγιασμὸν τοῖς ἀπὸ ἁμαρτίας ἐπιστρέφουσι χορηγούμενον. Διὸ καὶ λύσιν ἁμαρτημάτων παρέχεται, καὶ ἐξ ἀῤῥωστημάτων ἐγείρει, καὶ ἁγιασμοῦ ἐμπίπλησι. Ταῦτα δὲ πάντα Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν παραδέδωκε, καὶ οἱ αὐτοῦ δι' αὐτοῦ θεῖοι μαθηταί. Διπλῶν γὰρ ὄντων ἡμῶν ἐκ ψυχῆς τε καὶ σώματος, διπλῶς καὶ ταῦτα ἡμῖν παρέσχετο, ὡς ἀληθῶς καὶ αὐτοῦ διπλοῦ δι' ἡμᾶς γεγονότος, Θεοῦ ἀληθῶς ὄντος, καὶ ἀνθρώπου ἀληθῶς χρηματίσαντος, ὡς ἂν τῇ μὲν χάριτι τοῦ Πνεύματος νοητῶς ἡμῶν τὰς ψυχὰς ἁγιάζῃ, τοῖς αἰσθητοῖς δὲ ὕδατί τε καὶ ἐλαίῳ, καὶ ἄρτῳ καὶ ποτηρίῳ καὶ τοῖς D λοιποῖς ἁγιαζομένοις τῷ Πνεύματι, καθαγιάζῃ ἡμῶν καὶ τὰ σώματα, καὶ ὁλοτελῆ παρέχῃ τὴν σωτηρίαν.

ΚΕΦΑΛ. ΜΑ'.

Περὶ ἀναστάσεως, ἤτοι σωμάτων ἐγέρσεως.

Οὗτος, ἵνα καὶ τελείους ἡμᾶς ὡς ἔπλασε καταστήσῃ, ἔτι καὶ ἀναστήσει ἀποθνήσκοντας· καὶ μεθ' ὧν ἐζήσαμεν καὶ ἐπολιτευσάμεθα ἀποκαταστήσει σωμάτων, ἵν' ὅπερ ἐπράξαμεν ἀπολάβωμεν. Ἐπεὶ οὖν τελείους ἡμᾶς ἐγερεῖ (οὐδὲν γὰρ ἔπλασε μάτην) οὐδὲ καταλείψει ἡμῶν τὸ σῶμα ἐν τῇ φθορᾷ· πάντα γὰρ ἐποίησεν εἰς τὸ εἶναι, καὶ οὐδὲν ἀπολέσθαι βούλεται, Θεὸς τέλειος ὢν, καὶ ὄντως ὢν μόνος αὐτὸς, καὶ καθ' ἡμᾶς ἄνθρωπος γέγονε, σῶμα λαβὼν μετὰ ψυχῆς λογικῆς τε καὶ νοερᾶς, ἵνα καὶ ἡμῶν

τὰς λογικὰς ψυχὰς ἐκκαθάρῃ, καὶ χάριτος ἁγίου Πνεύματος ἐκπληρώσῃ, καὶ τὰ σώματα ἀφθαρτίσῃ ἅμα καὶ ἁγιάσῃ. Διὰ τοῦτο τοίνυν καὶ τὰ μυστήρια ταῦτα δέδωκε διπλῶς, αἰσθητῶς μὲν ἀπὸ τῶν ὁρωμένων ὄντα, Πνεύματι δὲ ἁγίῳ τελούμενα, καὶ τῆς θείας χάριτος παρεκτικὰ ψυχαῖς τε καὶ σώμασι. Παρέδωκε δὲ ταῦτα οὐ λόγοις μόνον, ἀλλὰ καὶ πράγμασι· καὶ εἰς ἑαυτὸν πρῶτον σὰρξ γενόμενος ὁ τοῦ Θεοῦ Λόγος φιλανθρώπως ἐνήργησεν, ἵν' ἀπαρχὴ ἡμῖν τῶν ἀγαθῶν ὑπάρχοντος ὡς ἀπὸ πηγῆς αὐτοῦ οἱ αὐτοῦ πάντες ἡμεῖς λαμβάνωμεν. Διὰ τοῦτο καὶ γὰρ ἐνηνθρώπησεν, ἵν' ἑνωθῶμεν αὐτῷ, καὶ ἵν' ἁγιασθῶμεν δι' αὐτοῦ. Ὅτι καὶ οὗτος ὁ πλάσας ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος ἐξ ἀρχῆς, καὶ οὗτος πάλιν ὁ ἀναπλάττων ἡμᾶς εὐδοκίᾳ Πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος. Ἡ Τριὰς γὰρ ὁ Θεὸς ἡ τὸ πᾶν ποιήσασα, καὶ τὸ πᾶν ἐξοικονομεῖ, καὶ μᾶλλον ἡμᾶς παραπεσόντας, τὸ τιμιώτατον τῶν ὁρωμένων καὶ κατ' εἰκόνα Θεοῦ. Ὁ Λόγος τοίνυν τοῦ Θεοῦ, ἡ ζῶσα εἰκὼν καὶ σφραγὶς καὶ ἀπαύγασμα, τὴν ἰδίαν εἰκόνα τὸ λογικὸν ἡμᾶς λαμβάνει ζῶον εἰς ἑαυτόν. Καὶ οὐ διά κτίσματός τινος ἑτέρου ἀνακαινίζει. Ἐπεὶ οὐδὲ δυνατόν.

Κληρικός. Καὶ πῶς, δέσποτα, οὐ δυνατὸν ἦν καὶ δι' ἀγγέλου;

Ἀρχιερεύς. Οὐδαμῶς, ὅτι πᾶν κτίσμα περιγραπτὸν, καὶ οὐ πανταχοῦ φθάνον, καὶ οὐ φυσικὴν ἔχον τὴν τοῦ σώζειν δύναμιν. Κατὰ χάριν δὲ, καὶ ἦν ἂν ὡς δι' ὀργάνου διδοὺς τὴν χάριν, καὶ μὴ δυνάμενος εἰς πάντας μερικὸς ὢν μηδὲ τοῖς πρώτως παθοῦσι χαρίσασθαι τὴν ἀνάπλασιν. Ἀλλὰ πῶς ἂν παρεῖχε ζωὴν, μὴ φύσει ὢν ἡ ζωή; Ἢ πῶς ἂν ἔμειεν ἄτρεπτος μὴ φύσει ὢν ἄτρεπτος; ἐπειδήπερ ἐξέπεσόν τινες ἐξ αὐτῶν, καὶ ταῦτα μηδὲ σαρκὶ ἐνωθέντες. Διὰ τοῦτο ἀνάγκη ἦν αὐτὸν τὸν ἄτρεπτον φύσει, τὸν ἀεὶ ὄντα **64** Λόγον, τὸν ζῶντα ἀεὶ μετὰ τοῦ ζῶντος Πατρὸς σὺν τῷ ζωοποιῷ Πνεύματι, τοῖς θνητοῖς ἡμῖν ἑνωθῆναι, ἵνα τῷ ἀτρέπτῳ τε καὶ ἀφθάρτῳ στήσῃ ἡμῶν τὴν φθορὰν, καὶ ζωὴ ὢν αἰώνιος, τὸν θάνατον μὲν ἀφ' ἡμῶν ἐκδιώξῃ, ἐμφυτεύσῃ δὲ τὴν ἀθανασίαν. Καὶ ὡς ἀπανταχοῦ ὢν καὶ αἰώνιος, καὶ τοὺς πρότερον θανόντας, καὶ τοὺς ἐν τῷ καιρῷ τῆς ἐπὶ γῆς αὐτοῦ πολιτείας πεπιστευκότας, καὶ τοὺς μετὰ ταῦτα ἕως αἰῶνος πιστεύοντας, διὰ τῶν μυστηρίων αὐτοῦ, καὶ τῶν οἰκείων, ἐχόντων τὴν χάριν αὐτοῦ, δύναται σώζειν. Καὶ ὁ αὐτὸς καὶ εἷς ἀεὶ ἐνεργεῖ καὶ φθάνει διὰ πολλῶν. Διὸ καὶ τὴν χάριν αὐτοῦ ἡμῖν ἐνεφύτευσεν, ἵνα δι' ἡμῶν ἐνεργῇ. Καὶ ἡμεῖς μὲν οἱ τῆς ἱερωσύνης ἠξιωμένοι πολλοὶ, καὶ ἐν διαφόροις τοῖς τόποις· αὐτὸς δὲ εἷς, καὶ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ ἐν θαλάσσῃ, καὶ ἐν τῷ παντὶ καὶ πανταχοῦ φθάνων ἅπαντας, καὶ πάντα διὰ πάντων ἐνεργῶν. Ὅπερ οὐδεμιᾶς ἐστι κτιστῆς ὅλως φύσεως. Διὸ οὐδὲ ἡμεῖς ἐνεργοῦμεν τελοῦντες τὰ μυστήρια· ἀλλὰ λειτουργοῦμεν μόνον, ἤτοι ὑπηρετοῦμεν. Αὐτὸς δὲ δι' ἡμῶν ἐνεργεῖ. Διὸ καὶ μυρίων προσφερόντων καθεκάστην καὶ ἐν ταυτῷ ἱερουργῶν, ἕν ἐστι τὸ σῶμα

A spiritali, ut nostras spiritales animas mundaret, et gratia Spiritus sancti adimpleret, simulque corpora incorruptibilia faceret et sanctificaret. Ideo dupl ci ratione ista myst ria tradidit, modo quidem sensibili cum ex visibilibus constent, Spiritu vero sancto absoluta, divinamque gratiam animis et corporibus infundentia. Quæ nobis dedit non verbis tantum, sed et operibus, et in semetipso primum adimplevit Dei Verbum caro misericorditer factum, ut primitiæ nobis esset bonorum omnium, nos autem omnes qui ejus sunt quasi de fonte accipiamus. Propterea quidem incarnatus est, ut ipsi conjuncti ab ipso sanctificaremur, quoniam idem quod nos a principio creavit Verbum Dei, ipsum rursus nos recreabit, bona Patris voluntate et B Spiritus sancti cooperatione. Nam Trinitas Deus quæ universum fecit, universum gubernat, et nos præsertim qui ceciderannus, præclarissimum opus ex visibilibus ad imaginem Dei factum. Igitur Verbum Dei, ejusque vivens imago, character et splendor, imaginem suam hominem, animal ratione præditum in semetipsum assumpsit; neq e cujusdam ope creaturæ renovavit, quod insup r fieri non poterat.

Clericus. Quare, domine, istud vel p r angelum fieri non poterat?

Pontifex. Minime, quoniam omnis creatura circu scripta est, nec ubique exsistit, neque naturalem habet salvandi potestatem. Verum secundum C gratiam, etsi gratiam posset quasi per instrumentum conferre; nequiret tamen ad omnes præsens assistere, neque primum laborantibus integritatem restituere. Cæterum quomodo vitam largiretur qui natura non est vita? Quomodo immutabilis permaneret qui natura non est immutabilis? ideo quidam ex ipsis ceciderunt angelis, etsi carne non essent induti. Propterea necesse erat ipsum natura immutabile, quod semper est Verbum, quod semper vivit cum vivo Patre et vivificante Spiritu, nobis mortalibus adunari ut sua immutabilitate et incorruptibilitate corruptionem nostram cohiberet, et quum æterna sit vita, mortem a nobis amoveret et immortalitatem produceret, atque quum immensus sit et æternus, prius mortuos potest per D sua mysteria bonaque sua gratiam ejus continentia salvos facere tum eos qui in tempore illius conversationis super terram crediderunt cum eos qui postea usque in sæculum fidem habebunt; idemque solus operatur et vivit in omnibus. Quamobrem gratiam ejus in nobis effudit, ut per nos operetur, et nos quidem multi sacerdotio donati sumus, in variis locis habitantes, ipse vero unus est et in terra, et in mari, ubique et in omni loco omnibus præit, et omnia in omnibus operatur, quod nulli naturæ creatæ est possibile. Ideo non nos operamur facientes mysteria, sed solummodo conficimus, seu ministramus, ipse autem per nos operatur. Quapropter etsi singulis diebus et in eadem hora sexcenti offerant sacerdotes, unum est corpus,

sanguisque unus, unum sacrificium, non autem multa. Dei enim verbum ubique et super omnia vivit et operatur.

Clericus. Mirabilia quæ dixisti, o domine, et quam maximam animæ meæ lætitiam attulerunt, præclarumque manifestaverunt Dei Verbi incarnationis mysterium.

CAPUT XLII.

Quare Verbum Dei non angelorum naturæ se univerit, sed hominum.

Pontifex. Quæ dicta sunt, dilecte, nostra non sunt, sed a Patribus excerpta, prout invenies, si multis in locis sermones eorum scrutaberis. Hoc insuper recogita ut perfectam simulque veram habeas divini mysterii notitiam, quare Dei Verbum, cum vellet suis conjungi creaturis, non meliori nempe angelorum naturæ utpote aliquam habenti ad illud affinitatem seu propinquitatem quia materia non coalescit, sed nostræ huic naturæ corruptibili et materiali coivit. Jure factum est, res equidem maxima est atque divina. Nam si naturæ junctum esset angelicæ, hæc sola illius communionem participasset, et non ipsa salvaretur, nam salutem consecuta est, sed solummodo elevata et ad majorem dignitatem erecta, Dei communione dignata; cæteræ vero creaturæ nullo modo profuisset, sed ista in corruptione remaneret, præsertim lapsus homo propter quem ipsa facta est creatura, et cujus causa in corruptionem decidit. Igitur recogita Dei sapientiam, et consilium vere principale quo, ut censeo, et mundum et angelos et denique hominem e nihilo fecit. Nempe cum bonus sit, hujus gratia creaturam produxit, ut bona illius participaret creatura; ipse enim, cum locuples sit et dives et æternus, nulla ex his quæ exsistunt rebus indigebat, quippe ipse est summum bonum, quoniam Dei est omnis creatio sive spiritalis, sive sensibilis, solus autem homo ex duobus coalescit nempe ex anima spiritali et sensibili corpore, Deus hominem solum suscipit, eique arctissime adunatur, humanam naturam in semetipso ex sancta Virgine Spiritu sancto præter peccatum assumens; et corpus accipiens cum anima ratione et voluntate prædita, per divinam quidem carnem suam creaturæ sensibili, per spiritalem autem animam angelorum naturæ conjungitur, sicque sanctificatio et gratia non in hominem solum qui anima spiritalis est et corpore sensibilis, sed in omnem naturam jure diffunditur. Natura rationalis animarum et angelorum Deo jungitur, Deum percipit, ejus fit particeps, ab eo nimis illustratur, divinum lumen congruenter accipiens ex sancta Verbi anima utpote spiritali atque rationali. Nunc sanctam illam Salvatoris animam angeli secundum naturam contemplantur, et clariorem adhuc ex invisibili lucem colligunt, necnon majori Sapientia replentur ex divina mente viventis sapientiæ; et quadam affinitate ad eam appropinquant et accedunt, et admiratione replentur, et quo majoribus dignantur, eo humiliora de se sen-

A καὶ αἷμα, καὶ μία ἡ θυσία, καὶ οὐ πολλαί, ὁ γὰρ τοῦ Θεοῦ Λόγος ζῶν ἐστι καὶ ἐνεργής, καὶ πανταχοῦ, καὶ ὑπὲρ τὸ πᾶν.

Κληρικός. Θαυμαστὰ τὰ εἰρημένα, δέσποτα, καὶ πλείστην ὅσην ἐνέθηκας τῇ ψυχῇ μου τὴν ἡδονήν, καὶ τὸ μυστήριον ἀριδηλότερον ἔγνων τῆς τοῦ Θεοῦ Λόγου ἐνανθρωπήσεως.

ΚΕΦΑΛ. ΜΒʹ.

Διατί ὁ τοῦ Θεοῦ Λόγος οὐ τῇ κρείττονι φύσει τῶν ἀγγέλων ἡνώθη, ἀλλὰ τῶν ἀνθρώπων.

Ἀρχιερεύς. Οὐχ ἡμέτερα ταῦτα, ἀγαπητέ, ἀλλὰ τῶν Πατέρων. Καὶ εὑρήσεις ἂν πολλαχοῦ ἐξετάζων τούτων τοὺς λόγους. Ἔτι δὲ καὶ τοῦτο κατανόησον, πλείστην ἅμα καὶ ἀληθῆ παρέχον τὴν γνῶσιν τοῦ θείου μυστηρίου. Διατί ὁ τοῦ Θεοῦ Λόγος βουληθεὶς B ἑνωθῆναι τοῖς αὐτοῦ κτίσμασιν, οὐ τῇ κρείττονι φύσει ἡνώθη (τῇ τῶν ἀγγέλων φημὶ) οἰκείως ἐχούσῃ πως καὶ συγγενῶς πρὸς αὐτὴν ἐκ τοῦ ἀΰλου, τῇ ἡμετέρᾳ δὲ ταύτῃ τῇ φθειρομένῃ καὶ ὑλικῇ; Κατὰ λόγον ὅτι μέγιστόν τε καὶ θεῖον. Εἰ τῇ ἀγγελικῇ γὰρ ἥνωτο φύσει, αὕτη ἂν καὶ μόνη τῆς κοινωνίας αὐτοῦ μετεῖχε, καὶ οὐκ ἐσώζετο αὕτη· σεσωσμένη γάρ ἐστιν, ἀλλ' ὑψοῦτο μόνον, καὶ πρὸς μεῖζον ἀνήγετο, Θεοῦ κατηξιωμένη τῆς κοινωνίας. Ἑτέρα δὲ πᾶσα κτίσις οὐδὲν ὠφελεῖτο, ἀλλ' ἔμενεν ἂν ἐν τῇ φθορᾷ, καὶ μᾶλλον ὁ παραπεσὼν ἄνθρωπος, δι' ὃν αὕτη γέγονεν ἡ κτίσις, καὶ δι' ὃν ὑπέπεσε τῇ φθορᾷ. Κατανοεῖ οὖν σοφίαν Θεοῦ, καὶ βουλὴν ἀρχαίαν ὄντως, δι' ἣν (οἶμαι) καὶ τὸν κόσμον καὶ τοὺς ἀγγέ- C λους ἐκ μὴ ὄντων πεποίηκε, καὶ τελευταῖον τὸν ἄνθρωπον. Ἐπεὶ γὰρ ἀγαθός ἐστι, καὶ τούτου χάριν τὴν κτίσιν παρήγαγεν, ἵνα μετέχῃ τούτου τῶν ἀγαθῶν ἡ κτίσις, οὐ γὰρ ἂν αὐτὸς, ἀνενδεὴς ὢν καὶ πλήρης καὶ προαιώνιος, ἐδέετό τινος ἐκ τῶν ὄντων, τὸ ἄκρον γὰρ ἀγαθὸν αὐτὸς, ἐπεὶ Θεοῦ ἡ κτίσις νοητή τε καὶ αἰσθητή, ἕνωσις δὲ τῶν δύο ἄνθρωπος νοητή τε καὶ αἰσθητή, ἕνωσις δὲ τῶν δύο ἄνθρωπος μόνος ἐκ ψυχῆς νοητῆς καὶ σώματος τελῶν αἰσθητοῦ, λαμβάνει τοῦτο μόνον τὸν ἄνθρωπον ὁ Θεὸς, καὶ ἑνοῦται κατάκρως, ἐν ἑαυτῷ τὴν ἀνθρωπίνην φύσιν ὑποστήσας ἀναμαρτήτως ἐκ Παρθένου ἁγίας, Πνεύματι ἁγίῳ. Καὶ σῶμα λαβὼν μετὰ ψυχῆς νοερᾶς καὶ θελητικῆς, διὰ μὲν τοῦ νοεροῦ τῆς ψυχῆς τῇ νοερᾷ ἑνοῦται φύσει τῇ τῶν ἀγγέλων, διὰ δὲ τῆς D θείας αὐτοῦ σαρκὸς τῇ κατ' αἴσθησιν κτίσει. Καὶ οὕτως ὁ ἁγιασμὸς καὶ ἡ χάρις οὐκ εἰς τὸν ἄνθρωπον μόνον, νοητὸν ὄντα ἐκ τῆς ψυχῆς καὶ αἰσθητὸν ἐκ τοῦ σώματος, ἀλλὰ καὶ εἰς πᾶσαν δικαίως διαβαίνει **65** τὴν κτίσιν· καὶ ἡ μὲν λογικὴ τῶν ἀγγέλων καὶ τῶν ψυχῶν ἑνοῦται Θεῷ, καὶ αἰσθάνεται Θεοῦ, καὶ κοινωνεῖ τούτου, καὶ λίαν λαμπρύνεται, συγγενῶς τὸ θεῖον δεχομένη φῶς ἐκ τῆς ἁγίας τοῦ λόγου ψυχῆς, νοερᾶς τελούσης καὶ λογικῆς. Νῦν γὰρ τὴν ἁγίαν ἐκείνην τοῦ Σωτῆρος ψυχὴν κατὰ φύσιν ἄγγελοι καθορῶσι, καὶ τὸν ἐκ τοῦ ἀοράτου φωτισμὸν ἐναργέστερον ἄρτι κομίζονται, καὶ σοφίας πληροῦνται μείζονος ἐκ τοῦ θείου νοῦ τῆς ζώσης Σοφίας. Καὶ ὡς συγγενῶς πως ἐγγίζουσιν αὐτῷ, καὶ διάκεινται· καὶ θαύματος ἐμπίπλανται·

καὶ ταπεινοφρονοῦσι μᾶλλον τηλικούτων ἠξιωμένοι· ἀκολούθως δὲ καὶ αἱ τῶν ἁγίων ἡγιασμέναι ψυχαί. Ἡ αἰσθητὴ δὲ κτίσις μετὰ τῶν σωμάτων ἡμῶν διὰ τῆς ἁγίας ἐκείνης καὶ τεθεωμένης ἢ μᾶλλον ὁμοθέου εἰπεῖν σαρκὸς, τεθυμένης ὑπὲρ ἡμῶν τῷ σταυρῷ καὶ ἐξαναστάσης, καὶ τὸ ἄφθαρτον εἰληφυίας, τὰς ἀπαρχὰς ἔσχε τῆς ἀθανασίας, καὶ ἔχει. Καὶ ἀποκαραδοκεῖ κατὰ Παῦλον πᾶσα ἡ κτίσις αὕτη τὴν ἀφθαρσίαν. Ὁ καὶ γενήσεται, τοῦ ἀφθάρτου καὶ ζῶντος Λόγου μετὰ τῆς ἀφθαρτισθείσης αὐτοῦ σαρκὸς σὺν ἡμῖν ἀποκαλυπτομένου τῇ δευτέρᾳ αὐτοῦ καὶ φρικτοτάτῃ παρουσίᾳ· ὅτε καὶ μυριάδες ἔσονται ἄγγελοι, τὴν αὐτοῦ καλλονὴν ὑποπτήσσοντές τε καὶ τρέμοντες, καὶ χαίροντες ἅμα τῇ δόξῃ, ἣν ἐξ ἐκείνου λαμβάνουσι. Καὶ τὰ στοιχεῖα ἀλλοιωθήσονται, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ἐκ τοῦ ἑνωθέντος ἡμῖν τῆς δικαιοσύνης ἡλίου τὴν λάμψιν λαμβάνοντες, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Κατενόησας τὸ μυστήριον, ἄνθρωπε, ὡς ἐνεχώρει εἰπεῖν ἡμᾶς τῆς τοῦ Σωτῆρος ἐνανθρωπήσεως;

A tiunt; pariterque servata proportione sanctificatæ sanctorum animæ. Natura autem sensibilis cum corporibus nostris per sanctam illam carnem deificatam, seu, ut melius dicam, deitatis participem, quæ pro nobis in cruce oblata resurrexit et incorruptionem induit, primitias immortalis habuit et habet, totaque ipsa creatura incorruptionem exspectat, quod fiet, quando incorruptibile vivumque Verbum cum carne sua incorruptione induta nobis revelabitur in secundo et horrendo ejus adventu; tunc decem millia erunt angeli decorem ejus trementes et pro timore expavescentes, simulque gaudentes gloria quam ab eo accipiunt, et mutabuntur elementa, et justi fulgebant sicut sol, ex adunato nobis sole justitiæ claritatem accipientes, B et sic omnes cum Domino erimus. Perpendisti ne, o homo, Salvatoris inhumanationis, prout nobis licet explanare mysterium?

Κληρικός. Κατενόησα καὶ τεθαύμακα, καὶ δόξα τῷ Θεῷ τῷ ταῦτα ὑπὲρ ἡμῶν ἐνεργήσαντι.

Clericus. Hæc sum meditatus, nec non miratus. Gloria autem Deo qui talia nobis largiri dignatus est.

ΚΕΦΑΛ. ΜΓ'.

Ὅτι ὁ Χριστὸς τὰ μυστήρια καὶ εἰς ἑαυτὸν ἐδέξατο.

Ἀρχιερεύς. Λοιπὸν ἀναγκαῖον εἰπεῖν, ὅπως καὶ εἰς ἑαυτὸν ὁ Σωτὴρ τὰ μυστήρια κατειργάσατο. Καὶ πρῶτον μὲν τὸ βάπτισμα, τὸ πρῶτον αὐτοῦ τῶν πνευματικῶν δωρημάτων, αὐτὸς ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ὑπὸ τοῦ Ἰωάννου πρῶτος, οὐχ ὡς δεόμενος αὐτὸς, πῶς γὰρ ὁ καθαρὸς μόνος; ἀλλ' ὑπὲρ ἡμῶν, ἵνα καθαρθῶμεν, καὶ τὸν ἐκ τῆς ῥίζης καὶ τῆς προγονικῆς ἁμαρτίας ἀποπλύνωμεν ῥύπον, καὶ ἐκ πηλοῦ πλασθέντες ἐξ ἀρχῆς, ὅπερ ἐστὶ γῆ καὶ ὕδωρ, ἀντὶ μὲν τῆς γῆς ἡμῶν ᾖ τὸ σῶμα, ἐν ὕδατι δὲ ἁγίῳ καὶ Πνεύματι ἀναγεννηθῶμεν σὺν τῇ ψυχῇ, καὶ καινὸς καὶ ἀναμάρτητος γεννώμεθα ἄνθρωπος. Δεύτερον δὲ τὸ χρῖσμα, ἤτοι τὸ θεῖον ἔλαιόν τε καὶ μύρον, ὁ Σωτὴρ ἐν τῷ βαπτίσματι ὑπεδέξατο, κατελθόντος τοῦ Πνεύματος ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς. Καὶ ὁ Ἡσαΐας περὶ τούτου ὥσπερ ἀπ' αὐτοῦ φησι τοῦ Χριστοῦ, « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με. » Περὶ τούτου καὶ Πέτρος φησὶν, Ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, σωματικῶς δηλονότι, ἐπελθόντος τοῦ Πνεύματος. Καὶ ὅτι τοῦτον ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ, ἀλλαχοῦ πάλιν ὁ Πέτρος λέγει. Ὁ δέ γε Παῦλος, « Ἐν αὐτῷ, φησὶ, κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. » Τοῦτο οὖν τὸ χρῖσμα ἡ χάρις ἐστὶ τοῦ Πνεύματος πᾶσα· ὅπερ, καθὼς εἴρηται ἐν τῷ βαπτίσματι, ἔλαβεν ἀνθρωπίνως, ὡς καὶ Ἰωάννῃ ἑωράθη. Καὶ τοῦτο εἶχε μὲν ἀεὶ ὡς Θεὸς Λόγος ἀδιαίρετον ὂν αὐτῷ, εἶχε δὲ τῇ χάριτι καὶ ἐνανθρωπήσας εὐθὺς, ἐπεὶ καὶ ἀεὶ ἦν μετ' αὐτοῦ τὸ συμφυὲς αὐτοῦ Πνεῦμα καὶ ἀδιαίρετον, καὶ ἅγιον δὲ Πνεύματι συνεστήσατο ἑαυτῷ τὴν θείαν ἐκείνην σάρκα, ἔδειξε δὲ ὅμως καὶ ἐν τῷ βαπτίσματι εἰς αὐτὸν κατερχόμενον δι' ἡμᾶς. Ἐπεὶ καὶ τὸ βάπτισμα ὁ καθαρὸς ὑπέμεινε **66** δι' ἡμᾶς, ἵνα βαπτιζόμενοι τοῦτο

CAPUT XLIII

Quod Christus sacramenta ipse in se suscepit.

Sacerdos. Nobis necessario dicere nunc reliquum est, quod Salvator noster sacramenta ipse in se suscepit; et primum quidem, baptismum potissimum, qui inter spiritualia dona primum locum tenet; ipse primus a Joanne in Jordane baptizatus est, C non eo quod utique hoc sacramento ipse indiguerit, quomodo enim qui solus mundus? sed pro nobis ut mundaremur, originalisque peccati labem ablueremus. De limo autem ab initio formati, terra videlicet et aqua, terræ quidem ad instar est corpus nostrum. In aqua vero et Spiritu sancto cum anima regeneramur, atque novum et mundum hominem induimus. Secundum vero, ceu chrisma pariter suscepit cum oleo et unguento in baptismo un tus est Salvator, descendente Spiritu sancto, corporali specie sicut columba in ipsum. De quo Isaias, cum de ipso Christo dicit: « Spiritus Domini super me, eo quod unxerit Dominus me. » De hoc etiam beatus D Petrus dicit quod et Dominum eum et Christum fecit Deus, corporaliter videlicet, superveniente Spiritu; quod etiam unxit eum Deus Spiritu sancto, undique iterum prædicat beatus Petrus. Paulus vero: « In ipso, inquit, inhabitat omnis plenitudo divinitatis corporaliter. » Id igitur chrisma est, ceu plenitudo gratiæ Spiritus sancti; quam, ut dicitur, in baptismo humaniter suscepit, veluti etiam Joanni visum est. Et hoc quidem semper ut Deus Verbum habuit sibimetipsi indivisum, habuit etiam dono gratiæ; proindeque incarnatus, quod revera semper sui ipsius innatus Spiritus et hic indivisus sibi adfuerit, quod etiam Spiritui sancto divina illa caro in se fuerit unita, in baptismo similiter apparuit quoad ipsum descendentem propter nos, siquidem, cum esset ipse mundus,

baptismum propter nos suscepit ut baptizati eadem sceiperemus. Necessario igitur spirituali hoc unguento indigemus, in primis vero in baptismo; nec esset revera baptizatus, qui unguentum illud non suscepisset; baptismo enim regeneratur et peccata ejus a Spiritu abluuntur; gratiæ enim pignora nondum habuit nec vitæ aromata nec Spiritus sancti signum; proindeque ipsum baptizari oleoque ungi necesse est. Et ideo a Philippo baptizati, tanquam qui solum baptisma suscepissent, Petro et Joanne imponentibus manum, Spiritum sanctum accipiebant. Quod sane hoc sacramentum est. Siquidem impositio manuum unguentum præbebat, ut et in apostolis factum est ac per ipsos multis aliis. Et tum quidem impositio manuum ipsum est consecratum hoc magnum unguentum appellatum: consecratum, inquam, precationibus ac benedictionibus, non a presbyteris, sed a patriarchis et pontificibus, quos virtus Petri et Joannis locupletat. Quod etiam unguentum, ad fines orbis missum, instar impositionis manuum est. Singulos igitur fideles hoc baptismo signari expedit, ut unusquisque divinissimo baptismo baptizatus, perfectionem inveniat in eo. Si enim Salvator noster baptizatus Spiritum suscepit; si viri a Philippo baptizati Spiritum acceperunt ex impositione manuum Petri et Joannis; ne forte imperfecti sive Spiritus sancti signo orbati remanerent, fideles ipsi baptizati oleo ungendi sunt per baptismum, ne etiam (veluti Latinorum, sive aliorum quorumdam primogeniti) imperfecti maneant signoque orbati. Dum nec Spiritus sancti gratiam nec Christi signum susceperint. Sigillum enim est Christi unguentum in Spiritu. Et illud clamat sacerdos in impressione signi per unguentum, dicens: « Signum muneris Spiritus sancti. Amen. » Gratia igitur et Christi signo caret, qui unguentum non accepit. Unguentum vero non est oleum simpliciter, sed aliquid precibus in ara consecratum a Christi sacerdotibus, apostolis videlicet, qui ipsius Christi potentia magis locupletantur. Absit vero a me, unguentum illud designare quod a reliquiis sanctis, quale est unguentum quod a corpore divini nec non inodorantis Demetrii, sive alii cujusdam sancti, veluti fama est, defluit, sive etiam unguentum magni martyris Mamæ apud Cyprios, sive sanctæ cujusdam imaginis, veluti sancta dicitur Sitta, sive demum unguentum ab oleo defluens luminarium, quæ sanctis imaginibus reliquiisve suspensa lucescunt. Et hæc quidem veneranda, et gratiam divinam habent, et morbos curant, divinissimi vero hujus unguenti virtutem non habent; ipsa enim propria, et a pontifice, pontificalibusque precibus producitur. Nec inconsulto traditur, sed ad altare tempore sacrificii peracta, per sanctam nec non magnam Parasceves quintanam, sub fine sacrificii precibus celebratur ac divino crucis signo perficitur, illud vero juxta divina mysteria. Ac veluti nec corpus nec sanguis Christi erit panis et vinum quod prius non fuerit sacerdotis precibus

A λαμβάνωμεν. Χρῄζομεν οὖν καὶ ἡμεῖς κατ' ἀνάγκην τοῦ πνευματικοῦ μύρου τούτου, καὶ μᾶλλον ἐν τῷ βαπτίσματι· καὶ οὐκ ἔσται τελείως τις βαπτισθεὶς, ὁ μὴ καὶ τὸ μύρον δεξάμενος. Τῷ μὲν γὰρ βαπτίσματι ἀναγεννᾶται, καὶ τῶν ἁμαρτιῶν ἀπολούεται Πνεύματι· οὐκ ἔτι δὲ καὶ τοὺς ἀῤῥαβῶνας ἔχει τῆς χάριτος, οὐδὲ τὴν ὀσμὴν τῆς ζωῆς, οὐδὲ τὴν σφραγῖδα τοῦ Πνεύματος. Διὸ ὡς βαπτισθῆναι ἀναγκαῖον, καὶ τῷ μύρῳ χρισθῆναι ἐστιν ἀνάγκη. Καὶ τούτου χάριν τοῖς βεβαπτισμένοις ὑπὸ Φιλίππου, ὡς μόνον τὸ βάπτισμα δεξαμένοις, Πέτρος καὶ Ἰωάννης ἐπετίθουν τὰς χεῖρας, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον. Ὃ δὴ τὸ μύρον ἐστίν. Ἡ γὰρ ἐπίθεσις τῶν χειρῶν τὸ μύρον παρεῖχεν, ὡς καὶ ἐν τοῖς ἀποστόλοις ἐγίνετο, καὶ δι' αὐτῶν πολλοῖς ἄλλοις.
B Καὶ τότε μὲν ἐπίθεσις τῶν χειρῶν, νῦν δὲ ἀντὶ τῶν χειρῶν αὐτό ἐστι τὸ ἡγιασμένον καὶ λεγόμενον μέγα μύρον, ἁγιαζόμενον οὐ παρὰ πρεσβυτέρων, ἀλλὰ παρὰ πατριαρχῶν καὶ ἀρχιερέων ἱεραῖς εὐχαῖς τε καὶ εὐλογίαις τὴν τοῦ Πέτρου καὶ Ἰωάννου πλουτούντων δύναμιν· ὃ δὴ καὶ ἀποστελλόμενον εἰς τὰ πέρατα, δύναμιν ἔχει τῆς ἐπιθέσεως τῶν χειρῶν. Καὶ ἀνάγκη τούτῳ σφραγίζεσθαι πάντα πιστὸν τῷ βαπτίσματι, ἵνα καὶ τὸ θειότατον βάπτισμα πᾶς βαπτισθεὶς τέλειον ἔχῃ ἐν ἑαυτῷ. Εἰ γὰρ ὁ Σωτὴρ τὸ Πνεῦμα ἐδέξατο βαπτιζόμενος, καὶ οἱ βαπτισθέντες παρὰ Φιλίππου τὸ Πνεῦμα ἐλάμβανον τῇ ἐπιθέσει τῶν χειρῶν Πέτρου καὶ Ἰωάννου, ἵνα μὴ ἀτελεῖς ὦσι καὶ ἀσφράγιστοι τῷ Πνεύματι, καὶ οἱ βαπτιζό-
C μενοι πιστοὶ τούτῳ ὀφείλουσι χεχρῖσθαι τῷ μύρῳ ἐν τῷ βαπτίσματι, καὶ μὴ (ὡς τὰ τῶν Λατίνων, ἢ τινῶν ἄλλων βρέφη) ἀτελεῖς μένωσι καὶ ἀσφράγιστοι, τὴν χάριν τοῦ Πνεύματος μὴ λαμβάνοντες, μηδὲ σημειούμενοι τῇ σημειώσει Χριστοῦ. Σφραγὶς γάρ ἐστι τὸ μύρον τοῦ Χριστοῦ ἐν τῷ Πνεύματι. Καὶ ὁ ἱερεὺς τοῦτο ἐκβοᾷ ἐν τῷ σφραγίζειν τῷ μύρῳ, λέγων, « Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. » Ἀχαρίτωτος ἄρα καὶ ἀσφράγιστος τῷ Χριστῷ ὁ μὴ τὸ μύρον δεξάμενος. Μύρον δὲ οὐχ ἔλαιον ἁπλῶς, ἀλλὰ τὸ ἡγιασμένον εὐχαῖς ἐν τῷ θυσιαστηρίῳ παρὰ τῶν ἀρχιερέων Χριστοῦ, τῶν ἀποστόλων, μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ πλουτούντων τὴν δύναμιν. Καὶ οὐδὲ μύρον τὸ ἀπὸ λειψάνων ἁγίων, οἷον τὸ ἐκ τοῦ σώματος τοῦ θείου καὶ μυροβλήτου Δημητρίου, ἢ
D τινος ἄλλου τῶν ἁγίων, ὥσπερ διαφημίζεται καὶ, ἐν τῇ τῶν Κυπρίων τοῦ μεγαλομάρτυρος Μάμαντος, ἢ ἁγίας εἰκόνος, ὡς τῆς λεγομένης Σιττῆν ἁγίας, ἢ ἐξ ἐλαίου τῶν ἐν ταῖς ἁγίαις εἰκόσιν ἢ λειψάνοις ἐκκρεμαμένων φωταγωγῶν. Καὶ ταῦτα μὲν γὰρ σεβάσμια, καὶ χάριν ἔχοντα θείαν, καὶ ἰάσεις παρέχοντα, ἀλλ' οὐ τὴν δύναμιν ἐκείνου τοῦ θειοτάτου μύρου· ἰδία γὰρ αὕτη, καὶ διὰ τῆς ἀρχιερωσύνης καὶ τῶν ἀρχιερατικῶν εὐχῶν χορηγεῖται. Καὶ οὐχ ἁπλῶς ἐνεργεῖται, ἀλλ' ἐν τῷ θυσιαστηρίῳ ἐν τῷ καιρῷ τῆς ἱερουργίας τιθέμενον, κατὰ τὴν ἁγίαν τε καὶ μεγάλην Πέμπτην, ἐν τῷ τέλει τῆς ἱερουργίας εὐχαῖς ἱερολογούμενον, καὶ σφραγῖδι θείᾳ σταυροῦ τελειούμενον, καθὰ καὶ τὰ θεῖα μυστήρια. Καὶ ὥσπερ οὐκ ἔσται σῶμα καὶ αἷμα Χριστοῦ ὁ μὴ

ἱερουργηθεὶς ἄρτος καὶ τὸ ποτήριον διὰ τῶν εὐχῶν A τοῦ ἱερέως, οὐδὲ μέγα μύρον τὸ μὴ ἱερουργηθὲν διὰ τῶν ἱερωτάτων εὐχῶν τῶν θειοτάτων ἀρχιερέων. Ἐκ τούτου δὲ τοῦ βαπτίσματος καὶ τοῦ μύρου καὶ Χριστιανοὶ καλούμεθα καί ἐσμεν, καὶ μᾶλλον ἐκ τοῦ μύρου, ὃ καὶ χρίσμα καλεῖται, ἐπεὶ καὶ Χριστὸς διὰ τὸ χρισθῆναι ἁγίῳ Πνεύματι σωματικῶς λέγεται. Καὶ τοῦτο φησι Πέτρος τε, ὡς εἴπομεν, καὶ Δαβίδ. « Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. » Τουτέστι, Σὲ μὲν πάντων τῶν χαρισμάτων ἐπλήρωσε (τὸ γὰρ πλήρωμα τῆς Θεότητος ἔλαβες)· οἱ μέτοχοι δὲ σοῦ, ὡς ἀπὸ πηγῆς ἀναλόγως. Καὶ τὸ μύρον μὲν οὕτως ἐν τῷ βαπτίσματι, τοῦ Πνεύματος κατελθόντος, ὑπεδέξατο **67** ὁ Σωτήρ. Ἀλλὰ καὶ ἐν τῷ μέλλειν πάσχειν B μύρῳ ἠλείψατο εἰς τὸν ἐνταφιασμὸν αὐτοῦ τοῦτο εἶναι λέγων· δεικνὺς ἐκ τούτου, ὡς καὶ ἀποθνήσκων ὑπὲρ ἡμῶν, ζῶν ὑπῆρχε Θεὸς ὤν, καὶ τὰς ζώσας ἐνεργείας τοῦ Πνεύματος ἀδιαιρέτους εἶχεν ἐν ἑαυτῷ.

ΚΕΦΑΛ. ΜΔ'.

Ὅτι τὴν ἱερουργίαν αὐτὸς ἐτέλεσεν ὁ Σωτήρ.

Τὴν δέ γε ἱερουργίαν τοῦ παναγίου σώματος αὐτοῦ τε καὶ αἵματος δῆλον ὡς αὐτὸς ἱερούργησε, καὶ ἱερουργεῖν ἡμῖν παραδέδωκε. « Τοῦτο γὰρ, φησὶ, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Ὅτι καὶ αὐτὸς ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ (ἐν ἄρτῳ δηλονότι καὶ οἴνῳ) μηδαμῶς παυόμενος· καὶ αἰώνιος μᾶλλον ἱερεὺς, ὅτι καὶ τέθυκεν ἑαυτὸν ἑκουσίως διὰ σταυροῦ, καὶ θύει, καὶ προσήνεγκε τῷ C Πατρὶ, καὶ προσάγει. Καὶ σφάγιον κεῖται διηνεκὲς, καὶ αἰώνιον ὑπὲρ ἡμῶν ἱλαστήριον· ὃν καὶ μέγαν ἔχομεν ἀρχιερέα ἡμεῖς διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ κρατοῦμεν αὐτοῦ τῆς ὁμολογίας. Καὶ τοιοῦτος ἡμῖν ὄντως ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὑπὲρ ἡμῶν ταπεινωθεὶς τῶν ἁμαρτωλῶν.

ΚΕΦΑΛ ΜΕ'.

Ὅτι καὶ ἱερεὺς καὶ ἀρχιερεὺς σωματικῶς κεχειροτόνηται ὁ Σωτήρ.

Ὅτι δέ γε καὶ ἱερεὺς ἡμῶν καὶ ἀρχιερεὺς κεχειροτόνηται, αὐτὸς ἐδήλωσεν ὁ Σωτὴρ, Λόγος τοῦ Θεοῦ ὢν, καὶ ὑπὲρ ἡμῶν σαρκωθεὶς, καὶ ὑπὸ τοῦ Πατρὸς D μαρτυρηθείς τε καὶ τῷ Πνεύματι χειροτονηθεὶς, ὡς καὶ ὁ Ἡσαΐας προέφη· « Ἀναστήσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ, » καὶ τὰ ἐφεξῆς. Καὶ ὅρα τὰ περὶ τῆς χειροτονίας, ὅπως οὗτος θαυμαστὴν ταύτην καὶ λαμπροτάτην εἴληφε· καίτοι γε Θεὸς ὢν φύσει, καὶ τὸ παντοδύναμον ἔχων καὶ παντουργόν τε καὶ ἅγιον· τοῦ Θεοῦ γὰρ ζῶν ἐστι Λόγος, ἅγιός τε καὶ παντοδύναμος, ἀλλ' ὅμως δι' ἡμᾶς καὶ σωματικῶς κεχειροτόνηται παρὰ τοῦ Πατρός. Καὶ πρῶτον μὲν ἐν αὐτῷ τῷ βαπτίσματι, ἅμα γὰρ τότε βαπτιζόμενος καὶ χειραπτούμενος, ὡς χειροτονούμενος ἦν, Ἰωάννου μὲν τὴν χεῖρα αὐτῷ τιθέντος, καὶ τὸ Πνεῦμα δεχόμενος·

consecratum, pariter non erit unguentum illud sanctum, quod nec sacerdotalibus precibus nec divinissimis pontificibus fuerit consecratum. Virtute autem hujus baptismi et unguenti Christiani nominamur et sumus; præcipue vero unguenti virtute, quod etiam chrisma vocatur, siquidem Christus Spiritu sancto unctus corporaliter dicitur. Et hoc loquitur beatus Petrus, veluti diximus, et ipse David: Propterea unxit te Deus Deus tuus oleo lætitiæ præ consortibus tuis; id est, te quidem implevit omnibus donis, (divinitatis enim plenitudinem suscepisti), consortes autem tui, veluti ex fonte per analogiam. Unguentum quidem in baptismo, superveniente Spiritu sancto, Salvator noster suscepit; sed cum oportuit illum pati, unguento iterum perfusus est, quod ad sepeliendum se esse dixit: Unde visum est, quod etiam moriens pro nobis, vivus remansit, utpote Deus; et aliunde vividas Spiritus sancti vires indivisas in se retinuit.

CAPUT XLIV.

Quod Salvator ipse Eucharistiam perficiendo celebravit.

Quod ipse sanctissimi corporis sui et sanguinis consecrationem Eucharistiam perficiendo celebravit, nobisque celebrandam reliquerit, inconcussa est res: « Hoc enim, inquit, facite in meam commemorationem; » nec non quod ipse sacerdos sit in sæcula secundum ordinem Melchisedec (in pane videlicet et vino) indesinenter permanens; eo magis vero æternus sacerdos, quo etiam semetipsum, voluntarie obtulerit in cruce, et offert adhuc, et Patri præbet et adducit ac hostia indesinenter jacet, æternumque pro nobis propitiatorium; quem etiam pontificem magnum nos habemus, qui penetravit cœlos, Jesum Filium Dei, cujus etiam teneamus confessionem; « Talis enim decebat ut nobis esset pontifex, sanctus, innocens, impollutus, segregatus a peccatoribus, et excelsior cœlis factus, qui pro nobis humiliatus est peccatoribus. »

CAPUT XLV.

Quod sacerdos et pontifex maximus corporaliter ordinatus Salvator fuit.

Quod sane etiam sacerdos noster et pontifex maximus fuerit ordinatus, Salvator ipse præbuit, cum Dei Verbum esset, pro nobis etiam caro factus est, et de ipso testimonium perhibuit Pater, et a Spiritu sancto ordinatus est, veluti etiam Isaias prædixit: « Egredietur virga de radice Jesse, et flos de radice ejus ascendet. Et requiescet super eum Spiritus Domini, » et cætera. Quæ etiam ad ordinationem spectant vide, quonam modo mirandam illam nec non claram ordinationem susceperit, etsi natura sua Deus sit, et omnipotentiam habeat et omnem virtutem et sanctitatem, Dei enim vivum est Verbum, sanctum quidem et omnipotens, et aliunde propter nos a Patre corporaliter est ordinatum; primo quidem in ipso baptismo. Cum enim baptizaretur et ipsi manus imponerentur, ad ordinandum eum, Joanne quidem sublevante

manus in eum, Spiritum accepit; in primis vero a Patre est ordinatus, Spiritu quidem descendente per impositionem manuum, au lita est vox Patris dicentis: « Hic est Filius meus dilectus, in quo bene complacui. » Secundo, vero ordinationem clarius suscepit in monte transfigurationis, cum ipse quidem divinæ gloriæ luce resplenduit, perfectus justitiæ Sol. In medio enim apparuit nubis istius splendentis, qua præsignificabatur Spiritus, qui ipsi quidem perpetuo adest. E nube vero tunc Pater ipsum etiam secundum carnem perficiebat, cum una testimonium perhiberet, et in ipso complaceret et ejusdem vividam sapientiam magistram prænuntiaret: « Hic enim est, iterum inquit, Filius meus dilectus, in quo bene complacui, » et his addidit, Ipsum audite: » quod sane doctrinæ signum est; quod etiam Christus ipse discipulis suis tradens dixit: « Qui vos audit, me audit. » Vides igitur modum quo a Patre in Spiritu sancto fuit ordinatus?

A ἐξαιρέτως δὲ χειροτονούμενος παρὰ τοῦ Πατρὸς, τοῦ Πνεύματος μὲν κατερχομένου ἀντὶ χειρὸς, αὐτοῦ δὲ λέγοντος τοῦ Πατρὸς, « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. » Τὸ δεύτερον δὲ τὴν χειροτονίαν λαμπρότερον ἔλαβεν ἐν τῷ τῆς μεταμορφώσεως ὄρει, ὅτε αὐτὸς μὲν τῷ τῆς θείας δόξης φωτὶ ὑπερέλαμψεν, ἥλιος δικαιοσύνης τελῶν· μέσον δὲ γέγονε τῆς νεφέλης ἐκείνης τῆς φωτεινῆς, ἥτις τὸ Πνεῦμα ἐσήμαινεν, ὃ σὺν αὐτῷ μὲν ἦν ἀεί, Καὶ ἐκ τῆς νεφέλης δὲ ὁ Πατὴρ τοῦτον τότε καὶ κατὰ σάρκα ἐτέλει μαρτυρῶν ἅμα καὶ εὐδοκῶν ἐν αὐτῷ καὶ ἀνακηρύττων τὴν ἑαυτοῦ ζῶσαν σοφίαν διδάσκαλον. « Οὗτος γάρ ἐστι πάλιν, φησὶν, ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα. » Καὶ προσέθηκεν, « Αὐτοῦ ἀκούετε· » ὃ δὴ τῆς διδασκαλίας ἐστί. Τοῦτο καὶ B αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς διδοὺς ἔλεγεν, « Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει. » Ὁρᾷς καὶ ὅπως κεχειροτόνηται παρὰ τοῦ Πατρὸς ἐν ἁγίῳ Πνεύματι;

CAPUT XLVI.

Quod honestum conjugium benedixit Christus, atque cum Ecclesia sancta ipse in se repræsentavit.

Disce jam quomodo conjugium, prout minister, univit ac benedixit. Audisti enim quod ipse in Cana nuptiis adfuerit. Genitus est enim ut homini socius permanens, nostram sanctificaret generationem.

ΚΕΦΑΛ. ΜϚ'.

Ὅτι καὶ τὸν τίμιον γάμον ὁ Χριστὸς εὐλόγησε, καὶ ἐν ἑαυτῷ διὰ τῆς Ἐκκλησίας εἰργάσατο ἐν ἁγίῳ Πνεύματι.

Ὅρα δὲ καὶ ὅπως τὸν γάμον ὡς δημιουργὸς συνεστήσατο καὶ εὐλόγησεν. Ἔμαθες γὰρ **68** αὐτὸν ἐν Κανᾷ εἰς γάμον παραγενόμενον. Ἀλλὰ καὶ γεγέννηται παρὰ μεμνηστευμένης ἀνδρὶ, ἵνα τὴν γέννησιν ἡμῶν ἁγιάσῃ.

CAPUT XLVII.

Quod nuptiis virginitatem Christus prætulerit.

Nuptiis igitur virginitatem prætulit, cum virgo sit ipsius Pater, qui eum æterne et incorporaliter genuit; cum Mater ejus, postquam secundum carnem ipsum Deum carnem factum genuisset, virgo pariter fuerit, et permansit, et adhuc permanet, siquidem eum salva integritate edidit, quem absque viri semine concepit. Aliunde vero mirabiles ac revera virginales nec non divinas ipsius nuptias corde recogita; pulcherrimus enim sponsus animas nostras concupivit, nosque dilexit, veluti dixit, et pro amore nostri animam suam posuit, et in munus semetipsum nobis obtulit, nosque sibimetipsi in proprio sanguine intemerato despondit, nos inquam, castam ipsius Ecclesiam; quod præclarus clamat pronubus Paulus: « Despondi, inquit, vos uni viro virginem castam exhibere Christo. » Et quæ ad illa quæ ad nuptias spectant clari istius nec non splendidi Regis Filii, ipse in Evangeliis sponsus, pulchritudine formosior præ omnibus filiis hominum, cum purus sit et intemeratus, testatur. Ita quidem illa quæ ad nuptias spectant in semetipso et ex semetipso perfecit.

ΚΕΦΑΛ. ΜΖ'.

C *Ὅτι γάμου τὴν παρθενίαν Χριστὸς προέκρινεν.*

Πλὴν τοῦ γάμου τὴν παρθενίαν προέκρινεν, ἐπεὶ καὶ παρθένος ἐστὶν ὁ Πατὴρ αὐτοῦ, ἀῤῥεύστως αὐτὸν καὶ ἀσωμάτως γεννῶν. Καὶ ἡ μήτηρ δὲ τὸ κατὰ σάρκα τὸν Θεὸν αὐτὸν σεσαρκωμένον γεννήσασα, παρθένος καὶ ἦν, καὶ ἔμενε, καὶ μένει, δίχα φθορᾶς αὐτὸν τέξασα, ἐπειδήπερ συνέλαβε καὶ ἀσπόρως. Ἀλλὰ καὶ θαυμαστὸν γάμον καὶ παρθενικὸν ὄντως καὶ θεῖον αὐτοῦ κατανόησον. Ὁ γὰρ ὡραῖος νυμφίος τῶν ψυχῶν ἡμῶν ἐπεθύμησε, καὶ ἠγάπησεν ἡμᾶς, ὡς ἔφη· καὶ διὰ τὴν ἀγάπην ἡμῶν τὴν ψυχὴν αὐτοῦ τέθεικε, καὶ προῖκα δέδωκεν ἡμῖν ἑαυτὸν, καὶ ἡρμόσατο ἡμᾶς ἑαυτῷ ἐν τῷ οἰκείῳ ἀσπίλῳ αἵματι, τὴν ἁγνὴν αὐτοῦ Ἐκκλησίαν. Καὶ τοῦτο Παῦλος ὁ καλὸς βοᾷ ἁρμοστής, « Ἡρμοσάμην, λέγων, ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι D τῷ Χριστῷ. Καὶ τὰ περὶ τοῦ γάμου τούτου τοῦ λαμπροῦ καὶ ὡραίου Υἱοῦ τοῦ βασιλέως αὐτὸς ἐν τοῖς Εὐαγγελίοις ἐκτίθησιν ὁ νυμφίος ὁ κάλλει ὡραῖος παρὰ πάντας υἱοὺς βροτῶν, ὡς καθαρός τε καὶ ἄμωμος. Οὕτω καὶ τὰ περὶ τοῦ γάμου εἰς ἑαυτὸν καὶ δι' ἑαυτοῦ κατειργάσατο.

CAPUT XLVIII.

Virginitatem esse connubium cum Christo.

Quare etiam, qui Christo nubere valet et cupit, qui etiam eunuchus factus est propter regnum cœlorum, utpote in semetipso Verbum recipere cupiens, hunc castus terque sanctus Christus mirabiliter accipit, et ipsi conjungitur, et ab ipso veluti pure

ΚΕΦΑΛ. ΜΗ'.

Ὅτι γάμος Χριστοῦ ἡ παρθενία.

Διὸ καὶ τὸν μὲν δυνάμενον καὶ χωροῦντα αὐτῷ νυμφεύσασθαι, καὶ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν εὐνουχισθέντα, ὡς χωροῦντα ἐν ἑαυτῷ τοῦτον τὸν Λόγον δεχόμενον, λαμπρῶς ὁ ἁγνὸς καὶ παναγίως ὑποδέχεται, καὶ ἑνοῦται αὐτῷ, καὶ ὡς καθαρῷ

ὀπτάνεται, καὶ ὅλος ἐνοικεῖ ἐν αὐτῷ· εἰ δ' οὖν, εὐλογεῖ τὸν γάμον τὸν ἐν αὐτῷ, καὶ τὴν παιδοποιίαν οὐκ ἀποστρέφεται. «Διὰ ταύτης, λέγει γὰρ ὁ θειότατος Παῦλος, δύνασθαι σωθῆναί τινας,» «Σωθήσονται δὲ, φησὶ, διὰ τῆς τεκνογονίας.» Ὅτι καὶ αὐτὸς παῖς γέγονεν, εἰ καὶ ἀπαθῶς ὁ Χριστός· καὶ παρὰ παίδων ᾐνεῖτο, καὶ παῖδας εὐλόγει καὶ ἠγκαλίζετο. Πορνείαν δὲ καὶ μοιχείαν ἄχρι καὶ βλέμματος καὶ καρδιακῆς κινήσεως ἀπεστρέφετο. Σοδομίτας δὲ καὶ ἐξαρχῆς μὲν κατέφλεξε, καὶ ἔτι κολάζεσθαι διδάσκει. Ἀνεκτότερον γάρ φησιν εἶναι ἐν ἡμέρᾳ κρίσεως Σοδόμοις τε καὶ Γομόῤῥοις ἢ τοῖς μὴ δεξαμένοις τὸ κήρυγμα. Ὥστε καὶ αἰωνία τοῖς τοιούτοις σὺν τοῖς ἀσεβέσιν ἡ κόλασις. Ἀλλὰ τὰ μὲν περὶ τοῦ γάμου οὕτω ποιήσας τε καὶ διδάξας, περὶ μετανοίας τε καὶ ἐξαγορεύσεως ἔπραξέ τι εἰς ἑαυτόν.

Κληρικός. Καὶ περὶ μὲν τῶν προτέρων, ἅγιε δέσποτα, ἱκανῶς ὠφελήθημεν, περὶ ἀναγκαίων ἀκηκοότες, καὶ μᾶλλον ὅπως κεχειροτόνηται ὁ μόνος φύσει πάντα ἰσχύων, καὶ μόνος ἅγιος ὢν, ὅπως τε ἐνυμφεύσατο, καὶ παναγίως εἰς γάμον ἦλθεν ὁ ἄσπιλός τε καὶ καθαρὸς, ἁγίοις ἁγίως ἐν ἔρωτι θείῳ καὶ θερμῷ συναπτόμενος· πῶς δὲ ἄρα καὶ εἰς μετάνοιαν ἔλθοι ὁ ἀναμάρτητος, ἀποροῦμεν.

ΚΕΦΑΛ. ΜΘ'.

Ὅτι καὶ τὰ τῆς μετανοίας ὁ Σωτὴρ δι' ἑαυτοῦ ἔδειξεν.

Ἀρχιερεύς. Καλῶς ἔφης. Καὶ οὐ δι' ἑαυτὸν ἔρχεται, ἀλλὰ δι' ἡμᾶς. Αὐτὸς γὰρ τὰς ἀνομίας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. Οὐ μετενόησεν οὖν, ἀλλὰ τὰ τῆς μετανοίας ἐδίδαξε. Καὶ τοῦτο πρῶτόν φησιν, εἰδὼς ἡμῶν τὸ εὐόλισθον, «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» Πῶς γὰρ ὁ μόνος ἐν ἀνθρώποις ἀνέγκλητος μετενόει; **69** μᾶλλον δὲ μόνος ἅγιός τε καὶ καθαρός; Ἀλλὰ μετάνοιαν ἐδίδασκε δι' ἡμᾶς. «Ἐπεὶ καὶ οὐκ ἦλθον καλέσαι, φησὶ, δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.» Διὸ καὶ ἐσθίειν καὶ πίνειν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν οὐ παρῃτεῖτο. Καὶ τούτου χάριν παρ' Ἰουδαίων καταμέμφεται. Καὶ πόρνας προσδέχεται ἱλαρῶς. Καὶ γὰρ ἅπτονται τούτου τῶν ποδῶν, καὶ κατὰ κεφαλῆς ἐκχέουσιν αὐτῷ μύρα, καὶ δάκρυσι πλύνουσι τοὺς πόδας αὐτοῦ, καὶ ἐκμάττουσι ταῖς θριξί. Καὶ Χαναναίαν Ἑλληνίδα οὐκ ἀποπέμπεται. Καὶ τὴν ἐπὶ μοιχείᾳ μὴ κατακρίνας προσδέχεται, μόνον μὴ ἁμαρτάνειν εἰπών· καὶ συκοφάντην καὶ ἅρπαγα ἀποδόντα τὴν ἀδικίαν προθύμως τε καὶ πολλαπλῶς· καὶ πλεονέκτην καὶ τελώνην ἀπολιπόντα τὸ τελωνεῖν· καὶ φονευτὴν, καὶ ταῦτα λῃστὴν, ἑνὶ μόνῳ ῥήματι ἐπὶ τοῦ σταυροῦ· καὶ τὸν ἀρνησάμενον τρίτον, καὶ ταῦτα μαθητὴν πρῶτον, ὡς δακρύσαντα μόνον, καὶ τρὶς αὐτὸν πάλιν ἐν ἀγάπῃ ὁμολογήσαντα· καὶ βλάσφημον καὶ διώκτην, ἐπιστραφέντα πρὸς ζῆλον ἔνθεον, τὸν Παῦλον. Καὶ διὰ πάντων τούτων καὶ ὧν εἴρηκε παραβολῶν, τοῦ ἀσώτου καὶ

A cernitur, et totus in eo commoratur. Quod si vero has in semetipso nuptias tam benigniter habeat, non idcirco tamen filiorum generationem fastidit; per hanc enim aliquos salvari posse divinissimus testatur Paulus: «Salvabitur autem, inquit, per filiorum generationem;» ipse enim puer, etsi a dolore immunis, fuit Christus, et a pueris celebrabatur, et ipse pueros benedicebat et grate suscipiebat; prostitutionem vero et adulterium vultu etiam ac cordis motu propulsavit. Sodomitas ejusdem ab initio igne consumpsit eosque iterum castigandos docet. Tolerabilius enim fore dicit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam his qui prædicationem non acceperunt; quibus tamen
B æterna est cum impiis pœna. Postquam autem hæc de nuptiis egerit ac docuerit, pœnitentiæ ac confessionis opera quædam in semetipso præstitit.

Clericus. Et de prioribus quidem, venerande domine, satis profecimus, necessaria quæque audientes; imprimis vero modum quo ordinatus fuerit qui solus natura sua et omnipotens est, et solus sanctus; modum etiam quo desponsatus sit, quove sanctissime ad nuptias processerit intemeratus castusque agnus, qui divino in amore ac fervore sanctis suis sancte conjungitur. Quomodo autem ad pœnitentiam etiam accesserit qui absque peccato est, nos ignoramus.

CAPUT XLIX.

Quod pœnitentiam Christus ipse docuit.

C

Pontifex. Præclare dixisti, non autem propter se accedit, sed propter nos. Ipse enim iniquitates nostras accepit, et infirmitates nostras tulit. Pœnitentiam igitur non egit, sed eam nos docuit. Et hoc primum, infirmitatis nostræ haud inscius, dixit: «Agite pœnitentiam, quoniam appropinquavit regnum cœlorum.» Quomodo enim qui solus apud homines irreprehensibilis pœnitentiam ageret? Quomodove qui solus sane sanctus et purus? Propter nos igitur pœnitentiam ipse docuit: «Non veni enim, inquit, vocare justos, sed peccatores ad pœnitentiam;» quapropter enim publicanis et peccatoribus manducare ac bibere non recusabat. Et
D de hoc Judæis increpabant eum; meretrices etiam grate suscipiebat; illæ enim procumbebant secus pedes ejus, et unguento ungebant caput ejus, et lacrymis multis rigabant pedes ejus, et capillis capitis sui tergebant eos. Et mulierem Græcam Chananæam non dimisit. Et uxorem in adulterio deprehensam non condemnavit, sed illi tantum non amplius peccare dixit. Et item de delatore ac raptore qui omni studio et opere ab injustitia recessit; et de avaro et feneratore qui fenerari destitit; et de homicida etiam ac latrone, quem uno tantum verbo in cruce convertit; et de primo ejus discipulo, qui postquam ter ipsum negasset, solummodo flevit, ac ter ipsum iterum in dilectione agnovit; et de blasphematore et persecutore, beatum Paulum dico,

cujus studium ad divina convertit; et ex his omnibus demum locutus est in parabolis, prodiga videlicet et cæteris pœnitentiæ opera nobis ostendit ac præbuit.

A τῶν λοιπῶν, τὰ τῆς μετανοίας ἡμῖν παρέθηκέ τε καὶ ἔπραξε.

CAPUT L.

Quod opera pœnitentiæ propter nos præstitit Christus.

In semetipso quidem pœnitentiæ opera, etsi ab iis solutus præstitit Christus, ut nobis pœnitentiæ et humilitatis viam ostenderet. Jejunavit enim, et oravit, et sobrie et humiliter ac continenter vixit, hordeacis panibus parvisque piscibus vescens, sæpius etiam panes non habere visus, pro comitantibus vero paucos panes istos benedicendo multiplicans; pedibus etiam iter faciebat, et peregrinans, nec habens, veluti ipse dixit, ubi caput reclinet; et contumelias et opprobria et lapidationes ferens, etsi mala nunquam, sed e contra bona egerit; ac demum ab amico proditus, a domesticis etiam passus est, pro quibus ipse torquebatur; insimulationem autem sustinuit, et aliunde consputus, et colaphizatus, nudus etiam flagellatus, et condemnatus fuit, ac demum tanquam reus in cruce cum latronibus mortuus est, cum esset ipse cunctorum Dominus. Unde etiam ipse imprecatio dictus est, ut primam solvens in nobis maledictionem afferret et benedictionem; ad hæc autem mortuus, ut viventibus etiam, iisque in inferno degentibus pœnitentiæ dona largiretur; eos enim qui crediderunt exinde salvat, a mortuis autem resurgens, cunctis habitantibus terram resurrectionem ac vitæ instaurationem pœnitentiæ operis moderatus est; namque ex ipsa et increduli et immundi ad fidem Christique amorem, ad sapientiam virginitatemque conversi, ipsis angelis similes videbuntur, et usque adhuc salvat Christus, incredulos etiam ad fidem adducens, etiamsi millia egerint peccata, donumque baptismo acceptum amiserint, et fideles ipsos qui peccaverunt confessione salvat, et lacrymis, et contritione, et misericordia, aliisque bonis operibus, quibus in quantum possunt accedunt ad eum.

ΚΕΦΑΛ. Ν'.

Ὅτι καὶ τὰ τῆς μετανοίας ἔργα δι' ἡμᾶς ὁ Χριστὸς κατειργάσατο.

Καὶ εἰς ἑαυτὸν δὲ τὰ τῆς μετανοίας ἔργα μὴ ὀφείλων εἰργάσατο, ἵν' ἡμῖν δείξῃ τὴν τῆς μετανοίας καὶ ταπεινώσεως ὁδόν. Νενήστευκε γάρ, καὶ προσηύχετο, καὶ εὐτελῶς ἔζη καὶ ταπεινῶς καὶ ἐγκρατῶς, ἐν ἄρτοις κριθίνοις καὶ μικροῖς ὄψοις διατρεφόμενος. Καὶ πολλάκις ἄρτους μὴ ἔχων φαίνεται, διὰ δὲ τοὺς συνόντας τοὺς βραχεῖς πληθύνων δι' εὐλογίας, καὶ πεζοπορῶν, καὶ ξενιτεύων, καὶ μὴ ἔχων B (ὡς ἔφη) ποῦ κλίναι τὴν κεφαλήν· καὶ ὕβρεις καθυπομένων καὶ λοιδορίας καὶ λιθασμούς· καὶ μὴ ἀποδιδοὺς κακόν, ἀλλὰ μᾶλλον εὐεργετῶν· καὶ τελευταῖον προδιδόμενος παρὰ φίλου· καὶ πάσχων παρὰ τῶν ἰδίων δούλων ὑπὲρ ὧν ἠγωνίζετο· καὶ διαβαλλόμενος ὑποφέρων· καὶ ἐμπτυόμενος, καὶ κολαφιζόμενος, καὶ γυμνὸς μαστιζόμενος, καὶ κατακρινόμενος, καὶ θανατούμενος ἐπὶ τοῦ σταυροῦ ὡς κατάκριτος σὺν λῃσταῖς ὁ τῶν ὅλων ποιητής. Ὅθεν καὶ κατάρα ἐκλήθη, ἵνα λύσῃ τὴν πρώτην ἐν ἡμῖν ἀράν, καὶ εὐλογίαν παράσχῃ. Καὶ τέλος θανατούμενος, ἵνα ὡς καὶ τοῖς ζῶσι, καὶ τοῖς ἐν ᾅδου χαρίσηται τὰ τῆς μετανοίας δωρήματα. Σώζει γὰρ κἀκεῖ τοὺς πιστεύσαντας. Καὶ ἀναστὰς δὲ πάσῃ τῇ οἰκουμένῃ τὴν C ἀνάστασιν καὶ ἀνάπλασιν διὰ τῆς μετανοίας ἱδρύσευσε. Διὰ ταύτης γὰρ ἄπιστοί τε καὶ ἀκάθαρτοι πρὸς τὴν πίστιν καὶ ἁγιωσύνην Χριστοῦ, σωφροσύνην τε καὶ παρθενίαν ἐπιστραφέντες, ἰσάγγελοι ὤφθησαν· καὶ μέχρι τοῦ νῦν σώζει Χριστός, καὶ τοὺς ἀπίστους πρὸς πίστιν ἕλκων, κἂν τὰ μυρία ἐργάσωνται δεινά, δῶρον τὴν ἄφεσιν διὰ τοῦ βαπτίσματος χαριζόμενος, καὶ τοὺς πιστοὺς ἁμαρτάνοντας δι' ἐξομολογήσεως ἀνασώζει, δακρύων τε καὶ συντριβῆς, ἐλέους, καὶ ἔργων ἀγαθῶν ἑτέρων τῶν κατὰ δύναμιν, προσερχομένους αὐτῷ.

CAPUT LI.

Quod propter pœnitentiam gratia solvendi et ligandi episcopis concessa est, idque a Christo.

Propter hæc autem solvendi et ligandi nobis hominibus potestatem concessit, a semetipso primum gratiam hanc apostolis tradens. « Insufflavit enim super eos, et eis locutus est dicens: Accipite Spiritum sanctum; quorum remiseritis peccata, remittentur eis, et quorum retinueritis, retenta sunt, » ut homines ad exomologesim humili corde accedentes, postquam primum sinceris pœnitentiæ operibus a peccatis recesserint, remissionis gratiam realiter consequantur. Et hæc continuo usque adhuc præstat Christus; et eadem Spiritus sancti virtus, hæc in sacerdotibus operatus, potens est etiam quos solutos peccatores post mortem cunctis notos præbeat, ligatos vero etiam patefaciat.

ΚΕΦΑΛ. ΝΑ'.

Ὅτι διὰ τὴν μετάνοιαν ἡ χάρις τοῦ λύειν καὶ D *δεσμεῖν τοῖς ἀρχιερεῦσι, καὶ αὕτη ἀπὸ Χριστοῦ.*

Δι' ἣν αἰτίαν καὶ τὴν τοῦ λύειν καὶ δεσμεῖν τοῖς ἀνθρώποις ἡμῖν παρέσχετο δύναμιν, ἐξ ἑαυτοῦ τοῦτο τὸ χάρισμα πρῶτον τοῖς ἀποστόλοις ἐνθείς. « Ἐνεφύσησε γὰρ καὶ εἶπεν αὐτοῖς, φησί, Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· » ἵνα οἱ τῇ ἐξομολογήσει ἐν ταπεινώσει **70** προσελθόντες ψυχῆς, δι' εἰλικρινοῦς μετανοίας πρότερον ἀποστάντες τῆς ἁμαρτίας, κομίσωνται τὴν ἄφεσιν ἐναργῶς. Καὶ τοῦτο διηνεκῶς ἄχρι τοῦ νῦν ἐνεργεῖται. Καὶ ἡ δύναμις αὕτη τοῦ Πνεύματος διὰ τῶν ἱερέων ἰσχύουσα, καὶ ἐνεργὴς οὖσα, τούς τε λελυμένους καὶ μετὰ θάνατον γνωρίμους πᾶσι ποιεῖ καὶ τοὺς ὑπὸ δεσμὸν ὄντας φανεροῖ.

ΚΕΦΑΛ. ΝΒʹ.

Ὅτι καὶ τὸ μοναδικὸν σχῆμα τῇ μετανοίᾳ περιλαμβάνεται. Καὶ διὰ τί σχῆμα ἀγγελικὸν, καὶ ἔνδυμα μετανοίας καλεῖται. Καὶ τίς ἡ δύναμις τούτου.

A Ἐν ταύτῃ δὴ τῇ μετανοίᾳ καὶ τὸ ἱερώτατον περιλαμβάνεται σχῆμα τῶν μοναχῶν, ὃ δὴ καὶ ἀγγελικόν ἐστι καὶ καλεῖται, ὡς τὴν ἐκείνων μιμούμενον καὶ ἐπαγγελλόμενον ἁγνείαν, ἀκτησίαν, ὕμνους, προσευχὰς, ὑπακοήν τε καὶ καθαρότητα. Καὶ τῆς μετανοίας ἔνδυμα δὲ καλεῖται, ὡς πενθικὸν, ὡς ταπεινόν τε καὶ εὐτελὲς, ὡς ἀπέριττον καὶ πάσης φιλοκαλίας ἀνθρωπίνης ἀπερρηγμένον, ὡς ἁπάντων κοσμικῶν ἐννοιῶν τε καὶ λόγων καὶ πράξεων οὐκ ἀνεπίμικτον μόνον, ἀλλὰ καὶ πρὸς τὴν κατάλυσιν καὶ φυγὴν τῶν κοσμικῶν πραγμάτων χωροῦν.
B Ὑπερκοσμίου γὰρ ζωῆς ἐστι τοῦτο σύμβολον, καὶ τὸ φθαρτὸν διδάσκει τῶν ὁρωμένων, καὶ πάντων τῶν ἐν ἀνθρώποις τὸ πρόσκαιρον· καὶ φιλοσοφίαν τὴν ἄνω τοῦτο μελετᾷ, καὶ φιλοσοφεῖ, καὶ θανάτου καὶ τέλους μνημονεύει τῶν ὧδε. Διὸ καὶ μέλαν ἐστὶν, ἐπειδὴ θανάτου καὶ πένθους μέμνηται, καὶ οὐ ζῇ ἐν τῷδε τῷ βίῳ, ἑτέρας δὲ ζωῆς ἐπιθυμεῖ τῆς ἀφθάρτου, καὶ πρὸς ἐκείνην τρέχειν ἐπείγεται. Διὸ καὶ εἴ τις ἀληθής ἐστι μοναχὸς, κατὰ Παῦλον, οὗτος καὶ ἐνταῦθα μὲν Χριστὸν ἀγαπᾷ, καὶ οὐδὲν αὐτὸν τῆς ἀγάπης τοῦ Χριστοῦ χωρίσαι δύναται· καὶ ἐπιθυμεῖ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. Καὶ τοῦτο διὰ τῶν ἔργων δείκνυσιν, ἐν ἐρήμοις καὶ ὄρεσι καὶ μοναῖς φυγαδεύων διὰ Χριστόν. Καὶ ἓν εἶναι σπεύδει μετὰ Χριστοῦ, ἵνα ἐν αὐτῷ Χριστὸς σὺν Πατρὶ οἰκήσῃ
C καὶ Πνεύματι. Διὸ καὶ τὸν τοῦ Χριστοῦ ὅλον ἐκμιμεῖται βίον, καὶ ταπεινοῦται, καὶ πτωχεύει, καὶ ὑποτάσσεται, καὶ οὐδενὸς φροντίζει τῶν ὧδε, καὶ σταυροῦται τῷ βίῳ, καὶ παρθενεύειν ἐπαγγέλλεται, καὶ ἀκτημονεῖν, καὶ νηστείαις σχολάζειν καὶ προσευχαῖς καὶ δεήσεσι, καὶ ἄχρι θανάτου τούτοις ἐμμένειν καὶ τοῖς τοιούτοις, καὶ πάντα φέρειν διὰ Χριστόν. Ἃ δὴ πάντα τῆς μετανοίας ἔργα ἐστί. Καὶ πᾶς πιστὸς ὀφείλει τούτοις ἐγκαρτερεῖν, πλὴν τῆς παρθενίας καὶ μόνον, ἥτις ἀνήκει τοῖς μοναχοῖς. Ταύτην γὰρ ὀφείλουσι μόνον ἐξαιρέτως οἱ μοναχοί· ἀλλὰ καὶ οἱ ἐν κόσμῳ μήπω γυναικὶ συζευχθέντες, καὶ πᾶς ὁ ταύτην ἐπαγγειλάμενος· ἀλλὰ καὶ ἅπας πιστὸς, καὶ μᾶλλον ὁ περιπεσὼν ἁμαρτίαις (τίς δὲ ὁ μηδόλως περιπεσών;) κατ' ἴχνος βαίνειν ὀφείλει
D τοῦ Κυρίου, καὶ τὰ τῆς μετανοίας ἔργα διενεργεῖν. Ὃ δὴ καὶ ὁ Βαπτιστὴς, ὁ καὶ τὸ σχῆμα πρῶτος μετὰ καὶ τοῦ Ἡλιοῦ προτυπώσας ἐδίδασκε, « Ποιήσατε, λέγων, καρποὺς ἀξίους τῆς μετανοίας. Καὶ μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· » καὶ ἑκάστῳ ἁρμόζουσαν τὴν πολιτείαν παρέθετο.

CAPUT LII.

Quod forma et habitus monachalis a pœnitentia assumitur, et quare idem habitus angelicus vocetur et habitus pœnitentiæ, et quænam sit ejus vis ac significatio.

In hac autem pœnitentia sacrosanctus assumitur monachorum habitus, qui sane angelicus et est, et vocatur, qua illorum innocentiam, paupertatem, hymnos, preces, obedientiam, perfectamque puritatem præsignificaret ac imitaretur. Et habitus pœnitentiæ vocatur, veluti triste aliquid, et humile, et sobrium, et simplex, et totius humanæ pulchritudinis apparatibus abhorrens, cui vero non solummodo omnium humanarum cogitationum, sermonumve, et operum nihil omnino promiscuum est, sed etiam ad omnium mundanorum operum destructionem fugamque protrahens. Vitæ enim quæ supra terram est ipse præ se fert signum; et visibilium omnium corruptibile, humanorumque cunctorum momentaneum ac leve demonstrat, sapientiam vero quæ desuper est aperit, et hanc sapientiam quærit, mortem vero hic finemque memorat. Quapropter niger est ipsi color, cum ipse mortem doloremque menti revocat, in hac vita autem minime vivit, sed incorruptibilem alteram vitam desideriis suis prosequitur, et ad eam procurrere festinat. Quapropter si verus aliquis est monachus, juxta Paulum, ille ex hac etiam vita Christum diligit, nec aliqua res eum separare poterit a charitate Christi; cupit etiam dissolvi et esse cum Christo, et illud operibus ostendit, cum in deserta, et montes et solitudines pro Christi amore confugiat; cum Christo autem esse conatur, ut inhabitet in se Christus cum Patre et Spiritu sancto. Et exinde totam Christi vitam studiose imitatur, seipsum humiliat, et paupertatem quærit, et voluntatem suam subdit, nec ullam rem appetit super terram, et huic vitæ crucifigitur, et se virginem servare, et nihil in proprium retinere, et jejuniis incumbere, et precibus, et supplicationibus, et ad mortem usque in his et similibus permanere, cuncta demum propter Christum ferre profitetur. Et his omnibus pœnitentiæ opera constituuntur; in quibus etiam singulos fideles perseverare oportet, sola virginitate excepta, quæ ad monachos spectat; ad hanc enim ex electione tantum adstringuntur monachi et sæculares qui mulieri non juncti sunt, sive etiam quisque voto professus est eam. Singuli autem fideles, et in primis qui in peccatis incidit (quis autem incidit nunquam?) juxta vires Christi vestigia sequi, pœnitentiæque opera præstare tenentur. Joannes enim Baptista, qui primus post Eliam pœnitentiæ habitum induit, hujus necessitatem nos edocuit dicens: « Facite ergo dignos fructus pœnitentiæ, » et alias: « Agite pœnitentiam, quoniam appropinquavit regnum cœlorum. » Et unicuique de hinc politiam præstitit accommodatam.

ΚΕΦΑΛ. ΝΓʹ.

Ὅτι ὁ Σωτὴρ καὶ δι' ἑαυτοῦ τὸ σχῆμα τὸ ἅγιον ἔδειξεν.

Ὁ δέ γε Σωτὴρ καὶ Θεὸς ἡμῶν, τοῦτο δὴ τὸ τῆς

CAPUT LIII.

Quod etiam Salvator ipse docuit sacra hujusmodi forma uti.

Salvator autem ac Deus noster, postquam agnum

illud nobis pœnitentiæ donum præstitisset, ac per prophetas, per Præcursorem etiam prænuntiasset, sive a semetipso sive a discipulo; sacram hujusmodi formam iterum per apostolos ac per se ipsum similiter præbuit tradiditque dicens : « Si quis vult venire post me, abneget semetipsum, tollat crucem suam quotidie, et sequatur me. » Ne autem ex omnibus credentibus aliquis tantum hæc suscipiat, quibus omnes pariter tenentur fideles, nempe ad mortem usque fidem profiteri, utpote Christum sequi debentes, qui ex præclara confessione Patris et Spiritus sancti testimonium perhibuit sub Pontio Pilato; sed etiam quod confessionem illam adhuc profiteri teneantur qui in conscientia testimonium perhibere debent, quod juxta Christum sit eorum vita, in primis vero monachorum ordines, jamjam audi quid Petro dixerit, hæc loquenti : « Ecce nos reliquimus omnia, et secuti sumus te; palam jam profitetur dicens, quod vos qui secuti estis me, in regeneratione, cum sederit Filius hominis in sede majestatis suæ, sedebitis et vos super sedes duodecim, judicantes duodecim tribus Israel; » quod pontificalis est gratiæ, quam discipulis suis præstitit; deinde pergit : « Et omnis qui reliquerit domum, vel fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut filios, aut agros, propter me et Evangelium meum, centuplum accipiet, et vitam æternam possidebit. » Ita procul dubio sese habet monachorum vita; et ex ipso quidem martyrio ea vox intelligitur, plerique enim eorum, omnibus derelictis, pro Christo mortui sunt. Ex propria autem monachorum politia aperte innotescit, quod et hanc Salvator ipse instituerit, et ejus discipuli; ipse enim virgo fuit et pauper, cum esset dives; et in monte oravit, et Patris factus est obediens usque ad mortem, mortem autem crucis, nec fecit voluntatem suam, sed voluntatem ejus qui misit eum Patris, et hanc usque ad mortem servavit dicens : « Non autem mea, » carnis videlicet, « sed tua voluntas fiat, » divina enim non alia fuit Patris, alia ejus voluntas. Et ubique passim monachorum vitam nobis tradidit : « Qui amat, inquit, patrem aut matrem plus quam me, non est me dignus, et qui amat filium aut filiam super me, non est me dignus. » Et : « Qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus. » Et adolescenti : « Si vis, inquit, perfectus esse, vade, vende quæ habes, et da pauperibus, et habebis thesaurum in cœlo : et veni, sequere me. » Quod sane haud martyrii, bene vero monachorum est vitæ. Et dicenti : « Permitte mihi primum ire, et sepelire patrem meum », quid dixit qui hæc docuit : — « Honora patrem tuum et matrem tuam? » Ut nos ad perfectius adducat, divinam nempe ad monachorum vitam, parentes ipsos hic spernendos suadet, et in præcipuis quidem. Quare hoc? Quia præ omnibus honorandus est Deus qui nos creavit, et si propter eum et juxta eum vivere cupimus, propinquos nostros secundum carnem

A μετανοίας μέγα δῶρον παρεσχηκὼς, καὶ διὰ τῶν προφητῶν καὶ τοῦ Προδρόμου κηρύξας καὶ δι' ἑαυτοῦ καὶ τῶν μαθητῶν αὐτοῦ, ὕστερον καὶ τὸ σχῆμα τὸ ἅγιον ὁμοίως διὰ τῶν ἀποστόλων καὶ ἑαυτοῦ παρέδειξέ τε καὶ παραδέδωκεν, « Εἴ τις θέλει, λέγων, ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήτω μοι. » Καὶ ἵνα μή τις περὶ πάντων τῶν πιστευόντων μόνον τοῦτο ἐκλάβῃ, ὅτι ὀφείλουσι πάντες πιστοὶ ἄχρι καὶ θανάτου ὑπὲρ τῆς πίστεως **71** ἵστασθαι, ἐξακολουθεῖν ὀφείλοντες τῷ Χριστῷ ὑπὲρ τῆς καλῆς ὁμολογίας τοῦ Πατρὸς καὶ ἑαυτοῦ καὶ τοῦ Πνεύματος μαρτυρήσαντι ἐπὶ Ποντίου Πιλάτου, ἀλλ' ὅτι τὸ παράγγελμα τοῦτο καὶ ὑπὲρ τῶν ὀφειλόντων τὸ κατὰ συνείδησιν μαρτύριον ἐνεργεῖν, ὅπερ ἐστὶν ὁ κατὰ

B Χριστὸν βίος, ἐξαιρέτως δὲ μᾶλλον ἡ πολιτεία τῶν μοναχῶν· ἄκουσον τί πρὸς τὸν Πέτρον φησὶν, εἰρηκότα, « Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. » Ἐπαγγέλλεται γὰρ λέγων, ὡς « Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. » Ὃ δὴ τῆς ἀρχιερατικῆς ἐστι χάριτος, ἣν παρέσχε τοῖς μαθηταῖς. Εἶτα ἐπάγει, « Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. » Ὅπερ ἀριδήλως ὁ βίος ἐστὶ

C τῶν μοναχῶν. Καὶ ἐνεργεῖται μὲν καὶ τῷ μαρτυρίῳ ὁ λόγος, πολλοὶ γὰρ πάντα καταλιπόντες, διὰ Χριστὸν ἀπέθανον· ἰδίᾳ δὲ τοῦτο τῇ πολιτείᾳ τῶν μοναχῶν φανεροῦται, ἣν καὶ αὐτὸς πεπολίτευται ὁ Σωτὴρ, καὶ οἱ αὐτοῦ μαθηταί· αὐτὸς μὲν παρθενεύων, καὶ πτωχὸς ὢν, ὁ πλούσιος, καὶ προσευχόμενος ἐν τῷ ὄρει, καὶ ὑποτασσόμενος ἄχρι θανάτου σταυροῦ τῷ Πατρὶ, καὶ μὴ τὸ ἑαυτοῦ ποιῶν θέλημα, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν Πατρὸς, ὃ καὶ μέχρι τοῦ πάθους ἐφύλαξε· « Πλὴν μὴ τὸ θέλημά μου, λέγων, » τὸ τῆς σαρκὸς δηλονότι, « ἀλλὰ τὸ σὸν γενέσθω, » ἤτοι τὸ τοῦ Πατρὸς θεῖον ἓν θέλημα καὶ αὐτοῦ· καὶ ἀλλαχοῦ δὲ τὸν τῶν μοναχῶν διδοὺς βίον, « Ὁ φιλῶν, φησὶ, πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· » καὶ « Ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου

D ἄξιος. » Καὶ « Ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου μαθητής· » καὶ πρὸς τὸν νεανίσκον, « Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. Καὶ δεῦρο ἀκολούθει μοι· » ὅπερ οὐ μαρτυρίου, ἀλλὰ τοῦ μοναχικοῦ ἐστι βίου· καὶ πρὸς τὸν λέγοντα δὲ ἀπελθεῖν, καὶ θάψαι τὸν ἑαυτοῦ πατέρα, τί φησιν ὁ διδάσκων, « Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου; » Εἰς τὸ τελειότερον ἀναβιβάζων ἡμᾶς, τὸν θεοειδῆ βίον τῶν μοναχῶν, καὶ τῶν γονέων καταφρονεῖν ὧδε παραινεῖ, καὶ ἐν αὐτοῖς τοῖς καιρίοις. Διὰ τί; Ὅτι προτιμότερος πάντων ὁ ποιήσας ἡμᾶς Θεός. Καὶ εἰ δι' αὐτὸν κατ' αὐτὸν ζῆν βουλόμεθα, οὐ χρεία μεριμνᾷν ἡμᾶς περὶ τῶν κατὰ σάρκα ἰδίων· ὅτι προ-

νοητῆς ὢν ἐκεῖνος, ἡμᾶς μὲν καθαρῶς αὐτῷ καὶ γνησίως ἀκολουθοῦντας ἰσαγγέλους ποιήσει, παρ' οἷς οὐδὲν προσπαθὲς, μόνη δὲ ἡ ἀπαθεστάτη ἀγάπη. Ἐκείνων δὲ ὧν ὑπερορῶμεν ἡμεῖς δι' αὐτὸν, προνοήσεται δι' ἑτέρων.

ΚΕΦΑΛ. ΝΔ'.

Τί τὸ « Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. »

Διὸ καὶ κεκώλυκεν ἐκεῖνον εἰπὼν, « Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. » Ἀνήγαγε γὰρ αὐτὸν εἰς τὴν ἀφθαρσίαν, καὶ τοῖς ἀθανάτοις συνῆψεν ἀγγέλοις, μιμητὴν αὐτῶν δεδειγμένον διὰ τὸ ἄσχετον. Οὐ νεκρὸς, φησὶν, εἶ· διὸ καὶ περὶ νεκρῶν τῶν λυομένων πατέρων μὴ μερίμνα.

ΚΕΦΑΛ. ΝΕ'.

Τί τὸ, « Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον. »

Καὶ ἑτέρῳ δὲ τῷ βουλομένῳ ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκον αὐτοῦ, τουτέστι γυναικὶ καὶ τοῖς ἄλλοις, τί φησιν; « Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Γεωργίας ἦρξω, **72** φησὶν, οὐκ ἀνθρωπίνης, ἀλλ' ἐν τῷ οὐρανῷ γεωργεῖς. Οὐκ εὔθετος ἔσῃ στρεφόμενος πρὸς τὰ πρόσκαιρα. Μάθε δὲ καὶ τίνα τίνων ἀνταλλάττῃ οἴκου σου καὶ τῶν ἐν τῷ οἴκῳ, βασιλείαν οὐρανῶν. Εὑρίσκομεν ἄρα, ὡς καὶ ἔζησεν ὁ Κύριος τὴν κατὰ μοναχοὺς ὁδὸν, καὶ παρέδωκε. Καὶ ἐν τοῖς ἀποστόλοις αὕτη ἡ ζωὴ ἦν, διὸ καὶ τούτοις παρῄνει, μὴ δύο ἔχειν χιτῶνας, μηδὲ ῥάβδον, ἢ πήραν, ἢ ὑποδήματα, καὶ τὰ λοιπὰ, ὃ τῆς μοναχικῆς ἐστι βιοτῆς. Καὶ οὐχ ἁπλῶς λόγοις μόνον καὶ εὐχαῖς πρὸς τοῦτο ἐνίσχυε τὸ ἔργον, ὡς καὶ πρὸς τὸ διδάσκειν, ἀλλὰ καὶ εὐλογῶν αὐτοὺς ἐξαπέστειλε. Καὶ δύναμιν παρεῖχεν, ἐξαποστέλλων, κατὰ πνευμάτων ἀκαθάρτων, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ὅπερ οὐ μόνον ἐν τοῖς ἀποστόλοις τότε ἦν, ἀλλὰ καὶ ἐν τοῖς ἁγίοις ὕστερον, καὶ μᾶλλον τοῖς ἀσκηταῖς. Ὅτι δὲ καὶ τελετὴ ἦν ἐξ ἀρχῆς, καὶ μυστήριον μοναχικῆς τελειώσεως, καὶ ἀπὸ τῶν ἀποστόλων αὐτῶν, ὁ μέγας τοῦτο μαρτυρεῖ Διονύσιος μετὰ τὰς ἄλλας ἱερὰς τελετὰς, καὶ μυστήριον γράφων μοναχικῆς τελειώσεως. Πλανῶνται ἄρα οἱ λέγοντες ὡς καινότερόν ἐστι τὸ σχῆμα, καὶ οὐ παρὰ τοῦ Σωτῆρος ἢ τῶν ἀποστόλων αὐτοῦ δοθέν. Ἀπεδείχθη γὰρ ὡς καὶ Χριστὸς ὁ Θεὸς ἡμῶν τοῦτο παραδεδωκὼς ἦν, καὶ οἱ αὐτοῦ μαθηταὶ, καὶ μυστήριον ἦν παραδεδομένον ὑπ' αὐτῶν τῆς τῶν μοναχῶν τελειώσεως, καὶ περιβολὴ σχήματος ἑτέρα παρὰ τὸ σχῆμα τὸ κοσμικόν. Καὶ τοῦτο γὰρ ὁ θεῖός φησι Διονύσιος. Ὅ τι δὲ καὶ τῷ ἱερῷ Παχωμίῳ ἐν τοῖς τῶν Πατέρων γέγραπται λόγοις, ὕστερον τὸ σχῆμα παρ' ἀγγέλου δοθῆναι, καλῶς καὶ ἀληθῶς γέγραπται. Καὶ γὰρ τοῦ σχήματος σημεῖά τινα, τελεωτέραν διδασκαλίαν ἔχοντα παρὰ τὸ πρότερον σχῆμα, δίδοται. Ἐπεὶ γὰρ κατὰ μικρὸν τὰ τῆς εὐσεβείας ηὔξανέ τε καὶ προέκοπτε, καὶ τῆς Ἐκκλησίας αἱ εὐταξίαι μείζους ἐγίνοντο, καὶ τὰ τῆς ἱερουργίας καὶ τοῦ βαπτίσματος λαμπρότερον συνετίθετο, καὶ

minime curare debemus, quia Deus ille providens est qui nos, modo ipsum pure ac sincere secuti erimus, similes angelis faciet, apud quos nullus remanet appetitus, nisi solus divinissimus amor; horum enim in locum quæ propter ipsum reliquerimus, alia ab eo sufficientur.

CAPUT LIV.

Quæ sit sententia dicti Matth. VIII, 22 : « *Sinite mortuos sepelire mortuos suos.* »

Nunc autem cohibuit dicens : « Permitte mortuos sepelire mortuos suos, ut eum ad incorruptibilia raperet et immortalibus angelis conjungeret, cum horum etiam studii imitatorem sese præberet : » Mortuus non es, inquit; quare mortuos parentes jam solutos noli amplius curare.

CAPUT LV.

Quæ dicti Luc. IX, 62 : « *Nemo mittens manum suam ad aratrum.* »

Ad alterum autem vale dicere cupientem his quæ domi sunt, id est, uxori suæ et cæteris, quid dicit? « Nemo mittens manum suam ad aratrum, et respiciens retro, aptus est regno Dei. » Non humanam, inquit, incipe arationem, sed eam quæ desuper est cura; haud apta enim invenies, si ad momentanea deflexeris; disce igitur quænam nunc quorumnam in locum sufficiantur, loco domus tuæ et eorum quæ domi sunt, regnum cœlorum. Jamjam igitur invenimus quomodo Dominus juxta monachorum viam et ipse vixit et nobis tradidit; et ea fuit quoque apostolorum vita, quibus ipse suasit ne duas haberent tunicas, neque baculum, neque peram, neque calceamenta, neque alia hujusmodi, quod sane monachorum vitæ proprium est. Eos autem non suis sermonibus tantum precibusque ad opus illud roboravit, veluti ad docendum, sed etiam benedicens eos misit, mittensque, dedit illis potestatem spirituum immundorum ut ejicerent eos et curarent omnem languorem et omnem infirmitatem, quod tunc non tantum in apostolis fuit, sed etiam in sanctis postea, ac præcipue in ascetis. Quod autem ab initio fuerit hic status, quod etiam monachalis institutionis mysterium ab ipsis apostolis nobis tradatur, magnus testatur Dionysius, qui post sacra alia munera, ipsum monachalis institutionis mysterium scribit. Errant igitur qui habitum monachalem recentiorem esse, minime vero a Salvatore, vel ab ejus apostolis originem suam trahere contendunt. Innotuit enim nobis quomodo Christus Deus noster hoc nobis tradidit, et ejus discipuli. Talem namque decebat mysterium ab ipsis monachalis ordinis institutionibus tradi, et alium quidem habitus monachalis, alium mundani habitus esse indumentum. Et hæc habet divinus Dionysius : Quæ de sancto Pachomio in sermonibus Patrum scripta sunt, quod nempe habitum monachalem postea ab angelo susceperit, vere ac juste scripta sunt; quædam enim ipsi tradita sunt monachalis habitus signa, quæ perfectiorem ac prior habitus doctrinam præbebant. Postquam enim pie-

tas paulo post creverit ac auxerit, et majores facti sint varii Ecclesiæ status, ac præclarius enituerint quæ ad sacram Eucharistiam et baptismum spectant, necnon psalmodiarum precumque sequelæ et ordines, quæ apte a sanctis viris, Spiritu movente, fiebant, postquam demum monachorum habitus, aptiori graviorique sub forma, angelo eam tradente, Pachomio apparuerit : ex tunc venerandius tunicæ indumentum, postea vero zona et clavus, deinde cucullus et pallium, et sandalia, et trabea, quæque divinarum rerum symbolicam effigiem præ se ferebant. Et hæc quidem septem sunt numero, veluti septem sunt pontificis indumenta, perfectissimæ vitæ testimonium perhibentia, a septem Spiritus sancti donis deducta. de quibus apertius dicemus, cum de his quæ ad singulum mysterium spectant disseremus.

A ψαλμῳδιῶν καὶ εὐχῶν ἀκολουθίαι καὶ τάξεις ὑπὸ τῶν κατὰ καιροὺς ἁγίων ἀνδρῶν κινουμένων τῷ Πνεύματι, καὶ τὰ τοῦ σχήματος τῶν μοναχῶν πρὸς τὸ εὐτακτότερον καὶ σεμνότερον ὑπὸ ἀγγέλου τῷ Παχωμίῳ ἐδείκνυτο. Καὶ χιτῶνος μὲν εὐλαβεστέρα περιβολή· εἶτα ζώνη τε καὶ ἀνάβολος· ἔπειτα κουκούλιον, καὶ παλλίον, καὶ σανδάλια καὶ μανδύας, θείων τινῶν παρεχόμενα συμβολικὴν ἔννοιαν. Ἅτινα δὴ καὶ ἑπτά εἰσιν, ὡς καὶ τὰ τοῦ ἀρχιερέως εἰσὶν ἐνδύματα, τὴν τελειοτάτην μαρτυροῦντα ζωὴν, ἀπὸ τῶν ἑπτὰ χαρισμάτων τοῦ Πνεύματος. Πλὴν περὶ τούτων ἐροῦμεν τρανότερον, ὁπόταν καὶ περὶ τῶν γινομένων ἑκάστῳ εἴπωμεν μυστηρίῳ.

B

CAPUT LVI.

Quod olei sacri sive oratione consecrati mysterium a Salvatore traditum fuit.

Nunc autem de septimo mysteriorum ceu de sacro oleo nobis dicere incumbit, quomodo illud a Salvatore nobis traditum fuit, quomodo etiam ipse unctus est oleo, non autem propter se, sed propter nos, ut etiam mysteriis aliis usus est, ac quamnam demum huic virtutem præstitit. Illud quidem eo tempore tradidit, quo misit apostolos suos binos ante faciem suam; et exeuntes, inquit, prædicabant ut pœnitentiam agerent. Videsne etiam quomodo oleo ista pœnitentiæ opera perficiuntur? Et dæmonia multa ejiciebant, et ungebant multos ægros et sanabant. Ecce oleum consecratum pœnitentiam agentibus traditur; et ægros sanat, nec curat corpora tantum, sed etiam animas. Quod etiam testatur Theadelphus : « Infirmatur quis in vobis? Inducat presbyteros Ecclesiæ, et orent super eum, ungentes eum oleo in nomine Domini. Et oratio fidei salvabit infirmum, et alleviabit Dominus; et si in peccatis sit, remittentur ei. » Unde etiam alia quædam novatorum Latinorum destruitur sententia. Ibi namque sacrum oleum iis qui vitæ spem habent haud tradendum esse contendunt, sed iis tantum qui moriuntur, cum peccata remittendi virtutem in se contineat; contrario modo apostolicis traditionibus, sicut in omnibus, etiam in his sentientes et agentes : Theadelpho enim clamante, « Et alleviabit eum Dominus, » hi non alleviandis oleum istud tradi dicunt ac peccatorum remissionem in solo oleo statuunt, hanc certe peccatorum remissionem ex confessione semper et hoc sacro oleo undique perfecto, ex communicatione corporis et sanguinis Christi et Dei nostri, pœnitentiam agentibus solummodo concessam. Quod autem pro nobis oleo unctus sit Salvator, disce ab unguento, quo accedens meretrix unxit eum : non ea quæ fuit passioni proxima Maria, Lazari soror, honori etiam habenda mulier, et ea myrrha, ut ait, in futuram ejus sepulturam effundebatur, cum etiam ea quæ in domo Simonis leprosi erat mulier, si quidem alia, nor ea potest esse Maria; et hoc in pas-

ΚΕΦΑΛ. ΝϚʹ.

Ὅτι καὶ τὸ τοῦ ἁγίου ἐλαίου ἤτοι εὐχελαίου μυστήριον ὑπὸ τοῦ Σωτῆρός ἐστι δοθέν.

Νῦν δὲ καὶ περὶ τοῦ ἑβδόμου τῶν μυστηρίων τοῦ ἁγίου ἐλαίου ἀναγκαῖόν ἐστιν εἰπεῖν, ὅπως τε καὶ τοῦτο ἐκ τοῦ Σωτῆρος ἡμῶν ὑπάρχει παραδοθὲν, καὶ αὐτὸς τοῦτο ἠλείψατο, οὐ δι' ἑαυτὸν, δι' ἡμᾶς δὲ, ὡς καὶ τοῖς λοιποῖς μυστηρίοις ἐχρήσατο, καὶ τίνα τὴν ἰσχὺν ἔχει. Παραδέδωκε τοίνυν αὐτὸ, ἡνίκα τοὺς μαθητὰς ἀπέστελλεν αὐτοῦ δύο δύο πρὸ προσώπου ἑαυτοῦ. Οἳ καὶ πορευθέντες, φησὶν, ἐκήρυσσον ἵνα μετανοήσωσιν. Ὁρᾷς καὶ τοῦτο τὸ ἔλαιον ὡς τὰ τῆς μετανοίας τελειοῖ; Καὶ δαιμόνια πολλὰ ἐξέβαλλον. Καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράC πευον. Ἰδοὺ τὸ ἔλαιον ἁγιαζόμενον τοῖς μετανοοῦσι δίδοται. Καὶ τοὺς ἀῤῥωστοῦντας ἰᾶται, καὶ θεραπεύει οὐ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχάς. Καὶ περὶ τούτου μαρτυρεῖ ὁ Θεάδελφος, « Ἀσθενεῖ, λέγων, τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ **78** ἐγερεῖ αὐτὸν ὁ Κύριος. Κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. » Ἐνταῦθα καὶ ἄλλη τις τῶν καινοτομούντων Λατίνων καταβάλλεται δόξα. Οὗτοι γάρ φασι, Τὸ ἅγιον ἔλαιον οὐ χρὴ δίδοσθαι τοῖς ἐλπίδα κεκτημένοις ζωῆς, ἀλλὰ τοῖς ἀποθνήσκουσι μόνον, ἐπειδὴ ἁμαρτημάτων παρέχεται ἄφεσιν· ἀπεναντίας τοῖς ἀποστολικοῖς ὡς ἐν ἅπασι καὶ ὧδε καὶ φρονοῦνD τες καὶ πράττοντες ῥήμασι. Τοῦ γὰρ Θεαδέλφου βοῶντος, « Καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος, » οὗτοι τοῖς μὴ ἐγειρομένοις παρέχειν τοῦτό φασι, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐν τῷ ἐλαίῳ μόνῳ περιορίζουσι· καίτοι γε ταύτην τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῇ ἐξομολογήσει χαριζομένην ἀεὶ, καὶ τούτῳ τῷ ἁγίῳ ἐλαίῳ πάντοτε τελουμένῳ, καὶ τῇ κοινωνίᾳ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τοῖς μετανοίᾳ μόνον προσερχομένοις. Ὅτι δὲ ἠλείψατο καὶ ἔλαιον ὑπὲρ ἡμῶν ὁ Σωτὴρ, καταμαθεῖν ἐστιν ἐκ τοῦ μύρου, δι' οὗ ἡ προσελθοῦσα ἤλειψεν αὐτὸν πόρνη· οὐχ ἡ πλησίον τοῦ πάθους Μαρία ἡ τοῦ Λαζάρου, ἥτις καὶ σεμνὴ ἦν, καὶ εἰς τὸν ἐνταφιασμὸν ἦν αὐτοῦ, ὡς ἔφη, ἐκεῖνο τὸ μύρον, ὡς καὶ ἡ ἐν τῇ

οἰκίᾳ Σίμωνος τοῦ Λεπροῦ γυνή, εἴπερ ἄλλη καὶ οὐχ ἡ Μαρία ἦν, καὶ τοῦτο γὰρ ἐν τῷ καιρῷ τοῦ πάθους γεγένηται καὶ εἰς τὸν ἐνταφιασμὸν αὐτοῦ καὶ τοῦτό φησιν· ἀλλ' ὅπερ ἡ ἐν τῷ Λουκᾷ γεγραμμένη πόρνη προσέφερεν, ἢ καὶ τοῖς δάκρυσιν ἔβρεχε, καὶ ἤλειφε τοὺς πόδας αὐτοῦ, καὶ ταῖς θριξὶν ἐξέματτεν ἑαυτῆς, ὃ δὴ καὶ τῆς μετανοίας ἔλαιόν ἐστιν, εἰκότως αὐτῷ προσαχθὲν παρὰ τῆς ἁμαρτωλοῦ, δι' οὗ καὶ αὐτὴ διὰ τῶν τριχῶν ὧν ἐξέμασσεν ἠλειμμένη, τὴν τῶν πολλῶν ἁμαρτημάτων ἄφεσιν εἴληφεν, ὡς καὶ αὐτὸ παρίστησι τὸ Εὐαγγέλιον ἐναργῶς. Φησὶ γὰρ πρὸς τὸν ἔχοντα τὴν οἰκίαν ὁ Κύριος Σίμωνα πρῶτον μὲν τὴν παραβολὴν τῶν δύο χρεωφειλετῶν, ὧν ὁ μὲν ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα· καὶ ὅτι ἀφεθεῖσιν αὐτοῖς, ποῖος τῶν δύο πλέον ἀγαπήσει τὸν τὸ χρέος ἀφέντα; Εἰρηκότος δὲ τοῦ Σίμωνος, «Ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο,» εἰρήκει ὁ Κύριος· «Καλῶς ἔφης.» Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη, «Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. Οὗ χάριν λέγω σοι, Ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. Ὧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.» Βλέπεις, ὅτι τοῦτο δηλοῖ τὸ ἅγιον ἔλαιον; Ἁμαρτήσαντες, προσερχόμεθα θείοις ἀνδράσι· καὶ μετανοοῦντες, τὴν ἐξαγόρευσιν τῶν ἐπταισμένων ποιούμεθα. Ὧν τῇ ἐπιταγῇ προσφέρομεν ἅγιον ἔλαιον τῷ Θεῷ εἰς τύπον αὐτοῦ τῆς ἐλεημοσύνης καὶ ἱλαρότητος, ἐν ᾗ καὶ τὸ θεῖον καὶ ἱλαρὸν ἀστράπτει τῆς χάριτος φῶς. Καὶ γὰρ καὶ φῶτα προσφέρομεν. Ἐπεὶ δὲ καὶ ἡ εὐχὴ προσάγεται, καὶ τὸ ἔλαιον ἁγιάζεται, οἱ χριόμενοι τῷ ἐλαίῳ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων εὑρίσκουσιν, ὡς καὶ ἡ πόρνη χρίσασα τοὺς πόδας τοὺς σωτηρίους, κἀκεῖθεν ἀλειψαμένη.

A sionis tempore factum est et in ejus sepulturam ut ipse ait. Hoc vero unguentum quod mulier in Luca descripta attulit, quæ etiam lacrymis rigavit et unxit pedes ejus et capillis suis tersit, quod certe est pœnitentiæ oleum, ipsi jure oblatum a peccatrice, quo et ipsa ex capillis, quibus pedes tersit uncta, innumerorum peccatorum remissionem accepit; quod ipsum clare subjungit Evangelium. Hospiti enim Simoni primum narrat Christus duorum debitorum parabolam, quorum unus quingentos, alter quinquaginta denarios debebat, et ære remisso, uter amborum magis dilexerit remissorem interrogat. Declaranti autem Simoni eum esse cui plus donavit, dixit Dominus: « Recte judicasti, » et conversus ad hanc mulierem, Simoni dixit: Vides B hanc mulierem? Intravi in domum tuam: aquam pedibus meis non dedisti; hæc autem lacrymis rigavit pedes meos: oleo caput meum non unxisti; hæc autem unguento unxit pedes meos. Quamobrem dico tibi: Remittuntur ei peccata multa, quoniam dilexit multum. Cui autem minus dimittitur, minus diligit. » Videsne quid hoc sacrum significat oleum? Peccato contaminati, ad Dei viros accedimus et, voluntate mutata, confessionem agimus delictorum quorum jussis sacrum Deo offerimus oleum in imaginem ejus misericordiæ et jucunditatis, in quibus divinum et jucundum ad nos gratiæ suæ lumen jaculatur. Et etiam lucem offerimus. Cum autem oratio conjuncta fuerit et oleum C fuerit consecratum, hoc oleo uncti remissionem peccatorum inveniunt, ut et ipsa meretrix cum Salvatoris pedes unxisset, et inde ipsa uncta fuisset.

ΚΕΦΑΛ. ΝΖ'.

Διατί καὶ ἔλαιον ἐν τῷ ἁγίῳ καὶ μεγάλῳ μύρῳ, καὶ ἔλαιον ἐν τῷ εὐχελαίῳ.

Πῶς δὲ καὶ ἔλαιον ἔν τε τῷ θείῳ καὶ μεγίστῳ μύρῳ, ὃ τὴν σφραγῖδα φέρει τοῦ Πνεύματος, καὶ ἔλαιον ἐν τῷ τῶν μετανοούντων καὶ ἀρρώστων ἐλαίῳ; Ὅτι κἀκεῖ καὶ ἐνταῦθα τύπον θείου ἐλέους ἔχει τὸ ἔλαιον. Ἐκεῖ μὲν γὰρ ἐν τῷ μύρῳ τὴν σωτηρίαν ἡμῖν καὶ τὴν ἀπὸ τοῦ θανάτου λύτρωσιν, καὶ τοῦ ζωοποιοῦντος καὶ ἱλαροῦ Πνεύματος τὴν σφραγῖδα σημαίνει, δι' οὗ καὶ τοῦ κατακλυσμοῦ τῆς ἁμαρτίας ἐρρύσθημεν. Διὸ καὶ ἐν τῷ ἐπὶ τοῦ Νῶε κατακλυσμῷ περιστερὰ εἰς τύπον τοῦ Πνεύματος κάρφος ἐλαίας ἐν τῷ στόματι **74** φέρουσα τὴν σωτηρίαν ἐδήλου. Καὶ ἐν τῷ κατακλυσμῷ δὲ τῆς ἁμαρτίας τῷ τοῦ Κυρίου βαπτίσματι ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα κατήρχετο, τὸν θεῖον ἔλεον καὶ τὴν χάριν μαρτυροῦν. Καὶ ἐνταῦθα δὲ εἰς τύπον τῆς θείας, ὡς εἰρήκαμεν, ἐλεημοσύνης εἰς ἡμᾶς καὶ συμπαθείας τοῦτο τὸ ἔλαιον προσαγόμενον ἁγιάζεται, καὶ δι' αὐτοῦ τὸν τοῦ Θεοῦ ἔλεον ἐπισπώμεθα. Ἱκανὰ ταῦτα πρὸς ὑπόδειξιν τῶν τῆς Ἐκκλησίας ἱερῶν μυστηρίων, ἢ καὶ πλειόνων ἔχετε χρείαν;

CAPUT LVII.

Quare olei usus sit in sancto et magno unguento sive chrismate, nec minus adhibeatur oleum in euchelæo pœnitentium et infirmorum

Cur vero adhibeatur oleum in sancto et magno unguento, quod sigillum præ se fert Spiritus sancti, cur etiam oleum in euchelæo pœnitentium et infirmorum? Quia et hic et tunc divinæ misericordiæ locum tenet oleum; si quidem in unguento, salutem nobis et mortis redemptionem, nec non vivificantis ac D propitii Spiritus sancti sigillum præsignificat, cujus etiam gratia a peccatorum diluvio redempti sumus. Quapropter tempore diluvii Noe, columba, Spiritus sancti vicem gerens, olivæ palmam in ore afferens, salutem portendebat; ita etiam, sub diluvio peccati in Domini baptismo sub specie columbæ Spiritus præfigurabitur divinam misericordiam et gratiam testificans. Ex tunc, utpote diximus, pro divina eleemosyna et charitate erga nos, oleum istud oblatum consecratur et hujus virtute Dei misericordiam consequimur. Num hæc satis sunt ad explanationem sacrorum Ecclesiæ mysteriorum, pluribusve tibi opus est?

Clericus. Sufficiunt hæc, domine; nec cæteris opus est nobis; nisi a te postulemus ut singula mysteria exponas, et sacra nobis explanes symbola, nosque doceas qualis uniuscujusque sit peractorum virtus.

Pontifex. Illud, frater, supra nos, ut jam diximus, virtutisque et sapientiæ sublimioris proprium est; quod si enim et Dionysius et Maximus cum eo tremore et pavore, quem hic referre non est meum, tam sacris rebus incumbere curabant, quomodo tandem de his nobis disserere licebit? Cum autem in Deum, qui omnia potest, fidere expediat, ipse enim fidelibus præstat juxta fidem ac secundum charitatem, eosque docet quod ipse charitas est; quum aliunde nos pro tua loquamur charitate, os nostrum aperiendo sermonem habere confidimus. Et ecce curamus, propter obedientiam in charitate Christi, tuam adimplere postulationem. De singulo autem sacrorum symbolorum quidquid ex sanctissimis Scripturis audivimus loquemur; quæque etiam nos docuerunt Patres nostri, dicemus, in quantum cognovisse potuimus. Et in primis loquimur de divino baptismo, siquidem apud nos primum sese habet inter mysteria. Insuper priusquam baptismus conferatur carnalis nativitas nobis tribuitur, et hinc dicendum est quænam preces in illa primum peragi debeant. Quemadmodum enim in carne nascimur, ita ad regenerationem per Spiritum sanctum perducimur, et Ecclesia Christi utpote immaculata et in Christo sanctificata, in fidelibus statim peccatum nostrum ac carnalem purificat nativitatem.

Κληρικός. Ἱκανά, δέσποτα, καὶ οὐ χρείαν ἔχομεν ἄλλων. Πλὴν δεόμεθά σου, ἕκαστον ἐκθεῖναι τῶν μυστηρίων, καὶ τὰ ἱερὰ ἡμῖν ἀναπτύξαι σύμβολα, καὶ διδάξαι ἡμᾶς τίς ἑκάστου τυγχάνει τῶν τελουμένων ἡ δύναμις.

Ἀρχιερεύς. Ὑπὲρ ἡμᾶς, ὡς εἰρήκαμεν, τοῦτο, ἀδελφέ, καὶ δυνάμεως καὶ σοφίας ὑψηλοτέρας. Εἰ γὰρ Διονύσιός τε καὶ Μάξιμος μεθ' ὑποστολῆς τε καὶ εὐλαβείας ὅσης οὐκ ἔστιν εἰπεῖν, ἐγχειρεῖν ἐπεχείρουν τοῖς τοιούτοις ἱεροῖς πράγμασι, πῶς ἡμῖν ἔσται δυνατὸν ἄρα περὶ τοιούτων ἑρμηνεύειν; Ἀλλ' ἐπειδήπερ τὸ θαῤῥεῖν εἰς Θεὸν πάντα δύναται, αὐτὸς γὰρ τοῖς πιστεύουσι παρέχει κατὰ τὴν πίστιν, καὶ διὰ τὴν ἀγάπην δὲ χορηγεῖ, ὅτι καὶ ἀγάπη ἐστί· λοιπὸν καὶ ἡμεῖς διὰ τὴν ὑμετέραν λέγοντες ἀγάπην, πιστεύομεν λαβεῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν. B Καὶ ἰδοὺ ἐγχειροῦμεν δι' ὑπακοὴν ἐν ἀγάπῃ Χριστοῦ ἐκτελέσαι τὴν ὑμετέραν αἴτησιν. Καὶ περὶ ἑκάστου τῶν ἱερῶν συμβόλων ὅπερ ἔγνωμεν ἐκ τῶν ἱερωτάτων Γραφῶν ἐροῦμεν. Καὶ ὅπερ ἂν ἡμᾶς οἱ Πατέρες ἡμῶν ἐδίδαξαν λέξομεν, καθόσον ἐξισχύσαμεν γνῶναι. Καὶ δὴ πρῶτον λέγομεν περὶ τοῦ θείου βαπτίσματος· ἐπεὶ καὶ τοῦτο ἀρχὴ τῶν εἰς ἡμᾶς μυστηρίων. Πλὴν ὅτι καὶ πρὸ τοῦ βαπτισθῆναι σαρκικὴ γέννησις ἡμῖν γίνεται, ῥητέον καὶ περὶ τῆς ἐν ταύτῃ πρότερον τελουμένης εὐχῆς. Ἐπεὶ γὰρ γεγεννημένοι σαρκί, οὕτως εἰς τὴν ἀναγέννησιν τὴν διὰ τοῦ Πνεύματος ὁδηγούμεθα, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ὡς ἄσπιλος οὖσα καὶ ἡγιασμένη ἐν Χριστῷ, ἐν τοῖς εὐσεβέσιν εὐθὺς τὴν ἁμαρτωλὸν ἡμῶν καὶ ἐκ σαρκὸς γέννησιν ἐκκαθαίρει. C

CAPUT LVIII.

Quare sacerdos preces peragat super nato infante?

Nato infante de muliere pia vocatur sacerdos, Deumque glorificat, gratias agens quod natus sit homo in mundo, ac Dominicæ crucis impressione natum benedicit, et perseverare et baptismum et unctionem suscipere precatur. Quæ vero ad salutem spectant orante matre, ipsi cæterisque cum ea mulieribus gratiam et purificationem confert, eisdemque facultatem præbet sanctificare opera, nec ullo modo impediri, sive immundo communicare, sive de fallacibus peccati speciebus dubitare, quum semel immunditiæ ac voluptatis partum præstitere, quem sane corruptionis ac mortis initium quidam prædicant, uti revera est.

ΚΕΦΑΛ. ΝΗ'.

Διατί ἐν τῇ τοῦ βρέφους γεννήσει εὐχὴ παρὰ τοῦ ἱερέως γίνεται.

Καὶ τεχθέντος τοῦ βρέφους παρὰ γυναικὸς εὐσεβοῦς, ὁ ἱερεὺς παραγίνεται, καὶ δοξολογεῖ τὸν Θεόν, εὐχαριστῶν, ὅτι ἄνθρωπος γεγέννηται ἐν τῷ κόσμῳ· καὶ σφραγίσας, εὐλογεῖ τὸ τεχθέν, καὶ διαμένειν καὶ δέξασθαι τὸ βάπτισμα καὶ τὸ χρίσμα αἰτεῖται. Τῇ μητρί τε τὰ πρὸς σωτηρίαν εὐχόμενος, μεταδίδωσιν αὐτῇ τε καὶ ταῖς σὺν αὐτῇ γυναιξὶ χάριτος καὶ ἁγιασμοῦ, ἄδειάν τε παρέχει ἐνεργεῖν τὰ ἔργα αὐτῶν, καὶ κατὰ μηδὲν ὅλως κωλύεσθαι, ἢ ῥύπου μετέχειν, ἢ ἐνδοιάζειν φθονεροῖς τοῦ πονηροῦ φάσμασιν, ἐπειδὴ τῷ τῆς ἁμαρτίας καὶ ἐξ ἡδονῆς ἐξυπηρέτησαν τόκῳ, ὃν δὴ τῆς φθορᾶς καὶ τοῦ θανάτου προοίμιόν τινές φασι καὶ ἔστιν. D

CAPUT LIX.

Expositio singulorum quæ fiunt ante baptismum, in baptismo et post baptismum.

Insuper qui signavit aquam signo crucis in procœmium divini baptismatis, domum conspergit, et infante in fronte signato propter mentem, necnon in ore propter locutionem et spiritum atque in corde propter vim vitalem, ita ut servatus maneat in salutarem baptismum, his ita perfectis, egredi-

ΚΕΦΑΛ. ΝΘ'.

Δήλωσις κατὰ μέρος τῶν πρὸ τοῦ βαπτίσματος, καὶ ἐν τῷ βαπτίσματι, καὶ μετὰ τὸ βάπτισμα τελουμένων.

Ἀλλὰ καὶ σφραγίσας ὕδωρ τῇ σημειώσει τοῦ σταυροῦ, εἰς προοίμιον τοῦ θείου βαπτίσματος καταῤῥαντίζει τὸν οἶκον. Κατασφραγίσας δὲ καὶ τὸ βρέφος τῷ μετώπῳ διὰ τὸν νοῦν, καὶ τῷ στόματι διὰ τὸν λόγον καὶ τὴν πνοήν, καὶ τῇ καρδίᾳ διὰ τὴν ζωτικὴν δύναμιν, ὥστε μένειν πεφυλαγμένον εἰς τὸ

σωτήριον βάπτισμα, οὕτως ἀπολύσας, **75** ἀπέρχεται. A
Τῇ δὲ ὀγδόῃ ἡμέρᾳ προσάγεται τὸ βρέφος ὑπό τινων τῷ Θεῷ, καὶ πρὸ τῶν πυλῶν, οὐ γὰρ ἡγιασμένον ἔτι ἐστὶ τῷ βαπτίσματι, σφραγίζει πάλιν αὐτὸ εἰς τὸ μέτωπον, καὶ τὸ στόμα, καὶ τὸ στῆθος ὁ ἱερεύς· καὶ δίδωσιν ὄνομα τούτῳ δι' εὐχῆς ἱερᾶς, ὅπερ ἂν οἱ τεκόντες θελήσαιεν, μεθ' οὗ καὶ βαπτίζεται.

ΚΕΦΑΛ. Ξ'.

Ὅτι καὶ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ὁ Κύριος τὸ ὄνομα εἴληφεν, Ἰησοῦς κληθείς.

Καθάπερ τοῦτο γέγονε καὶ ἐν τῷ Κυρίῳ· ἐν τῇ ὀγδόῃ γὰρ περιτμηθεὶς, Ἰησοῦς ἐπεκλήθη. Ἡμεῖς δὲ οὐ περιτομὴν ἔχομεν· πεπλήρωκε γὰρ ὁ Σωτὴρ τὰ τοῦ νόμου ἀντὶ ἡμῶν, καὶ τῆς νομικῆς δουλείας ἐρύσατο. Δέδωκε δὲ περιτομὴν ἄλλην ἐν ὅλῃ τῇ φύσει, τὸ θεῖον βάπτισμα, ὅπερ οὐ σάρκα τέμνει, ἀλλ' B ἁμαρτίας καθαίρει. Ἕκαστον δὲ τῶν βρεφῶν ὡς Ἰησοῦς ὁ Χριστὸς ἐν τῷ ἰδίῳ βαπτίζεται ὀνόματι. Οὐ μὴν δὲ βαπτίζονται πάντες Ἰωάννης καὶ Μαρία, ὡς τῶν ἁπλουστέρων καὶ ἰδιωτικῶν τινές φασιν. Ἐν τῇ ὀγδόῃ δὲ ἡ περιτομὴ τότε ἦν τοῖς Ἰουδαίοις. Τὸ ὄνομα δὲ νῦν ἐν αὐτῇ οἱ πιστοὶ λαμβάνομεν, ὅτι ἀνακαινισμὸς ἡ ὀγδόη. Πληρωθείσης γὰρ τῆς ἑβδόμης ἣν ἡ ζωὴ αὕτη κέκτηται, δι' ἑπτὰ κυκλουμένη τῶν ἡμερῶν, τῇ ὀγδόῃ πάλιν ἀπάρχεται. Ὃ σημεῖον τῆς ἀναστάσεώς ἐστι, καὶ τῆς αἰωνίου ζωῆς προοίμιον. Ἐν γὰρ τῇ ὀγδόῃ καὶ ὁ Κύριος ἐξανέστη, καὶ τὴν τελευταίαν ἡμεῖς ἡμέραν τῆς αἰωνίου ζωῆς ἐλπίζομεν. Ἥτις καὶ ἀπέραντος ἔσται, καθὰ διδασκόμεθα. Ἐν ταύτῃ οὖν τῇ ὀγδόῃ οἱ μὲν C Ἰουδαῖοι περιετέμνοντο κατὰ τὰ ἄῤῥενα μόνον ὡς ἀτελεῖς, σφραγιζόμενοι τῷ μορίῳ τῆς ἡδονῆς, προμαρτυροῦντες μὲν καὶ αὐτοὶ τὴν ἀνάστασιν τῇ ὀγδόῃ, καὶ ἐν τῷ περιτέμνεσθαι δὲ, σημαίνοντες ὡς ἡ ἡδονὴ τῆς σαρκὸς παυθήσεταί ποτε, καὶ ἄφθαρτος ἔσται ζωὴ, καὶ μὴ διὰ σαρκὸς ἐνεργουμένη, μὴ νοοῦντες δὲ τοῦτο, μηδὲ τὴν ἀληθῆ περιτομὴν τὴν τῆς ἁμαρτίας κατανοοῦντες ἀπόθεσιν, ὅπερ ἐστὶ τὸ ἅγιον βάπτισμα. Τοῦτο γὰρ τὸ ἀφθάρτους ὅλους εἶναι καὶ ἀσινεῖς ἐκδιδάσκει, καὶ μὴ κατά τι λελωβημένους· ὁ γὰρ περιτεμνόμενος τὴν σάρκα λελώβηται, καὶ τὸ ἄρτιον οὐ περιφέρει τῆς φύσεως· καὶ ὅτι οὐκ ἀπαθὲς ἐξ ἡδονῆς τίκτεσθαι ἡμᾶς. Διὸ καὶ τοῦτο λέλυται τὸ ἐξ ἡδονῆς τίκτεσθαι. Δοθήσεται δὲ ἡμῖν διὰ τοῦ βαπτίσματος τὸ οὐκ ἐκ θελήματος σαρ- D κὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ τίκτεσθαι. Τοῦτο δ' ἐστὶ τὸ διὰ λουτροῦ τῆς παλιγγενεσίας ἀναγεννᾶσθαι. Ὅθεν καὶ τῇ ὀγδόῃ ἡμέρᾳ τὸ ὄνομα λαμβάνει μὲν τὸ βρέφος, ὥσπερ ὁ Σωτὴρ τὸ Σωτήριον Ἰησοῦς ἐπικληθείς· σφραγισθὲν δὲ καὶ εὐχὴν λαβὼν ἱερὰν, ὡς προσαχθὲν τῷ Κυρίῳ, καὶ σημειωθὲν τῷ σταυρῷ τὸ μέτωπον, ὡς ἔφην, διὰ τὸ νοητικὸν, τὸ στόμα διὰ τὸ λογικὸν, καὶ τὴν καρδίαν διὰ τὸ ζωοποιὸν, καὶ τῇ βίβλῳ τῇ αἰωνίῳ γραφὲν διὰ τοῦ ἐπιτεθέντος αὐτῷ ὀνόματος, ἐπανέρχεται τῇ μητρί. Τῇ τεσσαρακοστῇ δὲ ἡμέρᾳ πάλιν προσάγεται ὑπὸ τῆς μητρὸς τῷ ναῷ καὶ τοῦτο ὡς δῶρον Θεῷ προσκομίζεται. Ὁ ἱερεὺς γὰρ πρὸ τῶν θυρῶν στὰς τοῦ ναοῦ (οὐ γὰρ θέμις πρὸ τῆς εὐχῆς

tur. Octava autem die, affertur infans a quibusdam ad Deum, et pro foribus, non enim baptismo adhuc sanctificatus est, rursus signat eum in fronte et in ore atque in pectore sacerdos, eique per sacram orationem dat nomen quodcumque voluerint ejus parentes, quocum baptizatur.

CAPUT LX.

Quod Dominus quoque octava die nomen accepit et Jesus appellatus est.

Quemadmodum idem in Domino factum est; octava enim die circumcisus vocatus est Jesus. Nos vero circumcisionem non habemus; nam legem pro nobis adimplevit Salvator, et a legali servitute nos eruit, sed in omni natura aliam dedit circumcisionem, divinum baptisma, quod non carnem amputat, sed peccatis purgat. Infantes singuli ut Jesus Christus in proprio nomine baptizantur, siquidem non omnes baptizantur in nomine Joannis et Mariæ, prout dixerunt quidam mente simplices et idiotæ. Die quidem octava tunc erat Judæis circumcisio, nos vero fideles eadem die nomen accipimus quoniam octava est renovatio. Nam impleta hebdomade quam ipsa consecuta est vita septem dierum circulo contenta, rursum die octava revertitur, quod signum est resurrectionis, æternæque vitæ proœmium. Quippe octava die resurrexit Dominus, nosque ultimam diem æternæ vitæ speramus, quæ nescit occasum, prout didicimus. Igitur in ipsa die octava Judæi quidem secundum masculos tantum utpote imperfecti circumcidebantur, membro voluptatis signati prætestantes quidem et ipsi resurrectionem per diem octavam, et per circumcisionem indicantes tunc cessaturam carnis voluptatem, vitamque futuram incorruptibilem neque per carnem operaturam; sed nec istud scientes, neque veram circumcisionem peccati aversionem cogitantes, quod est sanctum baptisma; hoc enim nos docet esse incorruptos et omnino intactos nec in aliqua parte saucios. Nam qui circumciditur secundum carnem, læditur, neque circumfert naturæ integritatem, et quoniam nequaquam absque peccato ex voluptate nascitur, ideo noluit nos ex voluptate generari; nobis vero per baptisma dabitur nasci non ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo, quod est per lavacrum regenerationis iterum nasci. Unde octava die nomen quidem accipit infans, sicut Salvator nomine salutifero Jesus vocatus, signatus vero, et sacra oratione accepta, utpote Deo oblatus, signatusque crucis signo, prout dixi, in fronte propter mentem, in ore propter loquelam, et in corde propter vitalem potentiam, necnon in æterno libro per impositum ei nomen inscriptus, matri restituitur. Die autem quadragesima rursus a matre in templum apportatus velut donum Deo offertur. Namque sacerdos præ foribus templi adstans (non enim fas est ante preces ingredi) matre simulque infante signatis et per orationes sanctificatis, matri quidem purgationem exhibet a voluptaria sordida-

que conceptione quæ post partum absolvit diem illam quadragesimam in qua infans in ea perfectus est et exsultare cœpit; eique dato in templum ingressu, quum ad hanc horam digna non esset quæ ingrederetur et cum sancto communicaret, infantem in manibus accipiens, Simeonem referens Dominum puerum amplectentem, illud « Nunc dimittis, » clamat sacerdos obsecrans ut infans a peccato solutus lumen videat Christum, revelationem gentium et gloriam novi Israel, et Spiritu regeneratus Deum facie ad faciem conspiciat. Si infans baptizatus est, ad altare eum affert eumque circumgestat, quasi adorationem faciens, monstrans eum esse oblationem Deo, et factorem adorat. Si vero baptizatus nondum fuerit infans, stans ante intercolumnia et propter infantem præ altari adorationem faciens, illum matri restituens dimittit. Unde infans fit catechumenus; mater autem facultatem accepit utpote purificata in templum ingrediendi et mysteriis adesse, quando poterit et voluerit; quæ quidem ita fiunt.

A εἰσελθεῖν) καὶ τὴν μητέρα σφραγίσας ἅμα τῷ βρέφει, καὶ ἁγιάσας αὐτοὺς εὐχαῖς, καὶ τῇ μὲν μητρὶ τὴν ἀπὸ τῆς ἐνηδόνου καὶ ῥυπώδους γεννήσεως κάθαρσιν παρασχών, πεπληρωκυίας μετὰ τὸν τόκον τὸ τεσσαρακονθήμερον, ἐν ᾧ καὶ τὸ βρέφος ἐν αὐτῇ ἐτελέσθη καὶ σκιρτᾷν ἤρξατο· καὶ δοὺς αὐτῇ τὴν ἐν τῷ ναῷ εἴσοδον, μέχρι τότε μὴ οὔσης ταύτης ἀξίας τοῦ εἰσελθεῖν, μηδὲ κοινωνῆσαι τοῦ καθαροῦ, τὸ παιδίον εἰς χεῖρας αὐτὸς λαβών, τὰ τοῦ Συμεὼν ἐκτυπῶν ἀγκαλισαμένου βρέφος τὸν Κύριον, τὸ, « Νῦν ἀπολύεις, » ἀναβοᾷ, ἐκ τῆς ἁμαρτίας λυθῆναι τὸ βρέφος ὁ ἱερεὺς εὐχόμενος, καὶ φῶς ἰδεῖν τὸν Χριστὸν, τὴν ἀποκάλυψιν τῶν ἐθνῶν καὶ δόξαν τοῦ νέου Ἰσραὴλ, **76** γεγεννημένον καὶ αὐτὸ Πνεύματι, καὶ Θεὸν ὁρῶν ἄντικρυς. Καὶ εἰ μὲν τὸ B βρέφος βεβαπτισμένον ἐστὶν, εἰσάγει τοῦτο κἂν τῷ θυσιαστηρίῳ, καὶ κύκλῳ αὐτὸ περιάγει, ὥσπερ ποιῶν καὶ προσκύνησιν, δηλῶν ὡς ἀνάθημα τοῦτο Θεῷ, καὶ προσκυνεῖ τῷ ποιήσαντι. Εἰ δὲ μήπω βαπτισθέν ἐστι τὸ παιδίον, πρὸ τῶν διαστύλων στὰς, καὶ διὰ τοῦ βρέφους προσκύνησιν ἐν τῷ θυσιαστηρίῳ ποιήσας, καὶ τῇ μητρὶ παραδοὺς αὐτὸ, ἀπολύει. Ἐντεῦθεν οὖν τὸ μὲν βρέφος ἐστὶ κατηχούμενος· ἡ δέ γε μήτηρ ἄδειαν εἴληφε τόν τε ναὸν ὡς καθαρισθεῖσα εἰσιέναι, καὶ τῶν μυστηρίων μετέχειν, ὁπότε ἑτοίμως ἔχει καὶ βούλεται. Καὶ ταῦτα μὲν οὕτως.

CAPUT LXI.

Consideratio eorum quæ in divino baptismo peraguntur.

At ea quæ ad sanctissimum baptisma pertinent jam edisce. Primum quidem scito tempus baptismi non esse neque diem neque horam præstitutam, ne absque sacramenti illuminatione decedat infans; verum si mors timeatur, omnia statim post nativitatem secundum formam fiunt, nisi quod abest oratio atque pius sanctusque sacerdos, sed si dederit tempus, neque timeatur mors, statim post sacrum confertur baptismus ut mysteriis infans communicet. De quo dixit Dionysius omnia mysteria nos per communionem sanctificare; hæc enim est omnium finis. Debet autem sacerdos sacras preces bene recitare et dicere attento animo, et lente, nisi fuerit necessitas, ita ut audiatur eas pronuntians. Nam a Patribus didicimus sæpe phantasmatibus territos hoc pati, quoniam qui eos baptizaverunt sacerdotes sine mentis advertentia exorcismos dixerunt aliasque preces sacras. Igitur si fuerit facultas, non semel tantum oportet ab initio dicere exorcismorum verba precesque alias, sed pluries. Nam in euchologio octies vel decies eos scribitur recitandas, quoniam antiqua erat Ecclesiæ consuetudo; singulis quidem diebus per septem dies a catechistis sacerdotibus baptizatis illæ dicebantur, rursum autem a pontifice vel a baptizaturo sacerdote, sicque baptizabantur a pontifice aut sacerdote. Nos vero novimus pios presbyteros ter sine intermissu illas dicentes et ita baptizantes. Divinissimum autem baptisma fit ad hunc modum. Adducitur baptizandus, si infans quidem, a muliere allatus et præsente sponsore, si vero ætatem habet, solus, quoniam libenter oportet eum accedere, et

ΚΕΦΑΛ. ΞΑ'.

Θεωρία περὶ τῶν τελουμένων ἐν τῷ θείῳ βαπτίσματι.

Τὰ τοῦ σεπτοτάτου δὲ βαπτίσματος καταμάνθανε ἤδη· καὶ πρῶτον μὲν ὡς οὐκ ἔστι τούτου καιρὸς ἡμερῶν ἢ ὡρῶν, μή ποτε ἀφώτιστον ἀπέλθοι τὸ C βρέφος. Ἀλλ' εἰ φόβος θανάτου, πάντα εὐθὺς τῷ γεννηθῆναι τὰ κατὰ τύπον γίνεται· πλὴν μετὰ προσοχῆς, καὶ ἱερέως εὐλαβοῦς τε καὶ νήφοντος· καὶ εἴγε δίδωσιν ὁ καιρὸς, καὶ μὴ φόβος θανάτου, μετὰ τὴν ἱερουργίαν εὐθὺς, ἵνα καὶ μεταλάβῃ τὸ βρέφος τῶν μυστηρίων. Καὶ περὶ τούτου φησὶ Διονύσιος, ὡς πάντα τὰ μυστήρια τελειοῦσιν ἡμᾶς τῇ κοινωνίᾳ. Τοῦτο γὰρ τὸ πέρας πάντων ἐστίν. Ὀφείλει δέ γε ὁ ἱερεὺς καὶ τὰς ἱερὰς καλῶς μελετῆσαι καὶ λέγειν εὐχὰς, καὶ μετὰ προσοχῆς, καὶ ἀργῶς, εἰ μή τις ἀνάγκη ἀναγινώσκειν ἐν ἐπηκόῳ. Ἤκουσται γὰρ ἡμῖν παρὰ Πατέρων, ὡς οἱ ὑπὸ φασμάτων δειματούμενοι πολλάκις, διὰ τοῦτο πάσχουσι τοῦτο, ὅτιπερ οἱ βαπτίσαντες ἱερεῖς οὐ μετὰ προσοχῆς τοὺς D ἀφορκισμοὺς εἶπον, καὶ τὰς ἑτέρας ἱερὰς εὐχάς. Εἴπερ οὖν ἔστιν ἄδεια, οὐχ ἅπαξ μόνον χρὴ λέγειν τὰς ἀπ' ἀρχῆς τῶν ἀφορκισμῶν, καὶ τὰς ἑτέρας εὐχὰς, ἀλλὰ πολλάκις. Καὶ γὰρ ἐν μὲν τῷ εὐχολογίῳ ὀκτάκις ἢ δεκάκις γράφεται λέγεσθαι, ὅτι καὶ συνήθεια ἦν ἀρχαία τῆς Ἐκκλησίας, καθ' ἑκάστην μὲν ἐν ἑπτὰ ἡμέραις ὑπὸ τῶν κατηχητῶν ἱερέων τοῖς βαπτιζομένοις ταύτας λέγεσθαι, τῇ ὀγδόῃ δὲ πάλιν ὑπὸ τοῦ ἀρχιερέως, ἢ τοῦ μέλλοντος βαπτίσαι ἱερέως· καὶ οὕτως ἐβαπτίζοντο ὑπὸ τοῦ ἀρχιερέως ἢ ἱερέως· ἡμεῖς δὲ εἴδομεν εὐλαβεῖς ἱερεῖς τρὶς ἀπαραλείπτως λέγοντας ταύτας, καὶ οὕτω βαπτίζοντας. Τὸ βάπτισμα δὲ τὸ θειότατον γίνεται οὕτω· προσάγεται ὁ μέλλων βαπτισθῆναι, εἰ μὲν βρέφος, ὑπὸ γυναικὸς κατεχόμενον, καὶ τοῦ ἀναδόχου παρόντος· εἰ δ' ἡλι-

κίαν ἔχει, μόνος, ἐπεὶ καὶ ἑκουσίως δεῖ τοῦτον προσέρχεσθαι, καὶ ὁ ἀνάδοχος σὺν αὐτῷ. Αὐτὸς γὰρ αὐτοῦ ἐγγυητὴς εἰς Χριστὸν, ὥστε τηρεῖν τὰ τῆς πίστεως, καὶ χριστιανικῶς ζῆν, καὶ τὸ ὄνομα δὲ δηλοῖ. Ἀνάδοχος γὰρ, εἰς ἑαυτὸν οἷον ἀναδεχόμενος.

ΚΕΦΑΛ. ΞΒʹ.

Ὅτι χρὴ τὸν ἀνάδοχον τοῦ βαπτιζομένου ὀρθόδοξον εἶναι καὶ εὐσεβῆ.

Ἔνθα δὴ καὶ προσεκτέον, ἀναδόχους ποιεῖσθαι φιλευσεβεῖς καὶ διδασκάλους σχεδὸν τῆς πίστεως. Ἀλλ' ἐμοὶ ἤκουσται λίαν ἄτοπον καὶ βαρύ. Τοὺς γὰρ διώκτας καὶ ὑβριστὰς τῆς πίστεως, ἀθέους τε καὶ αἱρετικοὺς, εἰς ἀναδοχὴν (οἴμοι !) τῶν τέκνων αὐτῶν τινες διά τι προσκαλοῦνται ἀνθρώπινον καὶ τὸ μυστήριον ἀθετοῦσιν οὗτοι· καὶ τὰ τέκνα οὐ φωτίζουσιν, ἀλλὰ σκοτίζουσι μᾶλλον. Καὶ ὁ ὑπουργῶν ἱερεὺς κοινωνὸς δείκνυται τοῖς ἀλλοτρίοις Θεοῦ. Καὶ πῶς ἂν ὁ βλασφημῶν εἰς Θεὸν τὴν εὐσέβειαν ἐκδιδάξοι ; Ἀλλὰ τίς κοινωνία φωτὶ πρὸς σκότος ; Ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, ὡς γέγραπται ; Ὁ τὰ τοιαῦτα ποιῶν κατάκριτος· καὶ ὁ τὰ τῶν ἀσεβῶν δεχόμενος βρέφη, εἰ μὴ πρότερον καθομολογήσωσιν οὗτοι ἅγιον εἶναι καὶ θεῖον τὸ βάπτισμα, καὶ ἁμαρτίας καθαρτικὸν, **77** καὶ ἀναγεννῶν ἐν Χριστῷ, καὶ Χριστιανὸν εἶναι τὸν τοῦτο δεχόμενον (εἰ γὰρ τοῦτο, ὁ μὲν ὅτι πιστὸν ἔσται τὸ βρέφος ὁμολογήσει, αὐτὸς δὲ ὑπὸ φόβου τινὸς ὑποκρύπτεται), καλὸν δέχεσθαι καὶ ἁγιάζειν τὸ βρέφος, μήποτε καὶ ληφθείη οὕτω παρὰ Θεοῦ. Ἵσταται οὖν σὺν τῷ ἀναδόχῳ ὁ βαπτιζόμενος, δεικνὺς, ὅτι ἑκουσίως προσῆλθε, καὶ τὸν ἐγγυώμενον ἔχει. Καὶ τοῦ ἱερέως εὐλογήσαντος, εὐχαριστεῖν δεῖ ἐξ ἀρχῆς καὶ πάντοτε τῷ Θεῷ ἐπὶ τῇ τοῦ ἀπολωλότος σωτηρίᾳ, εὐθὺς γυμνῷ ὄντι καὶ ἀπερικαλύπτῳ μετὰ περιβολαίου μόνου, ἐμφυσᾷ τῷ κατηχουμένῳ σταυροειδῶς τρίτον ὁ ἱερεύς. Καὶ διὰ μὲν τοῦ ἐμφυσήματος τὴν ἐν τῷ Ἀδὰμ πρώτην ἐκείνην ἔμπνευσιν ἀναζωπυρεῖ, ἐπεὶ, « καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ, φησὶ, πνοὴν ζωῆς. » Καὶ ὁ ἱερεὺς δὲ Χριστὸν τὸν Θεὸν τυποῖ. Ὅθεν καὶ καλὸν μετὰ τὴν κοινωνίαν Χριστοῦ βαπτίζειν τε καὶ ἐμπνέειν. Τρίτον δὲ ἐμφυσᾷ διὰ τὴν Τριάδα, ὅτι κοινὴ τῆς Τριάδος ἐστὶν ἡ χάρις καὶ ἡ ἐνέργεια. Σταυροειδῶς δὲ διὰ τὸν σαρκωθέντα ὑπὲρ ἡμῶν, καὶ παθόντα σαρκὶ τῆς Τριάδος ἕνα Χριστὸν, καὶ τῷ σταυρῷ τὴν νίκην στησάμενον. Διὸ καὶ ὁ σταυρικὸς τύπος τὴν θυσίαν αὐτοῦ δηλοῖ, ταπείνωσίν τε καὶ νίκην, ὅτι δι' αὐτοῦ τὰς ὠδῖνας ἔλυσε τοῦ θανάτου, καὶ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου διάβολον, καὶ τὰς ἀντικειμένας ἐθριάμβευσε πονηροτάτας δυνάμεις. Ἐν ᾧ δὴ σταυρῷ καὶ ἡμεῖς νικῶμεν ἐν Χριστῷ τὸν διάβολον, καὶ τοὺς δαίμονας ἐκτρεπόμεθα. Καὶ σημεῖον ὁ σταυρὸς τοῦ Σωτῆρος καὶ σφραγίς τε καὶ τρόπαιον. Τρὶς οὖν ἐμφυσήσας τῷ κατηχουμένῳ ὁ ἱερεὺς, καὶ τρὶς σφραγίσας πάλιν τῇ χειρὶ τῷ σημείῳ τούτῳ τῷ σταυρικῷ διὰ τὸ, « Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, » καὶ ἐν τῷ μετώπῳ τε, ὡς προειρήκειν, διὰ τὸ νοητικὸν, καὶ ἐν τῷ στόματι διὰ τὸ λογικὸν, καὶ ἐν τῇ καρδίᾳ διὰ τὸ ζωτικὸν, ἐπιτί-

sponsor cum eo. Hic enim præs ejus est erga Christum, ita ut fidem servet et Christiane vivat; quod ipsum nomen ostendit, sponsor enim vocatur quoniam aliquo modo ipse pro eo spondet.

CAPUT LXII.

Susceptorem baptizandi recte de fide sentientem et pium esse debere.

Unde attendendum est sponsores fieri pietatis amicos et simul fidei doctores. At ego audivi rem nimis absonam nimiumque gravem : nam persecutores et conviciatores fidei, atheos etiam ac hæreticos ad spondendum, heu ! pro suis pueris cujusquam humani commodi gratia quidam advocant ! Hi mysterium aspernantur, filios non luce perfundunt, sed magis tenebris involvunt, et ministrans sacerdos inimicis Dei se communicare demonstrat. Et quomodo blasphemans pietatem erga Deum edocebit ? Sed quæ societas lucis ad tenebras ? vel quæ pars fideli cum infideli, prout scriptum est ? Maledictus qui talia agit, necnon qui impiorum infantes suscipit, nisi prius isti confiteantur sanctum divinumque esse baptismum, a peccatis purgare, in Christo regenerare, et Christianum esse eum qui hunc accepit (nam si ita est, cum alius quidem confiteatur infantem esse fidelem, alius vero ex quodam metu dissimulet, bonum est infantem suscipere et sanctificare, ne sic a Deo deprehendatur). Stat ergo cum sponsore baptizatus, ostendens se libenter accedere, et prædem habet. Postquam benedixerit sacerdos, oportet ab initio semperque gratias Deo agere de salute ejus qui perierat ; statim in catechumenum nudum et vestibus exutum soloque velamine indutum in modum crucis ter exsufflat sacerdos. Per hunc quidem inflatum primam illam in Adam inspirationem exsuscitat, de qua dictum est : « Et inspiravit in faciem ejus spiraculum vitæ ; » sacerdos vero Christum Deum figurat, ideo bonum est post communicationem Christi baptizare et insufflare. Ter autem inspirat propter Trinitatem, quoniam communis est Trinitati gratia et operatio ; verum in crucis formam sufflat propter unum e Trinitate Christum pro nobis crucifixum, carneque passum qui per crucem victoriam retulit. Quamobrem crucis signum sacrificium ejus indicat humilitatemque et victoriam, quoniam in eo dolores mortis solvit, et destruxit eum qui habebat mortis imperium, nempe diabolum, et adversarias triumphavit nequissimas potestates. In cruce etiam nos quoque vincimus in Christo diabolum et dæmones fugamus ; et crux est Salvatoris sigillumque ac tropæum. Igitur postquam sacerdos ter in catechumenum insufflavit, eumdemque ter iterum in manu hoc crucis signo obsignavit propter illud : « Manus tuæ fecerunt me et plasmaverunt me. » Necnon in fronte, sicut supra dixeram, propter mentem, et in ore propter locutionem atque in corde propter vitalem potentiam, imponit ei manum utpote consecratam et in Spiritu operantem, precesque sacras pronuntiat. At priusquam

insufflaret et signaret. ut dictum est, zona solvit et vestibus exuit catechumenum quem nudato capite pedibusque nudis producit ad orientem spectantem. Quid in hoc significat? Quoniam oportet accedentem ad Deum et verum lumen jam conspicientem. quod ostendit oriens (inde enim lux venit) liberiorem esse a vitiis, et solutum ab infidelitate, necnon ab omni malitia liberatum, et ab indumento peccati alienum, atque servitutem Deo profitentem. Ideo igitur stat nudus ; et insuper hominem per peccatum nudum esse factum et amisisse indumentum a Deo contextum ista nuditatis forma testatur. Nam accedens ad abjiciendas peccati et infidelitatis sordes, ut totus fiat novus, ut formam novi Adam induat et melior quam antea habebatur revertatur, nuditatem exhibet, et turpitudinem testatur, sicque stans mundatur transfigurationem inquirens. Sed ne protrahentes sermonem, satietatem auribus faciamus, summatim jam de proposito loquamur. Pontifex quidem et sacerdos baptizans ipsum refert Dominum in omnibus omnia facientem, quum ejus gerat potestatem, qui primum fecit idemque rursum reficit. Baptizatus autem lapsum Adam indicat cum accedendo animi libertatem demonstrat. Si vero infans a quodam fideli afferatur, idem significat in fide et non in necessitate affertur ; sponsor autem prædem tam secundum fidem quam secundum vitam exhibet. Dum vestibus et zona exutus adstat cum tunica sese ostendit omnem abjicere malitiam, a peccati vinculis absolvi, nudum errore et corruptione ad Christum accedere, necnon declinando nudatum fuisse, priore amissa stola quam modo venit splendidiorem per baptisma induturus. Verum ad orientem spectat lucem veram inquirens, quæ Trinitas est et unus e Trinitate Christus incarnatus qui venit de Thæman, id est, ab oriente, quærens etiam paradisum a quo decidit ad orientem plantatum. At insufflatur a pontifice propter primam inspirationem quæ renovatur ; ter autem insufflatur propter divinam operationem vivificæ Trinitatis, nam ab ea creatus est et recreatur homo, et signatur vero manu pontificis per crucem, quoniam manus Dei nos plasmaverunt, Filius et Spiritus. Porro crux est Christi signum atque tropæum ; nam per eam victor dæmones dejicit, et nunc per ipsum crucis signum dæmonia fugat. Sed in fronte primum signatur, ut initiatus mente sanctificetur, errore fugato ; secundo autem os signatur, ut secundum loquelam sanctificetur et confiteatur veritatem ; tertium vero pectus, ut sit corde mundus, Deum videat, nihil occultet et in eo vivat, moveatur et maneat. Postea benedicit Deum pontifex, quia dignum est eum benedicere de inventione ejus qui erat perditus et de hominis salute. Deinde manus impositio propter communicationem gratiæ et renovationem. Prima quidem oratio fit in nomine Trinitatis; nam per eam baptizatus Deo soli offertur et sanctificatur, necnon postulatur ut ille Trinitatis nomen semper confite-

A θησι τὴν χεῖρα αὐτῷ ἡγιασμένην οὖσαν, καὶ ἐν τῷ Πνεύματι πλάττουσαν· καὶ τὰς ἱερὰς εὐχὰς ἐπιλέγει. Ἀλλὰ πρὸ τοῦ ἐμπνεῦσαι καὶ σφραγίσαι, ὡς εἴρηται, ἀπολύει τῆς ζώνης καὶ ἀποδύει τὸν κατηχούμενον, ἀσκεπῆ τε τὴν κεφαλὴν, καὶ τοὺς πόδας γυμνὸν περίστησι, κατὰ ἀνατολὰς ὁρῶντα. Τί ἐν τούτῳ δηλῶν; Ὅτι ὁ προσερχόμενος τῷ Θεῷ, καὶ πρὸς τὸ φῶς τὸ ἀληθινὸν ἤδη βλέπων, ὃ δηλοῖ ἡ ἀνατολὴ (ἐκεῖθεν γὰρ ἔρχεται τὸ φῶς), ἐλεύθερος χρὴ εἶναι τῶν παθῶν, καὶ λελυμένος τῆς ἀπιστίας, καὶ γυμνὸς πάσης κακίας, καὶ περιβλήματος ἁμαρτίας ἀλλότριος, καὶ τὴν δουλείαν ὑποδεικνὺς τῷ Θεῷ. Διὰ τοῦτο τοίνυν ἵσταται γυμνός. Καὶ ἔτι δὲ, διὰ τὸ γυμνὸν γεγονέναι τῇ ἁμαρτίᾳ τὸν ἄνθρωπον, καὶ τὴν θεοΰφαντον ἀπολέσαι περιβολὴν, τοῦτο τὸ B σχῆμα τῆς γυμνώσεως μαρτυρεῖ. Ἐπειδὴ γὰρ προσέρχεται, τὸν ῥύπον τῆς ἁμαρτίας καὶ τῆς ἀπιστίας ἀποβαλέσθαι, καὶ ὅλος γενέσθαι νέος, καὶ τὴν μορφὴν τοῦ νέου Ἀδὰμ ἐνδύσασθαι καὶ εἰς τὸ κρεῖττον ἢ πρότερον ὑπῆρχεν ἐπανελθεῖν, τὴν γύμνωσιν δείκνυσι, καὶ μαρτυρεῖ τὴν αἰσχύνην· καὶ οὕτως ἱστάμενος ἐκκαθαίρεται, τὴν ἀναμόρφωσιν ἐκζητῶν. Ἵνα δὲ μὴ μηκύνοντες τὸν λόγον κόρον ταῖς ἀκοαῖς ἐμποιήσωμεν, κεφαλαιωδῶς εἴπωμεν ἤδη περὶ τοῦ προκειμένου. Ὁ μὲν ἀρχιερεὺς καὶ ἱερεὺς βαπτίζων, αὐτὸν ἐκτυποῖ τὸν Κύριον, τὸν ἐν πᾶσι τὰ πάντα ποιοῦντα, ἐπεὶ καὶ τὴν αὐτοῦ φέρει δύναμιν, τὸν καὶ πλάσαντα πρότερον, καὶ αὖθις ἀναπλάττοντα· ὁ βαπτιζόμενος δὲ τὸν C παραπεσόντα Ἀδὰμ, ἐπεὶ καὶ τὸ προσέρχεσθαι, τὸ ἑκούσιον τῆς γνώμης δηλοῖ. Εἰ δὲ νήπιος παρά τινος πιστοῦ προσαγόμενος, τὸ προσάγεσθαι ἐν πίστει καὶ μὴ κατ' ἀνάγκην σημαίνει, ὁ ἀναδεχόμενος δὲ τὸν ἐγγυώμενον κατά τε πίστιν καὶ βίον. Τὸ ἀποδύεσθαι δὲ καὶ ἀπολύεσθαι ἑστῶτα γυμνὸν μετὰ περιζώματος τὸ ῥίπτειν πᾶσαν κακίαν, καὶ τῶν δεσμῶν τῆς ἁμαρτίας ἐλευθεροῦσθαι, καὶ γυμνὸν τῶν τῆς πλάνης τε καὶ φθορᾶς προσέρχεσθαι τῷ Χριστῷ· καὶ ὅτι γυμνὸς γέγονε πλανηθεὶς, τὴν πρὶν 78 ἀπολέσας στολὴν, ἣν νῦν ἔρχεται λαμπρότερον διὰ τοῦ βαπτίσματος ἐπενδύσασθαι. Πρὸς ἀνατολὰς δὲ ὁρᾷ, τὸ φῶς τὸ ἀληθινὸν ἐκζητῶν, ὅπερ ἐστὶν ἡ Τριὰς, καὶ ὁ εἷς τῆς Τριάδος Χριστὸς σαρκωθεὶς, ἐλθὼν ἐκ Θαιμὰν, ἤτοι ἐξ ἀνατολῶν, ἀλλὰ καὶ τὸν παράδεισον D οὗ ἐκπέπτωκε φυτευθέντα κατὰ ἀνατολάς. Ἐμφυσᾶται δὲ παρὰ τοῦ ἀρχιερέως, διὰ τὸ πρῶτον ἐμφύσημα, ἀνακαινίζεται γάρ. Τρίτον δὲ ἐμφυσᾶται, διὰ τὴν θείαν ἐνέργειαν τῆς ζωοποιοῦ Τριάδος. Δι' αὐτῆς γὰρ ἐπλάσθη, καὶ ἀναπλάττεται. Σφραγίζεται δὲ χειρὶ ἀρχιερέως διὰ σταυροῦ, ὅτι χεῖρες Θεοῦ ἡμᾶς ἔπλασαν, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα. Ὁ σταυρὸς δὲ σημεῖον Χριστοῦ καὶ τρόπαιον. Δι' αὐτοῦ γὰρ νικήσας, τοὺς δαίμονας ἔθραυσε· καὶ νῦν ἀπ' αὐτοῦ, ἐκτυπουμένου τοῦ σταυροῦ, τὰ δαιμόνια φεύγει. Ἐν τῷ μετώπῳ δὲ πρῶτον σφραγίζεται, ἵν' ἁγιασθῇ ὁ τελούμενος τὸν νοῦν, τῆς πλάνης φυγαδευθείσης. Δεύτερον δὲ τὸ στόμα, ἵνα τὸν λόγον ἁγιασθῇ, καὶ ἀνομολογῇ τὴν ἀλήθειαν. Καὶ τρίτον τὸ στῆθος, ἵνα τὴν καρδίαν ᾖ καθαρὸς, καὶ Θεὸν ὁρᾷ,

καὶ μηδὲν κρύπτῃ, καὶ ἐν αὐτῷ ζῇ, καὶ κινῆται καὶ μένῃ. Μετὰ τοῦτο εὐλογεῖ τὸν Θεὸν ὁ ἀρχιερεὺς, ὅτι ἄξιον αὐτὸν εὐλογεῖν ἐπὶ τῇ τοῦ ἀπολωλότος εὑρέσει, καὶ τῇ ἀνθρωπίνῃ σωτηρίᾳ. Εἶτα χειρὸς ἐπίθεσις διὰ τὴν μεταδιδομένην χάριν καὶ τὴν ἀνάπλασιν. Ἡ πρώτη δὲ εὐχὴ ἐν ὀνόματι τῆς Τριάδος. Αὐτῇ γὰρ παρατίθεται τῷ μόνῳ Θεῷ, καὶ δι' αὐτῆς ἁγιάζεται. Καὶ ἀνεξάρνητον μένειν τὸ ὄνομα τῆς Τριάδος ἐν τῷ βαπτιζομένῳ ἡ εὐχὴ δυσωπεῖ, καὶ τελειωθῆναι τοῦτον τῷ θείῳ βαπτίσματί τε καὶ Χρίσματι, καὶ τῇ ἱερᾷ Κοινωνίᾳ. Ἡ δέ γε δευτέρα εὐχὴ ἀφορκισμός ἐστιν, ἀποσοβοῦσα καὶ διώκουσα τὸν διάβολον, καὶ πᾶσαν ἐνέργειαν αὐτοῦ τοῖς φρικτοῖς καὶ θείοις ὀνόμασί τε καὶ μυστηρίοις. Καὶ τοῦ ἀνθρώπου διώκει τοῦτον, καὶ τοὺς αὐτοῦ δαίμονας. Καὶ φεύγειν ἐκ τούτου παραγγέλλει, καὶ μὴ ἐπηρεάζειν αὐτῷ. Ὁμοίως δὲ καὶ ἡ τρίτη ἀφορκισμὸς οὖσα καὶ αὐτὴ, τοὺς δαίμονας θείῳ ὀνόματι ἐκδιώκει. Ἡ δέ γε τετάρτη πάλιν εὐχὴ πρὸς τὸν Θεόν ἐστιν ἀναφερομένη, τὸν πονηρὸν παντελῶς ἐκδιῶξαι τοῦ πλάσματος τοῦ θείου ἐξαιτουμένη, καὶ ἐν τῇ πίστει στηρίξαι. Ὅθεν εὐθὺς καὶ τὴν πέμπτην ποιεῖται εὐχὴν, ἀναγκαιοτέραν οὖσαν, καὶ δι' αὐτῆς ἀνατίθησι τὸν βαπτιζόμενον τῷ Θεῷ. Ἐν ᾗ καὶ πάλιν εὐχῇ ἐμφυσᾷ αὐτῷ τὸ δεύτερον· ὅπερ ἐστὶ τὸ βεβαιότερον ἔργον, τῆς ἀναζωώσεώς τε καὶ ἀνακαινίσεως ἐκ τούτου δηλουμένου. Καὶ σφραγίζει τρὶς αὖθις κατά τε τὸ μέτωπον, καὶ τὸ στόμα, καὶ στῆθος, διὰ τὸν νοῦν τε καὶ λόγον αὐτοῦ καὶ τὴν ζωήν· καὶ ὅτι νοῦς καὶ λόγος καὶ Πνεῦμα ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, ἡ τοῦτον ἀναζωοῦσα, καὶ τὸ κατ' εἰκόνα διδοῦσα, ὅπερ ἀπώλεσε. « Καὶ ἐξέλασον ἀπ' αὐτοῦ, φησὶ, πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον καὶ ἐμφωλεῦον αὐτοῦ τῇ καρδίᾳ. » Ἐμφιλοχωροῦσι γὰρ τὰ δαιμόνια ταῖς τῶν ἀβαπτίστων ψυχαῖς, ἀποπλανᾷν καὶ μιαίνειν βουλόμενα. Καὶ τοῦτο ἰσχύουσιν ἀπὸ τῆς παραβάσεως ἐκείνης. Διὸ ταῖς καρδίαις τῶν ἀμυήτων τε καὶ ἀπίστων ἐνοικοῦσι προδήλως, καὶ ταύτας μιαίνουσί τε καὶ πρὸς τὰ θεομισῆ συγκινοῦσιν. Ἐν τῷ τέλει δὲ τῆς εὐχῆς ἡ ἀποταγὴ καὶ συνταγὴ οὕτω γίνεται. Στρέφει τὸν βαπτιζόμενον ὁ ἀρχιερεὺς ὡς πρὸς δυσμὰς, τοῦ σκότους ἐκ τούτου δηλουμένου, ἐν ᾧ ἐστιν ὁ διάβολος. Αἴρειν τε τὰς χεῖρας αὐτὸν ἄνω κελεύει, δεικνυμένου, ὅτι οὐκ ἔχει τι ὁ βαπτιζόμενος κεκρυμμένον ἐν ἑαυτῷ τῶν τοῦ πονηροῦ· καὶ ὅτι τὸν ἐσταυρωμένον ὑπὲρ ἡμῶν ἄρχεται ἐκμιμεῖσθαι. Καὶ λέγειν παρακελεύεται παρὰ τοῦ ἀρχιερέως, « Ἀποτάσσομαι τῷ Σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, » καὶ τὰ ἑφεξῆς. Καὶ ὁ βαπτιζόμενος τὴν ἀποταγὴν τοῦ πονηροῦ ποιεῖται, καὶ τῶν αὐτοῦ τὴν τελείαν ἐξάρνησιν. Καὶ τοῦτό φησι τρὶς, εἰς βεβαίωσιν τῆς ἀποταγῆς τοῦ ἐχθροῦ· καὶ ὅτι φεύγει ὁλοψύχως τὸν πονηρόν· ἔτι δὲ καὶ εἰς τιμὴν τῆς ἁγίας Τριάδος, ἥτις πάντα βεβαιοῖ τε **79** καὶ τελειοῖ. Ἐρωτήσας δὲ πάλιν τρὶς, « Ἀπετάξω τῷ Σατανᾷ; » καὶ τοῦ βαπτιζομένου συνθεμένου τρὶς, καὶ εἰπόντος, « Ἀπεταξάμην, » τουτέστιν ἠρνησάμην τε καὶ ἀπεβαλόμην τὸν πονηρὸν, φανερὰν γὰρ καὶ βεβαίαν εἶναι δεῖ τοῦ κακοῦ τὴν ἀποτα-

A atur ei consecretur divino baptismate, chrismate sacraque communione. Secunda autem oratio et exorcismus propulsans et ejiciens diabolum omnemque ejus potestatem terribilibus divinisque nominibus ac mysteriis; illum ejusque dæmones ab homine expellit, a quo fugere præcipit prohibetque ne ei in posterum insultent. Similiter et tertia, quæ quum ipsa quoque sit exorcismus divino nomine dæmones profligat. Quarta autem rursus oratio Deo nuncupatur, deprecans ut malignum prorsus expellat a divino plasmate, istudque in fide confirmet. Ideo statim quintam facit orationem qua acrius instat, et per eam baptizatum offert Deo. In qua oratione iterum in hunc insufflat, quo monstratur firmior vitæ novæ et instaurationis opera. B Ter rursum signat in fronte, in ore et in corde propter mentem ejusque locutionem et vitalitatem, et quoniam mens, verbum et Spiritus est Trinitas Deus noster, quæ illum nova animat vita, quæ reddit ei suam imaginem quam perdiderat: « Exi ab eo, inquit, omnis nequam et immunde spiritus, qui in ejus corde occultatus lates. » Nam commorantur dæmonia in animis eorum qui baptizati non sunt, ut eos avertant a recta via et ut inquinent salagentia, quod possunt ab illa transgressione. Ideo in cordibus infidelium et eorum qui initiati non fuerunt manifeste immanent, illaque inquinant et ad opera Deo odiosa commonent. Verum in fine orationis abnegatio et pactum fit ad hunc modum. C Vertit baptizatum pontifex ad occidentem quo significantur tenebræ in quibus est diabolus. Manus rursum erigere eum jubet ostendens quoniam baptizatus nihil habet diaboli in semetipso conditum, et quoniam crucifixum pro nobis imitari incipit. Deinde dicere præcipitur a pontifice: « Abrenuntio Satanæ et omnibus operibus ejus » et cætera; et baptizatus facit maligni ejurationem et perfectam ejusdem renegationem. Quod ter dicit in confirmationem renuntiationis inimici, et quoniam ex tota anima malignitas fugit, vel etiam in laudem sanctæ Trinitatis quæ omnia firmat et perficit. Deinde rursum ter sciscitatus: « Abrenuntiasne Satanæ? » et baptizato ter assenso et locuto: « Abrenuntiamus, » id est: Abnegamus et rejicimus malignum, nam ma- D nifestam stabilemque esse oportet mali ejurationem, pontifex: « In eum suffla, » inquit, id est ex corde erue, a corde abjice et inimicum ignominia affice; quod ter facit ut firma sit maligni renuntiatio, et in gloriam unius in Trinitate Dei nostri qui malignum propellit. Postea illum ad orientem convertit, nam ad lucem adducit ex tenebris, ex mendacio ad veritatem. Et dicit pontifex: « Dic, Et fateor Christum, et credo in unum Deum Patrem omnipotentem, et cætera; oportet enim eum lucem ter ut sol splendentem confiteri, ut corde accipiat ejus illuminationem. Igitur confessionem sacri Symboli totam clare ore pronuntiat. Quod ter quoque facit, corroborans confessionem, simulque, ut diximus, in laudem Deitatis in tribus personis. Illud palam

A confitetur quoniam veritatem annuntiat istamque oportet coram angelis et hominibus prædicare per quam salvus erit, Deumque universorum annuntiare aperte est necessarium, consubstantialem dico Trinitatem et solum qui est Deum, sed et unius a Trinitate Verbi Dei factam propter nos e Virgine incarnationem. Hoc igitur ter facto, et postquam ter rursum interrogatus : Fateris Christum ? ter respondit ex corde et dixit : « Fatemur eum, » pontifex addit : « Et adora eum. » Et signatus cruce per manum ejus, quod Christi confessionem connotat et manifestationem, postquam ter adoraverit ostendens servitutem et veram cum confessione obedientiam, ad orientem convertitur, et benedicit pontifex Deum qui vult omnes salvos fieri ; sic enim oportet B de omnibus gratias agere, et præsertim de hominum salute. Et ita suscipiens ipsum catechumenum per manum quasi perditum inveniens, introducit in templum, nempe velut in cœlum vel in paradisum, monstrans se eum ad Dominum qui amiserat reducere. Gaudium vero manifestans quo cum angelis gaudet de peccatore pœnitentiam agente : « Gaude, gratia plena, » ait cantando, et ingreditur. Ipsa enim est causa salutaris lætitiæ, porta salutifera, quæ salutem nobis dispensavit, veramque Deo lætitiam Verbum Deum ex ipsa incarnatum sancto et virgineo partu genuit ad nostram instaurationem. Insuper Simeonem referens pontifex adducit in conspectum altaris baptizatum, indicans se eum offerre ; jubet etiam illum ter C Deum adorare, quoniam in gratiam Dei rediit per conversionem quemadmodum ille prodigus, necnon ad dignitatem filii et ad incorruptionem, primam Spiritus stolam, quo nondum melius et excellentius pervenit, per divinum baptisma. Sed ut certa sit conversio et confessio, sponsorem quoque vocat pontifex, quem jubet ter altare adorare in quo habitat Deus, hinc demonstrans se fidem dare tute servandi in fide piaque conversatione baptizatum. Dein si infans quidem fuerit baptizandus, inclinatus hunc suscipit sponsor coram sacris foribus jacentem, velut e manibus Christi. Si vero ætatem habet, baptizatum e manu accipit, idem significans, nempe se eum a Christo suscipere, et quod præs D illius factus est erga Christum, spiritualisque erit ejus pater. Unde illum prehendens adducit ad sacram piscinam ostendens initiatum libenter, non autem vi accedere ad baptismum, ducet etiam ad testes scilicet primo et præcipue Deum, deinde pontificem et adstantes fideles qui omnes sunt mysteriorum testes, ipsum etiam sponsorem eum adducentem, et præsertim divinos sanctissimosque angelos qui invisibiliter adsunt et lætantur de salute divinaque baptizati in spiritu nativitate illumque in cœlis adscribunt, jam familiares et amici facti ab emundatione ex divino lavacro obtenta et unguenti signaculo. Ideo necessarium est tunc cum pietate et gaudio adesse fideles fere omnes, et credere angelos adstare qui lætantur de peccatore

γὴν, ὁ ἀρχιερεὺς, « Ἐμφύσησον αὐτῷ, » φησὶ, τουτέστιν ἐκ τῆς καρδίας ἀπόῤῥιψον, καὶ ἀπὸ καρδίας ἀθέτησον, καὶ καταίσχυνον τὸν ἐχθρόν. Καὶ τοῦτο ποιεῖται τρὶς διὰ τὸ ἀσφαλὲς τῆς ἀποταγῆς τοῦ πονηροῦ, καὶ εἰς δόξαν τοῦ ἐν Τριάδι μόνου Θεοῦ ἡμῶν, τοῦ καταβαλόντος τὸν πονηρόν. Εἶτα στρέφει τοῦτον κατὰ ἀνατολάς· πρὸς τὸ φῶς γὰρ ἀνάγει ἀπὸ τοῦ σκότους, καὶ ἐκ τοῦ ψεύδους πρὸς τὴν ἀλήθειαν. Καί φησιν ὁ ἀρχιερεύς· « Εἰπὲ, Καὶ συντάσσομαι τῷ Χριστῷ, καὶ πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, » καὶ τὰ ἑξῆς. Δεῖ γὰρ αὐτὸν τὸ τρισήλιον καθαρῶς ἀνομολογῆσαι φῶς, ὡς ἂν καὶ τῇ καρδίᾳ δέξηται τὴν λάμψιν αὐτοῦ. Τὴν ὁμολογίαν οὖν τοῦ ἱεροῦ Συμβόλου πᾶσαν λαμπρῶς τῷ στόματι λέγει. Καὶ τοῦτο ποιεῖται τρὶς, βεβαιῶν τὴν ὁμολογίαν, ἅμα δὲ καὶ εἰς τιμὴν, ὡς εἰρήκαμεν τῆς τρισυποστάτου Θεότητος. Ὁμολογεῖ δὲ τοῦτο φανερῶς, ἐπεὶ τὴν ἀλήθειαν καταγγέλλει· καὶ ὅτι ἐνώπιον ἀγγέλων δεῖ καὶ ἀνθρώπων ταύτην κηρύσσειν, δι' ἧς καὶ σωθήσεται. Καὶ τὸν Θεὸν τῶν ὅλων καταγγέλλειν χρὴ παῤῥησίᾳ, τὴν ὁμοούσιόν φημι Τριάδα, τὸν μόνον ὄντως ὄντα Θεὸν, ἀλλὰ καὶ τοῦ ἑνὸς τῆς Τριάδος τοῦ Θεοῦ Λόγου τὴν ὑπὲρ ἡμῶν ἐκ Παρθένου σάρκωσιν. Τοῦτο οὖν ποιησαμένου τρὶς, καὶ ἐρωτηθέντος αὖθις τρὶς, « Συνετάξω τῷ Χριστῷ; » καὶ ἀποκριθέντος τρὶς ἐκ καρδίας, καὶ εἰρηκότος, « Συνεταξάμην αὐτῷ, » ὁ ἀρχιερεύς φησι, « Καὶ προσκύνησον αὐτῷ, » καὶ σφραγισαμένου σταυρῷ διὰ τῆς χειρὸς αὐτοῦ, ὃ τὴν τοῦ Χριστοῦ ὁμολογίαν δηλοῖ καὶ σημείωσιν, καὶ προσκυνήσαντος τρὶς, ἐνδεικνυμένου τὴν δουλείαν, καὶ τὴν ἀληθῆ μετὰ τῆς ὁμολογίας ὑποταγὴν, στρέφεται πρὸς ἀνατολὰς, καὶ εὐλογεῖ τὸν Θεὸν ὁ ἀρχιερεὺς τὸν πάντας σωθῆναι θέλοντα. Οὕτω γὰρ δεῖ εὐχαριστεῖν ἐπὶ πᾶσι, καὶ μᾶλλον τῇ τῶν ἀνθρώπων σωτηρίᾳ. Καὶ οὕτω κρατήσας αὐτὸν τὸν κατηχούμενον τῆς χειρὸς ὡς τὸν ἀπολωλότα εὑρὼν, εἰσάγει εἰς τὸν ναὸν, ὡς εἰς τὸν οὐρανὸν δηλονότι, ἢ τὸν παράδεισον, δεικνὺς, ὡς προσφέρει τοῦτον τῷ ἀπολωλεκότι δεσπότῃ. Τὴν χαρὰν δὲ δηλῶν, ἣν μετὰ τῶν ἀγγέλων χαίρει ἐπὶ μετανοοῦντι ἁμαρτωλῷ, « Χαῖρε, κεχαριτωμένη, » φησὶν ὑμνῶν, καὶ εἰσέρχεται. Αὕτη γὰρ ἡ ἀπαρχὴ τῆς σωτηρίου χαρᾶς, ἡ σωτήριος πύλη, ἡ τὴν σωτηρίαν ἡμῖν οἰκονομήσασα, καὶ τὴν ἀληθῆ χαρὰν τῷ κόσμῳ, τὸν Θεὸν Λόγον σεσαρκωμένον ἐξ αὐτῆς γεννήσασα ἁγίως τε καὶ παρθενικῶς εἰς ἡμετέραν ἀνάπλασιν. Καὶ τὰ τοῦ Συμεὼν δὲ ἐκτυπῶν ὁ ἀρχιερεὺς, προσάγει τοῦ θυσιαστηρίου ἐνώπιον τὸν βαπτιζόμενον, δηλῶν, ὡς ὅτι προσέφερε. Καὶ ποιεῖ τοῦτον τρὶς προσκυνῆσαι Θεῷ· ὅτι καὶ κατήλλακται τῷ Θεῷ δι' ἐπιστροφῆς, ὥσπερ ἐκεῖνος ὁ ἄσωτος, καὶ πρὸς τὴν υἱοθεσίαν καὶ ἀφθαρσίαν τὴν πρώτην στολὴν τοῦ Πνεύματος, ὅσον οὔπω ἔρχεται μειζόνως τε καὶ κρειττόνως, διὰ τοῦ θείου βαπτίσματος. Ἵνα δὲ καὶ ἡ ἐπιστροφὴ καὶ ἡ ὁμολογίαν ἀσφαλὴς ᾖ, καὶ τὸν ἀνάδοχον καλεῖ ὁ ἀρχιερεύς. Καὶ προσκυνῆσαι τρὶς λέγει τῷ θυσιαστηρίῳ, ἐν ᾧπερ οἰκεῖ ὁ Θεὸς, διὰ τούτου δηλῶν, ὡς λόγον παρέχει, φυλάξαι ἀσφαλῶς ἐν τῇ πίστει καὶ τῇ εὐσεβεῖ πολιτείᾳ τὸν βαπτιζόμενον. Εἶτα εἰ μὲν βρέφος

ἐστὶν ὁ μέλλων βαπτίζεσθαι, κύψας λαμβάνει τοῦτον ὁ ἀνάδοχος, ἐνώπιον κείμενον τῶν ἁγίων θυρῶν, ὥσπερ ἀπὸ τῶν χειρῶν τοῦ Χριστοῦ· εἰ δ' ἐν ἡλικίᾳ, λαμβάνει τὸν βαπτιζόμενον ἀπὸ τῆς χειρὸς, τὸ αὐτὸ δηλῶν, ὅτι ἀπὸ τοῦ Χριστοῦ τοῦτον παρέλαβε, καὶ ἐγγυητὴς γέγονεν αὐτοῦ εἰς Χριστὸν, καὶ πνευματικὸς ἔσται πατήρ. Ὅθεν καὶ κρατῶν, προσφέρει τοῦτον τῇ ἱερᾷ κολυμβήθρᾳ, δεικνὺς, ὡς ἑκουσίως καὶ οὐ κατὰ βίαν προσέρχεται τῷ βαπτίσματι ὁ τελούμενος, καὶ ἐπὶ μάρτυσι πρῶτον μὲν καὶ ἐξαιρέτως τῷ
80 Θεῷ, ἔπειτα δὲ τῷ ἱεράρχῃ καὶ τοῖς παρατυχοῦσι πιστοῖς, οἳ πάντες μάρτυρες τῶν τελουμένων εἰσὶ, καὶ αὐτῷ δὴ τῷ ἀναδόχῳ τῷ καὶ προσάγοντι τοῦτον, καὶ μάλιστα δὴ τοῖς θείοις καὶ πανάγνοις ἀγγέλοις, ἀοράτως τότε παροῦσι, καὶ εὐφραινομένοις τῇ τοῦ βαπτιζομένου ἐν Πνεύματι θεογενεσίᾳ καὶ σωτηρίᾳ, καὶ ἀπογραφομένοις αὐτὸν ἐν τοῖς οὐρανοῖς, καὶ γνωρίμοις καὶ φίλοις γινομένοις, ἀπό τε τῆς ἐκ τοῦ θείου λουτροῦ καθάρσεως, καὶ τῆς σφραγῖδος τοῦ μύρου. Διὸ καὶ ἀναγκαῖον παρεῖναι τότε μετ' εὐλαβείας τε καὶ χαρᾶς ἅπαντας σχεδὸν τοὺς πιστοὺς, καὶ πιστεύειν ὡς πάρεισιν ἄγγελοι, οἳ χαίρουσιν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· καὶ ὅτι παραδίδοται τότε ὁ βαπτιζόμενος ἁγίῳ ἀγγέλῳ φύλακι· καὶ οὗτος ἔσται πάντοτε μετ' αὐτοῦ, τὰ φθονερὰ διώκων δαιμόνια, καὶ πᾶσαν ἐπήρειαν τοῦ δολιωτάτου ἐχθροῦ, εἴγε μόνον ὁ βαπτισθεὶς καθαρὸν τηρήσει πίστει καὶ ἔργοις τὸ βάπτισμα, καὶ εἰς τὴν βασιλείαν διασώσει τοῦτον τῶν οὐρανῶν. Ὅτι οὖν μέγιστον τὸ ἔργον τοῦ θειοτάτου βαπτίσματος, διὰ τοῦτο πρότερον καὶ ἡ Ἐκκλησία διὰ τῶν ἀρχιερέων ἐν ταῖς καθολικαῖς ἐκκλησίαις ἐποιεῖτο τὰ τῶν προσερχομένων βαπτίσματα, καὶ καθ' ὃν καιρὸν ἐν ταῖς ἑορταῖς τῇ θείᾳ λειτουργίᾳ, τὸ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, » ψάλλομεν, καὶ μάλιστα δὴ τῷ μεγάλῳ Σαββάτῳ πρὸ τῆς θείας ἱερουργίας, τῶν πολλῶν ἀναγινωσκομένων ἀναγνωσμάτων ἀπὸ τῶν θείων προφητῶν. Ἐπειδὴ τὸ ἱερώτατον βάπτισμα καὶ ἀναγέννησίς ἐστι, καὶ ἀνάπλασις, κάθαρσίς τε καὶ φωτισμὸς καὶ υἱοθεσία, καὶ χάρισμα καὶ ἁγιασμὸς, καὶ μυρία ὅσα φασὶν οἱ Πατέρες. Τυποῖ δὲ ἐξαιρέτως τὸν θάνατον τοῦ Χριστοῦ, καὶ τὴν τριήμερον ἔγερσιν. Ὃ δὴ καὶ ὁ καιρὸς ἐκεῖνος καθαρώτερον παριστᾷ. Ἀπὸ γὰρ τοῦ θανάτου τοῦ Χριστοῦ καὶ τῆς τριημέρου ταφῆς καὶ τῆς ἀναστάσεως τὴν ἀθανασίαν καὶ ἀφθαρσίαν ἐλάβομεν, καὶ τὴν μέλλουσαν ἐκείνην ἐλπίζομεν ἀνάστασίν τε καὶ ἀνακαίνισιν, καὶ ζωὴν τὴν αἰώνιον, ἧς γέγονε Χριστὸς ἀπαρχὴ, ὁ μόνος ὢν ἀναμάρτητος, παθὼν ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ὁ μὴ ὀφείλων ἀποθανεῖν, ὡς μὴ ἁμαρτήσας ὅλως, ὑπὲρ ἡμῶν ἀποθανών. Ἡ γὰρ ἁμαρτία τοῦ θανάτου ἐστὶ τὸ κέντρον, ὡς Ἡσαΐας καὶ Παῦλος λέγουσιν, ἤτοι ἡ ἀρχὴ καὶ ῥίζα καὶ πρόξενος. Αὐτὸς δὲ ὁ Χριστὸς μὴ πεποιηκὼς ἁμαρτίαν, καὶ μὴ ὀφείλων ἀποθανεῖν, ἀπέθανε δι' ἡμᾶς· καὶ διὰ τοῦτο καταργήσας τὸν θάνατον, ἐξεγήγερται, καὶ τὰ ἡμέτερα πάθη καὶ τὴν κατάκρισιν ἔλυσε, παθὼν ὁ ἀπαθὴς δι' ἑαυτοῦ· γενόμενός τε ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, εἰς τοὺς οὐρανοὺς ἀνελήφθη. Καὶ οἱ ἐνδεδυμένοι

A pœnitentiam agente, necnon baptizatum tunc committi sancto angelo custodi, qui semper erit cum eo mortifera profligans dæmonia omnemque dolosissimi inimici insultum, modo tantum baptizatus purum custodiat fide et operibus baptismum, eumque in regnum cœlorum salvabit. Igitur quoniam maximum est opus divini baptismatis, ideo prius Ecclesia per pontificis in catholicis Ecclesiis conferebat baptismum accedentibus et in tempore quo in divino sacrificio psallimus : « Quicumque in Christo baptizati estis, » et præcipue in magno Sabbato ante divinum sacrificium, pluribus lectis e divinis prophetis lectionibus; quoniam baptismus sanctissimus regeneratio est, et renovatio, et purgatio, et illuminatio, et filiorum
B adoptio, et gratia, et sanctificatio et sexcenta alia quæ dixerunt Patres. Refert autem in primis mortem Christi et resurrectionem tertia die factam, quod tempus illud proprie declarat, quippe a morte Christi ejusque triduana sepultura et resurrectione immortalitatem et incorruptionem accepimus, futuramque illam exspectamus resurrectionem et renovationem æternamque vitam cujus primitiæ factus est Christus qui quum solus sit sine peccato passus pro nobis peccatoribus, licet mori non deberet utpote omnino peccati immunis, pro nobis mortuus est. Nam peccatum est mortis aculeus, ut dicunt Isaias et Paulus, seu principium, radix atque auctor. Ipse vero Christus etsi peccatum non
C fecisset, neque deberet mori, pro nobis mortuus est, et, morte devicta resurrexit, passionesque nostras et damnationem solvit patiendo qui per se erat impassibilis; factus quoque dux vitæ nostræ in cœlos assumptus est, et nos qui illum in baptismo induimus a cœlo eum exspectamus, quando nos resuscitabit et incorruptibilitatem prorsus tribuet cujus arrhas modo per baptismum dedit. Similiter et in omni tempore necessarium est baptizare, ne quid incommodi fortasse accidat et aliquis non sanctificatus decedat, id est sine baptismo, et ingens inde erit damnum; qui enim non baptizatus fuerit, non salvus erit. Oportet autem, quantum fieri potest, baptismos cum solemnitate et potestate conferri, sacerdotemque esse diligentem et so-
D brium, nam maximum Dei opus operatur, nempe hominis instaurationem. Sed ad propositum redeamus. Præeunte pontifice, adducit baptizatum sponsor ad sacram piscinam, præs libenter accedentem. Adstat pontifex Christum ipsum referens, ejus habens potestatem, et repletur piscina aqua Jordanem exprimens. Accenduntur etiam lumina quibus ostenditur Spiritus illuminatio, et qui a baptizatus ex tenebris venit ad lucem et jam fit filius lucis. Circum altare thus incendit pontifex, bonum odorem et sanctificationem Spiritus significans, qui omnem luit peccatorum fœtorem, sanctus enim Spiritus. Deinde benedicit et celebrat pontifex regnum sanctæ Trinitatis unius Dei, nam ipsa regnat sola, et nunc regnavit a maligno eripiens mundo regeneratum.

Postea dictis a diacono pacis precibus et obsecra- A tionibus, et populo clamante: Kyrie, eleison, nam vere magna ibi decernitur misericordia, in filium adoptato eo qui prius erat peccator et inimicus, pontifex pro semetipso ore suo precatur postulans ut a Deo puritatem et propitiationem inveniat, ne dum alios purgat, ipse peccatis inquinatus inveniatur; virtutem etiam deposcit et gratiam bene et convenienti modo mysterio ministrandi. Magnum enim est mysterium angelis circumstantibus, Christo formam aquis largiente, Spiritu sancto adveniente, et baptizato ex polluto et peccatore et immundo et inimico et corrupto jam sancto et puro, et filio Dei et incorruptibili facto. O magnam gratiam! O donum Dei! O ingentem erga nos beneficientiam et gratiam! Ideo completis precibus, B pontifex ab oratione exsurgens: « Magnus es, Domine, clamat, et mirabilia opera tua. » Quod ter iterat, trinitatem deitatis laudans, et benefacientem magnificans. Deinde ad incarnatum pro nobis Dei Filium orationem erigens, ejusque a principio omnia exponens miracula, mysterium ejus et incarnationem ex Virgine in Spiritu factam in memoriam revocat ejusque in Jordane baptismum quo nos instauravit confringens capita draconum in aqua, prout dixit Propheta. Ideo deprecatur eum ut adsit per advenientem Spiritum sanctum et aquam sanctificet, nam indivisus est Filius a Patre et Spiritu, et communis est eis gratia. Ter aquam manu in formam crucis signat, Christum repræsentans, C et flagitat ut eam faciat fontem immortalitatis et cætera. Deinde brevi elapso tempore, rursus in aquam ter insufflat divinam ei gratiam copiosiorem infundens, Christum imitans, et illud: « Et Spiritus Dei ferebatur super aquas, » rursum per baptisma fieri comprobans. Illam quoque iterum manu signat crucem figurans, et ait: « Confringantur a signaculo signi crucis tuæ omnes adversariæ potestates. » Cætera autem dicit ut spiritalis sit aqua atque sancta neque in ea lateat quidquam maligni, sed potius fiat ei adversaria eumque propellat, et possit baptizatos in ea reficere, sanctificare et filios reddere et liberos lucis efficere. Sic igitur deprecatus et data pace quæ est Jesus Christus, ibi enim D adest pax quæ exsuperat omnem sensum Christus, ipse quoque pacem accipit pontifex. Et inclinato capite, in semetipso iterum precatur, in tranquillitate, pacificum et placidum ubique advocans Jesum dicendo: « Tu qui in Jordanem ingressus aquas sanctificasti, accipe nos servos tuos coram te procidentes, et sanctifica aquas istas et nos, fiantque nobis in sanitatem animæ et corporis. » Et exsurgens, monstrans Christum nos lapsos erigere hymnis eum celebrat tanquam omnium sanctificatorem. » Tunc ergo plena est piscina Spiritus, et sancta aqua quæ invisibiliter Christum gerit in semetipsa. Sed cum oporteat etiam eam esse signum divinæ misericordiæ, hoc quoque facit sanctum oleum; aquæ enim significat ablutionem et purgationem, et

ἡμεῖς αὐτὸν τῷ βαπτίσματι, ἀπ' οὐρανοῦ αὐτὴν ἐκδεχόμεθα· ὅτι καὶ ἀναστήσει ἡμᾶς, καὶ τὴν ἀφθαρσίαν τελέως χορηγήσει, ἧς τοὺς ἀῤῥαβῶνας νῦν διὰ τοῦ βαπτίσματος δέδωκεν. Ὅμως καὶ ἐν παντὶ καιρῷ ἀναγκαῖόν ἐστι βαπτίζειν, μή ποτέ τι κώλυμα γένηται, καί τις ἀπέλθῃ ἀμύητος, τουτέστι χωρὶς βαπτίσματος. Καὶ πλείστη ἐκ τούτου ἔσται ζημία. Ὁ γὰρ μὴ βαπτισθεὶς οὐ σωθήσεται. Δέον δὲ ὅσον ἐγχωρεῖ ποιεῖν τὰ βαπτίσματα μετὰ λαμπρότητός τε καὶ εὐλαβείας. Τὸν ἱερέα τε χρὴ προσεκτικὸν καὶ νηφάλιον εἶναι. Τοῦ Θεοῦ γὰρ τὸ μέγιστον ἔργον διενεργεῖ, τὴν τῶν ἀνθρώπων ἀνάπλασιν. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἔλθωμεν. Τοῦ ἀρχιερέως προηγουμένου, προσάγει τὸν βαπτιζόμενον ὁ ἀνάδοχος τῇ ἱερᾷ κολυμβήθρᾳ· ὁ ἐγγυώμενος τὸν ἑκουσίως προσερχόμενον. Καὶ ἵσταται ὁ ἀρχιερεὺς, τὸν Χριστὸν αὐτὸν ἐκτυπῶν, τὴν αὐτοῦ δύναμιν ἔχων. Καὶ πληροῦται ἡ κολυμβήθρα ὕδατος, τὸν Ἰορδάνην τυποῦσα. Καὶ ἀνάπτονται φῶτα, τὸν φωτισμὸν δηλοῦντα τοῦ Πνεύματος· καὶ ὅτι ὁ βαπτιζόμενος ἐκ τοῦ σκότους ἔρχεται πρὸς τὸ φῶς, καὶ υἱὸς φωτὸς ἤδη γίνεται. Θυμιᾷ τε κύκλῳ τὴν κολυμβήθραν ὁ ἀρχιερεὺς, τὴν εὐωδίαν καὶ ἁγιωσύνην δηλῶν τοῦ Πνεύματος, τοῦ πᾶσαν δυσωδίαν ἁμαρτημάτων ἐκπλύνοντος. **81** Ἅγιον γὰρ τὸ Πνεῦμα. Εἶτα εὐλογεῖ καὶ ὑμνεῖ τὴν βασιλείαν τῆς ἁγίας Τριάδος τοῦ μόνου Θεοῦ ὁ ἀρχιερεύς. Μόνη γὰρ αὕτη βασιλεύει· καὶ ὅτι νῦν ἐβασίλευσεν, ἐκ τοῦ πονηροῦ ῥυσαμένη τὸν ἄρτι ἀναγεννώμενον. Εἶτα λεγομένων τῶν εἰρηνικῶν προσευχῶν καὶ αἰτήσεων παρὰ τοῦ διακόνου, καὶ τοῦ λαοῦ τὸ, « Κύριε, ἐλέησον, » ἐκβοῶντος· ὄντως γὰρ ἐκεῖσε τὸ τοῦ Θεοῦ μέγα ἐπιβραβεύεται ἔλεος, υἱοθετουμένου τοῦ πρὶν ἐχθροῦ τε καὶ ἐναγοῦς, ὁ ἀρχιερεὺς εἰς ἑαυτὸν εὔχεται ὑπὲρ ἑαυτοῦ, ζητῶν ἐκ Θεοῦ κάθαρσίν τε καὶ ἱλασμὸν εὑρεῖν, ἵνα μὴ ἄλλους καθαίρων, αὐτὸς μεμολυσμένος ταῖς ἁμαρτίαις εὑρεθῇ. Καὶ ἰσχὺν ἐξαιτεῖται καὶ χάριν, καλῶς τε καὶ ὡς πρέπον ἐστὶν ἐξυπηρετῆσαι τῷ μυστηρίῳ. Μέγα γὰρ τὸ μυστήριον, ἀγγέλων περιισταμένων, Χριστοῦ μορφουμένου τοῖς ὕδασι, Πνεύματος ἁγίου ἐπιφοιτῶντος, καὶ τοῦ βαπτιζομένου ἀπὸ ῥερυπωμένου καὶ ἁμαρτωλοῦ καὶ ἀκαθάρτου καὶ ἐχθροῦ καὶ φθαρτοῦ ἁγίου γινομένου καὶ καθαροῦ καὶ υἱοῦ Θεοῦ καὶ ἀφθάρτου. Ὢ τῆς μεγάλης χάριτος! ὢ τῆς δωρεᾶς τοῦ Θεοῦ! ὢ τῆς πρὸς ἡμᾶς εὐεργεσίας καὶ χάριτος! Διὸ καὶ πληρωθεισῶν τῶν αἰτήσεων, ἐξαναστὰς ὁ ἀρχιερεὺς ἀπὸ τῆς εὐχῆς, « Μέγας εἶ, Κύριε, ἐκβοᾷ, καὶ θαυμαστὰ τὰ ἔργα σου. » Καὶ τοῦτο ἀνακράζει τρὶς, τὸ τρισσὸν ἀνυμνῶν τῆς Θεότητος, καὶ μεγαλύνων τὸν εὐεργέτην. Εἶτα πρὸς τὸν σαρκωθέντα ὑπὲρ ἡμῶν Υἱὸν τοῦ Θεοῦ τὴν εὐχὴν ἀναφέρων, καὶ τὰ ἀπαρχῆς τούτου πάντα καταλέγων θαυμάσια, τέλος καὶ τὴν σάρκωσιν εἰς ὑπόμνησιν ἄγει τούτου τὴν ἐκ Παρθένου ἐν Πνεύματι, καὶ τὸ βάπτισμα ἐν τῷ Ἰορδάνῃ, δι' οὗ ἡμᾶς ἀνέπλασε, συντρίψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, ὡς ὁ Προφήτης φησίν. Ὅθεν καὶ παρεῖναι αὐτὸν ἐκδυσωπεῖ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, καὶ ἁγιάσαι τὸ ὕδωρ. Ἀχώριστος γὰρ ὁ Υἱὸς

τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ κοινὴ ἡ χάρις αὐτοῖς. Καὶ σφραγίζει τρὶς τῇ χειρὶ σταυροειδῶς τὸ ὕδωρ, τὸν Χριστὸν ἐντυπῶν αὐτῷ. Καὶ ποιῆσαι αὐτὸ εὔχεται ἀφθαρσίας πηγήν, καὶ τὰ λοιπά. Εἶτα μετ' ὀλίγον πάλιν ἐμφυσᾷ τῷ ὕδατι τρίτον, τὴν θείαν χάριν αὐτῷ ἀσφαλέστερον ἐντιθείς, μιμούμενος τὸν Χριστόν, καὶ τό, «Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος,» διὰ τὸ βάπτισμα, ἐξαρχῆς εἶναι μαρτυρῶν. Καὶ σφραγίζει αὐτὸ πάλιν τῇ χειρὶ σταυρὸν ἐκτυπῶν, καί φησι, «Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ σταυροῦ σου πᾶσαι αἱ ἐναντίαι δυνάμεις.» Καὶ τὰ λοιπὰ δὲ λέγει, ὥστε πνευματικὸν εἶναι τὸ ὕδωρ καὶ ἅγιον, καὶ μηδὲν ὑποκρυβῆναι τούτῳ τοῦ πονηροῦ, ἀλλὰ μᾶλλον ἐναντίον αὐτῷ καὶ διωκτήριον εἶναι τοῦτο, καὶ ἀναπλάττειν καὶ ἁγιάζειν καὶ υἱοθετεῖν τοὺς βαπτιζομένους ἐν τούτῳ δυνάμενον, καὶ φωτὸς τέκνα ποιεῖν. Οὕτως οὖν ἐπευξάμενος, καὶ εἰρήνην δούς, ὅς ἐστιν Ἰησοῦς Χριστός, πάρεστι γὰρ ἐκεῖσε ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη Χριστός, καὶ ἀντιλαβὼν τὴν εἰρήνην ὁ ἱεράρχης, καὶ κλίνας τὴν κεφαλήν, καθ' ἑαυτὸν πάλιν εὔχεται, ἐν ἡσυχίᾳ, τὸν εἰρηνικὸν καὶ ἡσύχιον καὶ πανταχοῦ προσκαλούμενος Ἰησοῦν, «Σύ, λέγων, ὁ ἐν Ἰορδάνῃ παραγενόμενος καὶ ἁγιάσας τὰ ὕδατα, δέξαι καὶ ἡμᾶς δουλικῶς σοι προσπίπτοντας· καὶ ἁγίασον ταῦτα τὰ ὕδατα καὶ ἡμᾶς· καὶ γενέσθωσαν ἡμῖν εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.» Καὶ ἀναστάς, δεικνὺς ὅτι πεσόντας ἡμᾶς Χριστὸς ἀνήγειρεν, ἀνυμνεῖ, ἐκφωνήσας τοῦτον ὡς πάντων ἁγιασμόν. Τότε τοίνυν πλήρης ἡ κολυμβήθρα τοῦ Πνεύματος, καὶ ἅγιον τὸ ὕδωρ, καὶ τὸν Χριστὸν φέρον ἀοράτως ἐν ἑαυτῷ. Ἐπεὶ δὲ καὶ τὸν τύπον τοῦ θείου ἐλέους παρεῖναι δεῖ, καὶ ἅγιον ἔλαιον ἐνεργεῖται. Τὸ μὲν γὰρ ὕδωρ σημαίνει τὴν ἔκπλυσίν τε καὶ κάθαρσιν, καὶ ἤδη ἡγίασται· τὸ ἔλαιον δὲ τὸ θεῖον ἔλεος δείκνυσι, καὶ τὸ ἱλαρὸν αὐτοῦ τῆς χρηστότητος. Ὃ δὴ καὶ τοῖς τετραυματισμένοις παρὰ τοῦ κοινοῦ ἐχθροῦ καὶ μωλωπισθεῖσι παρέχεται, ὡς ἐν τοῖς Εὐαγγελίοις φησὶ **82** Χριστός. Τοῦτο καὶ ἐπὶ τοῦ Νῶε ἐδείχθη. Περιστερὰ γὰρ ἦλθε τοῖς εἰς τὸ ὕδωρ ἔτι οὖσι μετὰ τῆς κιβωτοῦ, κάρφος ἐλαίας τῷ στόματι φέρουσα. Καὶ τὸ μὲν ὕδωρ τὸ βάπτισμα προετύπου, ἡ περιστερὰ δὲ τὸ Πνεῦμα τὸ ἅγιον· τὸ κάρφος δὲ τῆς ἐλαίας ὃ ἐν τῷ στόματι ἔφερεν, εἰς δεῖγμα τοῦ ἐλέους ἦν, καὶ τῆς ἀπείρου τοῦ Θεοῦ χρηστότητος. Ὅθεν καὶ ὧδε ἐν τῷ βαπτίσματι ἔλαιον προσάγεται ἅγιον. Ἁγιάζεται δὲ οὕτως· προσάγεται δι' ἀγγείου τινὸς καθαροῦ τῷ ἀρχιερεῖ, ἢ τῷ ἱερεῖ, εἰ μὴ πάρεστιν ὁ ἀρχιερεύς· καὶ ἐμφυσᾷ τούτῳ. Καὶ σφραγίζει τρίτον τύπῳ σταυροῦ τῇ χειρί, τῷ μὲν ἐμφυσήματι τὴν χάριν τοῦ Πνεύματος δηλῶν, ἣν ἔλαβεν ἀπὸ τοῦ Χριστοῦ τῷ ἐν τοῖς ἀποστόλοις θείῳ ἐμφυσήματι ὁ ἀρχιερεύς· τῷ σταυρῷ δὲ τυπῶν αὐτὸν τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν, ὃς διὰ τοῦ σταυροῦ τὴν σωτηρίαν ἡμῖν ἐτέλεσε. Διὸ καὶ τελειοποιὸς αὐτὸς ὁ σταυρός, καὶ χωρὶς σταυροῦ οὐδὲν τελεῖται τῶν θείων. Εἶτα κλίνας τὴν κεφαλήν, ἐπεύχεται ἁγιασθῆναι τὸ ἔλαιον τῷ ἁγίῳ Πνεύματι, ὑπ' αὐτοῦ τοῦ καὶ ἐπὶ Νῶε τὸ κάρφος τῆς ἐλαίας διὰ περιστερᾶς ἀποστείλαντος, καὶ ἐν τῷ νόμῳ τοῦτο δεδωκότος τὸ ἔλαιον, καὶ τοῖς ἀποστόλοις παρεσχηκότος. Τελέσας δὲ τὴν εὐχήν, καὶ εὐχαριστήσας, ἐγχέει πρῶτον τῷ ὕδατι σταυροειδῶς τὸ ἁγιασθὲν ἅγιον τρίς, τὸ πολυύμνητον ᾄδων ᾆσμα, τὸ Ἀλληλούϊα.

jam sanctificata est; oleum vero divinam patefacit misericordiam et bonitatis ejus dulcedinem, quam vulneratis et contusis ab hoste communi largitur, prout in Evangeliis ait Christus. Quod etiam in Noe monstratum est, quippe columba rediit ad eos qui in arca super aquas erant ramum olivæ ore ferens. Ramus autem olivæ quod ore ferebat, erat in exemplum misericordiæ, et immensæ Dei bonitatis; ideo hic in baptismate sanctum offertur oleum. Ita vero sanctificatur: affertur in quodam vase mundo ad pontificem, seu ad sacerdotem, si non adest pontifex, et in illud insufflat, et ter illud manu signat signo crucis. Insufflatione quidem gratiam Spiritus manifestat, quam a Christo pontifex accepit quando divino ore in apostolos insufflavit; cruce vero refert ipsum pro nobis crucifixum qui per crucem salutem nobis adimplevit. Ideo perfectos facit crux, et absque cruce nullum ex divinis mysteriis perficitur. Postea caput inclinans deprecatur ut sanctificetur oleum Spiritu sancto, ab ipso qui ad Noe per columbam ramum olivæ emisit, et oleum in lege præscripsit atque apostolis commendavit. Completa autem oratione, actisque gratiis, primo in formam crucis in aquam infundit oleum ter sanctum modo consecratum, insignissimum canens cantum: Alleluia.

ΚΕΦΑΛ. ΞΓ'.

Τί σημαίνει τὸ Ἀλληλούϊα.

Τοῦτο δὲ τὸ ᾆσμα, τὸ Ἀλληλούϊα, οἱ ἐμπνεόμενοι τῷ ἁγίῳ Πνεύματι ἔλεγον προφῆται. Ὃ δὴ ἐπιδημίαν Θεοῦ σημαίνει, καὶ τό, «Ἔρχεται ὁ Θεός, καὶ τοῦτον αἰνεῖτε,» προφητικῶς τεθὲν καὶ ᾀδόμενον, διὰ τὸ μέλλειν τὸν Κύριον ἔρχεσθαι, καὶ κατὰ τὴν πρώτην αὐτοῦ καὶ τὴν δευτέραν παρουσίαν, καὶ τὴν χάριν αὐτοῦ ἀεὶ ἀποστέλλειν ἐν ἡμῖν ἐν ἁγίῳ Πνεύματι. Διὸ καὶ ἀεὶ τὸ ᾆσμα τοῦτο ἡ Ἐκκλησία μέλπει, τὸν Χριστὸν λαβοῦσα, καὶ ἐξ οὐρανοῦ τοῦτον ἐκδεχομένη, ὡς εἰρήκαμεν. Ὁ μὲν οὖν θεῖος Διονύσιος ἐν τῇ ἱερᾷ κολυμβήθρᾳ μύρον ἐγχέεσθαι

CAPUT LXIII.

Quæ sit vis et sententia vocis Alleluia.

Hic est cantus, alleluia, quem sancto Spiritu inspirati dicebant prophetæ. Quod adventum Dei significat, et duplex sonat et istud: *Venit Deus*, et illud, *Ipsum laudate*, prophetice quidem cantatus fuit, quia venturus erat Dominus tam secundum priorem adventum quam secundum posteriorem, et gratiam suam semper erat in nobis in sancto Spiritu emissurus. Ideo semper hoc canticum cantitat Ecclesia, quæ Christum accepit, eumque a cœlo, ut diximus, exspectat. Divus quidem Dionysius in sacra piscina dicit infundi unguentum; nunc vero infunditur oleum

quod est unguenti procemium, postea autem unguentum. At putare licet sanctum Dionysium hoc oleum utpote unguenti procemium unguentum appellare, quoniam in eo quidem baptizatus principium accipit sanctificationis, et ad divina ungitur certamina, posterius autem perfecte confirmatur et sanctificatur atque signatur unguento gratiæ præstantissimo. Ideo de duobus in baptismo fit memoria. Pontifex vero, postquam consecraverit oleum, baptizatum sanctificat. Sed quæ erat necessitas baptizatum postea unguento liniri, si in baptismate esset unguentum? Igitur ex hoc oleo ungit ipse primum jamjam baptizandum dicens: « Ungitur iste oleo lætitiæ in nomine Trinitatis. » Est autem lætitia Spiritus qui nos bene et jucunde salvos facit; clamat enim David: « Redde mihi lætitiam Salutaris tui, et Spiritu principali confirma me. » Deinde a capite per quemdam diaconum aut ministrum totum corpus ungitur; quippe ad divina certamina omnino præparatur, non enim ut cadat accessit, sed ut Christum imitetur quem induit, et contra malignum pugnet et sicut vir decertet; luctantes vero quondam oleo carnem oblinebant. Tunc ergo in aquam ingreditur omnino nudus, quemadmodum natus est et primus plasmatus est homo; sed hic quidem divinam illam primum habebat stolam, et, licet nudus esset, non erubescebat; nunc vero nudus natus in carne fert signa turpitudinis et transgressionis; sed aquam sanctam ingressus peccati quidem turpitudinem rejicit, immortalitatis autem gloriam et indumentum accipit. Illo enim a capite in quo sunt omnes sensus et viget imperii facultas deprehenso, et in aquam semel demerso, pontifex seu sacerdos clamat: « Baptizatur iste servus Dei in nomine Patris, » et statim eum retrahit. Postea demittit iterum dicens: « et Filii, » et iterum retrahit. Et tertio demittit dicens: « et Spiritus sancti. » Et sic eum educit sanctificatum divinissimo baptismate, simul quidem per sanctam Trinitatem eum instaurans et sanctificans, et tres personas in una deitate prædicans, dicendo: In nomine, quod unitatem Divinitatis aperit, deinde Patris, et Filii et Spiritus sancti, quod confessio est trium divinarum indivisibilium et inconfusibilium personarum; simul autem per tres immersiones et eductiones triduanam sepulturam et resurrectionem significans ejus qui pro nobis carne crucifixus est et resurrexit.

A λέγει· νῦν δὲ τοῦτο ἐγχεῖται τὸ ἔλαιον, προοίμιον ὂν τοῦ μύρου· τὸ μύρον δὲ ὕστερον. Ἔστι δὲ λογίσασθαι καὶ τὸν ἱερὸν Διονύσιον, τοῦτο τὸ ἔλαιον ὡς προοίμιον τοῦ μύρου μύρον καλεῖν, ὡς διὰ τούτου μὲν τοῦ βαπτιζομένου ἀπαρχὴν λαμβάνοντος τοῦ ἁγιασμοῦ, καὶ πρὸς τοὺς θείους ἀγῶνας ἀλειφομένου, ὕστερον δὲ ἐνισχυομένου τελείως καὶ τελειουμένου καὶ σφραγιζομένου τῷ τελεωτάτῳ μύρῳ τῆς χάριτος. Διὸ καὶ τῶν δύο τούτων ἐν τῷ βαπτίσματι μέμνηται. Ὁ δὲ ἀρχιερεὺς μετὰ τὸ ἁγιάσαι τὸ ἔλαιον τὸν βαπτισθέντα τελειοῖ. Ἀλλὰ καὶ τίς ἦν χρεία τὸν βαπτιζόμενον ὕστερον μύρῳ χρίεσθαι, εἰ ἐν τῷ βαπτίσματι ἦν τὸ μύρον; Ἐκ τούτου οὖν τοῦ ἐλαίου χρίει πρῶτον αὐτὸς τὸν ἤδη μέλλοντα βαπτισθῆναι, « Χρίεται, λέγων, ὁ δεῖνα B ἔλαιον ἀγαλλιάσεως εἰς τὸ ὄνομα τῆς Τριάδος. » Ἡ ἀγαλλίασις δὲ ὑπάρχει τοῦ Πνεύματος, σώζοντος ἡμᾶς ἀγαθῶς τε καὶ ἱλαρῶς. « Ἀπόδος μοι γὰρ τὴν ἀγαλλίασιν τοῦ Σωτηρίου σου, ὁ Δαβὶδ ἀναβοᾷ, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. » Εἶτα ἀπὸ κεφαλῆς ὑπό τινος διακόνου ἢ ὑπηρέτου ὅλον τὸ σῶμα χρίεται. Πρὸς γὰρ τοὺς θείους ἀγῶνας ὁλοτελῶς εὐτρεπίζεται. Οὐδὲ γὰρ ἵνα ἀναπεπτωκὼς ᾖ, προσῆλθεν, ἀλλ' ἵνα μιμῆται τὸν Χριστὸν, ὃν ἐνδύεται, καὶ κατὰ τοῦ πονηροῦ παλαίῃ τε καὶ ἀνδρίζηται. Καὶ οἱ ἀγωνιζόμενοι δὲ τῇ σαρκὶ ἐλαίῳ πάλαι ἠλείφοντο. Τότε οὖν εἰσάγεται γυμνὸς ὅλος εἰς τὸ ὕδωρ, καθὰ καὶ γεγέννηται, καὶ καθὰ πρῶτον πέπλασται. Ἀλλὰ πρῶτον μὲν εἶχε τὴν θείαν ἐκείνην στολὴν, C καὶ γυμνὸς ὢν, οὐκ ᾐσχύνετο· νῦν δὲ γυμνὸς γεννηθεὶς, ἀπὸ τῆς σαρκὸς φέρει τὰ τῆς αἰσχύνης τῆς παραβάσεως. Πλὴν εἰσελθὼν τὸ ὕδωρ τὸ ἅγιον, τὴν μὲν αἰσχύνην ἀποῤῥίπτει τῆς ἁμαρτίας· τῆς ἀφθαρσίας δὲ τὴν δόξαν ἀπολαμβάνει **83** τε καὶ τὸ ἔνδυμα. Λαβόμενος γὰρ αὐτοῦ ὁ ἱεράρχης ἢ ὁ ἱερεὺς τῆς κεφαλῆς ἐν ᾗ τὰ αἰσθητήρια πάντα καὶ τὸ ἡγεμονικὸν ἐνεργεῖ, καὶ καταδύσας εἰς τὸ ὕδωρ ἅπαξ, ἀναβοᾷ, « Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός, » Καὶ εὐθὺς ἀναδύει τοῦτον. Εἶτα καταδύει πάλιν λέγων, « Καὶ τοῦ Υἱοῦ. » Καὶ πάλιν ἀναδύει. Καὶ ἐκ τρίτου καταδύσας, φησὶ, « Καὶ τοῦ ἁγίου Πνεύματος. » Καὶ οὕτως ἀνάγει τοῦτον τετελεσμένον τῷ θειοτάτῳ βαπτίσματι, ἅμα μὲν καὶ διὰ τῆς ἁγίας Τριάδος αὐτὸν ἀναπλάττων καὶ τελειῶν, καὶ τὰς τρεῖς ὑποστάσεις ἀνακηρύττων ἐν D μιᾷ τῇ Θεότητι, εἰς τὸ ὄνομα λέγων, ὃ δηλοῖ τὸ μοναδικὸν τῆς Θεότητος, εἶτα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὅπερ ἡ ὁμολογία ἐστὶ τῶν τριῶν θείων ἀδιαιρέτων καὶ ἀσυγχύτων προσώπων, ἅμα δὲ διὰ τῶν τριῶν καταδύσεών τε καὶ ἀναδύσεων τὴν τριήμερον ταφὴν καὶ τὴν ἀνάστασιν αἰνιττόμενος τοῦ ὑπὲρ ἡμῶν σαρκὶ σταυρωθέντος καὶ ἀναστάντος.

CAPUT LXIV.

Quod diversa sit sententia formulæ, « Baptizatur servus Dei, » et formulæ, « Ego baptizo servum Dei. »

Dicit: Baptizatur, nequaquam: Ego baptizo, sicut Latini in hoc etiam innovantes, baptizati libertatem testans pontifex. Illud enim: Ego baptizo, non ostendit libenter baptizari eum qui illuminatur, fieri enim potest ut vi quadam et contra voluntatem baptizati tingat eum solus a semetipso baptizator.

ΚΕΦΑΛ. ΞΔ'.

Ὅτι τὸ, « Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, » τοῦ, « Βαπτίζω ἐγὼ τὸν δοῦλον τοῦ Θεοῦ, » διαφέρει.

Βαπτίζεται δὲ, φησὶ, καὶ οὐ, Βαπτίζω ἐγὼ, ὡς οἱ Λατῖνοι κἂν τούτῳ καινοτομοῦντες, τὸ ἑκούσιον τοῦ βαπτιζομένου μαρτυρῶν ὁ ἀρχιερεύς. Τὸ γὰρ, Βαπτίζω ἐγὼ, οὐκ ἐμφαίνει τὸ ἑκουσίως βαπτίζεσθαι τὸν φωτιζόμενον. Ἐνδεχόμενον γὰρ καὶ κατὰ δυναστείαν τινὰ, καὶ παρὰ γνώμην, καὶ αὐτὸν βαπτίζειν

ἀφ' ἑαυτοῦ τὸν βαπτίζοντα μόνον. Τὸ δὲ, « Βαπτίζεται, » καὶ τὸ ἑκουσίως σημαίνει, καὶ παρ' ἐμοῦ τοῦ ἀρχιερέως ἢ ἱερέως, καὶ τὸ ἔργον ἤδη ποιοῦντος καὶ τοῦ ἐν Τριάδι μόνου Θεοῦ, οὗ καὶ τὸ ὄνομα τῷ βαπτιζομένῳ τρανῶς ἐπιλέγεται. Οὕτως οὖν ἀναγεννηθεὶς ὁ βαπτισθεὶς, ἐξέρχεται καινὸς ὅλος καὶ πεφωτισμένος καὶ Υἱὸς Θεοῦ τῆς ἱερᾶς κολυμβήθρας τῆς μητρὸς ἡμῶν τῆς πνευματικῆς, τῆς ἀντὶ τῆς παρθενικῆς καθαρᾶς καὶ ἁγίας μήτρας. Ὡς γὰρ ὁ Χριστὸς ἀπὸ τῆς Παρθένου, ἵνα τὸν ῥερυπωμένον καθάρῃ τόκον, καὶ ἡμεῖς ἀπὸ τῆς ἁγνῆς κολυμβήθρας, καὶ ὡς ἐκεῖ αἷμα καθαρὸν καὶ γαστὴρ ἁγία τῆς Παρθένου ἐν ἁγίῳ Πνεύματι τὴν τοῦ Λόγου εἰργάσατο σάρκωσιν, καὶ ἐν ἡμῖν ὕδωρ καθαρὸν τῆς κολυμβήθρας καὶ Πνεῦμα θεῖον τὴν καθαρὰν ἀναγέννησιν ἐξετέλεσε. Πλὴν ὥσπερ ἐκεῖσε ἐν τῷ τοῦ Σωτῆρος βαπτίσματι καὶ Πνεύματος κάθοδος ἦν, ἵνα δείξῃ ὅλον τὸ πλήρωμα ἐν τῷ σαρκωθέντι σωματικῶς τῆς Θεότητος, καὶ ἐν ἡμῖν τὸ χρίσμα τοῦ μύρου μετὰ τὸ βάπτισμα, ἵνα καὶ ἡμεῖς λάβωμεν τὴν χάριν τοῦ Πνεύματος. « Ἐκ τοῦ πληρώματος αὐτοῦ γὰρ, φησὶ, καὶ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος. »

A Hoc autem : Baptizatur, et liberam voluntatem significat, et intelligitur istud : A me pontifice seu sacerdote, monstratur opus tum agentis, tum unius in Trinitate Dei, cujus nomen baptizato adjungitur. Baptizatus ergo sic regeneratus egreditur totus novus et illuminatus, Deique filius ac sanctæ piscinæ matris nostræ spiritualis, ex vulva natus pura et sancta pro virginali utero. Quippe Christus ex Virgine genitus ut immundum emundaret partum, ita et nos ex pura piscina, et sicut ibi sanguis purus et venter sanctus Virginis in sancto Spiritu Verbi incarnationem effecit, ita et in nobis aqua munda piscinæ sanctusque Spiritus puram regenerationem perfecit. Præterea quemadmodum ibi in baptismo Salvatoris Spiritus descendit, ut ostenderet corpora- B liter in incarnato habitare omnem plenitudinem divinitatis, ita et in nobis fit unctio unguenti post baptisma, ut nos accipiamus gratiam Spiritus. Ait enim : « Ex plenitudine ejus nos omnes accepimus, gratiam pro gratia. »

ΚΕΦΑΛ. ΞΕ'.

Τί παρέχει τῷ βαπτιζομένῳ τὸ χρίσμα, ἤτοι τὸ μύρον.

Διὸ καὶ τῷ θείῳ τοῦτον παρευθὺς χρίει μύρῳ, ὅπερ οὐχ ἔλαιον μόνον ἐστὶν, ἀλλὰ καὶ ἐκ πλείστων ἄλλων εἰδῶν εὐόσμων συγκείμενον, παριστάνον καὶ ἐν συμβόλοις τὸ πολυδύναμον, καὶ τὸ τῶν ἐνεργειῶν ποικίλον τε καὶ πολυειδὲς τῶν χαρισμάτων τοῦ Πνεύματος, καὶ τῆς αὐτοῦ ἁγιωσύνης τὸ εὔοσμον. Δίδοται οὖν τοῦτο ἡμῖν, καὶ ὡς σφραγὶς Χριστοῦ καὶ σημεῖον, ἐπεὶ καὶ Χριστὸς δι' αὐτὸ τοῦτο κατονομάζεται, ὅτι τὴν τοῦ Πνεύματος ὅλην δύναμιν καὶ σωματικῶς εἶχεν ἐν ἑαυτῷ παρὰ τοῦ Πατρός. Καὶ Ἡσαΐας τοῦτό φησι, « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. » Καὶ ἡμεῖς δὲ ἐξ αὐτοῦ τὴν χάριν λαβόντες ἐν τῷ μύρῳ, Χριστιανοὶ καλούμεθα, καὶ χριστοὶ Κυρίου ἐσμέν· οὐ γὰρ ἀπαξιοῖ κατ' αὐτὸν καλεῖσθαι ἡμᾶς· ὅτι καὶ υἱοὺς Θεοῦ θέσει καλεῖ ὁ κατὰ φύσιν Υἱὸς καὶ θεοὺς κατὰ χάριν ὁ φύσει, καὶ Χριστοὺς ἐν τῇ χάριτι ὁ κατὰ φύσιν ἔχων τὴν χάριν ἐν ἑαυτῷ ὡς **84** τοῦ Θεοῦ Πατρὸς Λόγος καὶ ἀδιαίρετος ὢν τῷ Πνεύματι. Χρίων οὖν τὸν βαπτισθέντα ἤδη ὁ ἀρχιερεὺς οὕτω φησί· « Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. » Ἐκ τούτου δηλῶν, ὡς σημεῖόν ἐστι τοῦ Χριστοῦ τὸ χρίσμα, ἐπεὶ καὶ σταυροτύπως χρίεται ὁ χριόμενος, καὶ τὴν δωρεὰν χορηγεῖ τοῦ ἁγίου Πνεύματος.

CAPUT LXV.

Quid baptizato chrisma sive unguentum conferat ?

Quapropter illum protinus sacro linit unguento, quod non est solum oleum, sed et quoddam compositum ex multis aliis speciebus odorum, symbolice exprimens omnipotentiam variasque operationes et C multiformia Spiritus charismata, ejusque bonum sanctificationis odorem. Istud ergo nobis datur etiam ut sigillum et signaculum Christi, quoniam Christus ideo dixit se in semetipso a patre habere corporaliter omnem Spiritus virtutem ; et Isaias hoc ait : « Spiritus Domini super me, eo quod unxit me ; » nos vero, gratia ex eo in unguento accepta, Christiani vocamur, et Christi Domini sumus ; nam non fastidit ipse nos taliter appellare, quoniam filios Dei per adoptionem vocat qui natura Filius est, et deos secundum gratiam qui natura Dei est, et christos in gratia qui natura gratiam habet in semetipso utpote Dei Patris Verbum a Spiritu indivisum. Idcirco jam baptizatum ungens pontifex sic ait : « Signaculum doni Spiritus sancti. Amen. » Unde D monstrat chrisma esse Christi signum, quoniam in formam crucis unctus linitur, Spiritusque sancti donum largitur.

ΚΕΦΑΛ. ΞϚ'.

Ὅτι δυνάμει πᾶς βαπτισθεὶς καὶ χρισθεὶς ἐν ἑαυτῷ ἔχει τὰ θεῖα χαρίσματα, κατὰ καιρὸν ἀποκαλυπτόμενα, πλὴν τῆς ἱερωσύνης.

Δυνάμει γὰρ ὁ βαπτισθεὶς καὶ χρισθεὶς ἐν ἑαυτῷ ἔχει τὰ θεῖα χαρίσματα· καὶ ἀναλόγως ἀποκαλύπτεται τούτῳ ταῦτα κατὰ καιρὸν, καθόσον ἑαυτὸν ἐκκαθάρῃ, καὶ καθόσον ἄξιον ἑαυτὸν τοῦ ἐνεργεῖν ταῦτα ἐν αὐτῷ ἀποδείξῃ, πλὴν τῆς θείας μόνης ἱερωσύνης. Αὕτη γὰρ ὡς δῶρον ἴδιον, καὶ μόνον ἔργον Θεοῦ, τῇ

CAPUT LXVI.

Quod baptizatus unctusque chrismate, habeat virtute ac potentia in se divinæ gratiæ dotes tempore manifestandas, excepto sacerdotio.

Quippe in potentia baptizatus et unctus in semetipso habet divina mysteria, et convenienter in se ea secundum tempus abscondit quamdiu semetipsum purum exhibuerit et dignum monstraverit ut in eo illa operentur, præter divinum sacerdotium ; istud enim utpote donum proprium et solum opus Dei

a manuum impositione donatur, et nullus, quamvis A miraculum patret, quidquam ex sacerdotis muneribus operabitur absque manuum impositione; sanationes autem facere et prophetare, et munditiam tam corpore quam mente custodire, et vere virginalem vitam ducere, et orationi continuo atque tranquille indulgere, ad charitatem divinam fervere et moveri, divinis illuminationibus dignari atque sacris revelationibus et mysteriis cœlestibusque visionibus ac similibus, fere secundum angelos fieri, ut plures facti sunt, multi absque manuum impositione per gratiam ex baptismo et unguento hanc virtutem consecuti sunt et consequuntur, et talibus digni sunt habiti. Quæ de hac re sufficiunt. Porro ante unctionem, post baptisma, pontifex, baptizato veste induto quæ ab illo benedicitur, gra- B tias Deo agit, laudans eum de salute regenerati in aqua et spiritu; deinde deprecatur ut ille chrismate dignus fiat et per istud dono ac sanctificatione divini Spiritus, nam sanctus monstratur et Christo signatus, et angelis divino unguento notus; et jam non nisi ægre inimicis expugnabilis, tantummodo sit vigilans; flagitat quoque ut ille mysteriorum communicationem consequatur, neque in posterum sit filius carnis, sed filius regni Dei.

CAPUT LXVII.

Quare baptizandi tondentur, induunturque cucullo et humerali sindone.

Post unctionem, sanctissimum scilicet unguentum, tondet capillos capitis ejus in modum crucis, tum quidem quoniam caput habet Christum, et nudato capite debet orare, ut docet Paulus; tum vero quoniam in hac tonsura quoddam signaculum facit; nam in modum crucis eum tondet, ut omnes superfluas cogitationes ejiciat. Quamobrem monachi etiam tondentur. Et omnis fidelis superflua neque usibus vitæ necessaria debet aspernari; insuper ut primitiæ et sacrificium humani corporis a baptizato crines Christo offeruntur, sunt enim velut totius corporis suffimentum. Ideo illos manu tenens, nequaquam ubi fert casus projicit, sed in loco sancto deponit. Igitur ita indutus tunica vir D baptizatus et unctus, cæsisque capillis, cucullum in capite accipiens, qui etiam vocatur capitis tegmen, tunica quidem innocentiam et novam infantiam atque puritatem ostendens, cucullo autem præsidium quod est ex Deo atque sensuum custodiam, plerique enim sensus in capite colliguntur; deinde etiam linteolum candidum ferens quod indumentum quoque dicitur, in signum divini luminis et angelicæ puritatis, nam filius lucis factus est baptizatus, et omnino intemeratus ac purus monstratus est, ita perfectus stat; si ætatem quidem habet, ipse candelam portat in ostensionem et gloriam divinissimæ lucis; si infans, sponsor vice ejus eam portat, et Ecclesiæ cantores canunt: « Qui-

A χειροτονίᾳ χαρίζεται. Καὶ οὐδεὶς ἐνεργήσει τι τῶν ἱερῶν, εἰ καὶ σημειοφόρος, χωρὶς τῆς χειροτονίας. Ἰάματα δὲ ποιεῖν καὶ προφητεύειν καὶ καθαρεύειν σώματί τε καὶ λογισμοῖς, καὶ ἀληθῶς παρθενεύειν, καὶ προσεύχεσθαι διηνεκῶς τε καὶ ἀῤῥεμβάστως, καὶ πρὸς ἀγάπην θείαν θερμαίνεσθαι καὶ κινεῖσθαι, καὶ θείων ἐλλάμψεων ἀξιοῦσθαι, καὶ ἀποκαλύψεων ἱερῶν καὶ μυστηρίων καὶ θεωριῶν οὐρανίων, καὶ τῶν τοιούτων, καὶ κατ' ἀγγέλους σχεδὸν γενέσθαι, ὡς καὶ πλεῖστοι γεγόνασι, καὶ τῆς χειροτονίας χωρὶς πολλοὶ διὰ τῆς χάριτος ἀπὸ τοῦ βαπτίσματος καὶ τοῦ μύρου, δύναμιν ἔσχον τυχεῖν, καὶ τυγχάνουσι, καὶ τῶν τοιούτων καταξιοῦνται. Καὶ ταῦτα μὲν περὶ τούτου. Πρὸ δέ γε τοῦ χρίσματος μετὰ τὸ βάπτισμα ὁ ἀρχιερεὺς, ἐνδυομένου τοῦ βαπτιζομένου B χιτῶνα, ὃς εὐλογεῖται παρ' αὐτοῦ, τὰ τῆς εὐχαριστίας πρὸς Θεὸν ἀναφέρει, ἀνυμνῶν αὐτὸν ὑπὲρ τῆς σωτηρίας τοῦ ἀναγεννηθέντος τῷ ὕδατι καὶ τῷ Πνεύματι. Εἶτα καὶ τοῦ χρίσματος ἀξιωθῆναι ἐκδυσωπεῖ, καὶ τῆς δωρεᾶς δι' αὐτοῦ καὶ τῆς ἁγιωσύνης τοῦ θείου Πνεύματος. Ἅγιος γὰρ ἀναδείκνυται καὶ ἐσφραγισμένος Χριστῷ, καὶ ἐπιγνωστὸς τοῖς ἀγγέλοις τῷ θείῳ μύρῳ, καὶ τοῖς ἐχθροῖς οὐχ ἁλώσιμος, εἰ μόνον γρηγορῶν εἴη. Καὶ τῆς κοινωνίας δὲ τούτον τῶν μυστηρίων ἐπιτυχεῖν ἐξαιτεῖται, καὶ μὴ τέκνον ἔτι σώματος εἶναι, ἀλλὰ τέκνον τῆς τοῦ Θεοῦ βασιλείας.

ΚΕΦΑΛ. ΞΖ'.

C *Διατί ἡ κουρὰ ἐν τοῖς βαπτιζομένοις τελεῖται, καὶ τὸ ἔνδυμα τοῦ κουκουλίου καὶ τοῦ ἀναβόλου.*

Μετὰ τὸ χρίσμα, τὸ πανάγιόν φημι μύρον, κείρει τὰς τῆς κεφαλῆς αὐτοῦ σταυροειδῶς τρίχας, ἅμα μὲν καὶ διὰ τὸ κεφαλὴν ἔχειν τὸν Χριστὸν, καὶ ἀπερικαλύπτως ὀφείλειν προσεύχεσθαι, ὡς καὶ ὁ Παῦλος διδάσκει, ἅμα δὲ καὶ ὡς σφραγῖδά τινα τοῦτο ποιῶν, τὴν κουρὰν, ἐπεὶ καὶ σταυροειδῶς τοῦτον κείρει, ἵνα καὶ πᾶν περιττὸν τῶν ἐννοιῶν ἀποῤῥίπτῃ. Διὸ δὴ καὶ οἱ μοναχοὶ ἀποκείρονται. Καὶ πᾶς πιστὸς τὰ περιττὰ καὶ μὴ τοσοῦτον εἰς χρῆσιν παραιτεῖσθαι ὀφείλει. Ἔτι δὲ καὶ ὡς ἀπαρχὴ καὶ θυσία τοῦ ἀνθρωπείου σώματος ἀπὸ τοῦ βαπτισθέντος αἱ τρίχες Χριστῷ προσφέρονται. Τοῦ γὰρ ὅλου σώματος ὡς ἀναθυμίασίς εἰσι. Διὸ καὶ ὁ ἱεράρχης ταύτας λαβὼν, D οὐχ ὡς ἔτυχε ῥίπτει, ἀλλ' ἐν τόπῳ ἱερῷ τίθησιν. Οὕτω μὲν οὖν ἐνδυσάμενος χιτῶνα ὁ βαπτισθεὶς, καὶ χρισθεὶς, καὶ ἀποκαρεὶς, καὶ κουκούλιον ἐν τῇ κεφαλῇ λαβὼν, ὃ δὴ καὶ περικεφαλαία καλεῖται, καὶ τὸ μὲν διὰ τὴν ἀκακίαν καὶ τὸ νηπιῶδες ἔτι καὶ καθαρὸν, τὸ δὲ εἰς σκέπην τὴν ἀπὸ τοῦ Θεοῦ καὶ φυλακὴν τῶν αἰσθητηρίων, αἱ πλεῖσται γὰρ αἰσθήσεις καθίδρυνται ἐν τῇ κεφαλῇ, εἶτα καὶ χιτῶνα λευκὸν ἐπάνω φορέσας, ὃ καὶ ἀναβόλιον λέγεται, εἰς τύπον τοῦ θείου φωτὸς, καὶ τῆς ἀγγελικῆς **85** καθαρότητος, υἱὸς γὰρ φωτὸς ὁ βαπτισθεὶς, καὶ ὅλος ἄσπιλός τε καὶ καθαρὸς ἀπεδείχθη, οὕτω τελεσθεὶς, ἵσταται. Εἰ μὲν ἐν ἡλικίᾳ ἐστὶ, λαμπαδηφοροῦντος αὐτοῦ εἰς ἔνδειξίν τε καὶ δόξαν τοῦ θειοτάτου φωτός· εἰ δέ γε βρέφος, λαμπαδηφοροῦντος τοῦ ἀναδόχου χάριν αὐ-

τοῦ, οἱ μὲν τῆς ἐκκλησίας ὑμνῳδοὶ, τὸ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, » ᾄδουσιν· ὁ ἀρχιερεὺς δὲ ἔτι καὶ τὰς λοιπὰς τῶν εὐχῶν τετελεκὼς, ὅπως τῷ βαπτισθέντι τὰ τοῦ βαπτίσματος διαμείνῃ ἀμόλυντα, καὶ τὰ τῆς σφραγῖδος ἀνεξάλειπτα, καὶ τὰ τῆς κουρᾶς γένηται εἰς ἀσφάλειαν τῶν αἰσθητηρίων, καὶ πλεῖω ἕτερα εἰς σωτηρίαν ἐπευξάμενος, καὶ δοξολογήσας τὸν Θεὸν, λαμβάνει χαίρων τὸν βαπτισθέντα πάλιν ἐκ τῆς χειρὸς, τοῦ ἀναδόχου συνεπομένου. Καὶ χορείαν ποιήσας, ὡς τοῖς ἀγγέλοις συγχορεύων καὶ συνηδόμενος, τρὶς τὴν κολυμβήθραν κυκλοῖ, ἐπὶ τῇ πνευματικῇ μητρὶ χαίρων, καὶ ἐπὶ τῷ γεγεννημένῳ Πνεύματι θείῳ ἐξ αὐτῆς. Καὶ τὸ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, » σὺν τοῖς ᾄδουσι μελῳδεῖ. Εἶτα τὸ « Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, » καὶ τὰ ἑξῆς τοῦ Ψαλμοῦ τῶν ὑμνῳδῶν λεγόντων, αὐτὸς τὸν βαπτισθέντα προπορευόμενος, τοῦ θυσιαστηρίου ἔμπροσθεν φέρει, κἀκεῖ τῆς κοινωνίας αὐτῷ τῆς φρικτῆς μεταδίδωσι.

A cunque in Christo baptizati estis. » Pontifex vero completis precibus cæteris, ut baptizato gratia baptismi integra maneat, et sigillum indelebile, et tonsura in tutelam sensuum, pluraque alia ad salutem deprecatus, et glorificans Deum, rursus gaudens baptizatum manu prehendit, consequente sponsore. Jacta insuper chorea, quasi cum angelis saltaret et lætaretur, ter piscinam circuit, de matre spiritali gaudens atque de regenerato ex ea in Spiritu sancto, et illud : « Quicunque in Christo baptizati estis, » cum cantoribus modulatur ac illud : « Beati quorum remissæ sunt iniquitates, » et reliqua illius ex psalmis qui hymnilogi dicuntur ; ipse vero baptizato præiens in conspectum altaris ducit, et ibi eum tremendæ communionis facit partici- B pem.

ΚΕΦΑΛ. ΞΗ'.

Ὅτι τὸ τέλος τοῦ βαπτίσματος καὶ τοῦ μύρου, ἡ κοινωνία τῶν μυστηρίων.

Τοῦτο γὰρ καὶ τὸ τέλος τοῦ μυστηρίου παντὸς, ἵνα τῆς πλάνης ἀπαλλαγέντες καὶ τοῦ ῥύπου τῆς ἁμαρτίας, καθαροί τε γεγενημένοι καὶ ἐσφραγισμένοι Χριστῷ ἐν ἁγίῳ Πνεύματι, τῆς σαρκὸς καὶ τοῦ αἵματος αὐτοῦ τοῦ Χριστοῦ κοινωνήσωμεν, καὶ ἄκρως ἑνωθῶμεν αὐτῷ. Τοῦτο γὰρ ὃ καὶ διὰ τοῦ Προφήτου φησίν· « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· » καὶ ὅπερ αὐτὸς ηὔξατο πρὸς τὸν Πατέρα, λέγων, « Ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς, » καὶ τὸ, « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας. » Ἐπειδὴ ἄχρι τότε διὰ τῶν μυστηρίων καὶ ἀοράτως μεθ' ἡμῶν ἔσται. Τότε δὲ ὡς ἔστιν ὀφθήσεται, ὡς ὁ ἠγαπημένος φησί. Καὶ διὰ τοῦτο σεσάρκωται ἐκ Παρθένου, ἵνα ἡμῖν ἑνωθῇ. Τούτου τε χάριν ἐσταύρωται, καὶ τὸ αἷμα ἐξέχεε δι' ἡμᾶς, ἵν' αὐτοῦ κοινωνῶμεν. Καὶ πρὸ τοῦ σταυροῦ διὰ τῆς ἱερουργίας τὰ μυστήρια δέδωκεν, ἵνα μεθ' ἡμῶν ᾖ, καὶ κοινωνοὶ ὦμεν αὐτοῦ, νῦν τε καὶ ἐν τῷ μέλλοντι, καὶ τῶν ἀγαθῶν αὐτοῦ μετέχωμεν πάντες, ὅτι τοῦτο ἠγάπησε. Καὶ ὁ Πατὴρ αὐτοῦ οὕτω τὸν κόσμον ἠγάπησεν, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Καὶ διὰ τοῦτο παραπλησίως κεκοινώνηκε σαρκός τε καὶ αἵματος, ἵνα κοινωνίαν ἔχωμεν μετ' αὐτοῦ. Ὅτι οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος, ὡς πάλιν ὁ ἠγαπημένος φησίν. Αὐτῷ τῷ ἀληθινῷ φωτὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν

CAPUT LXVIII.

Quod finis et scopus baptismi et chrismatis sit communio mysteriorum.

Illud enim finis est omnis mysterii, ut remoti ab errore et a sordibus peccati, purique facti et Christo signati in sancto Spiritu, carnem et sanguinem ipsius Christi communicemus, et arcte ei conjungamur. Hoc enim dixit per prophetam : « Inhabitabo in eis, et perambulabo ; » et quod ipse petebat a Patre dicens : « Ut sint unum sicut et nos ; » et illud : « Ecce vobiscum sum omnibus diebus ; » nam usque ad ultimum diem mysteria invisibiliter erit nobiscum ; tunc autem sicuti est videbitur, ut dixit dilectus discipulus. Propterea etiam incarna- C tus est ex Virgine, ut nobis adunetur ; hujus causa crucifixus est, et sanguinem propter nos effudit ut illum in communione accipiamus, et ante crucem per sacrificium dedit mysteria ut nobiscum sit, et nos ejus participemus, quoniam hoc dilexit, et Pater ejus ita mundum dilexit ut Filium suum unigenitum daret, ut omnis qui credit in eum non pereat, sed habeat vitam æternam. Propterea similiter participavit carni et sanguini, ut nos habeamus communionem cum eo, quoniam hic est verus Deus et vita æterna, ut rursum ait dilectus apostolus ; ipsi veræ luci gloria in sæcula. Amen.

Ὁ μὲν οὖν ἀρχιερεὺς μετὰ τὸ μεταδοῦναι τῷ βαπτισθέντι τῆς κοινωνίας, εὐχαριστήσας τῷ Σωτῆρι, καὶ ἀπολύσας, εὐλογήσας τε τὸν βαπτισθέντα μετὰ τοῦ ἀναδόχου, ἀπέρχεται· ὁ βαπτισθεὶς δὲ εἰς τὸν οἶκον πορεύεται, προπεμπόμενος μετὰ φώτων ὡς υἱὸς φωτὸς ἤδη· καὶ τὸ, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε » οἱ προπέμποντες μελῳδοῦσιν. Ἐνεδύσατο γὰρ ὁ βαπτισθεὶς τὸν Χριστὸν ἐν ἑαυτῷ καὶ ἐμορφώθη Χριστὸς ἐν ἑαυτῷ· καὶ ἡ χάρις αὐτῷ τοῦ Πνεύματος ἐπεδήμησεν. Ὃς δὴ καὶ προσεύχεσθαι καὶ τὰ ἱερὰ ἄμφια, τὸ κουκούλιον δηλαδὴ καὶ τὸ ἀναβόλιον, ὃ καὶ ἐμφώτιον λέγεται, καὶ ἔνδυμα πρότερον ἦν, καὶ οἱ φωτισθέντες ἄνωθεν ἐπενδύοντο, ἄχρι καὶ ἑβδόμης

Igitur pontifex quidem, postquam baptizato D communionem ministravit, gratiis actis Salvatori, et dimittens atque benedicens baptizatum cum sponsore, recedit. Baptizatus autem in domum vadit deductus cum lucernis, ut filius lucis, et illud : « Quicunque in Christo baptizati estis » deducentes concinunt ; quippe baptizatus Christum in semetipso induit, et Christus in eo formatus est, et gratia Spiritus in eum supervenit. Qui orare debet et sacras vestes induere, nempe cucullum et linteolum quod etiam luminosum dicitur indumentum, et prior erat amictus quem illuminati seu baptizati superinduebant usque ad septimam diem

propter sanctum chrisma, et minime salvari, sed in istis vestibus manus detergere utpote consecratus. Verum post hebdomadem, quod ostendit hujus vitæ septies miseræ spatium, debet in templum ad sacerdotem accedere et per eum ablui. Sacerdos cum sacris precibus cum lavat in spongia et aqua in locis capitis et manuum quos sancto linivit unguento, non autem in aliis membris; hæc enim baptizatus lavat in loco solitario ne quid illorum sacrorum nempe aquæ baptismi et unguenti decidens conculcetur. Quamobrem ad hoc qui ætatem habet, a sacerdote moneatur ad vigilandum, ut precetur et aliis in templo congregetur, et purus maneat, et assiduo mysteriis participet, hoc enim vera est vita. Si vero infans est, mater de eisdem admoneatur et præcipiatur ut post hebdomadem infantem abluendum a sacerdote deferat, et omnino ab ipsa lavetur, et aqua lavacri in loco solitario mundoque effundatur. Sed et vestes in quibus per septem dies infantem involvit in secessu debet abluere, et assidue infantem ad communionem mysteriorum afferre; ita enim magis erit servatus et confirmatus a Christo.

A ἡμέρας ἐνδεδῦσθαι ὀφείλει διὰ τὸ χρίσμα τὸ ἅγιον, καὶ μὴ ἀπονίπτεσθαι ὅλως· τοῖς ἀμφίοις δὲ τούτοις ἀποσμήχειν τὰς χεῖρας ὡς ἡγιασμένος ὤν· μετὰ δέ γε τὴν ἑβδόμην ὃ δηλοῖ τῆς ἑπταδικῆς ταύτης ζωῆς τὴν περαίωσιν, προσελθεῖν ἐν τῷ ναῷ καὶ τῷ ἱερεῖ καὶ **86** δι' αὐτοῦ ἀπολούσασθαι, τοῦ ἱερέως δι' εὐχῶν ἱερῶν ἀποπλύναντος αὐτὸν ἐν σπόγγῳ καὶ ὕδατι ἐν οἷς ἠλείψατο τόποις τῆς κεφαλῆς τε καὶ τῶν χειρῶν τὸ ἁγιώτατον μύρον, πλὴν τῶν ἄλλων μερῶν τοῦ σώματος. Ταῦτα γὰρ αὐτὸς ὁ βαπτισθεὶς ἀποπλύνεται ἐν ἰδιάζοντι τόπῳ, ὡς ἂν μὴ τῶν ἁγίων ἐκείνων τι, τοῦ ὕδατος φημὶ τοῦ βαπτίσματος ἢ τοῦ μύρου ἐκπεσὸν, καταπατηθῇ. Διὸ καὶ περὶ τούτου ὁ μὲν ἐν ἡλικίᾳ ὢν φυλάξασθαι παραγγελίαν λαβέτω παρὰ τοῦ ἱερέως, ὡς καὶ τὸ προσεύχεσθαι, καὶ συνάγεσθαι
B τοῖς ναοῖς, καὶ καθαρεύειν, καὶ συνεχῶς μετέχειν τῶν μυστηρίων· τοῦτο γάρ ἐστιν ἡ ὄντως ζωή· εἰ δὲ βρέφος ἐστὶν, ἡ μήτηρ περὶ τούτου ἀσφαλιζέσθω. καὶ παραγγελίαν ἐχέτω, μετὰ τὴν ἑβδόμην ἡμέραν προσαγαγεῖν ἀπολούσασθαι παρ' ἱερέως τὸ βρέφος, ἀποπλυθῆναί τε παρ' αὐτῆς ὁλοσώμως, καὶ τὸ ἀπόλουμα χυθῆναι ἐν ἰδιάζοντι καὶ καθαρῷ τόπῳ. Ἀλλὰ καὶ τὰ ἄμφια ἐν οἷς ἐν ταῖς ἑπτὰ εἴλισσε τὸ βρέφος ἡμέραις, ἰδιαζόντως ἀποπλῦναι ὀφείλει, καὶ συνεχῶς εἰς τὴν κοινωνίαν ἄγειν τῶν μυστηρίων τὸ βρέφος. Οὕτω γὰρ μᾶλλον ἔσται συντηρούμενόν τε καὶ αὐξανόμενον ὑπὸ τοῦ Χριστοῦ.

CAPUT LXIX.

Contra Latinos, quod infantes communione arcere non oporteat.

Nec enim oportet hoc negligere, ut stulte dicunt quidam, in hoc etiam nova molientes, neque infantes a communione amovere: Quoniam, aiunt, nesciunt infantes de quo participant. O verbum insanum simulque absonum! Et quare ergo baptizas? vel quare linis unguento? imo Latini non ungunt, ut didicimus, post baptismum, et omnia eis Ecclesiæ catholicæ sunt contraria. Qui autem recte sapit, quemadmodum ipse in fide infantem Deo offert, et per fidelem sponsorem confessionem facit, et regeneratur in regnum cœlorum infans baptizatus, et linitur unguento et consecratur, et si moriatur, civis fit regni Dei, ita per fidelem ad communionem afferatur, quoniam ipsa est vita æterna. Et sicut qui non renatus fuerit per aquam et Spiritum, non intrabit in regnum cœlorum, ita « qui non manducaverit carnem Filii hominis, » ut ipse dixit Dominus, « et non biberit ejus sanguinem, non habebit vitam æternam. »

Hæc de divino baptismate pro mea virtute summatim et dixi et scripsi vobis, charissimi; et vos ea pro virtute vestra accipite; sermones erunt vobis sublimiores, quia sublimiora sunt mysteria; hæc enim humiles nos propter vos qui nos interrogastis et propter alios etiam non ita in omni parte sciscitantes nec tamen scientes rationes eorum quæ fiunt, scripsimus; propter quam causam vobis de cæteris dicemus sicut postulastis, mysteriis.

ΚΕΦΑΛ. ΞΘ'.

Κατὰ Λατίνων, ὅτι οὐ δεῖ ἀφιστᾷν τὰ βρέφη τῆς κοινωνίας.

C Καὶ μὴ κατά τινας ἀμελεῖν, καὶ ἐν τούτῳ καινοτομοῦντας ἀλόγως, καὶ ἀφιστᾷν τὰ βρέφη τῆς κοινωνίας. Ὅτι οὐκ ἴσασι τὰ βρέφη, φασὶ, τίνος κοινωνοῦσι. Βαβαὶ τῆς ἀλογίας ἅμα καὶ ἀτοπίας! Καὶ διατί βαπτίζεις λοιπόν; ἢ διατί χρίεις τῷ μύρῳ; Μᾶλλον δὲ Λατῖνοι οὐδὲ χρίουσιν, ὡς μανθάνομεν, τῷ βαπτίσματι· καὶ πάντα αὐτοῖς ἐναντία τῇ καθολικῇ Ἐκκλησίᾳ. Ὁ δέ γε ὀρθῶς φρονῶν, ὥσπερ αὐτὸς ἐν πίστει προσάγει τὸ βρέφος τῷ Θεῷ, καὶ διὰ πιστοῦ ἀναδόχου τὴν ὁμολογίαν ποιεῖται, καὶ ἀναγεννᾶται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν τὸ βαπτιζόμενον βρέφος, καὶ χρίεται τῷ μύρῳ καὶ τελειοῦται, καὶ ἀποθνῆσκον, τῆς βασιλείας ἐστὶ τοῦ Θεοῦ, οὕτω καὶ διὰ πιστοῦ προσαγέσθω τῇ κοινωνίᾳ. Ὅτι
D αὕτη ἐστὶν ἡ ζωὴ ἡ αἰώνιος. Καὶ ὥσπερ « ὁ μὴ ἀναγεννηθεὶς δι' ὕδατός τε καὶ Πνεύματος οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, οὕτω καὶ « ὁ μὴ φαγὼν τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου (ὡς εἶπεν αὐτὸς ὁ Κύριος), μηδὲ πιὼν αὐτοῦ τὸ αἷμα, οὐχ ἕξει ζωὴν αἰώνιον. »

Ταῦτα περὶ τοῦ θείου βαπτίσματος κατὰ δύναμιν, ἐν συνόψει εἰρηκὼς, καὶ ἔγραψα ὑμῖν ἀγαπητοὶ, καὶ δεκτέον τὸ κατὰ δύναμιν. Ὑψηλότεροι δὲ λόγοι ἔσονται ὑμῖν παρὰ τῶν ὑψηλοτέρων τὰ θεῖα. Ταῦτα γὰρ οἱ εὐτελεῖς ἡμεῖς δι' ὑμᾶς ἐρωτήσαντας, καὶ διά τινας ἴσως τοὺς πάντη μὴ ἐρευνῶντας, μηδὲ τοὺς λόγους εἰδότας ὅλως τῶν γινομένων, γεγράφαμεν. Δι' ἣν αἰτίαν καὶ περὶ τῶν λοιπῶν ἐροῦμεν ὑμῖν ὡς ἐζητήσατε μυστηρίων.

ΚΕΦΑΛ. Ο'.

Ὅτι χρὴ τὸ ὕδωρ τοῦ βαπτίσματος καὶ τὰ λοιπὰ ἅγια ἀσφαλῶς περιστέλλειν τὸν ἱερέα.

Πλὴν προσεκτέον καὶ ἐν τούτοις, ἀγαπητὲ, τοῖς παρά τισι παρορωμένοις, καὶ δοκοῦσιν ἐκείνοις εἶναι μικροῖς. Καὶ ὁ ἱεράρχης καὶ ὁ ἱερεὺς τοῖς τε λειψάνοις τοῦ ἁγίου ἐλαίου τῆς ἀγαλλιάσεως, μὴ ὡς ἔτυχε χρήσθω, προτύπωσις γὰρ τοῦτο τοῦ θείου μύρου, ἀλλὰ τηρείτω, καὶ ἐν τῇ λυχνίᾳ ἀναλισκέτω τοῦ θυσιαστηρίου, ἐν ἀγγείῳ κεκτημένος καὶ ἰδίῳ τε καὶ ἡγιασμένῳ· καὶ μὴ ὡς τροφὴν χρήσθω. Καὶ τὸ θεῖον ὕδωρ τοῦ βαπτίσματος ἐν ᾧ ἡ ἁμαρτία κατεπόθη, καὶ ὁ Χριστὸς ἦλθε, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐπεδήμησε, καὶ ὁ ἄνθρωπος ἀνεπλάσθη, περιφυλαττέτω, καὶ ἐν τόπῳ ἐκχεέτω ἱερῷ, ἵνα μὴ ὡς ἔτυχεν ἐκχυθὲν καταπατηθῇ ὑπὸ τῶν μὴ εἰδότων τὸ μυστήριον. **87** Τοῦτο τὸ ὕδωρ κατ' οὐδὲν ἐλαττούμενον τοῦ τῶν ἁγίων Θεοφανίων. Ἔτι δὲ καὶ πλείονας δεχόμενόν ἐστιν, εὐχὰς, πρὸς ἀνάπλασιν τοῦ βαπτιζομένου, ἀλλὰ καὶ τὸ ἔλαιον τῆς ἀγαλλιάσεως δέχεται. Διὰ τοῦτο εὐλαβεῖσθαι χρὴ καὶ τιμᾷν αὐτό. Καὶ ταῦτα λέγω διὰ τοὺς ἀγνοοῦντας. Εἶδον γὰρ αὐτὸς πλείστους περὶ ταῦτα ἀμελῶς ἔχοντας, καὶ σχεδὸν ὡς οὐδὲν αὐτὰ ἡγουμένους· καὶ ἐπὶ τούτοις ὡς εἶχον εἰδέναι μηδὲν ὤν, ἐκ βάθους ἐστέναξα.

A

CAPUT LXX.

Quod sacerdotis est aquam baptismi et cætera sacra recte curare.

Cæterum attendendum est in iis, dilecte, rebus quæ a quibusdam despiciuntur istisque parvæ videntur esse. Pontifex et sacerdos reliquis sancti olei lætitiæ nequaquam ut fert casus, utatur; nam illud figura est divini unguenti, sed eas custodiat, in vase proprio et consecrato contentas et in lampade altaris comburat; sed absit ut iis in cibum utatur, et divina baptismatis aqua in qua absorptum est peccatum, et Christus venit, et supervenit Spiritus sanctus, et homo reformatus est, conservetur, et in loco sancto effundatur, ne, utcunque reciderit, effusa a nescientibus myste- B rium conculcetur. Hæc aqua, nequaquam minor quam sanctorum Theophaniorum, aqua, plures complectitur preces ad reformationem baptizati, una cum oleo jubilationis. Idcirco veneratione et honore digna est. Hoc propter ignaros dictum velim. Plerosque enim ob id in incuria constitutos et nihili facientes ipse vidi; et his super ego infimæ conditionis homo, de profundis ingemui.

ΠΕΡΙ ΤΗΣ ΙΕΡΑΣ ΤΕΛΕΤΗΣ

ΤΟΥ ΑΓΙΟΥ ΜΥΡΟΥ.

DE SACRO RITU SANCTI UNGUENTI.

Ἀκόλουθον δ' ἂν εἴη μετὰ τὸ πανάγιον βάπτισμα C καὶ περὶ τοῦ θείου μύρου ἐρεῖν, ὅπως τελεῖται. Ἱκανὰ δὲ καὶ πρότερον περὶ τούτου εἰρήκαμεν, καὶ ὅτι ἐχρήσατο τούτῳ ὁ Σωτὴρ, καὶ ὅτι παραδεδώκασιν οἱ ἀπόστολοι, καὶ ὁ διάδοχος τούτων ἱερὸς Διονύσιος περὶ τούτου λέγει, καὶ ὅτι ἐν τῷ νόμῳ τοῦτο ἦν, εἰ καὶ ἀτελέστερον ἦν ἔτι, δι' οὗ βασιλεῖς ἐχρίοντο καὶ ἀρχιερεῖς· νῦν δὲ πάντες χριόμεθα πιστοὶ, καὶ Χριστιανοὶ διὰ τοῦτο καλούμεθα· τὴν χρίσιν γὰρ παρέχει τοῦ θείου Πνεύματος, αὐτὴν δηλαδὴ τὴν χάριν αὐτοῦ· καὶ ὅτι πάντα μὲν τὰ χαρίσματα, καὶ σωματικῶς ἐδέξατο ὁ Χριστὸς ὁ Σωτὴρ ἡμῶν, ἔχων αὐτὰ καὶ ἐν ἑαυτῷ φύσει, Θεοῦ Λόγος ὤν· « Ἐκ τοῦ πληρώματος δὲ αὐτοῦ, καὶ ἡμεῖς λαμβάνομεν χάριν, » ὡς τὸ Εὐαγγέλιον γράφει, καὶ σφραγὶς τοῦτο Χριστοῦ, καὶ σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου D ἐστί. Καὶ τοῦτο, ὃ διὰ τῶν ἐπιθέσεων τῶν χειρῶν οἱ ἀπόστολοι ἔλαβον. Καὶ διὰ τῶν χειρῶν τῶν Ἀποστόλων οἱ ὑπὸ Φιλίππου βαπτισθέντες ἐδέξαντο. Καὶ οἱ ὑπὸ τοῦ Παύλου μετὰ τὸ βάπτισμα χειροθετηθέντες, οἳ ἔλαβον Πνεῦμα ἅγιον. Ἀντὶ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦτο δέδοται ὑπὸ τῶν ἀποστόλων τοῖς ἐν Χριστῷ βαπτιζομένοις. Ἡ ἐπίθεσις δὲ τῶν χειρῶν, καὶ ἡ τῆς χάριτος ἐπίκλησις, τοῖς

Postquam de sanctissimo baptismate locuti sumus, dicendum esset de divini olei consecratione. Sed prius satis multa de eo diximus, et in memoriam reduximus Dominum Salvatorem eo usum esse, nobisque apostolos illud transmisisse, et de eo successorem eorum sanctum Dionysium locutum esse. Addidimus quod in lege illud erat, etsi minori esset sanctitate, quo reges et summi pontifices ungebantur. Nunc autem omnes ungimus fideles, et ideo Christiani nominamur: unctionem enim nobis præstat divini Spiritus, ipsam nempe hujus gratiam. Omnia quidem charismata et corporaliter accepit Christus Salvator noster, in seipso ea naturaliter possidens, cum Dei Verbum sit. « De plenitudine autem ejus et nos gratiam accipimus, » ut scribit Evangelium. Et illud Christi signaculum et doni Spiritus sancti signaculum est; et illud est quod per impositionem manuum acceperunt apostoli; et quod per manus apostolorum ii qui a Philippo baptizati sunt, suscepere; et ii quibus a Paulo post Baptismum manus impositæ sunt, Spiritum sanctum acceperunt. Impositionis enim manuum loco, illud oleum ab apostolis datum est iis qui in Christo baptizabantur. Impositio vero ma-

rituum et gratiæ invocatio iis qui in sacerdotium ordinati sunt, servata est; qui quidem prius et illam unctionem in baptismo recipiunt et habent jam tanquam Christi unctionem et signum et Spiritui sancti donum. Accipiunt vero per manuum pontificum impositionem, et ordinationem et in ignearum linguarum forma Spiritus adventum. « Sedit, inquit enim, super unumquemque eorum; et repleti sunt omnes Spiritu sancto. »

CAPUT LXXI.

De apparatu et elixatione sancti unguenti.

Ita igitur sanctissimum unguentum consecratur. Sanctissimus patriarcha, clero circumstante, quoniam ipse est fons sacerdotii, et qui cum eo sunt sacerdotium ab eo acceperunt et accipiunt, abit in locum designatum, ad olei coctionem, et sacra stola vestitus, quæ quidem ab excelso acceptam Spiritu gratiam significat; et sacro omophorio, quod Christi Incarnationem ostendit, Deum in tribus personis laudat. Atque ita fiunt preces: « Rex cœlestis; » et Trisagion: « Sanctissima Trinitas; » et: « Pater noster. » Necesse est enim ut in divinis operibus principium sit Spiritus sancti invocatio, et ante omnia invocetur Spiritus sanctus. « In Spiritu sancto, ait Paulus, oramus. » Et postquam patriarcha dixit: « Tuum est regnum; » et, « Benedictus es, Christe Deus, » troparion dicitur, et quædam cum eo, quibus dictis, patriarcha oleum infundit in urnam, in qua decoquetur unguentum. Et manu benedicit, ostendens seipsum opus illud incipere, et divinas res apparare. Introducitur autem reliquum oleum a ministris. Et sic rursum patriarcha ignem subter incendens, tanquam Spiritus sancti mysterio serviens, cœtum dimittit et ipse abit. Oleum autem illud unguenti sacri coquitur a quodam prudenti et docto viro, cum multa cura; quod peragit præsertim in magna illa et sancta feria quarta, qua hæc peccatrix mulier pretioso unguento Dominum unxit. Et tunc ea pars Evangelii quæ illud memorat legitur. Et sic coquitur oleum, misericordiam Dei immensam significans. Variæ autem aromatum species tunc etiam teruntur et parantur. Et quando hæc coctio peracta fuerit, tunc rursum adest patriarcha. Et aromata, postquam ea benedixerit, in decoctum oleum infundit; quæ sane varia Spiritus sancti dona indicant. Sic igitur præparatur et coquitur oleum. Patriarcha vero dimittit et recedit. Oleum rifrigescit. Per has quidem preces et patriarchæ benedictionem sanctum est, nondum autem sacro ritu consecratum.

A εἰς τὴν ἱερωσύνην χειροτονουμένοις τετήρηται. Οἳ δὴ καὶ τὸ χρίσμα μὲν τοῦτο πρότερον ἐν τῷ βαπτίσματι λαμβάνουσι, καὶ ἔχουσιν ἤδη ὡς Χριστοῦ χρίσμα, καὶ σφραγῖδα, καὶ δωρεὰν τοῦ Πνεύματος· λαμβάνουσι δὲ τῇ ἐπιθέσει τῶν ἀρχιερατικῶν χειρῶν καὶ τὴν χειροτονίαν, κατὰ τὴν ἐν εἴδει πυρίνων γλωσσῶν ἐπιδημίαν τοῦ Πνεύματος, « Ἐπεκάθισε γὰρ, φησὶν, ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου. »

ΚΕΦΑΛ. ΟΑ'

Περὶ τῆς ὑπηρεσίας τε καὶ ἑψήσεως τοῦ θείου μύρου.

Τελεῖται οὖν τὸ πανάγιον μύρον οὕτως· ὁ ἁγιώτατος πατριάρχης, τοῦ κλήρου συμπαρόντος αὐτῷ, ἐπεὶ πηγὴ οὗτος τῆς ἱερωσύνης ἐστὶ, καὶ οἱ σὺν αὐτῷ
B ἐξ αὐτοῦ ἔλαβον καὶ λαμβάνουσιν, ἀπέρχεται πρὸς τὸν ἀποτεταγμένον ἑψεῖσθαι τὸ μύρον τόπον· καὶ περιβαλλόμενος ἐπιτραχήλιον ἱερὸν, ὃ δὴ, τὴν ἄνωθεν χορηγουμένην χάριν δηλοῖ τοῦ Πνεύματος, καὶ ὠμοφόριον ἱερὸν, ὃ τὴν σάρκωσιν ἐμφαίνει Χριστοῦ, εὐλογεῖ τὸν ἐν Τριάδι Θεόν. Καὶ οὕτω προσευχὴ γίνεται, τοῦ « Βασιλεῦ οὐράνιε » λεγομένου, τοῦ Τρισαγίου, « Παναγία Τριὰς, » καὶ « Πάτερ ἡμῶν. » Ἀναγκαῖον γὰρ εἰς τὰ θεῖα ἔργα τοῦ Πνεύματος τὴν προσευχὴν εἶναι ἀρχὴν, καὶ τὸ Πνεῦμα πρὸ πάντων ἐπικαλεῖσθαι τὸ ἅγιον. « Ἐν τῷ Πνεύματι γὰρ, Παῦλός φησι, προσευχόμεθα. » Καὶ τοῦ πατριάρχου εἰπόντος, « Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, » τὸ « Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς, » τροπάριον λέγεται, καὶ τινα ἕτερα σὺν αὐτῷ. Ὧν λεγομένων, ὁ πατριάρχης
C ἐγχέει τὸ ἔλαιον τῷ ἀγγείῳ, ἐν ᾧ ἑψεῖται τὸ μύρον. Καὶ εὐλογεῖ τῇ χειρὶ, δεικνὺς, ὅτι αὐτὸς ἄρχει τοῦ ἔργου, καὶ αὐτὸς τοῖς θείοις ὑπηρετεῖ. Εἰσάγεται δὲ καὶ τὸ λοιπὸν ἔλαιον παρὰ τῶν ὑπηρετῶν. Καὶ οὕτω πάλιν ὁ πατριάρχης πρῶτος ὑπανάψας τὸ πῦρ, ὡς τῷ τοῦ Πνεύματος ἐξυπηρετῶν μυστηρίῳ, ποιεῖται ἀπόλυσιν καὶ ἀπέρχεται. Τὸ ἔλαιον δὲ ἐκεῖνο τοῦ μύρου ἑψεῖται παρά τινος εὐλαβοῦς, 83 τὴν ἐπιστήμην εἰδότος, μετὰ πολλῆς ὅτι προσοχῆς. Ὃ δὴ καὶ ἑψεῖ μάλιστα κατὰ τὴν μεγάλην καὶ ἁγίαν Τετράδα, ὅτε καὶ ἡ πόρνη ἐκείνη τῷ πολυτιμήτῳ μύρῳ τὸν Κύριον ἤλειψε. Καὶ τὸ περὶ τούτου τότε ἀναγινώσκεται Εὐαγγέλιον. Τὸ μὲν οὖν Ἔλαιον ἑψεῖται οὕτω, δηλοῦν τοῦ Θεοῦ τὸ ἀμέτρητον ἔλεος. Τὰ εἴδη δὲ τῶν
D ἀρωμάτων διάφορα ὄντα τρίβεται καὶ αὐτὰ τότε καὶ ἑτοιμάζεται. Καὶ πρὸς τὸ τέλος ἐλθούσης τῆς ἑψήσεως τοῦ ἐλαίου, πάλιν ὁ πατριάρχης παραγίνεται, καὶ τὰ ἀρώματα εὐλογηθέντα παρ' αὐτοῦ, εἰσάγεται ἐν τῷ ἑψομένῳ ἐλαίῳ, ἃ καὶ ἐμφαίνει τοῦ ἁγίου Πνεύματος τὰ ποικίλα χαρίσματα. Καὶ οὕτω σκευασθὲν καὶ ἑψηθὲν γίνεται τὸ μύρον. Ὁ μὲν οὖν πατριάρχης ἀπολύει τε καὶ ἀπέρχεται· τὸ μύρον δὲ ψυχρανθὲν διὰ μὲν τὰς προσευχὰς καὶ τὴν εὐλογίαν τοῦ πατριάρχου ἅγιόν ἐστιν, οὔπω δὲ τετελεσμένον τῇ ἱερᾷ τελετῇ.

CAPUT LXXII.

De sancti unguenti sacro ritu.

Postridie, quæ dies est sancta et magna feria quinta, infunditur illud oleum in proprium vas, quod vocatur alabastrum, in hujus formam quod

ΚΕΦΑΛ. ΟΒ'.

Περὶ τῆς ἱερᾶς τελετῆς τοῦ ἁγίου μύρου.

Κατὰ τὴν ἐπαύριον οὖν, ἥτις ἐστὶν ἡ ἁγία καὶ μεγάλη Πέμπτη, εἰσάγεται τοῦτο τὸ μύρον ἐν κρατῆρι ἰδίῳ, ὅπερ καλεῖται ἀλάβαστρον, εἰς τύπον τοῦ

ἐκχυθέντος τῇ κεφαλῇ τοῦ Ἰησοῦ παρὰ τῆς πόρνης A μύρου, ἢ τῆς ἀδελφῆς τοῦ Λαζάρου Μαρίας· καὶ διὰ καλύμματος ἱεροῦ σκεπασθὲν, ἐν τῷ σκευοφυλακίῳ τίθεται τῆς προσκομιδῆς γενομένης. Καὶ τῆς θείας λειτουργίας ἐναρξαμένης, τῆς μεγάλης τε εἰσόδου τελουμένης, πρῶτον μὲν ὁ ἐπὶ τῆς εὐταξίας πορεύεται· εἶτα οἱ ἀναγνῶσται λαμπαδηφόροι, τὴν θείαν τοῦ Πνεύματος ἐκτυποῦντες ἔλλαμψιν· εἶτα ὁ πρῶτος τῶν ἱερέων, κατέχων τὸ ἀλάβαστρον τοῦ μύρου ταῖς χερσὶν, αὐτὴν φανερῶν τὴν χάριν τοῦ Πνεύματος. Διὰ τοῦτο γὰρ καὶ ὁ πρῶτος τοῦτο κατέχει, ὡς τελεώτερος ὤν. Ἔμπροσθεν δὲ καὶ ἐκ πλαγίου τούτου καὶ ὄπισθεν διάκονοι ἕξ, δώδεκα κατέχοντες πτέρυγας, ὡς ὁ μέγας φησὶ Διονύσιος, τουτέστι ῥιπίδια. Δηλοῦσι δὲ ταῦτα τὰς θείας ἀγ-B γελικὰς δυνάμεις, καὶ τὸ νοερὸν αὐτῶν καὶ ἀσώματον· ἐπεὶ καὶ τὰ Σεραφὶμ ἐν πτέρυξι καὶ τὰ Χερουβὶμ τοῖς προφήταις ἑωράθη· καὶ ὥσπερ ἐκεῖνα συστέλλεται τὴν χάριν δεχόμενα, καὶ ἡμεῖς ὀφείλομεν τοῦτο, καὶ διὰ τῶν εἰρημένων πτερύγων δείκνυμεν· καὶ ὥσπερ ἐν τῇ σκηνῇ ὑπεράνω τῆς κιβωτοῦ τῆς σκιώδους ἐκείνης Χερουβὶμ ἦν τορευτά τε καὶ γλυπτὰ, ταῖς πτέρυξι ταῖς οἰκείαις αὐτὴν εἰς τιμὴν συγκαλύπτοντα, ὡς ἐντὸς τὰ θεῖα ἐν ταῖς πλαξὶ ταῖς λιθίναις ἔχουσαν λόγια, οὕτω καὶ ὑπεράνω τοῦ μύρου καὶ τῶν ἁγίων ταῦτα, καὶ ἔτι τῆς ἱερᾶς τραπέζης εἰσὶν, ὡς τὰ ὑψηλότερα κεκτημένων τούτων, καὶ μᾶλλον ἀντὶ τῆς σκιᾶς τὴν ἀλήθειαν. Ἐπείπερ ἐκεῖ τύπος ἦν πάντα, καὶ ἄρτοι ἄζυμοι, ἀντὶ τοῦ ἄρτου τούτου τοῦ ζῶντος, καὶ ἀλόγων θυμάτων C αἵματα καὶ προσαγωγαὶ, ἀντὶ τοῦ αἵματος τοῦ Θεοῦ Λόγου, καὶ ἔλαιον τῆς χρίσεως ἀντὶ τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος. Ἐνταῦθα δὲ ὁ τῆς ζωῆς ἐστιν ἄρτος, αὐτὸ τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ ὑπὲρ ἡμῶν ἀπαύστως θυόμενον, καὶ ἡ χρίσις τῆς δωρεᾶς τοῦ ζωοποιοῦ Πνεύματος. Μετὰ δὲ τὰς δώδεκα πτέρυγας, ἤτοι τὰ ῥιπίδια, οἱ λοιποὶ διάκονοι ἔρχονται κατὰ συζυγίαν ὡς ἔθος, προοδεύοντες τῶν ἁγίων· καὶ ἡ λοιπὴ τάξις ἐπακολουθεῖ τῆς εἰσόδου. Δώδεκα δὲ πτέρυγες, καὶ διὰ τὴν δωδεκάδα τῶν μαθητῶν, οὓς ἡ χάρις τοῦ Πνεύματος ἐξ ἀρχῆς ἐτελείωσε, καὶ διὰ τὰ δύο Χερουβὶμ τῇ σκηνῇ παριστάμενα, δώδεκα πτέρυγας ἔχοντα. Ἓξ γὰρ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνὶ, φησίν· ὃ καὶ περὶ τῶν D Σεραφὶμ γέγραπται. Τινὲς δὲ τετραπτέρυγα γράφουσι τὰ Χερουβὶμ, ἑξαπτέρυγα δὲ τὰ Σεραφίμ· ταῦτα δὲ μείζονός φασι τάξεως, ἢ τὰ Χερουβίμ. Διὸ ὑπὲρ τὸν νόμον οὖσα ἡ Ἐκκλησία, τὸν τῶν ἑξαπτερύγων ποιεῖται τύπον, καὶ τὰ δώδεκα φέρει ῥιπίδια ἀντὶ τῶν δύο Σεραφίμ. Ἡνίκα οὖν οἱ ἀναγνῶσται **89** εἰσέλθωσιν, οἱ κατέχοντες διάκονοι τὰς πτέρυγας ἵστανται ἑκατέρωθεν τοῦ τὸ μύρον κατέχοντος πρεσβυτέρου, τιμὴν αὐτῷ νέμοντες, καὶ οἷον ἐπισκιάζοντες. Τούτου δὲ φθάσαντος ἤδη τὰς θύρας τὰς ἁγίας, ὁ πατριάρχης κατέρχεται τῆς κρηπῖδος τῆς ἱερᾶς, καὶ λαμβάνει τὸ μύρον ἐκ τῶν χειρῶν τοῦ πρεσβυτέρου, καὶ τῇ ἱερᾷ ἐπιτίθησι τραπέζῃ, μείζονα καὶ τῶν δώρων τότε ὡς ἀτελέστων ἔτι διδοὺς τῷ μύρῳ τὴν τιμήν· ἢ ὡς ἐπιπλέον ἡγια-

in caput Jesu a peccatrice aut sorore Lazari Maria effusum est, sacroque velo protectum, in sacrario ponitur, facta translatione. Et sacra liturgia incepta, et solemni introitu, primus incedit, qui cæremoniam regit, deinde lectores qui lampades ferunt, atque ita divinam sancti Spiritus illuminationem repræsentant; deinde primus sacerdotum, alabastrum manibus tenens, ipsam Spiritus gratiam manifestans. Ideo enim et primus illud tenet, tanquam perfectior; ante et a latere et a tergo, sex diaconi duodecim ferentes alas, ut magnus ait Dionysius, id est flabella Illæ vero indicant divinas et angelicas virtutes, illarumque intelligentiam et spiritualitatem. Etenim Seraphim et Cherubim prophetis alis muniti angeli apparuere. Et quemadmodum illæ alæ contrahebantur gratiam accipientes, ita et nos gratiam comprehendere debemus, idque per prædictas alas ostendimus. Et quemadmodum in tabernaculo illius arcæ quæ figura erat, erant Cherubim insculpta et incisa, propriis alis eam, honoris causa, protegentia, quippe quæ intus divina oracula in tabulis lapideis contineret, ita et supra oleum hoc et alia sancta et supra sacram mensam quæ excelsiora continent, et veritatem nec tantummodo umbram. Ibi enim omnia erant figuræ, et panes azymi, pro vero illo ac vivente Pane; et irrationalium sanguinis oblatio pro sanguine Verbi Dei; et oleum unctionis pro dono sancti Spiritus. Ibi autem est vitæ panis, ipsum corpus et sanguis Christi, pro nobis indesinenter oblata; et unctio doni vivificantis Spiritus. Post duodecim alas seu flabella, reliqui diaconi veniunt boni, more solito, sancta præcedentes. Et reliquus ordo successive intrat. Duodecim vero alæ et propter duodecim discipulos, quos sacravit ab initio Spiritus sancti gratia, et propter duo Cherubim ante tabernaculum stantia et duodecim alas habentia. « Sex enim alæ uni, et sex alæ alteri, » inquit; quod quidem de Seraphim scriptum est. Quidam vero scribunt quatuor alas Cherubim et sex alas Seraphim; eaque majoris ordinis dicunt esse quam Cherubim. Ideo cum supra legem sit Ecclesia, figuram earum sex alarum sibi facit et duodecim flabella fert pro numero alarum duorum Seraphim; quando igitur lectores introierunt, diaconi qui alas tenent, constituuntur hinc et inde prope eum qui oleum tenet presbyterum, honorem ipsi gerentes et tanquam obumbrantes. Postquam jam ad sacras fores ille pervenit, tunc patriarcha a sanctis gradibus descendit, et oleum accipit de manibus presbyteri, et in divina illud mensa deponit, majorem tribuens oleo honorem, quam donis nondum consecratis, sed majorem sanctificationem accepit. Etenim sanctificata quidem et Deo oblata dona sunt, sed adhuc imperfecta et solummodo repræsentativa. Oleum autem, etsi nondum consecratum sit, bis tamen a pontifice preces accepit et ab illo benedictum est. Aut, ut mihi verisimilius videtur, quia communionem oleum

præcedit. Primum enim oleo ungimur, et deinde mysteria participamus. Et altare primum quidem oleo sanctificatur; deinde in eo sacra liturgia perficitur. Oportet enim primum nos sanctificari, et tunc sacrata recipere. Deposito igitur in divina mensa, sinistro latere disci, oleo, patriarcha, liturgiam operatur, et postquam sacra peregit, et dixit: « Et erunt misericordis Dei opera, » et priusquam diaconus dicat: « Omnium sanctorum facta commemoratione; » redit ad sanctæ mensæ gradus, et discooperiens oleum, ter illud signat. Consecrationem jam oleum accipit, et non oportet illud tegi, sed discoopertum esse, et pure ac immediate consecrationem recipere.

A σμένῳ ταῖς προσευχαῖς· Καὶ γὰρ ἡγιασμένα μὲν καὶ τὰ δῶρα καὶ ἀνατεθειμένα Θεῷ, ἀλλ' ἔτι ἀτέλεστα καὶ ἀντίτυπά εἰσι. Τὸ μύρον δὲ, εἰ καὶ οὔπω τετελεσμένον, ἀλλὰ δὶς τὰς προσευχὰς ὑπὸ τοῦ ἀρχιερέως ἐδέξατο, καὶ εὐλογηθὲν ἦν ὑπ' αὐτοῦ· ἢ ὡς καὶ ἀναγκαιότερον ἐμοὶ δοκεῖ, διὰ τὸ προκαταλαμβάνειν τὸ μύρον τῆς κοινωνίας· πρῶτον μὲν γὰρ τῷ μύρῳ χριόμεθα, ἔπειτα δὲ κοινωνοῦμεν τῶν μυστηρίων. Καὶ τὸ θυσιαστήριον πρωτον μὲν τῷ μύρῳ καθαγιάζεται· ἔπειτα δὲ ἐν αὐτῷ τὰ τῆς ἱερουργίας τελεῖται. Δεῖ γὰρ πρῶτον ἁγιασθῆναι ἡμᾶς, καὶ τότε τὸν ἅγιον ὑποδέξασθαι. Θεὶς οὖν ἐν τῇ θείᾳ τραπέζῃ ἐξ ἀριστερῶν τοῦ δίσκου τὸ μύρον ὁ πατριάρχης, καὶ τὰ τῆς λειτουργίας ἐνεργῶν, μετὰ τὸ τελειῶσαι τὰ Ἅγια, καὶ εἰπεῖν, « Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, » πρὸ τοῦ εἰπεῖν τὸν διάκονον « Πάντων τῶν ἁγίων μνημονεύσαντες, » ἀνέρχεται εἰς τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης. Καὶ ἀποκαλύψας τὸ μύρον σφραγίζει τρίς. Τὴν γὰρ τελετὴν ἤδη τὸ μύρον δέχεται. Καὶ οὐ δεῖ κεκαλυμμένον εἶναι, ἀλλ' αὐτὸ καθαρῶς τε καὶ ἀμέσως τὴν τελετὴν ὑποδέξασθαι.

CAPUT LXXIII.

Consideratio precationis super unguento.

B Postquam signavit, descendit pontifex, caput inclinat et primam dicit orationem: « Domine misericors, et Pater luminum. » Viden' misericordiæ Dei oleum esse symbolum? Et reliqua quæ in oleo sunt divinorum donorum sunt figuræ. Sed ecce et pure Spiritus gratiam accipit. Pergit enim Pontifex: « a quo omnis bona gratia et omne donum perfectum. » Et: « Tu es qui in lege et prophetis illud dedisti et apostolis tuis. Emitte in illud Spiritum sanctum tuum, et consecra hoc regium unguentum, spirituale charisma, animas et corpora sanctificans. » Ecce sanctificatum est oleum; sanctificationem Spiritus illi tribuit. « Oleum exsultationis. » Eximie illud oleum nominat, tanquam misericordiæ Dei donum. « Quod in lege præcessit. » Ecce figura erat quod in lege adhibebatur oleum. « Illuxit autem in novo Testamento. » Vides manifestius datum esse oleum in gratia, abundanter nobis Spiritus sancti dono præstito? « In quo uncti sunt sacerdotes et pontifices, prophetæ et reges. » Et ipsi primitias Spiritus accepere, ut Moyses et septuaginta viri, qui de Spiritu qui in Moyse erat, accepere; ut Aaron et Samuel; et postquam Saul unctus est et peccavit, David per unctionem, et qui eos secuti sunt. « Per quod et ipsos tuos sanctos apostolos, inquit. » Vides et adventum Spiritus sanctam in illos unctionem fuisse? « Et omnes qui per lavacrum regenerationis ab episcopis et presbyteris regenerati sunt usque hodie. » Ecce non modo pontifices et sacerdotes et prophetæ et reges divinum oleum acceperunt; sed et quotquot in Christo baptizati, christi Domini facti sunt. Ideo et potestatem habent fideles ex hac unctione (si modo se ipsos in sanctitate custodiant) et prophetandi et charismata operandi, et sexcentis aliis divinis Spiritus donis ditescendi. « Ita, Deus omnipotens, consecra, illud adorandi et sancti tui Spiritus adventu. » Rursum flagitat sanctissimi Spiritus adventum. Ex Patre enim per Verbum in sancto

ΚΕΦΑΛ. ΟΓ'.

Θεωρία τῆς τοῦ μύρου εὐχῆς.

Ὅθεν μετὰ τὸ σφραγίσαι κατέρχεται καὶ κλίνει τὴν κεφαλὴν ὁ ἀρχιερεὺς, καὶ τὴν πρώτην λέγει εὐχὴν, « Κύριε τοῦ ἐλέους, καὶ Πάτερ τῶν φώτων. » Ὁρᾷς ὅτι ἐλέους Θεοῦ τὸ ἔλαιον σύμβολον; Καὶ τὰ λοιπὰ δὲ τὰ ἐν τῷ μύρῳ τῶν θείων δωρημάτων ἐστὶν ἐκτύπωσις. Ἀλλ' ἰδοὺ καὶ καθαρῶς τοῦ Πνεύματος τὴν χάριν εἰσδέχεται. Ἐπάγει γὰρ ὁ ἀρχιερεὺς, « Παρ' οὗ πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον. » Καὶ ὅτι « Σὺ εἶ ὁ καὶ ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις δοὺς αὐτὸ καὶ τοῖς ἀποστόλοις σου. Ἐξαπόστειλον εἰς αὐτὸ τὸ Πνεῦμά σου τὸ ἅγιον. Καὶ τέλεσον αὐτὸ χρίσμα βασιλικὸν, χάρισμα Πνευματικὸν, ἁγιαστικὸν ψυχῶν καὶ σωμάτων. » Ἰδοὺ C ἁγιαζόμενον τὸ μύρον. Τὸν ἁγιασμὸν παρέχει τοῦ Πνεύματος. « Ἔλαιον ἀγαλλιάσεως. » Ἐξαιρέτως δὲ ἔλαιον αὐτὸ καλεῖ, ὡς δόσιν θείου ἐλέους. Τὸ προοδεῦσαν μὲν ἐν νόμῳ. Ἰδοὺ προτύπωσις τὸ τοῦ νόμου ἦν μύρον. Ἐκλάμψαν δὲ ἐν τῇ καινῇ Διαθήκῃ. Βλέπεις ὡς τρανότερον δέδοται τὸ μύρον ἐν τῇ χάριτι, πλουσίως ἐν ἡμῖν χορηγηθείσης τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος; Ἐν ᾧ ἐχρίσθησαν ἱερεῖς καὶ ἀρχιερεῖς, προφῆται καὶ βασιλεῖς. Καὶ αὐτοὶ γὰρ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔλαβον· ὡς Μωϋσῆς καὶ οἱ ἑβδομήκοντα ἐκ τοῦ Πνεύματος, οἳ ἔλαβον τοῦ ἐπ' αὐτῷ· ὡς Ἀαρὼν καὶ Σαμουὴλ, καὶ τοῦ Σαοὺλ χρισθέντος καὶ ἁμαρτήσαντος, ὁ Δαβὶδ διὰ χρίσματος· καὶ ἔτι οἱ καθεξῆς. « Δι' οὗ καὶ αὐτοὺς ἔχρισας τοὺς ἁγίους σου ἀποστόλους, » φησίν. Ὁρᾷς D καὶ τὴν ἐπ' αὐτοὺς τοῦ Πνεύματος ἐπιφοίτησιν χρίσμα ἅγιον οὖσαν; καὶ πάντας τοὺς διὰ λουτροῦ παλιγγενεσίας ὑπὸ τῶν κατὰ καιροὺς ἐπισκόπων καὶ πρεσβυτέρων ἀναγεννηθέντας ἕως τῆς σήμερον. Ἰδοὺ οὐ μόνον οἱ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ προφῆται καὶ βασιλεῖς τὸ θεῖον ἔλαβον μύρον, ἀλλὰ καὶ οἱ ἐν Χριστῷ βαπτισθέντες πάντες χριστοὶ Κυρίου γενόμενοι· διὸ καὶ δύναμιν ἔχουσιν οἱ πιστοὶ ἀπὸ τοῦ χρίσματος τούτου (εἰ μόνον τηροῦσιν ἑαυτοὺς ἐν ἁγιασμῷ) καὶ προφητεύειν, καὶ ἰάματα ἐνεργεῖν, καὶ μυρία ἄλλα πλουτεῖν θείου Πνεύματος χαρί-

σματα. « Ναὶ, δέσποτα 90 Θεὲ παντοκράτορ, ἀνάδειξον αὐτὸ τῇ ἐπιφοιτήσει τοῦ προσκυνητοῦ καὶ ἁγίου σου Πνεύματος. » Πάλιν τὴν ἐπιφοίτησιν ἐξαιτεῖται τοῦ παναγίου Πνεύματος. Ἐκ γὰρ τοῦ Πατρὸς διὰ τοῦ λόγου ἐν ἁγίῳ Πνεύματι πάντα ἐν ἡμῖν γίνεται. Καὶ ὡς τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, τῷ Πνεύματι δὲ τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· ἐν αὐτῷ γὰρ τῷ Πνεύματι τετελείωνται· οὕτω καὶ ἐπὶ πάσῃ δωρεᾷ, ἥτις ἐκ τοῦ Πατρὸς διὰ τοῦ Λόγου ἐν ἁγίῳ χορηγεῖται Πνεύματι, καὶ μάλιστα μετὰ τὴν τοῦ Θεοῦ Λόγου ὑπὲρ ἡμῶν οἰκονομίαν. Ὁ μὲν γὰρ Πατὴρ εὐδοκεῖ. Ὁ δὲ Υἱὸς αὐτουργεῖ· τὸ δὲ ἅγιον Πνεῦμα τελειοῖ. « Ἔνδυμα ἀφθαρσίας καὶ σφραγῖδα τελειοποιὸν, ἐκτυποῦσαν τοῖς τὸ θεῖόν σου λουτρὸν δεχομένοις τὴν ἁγίαν σου ὀνομασίαν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ ἁγίου σου Πνεύματος. » Ἔνδυμα ἀφθαρσίας, ὅτι ζωοποιὸν τὸ Πνεῦμα, καὶ ἀθανασίαν παρέχει. Σφραγῖδα τελειοποιὸν, ὡς τῆς ἁγίας Τριάδος τὴν χάριν νέμον ἡμῖν καὶ τὸ ὄνομα· ἐπεὶ καὶ ἐν τῇ Τριάδι τελειούμεθα. « Εἰς τὸ εἶναι δὲ αὐτοὺς ἐνώπιόν σου ἐπιγνωστοὺς, » τουτέστι γνωρίμους σοὶ τῷ Θεῷ. Ὢ τῆς δωρεᾶς τοῦ θείου μύρου! ὢ τῆς μεγίστης χάριτος! πόσου ἄρα ἀπολιμπάνεται δώρου, ὁ μὴ τούτου τυχὼν τοῦ χαρίσματος; « Οἰκείους, φησὶ, καὶ πολίτας, δούλους σου καὶ παιδίσκας. » Ὥστε ἐκ τοῦ μύρου ἐστὶ τὸ οἰκείους εἶναι Θεῷ καὶ δούλους γνησίους τοὺς εὐσεβεῖς. Μεγίστη ὄντως ἡ δωρεά. « Ἀλλὰ καὶ ἡγιασμένους, φησὶ, ψυχῇ τε καὶ σώματι. » Ἰδοὺ καὶ ἁγίους τούτους ποιεῖ καὶ ἀναμαρτήτους· ἐπάγει γὰρ, « Ἀπηλλαγμένους πάσης κακίας, καὶ πάσης ἁμαρτίας λελυτρωμένους τῇ περιβολῇ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας. » Ὃ δὴ μετὰ τοῦ λουτροῦ τὸ μύρον ἐστί. Καὶ ὅρα μέγιστον ἄλλο δῶρον. « Ἐπιγινώσκεσθαι δὲ, φησὶ, διὰ τῆς ἁγίας σου ταύτης σημειώσεως ὑπὸ ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως. » Ὥστε σύμμορφοι τοῖς ἀγγέλοις διὰ τοῦ μύρου γινόμεθα, καὶ ἐπιγνωστοὶ διὰ τούτου τούτοις ἐσμέν. Λοιπὸν οἱ μὴ χρισθέντες τῷ μύρῳ οὔτε τῷ Θεῷ, οὔτε τοῖς ἀγγέλοις γνώριμοι, καὶ ἀσφράγιστοι οὗτοι καὶ ἀσημείωτοι τῷ Χριστῷ. Ὅρα δὲ καὶ ἕτερον μέγα δῶρον. Καὶ φοβεροὺς φησι πᾶσιν ὑπάρχειν τοῖς πονηροῖς καὶ ἀκαθάρτοις δαίμοσιν. Ὥστε οἱ σεσημειωμένοι τῷ θείῳ μύρῳ καὶ τοῖς δαίμοσι φοβεροί. Ὢ τῆς μεγίστης τοῦ Θεοῦ χάριτος! Ὅρα δὲ ἔτι καὶ τί ἄλλο ἡμεῖς οἱ πιστοὶ διὰ τοῦ θείου μύρου γινόμεθα. « Ἵνα ὦσί σοι, φησὶ, λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, ἐσφραγισμένοι διὰ τοῦ ἀχράντου σου μύρου τούτου. Λοιπὸν διὰ τούτου τὴν σφραγῖδα τῆς ἁγίας Τριάδος ἐν ἑαυτοῖς περιφέρομεν. Ὁ μὴ χρισθεὶς ἄρα τῷ θείῳ μύρῳ τούτῳ ἀσφράγιστος. Ἀλλὰ καὶ τί μέγιστον ἄλλο δῶρον παρέχεται ἡ εὐχή; διὰ τοῦτο γὰρ καὶ πᾶσαν ἐξέθηκα, ἵνα γνῶμεν τὰς διὰ τοῦ μύρου δωρεάς. « Καὶ ἔχοντες, φησὶ, τὸν Χριστόν σου ἐν ταῖς καρδίαις αὐτῶν, εἰς κατοικητήριόν σου τοῦ Θεοῦ καὶ Πατρὸς ἐν ἁγίῳ Πνεύματι. » Ἰδοὺ δι' αὐτοῦ καὶ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν· καὶ κατοικητήρια

A Spiritu omnia in nobis fiunt. Et quemadmodum Verbo Domini cœli firmati sunt, Spiritu vero oris ejus omnis virtus eorum; in ipso enim Spiritu perfecti sunt; ita et de omni dono quod ex Patre per Verbum in sancto Spiritu præstatur, et præsertim post Verbi Dei pro nobis incarnationem. Pater enim approbat, Filius operatur, sanctus autem Spiritus perficit. « Indumentum immortalitatis, et perfectionis signaculum imprime iis qui divinum tuum baptismum recipiunt, sanctum tuum nomen et unigenitis Filii tui, et Spiritus sancti tui. » Indumentum immortalitatis, quia vivificat Spiritus et immortalitatem præstat; signaculum perfectionis, tanquam nobis sanctissimæ Trinitatis gratiam et nomen tribuens; quoniam in Trinitate consecra-

B mur. « Ut sint et ipsi coram te cogniti, » id est, tibi Deo noti. O Divini olei donum! O maximam gratiam! quanto igitur dono caret qui non illud charisma obtinet! « Familiares tui et cives, inquit, servi tui et ancillæ, » ita ut ex hoc oleo fiat ut pii familiares et servi Dei sint: maxima sane gratia! « Sed et sanctificati anima et corpore. » Ecce eos sanctos efficit et mundos. Pergit enim: « Omni malitia liberati et omni peccato mundati, vestimento immortalitatis hujus circumdati; quod sane fit post baptismi unctionem. Et vide maximum aliud donum. « Noscantur, inquit, per sanctum tuum signaculum, a sanctis angelis et archangelis et ab omni cœlesti Virtute. » Ita ut Angelis confor-

C mes per oleum fiamus, et cognitu faciles per illud iis simus. Qui non uncti sunt oleo neque Deo neque angelis noti sunt neque Christo signati et insigniti. Vide et aliud magnum donum. « Terribiles sint, inquit, omnibus malis et impuris dæmonibus. » Ita ut qui divino unguento signati sunt, formidandi sint dæmonibus. O maximam Dei gratiam! Vide autem adhuc quid aliud nos fideles per divinum oleum fiamus: « Ut sint tibi, inquit, populus dives, regale sacerdotium, gens sancta, signati hoc sincero oleo tuo. » Igitur per illud in nobis sanctæ Trinitatis signaculum circumferimus. Qui non igitur divino illo unguento unctus est, ille non est signatus. Sed quodnam maximum donum oratio hæc præstat? Ideo igitur eam totam exposui, ut nove-

D rimus quas gratias per oleum accipiamus. « Et habentes, inquit, Christum tuum in cordibus nostris, in sedem tuam Dei et Patris in sancto Spiritu. » Ecce per illud Christus habitat in cordibus nostris, et domicilia et templa Dei consecramur et Patris et Filii ejus Jesu Christi et sancti Spiritus. Illud igitur unguentum perficit baptisma et Trinitatis templa nos efficit. Ideo et post baptisma datur. Et adventum Spiritus sancti in nobis præstat, quem ostendit Salvator in Jordane baptizatus. Et per illud unguentum spirituales, et gratia armati sumus, et divina Trinitate signati sanctificamur quidem et mundamur et regeneramur in sancta aqua, Trinitatis invocatione. Per hoc autem unguentum dona illius accipiunt. Et quemadmodum qui non baptizatur,

non mundatur, ita qui post baptismum non unctus est A signaculum et impressionem Trinitatis non habet, neque gratiam Spiritus. Inter se adhærent divina mysteria, et quemadmodum non dividitur Trinitas, nec dividuntur ejus dona. Postquam igitur hanc orationem perfecit patriarcha, vocem extollit, addens: « Sanctus es, Deus noster et in sanctis requiescis; » pro adimpleto mysterio gratias agens. « Sacrificans igitur est unguentum, utpote gratias præstans et sanctissimi Spiritus sanctificationem. Deinde: « Pax omnibus, » inquit. Et illud convenientissime. Pacis enim præstitor est sanctus et suavissimus Spiritus. Et postquam diaconus dixit: «Capita nostra Domino inclinemus, inclinat caput. Oportet enim in tantis donis, demitti et Deo gratias agere. Et secundam addit orationem: « Tibi B omnium Deo et regi. » Collum cordis gratias agentes inclinamus. Gratos id servos facere decet. Et quare? Quia, « cum indigni essemus, dignatus es nos mysteriorum tuorum ministros efficere. » Et vere maximum est donum; nos enim terrestres et corruptibiles cœlestium ministros effecit. « Et misericordiam tuam confitentes quam super nos abundanter effudisti. » Ecce et rursum docet quare oleum sanctificetur, nempe in signum misericordiæ Dei. *Effudisti* autem dixit propter Spiritum sanctum, quem promisit per Joelem se in omnem carnem effusurum. «Ut per te, inquit, recipiamus sanctificationem, tanquam unguentum in capite, oramus. » Ecce est unguenti hujus eximia virtus, sanctifica- C tio. « Quare, ait, unguentum nomine mutatum est et nomen accepit unigeniti Filii tui, Christi Dei nostri, in quo omnis mundus salvatus est, sive visibilis, sive invisibilis. » E cantico canticorum hymnum orationis cœlesti et festivo et odoratissimo animarum Sponso concinit pontifex. Deinde assurgens, vocem extollit: «Te decet super omnia adoratio, Patrem et Filium et Spiritum sanctum et nunc et semper et in sæcula sæculorum. » Id est, tu solus adorandus es et nemo alius, et omnes tu sanctificas, et tibi ab omnibus debetur adoratio.

A καὶ ναοὶ τελούμεθα τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς καὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Τοῦτο ἄρα τὸ μύρον τελειοῖ τὸ βάπτισμα, καὶ τῆς Τριάδος ναοὺς ἡμᾶς ἀπεργάζεται. Διὰ τοῦτο μετὰ τὸ βάπτισμα δίδοται· καὶ τὴν ἐπιφοίτησιν χορηγεῖ τοῦ Πνεύματος ἐν ἡμῖν, ἣν ἔδειξεν ὁ Σωτὴρ βαπτιζόμενος ἐν τῷ Ἰορδάνῃ. Καὶ διὰ τούτου τοῦ μύρου πνευματικοὶ καὶ κεχαριτωμένοι γινόμεθα, καὶ τῇ θείᾳ Τριάδι ἐσφραγισμένοι. Ἁγιαζόμεθα μὲν γὰρ καὶ καθαιρόμεθα καὶ ἀναγεννώμεθα ἐν τῷ ἁγίῳ ὕδατι τῇ ταύτης ὀνομασίᾳ. Διὰ τοῦ μύρου δὲ τὴν σφραγῖδα ταύτης καὶ τὰς δωρεὰς λαμβάνομεν. Καὶ ὥσπερ ὁ μὴ βαπτισθεὶς οὐ καθαίρεται, οὐδὲ ἀναγεννᾶται εἰς τὴν ζωὴν τὴν αἰώνιον· οὕτως ὁ μετὰ τὸ βάπτισμα μὴ χρισθεὶς οὐ τὴν σφραγῖδα καὶ σημείωσιν ἔχει τῆς B ἁγίας Τριάδος, οὐδὲ **91** τὴν χάριν τοῦ Πνεύματος. Ἀλλήλων γὰρ ἔχονται τὰ θεῖα μυστήρια καὶ ὥσπερ ἀδιαίρετος ἡ Τριὰς, καὶ τὰ ταύτης δωρήματα. Ταύτην οὖν τὴν εὐχὴν τελειώσας ὁ πατριάρχης, ἐκφωνεῖ, ἐπιλέγων, « Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἁγίοις ἐπαναπαύῃ, » ἀκολούθως τῷ μυστηρίῳ εὐχαριστῶν. Ἁγιαστικὸν γὰρ τὸ μύρον ὡς παρεκτικὸν τῶν χαρίτων καὶ τοῦ ἁγιασμοῦ τοῦ παναγίου Πνεύματος. Εἶτα, « Εἰρήνη πᾶσι, » φησί. Καὶ τοῦτο ἁρμοδίως. Εἰρήνης γὰρ χορηγὸν τὸ εὐθὲς καὶ ἱλαρώτατον Πνεῦμα. Καὶ τοῦ διακόνου εἰπόντος, « Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν, » κλίνει τὴν κεφαλήν. Δεῖ γὰρ ὑποπίπτειν ἐν τοῖς οὕτω μεγίστοις δώροις, καὶ εὐχαριστεῖν τῷ Θεῷ· καὶ τὴν C δευτέραν ἐπιλέγει εὐχήν· « Σοὶ τῷ Θεῷ τῶν ὅλων καὶ βασιλεῖ τὸν αὐχένα τῆς καρδίας εὐχαριστοῦντες ἐκλίναμεν. » Τοῦτο γὰρ δέον τοὺς εὐχαρίστους δούλους ποιεῖν. Καὶ τίνος χάριν; « Ἀνθ' ὧν ἀναξίους ὄντας ἡμᾶς, διακόνους γενέσθαι τῶν θείων σου τούτων κατηξίωσας μυστηρίων. » Καὶ ὄντως τὸ δῶρον μέγιστον. Τοὺς γηΐνους γὰρ καὶ φθαρτοὺς ὑπηρέτας ὑπέδειξε τῶν ἐπουρανίων. « Καὶ τὸν ἔλεόν σου κηρύττοντες, ὃν ἐφ' ἡμᾶς πλουσίως ἐξέχεας. » Ἰδοὺ καὶ πάλιν διδάσκει, διατί τὸ ἔλαιον ἁγιάζεται· ὅτι εἰς θείου τύπον ἐλέους. Τὸ δὲ ἐκχέαι διὰ τὸ Πνεῦμα, ὅπερ εἶπεν ἐκχέαι ἐπὶ πᾶσαν σάρκα διὰ τοῦ Ἰωήλ. « Δέξασθαι, φησὶ παρὰ σοῦ τὸν ἁγιασμὸν, ὡς μύρον ἐπὶ κεφαλῆς ἱκετεύομεν. » Ἰδοὺ καὶ ἡ τοῦ μύρου ἐξαίρετος δύναμις· ὁ ἁγιασμός. « Διότι, φησὶ, μύρον ἐκκενωθὲν ὄνομα τῷ μονογενεῖ σου Υἱῷ, Χριστῷ τῷ Θεῷ ἡμῶν, ἐν ᾧ σύμπας ὁ κόσμος εὐωδιάζεται, ὅσος ὁρατὸς καὶ ὅσος ἀόρατος ἀπὸ τοῦ Ἄσματος τῶν ᾀσμάτων· τὸν ὕμνον τῆς εὐχῆς τῷ οὐρανίῳ καὶ ὡραίῳ καὶ εὐωδεστάτῳ τῶν ψυχῶν νυμφίῳ προσάγων ὁ ἀρχιερεύς. Εἶτα ἐξαναστὰς ἐκφωνεῖ· « Ὅτι πρέπει σοι ἡ παρὰ πάντα προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. » Τουτέστι, Σὺ μόνος προσκυνητὸς, καὶ οὐδεὶς ἄλλος, καὶ πάντας σὺ ἁγιάζεις, καὶ ἡ παρὰ πάντων ὀφείλεταί σοι προσκύνησις.

CAPUT LXXIV.

D

Quod omnes quidem fideles unguentum, soli autem episcopi et sacerdotes impositionem manuum suscipiant.

His actis et dictis, unguentum jam super sacram mensam consecratum est et ex eo omnis baptizatus et unguitur, et signatus sanctificatur; et sancta cum templis altaria inuncta consecrantur et plena fiunt gloria Dei et sanctitate. Et reges deinde uncti in christos Domini consecrantur, et sanctorum

ΚΕΦΑΛ. ΟΔ'.

Ὅτι πιστοὶ μὲν πάντες τὸ μύρον δέχονται, μόνοι δὲ παρὰ πάντας ἀρχιερεῖς τε καὶ ἱερεῖς τὴν χειροτονίαν.

Τούτων πραχθέντων καὶ λαληθέντων, τὸ μύρον ἤδη ἐπὶ τῆς ἱερᾶς τραπέζης τετελεσμένον ἐστί· καὶ ἐξ αὐτοῦ πᾶς βαπτισθεὶς καὶ χρίεται, καὶ σημειούμενος ἁγιάζεται. Καὶ τὰ ἱερὰ σὺν τοῖς ναοῖς χριόμενα, καθιεροῦται θυσιαστήρια, καὶ πλήρη δόξης Θεοῦ καὶ ἁγιασμοῦ γίνεται. Καὶ βασιλεῖς δὲ ἐκ δευ-

τέρου χριόμενοι, εἰς χριστοὺς Κυρίου τελειοῦνται, καὶ τῶν εὐσεβῶν ἄρχοντες ἀναδείκνυνται. Οἱ ἀρχιερεῖς δὲ καὶ ἱερεῖς μόνοι τῇ χειροτονίᾳ τελοῦνται, ἣν δὴ οὔτε βασιλεὺς, οὔτε μοναχὸς ἐπιδέχεται. Ἰδίᾳ δὲ αὕτη ἡ χάρις ἐστὶ, καὶ τῆς παντουργοῦ καὶ ἀναπλαττούσης καὶ ἁγιαζούσης τὰ πάντα δυνάμεως. Ὅμως εἰ ἐξετάσεις, καὶ τὰς χειροτονίας ἐν τῷ μύρῳ τελειουμένας εὑρήσεις.

Κληρικός. Ἔγνωμεν, δέσποτα, περὶ τῶν εἰρημένων ἀκριβῶς, καὶ εὐφροσύνης ἐπλήσθημεν· καὶ χάρις τῷ ἐνεργοῦντι ταῦτα δι' ἡμᾶς Θεῷ. Τράνωσον δὲ ἡμῖν καὶ περὶ τῶν ἑξῆς· καὶ τοῦτο μᾶλλον ὃ νῦν εἴρηκας δήλωσον, πῶς καὶ αἱ χειροτονίαι ἐν τῷ μύρῳ γίνονται.

ΚΕΦΑΛ. ΟΕ'.

Ὅτι δι' ἀλλήλων δίδονται τὰ μυστήρια, καὶ δι' ἀλλήλων τελειοῦνται.

Ἀρχιερεύς. Ἵνα ἡ διαδοχὴ ἀεὶ μένῃ τῆς χάριτος ἀπὸ τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὔτε τὸ μύρον δίχα μύρου τελεῖται, οὔτε χειροτονία χωρὶς τοῦ μύρου. Διὸ καὶ ἡ ἱερωσύνη ἐν τῷ μύρῳ γίνεται. **92** Καὶ τοῦτο γνώσῃ ἐντεῦθεν· ἐν τῷ θυσιαστηρίῳ προτίθεται καὶ τελεῖται τὸ μύρον. Χωρὶς δὲ θυσιαστηρίου οὐ δυνατὸν τελεσθῆναι. Τὸ θυσιαστήριον δὲ προκεχρισμένον ἐστὶ τῷ μύρῳ, καὶ δι' αὐτοῦ καθηγίασται. Ἐν τῷ μύρῳ ἄρα τὸ μύρον ἐκτελεῖται. Καὶ πάλιν διὰ τοῦ ἀρχιερέως τὸ μύρον ἱερουργεῖται· καὶ χωρὶς ἀρχιερέως οὐ δυνατόν. Οὗτος δὲ κεχρισμένος τῷ μύρῳ ἐν τῷ βαπτίσματι, καὶ χειροτονίαν ἔχων τῇ χάριτι τοῦ Πνεύματος. Ἐξ ἀλλήλων ἄρα τὰ χαρίσματα δίδονται· ἐπειδὴ τοῦ αὐτοῦ καὶ μόνου ἐν Τριάδι Θεοῦ τελοῦσι δωρήματα. Καὶ αἱ χειροτονίαι δὲ ἐν τῷ μύρῳ γίνονται, ὡς ἔφημεν· αὗται γὰρ ἐν τῷ θυσιαστηρίῳ τελοῦνται. Τὸ θυσιαστήριον δὲ τῷ μύρῳ κεχρισμένον ἐστὶ, καὶ χωρὶς θυσιαστηρίου οὐδεὶς τῶν ὀρθοδόξων χειροτονεῖται. Ἐν τῷ μύρῳ ἄρα καὶ ἡ χειροτονία τῶν ἱερέων, ἰδίᾳ καὶ τὴν χειροθεσίαν καὶ τὴν ἐπίκλησιν τοῦ Πνεύματος ἔχουσα. Καινοτομοῦσι δὲ καὶ οἱ τῷ μύρῳ ἐν ταῖς χειροτονίαις νομικῶς χριόμενοι Λατῖνοι, καὶ χωρὶς τοῦ θυσιαστηρίου χειροθετούμενοι, καὶ ἀχαρίτωτοι οὗτοι. Παρ' ἐπισκόπου δὲ μόνου τὸ μύρον τελεῖται, ὡς καὶ ἐν τῇ τελετῇ τοῦ μύρου τοῦτο ἐπιγέγραπται, « Ὅτι φωτιστικὸς ὁ ἐπίσκοπος, καὶ τελείαν ἔχων τὴν χάριν τοῦ Πνεύματος, καὶ διὰ τοῦτο καὶ τὴν μεταδοτικὴν πλουτεῖ τῶν θείων φώτων χάριν· » τουτέστι τῶν χαρισμάτων τὴν δωρεὰν, τὸν Πατέρα τῶν φώτων Θεὸν ἐκμιμούμενος.

ΚΕΦΑΛ. ΟϚ'.

Ὅτι ἑπτὰ τελετὰς ἔχει ἐν ἑαυτῷ ὁ ἐπίσκοπος.

Διὸ καὶ τελετὰς ἑπτὰ περιφέρει κατὰ τὸν ἀριθμὸν τῶν θείων ἐνεργειῶν τοῦ Πνεύματος. Αὗται δέ εἰσι βάπτισμα, μύρου χρίσις, ἀναγνώστου σφραγὶς, χειροθεσία ὑποδιακόνου, χειροτονία διακόνου, πρεσβυτέρου, καὶ ἐπισκόπου. Ἐν τούτοις οὖν τετελεσμένος, ἣν μεταδοτικὴν μόνος κέκτηται χάριν. Διὸ μόνος καὶ τὰς χειροτονίας καὶ τὸ μύρον ἐνεργεῖ. Δι' αὐτῶν δὲ τῶν δύο φθάνει τε πανταχοῦ, καὶ τὰ πάντα αὐτὸς ἐνεργεῖ, τὸν Θεὸν ἐκμιμούμενος, καὶ τὴν αὐτοῦ πλουτῶν χάριν. Καὶ γὰρ ὁ ἀρχιερεύς ἐστιν ὁ τὰ πάντα

A principes ostenduntur. Pontifices autem et sacerdotes soli ordinatione consecrantur; quam neque rex neque monachus accipiunt. Ea autem est singularis gratia et hujus virtutis omnipotentis quæ omnia format et sanctificat. Attamen, si inquiras, et ordinationes in oleo consecratas invenies.

Clericus. Novimus, domine, de prædictis accurate et lætitia impleti sumus. Et gratias Deo, qui propter nos hæc operatur. Explica autem nobis et ea quæ sequuntur, et illud primum quod dixisti, ordinationes in unguento fieri.

CAPUT LXXV.

B *Quod invicem dantur sacramenta et mutuo invicem perficiuntur.*

Pontifex. Ut gratiæ successio semper a Christo ad nos permaneat, neque unguentum sine unguento consecratur, neque ordinatio absque unguento. Ideo et ordinatio in unguento fit. Et illud inde nosces: in altari deponitur oleum et consecratur, et absque altari non potest consecrari. Altare vero antea oleo consecratum est et per illud sanctificatum. In oleo igitur oleum sanctificatur. Et rursum per pontificem unguentum consecratur, et sine pontifice non potest. Ille vero oleo consecratus est in baptismate, et ordinationem habens Spiritus sancti gratia. Alia igitur aliis dantur charismata; quoniam ejusdem C ac solius in Trinitate Dei dona consecrant. Et ordinationes in unguento fiunt, ut dicimus: ipsæ enim in altari consecrantur. Altare vero unguento unctum est; et absque altari, nemo orthodoxorum ordinatur. In unguento igitur et sacerdotum ordinatio, cui propriæ sunt et manuum impositio et Spiritus invocatio. Innovant autem Latini in ordinationibus, ut in lege fiebat, oleo uncti, et absque altari ordinati, atque sic absque gratia. Ab episcopo autem solo unguentum consecratur, ut et in unguenti consecrationis ritu inscriptum est: « Quia episcopus magis illuminatus est et perfectam habet Spiritus gratiam, ideoque possidet et gratiam lumen divinum tradendi; » id est charismatum donum, Patrem luminum Deum imitans.

CAPUT LXXVI.

D *Quod septem potestates cæremoniarum curandarum in se habet episcopus.*

Ideo et septem consecrationes circumfert juxta numerum divinorum Spiritus sancti donorum. Illæ autem sunt, baptismus, unguenti unctio, lectoris character, subdiaconi ordinatio, diaconi, presbyteri et episcopi. In iis igitur consecratus, transmittendi solus gratiam possidet. Ideoque solus ordinationes et oleum operatur. Per hæc autem duo quemlibet in locum se transfert et omnia ipse operatur, Deum imitans et divitiarum ejus possidens gratiam. Etenim pontifex est qui omnia per sacerdotes et

cæteros clericos (cum ipsos ordinaverit) in mysteriis operatur. Et Dionysius illud dicit.

Clericus. Et quomodo id fit, Pater?

CAPUT LXXVII.

Quod solum ab episcopo sacrum unguentum manuumque impositiones: et per eum in omnibus sacris ritibus gratia episcopalis præstatur.

Pontifex. Audi. Nemo sacerdos sacra facere in spiritu valet, aut aliud quoddam operari, nisi ordinationem habeat. Rursum sacerdos mysteria non operatur sine altari. Illud autem oleo sanctificatur. Oleum autem per episcopum solum consecratur. Igitur sine episcopo neque sacrificium, neque sacerdos neque omnino altare. Igitur hæc omnia per episcopum sunt. Rursum nemo baptizat, nisi ordinationem habeat; ea autem est per episcopum. Et rursum non potest baptizare sine oleo; id autem a pontificatu venit. Igitur omnia divina mysteria et in omnibus consecratis episcopatus operatur. Et absque episcopali potentia, neque altare erit, neque ordinatio, neque sacrum oleum, neque baptismus, neque igitur Christiani. Per hanc igitur verus christianismus, et omnia Christi per hanc mysteria. Bene autem non unguntur sensibiliter qui ordinantur, quia nihil materiale operantur, sed omnia spiritualia, et quia ad rerum accesserunt unguentum, quod Christus est, cujus unguentum nomen accepit.

CAPUT LXXVIII.

Quod fons sacerdotii est Christus, et ab illo per successores ejus gratia derivatur.

Ex divinis igitur illis manibus et ore benedictionem et inspirationem et ordinationem recipientes et gratiam, nos qui consecrati sumus gratiam, accipimus per eos quos sanctificavit per successionem. Et fons gratiæ nobis Christus, qui et operatur omnia in omnibus.

Clericus. Et quomodo septem solum modo accipit consecrationes Pontifex, cum sit monachus plerumque et communionis particeps?

Pontifex. Communionem accipere omnibus fidelibus datum est, neque est in pontifice consecratio, sed consecratur ipsum sanctissimum Christi corpus et sanguis et fidelibus omnibus in communionem datur. Et est secundum se ipsam ea sola, omnium consecrationum consecratio, tradita tantummodo in communionem. Status vero monachi est pœnitentiæ proprius status; qui lapsum purificat, et sustollit eum qui decidit. Non autem consecrat in pontificem. Ideo et absque eo statu episcopi constituuntur. Monachi vero qui non recte vivunt, non ad sacerdotium pervenire valent. Viden' bonum Ecclesiæ ordinem?

Clericus. Et de iis didicimus. Igitur, domine, quæ consequuntur, nos doceas. Necessaria quædam cognitu nobis occurrunt inquisitione facta.

A διὰ τῶν ἱερέων καὶ τῶν λοιπῶν κληρικῶν (χειροτονήσας αὐτοὺς) ἐνεργῶν ἐν τοῖς μυστηρίοις. Καὶ Διονύσιος τοῦτό φησι.

Κληρικός. Καὶ πῶς τοῦτο γίνεται, Πάτερ;

ΚΕΦΑΛ. ΟΖ'.

Ὅτι παρ' ἐπισκόπου μόνον τὸ μύρον καὶ αἱ χειροτονίαι, καὶ δι' αὐτοῦ ἐν πάσαις ταῖς τελεταῖς ἡ ἐπισκοπικὴ φθάνει χάρις.

Ἀρχιερεύς. Ἄκουσον. Οὐδεὶς ἱερουργεῖν ἱερεὺς ἰσχύει ἐν πνεύματι, ἢ ἄλλο τι διενεργεῖν, εἰ μὴ χειροτονίαν ἔχῃ. Αὕτη δὲ ἐκ τοῦ ἀρχιερέως ἐστίν. Ἄρα ἡ ἀρχιερωσύνη δι' αὐτοῦ ἐνεργεῖ. Αὖθις ὁ ἱερεὺς οὐ τὰς μυσταγωγίας ἐνεργεῖ χωρὶς θυσιαστηρίου. Τοῦτο δὲ διὰ τοῦ μύρου ἁγιάζεται. Τὸ μύρον δὲ διὰ τοῦ ἀρχιερέως μόνου τελεῖται. Ἄρα χωρὶς ἀρχιερέως οὔτε B θυσία, οὔτε ἱερεὺς, οὔτε θυσιαστήριον ὅλως. Λοιπὸν πάντα ταῦτα διὰ τοῦ ἀρχιερέως εἰσί. Πάλιν οὐδεὶς βαπτίζει, εἰ μὴ χειροτονίαν ἔχῃ· αὕτη δὲ ἐξ ἀρχιερέως. Καὶ πάλιν οὐ δύναται βαπτίζειν δίχα τοῦ μύρου. Τοῦτο δὲ τῆς ἀρχιερωσύνης ἐστίν. Ἄρα πάντα τὰ θεῖα μυστήρια καὶ ἐν πᾶσιν ἱερωμένοις ἡ ἀρχιερωσύνη ἐνεργοῦσά ἐστι· καὶ χωρὶς ταύτης οὔτε θυσιαστήριον ἔσται, οὔτε χειροτονία, οὔτε μύρον ἅγιον, οὔτε βάπτισμα· οὔτε ἄρα Χριστιανοί. Δι' αὐτῆς οὖν ὁ ἀληθὴς Χριστιανισμὸς, καὶ τὰ τοῦ Χριστοῦ **93** δι' αὐτῆς πάντα μυστήρια. Καλῶς δὲ οὐ χρίονται οἱ χειροτονούμενοι αἰσθητῶς, ὅτι οὐδὲν τῶν ὑλικῶν ἐνεργοῦσιν, ἀλλὰ πάντα πνευματικὰ, καὶ ὅτι τῷ ἀληθινῷ προσήγγισαν μύρῳ, ὅπερ ἐστὶν Ἰησοῦς Χριστὸς, οὗ μύρον ἐκκενωθὲν ὄνομα.

C

ΚΕΦΑΛ. ΟΗ'.

Ὅτι πηγὴ τῆς ἱερωσύνης ὁ Χριστὸς καὶ ἐξ ἐκείνου διὰ τῶν διαδόχων αὐτοῦ ἡ χάρις μετοχετεύεται.

Ἐκ τῶν θείων οὖν ἐκείνων χειρῶν καὶ τοῦ στόματος λαβόντες τὴν εὐλογίαν καὶ ἔμπνευσιν καὶ τὴν χειροτονίαν καὶ χάριν, διὰ τῶν ἐξ ἐκείνου ἁγιασθέντων κατὰ διαδοχὴν τὴν χάριν οἱ ἱερωμένοι λαμβάνομεν· καὶ πηγὴ ἡμῖν τῆς χάριτος ὁ Χριστὸς, ὃς δὴ καὶ ἐνεργεῖ τὰ πάντα ἐν πᾶσι.

Κληρικός. Καὶ πῶς ἑπτὰ μόνον λαμβάνει τελετὰς ὁ ἀρχιερεὺς, μοναχὸς ὢν, πολλάκις καὶ κοινωνίας μετέχων;

Ἀρχιερεύς. Τὸ κοινωνεῖν πᾶσι πιστοῖς πρόκειται, καὶ οὐ τελετὴ εἰς τὸν ἀρχιερέα ἐστὶν, ἀλλ' εἰς τὸ D ἱερουργηθῆναι αὐτὸ τὸ πανάγιον σῶμα Χριστοῦ καὶ αἷμα, καὶ τοῖς πιστοῖς ἅπασιν εἰς κοινωνίαν δοθῆναι· καὶ ἔστι καθ' ἑαυτὴν αὕτη μόνη πασῶν τελετῶν τελετὴ, μεταδιδομένη μόνον εἰς κοινωνίαν. Τὸ σχῆμα δέ γε τοῦ μοναχοῦ τῆς μετανοίας ἐστὶν ἴδιον· ὃ καὶ καθαίρει τὸν πταίσαντα, ἢ ἀνυψοῖ τὸν προκόπτοντα. Οὐ τελειοῖ δὲ εἰς ἱερέα. Διὸ καὶ χωρὶς τοῦ σχήματος ἐπίσκοποι καθιστῶνται. Μοναχοὶ δὲ μὴ τὸν βίον ἁρμόδιον ἔχοντες, οὐ πρὸς ἱερωσύνην ἐλθεῖν ἰσχύουσιν. Ὁρᾷς τὴν εὐταξίαν τῆς Ἐκκλησίας;

Κληρικός. Καὶ ὑπὲρ τούτου ἐμάθομεν. Λοιπὸν, δέσποτα, καὶ τὰ ἀκόλουθα δίδαξον ἡμᾶς. Ἀναγκαῖα γάρ τινα ἡμῖν πρὸς γνῶσιν ἔρχονται, τῆς ζητήσεως γινομένης.

ΠΕΡΙ ΤΗΣ ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ.

DE SACRA LITURGIA.

Ἀρχιερεύς. Χάρις ὑμῖν, ἀδελφὲ, δι' ὑμῶν γὰρ καὶ αὐτὸς πρὸς τοῦτο κινούμενος, τινὰ τῶν ἀναγκαίων μανθάνω. Καὶ οὐκ αἰδοῦμαι τοῦτο ὁμολογεῖν. Δι' ὑμᾶς οὖν καὶ δι' ἐμὲ, καὶ ἔτι λέξω τὰ κατὰ δύναμιν. Καὶ λοιπὸν ἀκόλουθον ἂν εἴη, περὶ τῆς φρικτῆς καὶ θείας ἱερουργίας διαλαβεῖν. Οὕτω γὰρ καὶ ὁ μέγας ἐκτίθησι Διονύσιος, μετὰ τὴν τελετὴν τοῦ θειοτάτου μύρου περὶ ταύτης εἰπών. Πλὴν μήτις τολμητὰς ἡμᾶς ὑποπτεύσειε, μηδὲ ὑψηλοφροσύνην ἡμῖν ἐγκαλέσειε, περὶ τῶν οὕτω μεγίστων ἐπιχειροῦσι λέγειν, ἃ δὴ ἀποστολικοὶ καὶ θεῖοι ἄνδρες ἡρμήνευσαν, καὶ τοιοῦτοι, ὡς ὑπεραρθῆναι τῶν οὐρανῶν, καὶ Θεοῦ μυστήρια ἄῤῥητα μυηθῆναι. Οὐχ ἵνα τοίνυν περισσότερον εἴποιμεν, μηδαμῶς ἡμῖν, Κύριε, ἡ τοιαύτη ἔλθοι ἀπόνοια, καὶ βλασφημία μᾶλλον εἰπεῖν· ἀλλ' ἁγιαζόμενος τὸν νοῦν ἐκ τῶν εἰρημένων B ἐκείνοις, καὶ ὁδηγούμενος ὡς τέκνον καὶ δοῦλος αὐτῶν εἰς φῶς γνώσεως θειοτέρας, ἐξ ὧν ἐκεῖνοι οὐρανίως καὶ ἀξίως αὐτῶν συνεγράψαντο, ὅσον ἐγχωρεῖ τὰ παρ' ἐκείνων κἀμοί τε καὶ τοῖς ἀδελφοῖς ἐκτίθημι ἐν ἀγάπῃ. Καὶ τοῦτο ἐπιταγὴ ἐκείνων καὶ κέλευσμα· καὶ ὅτι ἐπεὶ ταῖς εὐχαῖς αὐτῶν τῆς αὐτῶν χάριτος ἠξιώμεθα, ἀναγκαῖον περὶ ὧν ἐνεργοῦμεν θείων, ἐξετάζειν καὶ μεριμνᾷν, ἵνα πρὸς γνῶσιν χειραγωγώμεθα μείζονα κατὰ τὴν ἐκείνων ἐκμίμησιν· ὅτι καὶ τούτου χάριν οὗτοι τὰ θεῖα ἡρμήνευον. Τὰ μὲν οὖν περὶ τῆς ἱερᾶς λειτουργίας, ἣν εὐχαριστίαν καὶ κοινωνίαν **94** ὁ ἰσαπόστολος ὀνομάζει ἱερὸς Διονύσιος, ἐκ τούτου καὶ λοιπῶν ἄλλων ὁμοίων αὐτῷ λαβόντες τὰς ἀφορμὰς, καὶ ἐν ἄλλοις εἰρήκαμεν κατὰ C δύναμιν, περί τε ναοῦ θείου, καὶ τῶν ἱερῶν ἐνδυμάτων, καὶ περὶ τῆς ἱερᾶς μυσταγωγίας· καὶ νῦν ἀκολούθως τοῖς εἰρημένοις ὡς ἐν βραχεῖ τὰ περὶ τούτου ὡς ἰσχὺς ἑρμηνεύσομεν διά τε τὸ τοῦ λόγου ἑπόμενον, καὶ τὴν τάξιν τῶν μυστηρίων. Κοινωνία τοίνυν ἐστὶν ἕνωσις Θεοῦ μεθ' ἡμῶν, θέωσις ἡμῶν, ἁγιασμὸς, χάριτος πλήρωμα, ἔλλαμψις, ἀποτροπὴ παντὸς ἐναντίου. Χορηγία παντὸς ἀγαθοῦ, καὶ τί ἕτερον ἢ Θεοῦ σύγκρασίς τε καὶ κοινωνία; Τοῦτο μυστήριον μυστηρίων, καὶ ἁγίων ἁγιασμὸς, καὶ ὄντως ἁγίων ἅγιον, καὶ τελετῶν ἁπασῶν τελετὴ, καὶ τελετάρχης τε καὶ τελεστική. Ἐπεὶ καὶ ὁ μόνος τελετάρχης Λόγος αὐτὴν εἰργάσατο καὶ παρέδωκε, καὶ αὐτός ἐστιν αὐτή· καὶ ἵνα μένῃ μεθ' ἡμῶν αὐτὴν παραδέδωκεν. Ὁ μὲν οὖν θεῖος Διονύσιος συνάγων D τὰ τῆς τελετῆς τῆς μεγίστης ταύτης τῇ μεγίστῃ

A *Pontifex.* Gratias vobis, frater; per vos et ipse ad id motus, aliqua necessaria disco. Et id non erubesco fateri. Propter vos igitur et propter me, dicam adhuc pro viribus. Oporteret igitur ut de terribili ac divina consecratione dissereremus. Ita enim magnus Dionysius deponit, et post divini olei ritum, de ea locutus est. Sed nemo tamen nos audaces suspicetur esse, neque superbiam nobis exprobret, si de tantis dicere tentamus, quæ apostolici et divini viri interpretati sunt; et tales, ut in cœlos sublevarentur et ineffabilibus mysteriis initiarentur. Non ut quid ultra dicamus; procul a nobis absit, Domine, talis cogitatio, aut potius blasphemia; sed mente sanctificatus ex iis quæ dixerunt et directus tanquam filius et servus B eorum ad divinæ scientiæ lumen, iis quæ ipsi cœleste et digne conscripsere, quantum licet, ea ab ipsis mutuata et mihi et fratribus in charitate expono. Et hoc est eorum consilium et mandatum. Et quoniam per eorum preces, eorum quoque gratia digni habemur, necesse est, ut de iis quæ operamur divinis, inquiramus diligenter, ut ad majorem perducamur scientiam juxta ipsorum imitationem; hujus enim scientiæ gratia, ii divina interpretati sunt. Quæ igitur sacræ liturgiæ sunt, Eucharistiam et communionem nominat ille apostolorum similis sanctus Dionysius. Ex eo et cæteris ipsi similibus animum sumentes, et de aliis pro viribus jam diximus, nempe de sacro templo, de C sacris indumentis et de sacra doctrina. Nunc vero consequenter de liturgia dicemus breviter et pro viribus, tum propter orationis consequentiam, tum propter mysteriorum ordinem. Communio igitur est Dei unio nobiscum, nostri deificatio, sanctificatio, gratiæ plenitudo, illuminatio, omnis adversarii eversio, omnis boni concessio, et quid aliud nisi cum Deo immistio et communicatio? id est mysteriorum mysterium, et sanctorum sanctificatio et vere sanctum sanctorum, et consecrationum omnium consecratio; et consecrationis operator, et facta consecratio; quoniam et solum Verbum consecrationis principium eam operatum est et tradidit, et ipsum ea est; nobis et eam tradidit ut nobiscum maneat. Magnus igitur Dionysius hujus D tantæ consecrationis maxima periodo et cogitatione mysteria omnia exposuit tanquam in compendio.

et splendidissima edocet, ut et de aliis mysteriis. Nos autem debiles et ultimi discipulorum ejus discipuli, quomodo magistri doctrinam penetrabimus? Sed tamen, quantum potuimus, ad animarum vestrarum lumen, ex ipso discere et etiam ex iis qui post eum gratiam accepere et divinis nostris patribus, pro viribus dicemus, ut nos interrogavistis. Ideo et de iis quæ in propositione et quæ in altari consecrantur, omnibus disserere curabimus, inquirentes, ut valemus, quas rationes unumquodque habeat. Atque sane in Christo dicimus.

CAPUT LXXIX.

Quid significet antistitis de sede episcopali descensio, et quid per sacra vestimenta, illorumque indutionem notetur?

Pontifex e throno suo descendit; is est Dei descensus; et ter adorans Deum, gratiam et virtutem divina perficiendi efflagitat, ostendens se esse servum Dei et ipsius virtute ipsius ministerio servire. Deinde sacras vestes induit, quæ septem sunt, propter septem Spiritus sancti dona. Eæ autem sunt: sticharium, epitrachelium, zona, epimanicia, gremiale, phænolium, saccus, polystaurium, ac tandem omophorium. Omnes simul Christi incarnationem ostendunt, et quæ ad Incarnationem pertinent. Unaquæque vero propriam significationem habet. Sticharium, quod album est, lumen Dei repræsentat purum, et quod naturam nostram Deus puram creavit et assumpsit. Si vero rubrum sit, propter passionem est, quia propter nos sanguinem effudit Verbum incarnatum. Quæ in ipso videntur flumina, charismata doctrinæ ostendunt, et etiam Salvatoris nostri sanguinis rivos. Ideo et solummodo ea fert episcopale sticharium; ut et mandyas (cappa). Ipse quidem episcopus providentem et comprehensivam et protegentem gratiam Dei repræsentat et totum corpus colligit et comprehendit. Flumina autem significant varios doctrinæ motus, ex duobus testamentis perenniter scaturientes ex Vetere et ex Novo; quæ duo testamenta pocula indicant: et adhuc eam quæ in pectore, id est in corde aperta est, Evangelii Christi scientiam quod Evangelium ordinatus in capite apertum accepit. Ideo « Qui credit in me, inquit, flumina de ventre ejus fluent aquæ vivæ. » id est, Spiritus sancti virtutes, ut ipsum docet sacrum Evangelium, dicens: « Id autem dicebat, de Spiritu quem debebant accipere credentes in eum. » Et quia gratiam accipimus, non vero naturam Spiritus, addit: « Nondum enim erat Spiritus sanctus, quia Jesus nondum erat glorificatus. » Quid illud? *Nondum erat Spiritus sanctus?* Etenim erat et est et erit, secundum naturam et hypostasim; et fons charismatum semper est. Sed nondum data erant ejus charismata, quoniam nondum oblata fuerat per crucem victima. Illud enim est: « Jesus nondum erat glorificatus. » Gloria enim Christi crux est.

φράσει τε καὶ ἐννοίᾳ, πάντα ἐν ἐπιτόμῳ ἐκτίθεται, καὶ λαμπρότατα θεωρεῖ, ὡς καὶ περὶ τῶν λοιπῶν ποιεῖ μυστηρίων· ἡμεῖς δὲ ἀδρανεῖς ὄντες καὶ ἔσχατοι τῶν μαθητῶν αὐτοῦ μαθηταὶ, πῶς τὰ ἐκείνου κατίδωμεν; Ὅμως ὅσον ἰσχύσαμεν εἰς φωτισμὸν τῶν ψυχῶν ἡμῶν ἐκ τούτου καταμαθεῖν, καὶ ἔτι τῶν λοιπῶν τούτου διαδόχων τῆς χάριτος καὶ θείων Πατέρων ἡμῶν, κατὰ δύναμιν ἐροῦμεν, ὡς ἐζητήσατε· διὸ καὶ περὶ τῶν ἐν τῇ προθέσει καὶ τῶν ἐν τῷ θυσιαστηρίῳ τελουμένων ἁπάντων διαλαβεῖν σπουδάσομεν, ἐξετάζοντες ὡς ἰσχὺς, τίνας λόγους ἕκαστον ἔχει. Καὶ δὴ λέγομεν ἐν Χριστῷ.

ΚΕΦΑΛ. ΟΘ'.

Τί δηλοῖ ἡ τοῦ ἱεράρχου ἐκ τοῦ θρόνου κατάβασις, καὶ τὰ ἱερὰ ἐνδύματα, καὶ τὸ ταῦτα ἐνδύσασθαι.

Ὁ ἱεράρχης κατέρχεται τοῦ θρόνου αὐτοῦ, τοῦτο ἡ Θεοῦ συγκατάβασις, καὶ προσκυνήσας τρὶς τῷ Θεῷ, ἐξαιτεῖται χάριν καὶ δύναμιν τοῦ ἐκτελέσαι τὰ θεῖα, δεικνὺς ὅτι δοῦλος Θεοῦ, καὶ τῇ αὐτοῦ ἰσχύϊ τοῖς αὐτοῦ ἐξυπηρετεῖ. Εἶτα τὰ ἱερὰ ἐνδύεται ἄμφια, ἑπτὰ ὄντα διὰ τὰς ἑπτὰ ἐνεργείας τοῦ Πνεύματος. Ταῦτα δέ εἰσι στιχάριον, ἐπιτραχήλιον, ζώνη, ἐπιμανίκια, ἐπιγονάτιον, φαινόλιον, ἢ σάκκος, ἢ πολυσταύριον, καὶ τέλος ὠμοφόριον. Ἅπαντα ὁμοῦ τὴν ἐνανθρώπησιν δηλοῦσι Χριστοῦ, καὶ τὰ τῆς ἐνανθρωπήσεως. Ἰδίᾳ δὲ ἕκαστον σημασίαν ἔχει τινά· τὸ μὲν στιχάριον λευκὸν ὂν, τὸ φῶς τοῦ Θεοῦ καὶ καθαρὸν, καὶ ὅτι καθαρὰν τὴν φύσιν ἡμῶν ἔκτισε καὶ προσείληφεν. Εἰ δὲ πορφυροῦν, διὰ τὸ πάθος, ὅτι τὸ αἷμα ἐξέχεε δι' ἡμᾶς ὁ ἐνανθρωπήσας Λόγος. Οἱ ἐν αὐτῷ δὲ ποταμοὶ, τὰ χαρίσματα τῆς διδασκαλίας, ἔτι δὲ καὶ τοὺς τοῦ αἵματος τοῦ Σωτῆρος ἡμῶν κρουνούς. Διὸ καὶ μόνον τούτους τὸ ἀρχιερατικὸν στιχάριον κέκτηται· ὡς καὶ ὁ μανδύας, αὐτὸς μὲν τὴν προνοητικὴν καὶ συνεκτικὴν καὶ σκεπαστικὴν χάριν ἐκτυπῶν τοῦ Θεοῦ, καὶ ὅλον τὸ σῶμα συνέχων καὶ συλλαμβάνων. Οἱ ποταμοὶ δὲ τὰ διάφορα τῆς διδασκαλίας κινήματα, ἐκ τῶν δύο πηγάζοντα ἀεννάως Διαθηκῶν, τῆς παλαιᾶς τε καὶ νέας, ἃς δηλοῦσι τὰ πώματα· καὶ ἔτι τὴν ἐν τῷ στήθει ἤτοι τῇ καρδίᾳ ἀνεῳγμένην γνῶσιν τοῦ Εὐαγγελίου Χριστοῦ, ὃ δὴ καὶ ἐπὶ κεφαλῆς χειροτονούμενος ἀνεῳγμένον ἐδέξατο. Διὸ καὶ, « Ὁ πιστεύων εἰς ἐμὲ, φησὶ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος,» ἤτοι τοῦ Πνεύματος αἱ ἐνέργειαι, ὡς αὐτὸ διδάσκει τὸ ἱερὸν Εὐαγγέλιον, λέγον, « Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· καὶ ὅτι χάριν λαμβάνομεν, καὶ οὐ τὴν φύσιν τοῦ Πνεύματος, ἐπάγει, « Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. » Τί τοῦτο λέγων, « Οὔπω ἦν Πνεῦμα ἅγιον; » καὶ γὰρ ἦν, καὶ ἔστι, καὶ ἔσται, κατὰ τὴν φύσιν καὶ τὴν ὑπόστασιν· καὶ πηγὴ χαρισμάτων ἀεί ἐστιν. **95**
Ἀλλ' οὔπω ἐδόθη τὰ τούτου χαρίσματα, ἐπεὶ οὐδέπω ἡ διὰ σταυροῦ προσηνέχθη θυσία. Τοῦτο γάρ ἐστι τὸ, « Ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη· » ἐπεὶ δόξα Χριστοῦ ὁ σταυρός.

ΚΕΦΑΛ. Π'.

Περὶ τοῦ ἀρχιερατικοῦ μανδύου τε, καὶ τοῦ ἐγκολπίου, καὶ τῆς ποιμαντικῆς ῥάβδου.

A Τυθέντος οὖν καὶ θανόντος καὶ ἀναστάντος καὶ ἀνελθόντος Χριστοῦ ὑπὲρ ἡμῶν, τότε τὸ Πνεῦμα κατῆλθε καὶ τὴν χάριν ἐλάβομεν· καὶ ἐκ τῆς καρδίας τῶν πιστῶν οἱ ποταμοὶ τῶν δωρεῶν ῥέουσι. Καὶ τοῦτο δηλοῖ ὁ μανδύας· καὶ ἡ σφραγὶς δὲ καὶ ὁμολογία τῆς πίστεως ἐν τῷ τοῦ ἀρχιερέως στήθει ἐκκρεμαμένη διὰ σταυρίου ἢ ἐγκολπίου τινός. Καὶ τοῦτο γὰρ ἐν τῷ στήθει διὰ τὴν ἐκ καρδίας ὁμολογίαν. Ἡ ῥάβδος δὲ ἣν κατέχει, τὴν ἐξουσίαν δηλοῖ τοῦ Πνεύματος, καὶ τὸ στηρικτικὸν τοῦ λαοῦ, καὶ τὸ ποιμαντικὸν, καὶ τὸ ὁδηγεῖν δύνασθαι, καὶ τὸ παιδεύειν τοὺς ἀπειθοῦντας, καὶ τὸ συνάγειν εἰς ἑαυτὸν τοὺς μακράν. Διὸ καὶ λαβὰς ὡς ἀγκύρας ἄνωθεν ἔχει, καὶ B τὸ διώκειν τοὺς θηριώδεις τε καὶ λυμαντικούς, καὶ τελευταῖον τὸν σταυρὸν τοῦ Χριστοῦ δηλοῖ καὶ τὸ τρόπαιον, ἐν ᾧ καὶ νικῶμεν, καὶ στηριζόμεθα, καὶ ὁδηγούμεθα, καὶ ποιμαινόμεθα, καὶ σφραγιζόμεθα, καὶ παιδαγωγούμεθα, καὶ ἑλκόμεθα εἰς Χριστὸν τὰ πάθη νεκροῦντες, καὶ τοὺς πολεμίους διώκομεν, καὶ πάντοθεν φυλαττόμεθα. Ἀλλὰ καὶ τὸ λαμπάδα ἡμμένην προηγεῖσθαι αὐτοῦ τὴν λάμψιν δηλοῖ τῆς ἐν τῷ ἀρχιερεῖ χάριτος, καὶ τὸ δι' αὐτοῦ μεταδοτικὸν αὐτῆς πρός τε ἱερατικούς, καὶ τοὺς λοιποὺς πιστοὺς ἅπαντας. Πάντα γὰρ τὰ δῶρα ἐν πᾶσι διὰ τῆς ἀρχιερατικῆς χάριτος, καὶ οὐδὲν χωρὶς αὐτῆς· διὸ καὶ φωτιστικὸς ὁ ἀρχιερεὺς παρὰ τῷ ἱερῷ Διονυσίῳ καλεῖται, καὶ τὸν Πατέρα ἐκμιμεῖται τῶν φώτων, καὶ C τὸ ἀληθινὸν φῶς τὸν Ἰησοῦν, καὶ τῶν ἀποστόλων ἔχει τὴν χάριν, οἳ φῶς τοῦ κόσμου ἐκλήθησαν. Καὶ τὸ διδασκαλικὸν δὲ χάρισμα τὸ φῶς προϊὸν σημαίνει, τὴν λάμψιν παρέχον τῆς τοῦ Θεοῦ γνώσεως καὶ τῶν ἀρετῶν, καὶ ἔτι τὴν ἀγγελικὴν καὶ θείαν καὶ κεκαθαρμένην καὶ φωτεινὴν τῶν ἱερῶν ἀνδρῶν βιοτὴν, καὶ μάλιστά γε τῶν διδασκάλων, περὶ ὧν γέγραπται, «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς·» καὶ ἔτι ὅτι πρὸς τὸ φῶς ὁδηγεῖ ὁ ἀρχιερεὺς, ἐκμιμούμενος Χριστὸν τὸ φῶς τοῦ κόσμου, ὡς ἔφη, ὅτι καὶ τὴν αὐτοῦ πλουτεῖ χάριν, καὶ πρὸς αὐτὸν ἄγει τοὺς ἑπομένους αὐτῷ. Ταῦτα μὲν τὰ τοιαῦτα δηλοῦσι, καὶ ἔτι μείζονα, οἷα ἄν τις ἐννοήσοι τῶν θείων. D

CAPUT LXXX.

De episcopali pallio et pectorali theca, et de pastorali baculo.

Postquam Christus sacrificatus est et mortuus est et resurrexit et pro nobis in cœlos rediit, tunc Spiritus sanctus descendit et gratiam accepimus. Et ex fidelium corde flumina donorum fluunt. Et illud cappa significat. Et signum ac confessio fidei in episcopi pectore suspenditur per quoddam crucigerum seu quoddam pectorale; et illud est in pectore, propter confessionem quæ ex corde fit. Baculum autem quod gestat, potentiam Spiritus significat et populi firmandi ac pascendi officium, et dirigendi potestatem et inobedientes docendi et ad seipsos reducendi qui longe aberraverunt (ideo in superiore parte quasdam ansas tanquam anchoras habet), et persequendi eos qui feri sunt et rabidi. Demum significat Christi crucem et tropæum in quo et vincimus et firmamur et dirigimur, et pascimur, et signamur, et docemur, et trahimur in Christum, cupiditates malas mortificantes, et hostes persequimur, et undique custodimus. Et quod ante ipsum lampas præfertur, id ostendit splendorem gratiæ quæ est in episcopo, et ejus traditionem et sacerdotibus et cæteris omnibus fidelibus. Omnia enim hæc dona in omnibus per episcopalem gratiam, et nihil sine ea. Ideo et Lucifer episcopus apud sanctum Dionysium nominatur, et Patrem luminum imitatur, et verum lumen Jesum, et apostolorum habet gratiam, qui lumen mundi appellati sunt. Et doctrinæ charisma, lumen præcedens indicat, illuminationem præbens et Dei scientiæ et virtutum; et adhuc angelicam et divinam et mundatam et lucidam sanctorum virorum vitam, et præcipue doctorum de quibus scriptum est: «Luceat lux vestra coram hominibus ut videant opera vestra bona et glorificent Patrem vestrum qui in cœlis est.» Et adhuc ad lumen ducit episcopus, Christum, lumen mundi imitans, ut dixit; ejus gratia ornatur abundanter, et ad eam ducit eos qui ipsum sequuntur. Hæc quidem talia indicant, et adhuc majora qualia quis divina cogitare velit.

ΚΕΦΑΛ. ΠΑ'.

Ὅτι ἑπτὰ τὰ τοῦ ἀρχιερέως ἱερὰ ἐνδύματα, καὶ τίνα ταῦτα, καὶ τί ἕκαστον τούτων δηλοῖ.

Ὁ δὲ ἀρχιερεὺς ἐνδύεται μὲν, ὡς εἰρήκαμεν, τὸ στιχάριον, ὡς ἔνδυμα ἀφθαρσίας φωτεινὸν καὶ ἁγιωσύνης, τὸ καθαρὸν καὶ φωτιστικὸν Ἰησοῦ, καὶ τὸ τῶν ἀγγέλων ἁγνὸν καὶ λαμπρὸν δηλοῦν· καὶ τὴν εὐχήν φησιν ἀπὸ τοῦ Ψαλμοῦ, «Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ.» Εἶτα τὸ ἐπιτραχήλιον, τὴν ἄνωθεν ἐκ τοῦ οὐρανοῦ ἀπὸ κεφαλῆς δοθεῖσαν χάριν σημαῖνον· καὶ ἡ εὐχὴ τοῦτό φησιν, «Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱε-

CAPUT LXXXI.

Septem esse indumenta episcopi, et quænam hæc (*), et quid per singula significetur.

Episcopus induitur quidem, ut diximus, stichario, tanquam immortalitatis et sanctitatis indumento lucido, puritatem et lumen Jesu, angelorumque munditiam et splendorem ostendente. Et orationem ex psalmo excerptam dicit: «Exsultabit anima mea in Domino.» Deinde epitrachelio induitur, eam quæ de sursum e cœlo a capite data est, gratiam indicante. Et id exprimit oratio: «Benedictus Deus, qui effundit gratiam suam in sacer-

* Τὸ στιχάριον, τὸ ἐπιτραχήλιον, ἡ ζώνη, τὸ ἐπιγονάτιον, τὰ ἐπιμανίκια, τὸ φαινόλιον, τὸ πολυσταύριον.

dotes suos. » Deinde Zona: quæ repræsentat a Deo A datam virtutem circa renes posita. Et testatur oratio. Dum enim cingitur, dicit: « Benedictus Deus qui præcingit me virtute. » Simul diaconii opus significat. Diaconus enim et ipse circumcingitur; et adhuc sapientiam ac puritatem, quæ in renibus et lumbis sita est. Deinde gremiale induit, quod mortis victoriam ostendit, et Salvatoris resurrectionem, quod romphææ formam habet, et illud dicit oratio: « Accingere romphæa tua, super femur tuum, potentissime; » sic indicans et potentiam et victoriam et resurrectionem Christi per puritatem et innocentiam: ideo enim et illud circa lumbos suspenditur. « Et specie tua et pulchritudine tua, inquit, intende, prospere procede et regna, pro B propter veritatem et mansuetudinem et justitiam, propter veritatem quidem quia ipse est veritas: » et « misericordia et veritas ante faciem Domini; » propter mansuetudinem vero, quia patienter dolores sustinuit; et propter justitiam; quia, cum non peccavisset, mortuus, mortem occidit. Deinde accipit epimanicia quæ quidem Dei opus, creationem indicant. Et id oratio dicit: « Dextera tua, Domine, glorificata est in virtute; » et illud: « Manus tuæ fecerunt me et plasmaverunt me. » Adhuc vero et quod manibus peregerit mysteria sua, e manus ligatas habuerit. Deinde phænolium, sive saccus sit, sive polystaurium; quæ quidem clamydem significant qua in passione indutus est. Et saccum magis saccus, et polystaurium protectricem et C custodientem et in omnibus providentem gratiam Dei, per quam et inter nos visus est et passionem sustinuit.

CAPUT LXXXII.

Quod humerale ex lana neque ex ulla alia materia parari oportet. Et quosnam denotent qui episcopum induunt. Et quid ejus versus occidentem processus.

Ultimum est omophorium, quod ab humeris pontificem circumdans errantis ovis hominumque salutem et revocationem repræsentat; cujus quidem Salvator formam suscepit, in qua et passus per crucem nos salvavit. Unde ex lana conficitur, et ante et retro et in pectore in formam crucis quatuor cruces habet, quæ crucifixionem repræsen- D tant. Et ita quidem indutus stat pontifex. Et benedicit eos qui ipsi ministrant. Ii porro sunt diaconi, angelos significantes, qui Incarnationi mysterium suum præbuerunt. Cum quibus diaconis qui bini procedunt, propter bonum cœlorum ordinem quem imitantur qui in terra sunt, cum silentio ad occidentem procedit pontifex post diaconos veniens. Idque ostendit quam humiliter et simpliciter vixerit Salvator in primo suo adventu, et ante faciem suam apostolos suos binos misit, quibus aderant cooperantes angeli. Pontifex igitur ad occidentales fores cum diaconis consistit, repræsentans descensum Christi in terras et in ipsos inferos, per quem et viventes et mortuos liberavit.

ρεῖς αὐτοῦ. » Εἶτα τὴν ζώνην, τὴν ἀπὸ Θεοῦ ἰσχὺν ἐκτυποῦσαν περὶ τὴν ὀσφὺν τιθεμένην· καὶ ἡ εὐχὴ μαρτυρεῖ· ἐν τῷ περιζώννυσθαί φησι γάρ, « Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν. » Ἅμα δὲ καὶ τὸ τῆς διακονίας ἔργον δηλοῖ· ὁ γὰρ διακονῶν περιζώννυται· καὶ ἔτι τὴν σωφροσύνην καὶ ἁγνείαν, ἐπὶ τοὺς νεφροὺς κειμένην καὶ τὴν ὀσφύν. Ἔπειτα τὸ ἐπιγονάτιον, τὴν κατὰ τοῦ θανάτου νίκην δηλοῦν, καὶ 96 τὴν τοῦ Σωτῆρος ἀνάστασιν, ὅπερ καὶ ὡς σχῆμα ῥομφαίας ἔχει· καὶ ἡ εὐχὴ τοῦτό φησι, « Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, » ἐκ τούτου καὶ τὴν δύναμιν, καὶ τὴν νίκην, καὶ τὴν ἔγερσιν τοῦ Χριστοῦ διὰ τῆς καθαρότητος καὶ ἀναμαρτησίας δηλῶν. Διὰ τοῦτο γὰρ καὶ αὐτὸ ἐπὶ τῆς ὀσφύος ἐκκρέμαται. « Καὶ τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, φησί, καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. » Καὶ ἀληθείας μέν, ὅτι αὐτός ἐστιν ἡ ἀλήθεια, « καὶ ἔλεος καὶ ἀλήθεια πρὸ προσώπου τοῦ Θεοῦ. « Πραότητος δέ, διὰ τῶν παθημάτων τὴν ὑπομονήν. Καὶ δικαιοσύνης, ὅτι μὴ ἁμαρτήσας, θανών, τὸν θάνατον ὤλεσεν. Εἶτα λαμβάνει τὰ ἐπιμανίκια· ἃ δὴ τὸ παντουργικὸν σημαίνουσι τοῦ Θεοῦ· καὶ ἡ εὐχὴ τοῦτο λέγει· « Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ. » Καὶ τό, « Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. » Ἔτι δὲ καὶ τὸ ταῖς χερσὶν ἱερουργῆσαι τὰ μυστήρια ἑαυτοῦ· καὶ τὸ τὰς χεῖρας δεθῆναι. Εἶτα τὸ φαινόλιον, ἢ σάκκος ὄν, ἢ πολυσταύριον, ἃ δὴ τὴν ἐν τῷ πάθει σημαίνουσι χλαῖναν. Καὶ τὸν σάκκον μᾶλλον ὁ σάκκος· καὶ τὸ πολυσταύριον δέ· ἀλλὰ καὶ τὴν προνοητικὴν καὶ φρουρητικὴν ἐν πᾶσι καὶ συνεκτικὴν χάριν τοῦ Θεοῦ, δι' ἣν καὶ καθ' ἡμᾶς ὤφθη, καὶ τὰ πάθη ὑπήνεγκε.

ΚΕΦΑΛ. ΠΒ'.

Ὅτι τὸ ὠμοφόριον ἐξ ἐρίου, καὶ οὐκ ἐξ ἄλλης ὕλης δεῖ κατασκευάζεσθαι· καὶ τίνας δηλοῦσιν οἱ φοροῦντες τὸν ἀρχιερέα· καὶ τί τὸ κατέρχεσθαι πρὸς δυσμάς.

Καὶ τελευταῖον τὸ ὠμοφόριον, ὃ ἀπὸ τῶν ὤμων ἑλίττων, τὴν τοῦ πλανηθέντος προβάτου τῶν ἀνθρώπων ἡμῶν δηλοῖ σωτηρίαν τε καὶ ἀνάκλησιν, οὗ δὴ καὶ τὴν μορφὴν ἀνέλαβεν ὁ Σωτήρ, ἐν ᾗ καὶ παθὼν διὰ σταυροῦ ἡμᾶς ἔσωσεν· ὅθεν καὶ ἐξ ἐρίου. Καὶ ἔμπροσθέν τε καὶ ὄπισθεν καὶ ἐπὶ τοῦ στήθους σταυροειδῶς τέσσαρας ἔχει σταυρούς, τὴν σταύρωσιν ἐκτυποῦντας. Καὶ οὕτω μὲν στολισάμενος ἵσταται ὁ ἀρχιερεύς· καὶ εὐλογεῖ τοὺς ὑπηρετήσαντας. Οὗτοι δὲ διάκονοί εἰσι, τοὺς ἀγγέλους τυποῦντες τῇ σαρκώσει ὑπηρετήσαντας. Μεθ' ὧν δὴ καὶ κατὰ συζυγίαν προπορευομένων διὰ τὴν ἐν οὐρανοῖς εὐταξίαν, ἣν μιμοῦνται οἱ ἐπὶ γῆς, μετὰ σιγῆς πρὸς δυσμὰς προπορεύεται, αὐτοῦ τοῦ ἀρχιερέως ὄπισθεν αὐτῶν ἐρχομένου, δηλοῦντος τοῦτο, ὡς ταπεινῶς τε καὶ εὐτελῶς ἦν πολιτευόμενος ὁ Σωτὴρ κατὰ τὴν αὐτοῦ πρώτην παρουσίαν· καὶ πρὸ προσώπου αὐτοῦ τοὺς ἀποστόλους ἀπέστειλεν ἀνὰ δύο, οἷσπερ καὶ συνῆσαν συνεργοῦντες ἄγγελοι. Ὁ μὲν οὖν ἀρχιερεὺς περὶ τὰς πρὸς δυσμὰς ἵσταται πύλας μετὰ τῶν διακόνων, τὴν μέχρι τῆς γῆς καὶ αὐτοῦ τοῦ ᾅδου δηλῶν τοῦ Χριστοῦ σωτήριον κάθοδον, δι' ἧς τούς τε ζῶντας καὶ τεθνεῶτας ἐῤῥύσατο.

ΚΕΦΑΛ. ΠΓ'.

Τί σημαίνει τὸ λαμβάνειν εὐλογίαν παρὰ τοῦ πρώτου ἀρχιερέως τούς τε ὑπ' αὐτὸν ἀρχιερεῖς ἱερεῖς τε καὶ κληρικούς, ἐν τῷ μέλλειν τὰς ἱερὰς αὐτῶν στολὰς ἐνδύεσθαι, καὶ μετάνοιαν ποιεῖν.

Ὁ ἱερεὺς δὲ ἐν τῷ θυσιαστηρίῳ, πρῶτον τῷ ἀρχιερεῖ προσκυνήσας, τὴν ὑποταγὴν ἐπιδεικνὺς, καὶ εὐλογίας ἀξιωθεὶς, ποιεῖται τὴν προσκομιδήν· δεῖ γὰρ εὐχὴν προηγεῖσθαι τῶν θείων ἔργων, καὶ αἰτεῖσθαι συγχώρησιν· διὸ πρότερον εὐλογίαν λαβὼν, καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ ἱεράρχου εἰς τὸ ἱερουργεῖν ἀπέρχεται, ὡς καὶ πρότερον ἐν τῷ μέλλειν ἐνδύεσθαι τὰς ἱερατικὰς αὐτῷ στολὰς οἱ διάκονοι, μαρτυροῦντες οὗτοι καὶ ἱερεῖς καὶ ἀρχιερεῖς, πάντες τοῦτο ποιοῦντες κατ' ὀφειλὴν, ὡς διὰ τῆς τοῦ πρώτου τούτου ἀρχιερέως χειρὸς οὗτοι κεχειροτόνηνται, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς εἰσί τε καὶ κληρικοί, καὶ
97 τῆς εὐλογίας μετέχουσι, καὶ τὴν ταπείνωσιν ἀποσώζουσι καὶ τὴν τάξιν· καὶ ὅτι προσέρχονται τῷ Θεῷ μετ' εὐλογίας καὶ συγχωρήσεως· καὶ μετ' ὑποταγῆς τε καὶ εἰρήνης τὸ τῆς διακονίας ἐκτελέσαι ἕκαστος ἔρχεται. Ἀπελθὼν οὖν μετὰ τὴν συγχώρησιν καὶ εὐλογίαν τῶν ἱερέων ὁ δεύτερος, ἐπειδὴ τὰ προοίμια τῆς ἱερουργίας τελεῖ, καὶ ὡς τὰ δευτεραῖα τοῦ πρώτου ἔχων ἐστὶν, ἢ μᾶλλον εἰπεῖν τὰ τῶν προφητῶν ἐμφαίνει τυπικὰ αἰνίγματα καὶ πράγματα καὶ κηρύγματα, ἐν τῇ προθέσει γὰρ λέγει τὰ περὶ τῆς σφαγῆς καὶ τοῦ θανάτου Χριστοῦ, ἐκ τοῦ Ἡσαΐου καὶ τῶν λοιπῶν, καὶ ἐν τῷ τὰ δῶρα προετοιμάζειν, καὶ τοῦ Βαπτιστοῦ ἅπαντα, ἕως ἦλθεν ὁ Κύριος· ὁ Βαπτιστὴς γὰρ βαπτίζων Χριστὸν ἐδίδασκε, καὶ περὶ αὐτοῦ κηρύττων ἦν, καὶ αὐτῷ ὑπῆρχεν ὑπηρετῶν, καὶ ἐνταῦθα ὁ δεύτερος τῶν ἱερέων ὑπηρετεῖ. Ἀπέρχεται οὖν οὗτος, καὶ μετὰ τῶν λοιπῶν ἱερέων τὰ ἱερατικὰ περιβάλλεται ἄμφια. Τρὶς γὰρ προσκυνήσας τοῦ θυσιαστηρίου ἐνώπιον, καὶ ἅπερ ηὔξατο ὁ ἀρχιερεὺς, εὐξάμενος καὶ αὐτὸς, καὶ τὴν ἱερὰν ἀσπασάμενος τράπεζαν, δεικνὺς τὴν πρὸς Θεὸν ἀγάπην αὐτοῦ καὶ τὴν ἕνωσιν, καὶ ὅτι ἀπὸ τοῦ θυσιαστηρίου ἡγίασται. Ἕκαστον εὐλογεῖ ὡς καὶ ὁ ἀρχιερεὺς τῶν ἱερῶν ἐνδυμάτων τε καὶ ἀσπάζεται· καὶ οὕτω δὴ περιβάλλεται, δεικνὺς, ὡς ἡγιασμένα εἰσὶ, καὶ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ ἁγιάζεται, καὶ ἁγιασμοῦ μεταδοτικά εἰσι πάλιν ὑπενδυόμενα. Περιβάλλεται οὖν πέντε ἐνδύματα, ὡς τέλειος καὶ αὐτὸς, καὶ τελειοποιὸν ἔχων χάριν. Πέντε γάρ αἱ τέλειαί εἰσιν αἰσθήσεις τοῦ σώματος, καὶ πέντε αἱ δυνάμεις τῆς ψυχῆς, ἃς καὶ ὁ ἱερεὺς ἁγιάζει, βαπτίζων καὶ ἁγιάζων τὸν ἄνθρωπον. Ἔστι δὲ ἃ ἐνδύεται στιχάριον, ἐπιτραχήλιον, ζώνη, ἐπιμανίκια, καὶ φαινόλιον. Λευκὰ δὲ ταῦτα διὰ τὸ καθαρὸν τῆς χάριτός τε καὶ φωτεινόν· πολλάκις δὲ καὶ πορφύρεα κατὰ καιρὸν τῶν νηστειῶν, διά γε τὸ πενθεῖν ἡμᾶς ἁμαρτήσαντας, καὶ διὰ τὸν σφαγέντα ὑπὲρ ἡμῶν, ἵν' εἰς ὑπόμνησιν ἐλθόντες τοῦ πάθους αὐτοῦ, αὐτὸν μιμησώμεθα, ὃ καὶ μέλλομεν ἑορτάζειν. Τινὲς δὲ τῶν πρώτων πρεσβυτέρων, ἤτοι οἱ σταυροφόροι, τῶν ἀρχιμανδριτῶν τέ τινες, καὶ ἐπιγονάτιον ἔχουσι. Τοῦτο δὲ κατὰ δωρεάν ἐστιν ἀρχιερατικὴν, ὡς καὶ

CAPUT LXXXIII.

Quid significet quod benedictionem ab archiepiscopo accipiunt qui sub eo sunt episcopi, sacerdotes et clerici, quando volunt sacras stolas suas induere, atque caput et corpus coram illo inclinant.

Sacerdos in altari primum ante pontificem se prosternit, obedientiam ostendens, et benedictione accepta, oblationem facit. Oportet enim orationem divina opera præcedere et veniam implorari. Ideo prius benedictionem accipit et manum Pontificis osculatur, quam ad sacrificandum abeat. Ita et prius faciunt diaconi, cum sacras sibi proprias vestes in eo sunt ut induant, indicantes ii et sacerdotes et episcopi, dum id faciunt, se manu primi Pontificis ordinatos esse et per eum se esse et sacerdotes et episcopos, et clericos; et benedictionem participant et humilitatem servant et ordinem. Et ad Deum cum benedictione et venia accedunt. Et cum obedientia et pace unusquisque sui ministerii officiis fungitur. Postquam igitur post veniam et benedictionem, secundus ex sacerdotibus recessit, qui secundus est quondam sacrificii prooemia conficit et tanquam secundum locum habet. Hic enim prophetarum typica ænigmata, sive res sive sermones manifestat. In propositione enim dicit quæ ad immolationem et mortem Christi pertinent apud Isaiam et cæteros prophetas; et dum oblationes præparantur, Baptistæ actus usque ad Domini adventum. Baptista enim, dum baptizabat, Christum prædicabat et cum annuntiabat et ipsi ministrabat. Id igitur secundi sacerdotii est officium. Abit igitur hic et cum reliquis sacerdotibus sacras vestes induit. Ter igitur se ante altare prosternit, et preces quas recitat episcopus, ipse dicit; et sacram mensam osculatur, ostendens suam in Deum charitatem et cum eo unionem, et se per altare sanctificari. Unumquodque indumentorum benedicit, ut episcopus, et osculatur. Et sic igitur vestes sacras induit, ostendens eas esse sanctificatas, et in cruce Christi sanctificari et rursus indutas sanctificationem tradere. Quinque vestibus circumdatur, tanquam et ipse consecratus, et consecrantem gratiam habens. Quinque enim sunt perfecti sensus corporis et quinque animæ virtutes, quas sacerdos sanctificat, baptizans et sanctificans hominem. Vestes igitur quas induit, sunt sticharium, epitrachelium, zona, epimanicia et phænolium. Albæ autem sunt, propter gratiæ puritatem ac splendorem; sæpe vero rubræ, tempore jejuniorum, ut eos qui peccaverunt pœniteat et propter Eum qui pro nobis immolatus est, ut ad memoriam passionis ejus redeuntes, Eum imitemur; quam passionem in eo sumus ut celebremus. Quidam autem primorum presbyterorum, ii nempe qui crucem gestant, et quidam archimandritæ gremiale habent. Hoc autem dignitatis episcopalis est. Nemo enim, excepto episcopo, cruces in phænolio et supra caput gestare potest, neque gremiale. Iis tamen, eo quod præ aliis primi ordinati sunt, cru-

cem habere supra caput et gremiale in divino sacrificio gestare datur; quoniam cum sacerdotio, et judicis ordinationem habent, maximum in Ecclesia ministerium: iique pastores animarum et procuratores constituti sunt et quædam signa primi Pastoris ferunt, ut et illum imitentur.

A ὁ σταυρός. Οὐδεὶς γὰρ πλὴν τοῦ ἀρχιερέως τοὺς σταυρούς τε ἐν τῷ φαινολίῳ καὶ ἐπὶ κεφαλῆς, καὶ τὸ ἐπιγονάτιον φορεῖν δύναται. Τούτοις δὲ ὅμως διὰ τὸ πρώτους τῶν ἄλλων χειροτονεῖσθαι, τὸ ἐπὶ κεφαλῆς ἔχειν σταυρὸν μόνον, καὶ ἐπιγονάτιον ἐν τῇ ἱερουργίᾳ φορεῖν δέδοται. Ἐπεὶ μετὰ τῆς ἱερωσύνης καὶ κριτοῦ χειροτονίαν οἱ μὲν ἔχουσι καὶ διακονίας μεγίστης ἐκκλησιαστικῆς τινος· οἱ δὲ ποιμένες ψυχῶν καὶ οἰκονόμοι καθίστανται, καὶ σημεῖά τινα φέρουσι τοῦ πρώτου ποιμένος ὡς ἂν ἐκεῖνον ἐκμιμῶνται.

CAPUT LXXXIV.

De illis quæ in offertorio sive missa peraguntur.

Sacerdos qui secundas habet in propositione, abiens cum diacono qui sacra vasa præparavit, postquam ter Deum adoravit, facit benedictionem. Et ex panibus allatis unum sumens signat cuspide in formam crucis, ut salutarem Christi passionem repræsentet, et memoriam faciat, ut dictum est, ejus dolorum. Et ter addit: « In memoriam Domini et Dei et Salvatoris nostri Jesu Christi; » manifeste ostendens, quod Ejus traditionem operatur. Deinde per cuspidem repræsentans eam qua Dominus vulneratus est, dividit in signo oblatum in quatuor partes hæc Isaiæ verba referens: « Tanquam ovis ad occisionem ductus est, » et cætera, ostendens prænuntiatum mysterium. Postquam autem dixit: « Sublata est e terra vita ejus, » oblique cuspidem introducens, aufert cum signo quadripartitum panem et eum in disco deponit.

ΚΕΦΑΛ. ΠΔ'.

Περὶ τῶν ἐν τῇ προσκομιδῇ τελουμένων.

Ὁ δευτερεύων δὲ τῶν ἱερέων ἐν τῇ προθέσει ἀπελθὼν μετὰ διακόνου τοῦ τὰ ἱερὰ σκεύη προευτρεπίσαντος, προσκυνήσας τρὶς τῷ Θεῷ, ποιεῖται εὐλογητόν· B καὶ ἐκ τῶν προσφερομένων ἄρτων ἕνα λαβὼν, σφραγίζει τοῦτον μετὰ τῆς λόγχης σταυροειδῶς, τὸ σωτήριον πάθος ἐξεικονίζων Χριστοῦ, καὶ τῶν αὐτοῦ μεμνημένος, ὡς εἴρηται, παθημάτων. Καὶ τρὶς ἐπιλέγει, « Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, » προδήλως δεικνὺς, ὡς τὴν αὐτοῦ ἐνεργεῖ παράδοσιν. Εἶτα διὰ τῆς λόγχης, ἐκτυπούσης ἐκείνην, δι' ἧς ἐτρώθη ὁ Κύριος, ἀνατέμνει ἐν τῇ σφραγῖδι τετραμερῶς τὴν προσφορὰν, τὰ τοῦ Ἡσαΐου ἐπιλέγων, « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, » καὶ τὰ λοιπὰ, δεικνὺς προκηρυττόμενον τὸ μυστήριον. Ὅτε δὲ εἴποι, « Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, » ἐκ πλαγίου τὴν λόγχην εἰσαγαγὼν, ἐκφέρει μετὰ τῆς **98** σφραγῖδος τετραμερῆ τὸν ἄρτον· καὶ εἰς τὸν δίσκον αὐτὸν ἀπο- C τίθησιν.

CAPUT LXXXV.

Quid denotet in prothesi sive sacello ad dextram bematis sito rotunda mensa, et reliqua.

Discus igitur cœlum repræsentat, et idcirco rotundus est, et Dominum cœlorum continet. Qui autem dicitur asteriscus, stellas et eam quæ in nativitate Christi apparuit, indicat, ut et vela significant firmamentum, pannos et sindonem sepulchri et linteamina; simul enim repræsentat et quæ ad Incarnationem et quæ ad crucifixionem, quia ideo incarnatus est ut pro nobis immoletur. Sed et Propositio figuram refert speluncæ et præsepii. Calix vero significat eum in quo Christus sanguinem suum consecravit. Ideo postquam dixit eas propheticas voces in panem, quæ immolationem et sacrificium Jesu prænuntiant, nempe: « Ecce agnus Dei qui tollit peccatum mundi; » et: « Sublata est e terra vita ejus; postquam nempe passus resurrexit et ascendit in cœlos ubi vivens est et unde nos sanctificat; dividit rursum panem per medium sacerdos, crucem faciens, in omnibus ostendens id esse Christi crucifixionem, et ostendens id esse Christi sacrificium, crucifixionem nempe. Et immolatur, inquit prophetice, agnus Dei pro mundi vita ac salute. Deinde pungit cuspide panem a dextris, omnia illa figurans quæ in salutari salvatoris corpore facta sunt. Et statim benedicens et vinum et aquam, in calicem infundit dicens; dum pungit quidem: « Unus militum lancea latus

ΚΕΦΑΛ. ΠΕ'.

Τί σημαίνει ὁ ἐν τῇ προθέσει ἅγιος δίσκος, καὶ τὰ λοιπά.

Ὁ μὲν οὖν δίσκος τυποῖ τὸν οὐρανὸν, καὶ διὰ τοῦτο κυκλοτερής ἐστι, καὶ τὸν τοῦ οὐρανοῦ κατέχει Δεσπότην. Ὁ λεγόμενος δὲ ἀστερίσκος καὶ τοὺς ἀστέρας, καὶ αὐτὸν τὸν ἐπὶ τῇ γεννήσει Χριστοῦ δηλοῖ, ὡς καὶ τὰ καλύμματα τὸ στερέωμα, τὰ σπάργανά τε καὶ τὴν σινδόνα τοῦ τάφου καὶ τὰ ἐντάφια. Ἅμα γὰρ καὶ τὰ τῆς σαρκώσεως καὶ τοῦ θανάτου τυποῦσιν, ὅτι διὰ τοῦτο σεσάρκωται, ἵνα σφαγιασθῇ ὑπὲρ ἡμῶν. Ἀλλὰ καὶ ἡ πρόθεσις τύπον ἐπέχει τοῦ σπηλαίου τε καὶ τῆς φάτνης. Τὸ ποτήριον δὲ ἐκεῖνο τυποῖ, ἐν ᾧ τὸ αἷμα ἱερούργησεν ὁ Σωτήρ. Διὸ καὶ D μετὰ τὸ εἰπεῖν τὰ προφητικὰ ἐν τῷ ἄρτῳ, ἃ τὴν σφαγὴν προκαταγγέλλουσι καὶ τὴν θυσίαν τοῦ Ἰησοῦ, « Αὐτὸς γὰρ ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, » καὶ « Ἤρθη δὲ ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, » μετὰ τὸ πάθος ἐξαναστάντος καὶ εἰς τοὺς οὐρανοὺς ἀνελθόντος, καὶ ζῶντος, κἀκεῖθεν ἡμᾶς ἁγιάζοντος, τέμνει πάλιν τὸν ἄρτον κατὰ τὸ μέσον ὁ ἱερεὺς, σταυρὸν ἐνεργῶν, ἐν ὅλῳ δεικνὺς τοῦ Χριστοῦ τὴν σταύρωσιν, καὶ τὴν θυσίαν τοῦτο εἶναι λέγει Χριστοῦ, τὴν σταύρωσιν δηλαδή. Καὶ θύεται, φησὶ, προφητικῶς, ὁ ἀμνὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Εἶτα καὶ νύττει τὸν ἄρτον ἐκ δεξιῶν τῇ λόγχῃ, πάντα ἐκεῖνα ἐκτυπῶν καὶ ποιῶν, ὅσα δὴ εἰς τὸ σωτήριον σῶμα τοῦ Σωτῆρος ἐγένετο. Καὶ εὐθὺς εὐλογῶν τὸν οἶνόν τε

καὶ τὸ ὕδωρ, εἰσάγει τῷ ποτηρίῳ λέγων, ἐν τῷ νύττειν μὲν, « Εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, » ἐν τῷ εἰσάγειν δὲ τὸν οἶνον σὺν ὕδατι, « Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, » καὶ τὰ λοιπὰ, μαρτυρῶν ὡς αὐτὴν τὴν θυσίαν καὶ ἱερουργίαν ἐνεργεῖ τοῦ Χριστοῦ· καὶ ἃ πέπονθεν ὑπὲρ ἡμῶν ἐκτυποῖ, τὴν ἀνάμνησιν αὐτοῦ ὡς παρ-έδωκεν ἐνεργῶν.

ΚΕΦΑΛ. ΠϚʹ.

Διατί ἔνζυμος προσφέρεται ἄρτος.

Ὁ μὲν οὖν ἄρτος ἔνζυμός ἐστιν, ὡς ἔμψυχός τις διὰ τῆς ζύμης ὢν, καὶ ἀληθῶς ἄρτιος. Μαρτυρεῖ δὲ, ὡς καὶ τέλειον ἦν τὸ πρόσλημμα, ὃ ὑπὲρ ἡμῶν ὁ τοῦ Θεοῦ προσελάβετο Λόγος· Καὶ σὰρξ ἐγένετο, μὴ ἀλλοιωθείς· καὶ μετὰ ψυχῆς λογικῆς τε καὶ νοερᾶς ἦν, αὐτὸ τὸ ἀνθρώπινον προσλαβόμενος· καὶ ὡς Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειός ἐστιν, ἵνα καὶ ἐμὲ ὅλον ἀναπλάσῃ. Καὶ τρία δὲ ἐν αὐτῷ, διὰ τὸ τριμερὲς τῆς ψυχῆς, καὶ διὰ τὴν τιμὴν τῆς Τριάδος· ἄλευρον μετὰ ζύμης, ἥτις δηλοῖ τὴν ψυχὴν, καὶ ὕδωρ ὅπερ δηλοῖ τὸ βάπτισμα, καὶ ἅλας, ὃ σημαίνει τὸν νοῦν καὶ τὴν διδασκαλίαν τοῦ Λόγου. Ὃς πρὸς τοὺς μαθητὰς ἔφησεν, « Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, » οἱ διδάσκαλοι δηλονότι. Καὶ, « Ἔχετε ἐν ἑαυτοῖς ἅλας, » τὴν γνῶσιν καὶ τὴν ἀγάπην ἅμα δηλῶν, ὅτι καὶ τῆς Τριάδος εἷς ἐστιν ὁ σαρκωθείς. Ἐψημένος δὲ ὁ ἄρτος ἐν πυρὶ, ὅτι Θεὸς ὢν, ὅλος ἡμῖν ἡνώθη, καὶ τῆς αὐτοῦ ἡμῖν δυνάμεως καὶ ἐνεργείας μετ-έδωκε· μᾶλλον δὲ ὅλος ὅλῃ ἡμῶν ἡνώθη τῇ ἀπ-αρχῇ.

ΚΕΦΑΛ. ΠΖʹ.

Διατί τετραμερὴς ὁ προσφερόμενος εἰς ἱερουργίαν ἄρτος.

Τετραμερὴς δὲ ὁ ἄρτος, ἀλλ' οὐ κυκλοτερής τε καὶ ἄζυμος, ὡς ὁ παρὰ Λατίνων θυόμενος, ὅτι καὶ τέλειος, ὡς εἰρήκαμεν, διὰ τὸ τέλειον τὸν ἄνθρωπον ὅλον ἔκ τε ψυχῆς καὶ τῶν τεσσάρων στοιχείων τὸν Θεὸν προσλαβέσθαι· καὶ ὅτι τετραμερὴς πᾶς ὁ κόσμος, καὶ αὐτὸς ὁ Λόγος τοῦ κόσμου δημιουργός· καὶ ὅτι ἐκ τεσσάρων στοιχείων τὸ σῶμα ὃ προσελάβετο ὁ Χριστός· καὶ ὅτι τὰ πέρατα πάντα τοῦ κόσμου ἡγίασε σαρκωθεὶς ὁ Λόγος, καὶ τὰ οὐράνια καὶ τὰ **99** ἐπίγεια· καὶ ὅτι τούτου τὸ σχῆμα αὐτοῦ τυποῖ τὸν σταυρὸν, δι' οὗ προσπαγεὶς ἐν αὐτῷ καὶ ἀποθανὼν, ἡμᾶς καὶ τὸν κόσμον πάντα ἀνώρ-θωσεν.

ΚΕΦΑΛ. ΠΗʹ.

Ὅτι οὐκ ὀρθῶς κἂν τούτῳ ποιοῦσι Λατῖνοι, ἄζυμά τε καὶ κυκλοειδῆ ταῦτα προσφέροντες· σεσάρκωται γὰρ ὁ Χριστός· τὸ σῶμα δὲ ἐκ στοιχείων.

Ἀλλ' οἱ Λατῖνοί φασιν, ὡς τὸ κυκλοειδὲς, καὶ τὸ ἄναρχον αὐτοῦ σημαίνει καὶ ἀτελεύτητον τῆς Θεότητος. Καὶ τί τοῦτο οἱ ὀρθοδόξως φρονοῦντές φαμεν; Οὐ περὶ θεολογίας γὰρ νῦν ὁ λόγος. Τὸ μυστήριον δὲ τῆς σαρκώσεως καὶ τοῦ πάθους κηρύττεται, καὶ τὰ τῆς ἐνανθρωπήσεως ὧδε ἐκτυποῦνται καὶ τῆς σταυρώσεως. Ὅμως οὐδὲ τὸ σχῆμα τοῦτο ἀφῃρέθη ἢ κατελείφθη, ἀλλ' ἐν τῇ σφραγῖδι ὁρᾶται. Καὶ ἀναγκαῖον

A ejus aperuit; et dum infundit vinum cum aqua: « Et continuo exivit sanguis et aqua. » Et cætera; testificans hoc modo se operari sacrificium et oblationem Christi. Et quæ pro nobis pertulit, figurat, commemorationem Ejus, ut commendavit, faciens.

CAPUT LXXXVI.

De senibus virtute et prudentia ornatis.

Panis igitur fermentatus est, tanquam animatus sit fermento, et vere completus. Testificatur vero veram assumptionem fuisse quam pro nobis assumpsit Dei Verbum. Et Verbum caro factum est non mutatum. Et cum anima rationali et spirituali B erat, ipsa humanitate assumpta. Et tanquam Deus perfectus est et tanquam homo, ut et me totum reformet. Et tria in eo sunt, propter triplicem animæ facultatem et propter Trinitatis honorem. Triticeum far cum fermento, quod animam ostendit, et aqua quæ baptismum significat, et sal, quod mentem et doctrinam Verbi indicat; quod Verbum discipulis dixit: « Vos estis sal terræ, » nempe doctores. Et « Habete in vobis sal, » scientiam et charitatem simul significans, quia et Trinitatis unus est, qui est incarnatus. Coctus autem panis in igne est, quia, cum sit Deus, totus nobiscum unitus est, et nos suæ potentiæ et virtutis participes effecit; imo vero totus totis nostri primitiis unitus est.

C

CAPUT LXXXVII.

Quare panis ad sacram Missam oblatus sit quadrangularis et quadripartitus?

Quadripartitus vero panis est, neque rotundus et azymus, ut apud Latinos, oblatus panis, quia et perfectus, ut diximus, eo quod Deus totum hominem, animamque et quatuor elementa assumpsit. Et quia quadripartitus est universus mundus, et ipsum Verbum, quod mundum creavit; et quia quatuor elementis constat corpus a Christo assumptum, et quia omnes fines mundi sanctificavit Verbum incarnatum, et cœlestia et terrestria; et quia hæc panis forma crucem figurat, per quam crucifixus et mortuus nos et mundum universum D erexit.

CAPUT LXXXVIII.

Non recte in hoc facere Latinos, quod infermentatas et rotundas hostias offerunt, cum Christus carnem assumpserit ex quatuor constantem elementis.

Sed Latini dicunt panem rotundum et æternitatem et immortalitatem Deitatis repræsentare. Et quid hoc dicemus nos qui orthodoxe sentimus? Non de Theologia agitur. Annuntiatur Incarnationis et Passionis mysterium, et Incarnationis crucifixionisque figurantur mysteria. Tamen non hujus forma rejecta est et derelicta, sed in signo visa est: et ibi magis necessarium, quia quæ ad Sal-

vatoris incarnationem pertinent, perfecta in pane A et ejus quadripartita forma aspiciuntur. Quæ vero ad Deitatem spectant, in panis signo, quod rotundum est, et in hujus medio crux aut ipse Salvator repræsentatus, omnibus simul æternum et immortale Verbum ostendentibus, et Deum et in nobis visum, et vere incarnatum et passum, et cum in forma Dei esset in formam hominis factum. Ideo non oportebat solummodo quæ ad Divinitatem pertinent repræsentare, sed et quæ ad humanitatem, ne videantur, ut quidam hæretici opinati sunt, humanitatis dotes evanuisse, et totum Deum factum esse, ut ii qui unam naturam esse in Christo contendunt. Sed non ita factum est, neque sic accepimus. Sed remanet perfectus in B singulis naturis. Et stricte unita est Divinitas suæ humanitati. Totum quidem hominem deificavit et Deo similem effecit hac summa unione; sed quæ illius sunt servavit, et perfectus est homo et in loco, ut et perfectus Deus et ubique et super omnia; et fert quæ corporis sunt. Idcirco enim post resurrectionem et immortalitatis adeptionem et visus est et elevatus est, et portis clausis introivit. Vides eum et immortalem esse et quæ propria sibi sunt servasse? Et idem est increatus et creatus, et ex duabus naturis constat, etsi persona unus. Iis igitur quæ sunt orthodoxa adhæreas, neque mortua et non animata afferas. Neque innoves quæ judaica sunt, neque legem inducas, neque in azymis celebres.

C

CAPUT LXXXIX.

Adversus Latinos infermentata offerentes.

Sed Paulus ita dicit, inquit Latinus, azymos adhibendos esse. « Neque epulemur, ait, in fermento veteri, sed in azymis sinceritatis et veritatis. » Proh, amentiam! nos orthodoxi reponimus, ita intelligis verba Apostoli? Id, inquit Latinus, peccati radicem et causam intendens: Ideo, ait Apostolus, « non in fermento malitiæ et nequitiæ, » Et optime revera dicit. Et tu id fermentum rejice, nempe hujus qui Corinthi fornicatus est, fornicationem et omnem aliam impuritatem; quia de ea hic solummodo agitur et de eo est tota oratio. D « Auferte, inquit, talem hominem: nonne videtis modicum fermentum totam massam corrumpere? » Ita enim malitia, tanquam nocivus morbus, cum ab aliquo incepit, et ad cæteros procedit. Ideo et ait: « Expurgate vetus fermentum, ut sitis nova conspersio, » in Christo conspersi, tanquam renovati et, ut ipse Christus, innocentes. Etenim et novus Adam est Christus; et per ipsum vos estis « azymi, » id est a peccato immunes per baptismum et oleum. « Etenim Pascha nostrum pro nobis immolatus est Christus, nos a servitute peccati liberans. » Ea est Pauli cogitatio et vox; atque ita avertebat et insectabatur peccati fermentum. A quo sane et tu sis prorsus immunis.

A μᾶλλον ἐκεῖ, ὅτι τὰ μὲν τῆς οἰκονομίας τοῦ Σωτῆρος τέλεια ἐν τῷ ἄρτῳ καὶ ἐν τῷ σχήματι αὐτοῦ τετραμερεῖ ὄντι καθορᾶται· τὰ δὲ τῆς Θεότητος ἐν τῇ τοῦ ἄρτου σφραγῖδι, ἥτις κυκλοειδής ἐστι, καὶ μέσον ταύτης ὁ σταυρὸς, ἢ αὐτὸς ὁ Σωτὴρ ἐξεικονιζόμενος, τὸν ἄναρχόν τε καὶ ἀτελεύτητον Λόγον σεσαρκωμένον πάντων ὁμοῦ δεικνύντων, καὶ Θεὸν ὄντα καὶ καθ' ἡμᾶς ὀφθέντα, καὶ σαρκωθέντα ἀληθῶς καὶ παθόντα, καὶ τὸν ἐν μορφῇ Θεοῦ ὄντα, καὶ ἐν μορφῇ ἀνθρώπου γενόμενον. Διὸ οὐ χρὴ μόνον εἰκονίζειν τὰ τῆς Θεότητος, ἀλλὰ καὶ τὰ τῆς ἀνθρωπότητος, ἵνα μὴ δόξῃ κατά τινας αἱρετίζοντας ὡς τὰ τῆς ἀνθρωπότητος ἠφανίσθη, καὶ ὅλος Θεὸς γέγονε, καθὰ οἱ τὴν μίαν φασὶ δοξάζοντες φύσιν. Ἀλλ' οὐχ οὕτω γέγονεν, οὐδὲ παρελάβομεν, ἀλλὰ μένει B τέλειος ἐν ἑκάστῃ φύσει, καὶ ἄκρως ἑνωθείσης τῆς Θεότητος τῷ ἀνθρωπίνῳ αὐτοῦ. Ὅλον μὲν γὰρ τὸ ἀνθρώπινον ἐθέωσε καὶ ὁμόθεον ἀπειργάσατο τῇ ἄκρᾳ ἑνώσει· διετήρησε δὲ καὶ τὰ αὐτοῦ, καὶ τέλειός ἐστιν ἄνθρωπος καὶ ἐν τόπῳ, ὡς καὶ τέλειος Θεὸς, καὶ πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν· καὶ τὰ τοῦ σώματος φέρει. Διὰ τοῦτο γὰρ καὶ μετὰ τὴν ἔγερσιν καὶ τὴν ἀφθαρσίαν καθεωράθη τε καὶ ἐψηλαφήθη, καὶ κεκλεισμένων εἰσῆλθε τῶν θυρῶν. Ὁρᾷς ὅτι καὶ ἄφθαρτος ἦν, καὶ τὰ ἑαυτοῦ ἔσωζε; καὶ ὁ αὐτὸς ἄκτιστός ἐστι, καὶ κτιστός; καὶ ἐκ δύο τῶν φύσεων, εἰ καὶ εἷς τῇ ὑποστάσει τελεῖ; Λοιπὸν ἔχου τῶν τῆς ὀρθοδοξίας, καὶ μὴ νεκρὰ καὶ ἄψυχα πρόσφερε, μηδὲ ἐγκαίνιζε τὰ τῶν Ἰουδαίων, μηδὲ τὸν νόμον εἴσαγε, C μηδὲ ἐν ἀζύμοις ἑόρταζε.

ΚΕΦΑΛ. ΠΘ'.

Κατὰ Λατίνων ἄζυμα προσφερόντων.

Ἀλλ' ὁ Παῦλος οὕτω λέγει, φησὶ Λατῖνος, τὸ δι' ἀζύμων προσφέρειν. « Ὥστε ἑορτάζωμεν (φησὶ) μὴ ἐν ζύμῃ παλαιᾷ, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. » Βαβαὶ τῆς ἀνοησίας! οἱ ὀρθοδοξοῦντές φαμεν, οὕτω νοεῖς τὰ τοῦ θεοκήρυκος; Τοῦτο, φησὶν οὗτος, ἄνθρωπε, ἀνατρέπων τὴν τῆς ἁμαρτίας ῥίζαν τε καὶ αἰτίαν. Διὸ « μὴ ἐν ζύμῃ παλαιᾷ, φησὶ, κακίας καὶ πονηρίας. » Καὶ καλῶς ὄντως λέγει. Καὶ σὺ ταύτην τὴν ζύμην ἀπόρριψον τὴν πορνείαν τοῦ πορνεύσαντος ἐν Κορίνθῳ, καὶ πᾶσαν ἄλλην ἀκαθαρσίαν· ὅτι περὶ ταύτης ὁ σκοπὸς ἅπας, καὶ περὶ D τούτου ὁ λόγος αὐτῷ. « Ἐξάρετε, φησὶ, τὸν τοιοῦτον. Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; » οὕτω γὰρ ἡ κακία ὡς νόσος λυμαντικὴ ἀπό τινος ἀρξαμένη, καὶ εἰς τοὺς λοιποὺς πρόεισι. Διὸ καὶ « Ἐξάρατε, φησὶ, τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, » ἐν Χριστῷ πεφυραμένοι, οἷον νέοι τε καὶ ὡς ὁ Χριστὸς ἀναμάρτητοι. Ἐπεὶ καὶ νέος ἄνθρωπος Ἀδὰμ ὁ Χριστός. Καὶ δι' αὐτοῦ ὑμεῖς ἐστε « ἄζυμοι, » τουτέστιν ἁμαρτίας ἀμέτοχοι, τῷ βαπτίσματι καὶ τῷ **100** μύρῳ. « Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς, διαβιβάσας ἡμᾶς ἐκ τῆς Αἰγύπτου τῆς ἁμαρτίας. » Αὕτη ἡ τοῦ Παύλου ἔννοιά τε καὶ φωνή· καὶ ἐν ταύτῃ ἀποτρέπου καὶ δίωκε τὴν ζύμην τῆς ἁμαρτίας καὶ ὅλος ἔσο ταύτης ἀμέτοχος.

ΚΕΦΑΛ. Ϟ'.

Τί τό· « Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ. »

Μὴ ἀποσείου δὲ τὴν ζύμην τῆς ἀφθαρσίας, ᾗ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, διὰ τὸ συνάγειν τε καὶ ἑνοῦν ἑαυτῇ καὶ ἀλλοιοῦν ἐν ἑαυτῇ τοὺς τῷ θείῳ κηρύγματι πειθομένους. Ἣν δὴ καὶ γυνή, ἡ Ἐκκλησία τοῦ ὑπερουρανίου νυμφίου, ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, τὰς τῶν σωζομένων τρεῖς τάξεις, δούλων καὶ μισθίων, καὶ υἱῶν, καὶ τῶν ἐν γάμῳ σωφρονούντων τε καὶ παρθένων, ἕως οὗ ἐζυμώθη ὅλον ἐν τῇ ἀναστάσει τῆς τοῦ Θεοῦ βασιλείας ἀξιωθέν, ἡ καὶ τοὺς πρὸ τοῦ νόμου δικαίους, καὶ τοὺς κατὰ νόμον καὶ ἐν τῇ χάριτι συναθροίσασα. Ὃ δὴ καὶ ἡ χάρις τοῦ Εὐαγγελίου τετέλεκεν. Αὐτὸς γὰρ ὁ Σωτήρ, ἡ θεία ὄντως καὶ καθαρωτάτη ζύμη, ὁ καὶ ἄρτος τῆς ζωῆς, καὶ βασιλεὺς ὢν αἰώνιος, τούς τε πρὸ νόμου καὶ τοὺς ἐν νόμῳ σαρκωθεὶς, καὶ εἰς τὸν κόσμον ἐλθὼν ἔσωσε, τῶν δεσμῶν ἀφαρπάσας, καὶ τοῖς εἰς αὐτὸν πιστεύσασιν ἥνωσεν. Ὃς κατ' ἄλλον πάλιν σκοπὸν ὡς ζύμη καθαρά τε καὶ ζῶσα κρύπτεται· οἷον τῇ λογικῇ κτίσει αὐτοῦ κατὰ τὸ παρὸν ἀναλόγως τρισσῶς διαιρουμένῃ, τοῖς ἀγγέλοις δηλαδή, καὶ τοῖς ἁγίοις τοῖς ἀπελθοῦσι, καὶ τοῖς πιστεύουσιν εἰς αὐτὸν καὶ ζῶσιν ἡμῖν, ἕως οὗ ἐζυμώθη ὅλον, ἐξαναστὰν ὅλον δι' αὐτοῦ, καὶ ἓν ἅπαν γεγονὸς, μετασχούσης αὐτοῦ τῆς δόξης, τῆς τε τῶν ἀγγέλων αὐτοῦ καὶ τῆς ἡμετέρας φύσεως.

ΚΕΦΑΛ. ϞΑ'.

Διατί ἐν τῷ νόμῳ μὲν ἄζυμοι ἄρτοι, ἐν δὲ τῇ χάριτι ἔνζυμοι.

Ἔσο οὖν καὶ αὐτὸς ἐζυμωμένος ἐν τῷ Κυρίῳ, καὶ τῆς ζύμης σπούδαζε εἶναι τῆς βασιλείας τῶν οὐρανῶν, καὶ μὴ ἐκ τῶν ἀζύμων ἄρτων σπεῦδε μετέχειν τῶν νομικῶν· ὅτι ὁ νόμος σκιά ἐστι καὶ εἰκὼν ἄψυχος καὶ οὐ ζῶσα· καὶ διὰ τοῦτο ὡς νεκροὺς καὶ σκιώδεις τοὺς ἀζύμους προεῖχεν ἄρτους, οἳ καὶ οὐχ ἁπλῶς ἐλέγοντο ἄρτοι, ἀλλ' ἄζυμοι, τὸ ἄρτοι κατὰ μετοχὴν καὶ κλῆσιν ἔχοντες μόνην. Καὶ κοινωνὸς ἔσο τῆς μεγάλης τοῦ Μελχισεδὲκ θυσίας, ἧς ἄρτος οὐκ ἄζυμος καὶ οἶνος, προοίμια τῆς τοῦ Μελχισεδὲκ καινῆς θυσίας, τοῦ αἰωνίου καὶ ἀληθοῦς Μελχισεδὲκ καὶ ἀρχιερέως μόνου Ἰησοῦ Χριστοῦ, περὶ οὗ γέγραπται, « Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. » Εἰ δ' οὐκ ἐθελήσεις, ἴσως μετὰ τῶν ἀζύμων καὶ ἀμνὸν ἄλογον θύσεις, καὶ κατὰ Ἰουδαίους μεθέξεις, ἢ καὶ συνεορτάσεις αὐτοῖς· καὶ τὰ ἄζυμα ὡς ξένια λήψῃ, ὃ τοῖς ἐμοῖς Πατράσι ποιεῖν ἀπηγόρευται· ἢ καὶ περιτμηθήσῃ καὶ σαββατίσεις· τοῦτο γὰρ ἀκόλουθον· ἐπεὶ καὶ οὐδὲν βδελυκτόν σοι· κοινωνεῖς γὰρ καὶ τραπέζης πολλάκις τοῖς Ἰουδαίοις· καὶ μικρά τις διαφορὰ τούτων πρός σε τῶν θεοκτόνων καὶ ἀθέων. Ἀλλ' ἡμῖν οὐδὲν κοινὸν πρὸς αὐτούς. « Καὶ τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά, » βοᾷ Παῦλος· καὶ ὡς ἀντὶ περιτομῆς βάπτισμα ἡμῖν ἐστι, καὶ ἀντὶ θυσίας ἀλόγου ὁ ἀμνὸς τοῦ Θεοῦ, καὶ ἀντὶ ἀζύμων ἄρτων ὁ ἔνζυμος τῆς βασιλείας τοῦ Χριστοῦ, ὅς ἐστιν ὁ ἄρτος

CAPUT XC.

Quis sensus verborum Matth. XIII, 33. : *« Simile est regnum cœlorum fermento. »*

Ne rejicias fermentum incorruptionis, cui simile est regnum cœlorum, eo quod secum uniat et immutet eos qui divinæ prædicationi obediunt quod fermentum mulier, Ecclesia cœlestis sponsi, abscondit in farinæ satis tribus, eorum nempe qui salvantur, tribus ordinibus, servorum et mercenariorum, filiorum, et virginum in nuptiis sapientium, donec fermentatum est totum in resurrectione, regno Dei dignum habitum; quod regnum et eos qui ante legem justi erant, et eos qui in lege, et eos qui in gratia, congregavit. Quod quidem Evangelii gratia perfecit. Ipse enim Salvator, divinum perfectissimumque fermentum, et panis vitæ, et rex æternus, et eos qui ante legem et eos qui in lege, incarnatus et in mundum ingressus, salvavit, illos vinculis abripiens, et illos cum iis qui in se crediderint univit, qui in alium quidem scopum, tanquam purum et vivum fermentum absconditur, rationali creaturæ præsenti tempore tripliciter divisum, angelis nempe, sanctis qui mortui sunt, et iis qui in ipsum credunt nobisque viventibus; donec fermentatum sit totum, resurgens per ipsum et totum illud unum effectum, cum ipsius gloriæ particeps erit et angelorum natura et nostra.

CAPUT XCI.

Quare sub lege panes infermentati, sed sub Evangelii gratia fermentati?

Esto igitur et tu in Christo fermentatus, et cura ut regni cœlorum fermenti sis particeps. Neque ex azymis legis panibus partem habeas. Quia lex umbra est et imago non animata nec vivens. Et ideo, ut mortuos, et meras figuras, azymos panes habebat, qui non simpliciter panes dicebantur, sed azymi, panis tantummodo per participationem nomen retinentes. Particeps esto magni illius Melchisedech sacrificii, cujus panis non azymus, et vinum, prooemia novi Melchisedech sacrificii, et æterni et veri Melchisedech et solius Pontificis Jesu Christi. De quo scriptum est : « Tu es sacerdos in æternum secundum ordinem Melchisedech. » Quod si nolis, forte cum azymis et agnum irrationalem immolabis, et cum Judæis participationem habebis, aut cum iis festa celebrabis ; aut azyma, tanquam peregrina accipies, quo meis Patribus interdictum est ; et circumcideris, et Sabbata observabis. Id enim consequens est. Et nihil horrebis, cum iis mensæ accumbes; et parum intererit inter te et hos Dei interfectores et impios. Sed nobis nihil cum iis commune est. « Et vetera transierunt : ecce nova facta sunt omnia, » inclamat Paulus. Et quemadmodum pro circumcisione nobis est baptismus, et pro immolatione agni irrationalis, ipse Agnus Dei, ita pro azymis panibus, panis regni cœlestis et Christi, qui est panis vivus,

de cœlo descendens, pro manna illo; quem panem qui manducaverit, non morietur, ut dixit. Si et adhuc contendas, ut soles, et illud ex tempore ipso interpreteris, et azymum panem allatum esse, eo quod legale Pascha cum azymis celebrabatur; sunt multæ ac verissimæ voces maximorum divinorumque virorum quæ audaciam tuam ignorantiamque deturbent. Addis quod nondum assumebatur fermentum, quando mysteria tradidit Salvator. Et Evangelium hujus rei est testis, cum hanc diem esse diem azymorum nos doceat; quando se ipsum consecravit Christus. Sed erat ante azyma. « Ante diem festum Paschæ, ait, sciens Jesus, » et hostiam dedit, quando fecit cœnam. Tunc quoque pedes discipulorum lavit; et hæc erant ante Judaicum Pascha. Vide autem quid dicat et in passionis die: « Et ipsi non introierunt in prætorium, ut non polluerentur, sed ut manducarent Pascha. » Et rursum in crucifixione: « quoniam Parasceve erat, inquit; erat enim magnus dies ille Sabbati. » Et ex iis quæ dixit Evangelium: « Accepit panem » non addit: azymum. Et quod ait Dominus: « Desiderio desideravi hoc Pascha manducare vobiscum, antequam patiar. » Manifestissime igitur docet. Non enim Pascha Judaicum desiderat, quod sæpius fecerat. Prius illud Pascha fecit; deinde suum ipsius. Et hoc desiderabat tradere nobis, ut nobiscum maneat; ut verum sit quod dixit: « Qui manducat meam carnem et bibit meum sanguinem in me manet et ego in illo. » Ideo non omnia legalia in hac cœna adimplevit; sed et discipulorum pedes lavit; et recubuit; et non solum assas carnes habebat, sed et catinum, in quo intinxit Judas. Ita ut non esset tempus Paschatis Judæorum; et non Judaica solummodo perfecit, sed et propria præsertim, de quibus dicebat: « Hoc facite in meam commemorationem. » Et, « Caro mea vere est cibus, et sanguis meus vere est potus » et quod vetera recesserint, ipse testatur dicens: « Lex et Prophetæ usque ad Joannem » Verum igitur est eum non Judæorum Pascha, irrationalem nempe agnum et animalis hujus sanguinem dedisse; nec eo tunc delectatus est, sed et proprium Pascha desiderabat discipulis tradere. Et tradidit quod tunc semel ipse fecit et fieri præcepit in sæcula. Etsi igitur hæc omnia et quæ a Patribus dicta sunt tuam dementiam dissipant; oporteret tamen, si quod offerebat Christus, azymum fuisset propter temporis circumstantiam, te aliquid perfectius operari, quemadmodum et reliqua supra legem facienda esse accepimus: ut nempe justitia nostra abundet plusquam scribarum aut Pharisæorum. Nos enim a lege soluti sumus, Jesu Christi sanguine. « Christus nos liberavit a maledicto legis, » inquit Paulus. Et nihil nobis cum legis servitute commune est. Si quæ legis sunt rursus faciamus, « Christus nobis nihil profuit, ait rursum Paulus; Christus enim omnia pro nobis adimplevit et nos liberavit. » Circumcisus ipse est: nos vero non circumcisi sumus. Baptizamur autem

A ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ἀντὶ τοῦ μάννα ἐκείνου. Ὃν ὁ φαγὼν οὐκ ἀποθνήσκει, ὡς ἔφησεν. Εἰ δὲ καὶ πάλιν φιλονεικεῖς, ὡς ἔθος σοι, καὶ ἐκ τοῦ καιροῦ τοῦτο καταναγκάζεις, καὶ τὸ προσαχθὲν τότε ἄζυμον εἶναι λέγεις, ὡς τοῦ Πάσχα δι' ἀζύμων τελουμένου τοῦ νομικοῦ, εἰσὶ μὲν πλεῖστοι καὶ ἀληθέστατοι λόγοι μεγίστων καὶ θείων ἀνδρῶν, τὸ θρασύ σου καὶ ἄγνωστον καταῤῥάσσοντες· καὶ ὡς οὐκ ἐπήρθη ἔτι ἡ ζύμη ὅτε τὰ μυστήρια παρέδωκεν ὁ Σωτήρ. Καὶ τὸ Εὐαγγέλιον τούτου μάρτυς, οὐ τὴν ἡμέραν εἶναι διδάσκον τῶν ἀζύμων, ὅτε 101 ἑαυτὸν ἱερούργησεν ὁ Χριστός· ἀλλὰ πρὸ τῶν ἀζύμων ἦν. « Πρὸ δὲ τῆς ἑορτῆς, φησί, τοῦ Πάσχα εἰδὼς ὁ Ἰησοῦς. » Καὶ τὴν θυσίαν παρέδωκεν, ὅτε ἐποίησε τὸν δεῖπνον. Τότε δὲ καὶ τὰ τοῦ νιπτῆρος
B ἐτέλεσε. Καὶ πρὸ τοῦ Πάσχα ταῦτα τοῦ Ἰουδαϊκοῦ ἦν. Ὅρα δὲ τί φησι καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πάθους. Καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα. Καὶ ἐν τῇ σταυρώσει πάλιν, « Ἐπεὶ παρασκευὴ ἦν, » φησίν, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ Σαββάτου. Καὶ ἀφ' ὧν τὸ Εὐαγγέλιον αὖθις λέγει, « Ἔλαβεν ἄρτον. » Καὶ οὐκ ἄζυμον προστίθησι. Καὶ ὃ δὲ ἔφη ὁ Κύριος, « Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν, » ἀριδηλότατα διδάσκει. Οὐ γὰρ τοῦ Ἰουδαϊκοῦ ἐπεθύμει, ὃ πολλάκις ἦν τετελεκώς. Καὶ τὴν σκιὰν ἦλθε παύσων. Λοιπὸν εἴπερ καὶ τὸ νομικὸν ἐπετετέλεκεν, ἐποίησε πρότερον. Ὕστερον δὲ παρέδωκε τὸ αὐτοῦ.
C Καὶ τοῦτο ἦν ἐπιθυμῶν παραδοῦναι πρὸ τοῦ παθεῖν, ἵνα μένῃ μεθ' ἡμῶν, ἵνα ἀληθὲς ᾖ ὅπερ ἔφησεν, « Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. » Διὸ καὶ οὐ τὰ νομικὰ πάντα ἐν τῷ δείπνῳ ἐκείνῳ ἦν ἐκπληρῶν· ἀλλὰ καὶ νιπτῆρα ἐτέλεσε, καὶ ἀνακείμενος ἦν, καὶ οὐχ ὀπτὰ μόνον κρέα ἔχων, ἀλλὰ καὶ τρύβλιον ἐν ᾧ ἔβαψεν ὁ Ἰούδας. Ὥστε οὔτε καιρὸς ἦν τοῦ τῶν Ἰουδαίων Πάσχα, καὶ οὐ τὸ Ἰουδαϊκὸν τότε μόνον ἐτέλεσεν, ἀλλὰ μάλιστα τὸ οἰκεῖον, περὶ οὗ καὶ ἔλεγε, « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Καὶ ἡ σάρξ μου ἀληθῶς ἐστι βρῶσις. Καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. » Καὶ ὅτι δὲ τὰ παλαιὰ πέπαυται, αὐτὸς πάλιν μαρτυρεῖ λέγων, « Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου. » Ἀληθὲς ἄρα,
D ὅτι οὐ τὸ τῶν Ἰουδαίων Πάσχα τὸ ἐξ ἀλόγου ἀμνοῦ καὶ αἵματος ζώου δέδωκε καὶ ἠγάπα τότε· ἀλλὰ τὸ οἰκεῖον ἦν ἐπιθυμῶν παραδοῦναι τοῖς μαθηταῖς. Καὶ παρέδωκε, ὅπερ τότε ἅπαξ αὐτὸς ἐποίησε, καὶ εἰς αἰῶνας ἐνετείλατο γίνεσθαι. Εἰ καὶ ταῦτα σὺν πάντα καὶ τὰ ἐκ Πατέρων ἀποσοβεῖ σου τὴν ἄνοιαν· ὅμως ἔδει, εἴγε καὶ ἄζυμον ἦν τὸ προσαχθὲν ὑπὸ τοῦ Σωτῆρος τότε διὰ τὸν ἐνεστῶτα καιρόν, τελεώτερον ἐνεργεῖν σε, καθὰ δὴ καὶ τὰ λοιπὰ ὑπὲρ τὸν νόμον ποιεῖν παρελάβομεν, καὶ περισσεύειν τὴν δικαιοσύνην ἡμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων. Ἀλλὰ καὶ ἐλεύθεροι ἡμεῖς ἐκ τοῦ νόμου τῷ αἵματι Ἰησοῦ Χριστοῦ. Χριστὸς γὰρ ἡμᾶς ἠλευθέρωσεν ἐκ τῆς κατάρας τοῦ νόμου, φησὶν ὁ Παῦλος· καὶ οὐδὲν ἡμῖν καὶ τῇ λατρείᾳ τοῦ νόμου. Ἐὰν γὰρ

τὰ τοῦ νόμου πάλιν τελῶμεν, Χριστὸς ἡμᾶς οὐδὲν A ὠφελήσει, πάλιν ὁ Παῦλός φησι. Χριστὸς γὰρ πάντα πληρώσας ὑπὲρ ἡμῶν, ἡμᾶς ἠλευθέρωσεν. Ἐπεὶ καὶ περιετμήθη μὲν ἐκεῖνος, ἀλλ' ἡμεῖς οὐ περιτεμνόμεθα· βαπτιζόμεθα δὲ ἐν Πνεύματι· καὶ οὐ κρέα θυόμενα καὶ αἷμα ἐσθίομεν, ἀλλὰ τὴν σάρκα καὶ τὸ αἷμα αὐτοῦ. Δῆλον οὖν μᾶλλον, ὅτι ἡ θυσία αὐτοῦ τοῦ φρικτοῦ ἄρτου καὶ ποτηρίου, καὶ οὐ τὸ τοῦ νόμου Πάσχα ἦν ἡ παράδοσις, ὅτι φησί, « Τοῦτό ἐστιν ἡ καινὴ Διαθήκη ἐν τῷ ἐμῷ αἵματι. » Καί· Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς Διαθήκης. » Ὡς καὶ πρὸ τούτου τὴν ἑαυτοῦ σάρκα διδοὺς ἡμῖν εἰς τροφὴν, ἔλεγε, « Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. » Ὅπερ οὐδὲ δύνῃ μιμεῖσθαι σύ· τοσοῦτον ὑπὸ τοῦ ἀζύμου κατεκρατήθη;. Καὶ οὐδὲ τέμνειν δύνῃ, καὶ παρέχειν τὸ σῶμα, ὥσπερ οὐδὲ τὸ B αἷμα· καίτοι γε τούτου λέγοντος, « Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου. » Ἀλλ' οὐδ' αὐτὸ σὺ ἐνεργεῖς. Καὶ γὰρ τοῖς προσερχομένοις σοι κοινωνεῖν οὐ μεταδίδως τοῦ ποτηρίου· τοσοῦτον πάντα κεκαινοτόμηκας. Ἀλλ' ἡμεῖς ἐν Χριστῷ ἱερουργοῦμεν κατ' αὐτὸν, καὶ τὸν ἄρτον κλῶμεν, ὡς ἔκλασεν αὐτός· καὶ ἡμεῖς ἐσθίομεν, ὡς ἔφη, καὶ τοῖς πιστοῖς μεταδίδομεν· καὶ τέλειον ἄρτον προσάγομεν· ἐπεὶ καὶ τέλειος ἄνθρωπος αὐτὸς, καὶ εἰς τὴν τῆς νομικῆς θυσίας ἀναίρεσιν, ἐπεὶ πέπαυται **102** φανείσης τῆς ἀληθείας. Καὶ πιστεύομεν ὡς καὶ ἔνζυμον τέλειον ἄρτον ἱερούργησεν ὁ Σωτὴρ εἰς τὸ Πάσχα ὃ ἐπεθύμησεν, εἴγε καὶ τὸ νομικὸν εἰργάσατο πρότερον. Ἐπεὶ ἀνακείμενος ὢν, καὶ τρυβλίον ἔχων ἐν ᾧ C ἔβαψεν ὁ Ἰούδας, οὐ τὰ νομικὸν τότε ἐνεργεῖν Πάσχα φαίνεται· πάντα γὰρ ἐκεῖ ὀπτὰ πυρί φησιν εἶναι ὁ νόμος, καὶ μὴ ἐν ὕδατι ἑψόμενα. Εἰκὸς οὖν ἐν ἄλλῳ καιρῷ τὸ νομικὸν τελέσαι, καὶ τότε τὸ ἑαυτοῦ Πάσχα, οὗπερ καὶ ἐπεθύμησε. Καὶ τοῦτο λέγω πολλάκις, ἐπιθυμῶν κἀγὼ ἐν αὐτῷ τούτου τοῦ ζῶντος Πάσχα πάντοτε γεύεσθαι ἐλέει αὐτοῦ νῦν τε καὶ ἐν τῷ μέλλοντι· καὶ τοῦτο εὔχομαι ἐμοὶ διαπαντὸς εἶναι καὶ πᾶσι τοῖς ἀδελφοῖς. Καὶ τὸ ἱερὸν δὲ ἱερουργοῦντες ποτήριον ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἑαυτὸν ἡμῖν δεδωκότι, καὶ τοῖς ἀδελφοῖς πίνειν ἐξ αὐτοῦ πᾶσιν, ὡς ἐκελεύσθημεν, παρέχομεν ἐν ἀγάπῃ, ἓν γινόμενοι ὥσπερ ηὔξατο, καὶ σὺν αὐτῷ μετὰ Πατρός τε καὶ Πνεύματος ἓν ὑπάρχοντες, ὥσπερ ἔφη. Ἀλλ' ἱκανὰ ταῦτα· καὶ πλέον ἢ προεθέμεθα ἐν ἐπιτομῇ λέγειν, εἴπομεν, ὑπὸ τοῦ λόγου βιασθέντες.

in Spiritu; neque carnes oblatas et sanguinem manducamus; sed ipsius carnem et sanguinem. Patet igitur magis ac magis quod oblatio hujus reverendi panis et calicis, non autem legis Pascha tradebatur, cum dicat: « Hoc est novum Testamentum in meo sanguine; » et: « Hic est sanguis meus novi Testamenti » quemadmodum et prius carnem suam nobis in cibum tribuens, dicebat! « Accipite, manducate: Hoc est corpus meum » quod tu non potes imitari; adeo azymo teneris; neque dividere potes, et præbere corpus; quemadmodum neque sanguinem. Illo tamen dicente: Bibite ex eo omnes: hic est sanguis meus, sed tu non facis. Qui enim tecum volunt communicare, eis non offers calicem; adeo omnia innovasti. Sed nos in Christo sacrificamus secundum ipsum; et panem frangimus, ut ipse fregit; et nos bibimus, ut ipse dixit; et fidelibus calicem tradimus; et perfectum panem offerimus; quoniam et ipse perfectus homo et in legalis sacrificii ablationem, quoniam cessavit, quando apparuit veritas. Et credimus Christum fermentatum et perfectum panem sacrificasse in Paschate quod desideravit, etsi legale Pascha prius peregit. Etenim cum recumberet et catinum haberet in quo intinxit Judas, non legale tunc Pascha operatus esse videtur. Omnia enim in illo Paschate igne assa esse oportere dicit, neque in aqua cocta. Verisimile est igitur Pascha legale alio tempore eum celebrasse, et tunc suum Pascha quod desideravit. Et id sæpius dico, desiderans ego in ipso hujus viventis Paschatis fieri particeps, ipsius misericordia, et nunc et in futuro sæculo. Et mihi id esse peropto semper et omnibus meis fratribus. Et sanctum calicem consecrantes in ipso Christo Deo nostro, qui seipsum nobis dedit, et fratribus ex eo bibendum, ut jussi sumus, in charitate damus, unum effecti, ut oravit, et cum eo simul cum Patre et Spiritu in unitate constituti, ut dixit. Sed hæc sufficiunt; et plusquam proposuimus breviter dicere, diximus, sermone ipso coacti.

Κληρικός. Ἀναγκαῖα εἰρῆσθαι, δέσποτα, καὶ τῷ Θεῷ χάρις ὑπὲρ τούτων· ἀσφαλίζουσι γὰρ ἡμᾶς, D καὶ περὶ τοῦ ὀρθοῦ τε καὶ ἀληθοῦς πολλὴν παρέχουσι τὴν σύνεσιν καὶ βεβαίωσιν.

Clericus. Quæ necessaria sunt dixisti, Domine, et pro iis Deo gratias. Nos enim firmant et de eo quod rectum est ac verum multam intelligentiam et certitudinem præstant.

Ἀρχιερεύς. Πλεῖστοι, ἀδελφέ, θεῖοι ὄντως καὶ ὑψηλοὶ τὴν διάνοιαν εἰρήκασι περὶ τούτων· καὶ ὡς παρέλκον ἡγοῦμαι καὶ τολμηρὸν τὸ λέγειν κἀμὲ περὶ τούτων ταπεινὸν ὄντα. Πλὴν ἡ ἀγάπη βιάζεται. Δέχεσθε οὖν καὶ αὐτοὶ τὸ κατὰ δύναμιν παρ' ἡμῶν. Τὰ τελειότερα δὲ παρὰ τῶν μεγάλων ἐπιζητοῦντες μανθάνετε. Ὅτι πᾶς ὁ ζητῶν εὑρήσει, φησί.

Pontifex. Multi, frater, mente vere divina ac excelsa præditi de iis locuti sunt, et quasi superfluum ac temerarium de iis meipsum tam humilem disserere opinor. Cogit tamen caritas. Accipite igitur et vos quæ possum pro viribus dicere. Perfectiora vero a magnis inquirentes discite; quia omnis qui quærit invenit, ut dictum est.

ΚΕΦΑΛ. ϞΒ'.

Περὶ τῶν ἐν τῇ προσκομιδῇ τελουμένων.

Οὕτως ὁ ἱερεὺς τὸν ἔνζυμον ἐκεῖνον ἄρτον ἐκ μέσου τοῦ ἄρτου ἐξαγαγὼν, δηλῶν κἀν τούτῳ ὡς ἐκ τῆς ἡμετέρας φύσεως καὶ οὐκ ἐξ ἑτέρας οὐσίας σεσαρ-

CAPUT XCII.

De iis quæ in Missa peraguntur.

Sic igitur postquam sacerdos fermentatum illum panem ex medio pane assumpsit, ostendens hoc modo Christum ex nostra natura neque ex alia

substantia incarnatum esse Salvatorem et ex una A muliere, benedicta et sanctissima et semper Virgine Maria; et postquam calicem vino et aqua implevit juxta traditionem; et alias Deo offert partes. Quod egitur ex vino et aqua, ipsa res indicat. « Unus militum, inquit enim, lancea latus ejus aperuit et continuo exivit sanguis et aqua. » Hic igitur calix, et ex illo Salvatoris latere est, qui dixit : « Hic est sanguis meus qui pro vobis effunditur.

CAPUT XCIII.

Contra Armenios (aquam cum vino offerre recusantes).

Sanguis vero effusus est cum aqua, ut dicit Evangelium, et ex eo latere bibimus, et Chrysostomus sæpe de eo loquitur. Quem Armenii insectantur, B et universi Patres idem aiunt. Et totum illud quod effluxit communio est a latere Salvatoris, quoniam e Dominico corpore scaturivit. Et ex eo est neque ex alio, etsi unum, sanguis, alterum, aqua dicatur. Et vere, ut dicitur, hæc sunt sanguis et aqua. Duos enim oportebat esse fontes per quos regeneraremur et viveremus in Spiritu; et ex ipsa vita ii effluxerunt. Et ideo semper necesse est ut in calicem reverendum, quemadmodum et vinum, ita et aqua infundatur, in mysterii repræsentationem. Neque aqua solum, ut vult impia hydroparastatarum hæresis, mysteriorum traditionem evertens; et ut gentilium athea et impia fert opinio quæ vinum ut malum arcet, et non ebrietatem, pessimi hujus qui ipsam movet, C dæmonis impulsione; qui nos Christianos excitat ut hanc sacerrimam victimam reprobemus, aut potius ut nos opprobrio aspergamus et evertamus. Neque solum vinum adhibetur secundum hæreticos Armenios, aliam sane hæresim promere volentes et pejori modo labentes, ut et in aliis a veritate procul distantibus illis accidit. Cum enim Nestorio vellent resistere, qui in Christo divisionem esse docebat, et separatim Verbum esse, separatim vero humanitatem, eo usque venerunt ut dicerent unam esse in Christo naturam, incarnationem ejus improbe destruentes. Quomodo enim Deus Verbum incarnatum, una esset natura? et quænam ea esset natura, divinane an humana? Destruunt igitur hanc unam naturam. D Ita contra divina dogmata procedunt, hydroparastatarum in hæresim insurgit Chrysostomus, dicendo quod dictum a Christo est : « Non bibam amodo, de hoc genimine vitis. » Vitis autem vinum, non aquam generat. Hæresim quidem evertit, sed non aquam reprobat. Nec enim dixit vinum solum sine aqua; sed vitis vinum, non aquam generat. Igitur vinum esse in calice oportet; sed et cum illo aquam; quoniam ambo ex divino effluxerunt latere. Sed deceptoris perfidia multos a recta via avertit. Nos autem, regiam viam tenentes, ut sanguinem et aquam e latere vivificanti affluxisse edocti sumus, ita vinum cum aqua in calicem infundimus, et sanctissimæ Trinitati cum fermentato pane offerimus,

χωται ὁ Σωτὴρ, καὶ ἐκ μιᾶς γυναικὸς εὐλογημένης καὶ ἁγίας τῆς Ἀειπαρθένου κόρης, καὶ τὸ ποτήριον ἐκπληρώσας ἐν οἴνῳ καὶ ὕδατι κατὰ τὴν παράδοσιν, καὶ ἑτέρας τῷ Θεῷ προσφέρει μερίδας. Ὅτι μὲν οὖν ἐξ οἴνου καὶ ὕδατος, αὐτὸ τὸ πρᾶγμα δηλοῖ· « Εἷς τῶν στρατιωτῶν γάρ, φησι, λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. » Τοῦτο οὖν τὸ ποτήριον, καὶ ἐξ ἐκείνης τῆς πλευρᾶς ἐστι τοῦ Σωτῆρος, τοῦ εἰρηκότος, « Τοῦτό ἐστι τὸ αἷμά μου τὸ ὑπὲρ ἡμῶν ἐκχυνόμενον. »

ΚΕΦΑΛ. ϞΓ'.

Κατὰ Ἀρμενίων.

Αἷμα δὲ ἐξεχύθη σὺν ὕδατι, ὡς τὸ Εὐαγγέλιον λέγει, καὶ ἐκ τῆς πλευρᾶς ταύτης πίνομεν. Καὶ ὁ Χρυσορρήμων πολλάκις τὸ περὶ τούτου φησὶν, ὃν Ἀρμένιοι διαβάλλουσι· καὶ οἱ καθόλου τῶν Πατέρων τοῦτό φασι. Καὶ ὅλον ἐκεῖνο τὸ ῥεῦσαν κοινωνία ἐστὶν ἀπὸ τῆς πλευρᾶς τοῦ Σωτῆρος, ἐπειδὴ ἐκ τοῦ κυριακοῦ ἐξέβλυσε σώματος. Καὶ ἐκ τούτου ἐστὶ καὶ οὐκ ἄλλου, εἰ καὶ τὸ μὲν αἷμα, τὸ δὲ ὕδωρ λέγεται. Καὶ ἀληθῶς ταῦτα, ὡς μεμαρτύρηται, αἷμα καὶ ὕδωρ εἰσίν. Ἐπειδὴ γὰρ ἔδει τὰς δύο πηγὰς φανῆναι, δι' ὧν ἀναγεννώμεθα καὶ ζῶμεν ἐν Πνεύματι, ἐξ αὐτῆς τῆς ζωῆς αὗται ἡμῖν ἐπήγασαν. Διὰ τοῦτο καὶ ἀεὶ ἀναγκαῖον εἶναι ἐν τῷ ποτηρίῳ τῷ φρικτῷ, ὡς καὶ τὸν οἶνον, καὶ τὸ ὕδωρ εἰς τὴν τοῦ μυστηρίου παράστασιν· καὶ μήτε ὕδωρ μόνον, ὡς ἡ τῶν Ὑδροπαραστατῶν δυσσεβὴς λέγει αἵρεσις, τὴν τῶν μυστηρίων παράδοσιν ἀνατρέπουσα, ὡς καὶ ἡ τῶν ἐθνικῶν ἄθεια τε καὶ δυσσέβεια, ὡς κακὸν ἀποτρεπομένη τὸν οἶνον, καὶ οὐ τὴν μέθην, ὑποβολῇ τοῦ κινοῦντος αὐτοὺς πονηροτάτου **103** δαίμονος, καὶ καθ' ἡμῶν τῶν Χριστιανῶν ἐρεθίζοντος εἰς ἀθέτησιν μὲν δῆθεν τῆς ἱερωτάτης θυσίας, αἰσχύνην δὲ μᾶλλον αὐτῶν καὶ ἀποτροπήν, μήτε οἶνον μόνον κατὰ τοὺς αἱρετικοὺς Ἀρμενίους, βουλομένους δῆθεν ἄλλην ἀνατρέπειν αἵρεσιν, καὶ χείρονι περιπίπτοντας, ὡς καὶ ἐν ἄλλοις τοῦτο τούτοις συνέβη παρατραπεῖσι τῆς ἀληθείας. Νεστορίῳ γὰρ δῆθεν οὗτοι ἀνθίστασθαι θέλοντες, διαίρεσιν δοξάζοντι ἐπὶ τοῦ Χριστοῦ, καὶ ἰδίᾳ τὸν λόγον, ἰδίᾳ καὶ τὸ ἀνθρώπινον δογματίζοντι, εἰς τὸ μίαν λέγειν ἐπὶ Χριστοῦ φύσιν ἦλθον, τὴν οἰκονομίαν αὐτοῦ ἀθετοῦντες οἱ δείλαιοι. Πῶς γὰρ ὁ Θεὸς Λόγος σαρκωθεὶς, μία φύσις; Καὶ τίς αὕτη ἡ φύσις, θεία ἢ ἀνθρωπίνη; Ἀνατρέπουσιν ἄρα μίαν. Οὕτως ἀπεναντίας τῶν θείων δογμάτων βαίνουσι. Τῇ τῶν Ὑδροπαραστατῶν δὲ αἱρέσει καὶ ὁ Χρυσορρήμων ἀνθίσταται, ἐν τῷ λέγειν τὸ εἰρημένον ὑπὸ Κυρίου, « Οὐ μὴ πίω ἀπάρτι ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου. » Ἄμπελος δὲ οἶνον, οὐχ ὕδωρ γεννᾷ. Ἀνατρέπει μὲν γὰρ τὴν αἵρεσιν, οὐκ ἀποβάλλεται δὲ τὸ ὕδωρ. Οὐδὲ γὰρ ἔφη οἶνον μόνον χωρὶς τοῦ ὕδατος· ἀλλ' ἡ ἄμπελος οἶνον γεννᾷ, καὶ οὐχ ὕδωρ. Λοιπὸν ὀφείλει μὲν εἶναι καὶ ὁ οἶνος, ἀλλὰ καὶ τὸ ὕδωρ σὺν αὐτῷ, ἐπειδὴ καὶ ἄμφω ἐκ τῆς θείας ἐρρύησαν πλευρᾶς. Ἀλλ' αἱ παρατροπαὶ τοῦ ἀπατεῶνος πολλοὺς ἀπεπλάνησαν τῆς εὐθείας. Ἡμεῖς δὲ τὴν βασιλικὴν ὁδὸν τρέχοντες, ὥσπερ αἷμα καὶ

ὕδωρ ἐκ τῆς πλευρᾶς ἐδιδάχθημεν τῆς ζωοποιοῦ ἀποῤῥεῦσαι, οὕτω καὶ οἶνον σὺν ὕδατι τῷ ποτηρίῳ εἰσάγομεν· καὶ τῇ ἁγίᾳ Τριάδι μετὰ τοῦ ἐνζύμου ἄρτου προσφέρομεν, ὡς καὶ παρελάβομεν παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τῶν ἀποστόλων αὐτοῦ, καὶ τῶν Πατέρων ἡμῶν. Καὶ ὁ μὲν ἄρτος ἔνζυμος ἄνωθεν ἡμῖν οὕτω παρεδόθη προσάγεσθαι· καὶ αἱ ἱεραὶ εὐχαὶ μαρτυροῦσι, καὶ ἡ πάλαι παράδοσις καὶ συνήθεια· καὶ τὸ ποτήριον δὲ, οἶνος καὶ ὕδωρ. Καὶ περὶ τούτου ἡ θεία παριστᾷ τοῦ Χρυσοῤῥήμονος λειτουργία, καὶ ἔτι σαφέστερον ἡ τοῦ θεοφάντορος Βασιλείου. Μετὰ γὰρ τὸ εἰπεῖν, « Καὶ λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶ, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρὶ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας ἔδωκε, » τότε ἐπάγει, « Ὁμοίως δὲ καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, ἔδωκεν. » Ὁρᾷς; « Ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβὼν, φησὶ, καὶ κεράσας, » τουτέστι ὕδατι μίξας. Τοῦτο γὰρ τὸ κεράσας. Ἀλλὰ καὶ ὁ θεῖος Ἰάκωβος ἐν τῇ λεγομένῃ αὐτοῦ ἱερᾷ λειτουργίᾳ, αὕτη δὲ εὑρίσκεται ἐν πολλοῖς, οὕτω φησί· « Καὶ λαβὼν τὸ ποτήριον καὶ κεράσας ἐξ οἴνου καὶ ὕδατος. » Καὶ πάντες δὲ οὕτω προσέφερον ἡμῶν οἱ Πατέρες ἐν ταῖς καθολικαῖς ἐκκλησίαις, καὶ τοῖς ἀποστολικοῖς θρόνοις. Καὶ ἄνωθεν ἡ διαδοχὴ παρ' αὐτῶν ἡμῖν αὕτη τῆς ζωοθύτου θυσίας. Οὐ γὰρ ἔκ τινων μερικῶν, οὐδ' ἐν γωνίᾳ τὰς παραδόσεις ἐλάβομεν, ἀλλ' ἀπὸ πάντων ἄνωθεν τῶν διαδόχων τῶν ἀποστόλων καὶ τῶν ὁμολογητῶν Πατέρων, τῶν καὶ θαύμασιν ἀστραψάντων, ὁμοῦ συνηγμένων πολλάκις ἐν τοῖς ἡμετέροις ὁρίοις, καὶ τῇ φιλοχρίστῳ μᾶλλον πόλει τῇ Κωνσταντίνου· ἥτις δὴ καὶ ἐν Χριστῷ τεθεμελιωμένη ἐστὶ καὶ ηὐξημένη, συντηρουμένη τε διὰ τῆς παναγίας αὐτοῦ Μητρός. Ἔνθα δὴ καὶ τὸ τῶν ἐν Νικαίᾳ Σύμβολον τῆς πίστεως τελεσθὲν ἐσφραγίσθη ὑπὸ τῆς οἰκουμενικῆς δευτέρας θείας συνόδου. Καὶ ὁμοῦ οἱ Πατέρες τότε καὶ μετὰ ταῦτα πολλάκις ὁμοῦ συνηγμένοι ἐκ τῶν περάτων ἁπάντων, καὶ πολλάκις ἅμα ἱερουργήσαντες, τὰ τῆς μυσταγωγίας ἀκριβῶς ἡμῖν παραδεδώκασιν ἅπαντες. Καὶ ἡ Ἐκκλησία ἐξαιρέτως αὕτη τῆς Κωνσταντίνου παρὰ τὰς ἄλλας τὸ ἠκριβωμένον ἔχει καὶ καθαρὸν καὶ ὀρθὸν τῆς πίστεως Χριστοῦ καὶ ἀκίβδηλον, καὶ τὸ τῶν θείων ἀπαρχῆς παραδόσεων ἀπαράθραυστον. Ἐπειδὴ καὶ εὐσεβείᾳ συνέστη, καὶ ποιμένες ἐν ταύτῃ ἰσαπόστολοι ὤφθησαν· καὶ τὸν κορυφαῖόν τε καὶ πρωτόκλητον ἐν ἀποστόλοις ἔσχε **104** θεμέλιον· καὶ παρὰ Χριστιανῶν βασιλέων, Κωνσταντίνου τε καὶ λοιπῶν ὑπὲρ Χριστοῦ ζηλωσάντων, ᾠκοδομήθη τε καὶ πεφύλακται. Καὶ ἐν ταῖς κατὰ καιροὺς ζητήσεσι περί τε θείων δογμάτων καὶ τῶν ἄλλων ἱερῶν παραδόσεων οὐ μόνον εἷς τις ὁ ἀρχιερατεύων ἐν ταύτῃ νομοθετῶν ἦν, ἀλλὰ προστάγματι καὶ σπουδῇ εὐσεβῶν βασιλέων οἱ ἀνὰ πᾶσαν τὴν οἰκουμένην τῆς εὐσεβείας προστατοῦντες ἀρχιερεῖς συνηθροίζοντο. Καὶ ὁ Ῥώμης παρῆν, ἢ δι' ἑαυτοῦ, ὥς ποτε ὁ Ἀγαπητὸς, καὶ ὕστερον Μαρτῖνος, ἢ διὰ τοποτηρητῶν· καὶ

A quemadmodum a Christo Deo nostro accepimus et et ab ipsius apostolis et Patribus nostris. Et panis quidem fermentatus desursum nobis ita offerendus esse traditus est? Et sanctæ orationes testantur et antiqua traditio et consuetudo. Et calix vinum est et aqua. Et de hoc divina affirmat Chrysostomi liturgia; et adhuc manifestius, theologi Basilii liturgia. Postquam enim dixit : et accepto pane in sanctis et puris et innocentibus manibus suis, et oblato tibi Deo Patri, gratias agens benedixit, sanctificavit ac fregit deditque, tunc addit : « Similiter et calicem de genimine vitis accipiens, et miscens, gratias agens, benedixit, sanctificavit deditque. » Vides? De genimine vitis accipiens, inquit, et miscens: scilicet, aqua. Illud enim vox

B *miscens* significat. Sed et sanctus Jacobus, in ea quæ ipsi tribuitur, liturgia, et quæ multis in locis reperitur, ita dicit : « Et accipiens calicem, miscensque vino et aqua. » Et omnes ita id nobis tradiderunt Patres nostri in catholicis Ecclesiis, et apostolicis sedibus. Et desursum vivificantis victimæ ab ipsis ad nos successio pervenit. Non enim ex quibusdam partibus et tanquam in angulo traditiones accepimus; sed ab omnibus desursum apostolorum et concordium Patrum traditionibus, qui miraculis illuxerunt, sæpiusque nostris in regionibus convenerunt; et in Christi amantem civitatem Constantinopolim, quæ sane in Christo fundata est et aucta, et a sanctissima ipsius Matre

C custodita. Ibi sane et Nicænum Symbolum fidei perfectum est et a secunda œcumenica et divina synodo signatum; et simul Patres tunc et postea sæpius congregati ex omnibus finibus et sæpius una sacra facientes, mysteriorum celebrationis ritum accurate omnes tradiderunt. Et hæc Constantinopolitana Ecclesia supra alias fidem Christi accuratam et puram et rectam et non mixtam retinet, invulneratasque ab initio traditiones; quippe quæ pietate constituta sit, et pastores in ipsa apostolis æquævi visi sunt, ducemque et nomine primum inter apostolos habuerit fundamentum; et a Christianis imperatoribus, Constantinoque et cæteris pro Christo strenue operatis, condita fuerit et custodita. Et in inquisitionibus quæ de divinis

D dogmatibus et aliis sacris traditionibus habitæ sunt, non modo unus ille qui episcopus in ea erat, legem ferebat; sed jussu et cura piorum imperatorum, qui per totum orbem religioni præerant episcopi congregabantur. Et Romæ episcopus aderat aut ipse, ut quondam Agapetus et postea Martinus, aut per vicarios, et aderat Alexandriæ episcopus et Antiochæ et divinæ urbis Jerusalem; et quicunque ubique terrarum inclytissimi habebantur. Et unanimi consensu dubia dissolvebant, infallibilia vero et vera definitionibus firmabant et optime stabiliebant. Et id ab apostolis acceperant. Quando enim de circumcisione ab aliquibus agi cœptum est, non ausi sunt Paulus et Barnabas legem ferre; sed apostolorum synodo considere,

cujus litteris quid agendum esset, accepere. Nec A Petrus modo locutus est, sed et Jacobus et Joannes et cæteri, atque ita simul in Epistola scribunt. Et antea Petrus, quando ut adimpleretur duodecim apostolorum numerus, aliquem eligere voluit, non sibi ipsi confidit, sed et cum plerisque deliberationem habuit, et cum illis opus perfecit. Et quando cum revelatione Cornelium accepit, multis verbis et præsentibus testibus illud opus Dei esse, non suum, cæteris apostolis probavit, ut et illi acciperent. Et Paulus similiter incepit et prædicationem suam aliis communicavit, ne in vacuum curreret aut cucurrisset, Paulus, qui Christum gerebat, qui ubique a sancto Spiritu movebatur. Quis igitur omnino se commendare auderet, non a Deo et a Dei servis commendatus? Et quem proferre B possent contra Patres doctorem, unumque et duos et plures, temerariorum dogmatum et falsorum assertores? Quos falsos doctores consequens esset dicere, alia docentes et nova statuentes, adversus ea quæ communiter accepta sunt et firmata, et ab omnibus Patribus simul et in communibus conciliis et ubique tradita. Et sufficiunt quæ de eo dicta sunt. Sacer vero discus sacerrimum panem habet et divinum calicem, vinum et aquam, Deo oblata. Ipse autem sacerdos, et aliam oblationem accipiens ex eo quod in medio est signo unam partem cuspide educit; et in honorem ac memoriam Deiparæ offert; eamque partem a dextro panis qui in disco est latere ponit. Ipse enim panis figura est adhuc corporis C Christi; pars autem illa repræsentat eam quæ etiam Virgo Christum genuit, salva igitur et in figura veritate: in Psalmo enim adstitit Regina a dextris Filii et Regis Christi. Primum honorem accipit, tanquam Mater. Primus etenim locus est dexterum latus.

A ὁ τῆς Ἀλεξάνδρου δὲ καὶ Ἀντιόχου, καὶ τῆς θείας πόλεως Ἱερουσαλήμ· καὶ ἔτι οἱ πανταχόθεν πάντες λογάδες καὶ ἔκκριτοι. Οἳ καὶ ὁμοθυμαδὸν διαλύοντες τὰ ἀμφισβητούμενα, τὰ ἀκραιφνῆ τε καὶ ἀληθῆ ὅροις ἐβεβαίουν καὶ καλῶς ἠσφαλίζοντο· καὶ τοῦτο παρὰ τῶν ἀποστόλων λαβόντες. Ἡνίκα γὰρ ὁ περὶ τῆς περιτομῆς παρά τινων εἰσήχθη λόγος, οὐκ ἐθάῤῥησαν ἑαυτοῖς Παῦλός τε καὶ Βαρνάβας νομοθετεῖν, ἀλλὰ τῇ τῶν ἀποστόλων συνόδῳ, δι' ἧς καὶ τὸ πρακτέον ἐν γράμμασιν ἔλαβον· ὅτε καὶ οὐ Πέτρος μόνον ἐλάλει, ἀλλὰ καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ οἱ λοιποί· καὶ οὕτως ὁμοῦ γράφουσιν ἐν τῇ τούτων ἐπιστολῇ. Καὶ πρὸ τούτου Πέτρος, ἡνίκα εἰς τὴν ἀναπλήρωσιν τῆς δωδεκάδος τῶν μαθητῶν ἕνα ἤθελεν ἀπολέξασθαι, οὐκ ἐθάῤῥησεν ἑαυτῷ, ἀλλὰ B τοῖς πολλοῖς ἐκοινώσατο, καὶ σὺν ἐκείνοις τὸ ἔργον ἐτέλεσε. Καὶ ὅτε δὲ μετὰ ἀποκαλύψεως τὸν Κορνήλιον παρεδέξατο, πλείστοις λόγοις καὶ μάρτυσι τοῖς παρατυχοῦσιν, ὡς ὅτι παρὰ Θεοῦ τὸ ἔργον ἦν καὶ οὐ παρ' αὐτοῦ, τοῖς λοιποῖς τῶν ἀποστόλων ἐβεβαιώσατο, ὡς ἂν καὶ αὐτοὶ παραδέξωνται. Καὶ Παῦλος δὲ ὁμοίως ἀνήρχετο καὶ ἐκοινοῦτο τὸ κήρυγμα μήπως εἰς κενὸν τρέχῃ, ἢ ἔδραμε· Παῦλος ὁ τὸν Χριστὸν φέρων ὁ πάντοτε ὑπὸ τοῦ ἁγίου κινούμενος Πνεύματος. Λοιπὸν τίς τολμήσειεν ὅλως ἑαυτὸν συνιστᾷν, μὴ παρὰ Θεοῦ καὶ τῶν τοῦ Θεοῦ συνιστάμενος δούλων; Ἢ τίνα προφέρειν ἔχοιέν τινες παρὰ τοὺς Πατέρας διδάσκαλον, ἕνα τε καὶ δύο καὶ πλείονας, τῶν κιβδήλων δογμάτων καὶ ἀμυήτων μυστηρίων ἐξάρχοντας; οὓς ψευδοδιδασκάλους C μᾶλλον εἰπεῖν ἀκόλουθον, διδάσκοντας ἕτερα καὶ νομοθετοῦντας καινὰ, παρὰ τὰ κοινῶς δεδογμένα τε καὶ βεβαιωθέντα, καὶ παρὰ τῶν Πατέρων πάντων ὁμοῦ ἔν τε ταῖς κοιναῖς συνελεύσεσι καὶ πανταχοῦ παραδεδομένα. Καὶ ἱκανὰ μὲν τὰ περὶ τούτου· ὁ δὲ ἱερὸς δίσκος τὸν ἱερώτατον ἄρτον ἔχει, καὶ τὸ θεῖον ποτήριον, τὸν οἶνον μετὰ τοῦ ὕδατος, ἀνατεθειμένα Θεῷ. Αὐτὸς δὲ ὁ ἱερεὺς, καὶ ἑτέραν λαβὼν προσφορὰν, ἐκ τῆς ἐν μέσῳ σφραγῖδος μίαν ἐξάγει μερίδα ἐκ τῆς λόγχης, καὶ εἰς τιμὴν καὶ μνήμην προσάγει τῆς Θεομήτορος. Καὶ ταύτην ἐκ δεξιῶν τοῦ ἐν τῷ δίσκῳ ἱεροῦ ἄρτου τίθησιν. Αὐτὸς μὲν γὰρ ὁ ἄρτος ἀντίτυπός ἐστιν ἔτι τοῦ σώματος τοῦ Χριστοῦ· ἡ μερὶς δὲ ἐκείνη ἀντ' αὐτῆς τῆς τοῦτον τεκούσης παρθενικῶς. Σωζομένης οὖν κἂν τῷ τύπῳ τῆς ἀληθείας, παρίσταται ἡ Βασίλισσα ψαλμικῶς ἐκ δεξιῶν τοῦ Υἱοῦ καὶ Βασιλέως Χριστοῦ, τὰς πρώτας τιμὰς ὡς Μήτηρ κομιζομένη. Πρῶτον καὶ γὰρ τὸ δεξιόν.

CAPUT XCIV.

De oblatis in prothesi particulis pro sanctis piisque universis.

A sinistris autem, et ex oblatione alias cuspide partes abducens in formam crucis ex signo sacerdos, D omnium sanctorum facit commemorationem, et eas ponit. Et unam quidem in honorem et memoriam cœlestium et honorandarum virtutum. Et necesse est ut pro ipsis offerantur; quia et incarnationis mysterio ipsæ ministraverunt; et quia nobiscum unitæ sunt, et una Ecclesia facti sumus. Et quia cupiunt ante divina Ecclesiæ mysteria procumbere, accipientes et ipsæ progressum. Et quia nobiscum sunt nobis custodes et pro nobis apud Deum intercedunt. Aliam vero offert in honorem et memoriam venerandi Præcursoris, et omnium sanctorum prophetarum et justorum, qui prænun-

ΚΕΦΑΛ. ϞΔ'.

Περὶ τῶν προσφερομένων ἐν τῇ προθέσει μερίδων ὑπέρ τε ἁγίων καὶ πάντων τῶν εὐσεβῶν.

Ἐξ ἀριστερῶν δὲ, ἐκ προσφορᾶς ἑτέρας τῇ λόγχῃ D μερίδας ἐξάγων σταυροειδῶς ἐκ τῆς σφραγῖδος ὁ ἱερεὺς, τῶν ἁγίων ἁπάντων μνήμην ποιεῖται καὶ τίθησι. Καὶ τὴν μὲν εἰς τιμὴν καὶ μνήμην προσφέρει τῶν τιμίων ἐπουρανίων δυνάμεων. Καὶ ἀναγκαῖον προσφέρειν ὑπὲρ αὐτῶν, ὅτι καὶ τῷ μυστηρίῳ τῆς οἰκονομίας αὐτοὶ καθυπούργησαν· καὶ ὅτι ἡνώθησαν ἡμῖν, καὶ μία ἐσμὲν Ἐκκλησία· καὶ ὅτι ἐπιθυμοῦσι παρακύπτειν εἰς τὰ τῆς Ἐκκλησίας μυστήρια, κομιζόμενοι καὶ οὕτως ἀνάβασιν· καὶ ὅτι μεθ' ἡμῶν εἰσι φύλακες ἡμῖν καὶ διαλλακταὶ 105 πρὸς Θεὸν ὄντες· τὴν δὲ εἰς τιμὴν καὶ μνήμην τοῦ τιμίου Προδρόμου, καὶ πάντων τῶν ἁγίων προφητῶν καὶ δικαίων, προκαταγγειλάντων τοῦ Κυ-

ρίου τὴν ἐνανθρώπησιν· τὴν δὲ εἰς τιμὴν καὶ μνήμην τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, ὡς ὑπηρετῶν τοῦ Χριστοῦ, ὡς πρώτων ἱερέων καὶ διδασκάλων τῆς πίστεως, καὶ τῶν μετ' αὐτοὺς ὑπὲρ τῆς εὐσεβείας ἐσπουδακότων, τῶν ἁγίων ἱεραρχῶν, τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων, καὶ τῶν ὁσίων σὺν πᾶσι τοῖς ἁγίοις· τελευταῖον δὲ εἰς τιμὴν καὶ μνήμην προσφέρει τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἢ τοῦ ἑορταζομένου, καὶ τοῦ Χρυσοστόμου Πατρὸς, ἢ Βασιλείου, οὗ ἡ λειτουργία ἐστὶ, καὶ πάντων ὁμοῦ πάλιν τῶν ἁγίων, ἐπειδὴ πάντες ἐν Χριστῷ ἥνωνται. Καὶ ἀναγκαῖον μετὰ τῆς ἀναμνήσεως τοῦ Κυρίου καὶ τὴν ἀνάμνησιν ποιεῖσθαι τῶν δούλων αὐτοῦ· καὶ πρῶτον μὲν τῆς ἀλοχεύτως αὐτὸν τεκούσης, ὡς εἴρηται, δι' ἧς τὰ μυστήρια τῆς σωτηρίας ἡμῶν ἐκτετέλεσται· ἔπειτα τῶν ἁγίων ἀγγέλων, ὡς καθυπουργησάντων τῷ μυστηρίῳ, καὶ δι' αὐτοῦ ἡμῖν ἑνωθέντων, καὶ περιφυλαττόντων ἡμᾶς· ἔπειτα τῶν προκηρυξάντων τὰ τοῦ μυστηρίου προφητῶν καὶ δικαίων, ὧν ἐξαίρετος καὶ σφραγὶς ὁ Βαπτιστής· ἔπειτα τῶν θεοπτῶν κηρύκων, ἀποστόλων τε καὶ οἳ τὸν κόσμον κατηύγασαν, μεθ' ὧν καὶ τῶν διαδόχων αὐτῶν ἱεραρχῶν, καὶ τοῦ καρποῦ τοῦ κηρύγματος, τῶν μαρτύρων καὶ τῶν ὁσίων· καὶ τέλος πάντων ὁμοῦ, ἐπειδὴ τῇ θυσίᾳ ταύτῃ τῇ ἱερᾷ πάντες ὁμοῦ ἄγγελοί τε καὶ ἄνθρωποι ἅγιοι καὶ ἡνώθησαν τῷ Χριστῷ, καὶ ἐν αὐτῷ ἡγιάσθησαν, καὶ τούτῳ ἡμᾶς ἑνοῦσιν.

« Ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, φησὶν, ὁ Θεὸς, καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. » Κατανοεῖς, ὡς ἀντὶ τῶν ἁγίων εἰσὶν αἱ μερίδες; καὶ εἰς μνήμην αὐτῶν καὶ τιμὴν, καὶ δι' αὐτῶν εἰς σωτηρίαν ἡμῶν προσφερόμεναι; μετέχουσι γὰρ καὶ οὗτοι τῷ μυστηρίῳ τῷ φρικτῷ τούτῳ ὡς συνηγωνισμένοι Χριστῷ, δόξης καὶ ἀναβάσεως μείζονος, τῇ κοινωνίᾳ τῆς σωτηριώδους θυσίας, καὶ ἡμᾶς αὐτῷ καταλλάσσουσι καὶ συνάπτουσι· καὶ μᾶλλον ὅσῳ τούτων μεμνήμεθα. Πλὴν οὐ μεταβάλλονται αἱ μερίδες ἢ εἰς σῶμα δεσποτικὸν, ἢ εἰς τὰ σώματα τῶν ἁγίων· ἀλλὰ μόνα δῶρά εἰσι καὶ προσφοραὶ καὶ θυσίαι δι' ἄρτου κατὰ μίμησιν τοῦ Δεσπότου, καὶ ἐπ' ὀνόματι τούτων αὐτῷ προσφερόμεναι, καὶ τῇ ἱερουργίᾳ τῶν μυστηρίων, τῇ ἑνώσει τε καὶ κοινωνίᾳ ἁγιαζόμεναι, καὶ εἰς ἐκείνους ὑπὲρ ὧν εἰσι, τὸν ἁγιασμὸν παραπέμπουσαι, καὶ διὰ τῶν ὑπὲρ τῶν ἁγίων εἰς ἡμᾶς· ὥσπερ δὴ καὶ διὰ τῶν εὐχῶν τοῦτο γίνεται, ἡνίκα μνησθῶμεν αὐτῶν, ἢ ὅταν τοῖς ναοῖς ἢ τοῖς λειψάνοις αὐτῶν, ἢ ταῖς εἰκόσι τι προσενέγκωμεν. Αὐτοὶ μὲν γὰρ ἀμέσως ἁγιάζονται παρὰ τοῦ Θεοῦ· δεχόμενοι δὲ καὶ τὰ παρ' ἡμῶν, δι' αὐτῶν ἡμᾶς ἁγιάζουσιν. Εἰ οὖν ἐν τοῖς ἄλλοις ἀποδεκτὸν αὐτοῖς τὸ προσφέρειν εἰς τιμὴν καὶ μνήμην αὐτῶν, πολλῷ γε τοῦτο μᾶλλον ἀποδέξονται ἐν τῇ ἱερωτάτῃ θυσίᾳ. Εἰ γὰρ καὶ ἀΰλως καὶ νοερῶς μετέχουσι τῆς τοῦ Χριστοῦ κοινωνίας ταῖς ψυχαῖς, ἀλλὰ καὶ διὰ τῆς αὐτοῦ ἱερουργίας, ἣν ὑπὲρ τοῦ κόσμου παρέδωκε γίνεσθαι, μεγίστης μετέχουσι τῆς δόξης, ὡς συμπονήσαντες καὶ συνδοξαζόμενοι. Ἀλλὰ καὶ οἱ θειότατοι ἄγγελοι, ὡς καὶ

A tiavere Domini Incarnationem; aliam autem in honorem ac memoriam sanctorum et benedictorum apostolorum, tanquam Christi ministrorum, et primorum sacerdotum ac fidei magistrorum; et in memoriam eorum qui post illos pro pietate certavere, sanctorum nempe pontificum, sanctorum et triumphantium martyrum et piorum cum omnibus sanctis. Denique offert in honorem ac memoriam hujus sancti cujus est dies festus, et Patris nostri Chrysostomi, aut Basilii, cujus est liturgia. Et omnium simul rursus sanctorum; cum omnes in Christo uniantur; et necesse sit ut cum commemoratione Domini commemoratio sanctorum ejus fiat; et primo quidem hujus, quæ semper virgo eum genuit, ut dictum est; per quam salutis nostræ mysteria effecta sunt; deinde sanctorum angelorum, qui mysterio subministravere ac per illud nobiscum uniti sunt, et nos custodiunt; deinde eorum qui ea quæ ad mysterium pertinent, prædixerunt, prophetarum et justorum, quorum inclytissimus et quasi signaculum est Baptista; deinde præconum qui Deum viderunt, apostolorumque qui mundum illuminaverunt; cum quibus et pontificum qui ipsis successerunt; ac prædicationis fructus, martyrum et piorum. Est denique omnium simul, quoniam hac sacra victima omnes simul angelique ac homines sancti cum Christo uniti sunt, et in ipso sanctificati, et eo nos uniunt.

« Ad horum quæsumus preces respice in nos, C Deus, et nobis dona quæ ad salutem utilia sunt, et postmodum vitam æternam. » Viden' ut loco sanctorum particulæ positæ sunt? ut ad ipsorum commemorationem ac honorem et ad nostram salutem contribuunt? Nam sancti quoque mysterio illi horrendo participant ut Christi commilitones, imo gloriæ et elevationis majoris participatione salutaris sacrificii quod nos Domino conjungit, dummodo sincera mente illius mysterii memoriam faciamus. Particulæ autem non in corpus Domini aut in sanctorum corpora mutantur, sed solummodo dona sunt et sacrificia oblata per panem ad exemplum Domini, atque hoc titulo sanctificii oblatæ et per mysteriorum operationem et unionem sanctificatæ in eos quoque quorum locum tenent, sanctificationem D conferunt, nobisque ipsis per sanctos transmittunt. Et hoc per preces fit si eorum memores templis eorum aut reliquiis aut imaginibus appropinquamus. Dum enim sancti ipsi a Deo immediate sanctificantur, nos deinceps sanctificant. Quod si in cæteris preces nostras læti acceptas referunt, multo gratiori animo eas in sacrificio ac mysteriis recipient. Nam si immaterialiter et spiritualiter Christum in animis recipiunt, per sacrificium in quo se mundo obtulit, summam gloriam obtinent, quia cooperantes conglorificantur. Sed divini quoque angeli utpote nobiscum conjuncti, et in mysterio cooperantes, gratiæ compotes fiunt. Præcipue autem Dei Verbi Mater, magnæ incarnationis serva, divinæ unionis officina, magni sacrificii

A radix, genitrix et causa quæ Conditori apparuit, præ omnibus gloriam confert et per Filium in ipsa incarnatum et virginaliter ac sancte nobiscum coadunatum mire illustratur. Ideo etiam ab ejus dextris stat et a dextris sancti panis particulam ejus nomine sacratam ponimus, per id ostendentes, quod illa omnibus creaturis præstat et Deo proxima astat a sinistris angelorum et omnium sanctorum, quippe qui omnes secundum ordinem occupant multo inferiorem quam is quem illa tenet. Per illam enim isti glorificantur et ex ea nos per angelos salvamur, et per ipsam Deo adjungimur. Post hoc sacerdos cæteras quoque offert particulas, primas quidem pro summo pontifice qui sacrificii est fons, deinde pro toto ordine sacerdotali et iis qui mysterium B operantur. Oportet enim præsertim revereri operarium ut Paulo quoque videtur; deinceps pro regibus fidelibus, qui pietatis causam salutemque omnium defendunt; tunc pro populo Christo fideli et pro monasterii præposito et pro cæteris fratribus; deinde pro monasterii præposito cæterisque fratribus, si quidem in monasterio fit cæremonia, si autem in templo, pro fundatore et pro tota concione; pro eo qui sacra facit et iis pro quibus dona offert, postremo pro iis qui in Christo mortui sunt et pro toto ordine sacerdotali ac monastico; insuper pro omnibus rectæ fidei assectis et si pro quibusdam aliis vult. Sed in fine particulam collectivam pro qualibet anima christiana bonæ fidei offert, et ad Deum preces communes C dirigit, quas in vigilantium litania dicimus. Recipe, Domine, hocce sacrificium super altari tuo cœlesti pro qualibet anima Christiana vexata et angustiata quæ miseratione tua opus habet et quæ sequuntur, usque ad finem. Istas vero particulas pro vivis ac mortuis oblatas subter pane sacrato ponit pro nobis humilibus qui misericordia opus habemus et communi orationem Dei invocamus. Sciendum autem quod in participatione horrendorum mysteriorum, sacerdos cavere debet ne de particulis, sed de carne Dominica sumat ad iis offerendum qui ad sacram mensam accedunt. Nam tametsi per unionem sanguinis sacratissimi omnia in unum redacta sunt, sanguinis quoque Dominici communio facta est etiamsi solum panem sumpse- D rit. Sed quia quilibet fidelis corpus et sanguinem Christi debet sumere, sacerdos sanguinem ac corpus in cochleari offerens fidelibus sacram cœnam sumere faciat. Certum sane est quod omnes particulæ corporis et sanguinis Christi participant, ubi semel in calice depositæ sunt, et sic communicans corporis ac sanguinis particeps fit. Mihi autem satius videtur consuetudinem sequi corpus Domini instrumenti, supra memorati ope sumendi. Jam vero videamus quomodo per hunc ipsum typum et communicandi actum Jesum ipsum et totam ipsius Ecclesiam præ oculis habeamus. Ipse quidem lux vera est; Ecclesia vero vitam æternam possidet et ab ipso illustrata est. Ipse namque per panem repræ-

αὐτοὶ ἡμῖν ἑνωθέντες καὶ τῷ μυστηρίῳ καθυπουργήσαντες, κοινωνοῦσι τῆς χάριτος. Ἐξαιρέτως δὲ ἡ τοῦ Θεοῦ Λόγου Μήτηρ, ἡ τῆς μεγάλης οἰκονομίας ὑπηρέτις, τὸ τῆς θείας ἑνώσεως πρὸς ἡμᾶς ἐργαστήριον, ἡ τοῦ μεγάλου τούτου θύματος ῥίζα τε καὶ γεννήτρια καὶ αἰτία τῷ Ποιητῇ φανεῖσα, πρὸ πάντων τὴν δόξαν κομίζεται καὶ τὴν ἔλλαμψιν πρωτοδότως ἐκ τοῦ σαρκωθέντος ἐξ αὐτῆς ὑπὲρ λόγον παρθενικῶς καὶ ἁγίως, καὶ ἡμῖν ἑνωθέντος ἄκρᾳ χρηστότητι. Διὸ καὶ ἐκ δεξιῶν τούτου παρίσταται, καὶ ἅμα ἐκ δεξιῶν τοῦ ἱεροῦ ἄρτου τὴν ὑπὲρ αὐτῆς μερίδα τίθεμεν, τοῦτο δηλοῦντες ἐκ τούτου, ὡς ὑπερτέρα πάντων αὕτη, καὶ ἐγγυτέρα **106** Θεῷ· ἐξ ἀριστερῶν δὲ τῶν ἀγγέλων καὶ τῶν ἁγίων ἁπάντων, ἐπεὶ τὴν δευτέραν οὗτοι πάντες ἔχουσι τάξιν· μᾶλλον δὲ οὐδὲ παραβαλλομένην ὅλως πρὸς τὴν ἐκείνης ὑπεροχήν. Δι' αὐτῆς γὰρ καταλάμπονται, καὶ ἐξ αὐτῆς πρώτης ἡμεῖς διὰ τῶν ἁγίων σωζόμεθα. Ὅτι καὶ διὰ ταύτης Θεῷ ἡνώθημεν. Τοῦτο οὖν τελέσας ὁ ἱερεὺς, ἔπειτα καὶ λοιπὰς προσφέρει μερίδας· προηγουμένως μὲν ὑπὲρ τοῦ ἀρχιερέως, ἐπεὶ τῆς ἱερωσύνης ἐστὶ πηγή· ἔπειτα δὲ ὑπὲρ παντὸς ἱερατικοῦ τάγματος, τῶν λειτουργούντων τῷ μυστηρίῳ· δεῖ γὰρ πρῶτον λαμβάνειν τὸν κοπιῶντα, ὡς καὶ τῷ Παύλῳ δοκεῖ· εἶτα ὑπὲρ τῶν πιστῶν βασιλέων τῶν προμαχούντων τῆς εὐσεβείας, καὶ σωτηρίας αὐτῶν, καὶ τοῦ φιλοχρίστου λαοῦ· μεθ' οὓς τοῦ καθηγουμένου, εἰ ἐν μονῇ τὰ τῆς τελετῆς, καὶ τῆς λοιπῆς ἀδελφότητος· εἰ δὲ ἐν ναῷ τινι, ὑπὲρ τοῦ ἀνεγείραντος, ἢ τὴν μνήμην τελοῦντος, καὶ τῶν συναγομένων ἐκεῖσε· καὶ ἔτι ὑπὲρ τοῦ προσενεγκόντος, καὶ ὑπὲρ ὧν τὰ δῶρα προσήγαγε· τελευταῖον δὲ ὑπὲρ τῶν ἐν Χριστῷ κοιμηθέντων, καὶ παντὸς ἱερατικοῦ τάγματος καὶ μοναχικοῦ· καὶ ἔτι πάντων τῶν ὀρθοδόξως τελειωθέντων πιστῶν· ἀλλὰ καὶ ὑπὲρ ὧν ἔτι βούλεται ἢ ὀφείλει ὁ ἱερεύς. Καὶ τελευταῖον κοινῶς προσφέρει μερίδα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν ὀρθοδόξων· καὶ τὴν εὐχὴν ἐπιλέγει πᾶσαν, πρὸς Θεὸν ἀναφέρων τὰ ῥήματα, ἣν λέγομεν ἐν τῇ τῶν ἀγρυπνιῶν λιτανείᾳ, « Πρόσδεξαι, Κύριε, λέγων, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν, θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους σου καὶ βοηθείας ἐπιδεομένης, » καὶ τὰ λοιπὰ ἄχρι τέλους. Καὶ ταύτας τὰς ὑπέρ τε ζώντων καὶ τεθνεώτων μερίδας ὑποκάτω τοῦ ἱεροῦ ἄρτου τίθησιν, ὡς ὑπὲρ ἡμῶν τῶν ταπεινῶν προσενεχθείσας τῶν ἱλασμοῦ καὶ μεσιτείας δεομένων, καὶ τὸ μέγα ἔλεος τοῦ Θεοῦ ἀπεκδεχομένων. Ἰστέον δὲ, ὡς ἐν τῇ κοινωνίᾳ τῶν φρικτοτάτων μυστηρίων προσέχειν δεῖ τὸν ἱερέα, καὶ λαμβάνειν οὐκ ἐκ τῶν μερίδων, ἀλλ' ἐκ τῆς σαρκὸς τῆς Δεσποτικῆς, καὶ κοινωνεῖν τοὺς προσερχομένους. Εἰ γὰρ καὶ τῇ ἑνώσει τοῦ παναγίου αἵματος ἓν γεγόνασι πάντα, καὶ κοινωνία τοῦ αἵματος γίνεται τοῦ Δεσποτικοῦ, εἰ καὶ διὰ μερίδος τις κοινωνήσει. Ἀλλ' οὖν ἐπεὶ χρεία καὶ ἐκ τοῦ σώματος ὁμοῦ καὶ τοῦ αἵματος τοῦ Χριστοῦ κοινωνῆσαι πάντα πιστὸν, μετὰ τοῦ αἵματος καὶ τὸ σῶμα λαμβάνων τῇ λαβίδι ὁ ἱερεὺς τὸ Δεσποτικὸν, ποιείτω τῷ προσερχομένῳ τὴν

κοινωνίαν. Καὶ ἀληθὲς μὲν, ὅτι πᾶσαι κεκοινωνήκασιν αἱ μερίδες τοῦ σώματός τε καὶ αἵματος τοῦ Χριστοῦ εἰσαχθεῖσαι τῷ ποτηρίῳ, καὶ σὺν αὐταῖς ἑνωθείσαις κοινωνεῖ ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος· πλὴν κρεῖττον, ὥς γε νομίζω, τὸ ἐπιτηρεῖν καὶ ἐκ τοῦ θείου σώματος τῇ λαβίδι λαμβάνειν. Ἴδωμεν δὲ πῶς καὶ διὰ τούτου τοῦ θείου τύπου καὶ τοῦ ἔργου τῆς ἱερᾶς προσκομιδῆς τὸν Ἰησοῦν αὐτὸν, καὶ τὴν Ἐκκλησίαν αὐτοῦ μίαν πᾶσαν ὁρῶμεν, μέσον αὐτὸν τὸ ἀληθινὸν φῶς, τὴν ζωὴν τὴν αἰώνιον κεκτημένην, καὶ φωτιζομένην ὑπ' αὐτοῦ καὶ συνεχομένην. Αὐτὸς μὲν γὰρ διὰ τοῦ ἄρτου μέσον ἐστίν· ἡ Μήτηρ δὲ διὰ τῆς μερίδος ἐκ δεξιῶν· ἅγιοι δὲ καὶ ἄγγελοι ἐξ ἀριστερῶν· ὑποκάτω δὲ ἅπαν τῶν αὐτῷ πιστευσάντων τὸ εὐσεβὲς ἄθροισμα. Καὶ τοῦτό ἐστι τὸ μέγα μυστήριον· Θεὸς ἐν ἀνθρώποις καὶ Θεὸς ἐν μέσῳ θεῶν, θεουμένων ἐκ τοῦ κατὰ φύσιν ὄντως Θεοῦ σαρκωθέντος ὑπὲρ αὐτῶν. Καὶ τοῦτο ἡ μέλλουσα βασιλεία καὶ τῆς αἰωνίου ζωῆς τὸ πολίτευμα· Θεὸς μεθ' ἡμῶν ὁρώμενός τε καὶ μεταλαμβανόμενος. Καὶ οὐ χώρα ἀπίστοις, οὐδέ γε μὴν ἑτεροφρόσι. Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; Ἐπεὶ καὶ ἐξαροῦσι, φησὶ, τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων οἱ ἄγγελοι. Διὸ καὶ οὐ θέμις ὅλως ἱερέα τινὰ ὑπὲρ ἑτεροδόξου προσφέρειν ἢ μνήμην ἄγειν αὐτοῦ· ἀλλ' οὐδὲ ὑπὲρ τῶν προδήλως ἁμαρτανόντων, καὶ ἀμετανοήτως ἐχόντων· ὅτι εἰς κατάκριμα αὐτοῖς ἡ προσαγωγὴ, 107 καθὰ δὴ καὶ τοῖς ἀμετανοήτως κοινωνοῦσι τῶν φρικτῶν μυστηρίων, ὥσπερ ὁ θεῖος Παῦλός φησι.

A sentatur, mater autem per particulam a dextris; sancti autem atque angeli a sinistris, et superne tota pia cohors eorum qui in eum credunt. Hoc autem est magnum mysterium: Deus in hominibus et Deus in medio deorum deificatorum a vero Deo qui pro ipsis carnem assumpsit. Et sic regnum futurum et vitæ æternæ conversatio: Deus a nobis visus et gustatus! nulla vero regio infidelibus et dissentientibus. Quid enim commune luci cum tenebris? Angeli quidem pravos a probis discernent. Quare fas non est sacerdotem pro heterodoxis oblationem aut commemorationem facere, ut nec pro manifestis peccatoribus atque impœnitentibus, quia oblatio iis in judicium erit, ut etiam iis qui in impœnitentiæ statu mysteria horrenda adeunt, ut B dicit divinus Paulus

ΚΕΦΑΛ. ϞΕ'.

Διατί θυμίαμα μετὰ τὴν προσκομιδήν.

Τὴν προσκομιδὴν τοίνυν ἐν τούτοις τελέσας ὁ ἱερεὺς, τῷ Θεῷ προσφέρει θυμίαμα εἰς εὐχαριστίαν τοῦ ἔργου καὶ τῆς ἐνεργείας ἐπιδημίαν τοῦ Πνεύματος. Τούτου γὰρ τύπον πλουτεῖ τὸ θυμίαμα, καὶ ἡ εὐχὴ μαρτυρεῖ λέγουσα, « Θυμίαμά σοι, Χριστὲ ὁ Θεὸς, προσφέρομεν εἰς ὀσμὴν εὐωδίας· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. » Ἅμα καὶ τὸν Θεὸν τιμῶν ὁ ἱερεὺς διὰ τῆς προσαγωγῆς καὶ εὐωδίας τοῦ θυμιάματος, καὶ δεικνὺς, ὡς καὶ μετὰ τοῦ Πνεύματος ἐνεργεῖ, καὶ ὡς ἀπὸ τοῦ μυστηρίου τούτου ἡ χάρις τοῦ Πνεύματος εἰς τὸν κόσμον ἐκκέχυται.

CAPUT XCV.

Quare suffitus post Missam?

Postquam igitur in his oblationem perfecit sa- C cerdos, Deo profert incensum in gratiarum actionem actionis et virtutis adventum sancti Spiritus: hujus enim typum gerit incensum, ut testatur oratio dicens: « Incensum tibi, Christe Deus, proferimus in odorem suavitatis; quod suscipiens in altare tuum supercœleste, vicissim demitte nobis sanctissimi tui Spiritus gratiam. » Simul Deum honorat sacerdos per oblationem et incensi suavitatem, ostenditque quod cum Spiritu operatur, et quod isto mysterio gratia Spiritus in mundum effusa est.

ΚΕΦΑΛ. ϞϚ'.

Τί ὁ ἀστερίσκος δηλοῖ, τὰ ἱερά τε καλύμματα, καὶ ὁ ἀήρ.

Διὸ πρῶτον μὲν εἰς τιμὴν τοῦ Σωτῆρος, τὸν ἀστερίσκον θυμιῶν, ὑπεράνω τοῦ ἄρτου τίθησιν, ἐπιλέγων, « Καὶ ἰδοὺ ὁ ἀστὴρ ἐλθὼν, ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον, » ἐν συμβόλοις δεικνὺς τὰ πραχθέντα ἐν τῇ γεννήσει. Ἐπεὶ καὶ σπηλαίου καὶ φάτνης τύπον εἰρήκαμεν εἶναι τὴν πρόθεσιν. Εἶτα, τὸ τοῦ δίσκου κάλυμμα λαβὼν, σημαῖνον σὺν τοῖς ἄλλοις καλύμμασι τὰ σπάργανα, τὰ ψαλμικὰ λέγει, ἃ δηλοῦσι τὴν ἐνανθρώπησιν τοῦ Λόγου· « Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, » καὶ τὰ ἐφεξῆς. Καὶ τὸ ἐν τῷ ποτηρίῳ ἐνὶ ἢ καὶ πλείοσιν, ἐπιλέγων τὰ δηλοῦντα ὁμοίως τοῦ Κυρίου τὴν σάρκωσιν· « Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς

CAPUT XCVI.

D *Quid notatur per stellulam et sacra opercula ac velamentum?*

Ideo primum quidem in honorem Salvatoris, stellulam suffiens super panem ponit, adjiciens: « Et ecce stella veniens stetit supra ubi erat puer; » symbolis ostendens quæ facta sunt in nativitate, siquidem speluncæ præsepisque typum oblationem esse diximus. Deinde, disci velum sumens, quod cum aliis velis pannos significat, psalmorum dicit verba, quæ Verbi incarnationem ostendunt: « Dominus regnavit, decorem indutus est; » et cætera; Sumit etiam velum quod est in calice uno vel in pluribus, addens significantia pariter Domini incarnationem: « Operuit cœlos virtus ejus et sapientia ejus plena est terra. » Ipse autem est qui

cœlum operit virtutibus, ut Deus, Jesus Christus; et sapientia sive cognitione ejus plena facta est terra. Ipso namque incarnato, omnis terra ipsum cum Patre et Spiritu cognovit. Hoc autem psalmicum super omnes, si plures quidem sunt calices, addit: unum enim oblatum et unum poterium etiam in diversis videtur, eo quod unius est unum corpus et unius sanguis. Postremo ponens aera sacerdos suffiendo, qui firmamentum in quo est stella et sindonem significat; propterea enim myrrhatum mortuum pluries involvit Jesum et funebris dicitur; ipsum edocet usque in finem nitide tanquam in tabula mysterium, quod ipse prophetatus ut agnus desuper e cœlis venit, et in spelunca præsepioque secundum carnem natus est, et passionis ejus facta præfigurata sunt in ipso ortu. Etenim stella quidem super illum stetit, ipsum magis ostendens; Herodes autem persecutus est, et Simeon in ulnis accipiens prædicavit ipsum poni in signum cui contradicatur, gladiumque transverberaturum esse ipsius Matris animam. Ideo, ne res passionis hic subindicantur. Cum igitur suffivit divinæ propositionis dona, tanquam Deo sacrata, ipsique oblata, et effecta sanctissimi corporis et sanguinis typi, orationem oblationis adjicit, precaturque Deum ac Patrem, qui suum Filium, supercœlestem panem, ad nos misit, ut proposita benedicat, et in supercœleste altare suum illa recipiat, recordeturque afferentium ac illorum propter quos hæc obtulerunt; necnon sacrificantes in sacrificatione irreprehensibiliter custodiat. Et sic absolutione facta, ipsam oblationem sacramque mensam thurificat; deinde sacerdotium totum; demonstrans ex Deo primam charismatum in sanctis esse communicationem, et per sanctos in cæteris. Etenim novimus quosdam universum templum et populum thurificantes, ut sanctus ait Dionysius, dicens, quod ante sacrificationem ab altari suffitus perficitur in æde tota et iterum ad altare regreditur; quoniam principium et finis bonorum est Deus, hujus autem thronus et sedes est altare. Ideo in omni thurificatione ita fit: ab altari sumens initium thurificator, ad illud reducit finem. Quoniam autem Christi typus est archisacerdos, et ipsius potentia ditatur, atque etiam omnis animarum patronus Christum figurat, in his quoque istud invenitur. Primum enim archisacerdos incensum signat, ut illud Deo proferens, ac post sacram mensam et sanctas imagines, primus ipse thurificatur, et deinde cæteri; et post omnes, ipse rursus; nam ille principium et finis est sacrarum actionum, divinorumque charismatum communicator; et ad illius imitationem, in his qui habent manuum archisacerdotalem impositionem et præsunt, hoc fieri consuevit. Hæc autem thurificatio ex initio sacrificationis non solum intus, sed etiam extrinsecus, et in maxima Thessalonicensium ecclesia videri potest esse facta: in primo sacræ liturgiæ aditu suffitus ex

A συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. » Αὐτὸς δέ ἐστιν ὃς καὶ τὸν οὐρανὸν καλύπτει ταῖς ἀρεταῖς ὡς Θεὸς Ἰησοῦς Χριστός. Καὶ τῆς συνέσεως αὐτοῦ, ἤτοι τῆς γνώσεως, πλήρης ἡ γῆ γεγένηται. Σαρκωθέντος γὰρ αὐτοῦ, πᾶσα ἡ γῆ αὐτὸν σὺν τῷ Πατρὶ ἐπέγνω καὶ Πνεύματι. Τὸ δὲ ψαλμικὸν τοῦτο ἐπὶ πᾶσιν, εἰ καὶ πολλά ἐστι τὰ ποτήρια ἐπιλέγει. Ἓν γὰρ τὸ προσφερόμενον, καὶ ἓν τὸ ποτήριον, καὶ ἐν διαφόροις ὁρᾶται, ὅτι καὶ ἑνὸς τὸ ἓν σῶμα καὶ ἑνὸς τὸ αἷμά ἐστιν. Εἶτα τελευταῖον τὸν ἀέρα θεὶς ὁ ἱερεὺς θυμιάσας, ὃς δὴ καὶ τὸ στερέωμα ἐν ᾧ ὁ ἀστὴρ, καὶ τὴν σινδόνα σημαίνει, διὰ τοῦτο γὰρ καὶ ἐσμυρνισμένον νεκρὸν πολλάκις περιφέρει τὸν Ἰησοῦν καὶ ἐπιτάφιος λέγεται, αὐτὸ διδάσκει ἄχρι τέλους καθαρῶς ὡς ἐν πίνακι τὸ μυστήριον. Ὅτι αὐτὸς ὁ προφη-
B τευθεὶς ὡς ἀμνὸς, καὶ ὑπεράνω τῶν οὐρανῶν ἦλθε, καὶ ἐν σπηλαίῳ καὶ φάτνῃ κατὰ σάρκα γεγέννηται. Καὶ τὰ τοῦ πάθους εὐθὺς ἐν τῷ γεννηθῆναι προετυπώθη ἐν αὐτῷ. Καὶ γὰρ ἀστὴρ μὲν ἐπέστη αὐτῷ, τοῖς μάγοις αὐτὸν δηλῶν· ὁ δὲ Ἡρώδης ἐδίωκε. Καὶ Συμεὼν ταῖς χερσὶ λαβὼν, ἐκήρυξεν αὐτὸν εἰς σημεῖον κεῖσθαι ἀντιλεγόμενον. Καὶ ὡς ῥομφαία διελεύσεται τὴν ψυχὴν τῆς αὐτοῦ Μητρός. Διὰ τοῦτο καὶ τὰ τοῦ πάθους ὧδε καθυπογράφεται. Θυμιάσας οὖν τὰ ἐν τῇ θείᾳ προθέσει δῶρα, ὡς ἀφιερωμένα Θεῷ, καὶ ὡς αὐτῷ προσαχθέντα, καὶ ὡς ἀντίτυπα γεγονότα τοῦ παναγίου σώματός τε καὶ αἵματος, τὴν εὐχὴν τῆς προσκομιδῆς ἐπιλέγει, καὶ τὸν Θεὸν καὶ Πατέρα ἐπικαλεῖται τὸν πρὸς ἡμᾶς τὸν Υἱὸν
C αὐτοῦ ἀποστείλαντα, τὸν ἐπουράνιον ἄρτον, εὐλογῆσαι τὰ προτεθέντα, καὶ προσδέξασθαι ταῦτα εἰς τὸ ὑπερουράνιον τούτου θυσιαστήριον, μνημονεῦσαί τε τῶν προσενεγκάντων, καὶ τῶν, δι' οὓς ταῦτα προσήγαγον, καὶ τοὺς ἱερουργοῦντας δὲ ἐν τῇ ἱερουργίᾳ ἀκατακρίτους διαφυλάξαι. Καὶ οὕτω ποιήσας ἀπόλυσιν, αὐτήν τε τὴν προσκομιδὴν, καὶ τὴν ἱερὰν τράπεζαν σταυροειδῶς θυμιᾷ· εἶτα καὶ τὸ ἱερατεῖον ὅλον· δεικνὺς τὴν ἐκ **108** τοῦ Θεοῦ πρώτην τῶν χαρισμάτων ἐν τοῖς ἁγίοις μετάδοσιν, καὶ διὰ τῶν ἁγίων ἐν τοῖς λοιποῖς. Καὶ γὰρ εἴδομέν τινας καὶ τὸν ναὸν πάντα καὶ τὸν λαὸν θυμιῶντας. Ὅπερ καὶ ὁ ἱερός φησι Διονύσιος, ὅτι πρὸ τῆς λειτουργίας ἀπὸ τοῦ θυσιαστηρίου τὸ θυμίαμα τελεῖται γινόμενον ἐν ὅλῳ τῷ οἴκῳ, καὶ πάλιν εἰς τὸ θυσιαστήριον
D ἀνέρχεται. Ἐπεὶ ἀρχὴ καὶ τέλος τῶν ἀγαθῶν ὁ Θεός· τούτου δὲ θρόνος καὶ τόπος τὸ θυσιαστήριον. Διὸ καὶ ἐν παντὶ θυμιάματι οὕτω γίνεται· ἀπὸ τοῦ θυσιαστηρίου ὁ θυμιῶν γὰρ ἀρχόμενος, πάλιν εἰς αὐτὸ καταλήγει. Ἐπεὶ δὲ καὶ τύπος Χριστοῦ ὁ ἀρχιερεὺς, καὶ τὴν αὐτοῦ πλουτῶν ἐστι δύναμιν, καὶ ἔτι πᾶς προστάτης ψυχῶν τὸν Χριστόν ἐστιν εἰκονίζων· καὶ ἐν αὐτοῖς τοῦτο γίνεται. Πρῶτον γὰρ ὁ ἀρχιερεὺς καὶ τὸ θυμίαμα σφραγίζει ὡς προσάγων τοῦτο Θεῷ· καὶ μετὰ τὴν ἱερὰν τράπεζαν καὶ τὰς ἁγίας εἰκόνας πρῶτος αὐτὸς θυμιᾶται· ἔπειτα οἱ λοιποί· καὶ μετὰ πάντας, πάλιν αὐτός. Ἐπεὶ καὶ ἀρχὴ καὶ τέλος οὗτος τῶν ἱερῶν πράξεων, καὶ τῶν θείων χαρισμάτων μεταδοτικός· καὶ κατὰ μίμησιν τούτου καὶ ἐν τοῖς χειροτονίαν ἀρχιερατικὴν ἔχουσι

καθηγουμένοις τοῦτο γίνεσθαι ἔθος. Τὸ δὲ θυμιᾷν ἐξ A ἀρχῆς τῆς ἱερουργίας οὐ μόνον ἔνδον, ἀλλὰ καὶ ἔξωθεν, καὶ ἐν τῇ μεγίστῃ τῶν Θεσσαλονικέων ἐκκλησίᾳ ἔστιν ἰδεῖν γινόμενον, ἐν τῇ πρώτῃ τῆς ἱερᾶς λειτουργίας εἰσόδῳ θυμιατοῦ ἐκ τοῦ θυσιαστηρίου ἐξερχομένου δι' οὗ ὁ διάκονος, καὶ τὸ Εὐαγγέλιον καὶ τὸν ἀρχιερέα, καὶ τοὺς συλλειτουργοῦντας αὐτῷ ἱερωμένους θυμιᾷ. Ὃ δηλοῖ τὴν ἀπ' οὐρανοῦ χάριν καὶ δωρεὰν ἐκχυθεῖσαν τῷ κόσμῳ διὰ Ἰησοῦ Χριστοῦ καὶ εὐωδίαν τοῦ Πνεύματος, καὶ πάλιν εἰς τὸν οὐρανὸν δι' αὐτοῦ ἀναχθεῖσαν. Καὶ τοῦτο πάντοτε ἡμῖν διὰ Ἰησοῦ Χριστοῦ γίνεται. Τὰ μὲν οὖν περὶ τῆς προσκομιδῆς οὕτω, ἐν ᾗ καὶ πάντες πρεσβύτεροί τε προσφέρουσι περὶ ὧν χρεία, καὶ μάλιστα τῶν τὴν ἑορτὴν τελούντων καὶ B τοῦ ἀρχιερέως, καὶ ὧν ἀνάγκη λοιπῶν· καὶ οἱ διάκονοι δὲ πάντες διὰ τῶν πρεσβυτέρων. Οὐδὲ γὰρ θέμις προσφέρειν διακόνους δι' ἑαυτῶν. Ἐπεὶ τὸ χάρισμα τὸ προσκομίζειν Θεῷ οὐκ ἔχουσι. Διάκονοι γὰρ εἰσι, τὴν λειτουργικὴν ἀξίαν ἔχοντες μόνον. Εἰ οὖν οὐ δυνατὸν αὐτοῖς ἱερατικὸν ἐνδύσασθαι ἄμφιον δίχα εὐλογίας ἀρχιερέως ἢ ἱερέως, οὔτ' ἐνάρξασθαί τινος ἱερᾶς τελετῆς ἄνευ πρεσβυτέρου ἢ εὐλογίας τοῦ πρεσβυτέρου, πῶς ἄρα οὗτος δι' ἑαυτοῦ προσκομίσει; Καὶ εἰ ὁ κανὼν ἀπαγορεύει διάκονον πρὸ τοῦ ἱερέως μετασχεῖν καὶ τῶν τιμίων δώρων τελειωθέντων, ἵνα τηροίη τὴν ἑαυτοῦ τάξιν ἕκαστος, πῶς ἐν τοῖς δώροις προσκομίσει διάκονος; Διὸ τὸ πρὶν γινόμενον ἐν Θεσσαλονίκῃ, καὶ νῦν ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ, τὸ διακόνους προσφέρειν, οὐκ εὔτακτον C οὐδ' ἁρμόδιον. Καὶ προσεκτέον τὸ περὶ τούτου. Εἴ τις δὲ τῶν διακόνων προσφέρειν βούλοιτο Θεῷ μερίδας κατ' ὀφειλὴν, διὰ τοῦ πρεσβυτέρου τοῦτο ποιείτω· κατέχοντος μὲν τοῦ πρεσβυτέρου τὴν προσφορὰν καὶ τὴν λόγχην, καὶ ἐν τῷ ἐξάγειν τὴν μερίδα λέγοντος, « Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην ὑπὲρ τοῦ δεῖνος, τιμῆς μὲν καὶ μνήμης εἴ τινος τῶν ἁγίων, ἱλασμοῦ δὲ καὶ ἀφέσεώς τινος τῶν ζώντων ἢ τεθνεώτων· τοῦ διακόνου δὲ ἐν ἑκάστῃ μερίδι λέγοντος, « Μνήσθητι, Κύριε, ὑπὲρ τιμῆς καὶ μνήμης » οὗ βούλεται ἁγίου, ἢ ὑπὲρ ἀφέσεως ἑκάστου ὧν χρείαν ἔχει· ἢ μᾶλλον ὃ καὶ ἀκριβέστερον λέγειν, « Μνήσθητι, Δέσποτα, » ὑπὲρ ὧν βούλεται. Οὐδὲ γὰρ ἄδεια τούτῳ ἀναφέρειν πρὸς D Θεὸν τὰς φωνὰς, παρόντος τοῦ ἱερέως. Εἶτα καιρὸς δίδοται τῆς ἐνάρξεως τῆς λειτουργίας παρὰ τοῦ ἀρχιερέως τῷ πρώτῳ τῶν διακόνων. Οὐδὲ γὰρ χωρὶς αὐτοῦ τι πράττεσθαι δυνατόν. Καὶ ὁ μέγας ἀρχιερεὺς Ἰησοῦς τοῦτό φησι, « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Ὁ μὲν οὖν διάκονος τὸν ἱερέα εὐλογεῖν προσκαλεῖται· ὁ ἱερεὺς δὲ εὐλογεῖ τὸν Θεὸν, αὐτὸς ὁ καὶ τὴν προσκομιδὴν ἐν τῇ προθέσει ποιήσας· καὶ οὕτω τὰ ἀκόλουθα γίνεται, ὡς καὶ πλατύτερον ἐν τῇ ἑρμηνείᾳ τῆς λειτουργίας κατὰ δύναμιν ἡρμηνεύσαμεν.

A altari sumit initium, ac per ipsum diaconus evangelium, archisacerdotem, et ministros sacros cum ipso liturgiam exequentes, thurificat : quod significat e cœlo gratiam et donum devenisse mundo per Jesum Christum et bonum Spiritus odorem, et iterum ad cœlum per ipsum esse sublata ; et hoc semper nobis fit per Jesum Christum. Quæ circa oblationem fiunt, ita se habent : in qua sane etiam cuncti presbyteri pro iis quibus est opus, offerunt ; præsertim vero profestum celebrantibus, ipsoque pontifice, ac deinceps reliquis, quibus necesse est. Similiter omnes diaconi offerunt per presbyteros. Neque enim fas est diaconis per se ipsos offerre ; quandoquidem donum offerendi Deo non habent ; siquidem diaconi sunt, B ministerii dignitate tantum præditi. Si igitur fieri non potest ut ipsi sacerdotale vestimentum sine pontificis aut sacerdotis benedictione induant aut ullum sacrum mysterium sine presbytero inchoent, quanam ratione per se ipsos offerent ? Et si canon vetat diaconum ante sacerdotem communionis participem fieri, quamvis præclara munera sint consecrata, ut quilibet suum gradum servet, quomodo in oblatione munerum diaconus offeret ? Ideo quod prius factum est Thessalonicæ et nunc fit in sacro monte Atho, non est bene ordinatum nec conveniens. Et super hoc est attendendum. Si quis autem diaconorum proferre velit partes ob debitum, per presbyteros hoc faciat, retinente C quidem presbytero oblationem et soriem, et proferendo partem dicente : « Suscipe, Domine, hanc hostiam in talis gratiam ; honoris quidem ac memoriæ, si de quodam sanctorum agitur, propitiationis autem ac remissionis, si de quodam vivorum vel mortuorum ; diacono autem ad unamquamque partem dicente : Memento, Domine, in honorem ac memoriam illius (quem intendit) sancti, vel in remissionem uniuscujusque eorum quibus opus est ; vel quod melius et accuratius est dicere, Memento, Domine, super his in quos est voluntas. Non autem illi fas est præsente sacerdote, voces ad Deum attollere. Deinde datur ab archisacerdote primo diaconorum occasio ministerium incipiendi : D non enim absque ipso aliquid fieri possibile est. Summus sacerdos Jesus hoc ait : Sine me nihil potestis facere. Diaconus igitur sacerdotem benedicere invitat : sacerdos autem benedicit Deum, ipse qui fecit oblationem in propositione ; et ita sequentia fiunt, sicut in interpretatione liturgiæ juxta vires copiosius explicavimus.

109 ΚΕΦΑΛ. ϞΖʹ.

Τίνα τυποῖ ὁ ἀρχιερεὺς, καὶ τίνας οἱ σὺν αὐτῷ.

Καὶ συνοπτικώτερον ὧδε λέγομεν, ὡς οἱ μὲν ἔνδον τοῦ βήματος ἱερεῖς τὰς ἐπουρανίους πρώτας δηλοῦσι

CAPUT XCVII.

Quænam episcopus et qui cum eo sunt significant ?

Et hic compendiose dicimus stantes quidem intra sanctuarium sacerdotes, primos cœlestes or-

dines significare; archisacerdotem vero, Dominum; et illos qui cum ipso sunt, angelos qui divinæ incarnationi subservierunt et præcones apostolos.

CAPUT XCVIII.

Quidnam innuitur sacro bemate sive sacrario, mensaque sacra?

Sanctuarium quidem typo gerit Sancta sanctorum quæ super cœlos sunt et cœlum; sacra vero mensa, Dei thronum, Christique resurrectionem, ac venerabile sepulcrum; templum autem, cœlestia simul et paradisum; et quæ sunt in exitu templi locique catechumenorum, creationem terræ propter nos et ea quæ sunt super terram. Quod autem pontifex sacerdotalibus indutus tanquam ad occasum descendat, significat incarnatum Dominum in terram et usque ad inferiores partes terræ et inferni cum sanctis angelis venisse, principem tenebrarum vicisse, et ibi detentas a sæculo animas eripuisse. Ideo primus ingressus ipsum in terram descendisse, mortuum esse ac surrexisse et assumptum fuisse denotat, eo quod primum in terram descendens hoc fecit. Unde ante introitum antiphonæ psalluntur, et hæ tres in honorem Trinitatis; et in ipsis illa quæ Deum peperit, et sanctorum ordines et postremum unigenitus Dei Filius hymnis celebratur. Ipse enim unus Trinitatis qui caro factus est, et suam matrem propter nos sibi elegit, necnon sanctorum choros; et presbyteri sunt propter nos, ipse vero apud Patrem paracletus, qui propter nos incarnatus est. Prophetas autem designant illi qui prophetica canunt; nam et prophetæ Christum prædicaverunt. Primos autem angelorum divinos ordines typis exprimunt sacerdotes e sacrario cum ordine bono progredientes, ad pontificem venientes, gaudium de Christo propter ipsius in cruce victoriam per resurrectionem et ascensionem demonstrantes, et super his obviationem, cum, primum pontifice sacerdotibusque caput inclinantibus et orantibus, manifeste significatur quod Dominus ad nos usque venit, mortuus est, et sepultus, et in inferos descendit. Postea, cum ad orationem surgunt, indicatur resurrectio, quam etiam elevatum sacrum evangelium pariter repræsentat et vox diaconi aientis: « Sapientia erigit; » erexit enim nos resurgens Dominus et exaltavit. Ideo quoque fit exinde ascensionis ejus comitatus et gratulatio, sicut et angeli post resurrectionem Christi dicebant. « Quis est iste Rex gloriæ? Idcirco pontifex assurgens, in typum Jesu in cœlum ascendentis gratulanter excipitur. Et hoc; « Ad multos annos, Domine »; subdiaconi dicunt: testificantes quod non homo, sed Jesus Christus magnus rex et pontifex per ipsos acclamatur, qui pium regnum et pontificatum in terra constituit. Ideo gratiam ejus pontifex ferens tanquam Christus, acclamatur, vel potius per ipsum, ut diximus, Christus. Et deducitur et confirmatur a diaconis tanquam ab angelis; obviosque sibi pariter habet psaltas, et acclamatur. Et cluduntur portæ propter hoc: « tollite portas, » et osculante eas pontifice (quo-

A τάξεις, ὁ ἀρχιερεὺς δὲ τὸν Κύριον, καὶ οἱ σὺν αὐτῷ τοὺς ὑπουργήσαντας ἀγγέλους τῇ θείᾳ σαρκώσει, καὶ τοὺς θεοκήρυκας ἀποστόλους.

ΚΕΦΑΛ. ϞΗ'.

Τί τὸ ἅγιον δηλοῖ βῆμα, καὶ τί ἡ ἱερὰ τράπεζα.

Καὶ ὅτι τὸ μὲν βῆμα τὰ Ἅγια τῶν ἁγίων τυποῖ τὰ ὑπεράνω τῶν οὐρανῶν, καὶ τὸν οὐρανόν, ἡ ἱερὰ δὲ τράπεζα τοῦ Θεοῦ τὸν θρόνον, καὶ τὴν ἀνάστασιν Χριστοῦ, καὶ τὸ σεβάσμιον μνῆμα· ὁ ναός τε τὰ ἐπουράνια ἅμα καὶ τὸν παράδεισον· καὶ τὰ ἐν τῷ τέλει τοῦ ναοῦ, καὶ οἱ νάρθηκες τὴν κτίσιν δι' ἡμᾶς τῆς γῆς καὶ τὰ ἐπὶ γῆς· τὸ δὲ κατελθεῖν τὸν ἀρχιερέα ὡς πρὸς δυσμὰς τὰ ἀρχιερατικὰ περιβεβλημένον τὸ σαρκωθέντα τὸν Κύριον εἰς τὴν γῆν καὶ ἄχρι τοῦ κατωτέρου μέρους τῆς γῆς τοῦ ᾅδου ἐλθεῖν σὺν B τοῖς ἀγγέλοις τοῖς ἁγίοις, καὶ τὸν ἄρχοντα καθελεῖν τοῦ σκότους, καὶ τὰς κατεχομένας ἐκεῖσε τῶν ἀπ' αἰῶνος ψυχὰς ῥύσασθαι. Διὸ καὶ ἡ πρώτη εἴσοδος τὸ κατελθεῖν αὐτὸν εἰς γῆν καὶ ἀποθανεῖν καὶ ἐγερθῆναι καὶ ἀναληφθῆναι σημαίνει· ὅτι καὶ πρῶτον κατελθὼν ἐπὶ γῆς τοῦτο πεποίηκεν. Ὅθεν καὶ πρότερον τῆς εἰσόδου τὰ ἀντίφωνα ψάλλεται, καὶ τρία ταῦτα εἰς τιμὴν τῆς Τριάδος· καὶ ἐν αὐτοῖς ἡ τὸν Θεὸν τεκοῦσα, καὶ τῶν ἁγίων αἱ τάξεις. Καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ὕστερον ἀνυμνεῖται. Ἐπεὶ οὗτος ὁ εἷς τῆς Τριάδος σαρκωθεὶς, καὶ τὴν αὐτοῦ Μητέρα ὑπὲρ ἡμῶν ἐξελέξατο, καὶ τοὺς χοροὺς τῶν ἁγίων, καὶ πρέσβεις εἰσὶν ὑπὲρ ἡμῶν. Καὶ αὐτὸς δὲ πρὸς τὸν Πατέρα παράκλητος, ὁ ὑπὲρ ἡμῶν σαρκωθείς. Τοὺς προφήτας δὲ δηλοῦσιν οἱ τὰ προφητικὰ C ἀνυμνοῦντες, ἐπεὶ καὶ οἱ προφῆται τὸν Χριστὸν προεκήρυξαν. Οἱ ἱερεῖς δὲ σὺν εὐταξίᾳ τοῦ βήματος ἐξελθόντες, τὰς πρώτας τῶν ἀγγέλων θείας τυποῦσι τάξεις, πρὸς τὸν ἀρχιερέα ἐρχόμενοι, τὴν ἐπὶ Χριστῷ χαρὰν διὰ τὴν αὐτοῦ ἐν τῷ σταυρῷ νίκην τῇ ἀναστάσει καὶ ἀναλήψει δηλοῦντες, καὶ τὴν ἐπὶ τούτοις ὑπάντησιν· ὅτε καὶ πρῶτον κλίναντος τοῦ ἀρχιερέως καὶ πάντων ἱερέων τὰς κεφαλὰς καὶ εὐχομένων προδήλως σημαίνεται, ὡς ὁ Κύριος κατῆλθε μέχρις ἡμῶν, καὶ ἐτεθνήκει καὶ τέθαπται, καὶ εἰς ᾅδου κατέβη. Ἔπειτα μετὰ τὴν προσευχὴν ἀναστάντων, δηλοῦται ἡ ἔγερσις, ἣν καὶ ὑψούμενον τὸ ἱερὸν Εὐαγγέλιον ὁμοίως παριστᾷ· καὶ ἡ φωνὴ δὲ τοῦ διακόνου, τὸ, « Σοφία ὀρθοί. » Ἀνώρθωσε γὰρ D ἡμᾶς ἀναστὰς ὁ Κύριος καὶ ἀνύψωσε. Διὸ καὶ ἡ τῆς ἀναλήψεως αὐτοῦ γίνεται ἐντεῦθεν προπομπή τε καὶ εὐφημία καθὼς καὶ οἱ ἄγγελοι ἔλεγον τότε Χριστοῦ ἀναγομένου, « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; » Διὸ καὶ ὁ ἀρχιερεὺς ἀνερχόμενος. τὸν Ἰησοῦν ἐκτυπῶν εἰς τὸν οὐρανὸν ἀνερχόμενον, εὐφημεῖται. Καὶ τὸ, « Εἰς πολλὰ ἔτη, Δέσποτα, » οἱ ὑπηρέται λέγουσι, μαρτυροῦντες ὡς οὐχ ἄνθρωπος, ἀλλὰ Ἰησοῦς ὁ Χριστὸς ὁ μέγας βασιλεὺς καὶ ἀρχιερεὺς δι' αὐτῶν εὐφημεῖται, ὁ καὶ τὴν εὐσεβῆ βασιλείαν ἐπὶ τῆς γῆς, καὶ τὴν ἀρχιερωσύνην καταστησάμενος. Διὸ καὶ τὴν χάριν αὐτοῦ ὁ ἀρχιερεὺς φέρων, ὡς ὁ Χριστὸς εὐφημεῖται· μᾶλλον δὲ δι' αὐτοῦ, ὡς εἰρήκαμεν, ὁ Χριστός. Καὶ προπέμπεται, καὶ παρακρατεῖται ὑπὸ τῶν διακόνων ὡς ὑπ' ἀγγέλων· καὶ προϋ-

πανταται ὁμοίως ὑπὸ ψαλτῶν, καὶ εὐφημεῖται. Καὶ A κλείονται αἱ πύλαι, διὰ τὸ, « Ἄρατε πύλας· » καὶ ἀσπαζομένου ταύτας τοῦ ἀρχιερέως (ἐπεὶ Χριστὸς ἡ θύρα τῶν προβάτων τῶν ἄνω καὶ τῆς ζωῆς), ἀνοίγονται. Ὁ Χριστὸς γάρ ἐστιν ὁ δοὺς ἡμῖν τὴν εἴσοδον εἰς τὰ ἅγια διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ. Καὶ εὐλογεῖ ὁ ἀρχιερεὺς τοὺς τὰς πύλας ἀνοίγοντας, ὅτι 110 Κύριος τῶν δυνάμεων ὁ Χριστός. Καὶ θυμιᾷ εὐθὺς τὸ θυσιαστήριον κύκλῳ, ὅτι θρόνος τοῦτο Θεοῦ καὶ ἀνάπαυσις. Καὶ αὐτὸν τυποῖ τὸν Χριστὸν ἐσφαγμένον καὶ ζῶντα, καὶ νοητῶς ἐκεῖσε θυόμενον κείμενον, καὶ ἀπαύστως ἱερουργούμενον, καὶ τὸν κατὰ ἀνατολὰς ἐφ' ὑψηλοῦ θρόνον Θεοῦ, τὴν εἰς οὐρανοὺς καθέδραν Χριστοῦ ἐκ δεξιῶν τοῦ Πατρὸς σημαίνοντα. Ἔνθα καὶ αἱ βαθμίδες τὰς ἀναβάσεις καὶ τάξεις τῶν τε ἀγγέλων σημαίνουσι, B καὶ τῶν ἱερῶν ἀνδρῶν τῶν ὑψηλοτέρων, ἐν αἷς καὶ οὐ διάκονοι κάθηνται. Εἶτα μετὰ τὸ θυμίαμα ἡ εὐφημία βασιλέων τε καὶ ἀρχιερέων, ἐπειδὴ τελέσας τὴν οἰκονομίαν Χριστὸς καὶ ἀναληφθεὶς, ἀρχιερεῖς εὐσεβεῖς καὶ βασιλεῖς δι' αὐτῶν πιστοὺς συνεστήσατο. Καὶ μετὰ τοῦτο δικηρίῳ σφραγίζει τὸ ἱερὸν Εὐαγγέλιον, τὰς δύο τοῦ Χριστοῦ ὁ ἀρχιερεὺς δηλῶν φύσεις, ὃς τῇ ὑποστάσει εἷς ἐστιν ἀδιαίρετος. Καὶ τῷ τρικηρίῳ πάλιν ἐν τῷ ὑμνεῖν τὸν Τρισάγιον, εἰς τὸ, « Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, » ὅτι τρία τοῖς προσώποις, καὶ ἐν τῇ φύσει, ἡ Τριάς ἐστιν, ἧς καὶ τὴν γνῶσιν ὡς φῶς καὶ τοῦ διφυοῦς τοῦ ἑνὸς τῆς Τριάδος σεσαρκωμένου τὸ Εὐαγγέλιον ἔλαμψεν ἐν ὅλῳ τῷ κόσμῳ. Καὶ εὔχεται καταρτισθῆναι τοῦτο ὡς ἄμπελον ζῶσαν, ζωογονοῦσάν τε C καὶ εὐφραίνουσαν καὶ ἄνωθεν φυτευθεῖσαν. Ἔπειτα καὶ ἡ εἰς τὸ ἱερὸν σύνθρονον ἄνοδος καὶ καθέδρα γίνεται, τὸν τύπον σώζουσα τοῦ ἀνελθόντος εἰς οὐρανοὺς Ἰησοῦ Χριστοῦ, ἐκ δεξιῶν τε τοῦ Πατρὸς καθίσαντος. Καὶ εὐθὺς τοῦ Ἀποστόλου ἡ θεία ἀνάγνωσις, ὅτι ἀνελθὼν Χριστὸς, τοὺς μαθητὰς ἀπέστειλε κηρύξαι τῷ κόσμῳ παντὶ τὸν Κύριον. Εἶτα τὸ ἱερὸν ἐπ' ἄμβωνος μετὰ τὸ Ἀλληλούϊα κηρύττεται Εὐαγγέλιον, ὅτι τοῦτο ἀπελθόντες ἐκήρυξαν οἱ ἀπόστολοι. Ὅτι δὲ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ καὶ τὰ εὐαγγελικὰ ῥήματα αὐτοῦ εἰσι τοῦ Χριστοῦ, ὡς λειτουργὸς Χριστοῦ ὁ ἀρχιερεὺς, ἐν τῷ ἀναγινώσκεσθαι ἐκβάλλει τὸ ὠμοφόριον. Ἀλλὰ καὶ δίδωσιν εἰρήνην τῷ ἀναγνόντι, καὶ εὐλογίαν πρότερόν τε καὶ D ὕστερον· τὴν μὲν εἰς τὸ δύναμιν λαβεῖν τοῦ κηρύξαι, τὴν δὲ εἰς ἀντιμισθίαν τοῦ ἔργου, ὡς καὶ τῷ ἀναγνώσαντι πρότερον τὰ ἀποστολικὰ ῥήματα εἰρήνην παρέχει καὶ εὐλογίαν· πλὴν οὐ δι' ἑαυτοῦ τὴν εἰρήνην, ἀλλὰ διὰ τοῦ πρώτου τῶν ὑπ' αὐτὸν ἀρχιερέως ἢ πρεσβυτέρου, ὅτι καὶ οὗτοι τότε τάξιν ἔχουσιν ἀποστόλων, ὁ πρῶτος ἀρχιερεὺς δὲ τὴν τάξιν ἔχει Χριστοῦ. Διὸ αὐτὸς μὲν εἰρηνεύει τὸ Εὐαγγέλιον, ὡς τὸν τύπον ἔχων Χριστοῦ· ἐκεῖνοι δὲ τὸν Ἀπόστολον ὡς τύπον σώζοντες ἀποστόλων. Καὶ οὐδὲ ἀφ' ἑαυτοῦ τοῦτο ποιοῦσιν· ἀλλ' εὐλογίαν λαβόντες τὴν εἰρήνην λέγουσιν. Ὅτι τὸ ῥῆμα τῆς εἰρήνης ἴδιόν ἐστι τοῦ Χριστοῦ καὶ κληρονομία ἡμῖν ὑπ' αὐτοῦ καταληφθεῖσα. Εὐθὺς δὲ τὸ κατελθεῖν τὸν ἀρχιερέα

A niam Christus est janua ovium supernarum ac vitæ), aperiuntur : Christus enim est qui dedit nobis introitum ad sancta per velamen carnis ejus. Et benedicit pontifex eos qui januas adaperiunt, eo quod Dominus virtutum est Christus, et statim altare thurificat, quod illud est Dei thronus et requies ; et ipsum figurat Christum immolatum ac viventem, et ibi spiritaliter in sacrificio jacentem, et indesinenter pontificatu fungentem, et illum ad orientem in altissimo thronum Dei, sedem Christi in cœlis, ad dexteram Patris, significantem. Ibi quoque gradus, ascensiones et ordines, significant angelorum sacrorumque virorum excelsorum, ubi nec diaconi sedent. Deinde, thurificatione facta, gratulatio fit regum ac pontificum, eo quod Christus, œconomia B functus assumptus, pontifices pios regesque per ipsos fideles secum constituit. Postea duplo signat sacrum Evangelium sacerdos, duas Christi significans naturas, qui subsistentia unus est indivisibilis ; et secunda vice ter in celebrando sacro trisagio per verba : Gloria Patri et Filio et Spiritui sancto, quoniam tria sunt in personis et unum in substantia, quod est Trinitas, cujus cognitionem sicut lumen, necnon unius e Trinitate, natura duplicis et incarnati, Evangelium in toto mundo illustravit. Et precatur hoc ordine bono prosperare tanquam vitem vivam, fecundam, lætificantem ac desuper bene cultam. Exinde fit in sacrum thronum communis congressus ac consessus, typum servans Jesu Christi C in cœlos assurgentis et ad dexteram Patris considentis. Et statim fit Apostoli divina lectio, quoniam in cœlum elevatus Christus discipulos misit ad Dominum universo mundo prædicandum. Deinde post alleluia super ambonem sacrum prædicatur Evangelium, eo quod abeuntes illud Apostoli prædicaverunt. Quoniam autem præconium est Jesu-Christi ipsiusque evangelica verba, pontifex, ut ejus minister, in hoc legendo ejicit humerale. Sed et lectori prius ac posterius dat pacem et benedictionem : hanc quidem, ad virtutem capiendam prædicandi, illam autem in mercedem operis, quatenus prædicanti primum apostolica verba præstant ac benedictionem, non tamen per semetipsum habet pacem, sed per primum eorum qui D sub ipso sunt pontificem vel presbyterum, eo quod et isti tunc ordinem apostolorum tenent, primus autem pontifex ordinem habet Christi. Ideo ipse quidem Evangelium pace donat, utpote qui Christi typum gerit ; isti vero Apostolum, utpote qui locum servant apostolorum, nec tanquam a semetipsis hoc faciunt ; sed accepta benedictione precem dicunt, eo quod verbum pacis Christi proprium est hæreditasque nobis ab illo relicta. Statim autem pontifex e consessu descendit in signum benedictionis super reges, eo quod Christus, per prædicationem devicto mundo, pium regnum ex infidelitate ad fidem vocavit et constituit ; ac benedixit, atque per pontificatum benedicere pergit. Deinde catechumenorum fit expulsio, significans

separationem peccatorum a justis post Evangelii præconium in fine sæculorum. Postquam enim prædicatum fuerit Evangelium in universo mundo, in testimonium omnibus gentibus, tunc, ait, veniet finis. Idcirco post catechumenos magnus fit secundus introitus, significans secundum e cœlo cum gloria Christi adventum. Unde fit iste cum multo comitatu, propter fulgentem hanc Christi gloriam, cum qua tunc veniet; sed et humerale caram habens crucem retinetur, ut manifestum Christi signum, qui tunc e cœlo, sicut scriptum est, coram omnibus apparebit; deinde luciferi ac doryphori; et deductus per mysteria Christus, qui panis est cœlestis, et calix perpetuæ lætitiæ, et hostia vivificans ac inexhausta; qui etiam tanquam immolatus per agnum tunc conspicitur, quoniam et vivens et vulneratus videbitur. Videbunt enim in quem confixerunt, deicidæ videlicet; nos autem, fide in ipsum habita, in ipso lætabimur: ipsius enim livore nos sanati sumus. Deinde clauduntur quidem januæ, quoniam et ordo est in futuro; et visibilia non sunt imperfectis et inferioribus excelsa, omnibus noscibilia sunt mysteria; enim et tunc multis erit occultus et paulatim apertus Jesus. Deinde portæ aperiuntur, sicut et tunc proficientibus et perfectioribus visio proportionata erit, Et confessione proclamata Symboloque fidei ab omnibus professo, quæ sunt dilectionis et unionis angelis et hominibus per amplexationem fiunt et ostenduntur, quoniam et tunc erit unanimitas, cunctique amici et dilecti erunt; et Jesus optima victima in medio erit omnium sanctorum suorum, ut vinculum pacis et unionis, et sacerdos et hostia, uniensque omnes, et omnibus unitus: attamen juxta proportionem: non enim omnes immediate illius erunt participes; sed puri quidem absque velis propius erunt tanquam sacri ministri et ad perfectiora proxime facti.

A τοῦ συνθρόνου δηλοῖ καὶ εὐλογεῖν ὑπὲρ τῶν βασιλέων, ὅτι νικήσας τὸν κόσμον τῷ κηρύγματι ὁ Χριστὸς, τὴν εὐσεβῆ βασιλείαν ἐξ ἀπιστίας εἰς πίστιν ἐκάλεσε καὶ συνεστήσατο· καὶ εὐλόγησε, καὶ εὐλογῶν ἐστι διὰ τῆς ἀρχιερωσύνης. Εἶτα ἡ τῶν κατηχουμένων ἐξέλευσις, δηλοῦσα τὸν χωρισμὸν τῶν ἁμαρτωλῶν ἀπὸ τῶν δικαίων μετὰ τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἐν τῷ τέλει τῶν αἰώνων. Μετὰ τὸ κηρυχθῆναι γὰρ τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, «Τότε ἥξει, φησὶ, τὸ τέλος·» διὸ καὶ μετὰ τοὺς κατηχουμένους ἡ δευτέρα μεγάλη εἴσοδος, δηλοῦσα τὴν μετὰ δόξης ἀπ' οὐρανοῦ δευτέραν τοῦ Χριστοῦ παρουσίαν. Ὅθεν καὶ μετὰ δορυφορίας αὕτη γίνεται πλείστης, διὰ τὸ τῆς δόξης ἐκείνης τοῦ Κυρίου λαμπρὸν, μεθ' ἧς τότε ἐλεύσε-
B ται. Ἀλλὰ καὶ τὸ ὠμοφόριον ἔμπροσθεν τὸν σταυρὸν ἔχον κατέχεται, τὸ σημεῖον ἐμφαῖνον τοῦ Ἰησοῦ, ὃ τότε ἀπὸ τοῦ οὐρανοῦ φανήσεται ἔμπροσθεν, ὡς γέγραπται· εἶτα λαμπαδηφόροι καὶ δορυφόροι· καὶ προπεμπόμενος διὰ τῶν μυστηρίων Χριστὸς, ὁ ἐπουράνιος ἄρτος, καὶ τὸ ποτήριον τῆς διηνεκοῦς εὐφροσύνης, ἡ ζωτικὴ τε καὶ ἀδαπάνητος θυμηδία· ὃς καὶ ὡς ἐσφαγμένος διὰ τοῦ ἀμνοῦ καθορᾶται τότε, ὅτι καὶ ζῶν **111** καὶ μεμωλωπισμένος ὀφθήσεται. Ὄψονται γὰρ οἱ μὲν, εἰς ὃν ἐξεκέντησαν, οἱ θεοκτόνοι δηλονότι, ἡμεῖς δὲ οἱ εἰς αὐτὸν πιστεύσαντες, εὐφρανθησόμεθα ἐν αὐτῷ. Τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Εἶτα κλείονται μὲν αἱ θύραι, ὅτι τάξις καὶ ἐν τῷ μέλλοντι, καὶ οὐ θεωρητὰ τοῖς ὑπο-
C δεεστέροις καὶ κατωτέρω τὰ ὑψηλὰ, οὐδὲ πᾶσι γνωστὰ τὰ μυστήρια, ἐπεὶ καὶ τότε κεκαλυμμένος ἔσται πολλοῖς, καὶ κατὰ μικρὸν ἀνοιγόμενος ὁ Ἰησοῦς. Εἶτα αἱ πύλαι ἀνοίγονται, ὡς καὶ τότε τοῖς προκόπτουσι καὶ τελεωτέροις ἡ θεωρία ἀνάλογος ἔσται. Καὶ τῆς ὁμολογίας κηρυχθείσης, καὶ τοῦ Συμβόλου τῆς πίστεως παρὰ πάντων ἀνωμολογηθέντος, τὰ τῆς ἀγάπης ἀγγέλοις τε καὶ ἀνθρώποις διὰ τοῦ ἀσπασμοῦ καὶ τὰ τῆς ἑνώσεως γίνεταί τε καὶ δείκνυται· ὅτι καὶ ὁμόνοια ἔσται τότε, καὶ πάντες φίλοι καὶ ἀγαπητοὶ ἔσονται. Καὶ Ἰησοῦς τὸ κάλλιστον ἱερεῖον μέσον ἔσται πάντων τῶν ἁγίων αὐτοῦ, εἰρήνη πάντων ὢν καὶ ἑνότης, καὶ ἱερεὺς καὶ ἱερουργούμενος, καὶ ἑνῶν πάντας, καὶ ἑνούμενος πᾶσι· πλὴν ἀναλόγως· οὐ γὰρ πάντες ἀμέσως τούτου μεθέξουσιν· ἀλλ' οἱ μὲν ἀκραιφνῶς, καὶ παραπετασμάτων χωρὶς, ἐγγὺς ἔσονται, καὶ ὥσπερ ἱερουργοὶ καὶ τῶν τελεωτέρων ἁπτόμενοι.

CAPUT XCIX.

Quod sicut et in cœlis et in terra, ita stant ordine et mysteriis communicant in sacrario et extra sacrarium sacerdotes et laici.

Et hoc ibi significat, primus pontifex, propinquans, et attingens, et sacrificans mystica, ipsumque, qui pro nobis immolatus est quo exprimens; hi vero, per ipsum mediatorem participantes et fruentes. Unde etiam in sanctuario episcopi et sacerdotes etsi cum ipso ministrent, non tamen appropinquant sicut primus. Alteri vero sacratorum post istos inferiorem habent ordinem, nec eadem dicere possunt; et postremo veniunt ad sumendam communionem, sicut ordi-

D

ΚΕΦΑΛ. ϞΘ'.

Ὅτι ὡς καὶ ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς κατὰ τάξιν ἵστανται καὶ κοινωνοῦσι τῶν μυστηρίων, ἔν τε τῷ βήματι καὶ ἐκτὸς, ἱερωμένοι καὶ λαϊκοί.

Καὶ τοῦτο δηλοῖ ἐνταῦθα ὁ πρῶτος ἀρχιερεὺς, πλησιάζων τε καὶ ἁπτόμενος, καὶ θύων τὰ μυστικὰ, καὶ αὐτὸν τὸν τυθέντα ὑπὲρ ἡμῶν ἐκτυπούμενος· οἱ δὲ, διὰ μεσίτου αὐτοῦ μετέχοντές τε καὶ ἀπολαύοντες. Ὅθεν καὶ ἐν τῷ βήματι οἱ ἐπίσκοποι τε καὶ ἱερεῖς εἰ καὶ συλλειτουργοὶ, ὅμως οὐκ ἐγγίζουσιν ὡς ὁ πρῶτος. Ἕτεροι δὲ πάλιν τῶν ἱερῶν μετ' αὐτοὺς ὑποδεεστέραν ἔχουσι τάξιν, καὶ οὐ τὰ αὐτὰ λέγειν δύνανται, καὶ ὕστερον ἔρχονται πρὸς τὴν φρικτὴν κοινωνίαν, ὡς οἱ τῆς λειτουργικῆς διάκονοι τά-

ξεω;· μετὰ δὲ τούτους πρὸ τῶν ἱερῶν πυλῶν ἄλλοι, ὑποδιάκονοί τε, καὶ σὺν αὐτοῖς ἀναγνώσταις οἱ ὑμνῳδοί· μεθ' οὓς πάλιν κοινωνοῦσιν οἱ τοῦ μοναχικοῦ σχήματος, ὡς προέχοντες τοῦ λαοῦ. Καὶ μετὰ τούτους κατὰ τάξιν αὖθις οἱ λαϊκοί. Οὐδὲ γὰρ καὶ οὗτοι πάντες ἐπίσης. Οἱ μὲν γὰρ καλῶς ἵστανται, οἱ δὲ μετανοοῦντές εἰσιν. Ἃ δὴ πάντα ἑκάστου τῶν μετεχόντων Θεοῦ τήν τε τάξιν δηλοῖ καὶ ἀνάβασιν, καὶ τὸ ἁρμόδιον καὶ πρέπον τῆς κοινωνίας. Ὁ ἀσπασμὸς δὲ σὺν τῇ ὁμολογίᾳ τῆς πίστεως, τὴν ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Θεοῦ συμφωνίαν καὶ τὴν εἰρήνην δηλοῖ καὶ τὴν ἀγάπην. Μετὰ δέ γε τὸν ἀσπασμὸν ἡ τῶν μυστηρίων ἱερουργία τῇ ἐπικλήσει τοῦ Πνεύματος γίνεται. Ὅτι μία ἡ δύναμις τῆς Τριάδος, καὶ τοῦ Υἱοῦ σαρκωθέντος, ὁ Πατὴρ εὐδοκῶν ἦν, ὁ Υἱὸς δὲ αὐτουργῶν, καὶ τὸ Πνεῦμα συνεργοῦν τὸ πανάγιον. Μετὰ δὲ τὴν ἱερουργίαν ἡ ὑπὲρ ἁπάντων ἀνάμνησις διὰ τὸ σωτηριῶδες τῆς θυσίας. Καὶ τῶν ἁγίων δὲ ἡ ἀνακήρυξις, ὅτι συνέπαθον αὐτῷ, καὶ νῦν συνδοξάζονται. Ἐξαιρέτως δὲ ἡ τῆς Παναγίας καὶ μόνης Θεοτόκου ἀνάμνησις, ὅτι καὶ νῦν καὶ τότε τὸ κοινόν ἐστι παντὸς κόσμου σωτήριον· ἣν καὶ πάντες ἀνυμνοῦμεν, ἐπεὶ καὶ δι' αὐτῆς τὴν σωτηρίαν ἐλπίζομεν. Μετὰ δὲ τὴν μνήμην ἁπάντων ἡ αἴτησις παρὰ τοῦ ἀρχιερέως ὥσπερ ἐπισφράγισμα τῶν αἰτήσεων ἁπασῶν, ὥστε δοῦναι ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ αὐτὸν δοξάζειν τὸν ἐν Τριάδι Θεόν, καὶ τὰ ἐλέη τοῦ σαρκωθέντος καὶ τυθέντος ὑπὲρ ἡμῶν καὶ ἱερουργηθέντος καὶ προκειμένου Ἰησοῦ Χριστοῦ τοῦ μεγάλου Θεοῦ εἶναι πάντοτε μεθ' ἡμῶν. Ἔπειτα τὴν τῆς υἱοθεσίας χάριν ἐν ἡμῖν ὁ ἱεράρχης προσεύχεται, καὶ ἐξαιτεῖται καταξιωθῆναι ἡμᾶς, **112** διὰ τοῦ κατὰ φύσιν Υἱοῦ ἤδη τεθυμένου τοῖς μυστηρίοις καὶ προκειμένου, καλεῖν ἡμᾶς Πατέρα, τοὺς φύσει κτίσματά τε καὶ δούλους, τὸν Θεὸν τὸν ἐπουράνιον. Μετὰ δὲ τὴν προσευχὴν καὶ τὴν εἰρήνην καὶ τὴν κλίσιν τῆς κεφαλῆς, ἃ δὴ τὴν πρὸς Θεὸν δουλείαν δηλοῦσι καὶ ἕνωσιν, ἡ τοῦ ζωηφόρου ἄρτου γίνεται ὕψωσις, αὐτὴν τυποῦσα τὴν ὑπὲρ ἡμῶν τοῦ Σωτῆρος σταύρωσιν· καὶ τὸ αὐτὸν τὸν Χριστὸν ἐλθεῖν, καὶ ἑαυτοῦ ἡμῖν μεταδοῦναι, ὅτι καὶ οὗτός ἐστιν ὁ ὑπὲρ ἡμῶν σταυρωθείς, καὶ αὐτὸν δείκνυσιν ἡμῖν μυστικῶς ὑπὲρ ἡμῶν πεπονθότα. Διὸ καὶ « Προσέχωμεν, » ἐκβοᾷ, ὥστε γνῶναι ἡμᾶς τὸ μυστήριον. Καὶ ἐπάγει, « Τὰ Ἅγια τοῖς ἁγίοις· » δηλῶν, ὡς ὁ σταυρωθεὶς ἅγιος, καὶ οἱ τούτου μέτοχοι ἅγιοι ὀφείλουσιν εἶναι, καὶ πίστει πάντες βοῶσιν, « Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, » τὴν ὁμολογίαν λέγοντες, ἥτις ἔσται καὶ ἐν τῷ μέλλοντι, ὡς Παῦλός φησι. Διὰ γὰρ τούτου τοῦ μονογενοῦς Υἱοῦ σαρκωθέντος καὶ σταυρωθέντος ἡγιάσθημέν τε καὶ τοῦ θανάτου ἐῤῥύσθημεν, καὶ τῆς ἀθανασίας ἐτύχομεν· ὃς καὶ τότε ἔσται ἡμῖν θεωρία τε καὶ ἀπόλαυσις, ὅτι ἀπεθάνομεν πρότερον μὲν, ἰσοθεΐᾳ κλαπέντες, καὶ παρὰ καιρὸν ἀθάνατοι καὶ θεοὶ γενέσθαι ζητοῦντες, γεγόναμεν· νῦν δὲ ἀνέστημεν, καὶ ζῶμεν, καὶ Θεοῦ μετέχομεν τῶν χαρίτων, καὶ θεοί ἐσμεν, ὡς τῶν τῇ παραβάσει ἐναντίων νῦν γεγονότων, τοῦ Θεοῦ σαρκωθέντος τοῦ ἀθανάτου ὑπὲρ ἡμῶν, καὶ δούλου μορφὴν ἐνδυ-

nis liturgici diaconi. Post ipsos autem alii qui stant ante fores sacras, subdiaconique ac cum ipsis lectoribus cantores. Post istos dona communicant hi qui sunt monastici status, tanquam populum præcedentes. Et post istos, secundum ordinem, iterum laici; non enim et hi sunt omnes æqualiter; alii namque honorabiliter adstant, alii vero pœnitentes sunt: quæ cuncta uniuscujusque communicantium Deo ordinem et ascensionem, et concinnitatem, et convenientiam communionis ostendunt. Amplexatio cum fidei confessione concordiam et pacem et dilectionem in confessione Dei significat. Post autem amplexationem mysteriorum operatio sacra fit invocatione Spiritus; quoniam una est potestas Trinitatis, et cum Filius caro factus est, Pater erat benevolens, Filius autem per se agens, et Spiritus sanctus cooperans. Post sacram operationem fit super omnibus memoria propter virtutem hostiæ salutiferam, et sanctorum præconium, eo quod cum ipso passi sunt, et nunc conglorificantur; et excellenter sanctissimæ unicæque Deiparæ recordatio, quoniam et nunc et tunc communis est salus universi mundi, quam etiam omnes celebramus, eo quod per ipsam speramus salutem. Post omnium memoriam oratio fit a pontifice, tanquam omnium orationum sigillum, ut sic detur in uno ore unoque corde ipsum glorificare Deum in Trinitate constantem, et miserationes ejus qui pro nobis incarnatus, et immolatus, et in sacrificio oblatus, Jesus-Christus, magnus Deus, semper esse nobiscum intendit. Postea filiationis gratiam in nobis fieri precatur sacerdos exoratque nos fieri dignos per Filium naturalem jam immolatum ac jacentem, ut nos vocemus Patrem, nos qui natura sumus creaturæ ac servi, Deum qui in cœlis est. Post hanc autem orationem et pacem et capitis inclinationem, quæ servitutem ac unionem ad Deum significant, vivifici panis fit elevatio, ipsam figurans pro nobis Salvatoris crucifixionem, necnon ipsum Christum venisse, ac semet psum tradidisse pro nobis: ipse namque est qui pro nobis crucifixus est, et ipsum illa nobis ostendit mystice pro nobis passum. Ideoque « Advertamus » clamat, ut nos intendamus mysterium; et addit: « Sancta sanctis » significans quod crucifixus est sanctus et illi qui sunt ipsius participes, debent esse sancti; et omnes fide clamant: « Unus sanctus, unus Dominus, Jesus Christus, » confessionem dicentes, quæ, sicut ait Paulus, erit in sæculo futuro: per hunc enim unigenitum Filium incarnatum et crucifixum sanctificati sumus, et a morte sumus liberati, immortalitatemque obtinuimus; et ille tunc nobis erit jucunda visio necnon fruitio. Nam mortui quidem fuimus, æqualitatem cum Deo subripientes, et præter opportunitatem immortales et dii fieri quærentes; nati vero sumus nunc, atque surreximus ac vivimus, et Dei gratiarum sumus participes, tanquam contrariis trangressioni nunc factis, cum Deus immor-

talis pro nobis est caro factus, servique formam et mortalis indutus, et secundum creaturas effectus atque vere homo demonstratus, et pro nobis immolatus. Unde stultitia quidem erat nostrum tentamen, quo volebamus fieri deos et transgredi, siquidem impossibile est nos qui creaturæ sumus, deos fieri. Œconomia vero Dei Verbi, tanquam solius omnipotentis, vera fuit et bona, propterque nostram salutem. Unde nobis summe unitum est, quod supra nos erat, et carne pro nobis mortuum est, quod erat summum bonitatis; et immortalitatem ac Deitatis gloriam per suam mortem nobis præstitit. Videtisne quantum mysterium? Deinde fit sacri fractio panis: propter nos enim fit fractio ejus qui infragilis est, ut omnes ipsius simus participes; et qui indivisibilis est, pro nobis dividitur, sibi nos uniens, et, sicut oraverat, unum faciens. Est autem calicis adunatio divini panis in calicem introductio, quoniam unus est Christus, licet in calice paneque videatur, et idem sit per panem robur et per calicem lætitia. Pax etiam est nostra. Postea fit communio, quia hic est omnium finis, Dei communicatio, quod est summe bonum ac desiderabile. Secundum ordinem vero fit ista, sicut dictum est, propter bonam ordinationem ac justitiam, et ab humilitate genitam pietatem; unusquisque enim in suo ordine, mysteria participat. Justus enim ac rectus cum sit Dominus, in justitia semetipsum nobis omnibus præbet. Unde quidem solus ac primus hunc immediate participat pontifex, sicut in archangelis primi primum participant, et per ipsos medii, et post ipsos cæteri, sicut ait Dionysius. Unde etiam per summum sacerdotem episcopi et presbyteri, et per sacerdotes reliqui omnes sacerdotes et diaconi. Ultimo vero sacris divini panis reliquiis in calicem intromissis ostenditur omnibus istud, quod est Christus, ipsum ipsius vere corpus et sanguis, quæ propter nos suum populum peculiarem, sacravit, et gustari, videri, tangique præbet ac desiderat. Idcirco populus sanctus ex anima videt illum et adorat, et ab ipso salutaria petit, dum diaconus quidem clamat progrediendum esse cum metu Dei ac fide, ne forte quidam participare procedentes, in judicium sibi participent; summus vero sacerdos progredientibus dat per ansam participare. Et hoc secundum Isaiæ visionem: quoniam non omnes oportet, ut dictum est, immediate divinorum ac tremendorum esse participes; et quoniam super divinis vereri circumspectionemque tenere necesse est. Si Cherubim reverentur, quanto magis nos oportet revereri, cum etiam in his non typum, sed ipsam veritatem conspicimus? Ideo ad pontificem vel sacerdotem divina mysteria distribuentem oportet procedentem ad communicandum adorare et veniam expostulare, tanquam ab omnibus fidelibus prius; et ipsum in calice viventem cum sanguine panem, usque ad solum ex animo oportet adorare, et sic manus in crucem colligere, in ser-

A σαμένου, καὶ θνητοῦ, καὶ κατὰ τὰ κτίσματα γεγονότος, καὶ ἀληθῶς ἀνθρώπου δεδειγμένου, καὶ τεθυμένου ὑπὲρ ἡμῶν. Ὅθεν ἀφροσύνη μὲν ἡ ἡμῶν ἐγχείρησις, τὸ βουληθῆναι γενέσθαι θεοὺς καὶ παραβῆναι· ὅτι καὶ ἀδύνατον γενέσθαι θεοὺς ἡμᾶς κτίσματα ὄντας. Ἡ οἰκονομία δὲ τοῦ Θεοῦ Λόγου, ὡς παντοδυνάμου μόνου, ἀληθής τε καὶ ἀγαθή, καὶ ὑπὲρ τῆς ἡμῶν σωτηρίας. Ὅθεν καὶ ἡνώθη ἄκρως ἡμῖν, ὅπερ ὑπὲρ ἡμᾶς ἦν· καὶ ἀπέθανε δι' ἡμᾶς σαρκὶ, ὅπερ ἦν τὸ ἄκρον τῆς ἀγαθότητος· καὶ τὴν ἀθανασίαν καὶ τὴν τῆς Θεότητος δόξαν διὰ τοῦ θανάτου αὐτοῦ ἡμῖν ἐχορήγησεν. Ὁρᾶτε τὸ μυστήριον ὅσον; Εἶτα ὁ μελισμὸς τοῦ ἱεροῦ ἄρτου γίνεται. Ὑπὲρ ἡμῶν γὰρ μερίζεται ὁ ἀμέριστος, ἵνα πάντες αὐτοῦ μετέχωμεν· καὶ ἀδιαίρετος ὤν, δι' ἡμᾶς διαι- B ρεῖται, ἑνῶν ἡμᾶς ἑαυτῷ, καὶ ἓν ποιῶν, ὥσπερ ηὔξατο. Ἡ τοῦ ποτηρίου δὲ ἕνωσις, τὸ εἰσαγαγεῖν ἐν τῷ ποτηρίῳ τὸν θεῖον ἄρτον, ὅτι εἷς ἐστιν ὁ Χριστὸς, εἰ καὶ ἐν ποτηρίῳ καὶ ἄρτῳ καθορᾶται· καὶ ὁ αὐτὸς στηριγμός τε διὰ τοῦ ἄρτου, καὶ εὐφροσύνη διὰ τοῦ ποτηρίου· καὶ εἰρήνη ἡμῶν ἐστι. Μετὰ τοῦτο ἡ κοινωνία, ὅτι τοῦτο τέλος ἁπάντων, ἡ Θεοῦ κοινωνία, καὶ τὸ ἄκρως τοῦτο ἀγαθόν τε καὶ ἐφετόν. Κατὰ τάξιν δὲ καὶ αὕτη, ὡς προειρήκαμεν, γίνεται διὰ τὴν εὐταξίαν τε καὶ δικαιοσύνην, καὶ τὴν ἀπὸ τῆς ταπεινοφροσύνης εὐλάβειαν. Ἕκαστος γὰρ ἐν τῷ οἰκείῳ τάγματι μετέχει τῶν μυστηρίων. Δίκαιος γὰρ ὢν καὶ εὐθὺς ὁ Κύριος, ἐν δικαιοσύνῃ ἑαυτὸν ἡμῖν τοῖς πᾶσι παρέχει. Ὅθεν καὶ ἀμέσως μὲν τούτου καὶ C μόνος καὶ πρῶτος κοινωνεῖ ὁ ἀρχιερεύς· ὡς καὶ ἐν τοῖς ἀρχαγγέλοις οἱ πρῶτοι πρῶτον μετέχουσι, καὶ δι' αὐτῶν οἱ μέσοι, καὶ μετ' ἐκείνους οἱ λοιποὶ, ὥς φησι Διονύσιος. Ὅθεν καὶ δι' ἀρχιερέως ἐπίσκοποί τε καὶ ἱερεῖς, καὶ διὰ τῶν ἱερέων οἱ λοιποὶ πάντες ἱερεῖς καὶ διάκονοι. Ὕστερον δ' αὖθις εἰσκομισθέντων τῶν ἱερῶν λειψάνων τοῦ θείου ἄρτου ἐν τῷ ἱερῷ ποτηρίῳ, δείκνυται τοῦτο πᾶσιν, ὅπερ ἐστὶν ὁ Χριστὸς, αὐτὸ αὐτοῦ ἀληθῶς τὸ σῶμα καὶ αἷμα, ὃ διὰ τὸν λαὸν αὐτοῦ τὸν περιούσιον ἡμᾶς ἱερούργησε, καὶ γεύεσθαι καὶ βλέπειν καὶ ἅπτεσθαι παρέχει τε καὶ ἐφίεται. Διὸ καὶ ὁ ἱερὸς λαὸς ἐκ ψυχῆς ὁρᾷ τοῦτον, καὶ προσκυνεῖ, καὶ τὰ πρὸς σωτηρίαν αἰτεῖται· τοῦ διακόνου μὲν βοῶντος τὸ προσελθεῖν μετὰ φόβου Θεοῦ καὶ πίστεως, ἵνα μετασχεῖν τινες προσελθόν- D τες, μὴ εἰς κρίμα μετάσχωσιν ἑαυτοῖς· τοῦ ἀρχιερέως δὲ τοῖς προσελθοῦσι μεταλαβεῖν διδόντος διὰ λαβίδος· καὶ τοῦτο κατὰ τὴν ὀπτασίαν τοῦ **113** Ἠσαΐου, ὅτι οὐ χρὴ πάντας ἀμέσως μετέχειν, ὡς εἴρηται, τῶν θείων τε καὶ φρικτῶν· καὶ ὅτι ἐπὶ τοῖς θείοις εὐλαβεῖσθαι δεῖ καὶ συστέλλεσθαι. Καὶ εἰ τὰ Χερουβὶμ ηὐλαβεῖτο, πολλῷ γε μᾶλλον ἡμᾶς εὐλαβεῖσθαι χρὴ, καὶ ταῦτα οὐ τύπον, ἀλλὰ τὴν ἀλήθειαν ὁρῶντας αὐτήν. Διὸ τόν τε νέμοντα ἱεράρχην ἢ ἱερέα τὰ θεῖα μυστήρια δεῖ τὸν προσερχόμενον μεταλαβεῖν, προσκυνεῖν καὶ συγχώρησιν ἐξαιτεῖσθαι, ὡς καὶ παρὰ τῶν πιστῶν πάντων πρότερον. Καὶ αὐτὸν δὴ τὸν ἐν τῷ ποτηρίῳ ζῶντα ἄρτον μετὰ τοῦ αἵματος ἄχρις ἐδάφους ὁλοψύχως δεῖ προσκυνεῖν· καὶ οὕτω τὰς χεῖρας δεσμεῖν σταυρικῶς εἰς ἔνδειξιν τῆς

A δουλείας καὶ τῆς τοῦ ἐσταυρωμένου ὁμολογίας· ἐπεὶ καὶ αὐτοῦ κοινωνῆσαι προσέρχεται· καὶ οὕτω μετὰ φόβου καὶ φρίκης καὶ ταπεινώσεως καρδίας προσέρχεσθαι. Κοινωνοῦσι τοίνυν εὐθὺς· πρῶτον μὲν οἱ καὶ πάντοτε κατὰ πᾶσαν ἱερουργίαν κοινωνοῦντες ὑποδιάκονοι, ὅτι μετὰ τοὺς διακόνους οὗτοι· καὶ οὐκ ἄδεια τούτοις ἔνδον τοῦ βήματος κοινωνεῖν· ὅτι οὐδὲ ἐντὸς κεχειροτόνηνται· ἔπειτα ἀναγνῶσται καὶ μοναχοί· καὶ μετ' αὐτοὺς οἱ λαϊκοί· οὔτε γὰρ ἐντὸς τοῦ βήματος πλὴν ἀρχιερέων, πρεσβυτέρων καὶ διακόνων τις ἄλλος μεταλαμβάνει, ὅτι καὶ αἱ τρεῖς τάξεις αὗται ἐντὸς μόναι χειροτονοῦνται τοῦ βήματος. Οἱ λοιποὶ δὲ ἔξωθεν τούτου οὔτε εἰς τὰς χεῖρας τὸν θεῖον ἄρτον λαμβάνουσιν, ὑποβεβηκότες τῇ τάξει καὶ τοῦ ἐσχάτου μέρους τελοῦντες τῷ βαθμῷ, B κἂν ἀρετῇ ὑπερέχωσι. Διὸ καὶ ἕκαστον τούτων χρὴ τὴν τάξιν αὐτοῦ τηρεῖν, ὡς καὶ ὁ Παῦλος παραγγέλλει, «Ἕκαστος, λέγων, ἐν ᾗ ἐκλήθη τάξει, ἐν ταύτῃ μενέτω·» ἵνα καὶ μᾶλλον ὁ θεμέλιος τῶν ἀρετῶν ἐν τούτῳ εὑρίσκηται, ἡ ταπείνωσις· ἥτις καὶ ἐν ἀγγέλοις ἐστί· καὶ ἐν τῷ μέλλοντι οὕτως ἔσται. «Ἕκαστος δὲ, φησὶ πάλιν Παῦλος, ἐν τῷ οἰκείῳ τάγματι.» Ὕστερον δὲ πρὸς τὸν λαὸν ἡ εὐλογία δίδοται, ὡς ἀπὸ τοῦ Σωτῆρος αὐτοῦ, ἣν δὴ ὁ ἱεράρχης ποιεῖται, καὶ σωτηρίαν πᾶσιν ἐπεύχεται. Εἶτα καὶ θυμιᾷ ἐν τῇ τραπέζῃ πάλιν τὰ ἅγια, τὰ τῆς Ἀναλήψεως λέγων, εὐχαριστῶν τῷ ὑπὲρ ἡμῶν καὶ σαρκωθέντι καὶ παθόντι καὶ ἀναστάντι σαρκὶ, καὶ εἰς οὐρανοὺς ἀνυψωθέντι, καὶ ζῶντι, καὶ τῆς δόξης αὐτοῦ C τὴν γῆν πᾶσαν πληρώσαντι. Καὶ εὐλογήσας τὸν Θεὸν, δίδωσιν ἀπενεχθῆναι τὰ περιλειφθέντα τῶν ἁγίων ἐν τῇ προθέσει, καὶ παρὰ τῶν διακόνων διοικηθῆναι. Ὁ δεύτερος δὲ τῶν ἱερέων τὴν ὀπισθάμβωνον εὐχὴν ὑπὲρ τοῦ λαοῦ ἔξωθεν τοῦ ἱεροῦ βήματος εἰς ἐπήκοον ἐκφωνεῖ, εὐχόμενος μὲν ταύτην τὴν τελευταίαν εὐχὴν ὑπὲρ τοῦ λαοῦ, ἔργον δὲ ποιῶν τοῦ ἀρχιερέως· ὅτι καὶ αἱ ἀρχαὶ τῶν εὐχῶν καὶ τὸ τέλος ἔργον αὐτοῦ. Ὅμως καὶ ὁ ἀρχιερεὺς ταύτην ἔνδον μυστικῶς πρὸς τὸν Θεὸν ἀναφέρει. Διὰ τοῦτο οὖν καὶ προσελθόντα σφραγίζει τὸν ἱερέα, μετὰ τὸ εἰπεῖν τὴν εὐχὴν, ὡς ὑπηρέτην ὄντα αὐτοῦ. Αὐτὸς δὲ πάλιν ὁ ἱεράρχης τὸ εἰλητὸν εἰλήσας, καὶ τὸ Εὐαγγέλιον θεὶς, καὶ ἀσπασάμενος αὐτὸ καὶ τὴν ἱερὰν τράπεζαν, δηλῶν ἐκ τούτου ὡς ἐκεῖθεν ἡγίασται, D καὶ ἡνωμένος τῷ θυσιαστηρίῳ ἐστὶν, ἐπεὶ τὰ τῆς λειτουργίας τετέλεκε, πρὸς τὰς θύρας τοῦ βήματος ἔξεισι, καὶ τῷ λαῷ τὸ ἀντίδωρον ἀπονέμει· ὅτι οὐ τοῦ βήματος ὁ λαὸς, καὶ ὅτι τοῖς ταπεινοῖς ὁ ὑψηλὸς συγκατέρχεται, καὶ ἑαυτὸν αὐτοῖς δίδωσι πολυτρόπως.

vitutis ac crucifixi confessionis signum; siquidem ad ipsum participandum venit; et ita cum metu ac tremore atque humilitate cordis procedere. Communicant ergo statim, primo quidem illi qui semper in sacra functione communicant subdiaconi, quoniam post diaconos isti sunt, nec ipsis licitum est intra sanctuarium communicare, eo quod non intus ordinati sunt; deinde lectores et monachi, et post ipsos laici: non enim intra sanctuarium, præter pontifices, presbyteros et diaconos, aliquis alius communicat; quoniam tres illi ordines ipsi soli intra sanctuarium ordinantur. Cæteri vero extra illud, nec in manus divinum panem accipiunt, ut inferiores ordine terminantesque ultimam istius partem, etsi virtute præemineant. Itaque unusquisque illorum debet suum ordinem servare, sicut et Paulus præcipit, dicens: «Unusquisque in quo vocatus est ordine, in hoc permaneat;» ut etiam magis in hoc inveniatur virtutis fundamentum, humilitas, quæ vel in angelis adest, et in futuro sic erit. «Unusquisque, ait denuo Paulus, in proprio ordine.» Postremum ad populum, tanquam ab ipso Salvatore, datur benedictio, quam pontifex concedit, omnibus deprecans salutem. Postea thurificat iterum sancta super mensam, ea quæ refectionis sunt dicens, gratias agens illi qui propter nos est incarnatus, passus est, resurrexit carne et in cœlos ascendit, et vivit, et gloria sua universam terram implet. Et postquam benedixit Deum, reliquias sanctificatorum in propositione dat auferendas, et a diaconis separatim administrandas. Secundus autem e sacerdotibus profectionis orationem propter populum extra sanctuarium, ita ut audiatur, pronuntiat, faciens quidem hanc ultimam orationem pro populo, sed opus agens pontificis: nam initia precum sicut et finis opus illius sunt. Attamen et pontifex intus ad Deum istam mysteriose profert. Propterea regredientem signat sacerdotem, postquam hic orationem dixit, tanquam ipsius ministrum. Ipse vero rursum Pontifex convolvens involucrum Evangeliumque positum super mensam osculatus et istam, significans ex isto quod exinde fuit sanctificatus, et unitus est altari, cum ea quæ sunt liturgiæ complevit, exit ad sanctuarii portas, et populo antidorum distribuit; quoniam non est sanctuarii populus, et quoniam humilibus excelsus condescendit, semetipsumque dat eis multiformiter.

ΚΕΦΑΛ. Ρʹ

Περὶ τοῦ ἀντιδώρου, καὶ ὅτι ἡγιασμένος ἄρτος οὗτος.

Τοῦτο δὲ τὸ ἀντίδωρον ἡγιασμένος ἄρτος ἐστὶν, ἐν τῇ προθέσει προσενεχθεὶς, οὗ τὸ μεσαίτατον ἐκβληθὲν ἱερουργήθη, καὶ σῶμα Χριστοῦ γέγονεν. Ἀντὶ γοῦν τοῦ μεγάλου ἐκείνου δώρου τῆς φρικτῆς κοινωνίας, ἐπεὶ οὐ πάντες ἐκείνου ἱκανοὶ μετασχεῖν,

CAPUT C.

De antidoro et quod hic est panis benedictus (qui loco Eucharistiæ distribuitur non communicantibus.)

Hoc autem antidorum sanctificatus est panis in oblatione prolatus, cujus maxime medium extractum, consecratum est factumque Christi corpus. Hujus igitur loco magni tremendæ communionis doni, quoniam non omnes illius possunt esse participes,

hoc pro illo datur, et antidorum proprie cognominatur: nam etiam Dei gratiæ donum præstat, siquidem et ipse sanctificatus est panis, sorte signatus, sacrisque verbis ditatus. Non tamen est participatio corporis Christi. Hæc enim sunt mysteria: illud autem est solum sanctificationis communicatio, divinam gratiam a propositionis verbis præstans. Tandem populum, cum denuo signavit et benedictionem a Domino deprecatus est, pontifex dimittit, postquam verum Deum nostrum Christum, per merita sanctissimæ ipsius Matris et omnium sanctorum, omnium misereri cunctosque salvare suppliciter exoravit; prædicans simul et contestans nos per Salvatoris œconomiam sacramque functionem esse salvatos ac salvandos; cooperante precibus adjutrice maximi mysterii Deipara, cum omnibus qui ex illo sanctificati sunt. Tunc continuo psallentium chorus, ad reges et ad ipsum pontificem, non pure prædicantes hominem, vota faciunt, fidele regnum et orthodoxum pontificatum permanere deprecantes, opusque sacræ liturgiæ propter nos semper libere exerceri. Quos et populum cum ter ultimo signavit, ac benedixit pontifex; carmen « Nunc dimittis » seorsum dicit, Simeonis recordatus, cum exsultans Christum excepit. Et tunc sacra deponit vestimenta. Cum orationes absolvit, pro omnibus gratias agit et ter genibus ad altare flexis abit. Talia sunt ea quæ respiciunt ad magnum sanctumque mysterium. Maximos quidem secundum istud et supra nos poscerent sermones: sed juxta potentiam nostram, ut erat possibile, brevius complevimus et speculati sumus; quoniam super illud multi divini viri excelse mirificeque locuti sunt, et nos non oportet ea tentare quæ supra nos sunt. Hæc enim etiam sunt propter vos.

A τοῦτο δίδοται ἀντ' ἐκείνου, καὶ ἀντίδωρον οἰκείως προσονομάζεται, ὅτι καὶ δωρεὰν χάριτος **114** παρέχει Θεοῦ. Ἐπεὶ καὶ ἡγιασμένος ἐστὶ καὶ οὗτος ἄρτος, σφραγιζόμενός τε τῇ λόγχῃ, καὶ ἱερὰ δεχόμενος ῥήματα· οὐ μὴν δὲ ἡ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ. Τὰ μυστήρια γὰρ ἐκεῖνά εἰσι· τοῦτο δὲ ἁγιασμοῦ μεταδοτικὸν μόνον, καὶ δωρεᾶς θείας πάροχον τῆς ἀπὸ τῶν ἐν τῇ προθέσει ῥημάτων. Τέλος τὸν λαὸν πάλιν σφραγίσας, καὶ εὐλογίαν παρὰ Κυρίου ἐπευξάμενος ὁ ἀρχιερεὺς, ἀπολύει, τὸν ἀληθινὸν Θεὸν ἡμῶν τὸν Χριστὸν διὰ τῶν τῆς Παναγίας αὐτοῦ Μητρὸς πρεσβειῶν καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι πάντας καὶ σῶσαι ἐπικαλεσάμενος, κηρύττων ἅμα καὶ μαρτυρῶν, ὅτι διὰ τῆς τοῦ Σωτῆρος οἰκονομίας B καὶ τῆς ἱερουργίας σεσώσμεθά τε καὶ σωθησόμεθα, συνεργούσης ταῖς εὐχαῖς τοῦ ὑπηρέτου τοῦ μεγίστου μυστηρίου, τῆς Θεοτόκου, καὶ πάντων τῶν ἡγιασμένων ἐκ τούτου· ὅτε παρευθὺς ὁ τῶν ψαλλόντων χορὸς τούς τε βασιλεῖς εὔχεται μετὰ ὕμνου, καὶ αὐτὸν τὸν ἀρχιερέα, οὐ τὸν ἄνθρωπον ἁπλῶς εὐφημοῦντες, ἀλλὰ καὶ τὴν πιστὴν βασιλείαν, καὶ τὴν ὀρθόδοξον ἀρχιερωσύνην διαμένειν εὐχόμενοι, καὶ τὸ ἔργον τὸ τῆς ἱερουργίας ὑπὲρ ἡμῶν αἰωνίως ἀκωλύτως διενεργεῖσθαι. Οὓς καὶ τὸν λαὸν τρὶς σφραγίσας ὕστερον πάλιν, καὶ ἐπευξάμενος ὁ ἀρχιερεὺς, τὸ, « Νῦν ἀπολύεις, » καθ' ἑαυτὸν καὶ τὰ λοιπὰ λέγει, τοῦ Συμεὼν μεμνημένος, ἡνίκα τὸν Χριστὸν ἀγκάλαις ἐδέξατο. Καὶ τὰ ἱερὰ ἀποτίθεται ἄμφια. Προσευξάμενος οὖν καὶ ἀπολύσας, ὑπὲρ πάντων εὐχαριστεῖ· C καὶ τρὶς τῷ θυσιαστηρίῳ προσκυνήσας, ἀπέρχεται. Τοιαῦτα καὶ τὰ τῆς μεγάλης καὶ ἱερᾶς τελετῆς, μεγίστους μὲν κατ' αὐτὴν καὶ ὑπὲρ ἡμᾶς ἔχουσα τοὺς λόγους, κατὰ δύναμιν δὲ ἡμετέραν ὡς ἦν δυνατὸν συνοπτικώτερον συντεθεῖσά τε καὶ θεωρηθεῖσα, ἐπεὶ πολλοῖς περὶ ταύτης λέλεκται θείοις ἀνδράσι καὶ ὑψηγόρως καὶ θαυμαστῶς· καὶ οὐ δεῖ καταπαλμᾷν ἡμᾶς τῶν ὑπὲρ ἡμᾶς· καὶ ταῦτα γὰρ δι' ὑμᾶς.

Clericus. Gratias Deo, quod super hujusmodi rebus tam excelsis et tam divinis sufficienter adjuti sumus: cupimus autem et discere ea quæ spectant ad initiationem ac consecrationem templi, rationesque divinorum in hoc symbolorum habere.

Κληρικός. Χάρις τῷ Θεῷ, ὅτι καὶ περὶ τῶν λίαν οὕτως ὑψηλῶν τε καὶ θείων πραγμάτων τούτων ἱκανῶς ὠφελήθημεν. Ζητοῦμεν δὲ μαθεῖν καὶ τὰ περὶ τῆς τελετῆς καὶ καθιερώσεως τοῦ ναοῦ, ὡς ἂν καὶ τῶν ἐν τούτῳ θείων συμβόλων τοὺς λόγους ἔχωμεν.

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΝΑΟΥ

ΚΑΙ

ΤΗΣ ΤΟΥΤΟΥ ΚΑΘΙΕΡΩΣΕΩΣ.

DE SACRO TEMPLO

EJUS CONSECRATIONE.

Ἀρχιερεύς. Καὶ περὶ τούτου ἐροῦμεν, Θεοῦ διδόντος. Ἐπεὶ καὶ ἀκόλουθον, περί τε τοῦ θείου μύρου καὶ τῆς ἱερᾶς λειτουργίας εἰρηκότας ἡμᾶς, καὶ περὶ τούτου διαλαβεῖν· εἶτα καὶ περὶ τῆς θείας χειροτονίας ἑκάστου τῶν ἱερωμένων ἀνδρῶν. Ἐπειδὴ γὰρ ὥσπερ χρείαν ἔχει ἀρχιερέως ἢ ἱερέως ἡ θεία ἱερουργία, καὶ ἡ χειροτονία δὲ ἀρχιερέως μόνον καὶ ἡ τοῦ μύρου τελετὴ, οὕτω καὶ τοῦ θυσιαστηρίου δέονται ταῦτα, ὅπερ ἐστὶν ὁ ναός· ἐν τῷ θυσιαστηρίῳ γὰρ καὶ ἱερουργία καὶ χειροτονίαι καὶ τὸ μύρον γίνεται. Ἀναγκαῖον οὖν εἰπεῖν καὶ περὶ τῆς τοῦ ναοῦ καθιερώσεως. Ἐν αὐτῷ γὰρ τῷ ναῷ τὸ θυσιαστήριον πήγνυται. Καὶ διὰ τοῦ θυσιαστηρίου ἅγιος ὁ ναός ἐστι· χωρὶς δὲ θυσιαστηρίου οὐ ναὸς, ἀλλὰ προσευχῆς μόνον οἶκος, μετέχων τῆς ἀπὸ τῶν εὐχῶν μόνης ἁγιωσύνης, οὐ Θεοῦ δόξης σκήνωμα, οὐδὲ κατοικητήριον τούτου, οὐδὲ ἰσχὺν πλουτῶν θείαν, τὰς ἐν αὐτῷ ἡμῶν προσευχὰς πρὸς Θεὸν ἀναφέρειν διὰ τῆς ἐν αὐτῷ χάριτος· οὐδὲ προσφέρεσθαι ἐν τῇ ἐν αὐτῷ τραπέζῃ τὰ θεῖα δῶρα, καὶ διὰ τῶν ἱερατικῶν εὐχῶν, τῆς τοῦ σταυροῦ τε σφραγῖδος, εἰς σῶμα καὶ αἷμα Χριστοῦ ἁγίῳ Πνεύματι μεταβάλλεσθαι. Καὶ οὐδὲ τράπεζά ἐστιν ἐν αὐτῷ. Διὸ ἵνα γένηται ταῦτα, καὶ δύναμιν ἔχῃ, καὶ ναὸς ὑπάρχῃ Θεοῦ, καὶ τοῦτο οὕτως οἰκοδομεῖται καὶ ἁγιάζεται.

A *Pontifex.* Et super hoc, Deo dante, dicemus: quoniam et consequens est nos de divino unguento sacraque liturgia locutos de hoc etiam disserere: deinde de divina uniuscujusque consecratorum hominum ordinatione. Etenim quemadmodum opus est pontifice, vel sacerdote sacræ liturgiæ, pontifice vero tantum ordinationi unguentique initiationi, sic etiam egent ista sanctificationis loco; hic autem est templum. In altari enim fit liturgia, et ordinationes, et sacrum unguentum. Necesse est igitur et de templi consecratione loqui: in ipso namque templo firmatur altare, et per altare sanctum est templum; et sine altari non est templum, sed tantum orationis domus, solam orationum benedictionem participans, non Dei gloriæ tabernaculum, nec ipsius sedes, nec divina pollens virtute preces nostras quæ fiunt in ea ad Deum attollendi per gratiam ipsi inhærentem. Nec in ea super mensam divina proponi possunt dona, perque sacerdotales preces et crucis signum in corpus et sanguinem Christi Spiritu sancto converti. Sed nec etiam est in ea mensa. Ideo ut ista fiant, et virtutem habeant, et templum Dei sit, illud etiam sic construitur et sanctificatur.

B

115 ΚΕΦΑΛ. ΡΑ'.

Περὶ οἰκοδομῆς ἁγίου ναοῦ, καὶ εὐχῆς ἐπὶ θεμελίῳ.

Ὁ μέλλων οἰκοδομῆσαι θεῖον ναὸν προσέρχεται τῷ ἀρχιερεῖ, καὶ ἐξαιτεῖται πρὸς τούτου τὴν ἔνδοσιν. Οὐδὲ γὰρ ἐξόν τινι χωρὶς ἀρχιερατικῆς προσταγῆς τοῖς τοιούτοις ἐπιχειρεῖν. Θείᾳ γὰρ ἐπιταγῇ τε καὶ δοκιμῇ τὰ θεῖα γίνεσθαι χρὴ, καὶ ἐν τοῖς θείοις τὸν Θεὸν εἶναι ἀρχὴν τῶν πάντων, ἀρχηγὸν καὶ τελειωτὴν, ὅς ἐστιν Ἰησοῦς Χριστὸς, ὁ θεῖος Παῦλός φησιν. Ἐπὶ δὲ τὸν θρόνον Χριστοῦ κάθηται ἐλέει αὐτοῦ ὁ ἀρχιερεύς. Δοκιμάσας οὖν οὗτος τὸν οἰκοδομεῖν θέλοντα, μήποτε ἐπιχειρῇ μὲν, οὐ τελέσῃ δὲ, ὡς περὶ τοῦ πύργου ἐν τῷ Εὐαγγελίῳ γέγραπται, ἀποστέλλει· ἵνα μὴ ἀρξάμενός τις οὐκ ἐκτελέσῃ, ἢ μήποτε τελεσθεὶς καὶ ἁγιασθεὶς ἀφεθῇ ὁ ναὸς πάλιν, καὶ ἀργῶν ἵσταται, ὡς τὰ πρὸς χρείαν μὴ

CAPUT CI.

De ædificatione sancti templi, et precibus quando ejus fundamentum ponitur.

Qui vult divinum templum ædificare, pontificem adit et ab illo petit concessionem: non enim cui-
C quam fas est absque pontificali jussione talibus manum admovere: divino namque jussu divinaque probatione divina fieri necesse est, et in divinis principium esse Deum, omnium auctorem ac consummatorem, qui est Christus Jesus, inquit divus Paulus; super autem Christi thronum, ipsius misericordia, considet pontifex. Probans igitur iste eum qui vult ædificare, nequando quidem incipiat, non autem perficiat, sicut de turri in Evangelio scriptum est, dimittit, ne quis, postquam inceperit, non perficiat, vel nequando finitum et consecratum templum postea deseratur

et otiosum remaneat, tanquam necessaria usui non habens. Ideo, examine facto, qui vult ædificare, data ratione quod in finem ædificabit, et omnia necessaria suppeditabit, jubetur ædificare. Et effodiuntur fundamenta; et parantur materiæ. Et cum tempus ædificandi venerit: ipse pontifex in loco sistit. Et sacram indutus stolam, clero ipsi adstante, Deum benedicit, pro divino opere gratias agens; et oratione trisagii a clero facta, ipse, incenso benedicto, thuribulum accipiens, fundamenta et foveas in modum crucis benedicit, omnia thurificatione sanctificans. Spiritus enim gratiam incensum, et Christum crux figurant. Cunctas etiam præsentes materias thurificat, sanctificans eas, tanquam ad sanctam Dei domum præparatas. Deinde, thurificatis adstantibus et ad opus accensis atque sanctificatis, venit ad orientem fundamentorum, ubi est hemicyclium sanctuarii, et sacram orationem facit, deprecans Deum Verbum, Jesum Christum qui proprio sanguine suam ædificavit Ecclesiam, ut etiam hæc domus ipsi ædificata recte in ipso fundetur ac permaneat. Et doxologia dicta, ipse lapides et calcem vivam vel lutum aliquo instrumento sumit. Et in fundamenta descendens, in crucem lapides ponit eos signans, sicque demonstrat se Christum petram inconcussam ac fundamentalem posuisse. Juxta medium autem lapidum in parva quadam fovea, tanquam in sepulcro, candelam assumens et oleum infundens atque accendens benedicensque, ponit, demonstrans quidem per oleum Dei misericordiam, quæ domus exstructione suppeditabitur, per lumen vero desuper illuminationem a lumine vero factam. et ipsum hoc unicum lumen, Christum, in sepulcro pro nobis positum, et in oleo, quoniam oleo gratiæ nos unxit, et quoniam per oleum sive unguentum domus initiabitur; et quoniam lumen Christus nobiscum erit, et in domo residens, oriens ex alto. Postquam autem curavit hanc lucernam tuto manere propter sacram illuminationem, et ad pulchre figurandam Ecclesiam, sicut dilectus, in Apocalypsi, se didicisse ait septem lucernas esse Ecclesias, et lapidem super illam imposuit, quoniam Christus petra super Ecclesiam suam insidet, e fundamentis egreditur. Et iterum aliam facit orationem, ut Dei providentia protectioneque surgat domus ac pulchre perficiatur exorans, necnon ut ipsius fundamenta ipsaque semper inconcussa permaneant, et ædificantes ab injuriis et noxiis sint immunes (hoc autem dicit, eo quod invidiosa sunt dæmonia, et super his divinis malefica), proferentesque Deo res ad ædificationem necessarias, divitem ab ipso mercedem recipiant. Postquam hæc complevit et signavit et ultima prece firmavit, abit Domino gratias agens. Opus autem jam fieri cœpit. Cum vero cuncta, adjuvante Deo, completa sunt, interiora atque exteriora, sacrarium vel sanctuarium ad orientem constitutum, tabula propositionis ad dexteram, et ad sinistram diaconatus sedes ordi-

A ἔχων. Διὸ καὶ ἐξεταζόμενος ὁ οἰκοδομῆσαι βουλόμενος, καὶ δοὺς λόγον ὡς εἰς τέλος οἰκοδομήσει, καὶ τὰ κατὰ χρείαν ἅπαντα ἑτοιμάσει, προστάττεται οἰκοδομεῖν. Καὶ ὀρύσσονται μὲν οἱ θεμέλιοι· ἑτοιμάζονται δὲ αἱ ὗλαι. Καὶ τοῦ καιροῦ τοῦ οἰκοδομεῖν ἐπιστάντος, αὐτὸς τῷ τόπῳ ἐφίσταται ὁ ἀρχιερεύς. Καὶ ἱερὰν ἐνδυσάμενος στολὴν, τοῦ κλήρου συμπαρόντος αὐτῷ, εὐλογεῖ τὸν Θεὸν, εὐχαριστῶν τῷ θείῳ ἔργῳ. Καὶ προσευχῆς γινομένης τοῦ Τρισαγίου παρὰ τοῦ κλήρου, αὐτὸς εὐλογήσας θυμίαμα, θυμιατήριόν τε λαβὼν τοὺς θεμελίους καὶ τὰ ὀρύγματα σταυροειδῶς εὐλογεῖ, πάντα τῷ θυμιάματι ἁγιάζων. Τὴν χάριν γὰρ τυποῖ τοῦ Πνεύματος τὸ θυμίαμα, καὶ ὁ σταυρὸς τὸν Χριστόν. Καὶ ἔτι πάσας θυμιᾷ τὰς ἐκεῖσε ὕλας, καθαγιάζων αὐτὰς, ὡς εἰς

B ἅγιον οἶκον Θεοῦ εὐτρεπισθείσας. Εἶτα καὶ τοὺς παρατυχόντας θυμιάσας, καὶ πρὸς τὸ ἔργον εὐθύνας καὶ ἁγιάσας, ἔρχεται ἐν τοῖς ἀνατολικοῖς θεμελίοις, ἔνθαπερ τὸ θυσιαστήριον συστῆναι μέλλει. Καὶ κατὰ τὸ μέσον στὰς τῶν τῆς ἀνατολῆς ὀρυγμάτων, ἔνθα τὸ τοῦ βήματος ἡμικύκλιον, εὐχὴν ἱερὰν ποιεῖται, δεόμενος τοῦ Θεοῦ Λόγου Ἰησοῦ Χριστοῦ, τοῦ τὴν ἑαυτοῦ Ἐκκλησίαν τῷ ἰδίῳ θεμελιώσαντος αἵματι, καὶ τὸν οἰκοδομούμενον οἶκον αὐτῷ καλῶς ἐν αὐτῷ στηριχθῆναι καὶ διαμένειν. Εἶτα δοξολογήσας, αὐτὸς ταῖς χερσὶ λίθους λαμβάνει καὶ ἄσβεστον ἢ πηλὸν ὀργάνῳ τινί. Καὶ κατελθὼν ἐν τοῖς θεμελίοις, τίθησι τοὺς λίθους, σταυροειδῶς σφραγίσας αὐτοὺς, δεικνὺς ὅτι τὸν Χριστὸν τὴν ἄσειστον πέτραν θεμέλιον τέθεικε. Κατὰ δὲ τὸ μέσον τῶν λίθων ἐν σμικρῷ τινι

C λάκκῳ, οἷον ἐν τάφῳ, κανδήλαν λαβὼν, καὶ ἐμβαλὼν ἔλαιον καὶ ἀνάψας, εὐλογῶν τε, τίθησι· δεικνὺς διὰ μὲν τοῦ ἐλαίου τὸν ἔλεον τοῦ Θεοῦ, ὃς ἔσται χορηγούμενος διὰ τοῦ ἀνεγειρομένου οἴκου, διὰ δὲ τοῦ φωτὸς τὸν ἄνωθεν φωτισμὸν παρὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ, καὶ αὐτὸ τὸ μόνον φῶς τὸν Χριστὸν ἐν τάφῳ τεθέντα δι' ἡμᾶς; καὶ ἐν ἐλαίῳ, ὅτι ἤλειψεν ἡμᾶς ἐλαίῳ τῆς χάριτος, καὶ ὅτι δι ἐλαίου, ἤτοι τοῦ μύρου, ὁ οἶκος τελειωθήσεται· καὶ ὅτι τὸ φῶς ὁ Χριστὸς μεθ' ἡμῶν ἔσται, καὶ ἐν τῷ οἴκῳ κατοικῶν, ἡ ἐξ ὕψους ἀνατολή. Οἰκονομήσας δὲ καὶ τὴν φωταγωγὸν ἐκείνην ἀσφαλῶς μένειν διὰ τὸν ἱερὸν φωτισμὸν, καὶ διὰ τὸ καλῶς εἰκονίζειν τὴν Ἐκκλησίαν, ὡς ὁ ἠγαπημένος ἐν τῇ Ἀποκαλύψει φησὶ μα-

D θεῖν τὰς ἑπτὰ λυχνίας εἶναι τὰς Ἐκκλησίας, καὶ λίθον ἐπάνω ταύτης θέμενος, ὅτι Χριστὸς ἡ πέτρα ἐπικάθηται τῆς Ἐκκλησίας αὐτοῦ, ἐξέρχεται τῶν θεμελίων. Καὶ πάλιν ἑτέραν ποιεῖται εὐχὴν, προνοίᾳ Θεοῦ καὶ σκέπῃ τὸν οἶκον ἐγείρεσθαι καὶ τελειωθῆναι καλῶς ἐξαιτούμενος, καὶ τοὺς θεμελίους αὐτοῦ καὶ αὐτὸν ἀσαλεύτους διαπαντὸς διαμένειν, ἀνεπηρεάστους τε εἶναι τοὺς οἰκοδομοῦντας καὶ ἀβλαβεῖς· τοῦτο δὲ λέγει, ὅτι φθονερὰ τὰ δαιμόνια καὶ ἐπὶ τούτοις τοῖς θείοις ἐπηρεαστικά· τοὺς προσφέροντάς τε Θεῷ τὰ πρὸς τὴν οἰκοδομὴν **116** τὸν μισθὸν πλουσίως παρ' αὐτοῦ λήψεσθαι. Ταῦτα τελέσας καὶ σφραγίσας καὶ ἐπευξάμενος, ἀπέρχεται εὐχαριστῶν τῷ Κυρίῳ. Τὸ δὲ ἔργον ἤδη ἐνήρξατο γίνεσθαι. Πάντων δὲ σὺν Θεῷ τελεσθέντων, τῶν τε ἐντὸς καὶ τῶν

ἔξωθεν, τοῦ ἱερατείου τε, ἤτοι τοῦ βήματος, κατὰ ἀνατολὰς ὁρισθέντος, καὶ τῆς μὲν προθέσεως ἐκ δεξιῶν, ἐξ ἀριστερῶν δὲ τοῦ διακονικοῦ τεταγμένων, τοῦ ἄμβωνός τε ἀντικρὺ τεθέντος τοῦ βήματος, εἰ τόπος ἐστὶ, καὶ τῶν διαστύλων ἀσφαλῶς ἱδρυθέντων, ἐντός τε τοῦ βήματος τοῦ ἱεροῦ κιβωρίου καὶ τῶν κιόνων τῶν μελλόντων τὴν ἱερὰν τράπεζαν βαστάζειν, καλῶς ἐρηρεισμένων, ἢ καὶ ἑνὸς, ἐπεὶ καὶ εἷς ἐρείδεται κίων, ὃς καὶ κάλαμος λέγεται, ἢ ἀντὶ κιόνων τετραγώνου οἰκοδομηθέντος Πινσοῦ βωμοῦ λεγομένου, καὶ τῆς τραπέζης τῆς ἱερᾶς καλῶς προευτρεπισθείσης, ἀλλὰ καὶ τῶν λοιπῶν ἄλλων χρειωδῶν, σκευῶν τε ἱερῶν κατὰ τὸ προσῆκον ἡτοιμασμένων, ἀναφέρεται πάλιν τῷ ἀρχιερεῖ ταῦτα. Ὁ δὲ δι' ὑπηρέτου ἑτοιμασθῆναι λέγει καὶ τὰ πρὸς τὴν καθιέρωσιν ἐπιτήδεια· καὶ τούτου πραχθέντος, ὡς διέξεισι κατὰ μέρος τὸ τακτικὸν, ὁ ἀρχιερεὺς παραγίνεται, καὶ τὰ τῆς καθιερώσεως ἐνεργεῖ, ἃ καὶ ἔχουσιν οὕτως.

A natæ; umbo vero in conspectu sanctuarii, si locus est, positus; diastyli solide collocati; intra sanctuarium, sacrum ciborium et columnæ, sacram mensam sustentaturæ, bene dispositæ; vel una, siquidem et una erigitur, quæ dicitur calamus; vel, pro columnis, quadrangulatus πίνσος (probabiliter πίναξ quadra) qui dicitur basis vel ara, ædificatus; sed et alia cuncta utilia vasaque sacra condecenter præparata; hæc iterum pontifici offeruntur. Illic autem per ministrum parari jubet quæ sunt ad consecrationem necessaria. Hoc autem cum factum est, ut indicat per partes ordinatrix instructio, pontifex advenit, et ea quæ consecrationis sunt operatur, ut sequitur.

ΚΕΦΑΛ. ΡΒ'.

Περὶ τῆς τοῦ ἁγίου θυσιαστηρίου καὶ ναοῦ καθιερώσεως.

Ἴδωμεν δὲ καὶ ἡμεῖς, ὡς ἐγχωροῦν καὶ δυνατὸν ἡμῖν, τὰ τῆς θεωρίας αὐτῶν. Ἔρχεται εἰς τὸν καθιερωθῆναι μέλλοντα ναὸν ὁ ἀρχιερεὺς, ἐπεὶ καὶ Θεὸς ἦλθε πρὸς ἡμᾶς, ἡμᾶς ἁγιάσαι. Καὶ ἐνδύεται ἅπαντα τὰ ἀρχιερατικὰ, δεικνὺς τὴν ὑπὲρ ἡμῶν τοῦ Θεοῦ Λόγου σάρκωσιν.

CAPUT CII.

B *De sancto altari et templi inauguratione.*

Videamus autem et nos, quantum licet et nobis est possibile, speculationem eorum. Venit ad consecrandum templum pontifex, siquidem et Deus venit ad nos, ut nos sanctificaret; et induit omnia vestimenta pontificalia, Dei Verbi pro nobis incarnationem significans.

ΚΕΦΑΛ. ΡΓ'.

Διατί ὁ ἀρχιερεὺς περιβάλλεται σινδόνα καὶ ζώννυται.

Ἐπάνω δὲ τούτων περιβάλλεται ἀπὸ τῶν ὤμων σινδόνα λευκὴν, διήκουσαν ἄχρι τῶν ποδῶν, εἰς τύπον τοῦ Χριστοῦ τῆς ἐπὶ τῷ τάφῳ σινδόνος. Ἐπεὶ γὰρ τὸ μνῆμα τοῦ Χριστοῦ ἐγεῖραι μέλλει καὶ ἁγιάσαι, τὴν ἱεράν φημι τράπεζαν, καὶ τὰ τοῦ μνήματος ὡς μιμούμενος τὸν Χριστὸν θαπτόμενον ἐκτυποῖ. Καὶ τρισὶ ζώναις περιζώννυται τὴν σινδόνα εἰς δόξαν τῆς Τριάδος· ὄπισθεν τοῦ αὐχένος, διά τε τὸν νοῦν καὶ τὴν τῆς δουλείας πρὸς Θεὸν ἔνδειξιν, ὑπὸ τὰς μασχάλας περὶ τὸ στῆθος, διὰ τὸ λογιστικόν· καὶ περὶ τὴν ὀσφὺν, διὰ τὸ καθαρόν τε καὶ ἰσχυρόν· καὶ τὸ μὲν τοῦ Πατρὸς, τὸ δὲ τοῦ Λόγου, τὸ δὲ τοῦ ζωοποιοῦ καὶ καθαροῦ Πνεύματος. Καὶ ἐν ταῖς χερσὶ δὲ ὁμοίως μανδύλια περιτίθεται, ὡς μανίκια ἡνωμένα τῇ σινδόνι. Καὶ ταῦτα τρισὶ δεσμεῖται ἕκαστον ζώναις, εἰς τύπον τῆς Τριάδος τῆς παντουργοῦ. «Αἱ χεῖρές σου γὰρ,» πρὸς τὸν Πατέρα λέγει Δαβὶδ, ὁ Υἱὸς δηλονότι καὶ τὸ Πνεῦμα τὸ ἅγιον, «ἐποίησάν με καὶ ἔπλασάν με.» Καὶ ἐννέα γίνονται ζῶναι οἱ ἐννέα οὗτοι δεσμοὶ, τὰ ἐννέα δηλοῦντες τάγματα τῶν ἀγγέλων, τριαδικῶς τὴν Τριάδα κηρύττοντα. Ἀλλὰ καὶ ὡς διάκονος μεγίστου ἔργου ὁ ἱεράρχης, περιζώννυται οὕτω, τὴν ἀπὸ τοῦ Θεοῦ αἰτούμενος δύναμιν· καὶ ἑτοιμάζεται πρὸς τὸ ἔργον· ἴσως δὲ καὶ τὰ ἱερατικὰ τιμῶν ἄμφια, καὶ μὴ καταχραίνων αὐτὰ τῇ τῶν ὅλων τοῦ ἔργου μεταχειρήσει.

CAPUT CIII.

Quare antistes sindonem induit seque cingit.

Super his autem sindonem circuminduit albam ab humeris ad pedes usque decurrentem, in typum Christi sindonis ad sepulturam: Christi namque monumentum excitare debet ac sanctificare, sa- C cram, aio, mensam, et quæ monumenti sunt, ut, per imitationem, Christum sepultum exprimat. Tribus autem zonis sindonem præcingit, in honorem Trinitatis: post collum propter mentem et servitutis ad Deum significationem; sub axillas circa pectus, propter rationem; et circa renes propter puritatem et fortitudinem; una quidem in honorem Patris; alia vero in honorem Filii; tertia in honorem vivificantis et puri Spiritus. In manibus autem pariter chirothecas induit propter tortilia sindoni unita. Et unumquodque eorum tribus alligatur zonis in typum omnipotentis Trinitatis. «Manus enim tuæ,» inquit David ad Patrem, Filius scilicet et Spiritus sanctus, «fecerunt me, et plasmaverunt D me.» Et novem zonæ fiunt hæc novem vincula, novem figurantia angelorum ordines, qui numero ternario Trinitatem prædicant. Sed etiam ut operis maximi minister pontifex ita præcingitur, a Deo potentiam petens et ad opus paratur; forsitan autem propter sacerdotalium indumentorum reverentiam, ne materiarum operis tractatione commaculentur.

ΚΕΦΑΛ. ΡΔ'.

Διατί ἐν τῇ καθιερώσει τοῦ ναοῦ ἐξάγονται οἱ λαϊκοί.

Ἀρξάμενος δὲ ἐνεργεῖν, ἐξάγει πάντας τοὺς μὴ

CAPUT CIV.

Quare in templi inauguratione laici excedere jubentur.

Actionis autem initio, cunctos sacro charactere

non insignitos expellit. Nam cum debet consecrare A domum, consecratos etiam sacerdotali charactere cunctos oportet adesse ministrareque secundum uniuscujusque statum, non autem ex ordine laico quemquam : intus enim qui reperitur, sacer debet esse minister, sicut et sacra domus est quæ sanctificatur. Propter hoc igitur exiguntur laici, donec consecratum sit templum, tanquam ad altare non pertinentes.

CAPUT CV.

Quare mota exportantur.

Exigitur autem etiam e templo quodcunque mobile, quoniam quodcunque mobile mutatur ab aliquo necnon transfertur, ipsum vero debet esse recte positum, nec unquam in his quæ continet subire mutationem. B Ideo sacræ imagines vasaque sacra et reliqua quæ loco dimoveri possunt, foras exiguntur, ut ea quæ constant et non movenda sunt in ipso sanctificentur. Et sic januæ clauduntur. Cœlum enim jam fit sanctique Spiritus advenit potentia. Ideo solos qui de cœlo sunt, id est, consecratos oportet adesse, nec ullum alium videri : sancta namque sanctis consecrataque sacris, donec completa sint ; et tunc per participationem aliis etiam permittuntur, non tamen immodiate, sed per complura aulæa. Ingredientes enim postea omnes laici fideles, et cum ipsis pœnitentes, unusquisque proprium occupat locum. Attamen omnes extra sanctuarium remanent. Clausis itaque propterea januis, Deum benedicit pontifex ; et facta C Trisagii precatione necnon oratione « Pater noster, » post recitationem et glorificationem, addit pontifex orationem : « Domine Deus noster, qui cuncta facis, » ipsum Deum exorans ut fiat principium operis, et ipsi ferat præsidium.

CAPUT CVI.

Quare ceromastice et aromata adhibentur.

Et assumpto vase, ubi est ceromastice una cum aromatibus, qualia myrrha, aloe et cætera, quæ cuncta sepulturam Salvatoris figurant, quoniam et sepulcrum monumentumque sacra mensa figurat, sicut et cera atque mastiche tanquam glutinantia propter necessitatem adhibentur et tanquam conjunctiva connectivaque, propter Christi usque ad D mortem erga nos dilectionem et unionem, hæc infundit in columnas, vel columnam, vel basim propriis manibus, Dei significans opus, addens ut in baptismate cæterisque sacramentis, « In nomine Patris, et Filii, et Spiritus sancti ; » principium enim et finis est omnis boni Trinitas. Et a ministris infusa plurima ceromastice paululumque refrigerata, cantores quidem canunt psalmum : « Exaltabo te, Deus meus ; » et hunc : « Dominus pascit me, » in gloriam Dei. Pontifex autem auxiliantibus sibi præsentibus episcopis et sacerdotibus et cæteris, sumit mensam et super bases ponit, firmans eam atque stabiliens. Et postea benedicit Deum. Oportet enim illum benedicere super omni-

σφραγῖδα ἱερὰν ἔχοντας. Ἐπειδὴ γὰρ καθιεροῦν μέλλει τὸν οἶκον, καὶ καθιερωμένους τῇ τῆς ἱερωσύνης σφραγῖδι πάντας ὀφείλει παρεῖναι καὶ ὑπηρετεῖν ἀναλόγως ἕκαστον, καὶ μή τινα τῶν ἐν λαϊκοῖς τεταγμένων, ἐπειδήπερ ὁ εὑρεθεὶς ἐντὸς εἶναι καὶ ἱερὸς ὑπηρέτης ὀφείλει εἶναι, ὡς καὶ ἱερὸς οἶκος ὁ καθαγιαζόμενος· ἐξάγονται τοίνυν οἱ λαϊκοὶ διὰ τοῦτο, ἄχρις **117** ἂν ἁγιασθῇ ὁ ναὸς, ὡς καὶ τοῦ θυσιαστηρίου ὄντες ἐκτός.

ΚΕΦΑΛ. ΡΕ'.

Διατί ἐξάγονται τὰ κινούμενα.

Ἐξάγεται δὲ καὶ πᾶν κινούμενον τοῦ ναοῦ, ὅτι πᾶν κινούμενον ὑπό τινος μεταβαίνει καὶ μετατίθεται. Αὐτὸς δὲ ὀφείλει ἄρτιος εἶναι, καὶ μηδέποτε μετακινηθῆναι τῶν ἐν αὐτῷ. Διὸ καὶ εἰκόνες ἅγιαι, καὶ σκεύη ἱερὰ, καὶ λοιπὰ χώραν ἔχοντα μετατίθεσθαι, ἐξάγονται ἔξω, ἵνα τὰ ἑστῶτα καὶ μέλλοντα ἀκίνητα εἶναι ἐν αὐτῷ καθαγιασθῇ. Καὶ οὕτως αἱ πύλαι κλείονται. Οὐρανὸς γὰρ γίνεται ἤδη, καὶ Πνεύματος ἁγίου ἐπιφοιτᾷ δύναμις. Διὸ χρὴ μόνους τοὺς τοῦ οὐρανοῦ εἶναι, τοὺς ἱερωμένους δηλαδὴ, καὶ μηδένα ἄλλον ὁρᾷν. Τὰ γὰρ ἅγια τοῖς ἁγίοις, καὶ τὰ ἀφιερωμένα τοῖς ἱεροῖς, ἕως τελεσθῶσι, καὶ τότε κατὰ μετοχὴν καὶ τοῖς ἄλλοις παρέχεται· πλὴν ἐμμέσως, καὶ οὐχ ἀμέσως, καὶ διὰ παραπετασμάτων τινῶν. Εἰσερχόμενοι γὰρ μετὰ ταῦτα οἱ λαϊκοὶ πάντες πιστοὶ, καὶ σὺν αὐτοῖς οἱ μετανοοῦντες, ἕκαστος τὸν οἰκεῖον λαμβάνει τόπον. Ὅμως δὲ πάντες ἐκτός εἰσι τοῦ ἱεροῦ βήματος. Κλειομένων τοίνυν τῶν θυρῶν διὰ ταῦτα, εὐλογεῖ τὸν Θεὸν ὁ ἀρχιερεύς. Καὶ προσευχῆς γινομένης τοῦ Τρισαγίου, καὶ τοῦ, *Πάτερ ἡμῶν*, μετὰ τὸ ἐκφωνῆσαι καὶ δοξάσαι, εὐχὴν ἐπιλέγει ὁ ἀρχιερεὺς, « Κύριε ὁ Θεὸς ἡμῶν ὁ πάντα ποιῶν· » δεόμενος αὐτὸν τὸν Θεὸν γενέσθαι ἀρχὴν τοῦ ἔργου καὶ συναντιλαβέσθαι αὐτῷ.

ΚΕΦΑΛ. Ρϛ'.

Διατί κηρωμαστίχη τε καὶ ἀρώματα.

Καὶ λαβόμενος τοῦ ἀγγείου, ἔνθα ἡ κηρωμαστίχη μετὰ τῶν ἀρωμάτων ἐστὶν, οἷον σμύρνης τε καὶ ἀλόης καὶ τῶν λοιπῶν, ἃ πάντα τὴν ταφὴν εἰκονίζουσι τοῦ Σωτῆρος, ὅτι καὶ τὸν τάφον καὶ τὸ μνῆμα ἡ ἱερὰ εἰκονίζει τράπεζα, ὡς καὶ ὁ κηρὸς καὶ ἡ μαστίχη καὶ ὡς κολλητικὰ διὰ τὴν χρείαν εἰσάγεται, καὶ ὡς ἑνωτικὰ δὲ καὶ συνδέοντα, διὰ τὴν τοῦ Χριστοῦ ἄχρι καὶ θανάτου πρὸς ἡμᾶς ἀγάπην καὶ ἕνωσιν, ἐκχέει ταῦτα τοῖς κίοσιν, ἢ τῷ κίονι, ἢ τῷ βωμῷ οἰκείαις χερσὶ, τὸ ἔργον δηλῶν τοῦ Θεοῦ, ἐπιλέγων ὡς ἐπὶ τοῦ βαπτίσματος καὶ τῶν ἄλλων τελετῶν, « Εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Ἀρχὴ γὰρ καὶ τέλος παντὸς ἀγαθοῦ ἡ Τριάς. Καὶ ὑπὸ τῶν ὑπηρετῶν τῆς πλείονος ἐκχεομένης κηρωμαστίχης, καὶ μικρὸν ψυχρανθείσης, οἱ ψάλται μὲν ψάλλουσι ψαλμὸν, τὸ, « Ὑψώσω σε, ὁ Θεός μου, » καὶ τὸ, « Κύριος ποιμαίνει με, » εἰς δοξολογίαν Θεοῦ. Ὁ ἀρχιερεὺς δὲ, συναντιλαμβανομένων αὐτῷ καὶ τῶν συμπαρόντων ἐπισκόπων καὶ ἱερέων καὶ λοιπῶν, λαμβάνει τὴν τράπεζαν, καὶ τίθησιν ἐπὶ τῶν κιόνων, ἀσφαλιζόμενος αὐτὴν καὶ

ἐρείδων. Καὶ μετὰ τοῦτο εὐλογεῖ τὸν Θεόν. Δεῖ γὰρ αὐτὸν εὐλογεῖν ἐπὶ πᾶσι τοῖς θείοις ὑπὲρ ἡμῶν ἔργοις αὐτοῦ. Εἶτα πρὸ τῶν ἁγίων θυρῶν, τάπης τε εὐτρεπίζεται, καὶ προσκεφάλαιον ἐν αὐτῷ, καὶ διὰ τὴν τῆς ἀρχιερωσύνης τιμὴν, ἥτις ἐστὶ τοῦ Χριστοῦ, καὶ τῶν ἱερῶν ἀμφίων, ἵνα μὴ καταστρωθῶσι τῷ ἐδάφει, σταυροὺς καὶ εἰκόνας ἔχοντα, καὶ διὰ τὸ μὴ εἶναι ἔτι τὸ ἔδαφος ἅγιον. Τοῦτο γὰρ καθιερωθὲν, τίμιόν ἐστι, καὶ πλεῖστοι τοῦτο ὡς οὐρανοῦ ἔδαφος ἠσπάζοντο τῶν θεοφιλῶν. Ἔνθα δὴ παραγενόμενος ὁ ἀρχιερεὺς, καὶ γόνυ κλίνων καὶ τὸν αὐχένα κατὰ ἀνατολὰς, καὶ πάντων κλινόντων ὁμοῦ, τοῦ διακόνου βοῶντος, « Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, » ὁ ἀρχιερεὺς ἐνώπιον κείμενος τοῦ Θεοῦ, τὴν εὐχὴν ποιεῖται ἐν κατανύξει, λέγων, « Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀΐδιος. » Τὴν αὐτὴν δὲ λέγουσι, καὶ εἴπερ εἰσὶ σὺν αὐτῷ ἀρχιερεῖς. Καὶ ἐξαιτεῖται, τὸν ἐνισχύσαντα εἰς ἀνέγερσιν τῆς πάλαι σκηνῆς τὸν Μωσῆν, καὶ εἰς κατάρτισιν αὐτῆς τὸν Βεσελεὴλ, καὶ τὸν Σολομῶντα σοφίσαντα, εἰς ἀνοικοδομὴν **118** καὶ τελείωσιν τοῦ πάλαι ναοῦ, καὶ τοὺς ἀποστόλους ἐνισχύσαντα εἰς ἀνέγερσιν ἐν ὅλῳ τῷ κόσμῳ τῶν ἱερῶν θυσιαστηρίων, καὶ τοῦτον τὸν ναὸν ἁγιάσαι, καὶ σκήνωμα δόξης ποιῆσαι αὐτοῦ, καὶ πολλῶν ἀγαθῶν παρεκτικὸν, καὶ τοῦ μεγάλου θύματος ἐργαστήριον· καὶ τὰ λοιπὰ ὅσα ἡ εὐχὴ καταλέγει. Καὶ δοξολογήσας τὸν Θεὸν, ἐγείρεται, καὶ τῇ ἱερᾷ προσεγγίζει τραπέζῃ, καὶ τὰ τοῦ βαπτίσματος ἐκτυποῖ.

A bus divinis illius propter nos operibus. Deinde pro foribus disponitur tapes et in eo pulvinus ob pontificatus honorem, qui est Christi, et sacrorum vestimentorum, ut, cruces et imagines habentia, non in solo prosternantur eo quod nondum est sanctificatum solum : hoc enim cum sanctificatum est, plerique piorum ut cœli pavimentum osculantur. Ibi porro cum adest pontifex, genu collumque flectens ad orientem, omnibus simul flectentibus, clamante diacono : Adhuc et adhuc genua flectentes ; pontifex in conspectu Dei prostratus, orationem in compunctione facit, dicens : « Deus principio carens ac sempiternus. » Hanc autem etiam dicunt, si qui sint cum ipso pontifices. Et exorat eum, qui Moysen in antiqui tabernaculi erectionem et Beseleelem
B in illius ornamentum roboravit, sapientemque Salomonem effecit, in ædificationem ac consecrationem veteris templi, quique virtute donavit apostolos ut in universo mundo sacra erigerent altaria, hoc etiam sanctificare templum, ipsiusque gloriæ tabernaculum efficere, ut sit bonorum omnium communicatio magnæque victimæ officina ; et cætera quæ enumerat oratio. Et postquam glorificavit Deum, surgit, sacræque mensæ propinquat, et quæ baptismatis sunt exprimit.

ΚΕΦΑΛ. ΡΖ'.

Διατί ὕδατι ἐκπλύνεται ἡ τράπεζα.

Ἐπεὶ γὰρ τὸν Ἰησοῦν ἡ τράπεζα εἰκονίζει, πέτραν ζωῆς καλούμενον καὶ λίθον γωνίας, καὶ τὰ τοῦ βαπτίσματος αὐτοῦ δέχεται, καὶ τοῦτο κατὰ δύο τρόπους, αἰσθητόν τε καὶ νοητὸν, ἵνα καὶ καθαρὰ γένηται ἐκπλυθεῖσα, καὶ καθαγιασθῇ τῷ ὕδατι, τὴν κάθαρσιν μετὰ τοῦ Πνεύματος δεξαμένη, ἐπεὶ καὶ Πνεύματος καθίσταται ὄργανον· διὰ τοῦτο χλιαρὸν προσφέρεται ὕδωρ. Καὶ τοῦτο εὐλογεῖται δι' εὐχῆς. Καὶ γὰρ τὸν ἐν Ἰορδάνῃ βαπτισθέντα προσκαλεῖται εἰς ἁγιασμὸν τούτου τοῦ ὕδατος ὁ ἀρχιερεὺς, καὶ τελείωσιν τοῦ ἱεροῦ θυσιαστηρίου. Εἶτα νίτρον προσάγεται τούτῳ, δι' οὗ εὐλογουμένου τρεῖς ποιεῖ σταυροὺς ἐν αὐτῇ. Καὶ τοῦ χλιαροῦ ὕδατος ἐκχυθέντος τρὶς, εἰς τύπον τῆς ἁγίας Τριάδος, διὰ τῶν ἀντιμινσίων ἡ ἱερὰ ἐκμάσσεται τράπεζα.

CAPUT CVII.

Quare sacra mensa abluitur aqua.

C Cum enim Jesum, vitæ petram et anguli lapidem vocatum, significat mensa, quæ sunt ipsius baptismatis etiam suscipit, et hoc duobus modis, sensibili ac intelligibili, ut et abluta pura fiat, et aqua sanctificetur, purificationem cum Spiritu recipiens, quoniam Spiritus etiam constituitur instrumentum. Ideo tepida profertur aqua, quæ per orationem benedicitur. Etenim illum qui baptizatus est in Jordane pontifex in sanctificationem hujus aquæ sacrique consecrationem altaris invocat. Deinde sal immittitur ei, per illudque benedictum tres precando cruces facit. Et aqua tepida ter effusa, in typum sanctæ Trinitatis, per *Antiminsia* sacra mensa detergitur.

D

ΚΕΦΑΛ. ΡΗ'.

Περὶ τῶν ἱερῶν ἀντιμινσίων.

Ταῦτα δὲ τὰ ἀντιμίνσια ἐκ λίνου ὑφάσματός εἰσι· καὶ ἀντὶ τραπέζης ἱερᾶς γίνονται. Ἃ δὴ καὶ ῥαπτόμενα πρότερον ἑτοιμάζεται, ὡς ἡ διάταξις γράφει, καὶ πάντα τελεῖται ἐν αὐτοῖς, ὅσα καὶ ἐν τῇ θείᾳ τραπέζῃ. Καὶ καιροῦ καλοῦντος ταῦτα διακρίσει ἀρχιερέως τελείως ἁγιασθέντα, κατὰ τόπους ἐξαποστέλλονται, ἔνθα οὐκ ἔστι θυσιαστήριον, καὶ ἐν αὐτοῖς ἡ θεία τελεῖται τῶν μυστηρίων ἱερουργία.

CAPUT CVIII.

De sacris antiminsiis sive mappis, sacrarum mensarum vicariis.

Hæc autem antiminsia ex lineo texto sunt et pro sacra mensa fiunt Consuta prius parantur, sicut constitutio scribit, et in eis omnia perficiuntur, quæ etiam in divina mensa. Et occasione poscente, pontificis judicio, perfecte sanctificata hæc secundum locos emittuntur, ubi non est altare, atque in eis divina perficitur mysteriorum celebratio.

ΚΕΦΑΛ. ΡΘ'.

Περὶ τῶν τεσσάρων ὑφασμάτων τῶν ἐν τῇ θείᾳ τραπέζῃ.

Διὰ τούτων οὖν ἐκμασσομένη ἡ τράπεζα ἀπὸ τοῦ

CAPUT CIX.

De quatuor velamentis sacræ mensæ.

Per hæc igitur aqua sanctificata detergitur men-

sa, vel per alia quatuor textilia, quæ finaliter in A quatuor sacræ mensæ angulis, in typum quatuor divinorum Evangelistarum, ponuntur.

CAPUT CX.

Quare vino et aqua rosacea abluitur.

Post extersionem, vinum odoriferum ac rosatum afferuntur. Hæc autem unguenti divini procemia sunt in honorem sepulturæ Jesu, siquidem et iste de peccatrice dixit: « Quid molestia infertis mulieri? in diem sepulturæ meæ servavit illud. » Sunt etiam ad significandum, quod altare istud, ad imitationem Melchisedech, vinum odoriferum et vivificum per gratiam Deo proferet: in omnibus enim divinis adducuntur prophetiæ. Infundens autem hæc in modum crucis super mensam pontifex exclamat: « Asperges me hyssopo et mundabor, » et sequentia psalmi, ter adjiciens, in firmamentum simul ac honorem Trinitatis.

CAPUT CXI.

Quare imbuitur unguento, acciniturque alleluja.

Deinde infert altaris consecrationem, sacrum unguentum, et alleluia intonat, quod est propheticum carmen, præsentiam Dei Deique laudem significans: « Venit, inquit, Dominus; » primum et secundum, ut diximus, adventum ejus suggerens, et continuam ad nos Spiritus præsentiam. Ideoque Ecclesia continuo sæpiusque canit, ac præsertim C in divinis consecrationibus ac ante divinum Evangelium, utpote per quod demonstratur Dominus. Tres igitur ex hoc ungento super sacram mensam, medio et utrinque, cruces facit pontifex, et per tres illas totam illam inungit. Cum enim unguentum nomen est Christo Deo nostro elicitum, mensa quæ significat illum ibi sepultum unguento ungitur: et tota fit myrum, quoniam hæc Spiritus gratiam recipit. Et ideo, sicut diximus, alleluia canitur, quoniam ibi Deus habitat, et illa fit Spiritus charismatum officina. In hac enim perficiuntur tremenda mysteria, sacerdotumque ordinationes et sanctissimum unguentum, et Evangelium ponitur, et subter sunt sacræ martyrum reliquiæ, ita ut vere sit mensa ista altare Christi, thronus gloriæ, habitatio Dei, Christi monumentum, sepulcrum ac requietionis lo- D cus. Postquam autem myrrha sacra mensa inuncta est, statim illam superinduit, dum cantantur psalmi: « Quam dilecta tabernacula tua; » quoniam fit Dei tabernaculum sedesque gloriæ.

CAPUT CXII.

Quid innuant velamenta et contiguum sacræ mensæ instratum, cæteraque quæ in illa conspiciuntur.

Et primo quidem juxta quatuor sacræ mensæ angulos quatuor ponuntur textilia, nomina evangelistarum, unumquodque unum, habentia, quoniam totam Ecclesiam exprimit mensa, ex extremis adu-

ἁγιασθέντος ὕδατος, ἢ δι' ἑτέρων τεσσάρων ὑφασμάτων, ὕστερον τιθεμένων ἐν ταῖς τέσσαρσι τῆς ἱερᾶς τραπέζης γωνίαις κατὰ τύπον τῶν θείων εὐαγγελιστῶν.

ΚΕΦΑΛ. ΡΙ'.

Διατί ἐκπλύνεται οἴνῳ καὶ ῥοδοσταγματι.

Μετὰ τὸ ἐκμάξαι οἶνος εὔοσμος καὶ ῥοδόσταγμα προσκομίζεται. Ταῦτα δὲ προοίμια τοῦ θείου μύρου εἰσὶν εἰς τιμὴν τῆς ταφῆς τοῦ Ἰησοῦ, ἐπεὶ καὶ οὗτος περὶ τῆς πόρνης ἔφη, « Τί κόπους παρέχετε τῇ γυναικί; εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό· » ἅμα δὲ καὶ εἰς ἔνδειξιν, ὡς τὸ θυσιαστήριον τοῦτο οἶνον εὐώδη διὰ τὴν χάριν καὶ ζωτικὸν, κατὰ μίμησιν τοῦ Μελχισεδὲκ, προσκομίσει τῷ Θεῷ· ἐν πᾶσι γὰρ τοῖς θείοις καὶ προφητεῖαι B προάγονται. Ἐκχέων δὲ ταῦτα σταυροειδῶς τῇ τραπέζῃ ὁ ἱεράρχης, ἐκβοᾷ, « Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, » καὶ τὰ ἑξῆς τοῦ Ψαλμοῦ, τρὶς ἐπιλέγων, εἰς βεβαίωσιν ἅμα καὶ τιμὴν τῆς Τριάδος.

ΚΕΦΑΛ. ΡΙΑ'.

Διατί χρίεται μύρῳ, καὶ τὸ Ἀλληλούϊα ψάλλεται.

Εἶτα καὶ τὴν τελείωσιν φέρει τοῦ θυσιαστηρίου, τὸ μύρον τὸ ἅγιον, καὶ τὸ Ἀλληλούϊα ἐκφωνεῖ, ὃ προφητικόν ἐστιν ᾆσμα, ἐπιδημίαν Θεοῦ καὶ αἴνεσιν Θεοῦ δηλοῦν, καὶ, « Ἔρχεται, λέγει, ὁ Κύριος, » τὴν πρώτην αὐτοῦ καὶ δευτέραν παριστῶν, ὡς εἰρήκαμεν, παρουσίαν, **119** καὶ τὴν διηνεκῆ πρὸς ἡμᾶς ἐπιδημίαν τοῦ Πνεύματος. Διὸ καὶ ἡ Ἐκκλησία διηνεκῶς καὶ πολλάκις ᾄδει, καὶ μᾶλλον ἐν ταῖς θείαις τελεταῖς καὶ πρὸ τοῦ θείου Εὐαγγελίου, ὡς δεικνυμένου τοῦ Κυρίου δι' αὐτοῦ. Τρεῖς οὖν ἐξ αὐτοῦ τοῦ μύρου ἐπὶ τῆς ἱερᾶς τραπέζης μέσον καὶ παρ' ἑκάτερα ποιεῖται σταυροὺς ὁ ἀρχιερεύς· καὶ διὰ τῶν τριῶν ἅπασαν ἀλείφει ταύτην. Ἐπεὶ γὰρ μύρον ἐκκενωθὲν ὄνομα Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ ἡ δηλοῦσα τοῦτον τὸν ἐν ταύτῃ ταφέντα τράπεζα, μύρῳ χρίεται· καὶ ὅλη γίνεται μύρον, ὅτι καὶ αὕτη τὴν χάριν τοῦ Πνεύματος δέχεται. Καὶ διὰ τοῦτο, ὡς ἔφημεν, καὶ τὸ Ἀλληλούϊα ᾄδεται, ὅτι ἐνδημεῖ ἐν ταύτῃ Θεός· καὶ τῶν δωρημάτων τοῦ Πνεύματος γίνεται ἐργαστήριον. Ἐν ταύτῃ γὰρ τελοῦνται τὰ φρικτά τε καὶ μυστικὰ, καὶ αἱ τῶν ἱερέων χειροτονίαι, τὸ ἱερώτατον μύρον, καὶ τὸ Εὐαγγέλιον τίθεται, καὶ ὑποκάτω τὰ ἱερὰ τῶν μαρτύρων λείψανα. Ὥστε ἀληθῶς καὶ θυσιαστήριον Χριστοῦ αὕτη ἡ τράπεζα, καὶ θρόνος δόξης, καὶ κατοικητήριον Θεοῦ, καὶ μνῆμα καὶ τάφος Χριστοῦ καὶ ἀνάπαυσις. Μετὰ δὲ τὸ χρισθῆναι τῷ μύρῳ τὴν ἱερωτάτην τράπεζαν, ἐπενδύει ταύτην εὐθὺς, Ψαλμῶν ᾀδομένων, « Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, » ἐπεὶ καὶ σκήνωμα γέγονε Θεοῦ καὶ κατοικητήριον δόξης.

ΚΕΦΑΛ. ΡΙΒ'.

Τί τὰ ὑφάσματα καὶ τὸ κατασάρκα, καὶ τὰ λοιπὰ ἐν τῇ θείᾳ τραπέζῃ.

Καὶ πρῶτον μὲν τὰ τέσσαρα ὑφάσματα τίθενται κατὰ τὰς τέσσαρας γωνίας τῆς ἁγίας τραπέζης, τὰ ὀνόματα τῶν εὐαγγελιστῶν ἕκαστον ἓν ἔχοντα, ὅτι τὴν Ἐκκλησίαν ἅπασαν ἡ τράπεζα ἐκτυποῖ, ἐκ τῶν

περάτων συστᾶσαν τῷ Κυρίῳ, καὶ ἐπ' αὐτῷ οἰκοδομηθεῖσαν διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, τῷ λόγῳ τε τῆς χάριτος ὡς ἀπὸ λίνου τοῦ ἐκ χλόης καθαρῶς ἀναδιδομένου, καὶ πειρασμοῖς καθαιρομένου, συνεξυφανθεῖσαν αὐτῷ, καὶ ὡς ἀπὸ λίνου δικτύων δι' ἁλιέων σαγηνευθεῖσαν αὐτῷ· διὸ καὶ ταῦτα τὰ τέσσαρα καὶ τὸ κατασάρκα καὶ τὸ εἰλητὸν ἀπὸ λίνου. Μετὰ δὲ τοὺς εὐαγγελιστὰς λεγομένους τὰ τέσσαρα ταῦτα, τὸ κατασάρκα τίθεται, ὃ δηλοῖ τὴν σινδόνα ἐπὶ τῷ νεκρωθέντι δι' ἡμᾶς θείῳ σώματι. Εἶτα τὸ τραπεζοφόρον ἐφαπλοῦται, ὅπερ λαμπρότερον ὄν, εἰς τύπον τῆς δόξης τοῦ Θεοῦ ἐστιν, ὅτι καθέδρα Θεοῦ τὸ θυσιαστήριον, ἢ καὶ διὰ τὰ ἱμάτια τοῦ Σωτῆρος ὡς τὸ φῶς ἀπαστράψαντα. Εἶτα τίθεται τὸ εἰλητὸν, καὶ αὐτὸ εἰς δήλωσιν τῆς νεκρώσεως ἅμα Χριστοῦ καὶ τῆς ἀναστάσεως, ὅτι καὶ μετὰ τὴν ἔγερσιν οἱ ἀπόστολοι τοῦτο μετὰ τῶν ἐνταφίων εἶδον ἐντετυλιγμένον εἰς ἕνα τόπον. Διὸ καὶ τοῦτο εἰλημμένον ἐστὶ, καὶ εἰλητὸν λέγεται· καὶ ἐπὶ τῆς κεφαλῆς ἦν τοῦ Χριστοῦ, καὶ τὸ ἱερὸν ἐπ' αὐτῷ Εὐαγγέλιον ἀντὶ τοῦ Σωτῆρος τίθεται.

A natam Domino, super ipsum ædificatam per evangelicam prædicationem ; verbo gratiæ tanquam ex lino de viridi herba pure orto experimentisque purificato, ipsi contextam, et tanquam a lino retium per piscatores ipsi sagena congregatam. Ideoque quatuor ista et *Catasarca* et involucrum linea sunt. Post hæc autem quatuor, evangelistas dicta, ponitur *Catasarca*, quod sindona super divino pro nobis mortuo corpore significat. Deinde trapezophorum explicatur, quod uti splendidius, in typum est gloriæ Dei, quoniam Dei thronus est altare ; vel propter vestimenta Christi Salvatoris sicut lumen refulgentia. Postea ponitur involucrum, et hoc ad demonstrationem mortis Christi simul ac resurrectionis ; quoniam post resurrectionem hoc apostoli B viderunt cum linteaminibus in uno loco plicatum. Ideoque involutum est illud, et involucrum vocatur. Super caput Christi erat, et super illud Salvatoris loco sacrum Evangelium ponitur.

ΚΕΦΑΛ. ΡΙΓ'.
Τί ἡ λυχνία δηλοῖ, καὶ τὸ ἐν ὅλῳ τῷ οἴκῳ θυμίαμα.

Εἶτα καὶ λυχνία προσφέρεται καὶ θρυαλλὶς καὶ φῶς, διὰ τὴν δι' ἐλαίου θυσίαν, καὶ ὅτι λυχνία Χριστοῦ ἡ Ἐκκλησία, ὡς ὁ ἠγαπημένος φησί. Καὶ ἡ λυχνία τοῦ νόμου τύπος ταύτης, καὶ θείου ἐλέους διὰ τοῦ ἐλαίου μετάδοσις, καὶ θείου φωτισμοῦ χορηγία διὰ τοῦ ἀναπτομένου φωτός. Καὶ ἐπὶ τούτοις θυμίαμα διὰ τοῦ ἀρχιερέως ἐν ὅλῳ τῷ θείῳ οἴκῳ διὰ τὴν ἀπὸ τοῦ οὐρανοῦ χάριν ἐν Χριστῷ ἐν ὅλῃ τῇ οἰκουμένῃ.

CAPUT CXIII.
Quid candelabrum, atque in tota sacra æde suffitus significat.

Deinde profertur lampas et ellychnium et lumen propter sacrificium per oleum : quoniam, ut ait dilectissimus, lucerna Christi est Ecclesia, et lampas est illius typus legis, et divinæ misericordiæ per oleum significatur communicatio, sicut et divinæ C illuminationis ductus per accensum lumen. Et insuper incensum per pontificem in tota divina domo spargitur, propter gratiam quæ de cœlo in universa terra per Christum habetur.

ΚΕΦΑΛ. ΡΙΔ'.
Διατί ὅλον τὸν οἶκον χρίει τῷ μύρῳ.

Εἶτα καὶ τοῦ μύρου χρίσις ὄπισθεν τοῦ θυμιῶντος ἀρχιερέως παρ' ἀρχιερέως ἑτέρου **120** ἢ ἱερέως, ὅτι αὐτὸς μὲν τοῦ μύρου ἐνήρξατο, καὶ τὸ ἱερὸν θυσιαστήριον καθηγίασε· καὶ διὰ τοῦ θυμιάματος ὅλον εὐωδιάζει τὸν οἶκον. Τὸ μύρον δὲ τελειοῖ ὡς ἐξ ἀπαρχῆς τῆς ἱερᾶς τραπέζης καὶ ὅλον τὸν οἶκον, καθὰ δὴ καὶ διὰ τοῦ προσλήμματος τῆς σαρκὸς πᾶσαν ἡμῶν τὴν φύσιν τῇ θείᾳ χάριτι, ἣν ὄπισθεν αὐτοῦ κατὰ μετοχὴν λαβόντες παντὶ τῷ κόσμῳ μετέδωκαν οἱ ἀπόστολοι. Οὕτω θυμιάσας πάντα τὸν οἶκον καὶ ἁγιάσας, καὶ ὁ ἑπόμενος προτροπῇ τούτου χρίσας τῷ μύρῳ ὅλον τὸν οἶκον, εἰς τὴν ἱερὰν ἐπανακάμπτει ὁ ἀρχιερεὺς τράπεζαν, δηλῶν, ὅτι ἄναρχός ἐστι καὶ ἀτελεύτητος ὁ Θεὸς, καὶ ἀρχὴ τῶν ὅλων γινόμενος, καὶ τέλος πάντων ἐστί. Τελειώσας οὖν διὰ τοῦ θυσιαστηρίου τὸν οἶκον, πάλιν ὡς εἰς ἀρχὴν πρὸς τὸ θυσιαστήριον ἔρχεται. Καὶ ἀποδοὺς τὸ θυμιατήριον καὶ νιψάμενος, εὔχεται ἐνώπιον τῆς ἱερᾶς τραπέζης, λέγων, « Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, » καὶ ὅσα ἡ εὐχὴ περιέχει, ἵνα πληρωθῇ δόξης καὶ ἁγιασμοῦ καὶ χάριτος τῇ ἐπιφοιτήσει τοῦ θείου Πνεύματος ὁ ναὸς, καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον σκήνωμα θεῖον καὶ θρόνος δόξης γένηται, καὶ ὥστε τὰς

CAPUT CXIV.
Quare totam ædem unguento perlinit (episcopus vel sacerdos).

Deinde myri inunctio post thurificantem pontificem fit ab alio pontifice vel sacerdote, quoniam ipse myri primitias obtulit et sacrum altare consecravit ; et per thurificationem totam odore suavi domum implet. Myrrha autem perficit velut ex initiatione sacræ mensæ totam domum, quatenus per carnis susceptionem totam naturam nostram divina Christus perfecit gratia, quam post D ipsum per participationem accipientes universo mundo communicaverunt apostoli. Postquam ita totam thurificavit domum ac sanctificavit, et ille qui sequitur ejus vestigia myrrha totam domum inunxit, ad sacram mensam redit pontifex, ostendens quod sine principio sineque fine Deus est, et cum sit omnium principium, finis etiam omnium est. Cum igitur per altare domum perfecit, rursus tanquam initio ad altare venit : et, reddito thuribulo, lavatus coram sacra mensa deprecatur, dicens : « Domine cœli et terræ, » et alia quæcunque complectitur oratio, ut divini Spiritus præsentia, templum gloria, sanctitudine et gratia repleatur, et quod in ipso est altare, divinum tabernaculum et thronus gloriæ fiat ; ita ut orationes in ipso pro-

latæ, ad altare Dei cœleste sursum ferantur. Et postquam alta voce Deum hymno celebravit, pacem omnibus a Deo gratiæ dicit. Et cunctis caput inclinantibus, aliam orationem, quæ est ultima de consecratione, ait : « Gratias agimus tibi, Domine, » et cætera cum humilitate dicens, « quoniam hanc quam ipse in apostolos infudisti gratiam, et super nos peccatores infudisti. Ideo te deprecamur, reple gratia tuum hoc altare, ut in ipso oblatæ hostiæ transmutentur in sanctissimum corpus et sanguinem Filii tui unigeniti, ad salutem universi mundi, necnon indignitatis nostræ ; » et postquam voce magna deprecatus est, gratias agit. Et lampade propriis manibus per oleum accensa desuper e sacra mensa ponit in istius honorem, quoniam altare Christi facta est, et, sicut diximus, Christi figurat Ecclesiam, lumine gratiæ fulgentem, et hoc lumen adductum mundo præferens.

CAPUT CXV.

Quod post inaugurationem episcopus exuit sindonem et reliquias sanctorum reponit.

Si ne igitur quidem potest consecrationem perficere, sacra exutus stola, abit, et opus crastina die perficit ; alias autem, solam ejiciens sindona, quoniam monumentum Christi perfecit, cum sola pontificali stola, reliqua operatur, reliquias deponit, januarum aperturam facit, et sacrum adimplet sacrificium, quoniam ipsum est divinorum omnium consummatio.

CAPUT CXVI.

Quare reliquiæ martyrum sub altari deponantur.

In sanctum igitur vetus templum reversus ubi reliquias deposuerat, duabusque deprecatus orationibus, Deo gratias exprimentibus, propter donum reliquiarum martyrum, eas super caput gestat. Et cum venerit, deponit eas ex more : non enim fas est absque martyrum reliquiis vel ossibus sacris operari consecrationem, quoniam martyres Ecclesiæ fundamenta sunt super Salvatoris fundamento ædificata. Oportet etiam illas sub altari esse, quoniam istud est Ecclesia ; quoniam et thronus Dei est et Christi Dei monumentum : unde quoque myrrha ungitur, et Evangelium habet, et sub ipso pulchre sunt sanctorum reliquiæ, et sine reliquiis non est possibile consecrationem operari, sicut sancti declaraverunt. Sacræ vero reliquiæ prius deponuntur in templum eo quod sanctificata sunt Christi membra et altaria, tanquam propter ipsum immolata. In sacratissimum imponuntur discum, quia parem cum Domino participant honorem, ob ipsum certamina passæ. Super consecratam ponuntur mensam, siquidem cum Christo mortuæ sunt, et considere cum ipso super thronum gloriæ meruerunt. Ideoque super caput cum disco tollit eas pontifex ; sicut ipsa divina mysteria, corpus et sanguinem Christi, honorans. Etenim si Paulus

A προσφερομένας ἐν αὐτῷ δεήσεις ἀναφέρεσθαι εἰς τὸ τοῦ Θεοῦ ἐπουράνιον θυσιαστήριον. Καὶ ἐκφώνως τὸν Θεὸν ἀνυμνήσας, εἰρήνην ἅπασι λέγει ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος. Καὶ κλινάντων πάντων τὰς κεφαλὰς, εὐχὴν ἑτέραν τὴν καὶ τελευταίαν ἐπὶ τῇ καθιερώσει φησίν· « Εὐχαριστοῦμέν σοι, Κύριε, » καὶ τὰ λοιπὰ λέγων ἐν ταπεινώσει, « ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοῖς ἀποστόλοις, καὶ ἐφ' ἡμῖν τοῖς ἁμαρτωλοῖς ἐξέχεας. Διὸ δεόμεθά σου, πλήρωσον χάριτος τὸ θυσιαστήριόν σου τοῦτο, ὥστε τὰς ἐν αὐτῷ προσφερομένας θυσίας μεταποιεῖσθαι εἰς τὸ πανάγιον σῶμα καὶ αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, πρὸς σωτηρίαν τοῦ κόσμου παντὸς, καὶ τῆς ἡμῶν ἀναξιότητος, » καὶ ἐκφωνήσας εὐχαριστεῖ. Λυχνίαν τε ἀνάψας
B ταῖς χερσὶ δι' ἐλαίου, τῆς ἱερᾶς ἄνωθεν τραπέζης εἰς τιμὴν αὐτῆς τίθησιν, ἐπεὶ θυσιαστήριον Χριστοῦ γέγονε, καὶ ὅτι τὴν Ἐκκλησίαν εἰκονίζει Χριστοῦ, ὡς εἰρήκαμεν, τῷ φωτὶ τῆς χάριτος λάμπουσαν, καὶ τοῦτο τὸ φῶς χορηγοῦσαν τῷ κόσμῳ.

ΚΕΦΑΛ. ΡΙΕ'.

Ὅτι μετὰ τὴν καθιέρωσιν ἐκβάλλει τὴν σινδόνα ὁ ἀρχιερεὺς, καὶ τὰ λείψανα κατατίθησιν.

Εἴπερ οὖν ἀδυνάτως ἔχει τελειῶσαι τὰ τῆς καθιερώσεως, ἀποδυσάμενος τὰ τῆς ἱερᾶς στολῆς, πορεύεται, καὶ τὸ ἔργον τῇ ἐπαύριον τελειοῖ· εἰ δ' οὖν, τὴν σινδόνα μόνην ἐκβαλὼν, ἐπεὶ τὸ μνῆμα Χριστοῦ τετελείωκε, μετὰ μόνης τῆς ἀρχιερατικῆς στολῆς καὶ τὰ λοιπὰ διενεργεῖ, καὶ τὰ λείψανα κατατίθησι, τὴν ἄνοιξίν τε ποιεῖται τῶν πυλῶν, καὶ
C τὰ τῆς ἱερουργίας ἐκτελεῖ, ἐπείπερ αὕτη τῶν θείων πάντων ἐστὶν ἡ τελείωσις.

ΚΕΦΑΛ. ΡΙϚ'.

Διατί λείψανα τῶν μαρτύρων ὑπὸ τὸ θυσιαστήριον κατατίθεται.

Εἰς τὸν ἅγιον τοίνυν παλαιὸν ναὸν ἀπελθὼν, ἔνθα προαπετέθη τὰ λείψανα, καὶ εὐχὰς δύο εἰρηκὼς, εὐχαριστίαν ἐχούσας Θεοῦ, ἕνεκα τῆς δωρεᾶς τῆς ἀπὸ τῶν μαρτυρικῶν λειψάνων, ἐπὶ κεφαλῆς φέρει ταῦτα. Καὶ ἐλθὼν κατατίθησιν ὥσπερ ἔθος. Οὐδὲ γὰρ θέμις δίχα λειψάνων μαρτυρικῶν ἢ ὁσίων ἁγίων καθιέρωσιν ἐνεργεῖν, ὅτι θεμέλιοι τῆς Ἐκκλησίας εἰσὶν οἱ μάρτυρες, ἐπὶ τῷ θεμελίῳ τοῦ Σωτῆρος ἐποικοδομηθέντες· καὶ ἐν τῇ ἐκκλησίᾳ δέον τούτους ὑπὸ τὸ θυσιαστήριον εἶναι, ἐπεὶ καὶ τοῦτο ἡ
D Ἐκκλησία, ἐπεὶ καὶ θρόνος Θεοῦ ἐστι καὶ μνῆμα Χριστοῦ τοῦ Θεοῦ. Ὅθεν καὶ μύρῳ χρίεται, καὶ τὸ Εὐαγγέλιον ἔχει, καὶ ὑπ' αὐτῷ καλῶς τῶν ἁγίων εἰσὶ τὰ λείψανα, καὶ χωρὶς λειψάνων οὐ καθιερῶσαι δυνατὸν, ὡς οἱ ἅγιοι ἀπεφήναντο. Τὰ λείψανα δὲ προαποτίθεται **121** εἰς ναὸν, ὅτι ἡγιασμένα καὶ μέλη Χριστοῦ καὶ θυσιαστήρια ὡς τεθυμένα ὑπὲρ αὐτοῦ. Καὶ εἰς ἱερώτατον ἐμβάλλονται δίσκον, ὅτι τῆς ἴσης μετέχουσι τῷ Δεσπότῃ τιμῆς, ὑπὲρ αὐτοῦ διηγωνισμένοι. Καὶ ἐπὶ καθιερωμένης τραπέζης τίθενται, ἐπεὶ συναπέθανον τῷ Χριστῷ, καὶ τῷ θείῳ τῆς αὐτοῦ δόξης θρόνῳ τυγχάνουσι παριστάμενοι. Διὰ τοῦτο καὶ ἐπὶ κεφαλῆς μετὰ τοῦ δίσκου ὁ ἀρχιερεὺς αἴρει ταῦτα, ὡς αὐτὰ δὴ τὰ θεῖα μυστήρια τὸ τοῦ Δεσπότου σῶμα καὶ αἷμα τιμῶν. Εἰ γὰρ πρὸς

πάντας πιστοὺς τοῦτο Παῦλός φησιν, « Ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους, πολλῷ γε μᾶλλον σῶμα Χριστοῦ καὶ μέλη ἔσονται οἱ ὑπὲρ τῆς δόξης τούτου ἠγωνισμένοι, καὶ τὸν θάνατον αὐτοῦ μιμησάμενοι.

ΚΕΦΑΛ. ΡΙΖ'.

Διατί ἐκ παλαιοῦ ναοῦ εἰς τὸν νέον τὰ λείψανα φέρονται.

Διὸ καὶ μετὰ προπομπῆς καὶ θυμιαμάτων φώτων τε καὶ ὕμνων ἐκ παλαιοτέρου προηγιασμένου ναοῦ εἰς τὸν νέον ἄγονται, δεικνύντος τοῦ ἔργου, ὅτι οἱ μὲν ἅγιοι ἀεὶ εἰσι μετὰ τοῦ Θεοῦ· γίνονται δὲ καὶ μεθ' ἡμῶν, καθὰ ὁ Χριστός. Καὶ ἐγκαινιζομένης τῆς αὐτοῦ χάριτος ἐν ἡμῖν, καὶ οὗτοι σὺν ἡμῖν γίνονται. Καὶ ὥσπερ κατὰ διαδοχὴν ἡ χάρις πρὸς ἡμᾶς, ὡς ἀπὸ τοῦ Σωτῆρος διὰ τῶν ἀποστόλων καὶ τῶν διαδόχων αὐτοῦ ἄχρις ἡμῶν ἔρχεται διὰ τῆς χειροτονίας, οὕτω καὶ διὰ τῶν πρώτων ναῶν εἰς νεωτέρους ναούς· ὡς καὶ τὸ μύρον διὰ τοῦ μύρου διὰ τοῦ κεχρισμένου θυσιαστηρίου τελούμενον· ἐκ τούτου διδασκομένων ἡμῶν, ὡς οὐχ ἡμεῖς ἀφ' ἡμῶν, ἀλλ' ἡ χάρις τοῦ Πνεύματος ἐνεργεῖ, ἥτις ἀπὸ τοῦ Σωτῆρος ἡμῶν ὡς πηγῆς ἀρξαμένης, διὰ τῶν μαθητῶν αὐτοῦ καὶ τῶν κατὰ καιροὺς Πατέρων εἰς ἡμᾶς ἐλήλυθε. Καὶ μᾶλλον τὸ ἀσφαλὲς καὶ βέβαιον ἔχομεν· ὅτι οὐχ ἡμῖν θαῤῥοῦμεν, ἀλλὰ τῇ διὰ τῶν Πατέρων τοῦ Πνεύματος χάριτι, ὡς καὶ ἡ εὐχὴ τοῦτό φησιν, « Εὐχαριστοῦμέν σοι, λέγουσα, ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ τοὺς ὁσίους ἡμῶν Πατέρας, ἠξίωσας καὶ μέχρις ἡμῶν τῶν ταπεινῶν ἐκτεῖναι. » Λέγονται δὲ καὶ εὐχαριστήριοι, ὡς εἰρήκαμεν, εἰς τὸν παλαιὸν ναὸν παρὰ τοῦ ἀρχιερέως εὐχαί, καὶ ὕμνοι καθ' ὁδὸν ᾄδονται, καὶ φῶτα καὶ θυμιάματα εἰς τιμὴν τῶν ἁγίων προσφέρεται. Καὶ ἐγγὺς τοῦ νέου ναοῦ πολλάκις τό, « Δόξα σοι, Χριστὲ ὁ Θεός, » λέγεται, εἰς τιμὴν αὐτοῦ, καὶ τῶν ἀποστόλων καὶ τῶν μαρτύρων αὐτοῦ, καὶ δόξαν τῆς ἁγίας Τριάδος, ἢ κήρυγμα τῶν ἁγίων.

ΚΕΦΑΛ. ΡΙΗ'.

Διατί κλείονται αἱ πύλαι, καὶ τὸ Ἄρατε πύλας ᾄδεται.

Εἰσελθόντος δὲ τοῦ ἀρχιερέως τὸν νάρθηκα τοῦ νέου ναοῦ, αἱ ἔνδον μεγάλαι πύλαι κλείονται, καὶ τό, « Ἄρατε πύλας ἔξωθέν τε καὶ ἔσωθεν, » ψάλλεται, ὅτι τὸν Χριστὸν τυποῦσιν οἱ μάρτυρες, καὶ αὐτὸς ὁ ἀρχιερεύς· ὁ δὲ ναὸς τὸν οὐρανόν. Ἃ τοίνυν ἐν τῷ ἀνέρχεσθαι ὑπεράνω τῶν οὐρανῶν ἄγγελοι ἐμελῴδουν, ὥς φησιν ὁ θεῖος Δαβίδ, ταῦτα καὶ νῦν μελῳδεῖται, τῶν ἱερῶν εἰσαγομένων λειψάνων. Ὁ δὲ ἀρχιερεύς, τάπητος αὖθις εὐτρεπισθέντος, κλίνει τὸ γόνυ τῷ τοῦ οὐρανοῦ Δεσπότῃ, καὶ εὔχεται. Καὶ ἐπιφέρει τὴν εὐχὴν τῆς εἰσόδου, συλλειτουργοὺς προσκαλούμενος καὶ συνεισιόντας ἀγγέλους. Καὶ οὕτω σφραγίζων τὰς τοῦ ναοῦ πύλας καὶ ἀνοίγων, ὡς εἰς τὸν οὐρανὸν εἴσεισιν, ὡς διὰ τοῦ μεγάλου τοῦ Πατρὸς μάρτυρος Ἰησοῦ Χριστοῦ τῆς οὐρανίου σκηνῆς διανοιχθείσης ἡμῖν. Καὶ εἰσοδεύει ὁ ἀρχιερεὺς σὺν τοῖς τῶν ἁγίων λειψάνοις καὶ τῷ θείῳ Εὐαγγελίῳ. Ἀκολούθως ἄρα καὶ ἐν τῇ ἑρμηνείᾳ τῆς

A ad omnes fideles hoc ait : « Vos estis corpus Christi et membra de membro, » multo magis Christi corpus erunt et membra, qui propter ejus gloriam certaverunt, ipsiusque mortem imitati sunt.

CAPUT CXVII.

Cur ex antiquo templo in novum portentur reliquiæ.

Ideo cum pompa, thurificatione, luminibus et hymnis ex antiquiore templo prius consecrato in novum portantur, opere significante, quod sancti quidem semper cum Deo sunt, fiunt autem etiam nobiscum, sicut et Christus; et cum innovatur in nobis ipsius gratia, simul isti nobiscum sunt. Et quemadmodum per traditionem ad nos gratia venit, B tanquam a Salvatore per apostolos et successores ejus ad nos usque per ordinationem transmissa, sic etiam per antiqua ad recentiora templa; sicut et myrrha per myrrham et inunctum altare sanctificatur. Ex hoc edocemur quod non nos tanquam a nobis, sed gratia Spiritus operatur, quæ a Salvatore nostro velut a primo fonte, per ipsius discipulos et juxta tempora per Patres, ad nos venit. Et ita magis firmiter et magis tuto stamus; quoniam non in nobis, sed in ea quæ per Patres venit Spiritus gratia confidimus, sicut et oratio dicit : « Gratias agimus tibi, quod quam super sanctos apostolos tuos et super sanctos Patres nostros infudisti gratiam, usque ad nos humiles extendere dignatus C es. » Dicuntur autem gratiarum preces, ut præfati sumus, in veteri templo per pontificem, et hymni secundum iter canuntur, luminaque ac incensa in honorem sanctorum proferuntur. Et prope novum templum sæpe dicitur : « Gloria tibi, Christe Deus; » in ipsius honorem et apostolorum et martyrum ipsius, et in sanctæ Trinitatis gloriam, et in sanctorum præconium.

CAPUT CXVIII.

Quare claudantur sacræ ædis fores, accinaturque illud (*Psal.* XXIII, 7), Attollite portas.

Cum autem ad novi templi narthecem advenit pontifex, interiores magnæ januæ clauduntur, et istud : « Attollite portas, » ab intus et extrorsum cani-D tur; quoniam Christi typum gerunt martyres et ipse pontifex, templum vero cœlum. Quæ proinde canebant angeli, sicut ait divus David, cum super angelos conscendit, hæc etiam nunc concinuntur, sacris ingredientibus reliquiis. Pontifex autem, tapete rursum disposito, Domino cœli genua flectit et orat. Et applicat orationem introitus, cooperatores et comites advocans angelos. Et ita signans templi januas et aperiens, tanquam in cœlum ingreditur, ut per magnum Patris martyrem Jesum Christum cœli tabernaculo nobis recluso. Intrat pontifex cum sanctorum reliquiis et divino Evangelio. Porro conformiter in expositione liturgiæ dictum est, quod primus introitus resurrectionem et ascensionem Salvatoris figurat; clausuraque

ac apertura divinarum portarum, introitum in cœlum resque factas ab angelis in ascensione Christi; siquidem cœlum supra cœlos et ibidem Sanctum sanctorum, quo sanctissimus Jesus corporaliter introivit, exprimit altare, nec omnino est illo humilius, quoniam et ipsum sacrificatum ipsiusque divinas præsentes potentias habet. Postquam enim ad nos descendit, et in hoc mundo per carnem conversatus est, istas etiam deduxit; sed nec locus est qui dividat eum: ubique enim adest.

A λειτουργία, λέλεκται, ὡς ἡ πρώτη εἴσοδος τὴν ἀνάστασιν ἐκτυποῖ καὶ τὴν ἀνάληψιν τοῦ Σωτῆρος· καὶ ἡ κλεῖσίς τε καὶ ἄνοιξις τῶν θείων θυρῶν τὴν εἰς τὸν οὐρανὸν εἴσοδον, καὶ τὰ πραχθέντα **122** τοῖς ἀγγέλοις ἐπὶ τῇ τοῦ Χριστοῦ ἀναλήψει, ἐπειδὴ τὸ ὑπεράνω τῶν οὐρανῶν καὶ τὸ ἐκεῖσε Ἅγιον τῶν ἁγίων, ἔνθα εἰσῆλθε καὶ σωματικῶς ὁ ὑπεράγιος Ἰησοῦς, τὸ θυσιαστήριον ἐκμιμεῖται· καὶ κατ' οὐδὲν ἐκείνου ὑποδεέστερον· ὅτι καὶ αὐτὸν ἱερουργούμενον ἔχει, καὶ τὰς θείας αὐτοῦ παρούσας δυνάμεις. Συγκαταβὰς γὰρ ἡμῖν καὶ ἐμπεριπατήσας τῷ κόσμῳ τούτῳ διὰ σαρκὸς, καὶ ταύτας κατήγαγε. Καὶ οὐδὲ τόπος ἐστὶν ὁ τοῦτον διείργων· πανταχοῦ γὰρ πάρεστιν.

CAPUT CXIX.

Quare genu inclinet episcopus.

B Deinde pontifex, positis in mensa foris parata sacris reliquiis cum disco, humilitatem et servitutem manifestans, Deo genu flectit. In conspectu novi templi consecrati est ut ad cœlum prostratus, fidem habens quod plenum est Dei gloria et angeli in ipso sunt, et simul indicans quod Deus propter nos ad nos descendit, et in inferiores partes inferni devenit, et animas eripuit, atque suscitatus, in cœlos intrans nos exaltavit. Unde cantores quidem psallunt extrinsecus illud: «Attollite portas;» alii autem intrinsecus hoc: «Quis est iste?» et actiones angelorum in ascensione Salvatoris, ut dictum est, imitantur. Primi enim tunc ab humilioribus didicerunt mysterium, ut Paulus ait, quoniam per Ecclesiam cognita est principatibus ac potestatibus multiformis et etiam primis angelorum incomprehensibilis sapientia Dei, quod Deus erit in carne, ex confesso magnum mysterium.

ΚΕΦΑΛ. ΡΙΘ'.

Διατί γονυκλιτεῖ ὁ ἀρχιερεύς.

Ὁ δὲ ἱεράρχης, τιθεὶς ἐν ἑτοιμασθείσῃ ἔξωθεν τραπέζῃ τὰ ἅγια λείψανα σὺν τῷ δίσκῳ, γονυκλιτεῖ, ταπεινούμενος, τῷ Θεῷ, καὶ τὴν δουλείαν ἐμφαίνων· καὶ ἐνώπιον τοῦ ἡγιασμένου νέου ἐστὶ ναοῦ, εἰς οὐρανὸν προσκυνῶν, πιστεύων, ὡς πλήρης δόξης Θεοῦ ἐστι, καὶ ἄγγελοί εἰσιν ἐν αὐτῷ, καὶ ἅμα ἐμφαίνων, ὅτι καὶ Θεὸς κατῆλθε δι' ἡμᾶς πρὸς ἡμᾶς, καὶ εἰς τὰ κατώτερα κατέβη μέρη τοῦ ᾅδου, καὶ τὰς ψυχὰς ἐξείλετο, καὶ ἀναστὰς, εἰς τοὺς οὐρανοὺς ἡμᾶς εἰσελθὼν ἀνύψωσεν. Ὅθεν καὶ τῶν μελῳδῶν μὲν ψαλλόντων τὸ, «Ἄρατε πύλας,» ἔξωθεν, ἑτέρων δὲ ἐντὸς τὸ, «Τίς ἐστιν οὗτος,» καὶ τὰ τῶν ἀγγέλων ἐπὶ τῇ ἀναλήψει ἐκμιμουμένων τοῦ Σωτῆρος, ὡς εἴρηται· καὶ γὰρ οἱ πρῶτοι τότε παρὰ τῶν ὑποδεεστέρων ἐμάνθανον τὸ μυστήριον, ὡς καὶ C Παῦλός φησιν, ὅτι διὰ τῆς Ἐκκλησίας ἐγνώσθη καὶ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, ἡ καὶ τοῖς πρώτοις τῶν ἀγγέλων ἀκατανόητος, ὅτι Θεὸς ἔσται ἐν σαρκὶ, τὸ ὁμολογουμένως μέγα μυστήριον.

CAPUT CXX.

Quæ sit ratio et sententia precationis encæniorum ante templi fores.

Pontifex autem genu flectit, et propter novum templum deprecatur, ut, cum gratia dedicatum est, maneat ut perpetua Dei officina, animarum portus et sanatio, instrumentumque sit orationum ac divinorum mysteriorum, et in sæcula maneat inconcussum.

ΚΕΦΑΛ. ΡΚ'.

Τί δύναται ἡ πρὸ τῶν πυλῶν ἐγκαινίων εὐχή.

Ὁ ἀρχιερεὺς δὲ κλίνει τὸ γόνυ, καὶ ὑπὲρ τοῦ ναοῦ προσεύχεται, ὡς ἐπεὶ ἐνεκαινίσθη τῇ χάριτι, μένειν αὐτὸ εἰ, τὸ διηνεκὲς ἐργαστήριον θεῖον, καὶ ψυχῶν λιμένα καὶ ἰατήριον καὶ ὄργανον εἶναι τῶν προσευχῶν καὶ τῶν τοῦ Θεοῦ μυστηρίων, καὶ εἰς αἰῶνας μένειν ἀσάλευτον.

CAPUT CXXI.

Quod sit necessarium in quovis divino templo encænia quotannis celebrari.

D Quem porro typum dedicationis quotannis perfici necesse est in omni templo, necnon dedicationem celebrari in gratiarum actionem erga Deum, et gratiæ renovationem in divino templo, majoremque nostram sanctificationis partipationem ac custodiam, sicut mos erat antiquis, juxta testimonium quod de veteris templi dedicatione Evangelium reddit; et passim scriptum est, et Theologus de hoc etiam loquitur. Omnes festivitates hoc etiam indicant. De cunctis mysteriis recordationem faciendam esse traditum est: ipse Christus Deus noster de mysteriis communionis suæ, hoc

ΚΕΦΑΛ. ΡΚΑ'.

Ὅτι ἀναγκαῖον ἐν παντὶ θείῳ ναῷ τελεῖσθαι τὰ ἐγκαίνια.

Ὅνπερ δὴ καὶ τύπον τῶν ἐγκαινίων ἀναγκαῖον τελεῖσθαι κατ' ἔτος ἐν παντὶ ναῷ, καὶ τὰ ἐγκαίνια ἐνεργεῖσθαι εἰς εὐχαριστίαν Θεοῦ καὶ τῆς χάριτος ἀνακαινισμὸν ἐπὶ τῷ θείῳ ναῷ, καὶ εἰς ἡμῶν τοῦ ἁγιασμοῦ μετάδοσιν μείζονά τε καὶ συντήρησιν, ὡς καὶ τοῖς παλαιοῖς εἴθιστο, καθὼς τὸ Εὐαγγέλιον μαρτυρεῖ περὶ τῶν τοῦ παλαιοῦ ναοῦ ἐγκαινίων, καὶ πολλαχοῦ γέγραπται, καὶ ἡ Θεολόγος περὶ τούτου λέγει φωνή. Καὶ αἱ ἑορταὶ πᾶσαι τοῦτο σημαίνουσι· καὶ ἐπὶ πᾶσι τοῖς μυστηρίοις ἡ ἀνάμνησις παραδέδοται γίνεσθαι. Καὶ αὐτὸς Χριστὸς ὁ Θεὸς ἡμῶν περὶ τῶν μυστηρίων τῆς κοινωνίας αὐτοῦ

τοῦτο εἴρηκε· « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Διὸ καὶ ἀεὶ τὴν ἀνάμνησιν ἐνεργοῦμεν, ὡς ὁ Σωτὴρ εἴρηκε, καὶ κατὰ τὴν μεγάλην μάλιστα Πέμπτην, ὅτε ταῦτα παρέδωκεν, εἰ καὶ τὸ ἔργον τῆς ἱερουργίας ὑπὲρ πᾶν ἔργον. Καὶ τὰ τοῦ νιπτῆρος τότε τελοῦμεν· καὶ τὰ τοῦ βαπτίσματος δὲ, ἐν τῷ καιρῷ τῶν Θεοφανίων, εἰς ἐγκαίνια τοῦ θείου βαπτίσματος καὶ ἡμῶν τῆς χάριτος ἀνακαινισμόν. Καὶ τὰ λοιπὰ πάντα, ὡς τὰ τῆς γεννήσεως κατὰ σάρκα, καὶ τῆς σταυρώσεως ἀνυμνοῦμέν τε καὶ τυποῦμεν, καὶ τῆς ταφῆς, τῆς ἀναστάσεώς τε καὶ ἀναλήψεως, καὶ τῆς χειροτονίας αὐτῆς ἥτις ἡ ἐπιδημία ἐστὶ τοῦ Πνεύματος κατὰ τὴν Πεντηκοστήν.

123 ΚΕΦΑΛ. ΡΚΒ'.

Ὅτι χρὴ ἕκαστον τῶν ἱερωμένων τὸν καιρὸν ἑορτάζειν τῆς χειροτονίας αὐτοῦ· ἢ κἂν ἱερουργεῖν ἐν αὐτῇ τῇ ἡμέρᾳ.

Ἣν καὶ ἕκαστον τῶν ἱερωμένων ἑορτάζειν χρὴ, καθ' ὃν κεχειροτόνηται χρόνον, καὶ τῷ Πνεύματι καθηγίασται, καὶ τὴν ἡμέραν σεβάζεσθαι καὶ τιμᾷν, ὡς μεγάλα καὶ ὑπὲρ ἔννοιαν δωρησαμένην αὐτῷ τὰ δωρήματα· ἢ κἂν προσέχειν τὴν ἡμέραν, καὶ ἱερουργεῖν ἐν αὐτῇ τῷ Κυρίῳ εὐχαριστοῦντα, τὴν χάριν τοῦ Θεοῦ μένειν ἐν αὐτῷ ἐξαιτούμενον. Καὶ ἑκάστου δὲ ναοῦ χρὴ κατὰ τὴν ἡμέραν τελεῖσθαι τῆς καθιερώσεως τὰ ἐγκαίνια. Ὃ δὴ καὶ ὁ νόμος ἐνήργει πρότερον ἔν τε τῇ ἱδρύσει τῆς σκηνῆς, καὶ τῇ ἀνεγέρσει τοῦ ναοῦ. Καὶ ἡ Ἐκκλησία δὲ τοῦ Χριστοῦ πολλῷ λαμπρότερον ἐξετέλει, ἐπειδὴ καὶ εἰκόνα τὸν ἱερὸν ἔχει ναὸν τοῦ παναγίου καὶ ζῶντος ἐκείνου ναοῦ, τοῦ Κυριακοῦ λέγω σώματος, ὃ δὴ ᾠκοδόμησεν ἑαυτῇ ἀληθινὴ καὶ ζῶσα Σοφία, ὁ Θεὸς Λόγος ἐνανθρωπήσας, οὗ καὶ τὸ μνῆμα φέρει διὰ τοῦ θυσιαστηρίου, καὶ τὰ λοιπὰ ἐκτυποῖ. Καὶ τοσοῦτον διαφέρει τοῦ νομικοῦ τὴν σάρκωσιν Χριστοῦ σκιωδῶς προτυποῦντος ὁ καθ' ἡμᾶς ἱερὸς ναὸς, ὅσον σκιᾶς ἡ ἀλήθεια, καὶ ὅσον Μωϋσῆς δοῦλος ὢν, ὡς Παῦλός φησι, Χριστοῦ τοῦ κατασκευάσαντος τὰ πάντα Δεσπότου. Καὶ ἔπεισί μοι θαυμάζειν, πῶς τοῦτο τὸ ἔργον πέπαυται. Πλὴν ἐξετάζων ἔγνων, ὡς ἐπειδήπερ ἡ Κωνσταντίνου δεδούλωταί ποτε Λατίνοις, τῶν τῆς Ἐκκλησίας φυγαδευθέντων καὶ ἀποικισθέντων ἀλλαχοῦ, ταῦτα ἤργησε· καὶ ἐπειδὴ μετὰ πολὺν ἐπανῆλθον χρόνον, καθ' ὃν ταῦτα ἠμέληται, ὡς ἔθος γεγονὸς μὴ ἐνεργεῖσθαι, πέπαυται· καὶ ἐξ ἐκείνης τῆς Ἐκκλησίας ὡς ἐκ μητρὸς κἂν ταῖς ἄλλαις παρηκολούθησεν. Ὅτι δὲ ἀναγκαῖον καὶ παραδεδομένον ἦν ἐξαρχῆς, καὶ ἡ Ἐκκλησία τοῦτο μαρτυρεῖ πάλιν τοῦ ἱεροῦ καὶ ζωοδόχου τάφου Χριστοῦ, τὰ ἐγκαίνια τοῦ ναοῦ ἑορτάζουσα. Καὶ μή τις τοῦτο πρόφασιν εὑρηκὼς εἴπῃ, ὡς ἀρκοῦνται οἱ καθόλου ταύτῃ τῇ ἑορτῇ, ἐπεὶ ἑνὸς ταῦτα ἐγκαίνια ναοῦ· πάντες δὲ ὁμοίως θεῖοι ναοὶ, καὶ Χριστοῦ τάφοι τε καὶ κατοικητήρια. Διὸ καὶ ἐπὶ πᾶσι τοῖς ναοῖς ἐτελεῖτο, καὶ τοῖς συναξαρίοις τοῦτο ἀναγινώσκομεν.

dixit: « Hoc facite in meam commemorationem. » Ideoque semper commemorationem facimus, ut Salvator dixit; et præsertim in magna die quinta, cum hæc tradidit, etsi opus liturgiæ sit super omne opus. Ea quæ lavationis sunt, etiam tunc operamur. Quæ sunt autem baptismatis, in tempore Epiphaniæ fiunt, in divini baptismatis dedicationem et in nostræ gratiæ renovationem. Cæteraque cuncta recordamur, sicut nativitatem secundum carnem, crucifixionem, sepulturam, resurrectionem, ascensionem et manuum impositionem, quæ sancti Spiritus est adventus in die Pentecostes.

CAPUT CXXII.

Quod decet quemlibet sacerdotem quotannis tempus ordinationis suæ festum agere, atque illo die sacra facere.

Caput etiam unumquemque consecratorum oportet celebrare juxta tempus quo manuum impositionem suscepit et Spiritu sanctificatus est; et diem hanc venerari et honorare, et in ipsa sacrum Domino in gratiarum actionem facere; siquidem illa dies ipsi magna citraque cogitationem charismata præstitit; debet etiam orare ut in seipso Dei gratia maneat. Cujusque vero templi secundum diem consecrationis oportet dedicationem celebrari. Quod porro lex prius operabatur in constructione tabernaculi et in ædificatione templi; Ecclesia vero Christi multo splendidius exsequitur, siquidem sacrum templum habet imaginem illius sanctissimi viventisque templi, Dominici dico corporis, quod ædificavit sibi vera vivensque Sapientia, Deus Verbum homo factus, cujus et monumentum gerit, per altare cæteraque typo exprimit. Et tantum differt a legis templo incarnationem Christi umbratiliter præfigurante, quod apud nos est templum, quantum ab umbra veritas, quantumque Moyses qui servus erat, ut ait Paulus, a Christo qui cuncta sicut Dominus disposuit. Et mihi subest mirari, quomodo istud opus desierit. Attamen inquirendo cognovi quod, postquam urbs Constantini Latinis olim asservit, Ecclesiæ fidelibus in exsilium pulsis et undique dispersis, hæc cessaverunt; et postquam longo tempore redierunt, quo durante hæc fuerant neglecta, eo quod mos non perficiendi invaserat, desierunt, et ex ista Ecclesia, ut ex matre, hoc etiam in alias transivit. Quod autem necessarium et traditum ab initio fuerit istud, hoc testatur vice sua sacri vivificique sepulcri Christi Ecclesia, templi dedicationem celebrans. Et ne quis hoc nactus occasionem dicat quod cunctis sufficit prorsus hæc festivitas; quoniam hæc est unius templi dedicatio; cuncta vero pariter divina, templa et Christi monumenta et habitacula sunt. Ideo de cunctis templis celebratur, et in synaxariis hoc legimus.

CAPUT CXXIII.

Quod encænia in Ecclesia Thessalonicensi etiamnum quotannis celebrantur.

Sancta vero Thessalonicensium Ecclesia, ex antiqua traditione usque ad hodiernum diem, hoc semper operatur in catholicis ecclesiis. Celebratur quidem vespere, et in aurora quoad sequentia.

CAPUT CXXIV.

De ordine encæniorum.

Mane vero congregatis clericis ipse pontifex vel sacerdos encænia perficit. Incepta litania cum ceris et luminibus, in primum templum abeunt, ubi in consecratione templi, cujus habentur encænia, sacræ reliquiæ prius erant depositæ. Ibique sacerdote liturgiam faciente, glorificant hi qui litaniam exsequuntur, cantus proprios a novo templo usque ad antiquum psallentes. Deinde in antiquo templo liturgiæ antiphonæ dicuntur, usque ad primum introitum, dictum parvum; exhinc significato, quod juxta traditionem novum templum exinde perfectum est. Tunc qui liturgiam ibi celebrat sacerdos ad altare hic positum ingreditur, et ea quæ sunt liturgiæ perficit; qui vero litaniam exsequuntur, post introitus orationem, egrediuntur templo litaniamque rursus agunt ad novum templum abeuntes, lumina ferentes, et proprios cantus ut in consecratione concinentes. Cumque prope templum facti sunt, magna voce ter cantant: « Gloria tibi, Christe Deus; » et intrantes in narthecem, clausis speciosis partis, extrinsecus quidem hoc: « Attollite portas, » cum melodia cantores intonant; intrinsecus autem istud: « Quis est iste? » cæteri cantores concinunt, angelos in ascensione Christi imitantes. Et hoc ter dicitur. Ultimo vero cum illi qui foris sunt canunt: « Dominus virtutum; » quasi eos qui sunt intus edocentes de Jesu Christo, rege gloriæ: « hic est Dominus virtutum, » pontifex vel sacerdos genua flectens super paratum tapetem et pulvinum, orationem encæniorum dicit et surgens adjicit consequenter introitus orationem; signansque portas, aperit, et ingreditur cum his qui cum ipso sunt, et interea canitur in ingressu et processu ad altare: « Quam superni firmamenti decorem; » in eo quod cœlum alterum esse concinunt ecclesiam, quæ quoque tota luminosa est per faces ac lampades, si quidem facile est, si non per ea quæ sunt in potestate, necnon incenso repletur. Et ita sacri mysterii reliqua complentur; et pro Cherubico istud « Sileat. » canitur, tanquam in consecratione; pro alio autem communi, « Domine, dilexi decorem domus tuæ. » Apostolus autem et Evangelium in encænia leguntur. Quæ certe reperies in antiquis Evangeliis circa vigesimam secundam aut vigesimam tertiam Decembris.

A

ΚΕΦΑΛ. ΡΚΓ'.

Ὅτι τὰ ἐγκαίνια ἐν τῇ Θεσσαλονικέων ἔτι γίνονται Ἐκκλησίᾳ.

Καὶ ἡ τῶν Θεσσαλονικέων δὲ ἱερὰ Ἐκκλησία ἐκ παραδόσεως ἀρχαίας μέχρι τῆς σήμερον τοῦτο ἀεὶ ἐνεργεῖ ἐν ταῖς καθολικαῖς ἐκκλησίαις. Καὶ τελεῖται μὲν ἑσπέρας καὶ ἐν τῷ ὄρθρῳ τὰ τῆς ἀκολουθίας.

ΚΕΦΑΛ. ΡΚΔ'.

Περὶ τῆς τάξεως τῶν ἐγκαινίων.

Πρωῒ δὲ συναγομένων τῶν κληρικῶν, ἢ ὁ ἀρχιερεὺς αὐτὸς, εἴτε ὁ ἱερεὺς, τὰ ἐγκαίνια ἐκτελεῖ. Καὶ ἀρξαμένης λιτανείας μετὰ κηρῶν καὶ φώτων, εἰς τὸν πρῶτον ναὸν ἀπέρχονται, ἔνθα προαπετέθη τότε ἐν τῇ καθιερώσει τοῦ τὰ ἐγκαίνια ἔχοντος ναοῦ τὰ, B ἅγια λείψανα. Κἀκεῖ λειτουργοῦντος τοῦ ἱερέως, δοξολογοῦσιν οἱ λιτανεύοντες, τὰ ἰδιόμελα ἀπὸ τοῦ νέου ἄχρι τοῦ παλαιοῦ ναοῦ ψάλλοντες. Ἔπειτα τὰ τῆς λειτουργίας ἀντίφωνα λέγονται ἐν τῷ παλαιῷ ναῷ ἄχρι τῆς πρώτης εἰσόδου, τῆς λεγομένης μικρᾶς· ἐκ τούτου δεικνυμένου, ὅτι κατὰ διαδοχὴν ἐντεῦθεν ὁ νέος ναὸς τετελείωται. Τότε δὲ ὁ μὲν ἐκεῖσε λειτουργῶν ἱερεὺς εἰσοδεύει εἰς τὸ ἐκεῖσε θυσιαστήριον, καὶ τὰ τῆς λειτουργίας ἐκτελεῖ· οἱ λιτανεύοντες δὲ μετὰ τὴν τῆς εἰσόδου εὐχὴν ἐξέρχονται τοῦ ναοῦ, καὶ λιτανεύουσιν αὖθις εἰς τὸν νέον ναὸν ἀπερχόμενοι, λαμπαδηφοροῦντές τε καὶ τὰ λοιπὰ τῶν ἰδιομέλων ὡς καὶ ἐν τῇ καθιερώσει μέλποντες. Καὶ ἐγγὺς γενόμενοι **124** τοῦ ναοῦ, μεγαλοφώνως τρὶς C ᾄδουσι τὸ, « Δόξα σοι, Χριστὲ ὁ Θεός· » καὶ εἰσελθόντες τὸν νάρθηκα, κλειομένων τῶν ὡραίων πυλῶν, ἔξωθεν μὲν τὸ, « Ἄρατε πύλας, » μετὰ μέλους οἱ ψάλται ᾄδουσιν, ἔνδοθεν δὲ τὸ, « Τίς ἐστιν οὗτος, » οἱ λοιποὶ ψάλται, τοὺς ἀγγέλους μιμούμενοι ἐπὶ τῇ ἀναλήψει Χριστοῦ. Καὶ τοῦτο λέγεται τρίς. Ὕστερον δὲ τῶν ἔξωθεν ψαλλόντων, « Κύριος τῶν δυνάμεων, » οἱονεὶ τοὺς ἐντὸς διδασκόντων περὶ Ἰησοῦ Χριστοῦ τοῦ βασιλέως τῆς δόξης, « Οὗτός ἐστιν ὁ Κύριος αὐτῶν τῶν δυνάμεων, » ὁ ἀρχιερεὺς, ἢ ὁ ἱερεὺς, γόνυ κλίνων ἐπὶ εὐτρεπισμένῳ τάπητι καὶ προσκεφαλαίῳ τὴν εὐχὴν λέγει τῶν ἐγκαινίων· καὶ ἐγερθεὶς, ἐπιφέρει τὴν τῆς εἰσόδου ἀκολούθως εὐχήν· καὶ σφραγίζων τὰς πύλας, ἀνοίγνυσί τε καὶ εἴσεισι σὺν τοῖς σὺν αὐτῷ, ψαλλόντων ἅμα ἐν τῷ εἰσέρχε- D σθαι καὶ εἰσοδεύειν εἰς τὸ θυσιαστήριον, « Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, » ὡς οὐρανὸν ἕτερον ἀνυμνοῦντες τὴν Ἐκκλησίαν, ἣ καὶ ἔστιν ὁλόφωτος διὰ λαμπάδων τε καὶ φωταγωγῶν, εἴπερ ἐστὶν εὐπορία· εἰ δ' οὖν, τῶν κατὰ δύναμιν, καὶ θυμιάματος ἐκπληροῦσαι· καὶ οὕτω τὰ λοιπὰ τῆς θείας ἐκτελεῖται μυσταγωγίας. Καὶ ἀντὶ Χερουβικοῦ μὲν τὸ, « Σιγησάτω, » ᾄδεται, ὡς καὶ ἐν τῇ καθιερώσει· ἀντὶ δὲ ἄλλου κοινωνικοῦ τὸ, « Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου. » Καὶ Ἀπόστολος δὲ καὶ Εὐαγγέλιον τὰ τῶν ἐγκαινίων ἀναγινώσκεται. Ἃ δὴ καὶ εὑρήσεις ἐν παλαιοῖς Εὐαγγελίοις κατὰ τὴν εἰκοστὴν δευτέραν τοῦ Δεκεμβρίου ἢ τὴν εἰκοστὴν τρίτην.

Ὅτι καὶ ἐν τῇ Κωνσταντινουπόλει ἐτελεῖτο ἐξαρχῆς τὰ ἐγκαίνια.

Ὅτι τὰ ἐγκαίνια ἐτελεῖτο πάλαι τῆς ἐν Κωνσταντινουπόλει μεγάλης τότε Ἐκκλησίας· ἔδει οὖν τοῦτο καὶ νῦν γίνεσθαι, καὶ ὑπὲρ πᾶσαν ἑτέραν ἑορτὴν ἐκτελεῖσθαι, ὅτι καὶ ὡς ἀπὸ πηγῆς, τούτου δὴ τοῦ θείου ναοῦ, ὡς ποταμοὶ ἐν πάσῃ γῇ σχεδὸν οἱ Χριστοῦ ἱεράρχαι ἐκρέουσι, καὶ τὰς λοιπὰς ἐκκλησίας ὡς καὶ τὰς ψυχὰς τῶν πιστῶν κατάρδουσί τε καὶ ἀναψύχουσι· καὶ δέον ἀνακαινίζειν κἀκείνην τὴν πρώτην καὶ ταύτας τῇ χάριτι. Ἐπιδημία γὰρ καὶ αὖθις γίνεται Πνεύματος· καὶ ἡ χάρις ἐγκαινίζεται πλέον ἐν ἡμῖν διὰ τῶν ἱερῶν δεήσεων καὶ εὐχῶν· καὶ εἰς τὸ μένειν ἐν ἡμῖν τὴν χάριν λαμβάνομεν δύναμιν. Καὶ περὶ τούτου μὲν ἀρκείτω τὰ εἰρημένα. Ὁ ἱεράρχης δὲ μετὰ τὸ κλῖναι τὸ γόνυ καὶ εὔξασθαι ἐν τῇ καθιερώσει πρὸ τῶν πυλῶν, ἐξαναστὰς τῆς εὐχῆς, τὴν ἔγερσιν δηλῶν τοῦ Σωτῆρος, ὡς προδεδήλωται ἐν τῇ ἀναμνήσει τῶν ἐγκαινίων, ἐπιφέρει τὴν τῆς εἰσόδου εὐχήν. Καὶ λαβὼν πάλιν τὰ ἱερὰ τῶν μαρτύρων ἐπὶ τῆς κεφαλῆς λείψανα, σφραγίζει τὰς πύλας. Καὶ ἀνοίξας, ποιεῖται τὴν εἴσοδον, φώτων καὶ θυμιαμάτων πεπληρωμένου τοῦ ναοῦ, τὸν ἐν τῷ οὐρανῷ φωτισμὸν καὶ τὴν εὐωδίαν τῆς χάριτος τοῖς ἐκεῖσε πᾶσι διαδομένην δηλούντων· καὶ ὅτι πλήρης ταύτης ὁ οἶκος Κυρίου, ὡς καὶ ὁ Ἰεζεκιὴλ ἔβλεψέ τε καὶ ἔλεξε. « Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου. » Τοῦτο δὲ τὸ θυμίαμα καὶ ἀντὶ τῆς νεφέλης ἐστὶν ἣν ἐπλήρωσεν ἁγιαζομένην τὴν τοῦ μαρτυρίου σκηνήν, καὶ τὸν τοῦ Σολομῶντος ναόν, τῆς κιβωτοῦ εἰσελθούσης, δηλούσης τῆς νεφέλης τὸ Πνεῦμα τὸ ἅγιον. Εἰσοδεύει δὲ ὁ ἀρχιερεὺς μετὰ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερωμένων, καὶ τοῦ ἱερέως τοῦ τὴν προσκομιδὴν ἐκτελέσαντος ἐν τῷ θείῳ νέῳ ναῷ τὰ τῶν τριῶν ἀντιφώνων τετελεκότος, καὶ ἐκ τοῦ βήματος ἐξελθόντος μετὰ διακόνου ἢ καὶ μόνου κρατοῦντος τὸ Εὐαγγέλιον, καὶ τὴν εὐχὴν τῆς εἰσόδου ποιησαμένου, καὶ τὴν εἰσέλευσιν τοῦ ἀρχιερέως προσμένοντος. Αὐτὸς μὲν γὰρ ὁ ἀρχιερεὺς τὰς εὐχὰς ποιεῖται τῶν ἀντιφώνων ἐν τῷ ναῷ ἔνθα τὰ λείψανα ἀπέκειτο· ἔπειτα ἐκεῖθεν ἀρξάμενος τῆς ἱερᾶς λειτουργίας, τὸ μεταδοτικὸν τοῦ ἁγιασμοῦ ἐκ τῶν προτέρων εἰς τὰ μετέπειτα δεικνὺς διὰ τούτου ἐν τῷ καινῷ ναῷ μετὰ τὴν τῶν ἐγκαινίων εὐχήν, ἀναστάς, τὴν τῆς συνόδου ἐπισυνάπτει. Διὸ καὶ τότε εἰσοδεύων μετὰ πάντων ἀρχιερέων **125** δηλαδή, ἱερέων τε καὶ τοῦ κλήρου, καὶ τοῦ φιλοχρίστου ἑπομένου λαοῦ, μετὰ τοῦ ἱερέως τούτου τοῦ τὴν προσκομιδὴν ἐνεργήσαντος, κατὰ τὴν τάξιν ἑπομένου, εἴσεισι ἕνωσιν ποιούμενος ἐκ τοῦ παλαιοῦ ἐν τῷ νέῳ ναῷ, τοῦ θείου ἔργου τῆς ἱερᾶς λειτουργίας. Ἐπεὶ καὶ τοῦτο ἕν, κἂν ἐν διαφόροις γίνηται τόποις. Εἰσελθὼν οὖν τὸ βῆμα, τὰ μὲν λείψανα τίθησι τῆς ἱερᾶς ἄνω τραπέζης, ὡς ἄξια τοῦ θείου θρόνου, καὶ τῆς ἴσης παρὰ τοῦ Δεσπότου θείας τυχόντα τιμῆς, διὰ τὸ παθεῖν ὑπὲρ αὐτοῦ. Λαβὼν δὲ θυμίαμα, κύκλῳ ταύτην κατὰ τὸ ἔθος θυμιᾷ.

Quod CPoli mos a primis temporibus invaluit encænia quotannis celebrandi.

Quoniam encænia celebrabantur olim Ecclesiæ tunc magnæ Constantinopolitanæ, decebat utique istud et nunc fieri et super omnem aliam festivitatem celebrari, eo quod tanquam a fonte, templo scilicet hoc divino, veluti flumina in omnem fere terram, Christi pontifices effluunt, cæterasque Ecclesias sicut et animos fidelium irrigant ac reficiunt. Et oportet hunc primum sicut et istas gratia renovari: adventus enim denuo fit Spiritus; et gratia magis renovatur in nobis per sacras preces et orationes, servandique gratiam in nobis sumimus potestatem. Et super hoc quidem dicta sufficiant. Pontifex autem, postquam genua flexit et oravit in consecratione coram januis, surgens ab oratione, ad resurrectionem Salvatoris significandam, ut ostensum est in encæniorum recordatione, orationem introitus adjicit. Et denuo sumens in capite sacras martyrum reliquias, signat portas, et postquam aperuit, facit introitum luminibus ac incensis repleto templo, quæ cœli splendorem suavitatemque gratiæ cunctis illic habitantibus traditam ostendunt; indicantque repletam ista domum Domini, sicut Ezechiel vidit et dixit: « Vidi, et ecce plena gloria domus Domini. » Istud autem incensum est etiam pro nube quæ replevit sanctificatum testimonii tabernaculum, atque Salomonis templum ingressa arca, sanctum Spiritum nube significante. Ingreditur autem pontifex cum astantibus sibi sacris ministris atque sacerdote qui perficit oblationem in novo divino templo, ea quæ trium antiphonarum sunt, complevit, e sanctuario egressus est cum diacono vel solus portans evangelium, orationemque introitus fecit et ingressum pontificis exspectat. Ipse namque pontifex preces antiphonarum fecit in templo ubi repositæ fuerant reliquiæ; deinde exhinc initio sacræ liturgiæ sumpto, ad traditionem sanctificationis ex prioribus in posteriora per illud in novo templo significandam, post encæniorum orationem, surgens, orationem congressionis subnectit. Ideoque tunc ingrediens cum omnibus, pontificibus scilicet, sacerdotibus et clero, populoque christiano comitante; cum isto sacerdote qui fecit oblationem secundum ordinem consequente, intrat, divini operis sacræ liturgiæ ex antiquo in novo templo unionem faciens: nam istud, licet in diversis fiat locis, unum est. Ingressus itaque sanctuarium, sacras quidem reliquias supra sacram mensam ponit, utpote dignas hoc divino throno, necnon a Domino parem sortitas divinum honorem, eo quod propter illum passæ sunt; sumens autem incensum, illam juxta morem circulo thurificat.

CAPUT CXXVI.

Quare unguento reliquiæ perfunduntur, ponanturque sub altari.

Deinde, sacras reliquias in theca argentea vel ærea vel lapidea prius parata inserens, divinam ipsis myrrham infundit: conjuncti namque sunt Christo vero unguento, suavitateque gratiæ repleti martyres; insimul autem hoc in sepulturam Christi et istorum ostendit, siquidem etiam sub Christi sepulcrum, sacram scilicet mensam, tanquam sepulti deponuntur, et quoniam passurus atque sepeliendus Salvator mulieris unguento inunctus est. Tunc involvit hoc veluti marsupium, et undique munit pontifex, ne quid sacrarum illarum reliquiarum auferatur, subque mensam has reliquias loco fundamentorum deponit, quoniam etiam sunt, et sine illis non potest fieri sacrum. Deponuntur autem subter mensam ciborii intus, in medio duarum columnarum ad orientem consistentium, quoniam et isti sunt fidei columnæ, Ecclesiamque confessione sicut et sanguine confirmant, et Orientem sine vespere Christum, imitati sunt ac zelaverunt. Deinde, postquam orationem sacram fecit et gratias super depositione martyrum egit, hocque dixit donum ipsis cœlitus concessum, quod in universa terra dispergerentur eorum reliquiæ, in ædificationem scilicet Ecclesiæ, et in curationem ac sanctificationem fidelium, exorat ut Dominus consueta prodigia, utens illis, in hoc templo perficiat, in spiritalem corporalemque piorum sanationem. Et alias iterum adjungit duas orationes ut cum ipsis partem habeamus in Christo, necnon per ipsos custoditi, sanati ac sanctificati, hic et in futurum salvi simus. Hic enim est cujuslibet operis divini finis, nostra salus. Cum igitur hæc propter istum perficit pontifex, dat occasionem, et Tersanctus canitur. Et continuo quæ sunt divinæ sacræque orationis perficiuntur, et quotidie usque ad septem dies, propter sacra Spiritus charismata, in gloriam ejus qui templum inhabitavit et in perpetuum. Talis etiam est ritus encæniorum sanctissimi templi ejusque consecrationis; in quo, juxta veterem quamdam traditionem, etiam antiminsia perficiuntur; quæ sacræ mensæ nacta potentiam, de loco ad locum ducuntur ad veteris imitationem tabernaculi, majoremque potentiam quam istud multo sortita sunt: in istis enim cœlestis panis vivus opere sacro conficitur. Conceduntur autem ea indulgentia pontificis juxta necessitatem, ubi non est templum, virisque fidelibus peregrinantibus, vel regibus ipsis, ut in eis magnum sacrificium mysteriumque conficiatur.

CAPUT CXXVII.

De sacro ritu divinorum antiminsiorum, sive mapparum sacræ mensæ, et quare plerumque ex lino conficiantur.

De his igitur ritus, per omnia dictis similis est; et super his iidem sunt sermones, præter-

A

ΚΕΦΑΛ. ΡΚϚʹ.

Δια τί μύρον ἐπιχέεται τοῖς λειψάνοις, καὶ ὑπὸ τὸ θυσιαστήριον κατατίθενται.

Εἶτα τὰ λείψανα ἐν γλωσσοκόμῳ ἀργυρῷ ἢ χαλκῷ ἢ λιθίνῳ προευτρεπισμένῳ ἐνθέμενος, καὶ μύρον αὐτοῖς θεῖον ἐκχέας, ἡνωμένοι γάρ εἰσι Χριστῷ τῷ ἀληθινῷ μύρῳ, καὶ τῆς εὐωδίας τῆς χάριτος οἱ μάρτυρες ἔμπλεοι, ἅμα δὲ καὶ τὸν ἐνταφιασμὸν Χριστοῦ καὶ τούτων δηλῶν, ἐπεὶ καὶ ὑπὸ τὸν τάφον Χριστοῦ, τὴν ἱερὰν τράπεζαν, ὡς θαπτόμενοι κατατίθενται, καὶ ὅτι μέλλων πάσχειν καὶ θάπτεσθαι τῷ γυναικὸς μύρῳ ἐχρίσατο ὁ Σωτὴρ, σκεπάζει τὸ ὡς γλωσσόκομον ἐκεῖνο, καὶ πάντοθεν ἀσφαλίζεται ὁ ἀρχιερεὺς, ἵνα μή τι τῶν ἁγίων ἐκείνων λειψάνων ἀφαιρεθῇ. Καὶ ὑπὸ τὴν τράπεζαν B ὡς θεμελίους ταῦτα τὰ λείψανα κατατίθησιν, ὅτι καὶ εἰσι· καὶ χωρὶς ἐκείνων οὐκ ἔστιν ἱερουργεῖν. Τίθενται δὲ ὑποκάτωθεν τῆς τραπέζης τοῦ κιβωρίου ἐντὸς, μέσον τῶν δύο κιόνων τῶν πρὸς ἀνατολὰς ἱσταμένων, ἐπεὶ καὶ στῦλοι οὗτοι τῆς πίστεως, καὶ ἐπερείδοντες τὴν Ἐκκλησίαν τῇ ὁμολογίᾳ τε καὶ τοῖς αἵμασι, καὶ τὴν Ἀνατολὴν τὴν ἀνέσπερον, Χριστὸν, ἐκμιμησάμενοι καὶ ζηλώσαντες. Ἔπειτα καὶ εὐχὴν ποιησάμενος ἱερὰν, καὶ εὐχαριστήσας ἐπὶ τῇ καταθέσει τῶν μαρτύρων, καὶ τοῦτο δωρεὰν αὐτοῖς ἄνωθεν δεδομένην εἰρηκὼς, τὸ σκορπίζεσθαι τούτων ἐν πάσῃ γῇ τὰ λείψανα, εἰς οἰκοδομὴν δηλαδὴ τῆς Ἐκκλησίας, καὶ ἰατρείαν καὶ ἁγιασμὸν τῶν πιστῶν, εὔχεται τὰς συνήθεις θαυματουργίας τὸν Κύριον καὶ ἐν τῷ ναῷ τούτῳ δι' αὐτῶν διενεργεῖν C εἴς τε ψυχικὴν τῶν εὐσεβῶν καὶ σωματικὴν θεραπείαν. Καὶ ἑτέρας αὖθις ἐπισυνάπτει δύο εὐχὰς, ὡς ἂν μερίδα ἔχωμεν ἐν Χριστῷ μετ' αὐτῶν, καὶ ἵνα δι' αὐτῶν φρουρούμενοί τε καὶ ἰώμενοι καὶ ἁγιαζόμενοι, κἀνταῦθα περισωζώμεθα καὶ τῷ μέλλοντι. Τοῦτο γὰρ τέλος θείου ἔργου παντὸς, ἡ ἡμετέρα σωτηρία. Ταῦτα οὖν ὑπὲρ τούτου καὶ ὁ ἀρχιερεὺς ἐκτελέσας, δίδωσι καιρόν. Καὶ ὁ Τρισάγιος ᾄδεται. Καὶ καθεξῆς τὰ τῆς θείας ἱερουργίας τελεῖται· καὶ καθ' ἡμέραν ἄχρι τῶν ἑπτὰ, διὰ τὰς τοῦ Πνεύματος χάριτας, εἰς δόξαν αὐτοῦ τοῦ τὸν ναὸν κατοικήσαντος, καὶ εἰς τὸ διηνεκές. Τοῦτο καὶ ἡ τελετὴ τῶν ἐγκαινίων τοῦ ἱερωτάτου ναοῦ καὶ τῆς τούτου καθιερώσεως. Ἐν ᾗ καὶ ἀντιμίνσια τελεῖται κατὰ D ἀρχαίαν τινὰ παράδοσιν, τὴν δύναμιν τῆς ἱερᾶς κεκτημένα τραπέζης, καὶ ἀπὸ τόπου εἰς τόπον ἀγόμενα κατὰ μίμησιν τῆς πάλαι σκηνῆς, μείζονα ταύτης κατὰ πολὺ κεκτημένα δύναμιν. Ὁ γὰρ ἐπουράνιος ἄρτος ὁ ζῶν ἐν τούτοις ἱερουργεῖται. Δίδοται δὲ γνώμῃ ἀρχιερέως καὶ κατ' ἀνάγκην, καὶ ἔνθα οὐκ ἔστι ναὸς, καὶ ἔτι πιστοῖς ἀνδράσιν ἀποδημοῦσιν, ἢ καὶ βασιλεῦσιν αὐτοῖς, ὡς ἂν τὸ μέγα ἐνεργῆται θῦμά τε καὶ μυστήριον.

ΚΕΦΑΛ. ΡΚΖʹ.

Περὶ τῆς τῶν θείων ἀντιμινσίων ἱερᾶς τελετῆς, καὶ διὰ τί ἐπὶ πλέον ἀπὸ λίνου τὰ ἀντιμίνσια.

Ἡ ἐπὶ τούτοις οὖν τελετὴ ὁμοία κατὰ πάντα τοῖς εἰρημένοις, καὶ οἱ αὐτοὶ περὶ τούτων **128** λόγοι, μέ-

A νον, ὅτι οὐ καθιδρυμένα εἰσὶ, καὶ οὐ μετὰ ναοῦ. Οἱονεὶ γὰρ αὐτοῖς ἅπας ὁ κόσμος ἐστὶ ναός· καὶ ὅτι οὐκ ἐκ λίθων, ἀλλ' ἐξ ὑφασμάτων εἰσὶ, καὶ μᾶλλον ἐκ λίνου· ὅτι τὰ τοῦ πάθους διενεργοῦσι, καὶ ὡς ἐντάφιά εἰσι, καὶ ἀπὸ γῆς ταῦτα. Ὁ λίνος γὰρ ἀπὸ γῆς, ὡς καὶ ἐπὶ γῆς τοῦ Σωτῆρος τὸ μνῆμα γέγονε. Πάσας οὖν ὁμοίως τῇ τραπέζῃ τῇ ἱερᾷ καὶ αὐτὰ δέχονται τὰς εὐχὰς, αὐτῇ ἐπικείμενα. Καὶ μνήμην αὐτῶν ὁ ἀρχιερεὺς ποιεῖται ἐν τῷ τὰς εὐχὰς λέγειν· καὶ ὁμοίως ἁγιασθῆναι δυσωπεῖ τῇ ἐπιφοιτήσει τοῦ θείου Πνεύματος· καὶ ὁμοίως ἐκπλύνει, καὶ ῥαντίζει, καὶ ἀλείφει τῷ μύρῳ τρὶς ποιῶν ἑκάστῳ σταυρὸν, ὡς καὶ ἐν τῇ τραπέζῃ διὰ τοῦ μύρου, ἐπιψάλλων τὸ Ἀλληλούϊα. Καὶ ὡς ἐν τῇ τραπέζῃ τίθησι τέσσαρα ὑφάσματος μέρη εἰς τύπον τῶν B εὐαγγελιστῶν ὧν ἐπιγράφει καὶ τὰ ὀνόματα· καὶ δύο ἄλλα ἴσα τῷ ἀντιμινσίῳ, ὅπερ ἐστὶν ἡ τράπεζα, συνάπτει τε καὶ συῤῥάπτει· τὸ μὲν ὡς κατασάρκια, καθὰ καὶ ἐν τῇ τραπέζῃ εἰς τύπον τῆς σινδόνος, ᾗ νεκρὸν ἐνείλησε τὸν Χριστὸν ὁ Ἰωσήφ· τὸ δὲ, ὡς τραπεζοφόρον, εἰς τιμὴν τοῦ θρόνου Θεοῦ. Θρόνος γὰρ αὐτοῦ τὸ θυσιαστήριον καὶ ἀνάπαυσις. Καὶ εἰλητὸν μέσον τούτου συῤῥάπτεται εἰς τύπον τοῦ σουδαρίου. Καὶ οἱ ταῦτα δηλοῦντες ψαλμοὶ καὶ ἐπὶ τούτοις ὡς καὶ ἐν τῇ θείᾳ τραπέζῃ λέγονται, ἐπεὶ καὶ μὴ καθιερώσεως γενομένης, χρείας οὔσης ἀντιμινσίων, ἐπάνω ἱερᾶς ἡγιασμένης τραπέζης τῶν ἀμφίων αὐτῆς ἐξαιρομένων, καὶ ἁπλουμένων τῶν ἀντιμινσίων αὐτῶν, ἡ τῆς καθιερώσεως τάξις γίνεται. Ἃ καὶ δεῖ ἐξαιρέτως παρὰ ἀρχιερέως γίνεσθαι· C κατ' ἀνάγκην δὲ προτροπῇ αὐτοῦ παρ' εὐλαβοῦς ἱερέως πεῖραν τῶν θείων κεκτημένου, ὃς καὶ ἐπενδύεται σινδόνα ἐπάνω τῶν ἱερατικῶν, καθὰ δὴ καὶ ὁ ἀρχιερεὺς ἐν τῷ τὰ ἀντιμίνσια ἁγιάζειν. Τελευταῖον οὖν τούτοις καὶ μερίδες ἁγίων λειψάνων, χρισθεῖσαι τῷ μύρῳ ἐξ ἀνατολῶν αὐτῶν, ἐν μικρῷ τινι ὑφάσματι λίνου, ἀντὶ σκεύους ἐπιβάλλονται καὶ συῤῥάπτονται. Καὶ πάντα ἀπαραλείπτως γίνεται καὶ ἐν αὐτοῖς, ὅσα καὶ ἐν τῇ θείᾳ καθιδρυμένῃ τραπέζῃ· ὅτι καὶ ἕκαστον αὐτῶν ἱερὰ τράπεζά ἐστι, καὶ δόξης Θεοῦ πεπληρωμένα εἰσί. Καὶ δεῖ αὐτὰ μὴ εἰς τὸν τυχόντα ἁπλῶς κεῖσθαι οἶκον, μηδ' ἅπτεσθαι τούτων λαϊκούς, ἐπεὶ καὶ οὐ χρεία οὐδ' ἀνάγκη· διὰ γὰρ τὴν ἱερουργίαν εἰσί· καὶ χωρὶς ἱερέως ἱερουργία οὐ γίνεται. D Λοιπὸν ταῦτα φυλαττέτωσαν ἱερεῖς λαμβάνοντες κατὰ χρείαν παρὰ τοῦ ἱεράρχου. Οὐδὲ γὰρ ἱερεῦσιν ἄδεια ἐνεργεῖν δι' αὐτῶν χωρὶς ἐνδόσεως τοῦ ἀρχιερέως. Οὕτω μὲν οὖν ὁ ἅγιος ναὸς ἀνεγήγερται ἤδη καὶ τετελείωται, καὶ κατὰ δύναμιν ἡμετέραν τὰ ἐν τούτῳ ἐθεωρήθη. Ἆρα δὲ λείπεταί τι πρὸς τοῦτο θεωρῆσαι καὶ ἕτερον;

Κληρικός. Ὡς ἦν δυνατὸν, Πάτερ, μαθεῖν ἡμᾶς, μεμαθήκαμέν τε καὶ ἔγνωμεν· εἰ δὲ καί τι πλέον ἐστὶ, καὶ περὶ τούτου δηλῶσαι ἡμῖν δεόμεθα.

ΚΕΦΑΛ. ΡΚΗ'.

Τί ἄρα ὁ ναὸς ἐκτυποῖ, καὶ τὰ ἐν αὐτῷ.

Ἀρχιερεύς. Καὶ τὰ εἰρημένα ὑπὲρ ἡμᾶς, μᾶλλον

quam hæc non constituantur, sintque sine templo; aliquo modo enim totus mundus ipsis est templum; insuper autem non ex lapidibus, sed ex textis, præsertimque ex lino sint; quoniam ea quæ passionis sunt operantur, et quasi funebria sunt: et hac a terra. Linum enim est a terra sicut et de terra Salvatoris monumentum fuit. Omnes ergo pariter hac mensa sacra preces accipiunt et quæ super illam posita, illorumque memoriam facit pontifex, cum preces recitat; pariter etiam hæc visitatione divini Spiritus sanctificari suppliciter rogat; nec non pariter quoque abluit, aspergit, et inungit unguento ter unicuique faciens crucem, sicut et in mensa per unguentum, adjiciens cantum Alleluia. Et tanquam in mensa, quatuor ponit texti partes, in typum evangelistarum, quorum etiam inscribit nomina. Duo quoque alia texta antiminsio, quod est mensa, æqualia conglutinat ac conserit; et unum quidem tanquam involucrum corporis, sicut et in mensa, in typum sindonis, qua mortuum Christum Joseph involvit; aliud autem tanquam trapezaphorum in honorem throni Dei: thronus enim illius est altare locusque requietionis. Et involumentum in medio ejus consuitur, in sudarii typum, et hæc significantes psalmi, super istis velut super divina mensa dicuntur; nam etiam consecratione non facta, si antiminsiis opus sit, supra sacram mensam sanctificatam vestimentis ipsius exutis, explicatisque ipsis antiminsiis, ordo consecrationis fit: quæ præcipue oportet a pontifice fieri; juxta necessitatem vero, illius vice, a circumspecto sacerdote, divinorum experientiam nacto, qui sindona super sacerdotalia vestimenta induit, sicut et pontifex cum antiminsia sanctificat. Postremum igitur istis etiam sacrarum reliquiarum portiones, ad ipsorum orientem, inunctæ unguento in aliquo parvo linteo texto, vasculi loco, imponuntur et consuuntur. Et omnia continue fiunt et in istis, quæcunque facta sunt in divina mensa defixa; quoniam unumquodque eorum sacra mensa est, ac Dei gloria repleta sunt. Oportet etiam illa non in qualemcunque domum reponi, nec a laicis contingi: siquidem nec utilitas nec necessitas est: sunt enim propter sacri celebrationem, et absque sacerdote non fit sacri celebratio. Cæterum ista custodiant sacerdotes a pontifice juxta necessitatem recipientes; non enim sacerdotibus licet cum eis divina peragere sine licentia pontificis. Sic quidem igitur sanctum templum jam surrexit et consecratum est; et pro viribus nostris quæcunque ad hoc respiciunt jam consideravimus. Porrone autem aliud quid insuper restat considerandum?

Clericus. Sicut possibile erat, Pater, nos discere, didicimus et edocti sumus; si vero quid aliud amplius est, de hoc nobis fieri demonstrationem rogamus.

CAPUT CXXVIII.

Quæ sit templi et rerum, quæ in eo sunt, significatio.

Pontifex. Et quæ dicta sunt supra nos erant,

magis autem quantum nobis datur intelligere et discere ex sanctis. Puto vero dicendum relinqui quid templum et ea quæ sunt in ipso significent. Forte quidem de hoc alias etiam diximus; sed nunc adhuc dicendum, siquidem super istis sermo noster consequenter constitit; aliunde vero frequens sermo de iisdem quæ divina sunt, optima renovat in mente, memoriamque magis sanctificat, sicut et contrarium fit in iis quæ bona non sunt. Templum igitur domus Dei est, vel ex materiis inanimis constans: sanctificatur enim divina gratia sacerdotalibusque precibus, et jam non est sicut cæteræ domus, sed Deo super terram dicatur, ipsumque possidet inhabitantem; et illius gloria, potestas et gratia in ipso est; siquidem in ipso nomen illius invocatum est, et cum isto nomen alicujus sanctorum. Ideoque fert appellationem ejus sub cujus invocatione dicatum est; nec illud adhuc solummodo vocamus domum, sed domum sanctam, ut sanctificatam a sancto Patre per sanctissimum Filium, in sancto Spiritu; et sanctissimæ Trinitatis tabernaculum est istud. Ideoque licet in nomen solum Dei, qui in Trinitate constat, sit, tanquam ad ipsum solum Deum procedentes, sic dicimus: abimus ad sanctam Trinitatem, ad domum scilicet ipsi dicatam; vel abire dicimus ad Christum, unum e Trinitate, Deum Verbum, incarnatum; vel ad ipsius sanctissimam Matrem, vel sanctos angelos, vel apostolos, vel sanctum pontificem aut martyrem, vel quempiam sanctorum. Quid autem indicat hic loquendi modus? Quod templum est domus Dei ipsique consecratur, et ipse in illo est; et invocatus ipsius servus in illo tanquam in proprio habitaculo manet, et anima quidem spiritualiter residet; sæpius autem et reliquiis est ibi sepultus; divinaque potentia et gratia operatur; quoniam duplices cum simus, dona quoque dupliciter accipimus. Unde vel in istis materiis gratia insidet, visitansque manet et propter nos operatur beneplacito Patris et illius misericordia qui propter nos incarnatus est et dupliciter nos reformavit, et adventu commiserationeque ejus qui cum illo operatur et inseparabiliter conjungitur, Spiritus. Et hoc manifeste videmus: divinæ namque potentiæ vim suam exercent in templis; et angelorum atque sanctorum cernitur præsentia; prodigiaque complentur et exaudiuntur vota, necnon sanationes præstantur. Et ea quæ sunt in templis inanima, aquæ, lapides, columnæ, vela, ferramenta efficaciam habent, non a seipsis; quomodo enim? inanima sunt et creaturæ Dei, nec ullum a semetipsis habent; attamen hæc operantur Dei gratia quæ in his invocata est, et virtute nominis divini quod ipsis cognomine datum est, ut nos sanctificemur. Ubi igitur est nomen et invocatio Dei qui cuncta fecit, beatæ Trinitatis, illius qui solus est Deus, omnia sunt sancta, omniaque operantur ac sanant ac servant per gratiam.

A δὲ ὅσον ἡμῖν νοεῖν ἔρχεται καὶ μανθάνειν ἐκ τῶν ἁγίων. Οἶμαι δὲ, λείπεται ἐρεῖν, καὶ τί ἄρα ὁ ναὸς ἐκτυποῖ καὶ τὰ ἐν αὐτῷ. Καὶ ἴσως μὲν περὶ τούτου καὶ ἐν ἄλλοις εἰρήκαμεν· ῥητέον δὲ καὶ νῦν, ἐπειδὴ περὶ τούτων ἡμῖν ὁ λόγος ἀκολούθως ἐλήλυθε· καὶ ὅτι τὸ πολλάκις περὶ τῶν αὐτῶν λέγειν θείων ὄντων ἀνακαινίζει τὰ κάλλιστα, καὶ τὴν μνήμην μᾶλλον καθαγιάζει, ὡς καὶ τοὐναντίον ἐν τοῖς μὴ καλοῖς γίνεται. Ὁ ναὸς τοίνυν οἶκός ἐστι Θεοῦ, καὶ ἐξ ὑλῶν ἀψύχων συγκείμενος. Ἁγιάζεται γὰρ χάριτι θείᾳ καὶ εὐχαῖς ἱερατικαῖς, καὶ οὐκ ἔτι κατὰ τοὺς ἄλλους· ἀλλ' ἀφιερωμένος ἐστὶν ἐπὶ γῆς Θεῷ· καὶ αὐτὸν πλουτεῖ ἔνοικον, καὶ ἡ δόξα **127** αὐτοῦ ἐν αὐτῷ καὶ δύναμίς τε καὶ χάρις, ἐπεὶ καὶ ἐν αὐτῷ τούτου ἐπεκλήθη τὸ ὄνομα· ἢ σὺν αὐτῷ καί τινος B αὐτοῦ τῶν ἁγίων. Διὸ καὶ τὴν κλῆσιν εἰς ὃν ἐπεκλήθη φέρει· καὶ οὐκ ἔτι οἶκον καλοῦμεν αὐτὸν μόνον, ἀλλ' ἅγιον, ὡς ἡγιασμένον ἐκ τοῦ ἁγίου Πατρὸς, διὰ τοῦ παναγίου Υἱοῦ, ἐν ἁγίῳ Πνεύματι, καὶ τῆς Τριάδος σκήνωμα οὗτος. Διὸ καὶ εἴπερ εἰς ὄνομα μόνου τοῦ ἐν Τριάδι ἐστὶ Θεοῦ, ὡς εἰς αὐτὸν τὸν μόνον Θεὸν πορευόμενοι, οὕτω λέγομεν, ἀπερχόμεθα εἰς τὴν ἁγίαν Τριάδα, τὸν ἀφιερωμένον δηλαδὴ οἶκον αὐτῇ· ἢ εἰς τὸν Χριστὸν λέγομεν ἀπιέναι, τὸν ἕνα τῆς Τριάδος Θεὸν Λόγον σαρκωθέντα· ἢ πρὸς τὴν παναγίαν αὐτοῦ Μητέρα, ἢ τοὺς ἁγίους ἀγγέλους, ἢ ἀποστόλους, ἢ ἅγιον ἱεράρχην ἢ μάρτυρα, ἤ τινα τῶν ἁγίων. Τί τούτου δηλοῦντος τοῦ λόγου; ὅτι ὁ ναὸς ἀφιέρωται τῷ Θεῷ, καὶ αὐτοῦ C ἐστιν οἶκος· καὶ αὐτός ἐστιν ἐν αὐτῷ. Καὶ ὁ ἐπικληθεὶς δὲ δοῦλος αὐτοῦ ἐν αὐτῷ μένει, ὡς ἐν οἰκείῳ σκηνώματι. Καὶ τῇ ψυχῇ μὲν ἐνδημεῖ ἀΰλως, πολλάκις δὲ καὶ τοῖς λειψάνοις ἐστὶ τεθειμένος ἐκεῖσε· καὶ θείᾳ δυνάμει καὶ χάριτι, ἐνεργεῖ· ὅτι καὶ διπλοῖ ὄντες ἡμεῖς, καὶ τὰ δῶρα διπλῶς λαμβάνομεν. Ὅθεν καὶ ἐν τοῖς ὑλώδεσι τούτοις ἡ χάρις ἐφίσταται, καὶ ἐπιφοιτῶσα μένει, καὶ δι' ἡμᾶς ἐνεργεῖ εὐδοκίᾳ Πατρὸς, καὶ ἐλέει τοῦ δι' ἡμᾶς σαρκωθέντος, καὶ διπλῶς ἡμᾶς ἀναπλάσαντος, καὶ ἐπιδημίᾳ καὶ οἰκτιρμοῖς τοῦ συνεργοῦ αὐτῷ καὶ ἀχωρίστου Πνεύματος. Καὶ τοῦτο βλέπομεν ἀριδήλως. Θεῖαι γὰρ δυνάμεις ἐνεργοῦνται ἐν τοῖς ναοῖς, καὶ ἀγγέλων ἐμφάνειαι καὶ ἁγίων· καὶ σημεῖα τελεῖται· D καὶ τὰ αἰτήματα δίδοται· καὶ ἰάματα χορηγεῖται· καὶ τὰ ἐν αὐτοῖς δὲ τοῖς ναοῖς ἄψυχα, ὕδατά τε καὶ λίθοι καὶ κίονες καὶ πέπλα καὶ σιδήρια ἐνεργεῖ· οὐκ ἀφ' ἑαυτῶν, πῶς γάρ; ἄψυχα καὶ κτίσματα Θεοῦ ὄντα, καὶ μηδὲν ἀφ' ἑαυτῶν ἔχοντα; ὅμως ταῦτα ἐνεργεῖ τῇ τοῦ Θεοῦ χάριτι ἐν τούτοις ἐπικληθείσῃ, καὶ τοῦ θείου ἐν τούτοις ἐπονομασθέντος ὀνόματος, ἵν' ἁγιασθῶμεν ἡμεῖς. Ὅπου τοίνυν Θεοῦ ὀνομασία τε καὶ ἐπίκλησις τοῦ πάντα πεποιηκότος τῆς μακαρίας Τριάδος τοῦ μόνου ὄντος Θεοῦ, ἅγια πάντα, καὶ ἐνεργεῖ πάντα, καὶ ἰᾶται, καὶ σώζει τῇ χάριτι.

ΚΕΦΑΛ. ΡΚΘ'.

Ὅτι τὰ παλαιὰ τὰ τῆς χάριτος προετύπου.

Τοῦτο οὖν καὶ πρὸ τοῦ νόμου ἐναρξάμενον ἦν. Ἐπεὶ καὶ Ἄβελ εἶχε θυσιαστήριον, ἐν ᾧ ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας. Καὶ ἅγιον ἦν, εἰ καὶ ἄψυχον. Καὶ τὰ προσαγόμενα κρέα ὄντα ὡς ἀφιερωμένα ἅγια ἦν, καὶ Θεὸς ἐν τούτοις ὤφθη. Καὶ Νῶε εἶχε θυσιαστήριον. Καὶ Ἀβραὰμ ἔπηξε, θῦσαι θέλων τὸν υἱὸν, καὶ τὸν Θεὸν ἐκεῖσε κατεῖδε. Καὶ Ἰακὼβ λίθους θεὶς, θυσιαστήριον καθηγίασε, κἀκεῖσε Θεὸν εἶδε· τρανότερον δὲ ὁ Μωυσῆς, ἐπεὶ καὶ τὰ τῆς χάριτος διηνοίγετο. Καὶ ἡ Σκηνὴ ἐκ δερμάτων οὖσα, ἁγία ἦν, καὶ τὰ ἔνδον πάντα, καὶ ἡ κιβωτός τε καὶ τράπεζα, προγράφοντα τὰ ἐνταῦθα, καὶ πρὸ τούτων τὴν ἁγίαν Παρθένον, Ἅγια ἁγίων ἦσαν καὶ ὠνομάζοντο. Καί τις ἁψάμενος τούτων παρὰ τὴν τάξιν ἀπώλετο. Καὶ ἅγιοι ἄρτοι ἦσαν, οὓς οἱ ἱερεῖς μόνον ἤσθιον, τὸν ζῶντα τυποῦντες ἄρτον, καὶ ὕδατα καθαρμοῦ, καὶ ἔλαιον, καὶ λυχνία, καὶ φῶτα, καὶ πῦρ, καὶ λουτῆρες, καὶ πυρεῖα, καὶ θύματα, καὶ πάντα ἅγια ταῦτα, ὡς καὶ τὰ πυρεῖα τῶν ἐναντίων Ἀαρὼν τῷ ἀρχιερεῖ ἀργῆσαι μὲν, ὡς παρὰ ἀνιέρων προσαχθέντα, ὡς ἐπ' ὀνόματι δὲ Θεοῦ γεγονότα, μὴ εἰς χρῆσιν εἶναί τινι. Διὰ τοῦτο πᾶσαν ὕλην ὀνόματι Θεοῦ καθαγιασθεῖσαν εὐλαβητέον, καὶ τοὺς κεράμους καὶ λίθους καὶ ξύλα, καὶ τὰ λοιπά. Πάντα γὰρ ἡγιασμένα τῷ θείῳ ὀνόματι, καὶ χάριτος εἰσὶ πλήρη, καὶ μεταδοτικὰ χαρίτων τε καὶ ἁγιασμοῦ.

A

CAPUT CXXIX.

Quod rebus Veteris Testamenti res gratiæ evangelicæ adumbratæ fuere.

Hæc igitur etiam ante legem initium habuerunt; siquidem et Abel habuit altare, in quo Dominus odoratus est odorem suavitatis; et sanctum erat, licet inanimum; et oblata, quæ carnes erant, tanquam consecrata, erant sancta; et Deus in ipsis visus est. Noe quoque altare habuit; et Abraham aliud construxit, filium immolare volens, et ibi Deum aspexit. Jacob etiam, positis lapidibus, altare sanctificavit, et Deum ibi quoque vidit. Manifestius autem Moyses, siquidem ea quæ gratiæ sunt aperiebantur. Tabernaculum, ex pellibus confectum, sanctum erat, et omnia quæ erant intus, arca et
B mensa, præfigurantia quæ hic sunt et ante illa sanctam Virginem, Sancta sanctorum erant et vocabantur. Et qui præter ordinem illa contigerat, perditus est. Erant etiam sancti panes, quos sacerdotes soli comedebant, quique panem vivum figurabant, aquæ purificationis et oleum, et candelabra, et ignis, et balnea, et thuribula et incensa, hæc omnia sancta erant, ita ut thuribula adversantium Aaron pontifici inania quidem manerent, tanquam a profanis oblata, quæ vero Dei nomine fuerant consecrata, nemini essent in usum. Idcirco quamlibet materiam Dei nomine sanctificatam, vasa, lapides et ligna, cæteraque venerandum est: cuncta nempe divino nomine sanctificata gratiaque
C plena vim habent gratias et sanctitatem communicandi.

128

ΚΕΦΑΛ. ΡΛ'.

Ὅτι τῶν ἱερῶν οἴκων καταφρονηταὶ, καὶ τῶν ἄλλων ἁγίων ἀπόλλυνται.

Καὶ τοῦτο πολλάκις προδήλως εἴδομεν, καὶ τοὺς αὐτῶν δὲ καταφρονητὰς καὶ τὸν Ζᾶν ἐκεῖνον καὶ σώματι πεπονθότας καὶ ἀπολωλότας εἰς τέλος, οὐχ ἕνα καὶ δύο, ἀλλὰ καὶ πλείστους· καὶ τοὺς οἴκους δὲ ἐν οἷς ὗλαι ἁγίων οἴκων ἐτέθησαν, ἢ καταστραφέντας εἰς τέλος, ἢ μὴ τὸν ἐνοικήσοντα κεκτημένους.

CAPUT CXXX.

Quod sacrarum ædium contemptoribus etiam aliorum sacrorum fructus perit.

Et hoc sæpe manifeste vidimus; at eorum contemptores, sicut Zan istum, corpore punitos et damnatos in æternum; non unum aut duos, sed et plurimos; domos autem in quibus materiæ sacrarum ædium positæ erant, funditus eversas, vel non, qui illas inhabitet, possidentes.

ΚΕΦΑΛ. ΡΛΑ'.

Ὅτι τὸν ἐν Τριάδι μόνον Θεὸν τυποῖ ὁ ναός.

Ὁ ναὸς δὲ ὡς οἶκος Θεοῦ ὅλον τὸν κόσμον τυποῖ. Ὅτι καὶ πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν ὁ Θεός. Καὶ τοῦτο δηλῶν, διαιρεῖται εἰς τρία. Ὅτι καὶ Τριὰς ὁ Θεός. Τοῦτο οὖν καὶ ἡ σκηνὴ ἐξεικόνιζεν εἰς τρία διῃρημένη, καὶ ὁ τοῦ Σολομῶντος ναὸς, καθὰ καὶ Παῦλός φησι. Τὸ μὲν γὰρ Ἅγιον τῶν ἁγίων ἦν· τὸ δὲ Ἅγια· τὸ δὲ Ἅγιον κοσμικόν. Ἡ σκιὰ γὰρ προέγραφε τὰ τῆς ἀληθείας. Ἐνταῦθα οὖν τὸ ἱερώτατον βῆμα εἰς τύπον τῶν ὑπερουρανίων ἐστὶ καὶ τῶν ὑπεράνω, ἔνθα καὶ θρόνον φασὶ τοῦ ἀΰλου Θεοῦ· τὴν ἀνάπαυσιν δηλαδή. Καὶ ἡ τράπεζα τοῦτο παρίστησιν, αἱ ἐπουράνιοί τε τάξεις κἀκεῖσέ εἰσι καὶ ὧδε· ἀλλὰ καὶ ἱερεῖς σὺν αὐτοῖς τούτων τὴν τάξιν ἔχοντες. Ὁ ἱεράρχης τε τυποῖ τὸν Χριστόν· ὁ ναὸς δὲ τὸν ὁρώμενον τοῦτον κόσμον· καὶ τὰ ὑπεράνω μὲν τοῦ ναοῦ

CAPUT CXXXI.

Quod per templum unus in Trinitate Deus adumbratur.

D Templum autem ut domus Dei totum mundum figurat, quoniam ubique et super omnia Deus est; et hoc indicans, in tres dividitur partes, quoniam Deus est Trinitas. Hoc etiam igitur repræsentabat tabernaculum in tres partes divisum, nec non Salomonis templum, sicut ait Paulus. Una quidem erat Sanctum sanctorum; alia vero, sancta; altera autem, sanctum commune. Umbra enim ea quæ sunt veritatis præfigurabat. Hic igitur sacratissimum sanctuarium typum gerit supercœlestium et supernorum, ubi dicunt esse Dei immortalis thronum seu locum requietionis. Hoc etiam mensa repræsentat, cœlestesque ordines hic atque illic sunt; sed et sacerdotes cum eis eorum ordinem tenentes. Pontifex autem exprimit Christum; templum vero

visibilem hunc mundum; et templi quidem superiora A, visibile cœlum, inferiora vero, ea quæ super terram sunt ac ipsum paradisum; exteriora autem, partes inferiores et terram ipsam solam, propter eos qui irrationabiliter vivunt, nihilque excelsius habent. Et quæ dicenda sunt istud demonstrabunt. Sanctissimum quidem enim sanctuarium intus recipit pontificem, qui typum gerit hominis Dei Jesu, ipsiusque ditatur potestate; cæteri vero sacerdotes figurant apostolos, et præcipue archangelos et angelos ipsos, unusquisque juxta suum ordinem; apostolos autem pontificesque et sacerdotes cum angelis dico; siquidem una est Ecclesia superius et inferius, a quo Deus ad nos devenit, et secundum nos visus est, et ea quæ sunt propter nos executus est; et unum est opus, Domini sacrificatio, communio B ac cognitio. Et hoc superius et inferius perficitur; excepto quod illic quidem sine velis et sine symbolis, hic autem per symbola; quoniam onerosum hoc atque corruptibile vestimentum carnis nos induimur. Attamen et animæ sanctorum superne cum angelis sunt, et cum ipsis hic nostra considerant, et nobis divina providentia provident, et nobiscum custodes sunt; in sanctis autem sedibus etiam cum angelis animæ sanctorum immorantur. Intra proinde sanctuarium, quod, ut diximus, illa quæ intelligibilia sunt et supercœlestia designat, solus pontifex cum sacris ministris ingreditur; et quæ sunt in sanctuario, illa quæ super cœlos sunt, exprimunt. Sacratissimus quidem consessus ascensionem C Jesu significat indicatque illum esse super omnem principatum ac potestatem et virtutem in carne, atque ad dexteram Patris consedisse. Ideoque post illum gradus sunt uniuscujusque angelorum et sanctorum ordinem atque ascensionem exprimentes; quoniam et angelis et sanctis analogi sunt ordines et gradus; et has imitationes hierarchia nostra ex hierarchia superna possidet, ut ait Dionysius.

CAPUT CXXXII.

Quid per mensam et quæ in ea sunt: et quod Christus omnia.

Deinde veneranda mensa in medio sacrarii, quæ Christi monumentum designat, et sanctæ passionis mysterium, quo universalis et vivens immolatur hostia; et quomodo Deus quidem requiescit Salvator D; quomodo homo vero sacrificatur; et ideo medius omnibus jacet in visionem ac fruitionem suorum. Hinc mensa dicitur, eo quod omnibus est Jesus vivificus cibus et deliciæ; et panis, quia confirmat; et calix ex vino, quia lætificat, vivificat, fovet et inebriat, et in pulcherrimam transformationem commutat; et aqua cum vino, quia purificat, sobrietatem generat, irrorat, irrigat fructusque producere donat, et varias qualitates præstat. Et omnes ad ipsam mensam prospiciunt, et omnes proportionaliter participant, et qui cibum inde non accepit, mortuus est. Et cibus est homini conveniens: rationalibus enim competit, eo quod nutriens est rationale Verbum; et absque

A τὸν ὁρώμενον οὐρανὸν, τὰ κάτω δὲ τὰ ἐπὶ τῆς γῆς καὶ αὐτὸν τὸν παράδεισον· τὰ ἔξωθεν δὲ τὰ κατώτερα μέρη καὶ τὴν γῆν μόνην αὐτὴν διὰ τοὺς ἀλόγως ζῶντας, καὶ μηδὲν ὑψηλότερον ἔχοντας. Καὶ τὰ ῥηθησόμενα τὸ περὶ τούτου δηλώσει. Τὸ μὲν γὰρ ἁγιώτατον βῆμα ἔνδον εἰσδέχεται τὸν ἱεράρχην, ὃς τυποῖ τὸν θεάνθρωπον Ἰησοῦν, καὶ τὴν αὐτοῦ πλουτεῖ δύναμιν· οἱ λοιποὶ δὲ ἱερωμένοι, τοὺς ἀποστόλους, καὶ ἐξαιρέτως τοὺς ἀρχαγγέλους καὶ ἀγγέλους αὐτοὺς, ἕκαστος ἀναλόγως τῇ τάξει. Τοὺς ἀποστόλους δὲ ἀρχιερεῖς τε καὶ ἱερεῖς μετὰ τῶν ἀγγέλων φημὶ, ἐπεὶ μία Ἐκκλησία ἄνω τε καὶ κάτω, ἀφ' οὗ πρὸς ἡμᾶς ὁ Θεὸς παραγέγονε, καὶ καθ' ἡμᾶς ὤφθη, καὶ τὰ ὑπὲρ ἡμῶν ἐξετέλεσε. Καὶ ἓν τὸ ἔργον ἡ τοῦ Δεσπότου ἱερουργία καὶ κοινωνία B καὶ κατανόησις. Καὶ τοῦτο ἄνω τε καὶ κάτω τελεῖται. Πλὴν ὅτι ἐκεῖ μὲν χωρὶς παραπετασμάτων καὶ συμβόλων τινῶν· ἐνταῦθα δὲ διὰ συμβόλων, ὅτι τὸ βαρὺ τοῦτο καὶ ὑπὸ τὴν φθορὰν σαρκίον ἡμεῖς περικείμεθα. Ἀλλὰ καὶ αἱ ψυχαὶ τῶν ἁγίων ἄνω σὺν τοῖς ἀγγέλοις εἰσὶ, καὶ σὺν αὐτοῖς ὧδε περισκοποῦσι τὰ καθ' ἡμᾶς, καὶ προνοοῦνται ἡμῶν θείᾳ προνοίᾳ, καὶ μεθ' ἡμῶν εἰσι φύλακες. Καὶ ἐν τοῖς ἁγίοις δὲ οἴκοις ἅμα τοῖς ἀγγέλοις αἱ ψυχαὶ τῶν ἁγίων ἐνδιατρίβουσιν. Ἔνδον οὖν τοῦ βήματος τὰ νοητὰ, ὡς εἰρήκαμεν, καὶ τὰ ὑπὲρ τὸν οὐρανὸν ἐκτυποῦντος, ὁ ἀρχιερεὺς μόνος σὺν τοῖς ἱερωμένοις εἰσέρχεται· καὶ τὰ ἐν τῷ βήματι δὲ τὰ ὑπὲρ τὸν οὐρανὸν ἐκτυποῖ. Τὸ μὲν ἱερώτατον σύνθρονον, C τὸ ἀνυψωθῆναι τὸν Ἰησοῦν, καὶ ὑπεράνω γενέσθαι πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως μετὰ σαρκὸς, καὶ ἐκ δεξιῶν τοῦ Πατρὸς καθίσαι. Διὸ καὶ μετὰ τοῦτο βαθμίδες, τὴν ἑκάστου τῶν ἀγγέλων καὶ τῶν ἁγίων δηλοῦσαι τάξιν τε καὶ ἀνάβασιν. Ὅτι καὶ ἀγγέλοις καὶ ἁγίοις τάξεις εἰσὶν ἀνάλογοι καὶ βαθμοί. Καὶ τὰ μιμήματα ταῦτα ἡ καθ' ἡμᾶς ἱεραρχία ἐκ τῆς ἄνω πλουτεῖ ἱεραρχίας, ὥς φησι Διονύσιος.

ΚΕΦΑΛ. ΡΛΒ΄.

Τί ἡ τράπεζα καὶ τὰ ἐν αὐτῇ, καὶ ὅτι πάντα Χριστός.

Εἶτα ἡ φρικτὴ τράπεζα τοῦ ἱερατείου μέσον, τὸ μνῆμα Χριστοῦ δηλοῦσα, καὶ τὸ διὰ τοῦ πάθους μυστήριον, ἐν ᾧ καὶ ἡ παγκόσμιος καὶ ζῶσα τελουμένη D θυσία· καὶ ὡς Θεὸς μὲν ἀναπαυόμενος ὁ σωτὴρ, ὡς ἄνθρωπος δὲ θυόμενος, καὶ διὰ τοῦτο μέσον πᾶσι **129** προκείμενος εἴς τε θεωρίαν καὶ ἀπόλαυσιν τῶν οἰκείων. Ὅθεν καὶ τράπεζα λέγεται, ὅτι πᾶσίν ἐστιν ὁ Ἰησοῦς τροφὴ ζωτικὴ καὶ τρυφὴ, καὶ ἄρτος, ὅτι στηρίζει, καὶ ποτήριον ἐξ οἴνου, ὅτι εὐφραίνει καὶ ζωοῖ καὶ θερμαίνει, καὶ μεθύσκει, καὶ ἀλλοιοῖ τὴν καλλίστην ἀλλοίωσιν· καὶ ὕδωρ σὺν οἴνῳ, ὅτι καθαίρει καὶ νήφειν ποιεῖ, καὶ δροσίζει, καὶ ποτίζει, καὶ καρποὺς ἐνεργεῖν δίδωσι· διαφόρους παρέχει ποιότητας, καὶ πάντες πρὸς αὐτὴν ὁρῶσι τὴν τράπεζαν. Καὶ πάντες μετέχουσιν ἀναλόγως, καὶ ὁ μὴ τραφεὶς ἐκεῖθεν νεκρός. Καὶ ἡ τροφὴ ἀνθρώπῳ προσήκουσα· λογικοῖς γὰρ ἀνήκει, ὅτι καὶ λόγος ὁ τρέφων· καὶ χωρὶς αἵματος, ὅτι οὐκ

A ἐκ σαρκὸς οἱ τρεφόμενοι, ὡς οὐδὲ ὁ τρέφων. Πνεύματι γὰρ γεγέννηται καὶ γεννᾷ· καὶ ὡς καρπὸς ἀπαθὴς, καὶ ἐκ καρπῶν τῆς γῆς ἀπαθῶν τὰ σύμβολα φέρει. Ὅτι καὶ ἐκ τῆς γῆς ἄνθρωπος, καὶ αὐτὸς ἀπαθῶς τὸ γήϊνον λαβὼν σῶμα. Τούτου οὖν χάριν τράπεζα, καὶ ἄρτος καὶ οἶνος σὺν ὕδατι τὰ μυστήρια, καὶ ἀναίμακτος ταῦτα, καὶ οὐ θυσία σαρκὸς καὶ ἄλογος.

sanguine, eo quod non ex carne sunt qui nutriuntur, quemadmodum nec nutriens; spiritu namque genitus est et generat; et tanquam fructus impassibilis etiam ex fructibus terræ impatientibus, symbola gestit; quoniam de terra est homo, et ipse terrestre corpus impassibiliter assumpsit. Illius igitur causa, mensa, panis et vinum cum aqua mysteria sunt, et hæc incruenta; non autem carnalis et irrationalis hostia.

ΚΕΦΑΛ. ΡΛΓ'.

Τί τὸ καταπέτασμα καὶ οἱ τέσσαρες τούτου στῦλοι.

Τετραμερὴς δὲ ἡ τράπεζα, ὅτι ἐξ αὐτῆς ἐτράφη, καὶ ἀεὶ τὰ πέρατα τρέφεται· καὶ ὑψηλὴ, ὡς οὐρανία διὰ τὸ ἐπηρμένον τοῦ μυστηρίου καὶ ἐπουράνιον, καὶ ὁλικῶς τῆς γῆς ὑπερκείμενον· καὶ ὑπὸ στύλων B βασταζομένη, ὅτι ἐκ τῆς γῆς ὑπερύψωται. Καὶ στύλους ἔχει ἀπὸ τῆς γῆς, τοὺς ὑπὲρ αὐτῆς τεθυμένους, ἀσφαλῶς αὐτὴν ὑπερείδοντας, προφήτας καὶ ἀποστόλους· καὶ πολλάκις μὲν πλείστους, ὅτι πολλοὶ, πολλάκις δὲ ἕνα, ὃς καὶ κάλαμος λέγεται διὰ τὸν ἕνα τὸν ὑπερέχοντα πάντων Ἰησοῦν. Ὃς καὶ καλάμῳ τὴν κεφαλὴν ἐτύφθη, καὶ καλάμινον σκῆπτρον ἐδέξατο συνθλῶν τὰς τῶν ὄφεων κεφαλὰς, καὶ ἡμῖν γράφων τὴν σωτηρίαν· καὶ κιβώριον ὑποκάτω ταύτης ἀντὶ τοῦ μνήματος. Καὶ ἐν αὐτῷ τῶν ὑπὲρ Χριστοῦ τυθέντων τὰ λείψανα, ὅτι ἀληθῶς Χριστοῦ τάφος καὶ μνῆμα. Καὶ οἱ συνθανόντες αὐτῷ ἐκεῖσε συνθάπτονται, καὶ θυομένου συναπολαύουσιν, ὡς καὶ συναναστάντος τότε συνδοξασθήσονται. C Τὸ καταπέτασμα δὲ καὶ εἰς τιμὴν Ἰησοῦ τοῦ ἐντιμοτάτου τε καὶ πολυτιμήτου, καὶ εἰς τύπον τῆς ἐπουρανίου σκηνῆς. Καὶ ἐκ τεσσάρων στύλων, διὰ τὸ ἐκ περάτων εἶναι τὸ ἄθροισμα τῶν ἐκ τῆς τραπέζης ζώντων ἐκείνων, καὶ διὰ τεσσάρων συστῆναι τῶν συγκαλεσαμένων Εὐαγγελίων, καὶ τῶν κηρυξάντων αὐτά. Διὸ καὶ ἐν ταῖς τέσσαρσι γωνίαις μέρη ὑφασμάτων ἡ τράπεζα γυμνὴ δέχεται, ὅτι κἀκεῖνοι ἀπὸ τῆς γῆς οἱ τὰ Εὐαγγέλια γράψαντες, καὶ τὰ οὐράνια εἰρηκότες· καὶ τὰ ὀνόματα τούτων ἐν αὐτοῖς. Εἶτα τὸ κατασάρκα διὰ τὴν ἐν τῇ νεκρώσει σινδόνα· καὶ τραπεζοφόρον, ὡς τόπος Θεοῦ καὶ θυσιαστήριον, διὰ τὴν τῆς θείας δόξης περιβολὴν, καὶ εἰς τιμὴν τοῦ σάρκα φορέσαντος, καὶ χιτῶνα ἐνδυσαμένου, Οἳ καὶ D λάμψαντος αὐτοῦ συνεξέλαμψαν, καὶ τὰ κράσπεδα τούτων ἀῤῥωστοῦντας ἰάσαντο· καὶ εἰλητὸν ἐπ' αὐτοῖς διὰ τὸ σουδάριον τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ὃ χωρὶς ἦν ἐντετυλιγμένον εἰς ἕνα τόπον. Καὶ τούτων ἄνω τὸ Εὐαγγέλιον, αὐτὸ δὴ τὸ κηρυχθὲν, ἢ μᾶλλον ὁ κηρυχθεὶς, ἵνα καθαρῶς ὁρᾶται πάντα, αὐτός τε ὁ Δεσπότης, καὶ τὰ αὐτοῦ, ὡς καὶ διὰ τῶν μυστηρίων ὁρᾶται θυόμενός τε καὶ κείμενος. Διὸ καὶ ὄπισθεν τοῦ θυσιαστηρίου αὐτοῦ ἐξ ἀνατολῶν τὸ εὐλογημένον ὄργανον τῆς θυσίας ὁ θεῖος ἵσταται σταυρὸς, τετραμερὴς ὢν διὰ τὸν ἐν αὐτῷ προσπαγέντα, τά τε ἄνω καὶ κάτω καὶ τὰ σύμπαντα πεποιηκότα τε καὶ συνέχοντα, καὶ τὰ ἄνω τοῖς ἐπὶ γῆς ἑνώσαντα, ἄνωθεν κάτω καταβάντα, κάτωθέν τε ἄνω ὑψωθέντα, καὶ ἐν ἑαυτῷ πάντα ἑνώσαντα, καὶ τὰ πέρατα

CAPUT CXXXIII.

Quid per velamentum et quatuor ejus columnas.

Quadripartita vero mensa est, quoniam ex ipsa nutritæ sunt semperque nutriuntur quatuor mundi partes; excelsaque, tanquam cœlestis, eo quod excelsum est mysterium et cœleste et omnino super terram elevatum; et super columnas sustentata, quoniam e terra superelevatur; atque de terra columnas habet, illos qui super illam immolati sunt et ipsam tuto sustentant, prophetas et apostolos; et sæpe quidem plurimas, quoniam isti multi sunt; sæpe vero unam, quæ calamus dicitur, propter unum qui super omnes est Jesum; qui calamo fuit in capite perculsus, calaminumque sceptrum accepit, sustinens capita serpentium et nobis salutem scribens. Ciborium autem subter illa pro monumento positum est; et in eo sunt eorum qui pro Christo fuerunt immolati reliquiæ, quoniam vere Christi tumulus est ac monumentum; et qui cum ipso mortui sunt, ibi cum ipso sepeliuntur, et immolato fruuntur, sicut ipso tunc simul suscitato conglorificabuntur. Velum autem est in honorem Jesu venerandissimi multisque modis honorandi, et in typum cœlestis tabernaculi. Ex quatuor columnis pendet, quoniam ex quatuor extremis fit illorum qui ex mensa vivunt collectio, formaturque per quatuor evangelia quæ convocant et per præcones qui ista prædicant. Ideoque in quatuor angulis, mensa nuda partes textorum accipit, eo quod et illi de terra sunt qui evangelia scripserunt et cœlestia nuntiaverunt; et eorum nomina sunt in his partibus. Deinde catasarca (corporis involucrum) propter sindona, cujus in morte usus habetur; et trapezophorum, sicut Dei locus et altare, propter divinæ gloriæ amplexum, et in honorem ejus qui carnem super se gestavit et tunica indutus est; quæ, ipso lucente, colluxerunt, et oris suis ægrotantes sanaverunt. Et involucrum super illis, propter sudarium quod super caput ipsius positum, seorsum postea inventum est plicatum in uno loco. Et super his Evangelium illud quod certe prædicatum est, vel potius ille qui prædicatus est, ut cuncta pure videantur, ipse Dominus et ea quæ ipsius sunt, sicut per mysteria videtur immolatus et hostia jacens. Ideoque post ipsius altare versus orientem stat benedictum immolationis instrumentum, divina crux, quadripartita, propter eum qui in ipsa fuit affixus, qui cuncta inferiora superioraque fecit ac conservat, qui superiora terrenis conjunxit,

desuper infra descendit, ab imo sursum elevatus est, in semetipso cuncta univit, extrema convocavit, elevatione divinitatis et incarnationis demissione omnia sibi propria fecit, celsitudine gloriæ profunditateque paupertatis et demissionis, necnon amplitudine misericordiæ et charitatis nos reformavit, ex inferno suscitavit, et ex terrenis cœlestes nos effecit. Hæc enim crux figurat. Est adhuc propter eumdem, qui per crucem et hujusmodi typum, mysterium Trinitatis nobis præstitit, et parte quidem superiore nobis ostendit Patrem altissimum, qui de nobis super terram providet, externa vero Filium ipsum et Spiritum, per quos veluti per manus nos reformat: siquidem et David ait: « Manus tuæ fecerunt me et plasmaverunt me; » Filius autem et Spiritus Dei sunt. Lampas autem suspenditur ad figurandum Ecclesiam misericordiamque per ipsam omnibus præstitam et illuminationem; et quia lumen lumini oleumque misericordiæ ad gloriam offerre necesse est. Ibi quoque thuribulum est, ad offerendum Deo ignem ut ipsius servum cum incensis: ex omnibus enim ordinibus illi qui cunctorum est dominus producere convenit; sicut lumen et aquam; et res de terra, veluti panes et vinum, ex quibus et nos vivimus; et ea quæ sunt aeris, ut thymiamata, quæ figurant aera et in aera solvuntur, et cætera. Ignis autem etiam adhibetur ut urens, et illuminans, et refovens frigentes, quibus etiam divina repræsentat. « Ignis enim est Deus noster consumens, » inquit; et « Deus lumen est »; et, « Exarsit cor meum intra me ». Est adhuc thuribulum et ignis, ob thymiama proferendum; quod in honorem Dei quidem est et a nobis, ut donum, suave autem est ad ipsius recreationem et ad sanctificationem nostram. Sicut enim per omnem sensum baptizati purificamur et conspersi puritate renovamur, et unguento inuncti, sanctificati recreamur etiam odore suavi quoad odoratum et pectus vivificamur et sanctificamur, e thymiamate quoad odoratum et spirationem nostram purificati; sic etiam divino pane divinoque calice alimur, et in anima roboramur; et sanctorum visu pulchritudineque necnon divinorum luminum lumine, quoad visum exsultamus sancte et resplendemus. Hæc autem facere datum est Ecclesiæ, et ad gloriam quidem illius qui largitur, quoniam cuncta ex ipso sunt, ut nos celebremus auctorem; et ad perfectam illuminationem nostram ac sanctificationem. Thymiama igitur aera purificat et simul odoratum nostrum ac spirationem, quoniam bonum communicat odorem, ex una quadam figura cunctis per ignem olentiam scaturire procurans. Ideo quoque Spiritum sanctum figurat, quoniam et in ipso solus est et cunctis dona distribuit; et per illum omnes charismatum fiunt participes. Ideoque pontifex illud Deo offerens et signans, sic ait: « Tibi, Christe Deus, offerimus incensum, pro quo bene suscepto, sanctissimi Spiritus gratiam nobis demitte. »

A συγκαλέσαντα, καὶ τῷ ὕψει τῆς θεότητος, καὶ τῷ ταπεινῷ τῆς σαρκώσεως πάντα οἰκειωσάμενον, καὶ τῷ ὑψηλῷ τῆς δόξης, 130 καὶ τῷ βάθει τῆς πτωχείας καὶ ταπεινώσεως, καὶ τῷ πλάτει τοῦ ἐλέους καὶ τῆς ἀγάπης ἡμᾶς ἀναπλάσαντα, καὶ ἐκ τοῦ ᾅδου ἐγείραντα, καὶ ἀντὶ ἐπιγείων ἐπουρανίους ἡμᾶς ποιήσαντα. Ταῦτα γὰρ σχηματίζει σταυρὸς, καὶ τὸ μυστήριον τῆς Τριάδος διὰ τοῦ σταυροῦ καὶ τοῦ τύπου τούτου ἡμῖν χορηγήσαντα· καὶ τῷ μὲν ἰκρίῳ δηλοῦντα τὸν Πατέρα τὸν ὕψιστον καὶ ἡμῶν τῶν ἐπὶ γῆς προνοούμενον, τῇ δὲ κεραίᾳ τὸν Υἱὸν αὐτὸν καὶ τὸ Πνεῦμα, δι' αὐτῶν ἡμᾶς ὡς διὰ χειρῶν ἀναπλάττοντα. Ἐπεὶ καὶ Δαβὶδ φησὶν, « Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· » ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ. Καὶ ἡ λυχνία δὲ κρέμαται, τὴν
B Ἐκκλησίαν τυποῦσα, καὶ τὸν δι' αὐτῆς ἔλεον χορηγούμενον τοῖς πᾶσι καὶ φωτισμόν· καὶ ὅτι φῶς τῷ φωτὶ, καὶ ἔλαιον τῷ οἰκτίρμονι προσφέρειν εἰς δόξαν χρεών. Θυμιατήριόν τε ἐκεῖσε διὰ τὸ προσφέρειν τῷ Θεῷ πῦρ ὡς δοῦλον αὐτῷ μετὰ τῶν θυμιαμάτων. Καὶ γὰρ ἐκ πάντων τῶν στοιχείων τῷ πάντα τεχτηναμένῳ προσάγειν ἁρμόδιον, ὡς καὶ φῶτα καὶ ὕδωρ, καὶ τὰ ἐκ τῆς γῆς, ὡς τοὺς ἄρτους καὶ οἶνον, ἐξ ὧν καὶ ἡμεῖς ζῶμεν, καὶ τὰ τοῦ ἀέρος· ὡς τὰ θυμιάματα τὸν ἀέρα τυποῦντα, καὶ εἰς ἀέρα λυόμενα, καὶ τὰ λοιπά. Τὸ πῦρ δὲ καὶ ὡς καυστικὸν καὶ φωτιστικὸν, καὶ θερμαῖνον τοὺς ἐψυχωμένους, δι' ἃ καὶ εἰκονίζει τὸ θεῖον. « Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν καταναλίσκον, » φησί· καὶ « ὁ Θεὸς φῶς
C ἐστι· καὶ « ἐθερμάνθη ἡ καρδία μου ἐντός μου »· καὶ ἔτι τὸ θυμιατήριον καὶ τὸ πῦρ, διὰ τὸ προσάγειν θυμίαμα· ὃ εἰς τιμὴν μὲν ἔστι Θεοῦ καὶ παρ' ἡμῶν ὡς δῶρον, εὐῶδες δὲ εἰς ἀνάπαυσίν τε αὐτοῦ καὶ ἡμῶν ἁγιασμόν. Ὡς γὰρ διὰ πάσης τῆς ἀφῆς βαπτιζόμενοι καθαιρόμεθα, καὶ ῥαντιζόμενοι ἀνακαθαιρόμεθα, καὶ διὰ τοῦ μύρου χριόμενοι, ἁγιαζόμενοι καθιλαρυνόμεθα, καὶ τῇ εὐωδίᾳ τὴν ὄσφρησιν καὶ τὴν καρδίαν ἀναζωπυρούμεθά τε καὶ ἁγιαζόμεθα, ἐκ τοῦ θυμιάματος τὴν ὄσφρησιν ἡμῶν καὶ πνοὴν καθαιρόμενοι· ὡς καὶ τῷ θείῳ ἄρτῳ καὶ ποτηρίῳ τρεφόμεθά τε καὶ τὴν ψυχὴν στηριζόμεθα, καὶ τῇ ὁράσει τῶν ἁγίων καὶ καλλονῇ, καὶ τῷ τῶν θείων φώτων φωτὶ, τὴν ὅρασιν αὐγαζόμεθα ἁγίως καὶ λαμπρυνόμεθα. Καὶ ταῦτα δὲ ποιεῖν ἐδόθη τῇ
D Ἐκκλησίᾳ, καὶ εἰς δόξαν μὲν τοῦ παρασχόντος, ὅτι καὶ πάντα ἐξ αὐτοῦ, ὡς ἂν ὑμνῶμεν τὸν αἴτιον, καὶ εἰς ὁλοτελῆ δὲ φωτισμὸν ἡμῶν καὶ ἁγιασμόν. Τὸ οὖν θυμίαμα τὸν ἀέρα καθαγιάζει, καὶ τὴν ὄσφρησιν ἡμῶν καὶ ἀναπνοὴν, ἐπεὶ καὶ μεταδοτικὸν τῆς εὐωδίας ἐστὶν, ἀπὸ ἑνός τινος εἴδους πᾶσι πηγάζον τὴν ὀσμὴν διὰ τοῦ πυρός. Διὸ καὶ εἰκονίζει τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι καὶ ἐν αὐτῷ καὶ μόνον ἐστὶ, καὶ πᾶσι νέμει τὰ δῶρα, καὶ δι' αὐτοῦ πάντες τῶν χαρισμάτων μετέχουσι. Διὸ καὶ ἀνατιθεὶς τοῦτο τῷ Θεῷ ὁ ἀρχιερεὺς καὶ σφραγίζων, οὕτω φησί· « Θυμίαμά σοι, Χριστὲ ὁ Θεὸς, προσφέρομεν, ὃ προσδεξάμενος, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου Πνεύματος. »

ΚΕΦΑΛ. ΡΛΔ'. A

Τί ὁ κηρὸς προσφερόμενος.

Καὶ ὁ κηρὸς δὲ προσαγόμενός τε καὶ ἀναπτόμενος, τό τε καθαρὸν ἡμῶν ἐμφαίνει καὶ ἀκηλίδωτον τῆς προσαγωγῆς καὶ τὸ οἰκεῖον πρὸς τὴν σφραγῖδα, διὰ τὴν θείαν σημείωσιν καὶ τὸ μαλασσόμενον καὶ ὑπεῖκον, διὰ τὴν μετάνοιαν ἀπὸ τοῦ τραχέος καὶ τὴν ὑπακοήν, καὶ τὸ εὔκολον πρὸς τὸ πλάττειν διὰ τὴν ἀναμόρφωσιν, καὶ τὸ ἐξ ἀνθέων συγκεῖσθαι, διὰ τὴν χάριν τοῦ Πνεύματος, καὶ διὰ τὸ ἐκ πολλῶν καὶ σχεδὸν πάντων εἶναι, διὰ τὴν ἐκ πάντων προσαγωγήν· καὶ ἔτι διὰ τὸ πρὸς τὸ πῦρ ἑνωτικὸν, ἤτοι τὴν θέωσιν, καὶ τὸ λάμπειν διὰ τοῦ πυρός· καὶ ἔτι συνέχειν καὶ μένειν ἀεὶ, διὰ τὸ ἑνωτικόν τε καὶ καρτερικὸν τῆς ἀγάπης τε καὶ εἰρήνης. B

131 ΚΕΦΑΛ. ΡΛΕ'.

Τί ἡ ἄνω καθέδρα καὶ αἱ βαθμίδες.

Ἡ μὲν οὖν ἄνω καθέδρα, ὡς εἴρηται, τὴν ὑπερουράνιον δείκνυσι καθέδραν τοῦ Ἰησοῦ· αἱ ὑπ' αὐτὴν δὲ βαθμίδες τὴν ἑκάστου τῶν ἱεραρχῶν καὶ ἱερέων τάξιν τε καὶ ἀνάβασιν· ἔνθα δὴ καὶ οὐ θέμις τινὰ ἕτερον καθίσαι, οὐδὲ τῶν διακόνων αὐτῶν. Τούτοις γὰρ ἕτερος ἀφώρισται τόπος, ὃ καὶ ἀκολούθως ὠνόμασται διακονικόν· ἔνθα δὴ καὶ καθῆσθαι τούτους ἀκόλουθον· ὑποδιακόνους καὶ ἀναγνώστας δὲ, ἔξωθεν τοῦ βήματος περὶ τὸν σωλέαν· ὃς δὴ καὶ βῆμα καλεῖται ἀναγνωστῶν.

ΚΕΦΑΛ. ΡΛϚ'. C

Τί τὰ διάστυλα σημαίνει, καὶ ὁ ἐπάνω κοσμήτης καὶ τὸ πέπλον.

Τὰ διάστυλα δὲ τὴν διαφορὰν δεικνύει τῶν αἰσθητῶν πρὸς τὰ νοητὰ, καὶ ὡς στερέωμά ἐστι διαφράττον ἀπὸ τῶν ὑλικῶν τὰ νοούμενα· καὶ ὅτι τοῦ θυσιαστηρίου ἔμπροσθεν τοῦ Χριστοῦ οἱ στῦλοι τῆς αὐτοῦ εἰσιν Ἐκκλησίας, τοῦτόν τε κηρύσσοντες, καὶ ἡμᾶς ἐπερείδοντες. Διὸ καὶ ὑπεράνω τῶν διαστύλων ὁ κοσμήτης συνέχων, τὸν σύνδεσμον δηλῶν τῆς ἀγάπης, καὶ τὴν ἐν Χριστῷ ἕνωσιν, τῶν ἐκ τῆς γῆς ἁγίων μετὰ τῶν ἄνω. Ὅθεν καὶ ὑπεράνω τοῦ κοσμήτου μέσος μὲν ἔστι διὰ τῶν ἱερῶν εἰκόνων ὁ Σωτὴρ, ἑκατέρωθεν δὲ, ἡ Μήτηρ τε καὶ ὁ Βαπτιστὴς, ἄγγελοί τε καὶ ἀπόστολοι, καὶ οἱ λοιποὶ D τῶν ἁγίων, τὸ ἐν οὐρανοῖς τὸν Χριστὸν οὕτως εἶναι μετὰ τῶν ἁγίων αὐτοῦ, καὶ μεθ' ἡμῶν εἶναι νῦν, καὶ ἔρχεσθαι μέλλειν τῶν τοιούτων ἐκδιδασκόντων. Ἀλλὰ καὶ ὡς τὸ μνῆμα Χριστοῦ ἐξαιρέτως εἰκονίζειν τὸ βῆμα ποιοῦσι τὰ διάστυλα. Καὶ τάφον μὲν εἶναι τὴν ἱερὰν τράπεζαν, ὡς μνῆμα δὲ τὸ βῆμα, τὸ περὶ τὸν τάφον δηλαδή. Διὸ καὶ ὁ ἄμβων πρὸ τῆς θύρας τοῦ μνήματος ἵσταται, τὸν κυλισθέντα λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου δεικνύς· καὶ τὸ ὑψηλὸν ἔχει διὰ τὸ τοῦ κηρύγματος ὑψηλὸν, καὶ τὸ ἐπάνω καθῆσθαι τὸν ἄγγελον, καὶ τὴν ἀνάστασιν τοῦ Σωτῆρος κηρύττειν. Διὸ δὴ καὶ ἐπὶ τῷ ἄμβωνι οἱ ἱερεῖς σὺν διακόνοις τοὺς ἀγγέλους τυποῦντες τὰ Εὐαγγέλια λέγουσιν.

CAPUT CXXXIV.

Quid per ceram quæ offertur.

Cera porro oblata et accensa puritatem et candorem oblationis nostræ demonstrat. Quod idoneum est ad sigillum, respicit ad divinam impressionem; quod tenerum est ac molle, ad conversionem a duritate et submissionem; quod ad agendum facile est, ad renovationem; ex floribus compositio spectat ad Spiritus gratiam et ad id quod ex multis et propemodum ex cunctis est, ad oblationem ex cunctis; atque etiam ad unionis cum igne facilitatem, sive deificationem; et lucere per ignem et adhuc consistere et semper manere, ad id quod conjunctivum est et firmum charitatis ac pacis, respicit.

CAPUT CXXXV.

Quid per superiorem cathedram gradusque.

Cathedra quidem in alto posita, sicut dictum est, supercœlestem Jesu cathedram significat; gradus autem qui sub ipsa sunt, uniuscujusque pontificum ac sacerdotum ordinem et ascensionem, ubi non licet alium quemquam sedere, nec ex ipsis diaconis: istis enim seorsum alius assignatur locus, qui consequenter nominatur diaconium, ubi convenit eos sedere, subdiaconos autem et lectores extra sanctuarium circa soleam, quæ propterea vocatur sanctuarium lectorum.

CAPUT CXXXVI.

Quid per interstylia epistyliique compagem superius, ornatus causa additam, et per peplum.

Diastyla vero demonstrant differentiam inter sensibilia et intelligibilia, et sunt quasi firmamentum dividens a materialibus spiritualia; indicant etiam quod in conspectu altaris, id est Christi, illi sunt ipsius Ecclesiæ columnæ qui prædicant illum et nos confirmant. Ideo super diastyla cosmetes est connectens, qui significat vinculum charitatis et in Christo communionem sanctorum de terra cum cœlestibus. Unde quoque super cosmetam medius quidem est inter sacras imagines Salvator, utrinque vero Mater et Baptista, angeli et archangeli, apostoli et reliqui sanctorum, istis indicantibus in cœlis sic esse Christum cum sanctis suis, et nobiscum nunc esse, atque esse venturum. Sed et ostendunt diastyla tanquam Christi monumentum præsertim esse sanctuarium: sepulcrum quidem esse mensam sacram; ut monumentum autem esse sanctuarium, quod scilicet circa tumulum est. Ideoque umbo coram januis monumenti constat, lapidem ab ostio monumenti revolutum ostendens; et altitudinem habet propter prædicationis altitudinem; necnon quia desuper stetit angelus ad resurrectionem Christi prædicandam. Ideo super umbone sacerdotes cum diaconis angelos figurantes evangelia legunt.

CAPUT CXXXVII.

A

Quare in concha bematis sit sacellum quod prothesis dicitur et quid hoc significet.

Ex obliquo vero sanctuarii, armarii locus, qui dicitur prothesis, Bethleem et speluncam describit; Unde est velut in angulo, nec procul ab altari, licet longius olim essent in magnis templis propter vasorum custodiam. Quod autem est in angulo, significat istud primi Jesu adventus paupertatem, et egestas loci quasi speluncæ obscuritatem ac infirmitatem indicat.

CAPUT CXXXVIII.

Quod prothesis et quæ in illa sunt, imaginem ferunt Bethlehemi, et eorum quæ circa nativitatem Christi, et adorationis magorum contigerunt.

B

Ubi quoque, tanquam præsepe, locus est qui oblationem a principio recipit, et est prope altare, quoniam proxima Jerosolymis et Christi sepulcro Bethleem est; ubi primum depositum fuit pro nobis caro factum Dei Verbum; natum quidem de Virgine sancta, et ideo de oblatione pura panis educitur; supra vero semetipsum stellam deducens, quam asteriscus significat; involutumque pannis, quos indicant velamina; triaque dona accipiens; et pro istis, hæc tria sunt: pro auro, sacra vasa quæ ipsi dona sunt oblata; pro myrrha autem, involucrorum velamina, inter quæ vocatum funebre, sindona myrrhæ conjunctam significans; et pro libano, thymiama. Pro adoratione autem et glorificatione pastorum et magorum, sacerdotum et

C

populi sunt preces et laudes. Et ecce quæ sunt prothesis in Bethleem considerata sunt.

CAPUT CXXXIX.

De semicyclo bematis et de velamento sacræ mensæ.

Jam videamus etiam ea quæ sunt extra templum; quod certe visibilem mundum significat; et quasi quidem super cœlum sanctuarium, hemicyclium habet. Hoc ubique reperitur in omnibus templis, ut quod est supercœleste significet, sicuti concha sive prothesis ex obliquo, ut dictum est, speluncam in Bethleem repræsentat. Sacrum autem in divina mensa velamentum exprimit Dei immor-

D

talis tabernaculum, sive gloriam Dei et gratiam. Etenim ipse quidem est velatus, indutus lumine sicut vestimento, et super altissimo throno gloriæ suæ sedens; orbatim vero circa illum, seraphim et angeli et sanctorum animæ, qui, tanquam columnas, istos habent continentes et circumtegentes ipsius Evangeliorum notitiam; quam descendens ipse dedit, et ad extrema misit, et ex extremis Ecclesiam suam, quam univit angelis, congregavit.

CAPUT CXL.

Quid innuant multa lumina, duodena lumina, terna lumina, cæteraque quæ in ecclesia accenduntur.

Ideoque, tanquam in cœlo visibili, in templo sci-

ΚΕΦΑΛ. ΡΛΖ'.

Διατί ἐν κόγχῃ ἡ πρόθεσις, καὶ τί αὕτη σημαίνει.

Ὁ ἐκ πλαγίου δὲ τοῦ βήματος τοῦ σκευοφυλακίου τόπος, ὃς καὶ λέγεται πρόθεσις, τὴν Βηθλεὲμ καὶ τὸ σπήλαιον διαγράφει. Ὅθεν καὶ ὡς ἐν γωνίᾳ ἐστὶ, καὶ τοῦ θυσιαστηρίου οὐ πόῤῥω, εἰ καὶποῤῥωτέρω ποτὲ ἐν τοῖς μεγάλοις ἦσαν ναοῖς διὰ τὴν φυλακὴν τῶν σκευῶν. Τὸ ἐν γωνίᾳ οὖν εἶναι τοῦτο δηλοῖ, τὴν τῆς πρώτης παρουσίας πτωχείαν τοῦ Ἰησοῦ, καὶ τὸ πενιχρὸν τοῦ χωρίου καὶ ἀφανὲς σχεδὸν τοῦ σπηλαίου καὶ αὐτοσχέδιον.

ΚΕΦΑΛ. ΡΛΗ'.

Ὅτι ἡ πρόθεσις καὶ τὰ ἐν αὐτῇ τὴν Βηθλεὲμ εἰκονίζει, καὶ τὰ ἐπὶ τῇ γεννήσει τοῦ Σωτῆρος ἡμῶν, καὶ τῇ προσκυνήσει τῶν μάγων.

Ἔνθα καὶ ὡς φάτνη ὁ τόπος ὁ τὴν προσκομιδὴν ἐξαρχῆς δεχόμενος. Καὶ πλησίον τοῦ θυσιαστηρίου, ὅτι καὶ ἐγγὺς τῶν Ἱεροσολύμων καὶ τοῦ τάφου Κυρίου ἡ Βηθλεὲμ, ἔνθα δὴ καὶ προαπετέθη σαρκωθεὶς ὁ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν Λόγος, τεχθεὶς μὲν ἐκ Παρθένου ἁγίας, διὸ καὶ ἀπὸ καθαρᾶς προσφορᾶς ὁ ἄρτος ἐξάγεται, ἐπάνω δὲ ἑαυτοῦ ἀγαγὼν τὸν ἀστέρα, ὃν καὶ ὁ ἀστερίσκος ὧδε τυποῖ, σπαργάνοις τε εἰληθεὶς, ἃ δὴ σημαίνουσι τὰ καλύμματα, καὶ δῶρα λαβὼν τρισσὰ, καὶ ἀντὶ τούτων τὰ τρία ταῦτα, τὰ ἱερὰ σκεύη, ἀντὶ χρυσοῦ, τὰ προσαχθέντα δῶρα αὐτῷ· ἀντὶ δὲ τῆς σμύρνης τῶν καλυμμάτων **132** τὰ πέπλα, καὶ ὁ καλούμενος ἐπιτάφιος, τὴν σινδόνα τυπῶν ἐνωθεῖσαν τῇ σμύρνῃ, καὶ θυμίαμα ἀντὶ λιβανωτοῦ· ἀντὶ δὲ προσκυνήσεως καὶ δοξολογίας τῆς παρὰ τῶν ποιμένων καὶ μάγων αἱ διὰ ἱερέων καὶ τοῦ λαοῦ εὐχαὶ καὶ δοξολογίαι. Καὶ ἰδοὺ τὰ τῆς προθέσεως ἐν τῇ Βηθλεὲμ τεθεώρηται.

ΚΕΦΑΛ. ΡΛΘ'.

Περὶ τοῦ ἡμικυκλίου τοῦ βήματος, καὶ τοῦ τῆς τραπέζης καταπετάσματος.

Ἴδωμεν δὲ καὶ τὰ ἔξωθεν τοῦ ναοῦ, ὃς δὴ τὸν ὁρώμενον δηλοῖ κόσμον· καὶ ὡς μὲν ὑπὲρ τὸν οὐρανὸν τὸ βῆμα τὸ ἡμικύκλιον ἔχει. Καὶ πανταχοῦ τοῦτο γίνεται ἐν ἅπασι τοῖς ναοῖς, ἵνα δηλοῖ τὸ ὑπερουράνιον, ὡς καὶ ἡ κόγχη, ἤτοι πρόθεσις ἐκ πλαγίου, ὡς εἴρηται, τὸ ἐν τῇ Βηθλεὲμ σπήλαιον. Τὸ ἐν τῇ θείᾳ τραπέζῃ δὲ ἱερὸν καταπέτασμα, τὴν περὶ τὸν Θεὸν ἄϋλον σκηνὴν, ἤτοι δόξαν Θεοῦ καὶ χάριν, ᾗ αὐτὸς μὲν ἐστι καλυπτόμενος, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, καὶ ἐπὶ θρόνου ἐπηρμένου τῆς δόξης αὐτοῦ καθήμενος, περὶ κύκλῳ δὲ αὐτοῦ καὶ περὶ αὐτὸν, τὰ Σεραφὶμ καὶ οἱ ἄγγελοι καὶ αἱ τῶν ἁγίων ψυχαὶ, οἳ καὶ ὡς στύλους ἔχουσι συνέχοντας τούτους καὶ περιστέλλοντας τῶν Εὐαγγελίων αὐτοῦ τὴν γνῶσιν Ἣν κατελθὼν αὐτὸς δέδωκε, καὶ τοῖς πέρασιν ἐξαπέστειλε, καὶ ἐκ τῶν περάτων τὴν Ἐκκλησίαν αὐτοῦ συνεστήσατο, ἣν ἥνωσε τοῖς ἀγγέλοις.

ΚΕΦΑΛ. ΡΜ'.

Τί τὰ πολύφωτα, δωδεκάφωτά τε καὶ τρίφωτα, καὶ λοιπὰ ἀναπτόμενα ἐν τῇ ἐκκλησίᾳ.

Διὸ καὶ ὡς ἐν οὐρανῷ τῷ ὁρωμένῳ, τῷ ναῷ δη-

λαδή. ὡς ἀστέρες τὰ φῶτα ᾐώρηνται. Καὶ ὁ κύκλος ἐστὶ τῶν φώτων τὸ στερέωμα ὑπεμφαίνων, καὶ τὰς ζώνας τῶν πλανητῶν. Καὶ ἔτι ἕτερα φωτοδόχα ἀπῃώρηνται σκεύη· καὶ τὰ μὲν εἰς τύπον τοῦ παλαιοῦ πυρίνου στύλου, στυλώδη καὶ ὄρθια· τὰ δὲ τῆς βάτου· τὰ δὲ τοῦ τὸν Ἠλίαν ἁρπάσαντος ἅρματος, ἅπερ εἰσὶν οἱ τροχοί. Καὶ τὰ μὲν τριλαμπῆ διὰ τὴν Τριάδα, ὡς καὶ τὰ τρικήρια, τὰ δὲ ἑπτάλυχνα διὰ τῶν χαρισμάτων τὸν ἀριθμόν· τὰ δὲ δωδεκάφωτα διὰ τὴν τῶν ἀποστόλων χορείαν, ὧν καὶ μέσον ἓν ἵσταται ὑπέρτερον φῶς, εἰς τύπον τοῦ μεγάλου φωτὸς, τοῦ Ἰησοῦ. Ἔστι δὲ καὶ δικήριον τὸ διφυὲς αὐτοῦ δηλοῦν. Καὶ φῶτα μοναδικὰ, ἢ τὸ ἑνιαῖον τῆς Τριάδος δηλοῦντα, ἢ καὶ τῶν ἁγίων ἕνα τινὰ, πρὸς ὃν ἀπῃώρηται. Φῶς γὰρ κατὰ μετοχὴν, καὶ τῶν ἁγίων ἕκαστος, ὡς καὶ λυχνία ζῶσα ἡ ψυχὴ αὐτοῦ ἐστι λάμπουσα. Ἡ στερρότης δὲ καὶ εὐπρέπεια τοῦ ναοῦ, καὶ ἡ τοῦ ἐδάφους τερπνότης, τὸ ὡραῖον δηλοῦσι καὶ καθαρὸν τῶν ἁγίων καὶ πάγκαλον, καὶ τὸ τοῦ παραδείσου τερπνόν. Ἐπεὶ καὶ ὡς παράδεισον εἰρήκαμεν εἰκονίζεσθαι τὸν θεῖον ναόν. Μᾶλλον δὲ καὶ μείζω παρέχει τοῦ παραδείσου τὰ ἐπουράνια δῶρα· οὐ ξύλον ζωῆς ἁπλῶς, ἀλλ' αὐτὴν ἔχων τὴν ζωὴν ἱερουργουμένην καὶ διδομένην. Καὶ οὐ ξύλον ἔτι κέκτηται γνώσεως, τοῖς μὴ κατὰ καιρὸν γευομένοις προξενοῦν γύμνωσιν, ἀλλὰ τὴν ζῶσαν σοφίαν, ἑαυτὴν εἰς τροφὴν καὶ πόσιν παρέχουσαν καὶ κιρνῶσαν, προσκαλουμένην τε καὶ συνετίζουσαν τοὺς ἄφρονας, καὶ τὰ θύματα νέμουσαν, τὸ σῶμα καὶ αἷμα ἑαυτῆς, καὶ ὑπὲρ ἡμῶν σφαττομένην, καὶ οὐκ ἔτι λέγουσαν, « Μὴ φάγητε ἀπ' αὐτοῦ, ἵνα μὴ ἀποθάνητε, » ἀλλὰ, « Δεῦτε, φάγετε τὸν ἐμὸν ἄρτον, τὸ σῶμά μου, καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν, τὸ τῆς καινῆς διαθήκης αἷμά μου. Καὶ ἀπολίπετε ἀφροσύνην ἀπιστίας, καὶ ζήσεσθε. Καὶ ζητήσατε φρόνησιν εὐσεβείας, ἐμὲ δηλονότι τὴν πάντων φρόνησιν, ἵνα βιώσητε ζῶντες αἰωνίως· » καὶ τὰ ἑπόμενα τούτοις. Καὶ ἔτι ὡραῖος ὁ ναὸς, ὅτι κάλλει ὡραῖος ὁ πρὸς ἡμᾶς παραγεγονὼς ὡς πανάμωμος· καὶ νυμφίος οὗτος ὡραῖος· καὶ ἡ νενυμφευμένη αὐτῷ ὡραία, ἡ Ἐκκλησία, ὡς ἄσπιλος.

A licet, ut astra, lumina suspenduntur; et est luminum circulus, firmamentum zonasque planetarum subindicans; et adhuc sunt altera vasa ad recipiendas luces suspensa: et alia quidem sunt in typum veteris ignitæ columnæ, in columnæ formam erecta; alia vero, in typum rubi; alia autem currus Eliam auferentis, formam exprimunt, et dicuntur rotæ: alia sunt ad tria lumina propter Trinitatem, sicut et cerei trifurci; alia septem habent lumina juxta numerum charismatum; alia duodecim, propter apostolorum chorum; inter quæ medium unum assurgit superius lumen, in typum magni luminis, Jesu. Est etiam duplice lumine cereus ad duplicem ipsius ostendendam naturam, luminaque singularia, quæ vel Trinitatis unitatem B significant, vel indicant aliquem sanctorum unum, propter quem suspenduntur. Lumen enim est per participationem sanctorum unusquisque; sicut lucerna vivens, ipsius anima resplendet. Trinitas autem ac templi nitor et pavimenti jucunditas, sanctorum pulchritudinem, puritatem ac decorem repræsentant, sicut et paradisi jucunditatem: siquidem veluti paradisum typis exprimere diximus divinum templum; vel potius majora paradiso præstat, cœlestia dona; non solum vitæ lignum, sed ipsam habet vitam, in sacris immolatam ac traditam. Non jam possidet scientiæ lignum, de hoc non opportune edentibus afferens nuditatem; sed viventem sapientiam, semetipsam in cibum et po- C tum præbentem ac miscentem, vocantemque et excitantem imprudentes, necnon victimas distribuentem, corpus et sanguinem suum; et propter nos immolatam; nec jam dicentem: « Ne comedite ex eo, ut non moriamini; » sed: « Venite, comedite panem meum, corpus meum, et bibite vinum quod miscui vobis, Novi Testamenti sanguinem meum. Et derelinquite dementiam incredulitatis, et vivite; et quærite prudentiam pietatis, me scilicet, omnium prudentiam, ut sitis in æternum viventes; » et his sequentia. Est etiam speciosum templum, quoniam aspectabilis erat specie qui venit ad nos, ut irreprehensibilis. Et iste, sponsus est speciosus; et ipsi desponsata speciosa, est Ecclesia, tanquam immaculata.

133 ΚΕΦΑΛ. ΡΜΑ'.

Διατί τὰ ἱερὰ ἐν τῷ ναῷ πέπλα, καὶ ὁ πολυτελὴς κόσμος, καὶ ἡ διάφορος εὐωδία.

Ἀλλὰ καὶ πέπλα τίμια τῷ ναῷ, ὅτι « ὁ Θεὸς εὐπρέπειαν ἐνεδύσατο· » καὶ εἰς τύπον τῆς θείας ἀρετῆς τε καὶ δόξης. Καὶ κόσμος πολυτελὴς, ὅτι δόξα παρ' αὐτῷ, καὶ ὡραιότης αὐτῷ καὶ κάλλος. Καὶ ὁ πλοῦτος αὐτῷ τῶν δωρημάτων πολύς. Καὶ εὐωδίας καὶ μύρων πλήρης ὁ τόπος. « Ὀσμὴ γὰρ μύρων σου, φησὶν, ὑπὲρ πάντα τὰ ἀρώματα. Καὶ σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου. » Ἱμάτια δὲ Χριστοῦ οἱ κατ' αὐτὸν ζῶντες. Διὸ σὺν τοῖς εὐώδεσι καὶ πολυτελέσι καὶ ψυχὰς καὶ σώματα ἁγνὰ καὶ εὐώδη τούτῳ προσάγειν δεῖ. Ἐπεὶ καὶ ναὸς Θεοῦ ἡμεῖς ἐξαιρέτως, ὥσπερ καὶ Παῦλός φησι· καὶ σῶμα καὶ μέλη Χριστοῦ· καὶ δι' ἡμᾶς τὰ αἰσθητὰ ταῦτα,

CAPUT CXLI.

D *Quam ob causam sacra sint in templo pepla, et pretiosus ornatus, et multiplex fragrans suffitus.*

Sed et pretiosa pepla sunt in templo, quoniam « Deus decorem indutus est; » et in typum divinæ virtutis et gloriæ; sumptuosusque ornatus, quoniam apud illum gloria, ipsique speciositas et pulchritudo; et munerum divitiæ ipsi multæ sunt. Et olentia unguentoque plenus est locus. « Unguentorum tuorum bonus odor, inquit, super omnia aromata; myrrha et stacte et casia a vestimentis tuis. » Vestimenta vero Christi sunt illi qui secundum ipsum vivunt. Ideoque cum bonis pretiosisque odoramentis, animas et corpora casta beneque olentia ad ipsum producere oportet: siquidem nos excellenter sumus Dei templum, corpusque ac membra

Christi; et ista sensibilia propter nos sunt et nos figurant: intelligentes enim constamus simul et sensibiles. Et hoc significant quæ sunt in sanctuario et extra illud, sicut et Salvatorem nostrum, duplum pro nobis factum, Deum verum vereque sic manentem, hominemque verum et perfectum, quin Deus esse cessaverit.

A ἃ δὴ καὶ τυποῦσιν ἡμᾶς. Νοητοὶ γὰρ ἡμεῖς ἅμα τελοῦμεν καὶ αἰσθητοί. Καὶ τοῦτο δηλοῦσι τὰ τοῦ βήματος καὶ τὰ ἔξωθεν, ὡς καὶ τὸν Σωτῆρα ἡμῶν, διπλοῦν γεγονότα δι' ἡμᾶς, Θεὸν ὄντα καὶ μένοντα ἀληθῶς, καὶ ἄνθρωπον ὑπάρξαντα ἀληθῶς καὶ ὄντα, τὸ Θεὸς εἶναι μὴ τραπέντα.

CAPUT CXLII.

De populi in templo statione.

Stant autem etiam in templo secundum ordinem. Et primo quidem illi qui sacri characteris effecti sunt participes: præstat enim ut Dei opus sacerdotii sigillum. Deinde post istos monachi, qui laicis omnibus supereminent, tanquam præter omnes purificati, vitamque celsiorem ac cœlestem amplexati, castitate paupertateque sibi delectis; et ante laicos omnes, ipsosque in auctoritate constitutos, præter regem ob secundum chrisma, communionem participant. Post monachos autem, veniunt ex aliis hi qui purificati sunt, licet ordo nunc mutatus sit. Attamen et sursum manet: nam qui puriores aliis sunt, nunc etiam frequentius aliis, et fidenter loquor, communionis sunt participes.

ΚΕΦΑΛ. ΡΜΒʹ.

Περὶ τῆς ἐν τῷ ναῷ στάσεως τοῦ λαοῦ.

Ἵστανται δὲ καὶ κατὰ τάξιν ἐν τῷ ναῷ· καὶ πρῶτον μὲν, οἱ ἱερᾶς μετεσχηκότες σφραγῖδος· ὑπερέχει γὰρ ὡς τοῦ Θεοῦ ἔργον ἡ σφραγὶς τῆς ἱερωσύνης· εἶτα μετὰ τούτους οἱ μοναχοὶ, οἳ καὶ λαϊκῶν πάντων ἐξέχουσιν, ὡς παρὰ πάντας κεκαθαρμένοι, B καὶ τῆς ὑψηλοτέρας ἐπειλημμένοι καὶ οὐρανίου ζωῆς, τὴν ἁγνείαν καὶ πτωχείαν ἑλόμενοι. Καὶ πρὸ τῶν λαϊκῶν πάντων, καὶ αὐτῶν δὴ τῶν ἐν ἐξουσίαις, πλὴν βασιλέως διὰ τὸ δεύτερον χρίσμα, τοῖς κοινωνίας μετέχουσι. Μετὰ τοὺς μοναχοὺς δὲ οἱ τῶν ἄλλων κεκαθαρμένοι, εἰ καὶ ἡ τάξις ἄρτι ἠλλοίωται· ἀλλ' ὅμως καὶ πάλιν μένει, οἱ καθαρώτεροι γὰρ τῶν ἄλλων καὶ νῦν συνεχέστερον τῶν ἄλλων καὶ μετὰ θάῤῥους εἰπεῖν τῆς κοινωνίας μετέχουσιν.

CAPUT CXLIII.

Quando imperator intra sacrum bema communicat et quomodo.

Imperator intra sanctuarium communicat juxta tempus et istud solum unctionis et proclamationis, tamen post diaconos, et sicut et antiquis imaginibus cognovimus, non in sacra mensa, sed posito oblique antiminsio super quamdam mensulam. Etenim pontifices quidem prius et sacerdotes et diaconi, ex more, vivificum panem et ex consuetis sacris calicibus divinum sanguinem participant; postea vero rex accedens sanctissimum panem a patriarcha manu sumit, velut diaconi; et vivificum sanguinem ab ipso patriarcha, labiis, sicut diaconi, participat e sacro calice propter ipsum parato. Et id desuper fuerat dispositum: istum honorem accepit ob regni chrisma, tanquam maximi dominatoris Ecclesiæ sanctæ locum adeptus, istiusque defensor vocatus, et tanquam Christus Domini, populique Christiani et universæ terræ imperator electus: velut pius enim etiam cum Ecclesiæ clero connumeratus est.

ΚΕΦΑΛ. ΡΜΓʹ.

Πότε ὁ βασιλεὺς ἔνδον τοῦ βήματος κοινωνεῖ, καὶ πῶς.

Ὁ βασιλεὺς δὲ ἔνδον τοῦ βήματος κοινωνεῖ κατ' αὐτὸν καὶ μόνον τὸν καιρὸν τῆς χρίσεως καὶ ἀναγορεύσεως· πλὴν μετὰ τοὺς διακόνους, καὶ ὡς παρὰ C τῶν παλαιῶν ὑποτυπώσεων ἔγνωμεν, οὐκ ἐν τῇ ἁγίᾳ τραπέζῃ, ἀλλὰ τιθεμένου ἐκ πλαγίου ἀντιμινσίου ἐν τραπεζακίῳ τινί. Οἱ μὲν γὰρ ἀρχιερεῖς πρότερον καὶ ἱερεῖς καὶ διάκονοι κατὰ τὸ ἔθος τοῦ ζωοποιοῦ ἄρτου καὶ ἐκ τῶν συνήθων ἱερῶν ποτηρίων τοῦ θείου αἵματος μετέχουσι· μετὰ ταῦτα δὲ προσελθὼν ὁ βασιλεὺς, τὸν ἁγιώτατον ἄρτον τῇ χειρὶ παρὰ τοῦ πατριάρχου λαμβάνει ὡς οἱ διάκονοι· καὶ τοῦ ζωοποιοῦ αἵματος παρ' αὐτοῦ τοῦ πατριάρχου τοῖς χείλεσιν ὡς οἱ διάκονοι κοινωνεῖ ἐκ τοῦ δι' αὐτὸν ἡτοιμασμένου ἱεροῦ ποτηρίου. Καὶ τοῦτο ἦν νενομισμένον ἄνωθεν. Καὶ ταύτην εἴληφε τὴν τιμὴν διὰ τὸ χρίσμα τῆς βασιλείας, ὡς καὶ δεσποτάτου τῆς ἱερᾶς Ἐκκλησίας τόπον λαβὼν, καὶ δεφένσωρ ταύτης ἐπικληθεὶς, D καὶ ὡς Χριστὸς Κυρίου, καὶ τοῦ Χριστωνύμου λαοῦ βασιλεὺς προχειρισθεὶς, καὶ πάσης τῆς οἰκουμένης. Ὡς γὰρ εὐσεβὴς, καὶ τῷ κλήρῳ συνηριθμήθη τῆς Ἐκκλησίας.

CAPUT CXLIV.

Quomodo proclamatur imperator.

Ideoque, in coronatione, primo quidem acclamatur a principibus, si per traditionem regnum occupat, extollentibus illum super militarem clypeum in conspectu populi; quod rei militaris imperium et regnum indicat. Et a dignioribus extollitur, tanquam ipsorum principatus et caput factus. Et a militibus et populo adoratur faustisque clamoribus excipitur, ut ipsorum dominator creatus. Et dona tribuit, ut dominus et benefactor et provisor constitutus. Deinde venit in Ecclesiam, ostendens se

ΚΕΦΑΛ. ΡΜΔʹ.

Ὅπως ἀναγορεύεται ὁ βασιλεύς.

Διὸ καὶ ἐν τῷ στέφεσθαι πρότερον μὲν ἀναγορεύεται ὑπὸ βασιλέων, εἰ κατὰ διαδοχὴν τὴν βασιλείαν πλουτεῖ, ἀνυψούντων αὐτὸν ἐπὶ στρατιωτικῆς ἀσπίδος ἐνώπιον τοῦ λαοῦ, ὃ τὴν στρατηγίαν δηλοῖ καὶ βασιλείαν. Καὶ ὑπὸ ἀξιωματικῶν αἴρεται, ὡς ἀρχὴ τούτων γινόμενος **134** καὶ κεφαλή. Καὶ ὑπὸ στρατιωτῶν καὶ τοῦ δήμου προσκυνεῖται καὶ εὐφημεῖται, ὡς δεσπότης αὐτῶν γεγονώς. Καὶ δῶρα δίδωσιν, ὡς κύριος καὶ εὐεργέτης καὶ προνοητὴς καταστάς. Εἶτα εἰς τὴν Ἐκκλησίαν εἰσελθὼν, δεικνὺς τὴν εἰς Θεὸν

A ὑποταγὴν καὶ καταφυγὴν τὸν ὄντα πάντων ἀρχήν, τὰ τῆς χάριτος αὐτοῦ ζητεῖ. Ἐπεὶ δοῦλός ἐστι Θεοῦ. Καὶ τελεσθῆναι βασιλεὺς ἐξαιτεῖται. Δι' αὐτοῦ γὰρ τοῦ Βασιλέως τῶν βασιλέων Χριστοῦ βασιλεῖς βασιλεύουσι· καὶ αὐτοῦ μόνου ἡ βασιλεία αἰώνιος. Ὅθεν καὶ τὸν ναὸν αὐτοῦ τὸν θεῖον ὡς βασίλειον εἰσέρχεται ἅγιον, ὥστε λαβεῖν τὰ τῆς βασιλείας.

ΚΕΦΑΛ. ΡΜΕ'.

Ὅπως ὑπὸ τῆς Ἐκκλησίας στέφεται ὁ βασιλεύς.

Διὸ καὶ ὁ τὴν ἐξουσίαν ἔχων αὐτοῦ καὶ ἁγιάζειν δυνάμενος ἱεράρχης, ὁ τὴν ἀπαθῆ κεκτημένος καὶ ὑπέργειον ἀρχὴν τὴν τοῦ Πνεύματος, αὐτὸν ὑποδέχεται προσελθόντα. Καὶ οὐχ ἁπλῶς ὅπερ αἰτεῖται δίδωσιν· ἀλλὰ πρότερον τὴν εἰς Θεὸν ζητεῖ τοῦτον πίστιν ἀνομολογῆσαι ὀρθῶς, B καὶ τὴν εἰς τὸ ὑπήκοον πρόνοιάν τε καὶ εὔνοιαν ἐν δικαιοσύνῃ.

ΚΕΦΑΛ. ΡΜϚ'.

Διατί χρίεται μύρῳ ὁ βασιλεύς, καὶ εὐχαῖς τελειοῦται.

Καὶ τοῦτο δεδωκότος τοῖς χείλεσι, καὶ ὑποσημηναμένου τῇ χειρί, δεῖ γὰρ ἀσφαλῆ καὶ βέβαια εἶναι τὰ πρὸς Θεόν, τὰ τῆς ἀρχῆς αὐτῷ ἐγχειρίζει τοῦ ἄμβωνος ἄνωθεν, μέσον τοῦ βασιλευομένου λαοῦ ἀναγορεύων καὶ χρίων εἰς βασιλέα τῷ θείῳ μύρῳ καὶ ἱερωτάταις εὐχαῖς· τῷ μὲν μύρῳ σφραγίζων αὐτόν, τῇ σημειώσει καὶ χρίσει τοῦ ὄντως παντάνακτος, καὶ κατὰ μίμησιν αὐτοῦ τοῦτον καθιστὰς ἐπὶ γῆς, καὶ ἐνισχύων τῷ Πνεύματι, καὶ μεταδοτικὴν διὰ τῆς εὐωδίας τοῦ μύρου χαριζόμενος αὐτῷ χάριν, C εἰς τὸ ἄρχοντας κατὰ κόσμον καὶ στρατηγοὺς καθιστᾷν· ταῖς εὐχαῖς δὲ κατοχυρῶν καὶ περιφρουρῶν καὶ ἐνισχύων καὶ τελειῶν, ἐκ τοῦ κραταιοῦ καὶ μόνου δυνάστου καὶ Κυρίου τῶν ὅλων τὰ ἐπὶ γῆς καὶ ἐν οὐρανῷ ἀγαθὰ αὐτῷ ἐξαιτούμενος. Διὸ καὶ μετὰ τὴν πρώτην εὐχήν, τῇ κεφαλῇ αὐτοῦ σταυροειδῶς ἐκχέει τὸ μύρον· δεικνὺς ὡς ὁ Χριστὸς αὐτὸν ἔχρισε, καὶ ὁ νικήσας διὰ σταυροῦ νικητὴν αὐτὸν εἶναι παρασκευάζει, καὶ ὁ τὸ κράτος ἔχων αἰώνιον, καὶ τὸ στέφος ἔχων τῆς δόξης, κράτος καὶ τούτῳ νέμει, καὶ κεφαλὴν πάντων δείκνυσι. Διὰ τοῦτο γὰρ καὶ μόνην χρίει τὴν κεφαλήν, καὶ τὸ Ἅγιος ἀνακράζει, δεικνὺς ὅτι ἐκ τοῦ ἁγίου καθαγιάζεται, καὶ καθιεροῦται βασιλεὺς τῶν ἡγιασμένων εἶναι ἀπὸ Χριστοῦ. D Καὶ ταινιοῦται τὴν κεφαλὴν ὁ ἄρχων γεγονὼς πάντων. Καὶ ταινιωθείς, ὑποκλίνει τὴν κεφαλήν, διδοὺς τὴν δουλείαν τῷ τῶν ὅλων Δεσπότῃ. Καὶ τὴν δευτέραν εὐχὴν ἐπιδέχεται, ὡς λαμβάνων τὰ μέγιστα, οἷα δοῦλος εὐγνώμων παρὰ Χριστοῦ, καὶ ὡς ἐκλεκτὸς αὐτῷ.

ΚΕΦΑΛ. ΡΜΖ'.

Διατί ὁ νέος βασιλεὺς ὑπὸ βασιλέων πατέρων, ἢ στρατηγῶν ἐν τῷ μέλλειν χρισθῆναι προσάγεται.

Διὸ καὶ ὡς ἐκλελεγμένος αὐτῷ, ἢ ὑπὸ βασιλέως πατρός, ἢ ὑπὸ τῶν πρώτων τῶν ἐν ταῖς ἐξουσίαις, τῷ ἱεράρχῃ προσάγεται· μαρτυρουμένου κἂν τούτῳ, ὡς οὐ τυραννικῶς ἐλήλυθεν, ἀλλὰ κατὰ νόμους ἐκλεγείς, καὶ εἰς τὸ προχειρισθῆναι προσενεχθείς.

Deo submitti et ad ipsum confugere qui cunctorum habet principatum; et ea quæ sunt ipsius gratiæ quærit. Nam servus Dei est, et consecrari rex expostulat. Per ipsum enim regem regum Christum reges regnant; ipsiusque solius regnum est æternum. Unde in divinum ipsius templum, velut in regiam sacram, ingreditur, ut quæ regni sunt accipiat.

CAPUT CXLV.

Quomodo in Ecclesia coronatur imperator.

Ideo qui potestatem ipsius habet et sanctificare valet pontifex, accepto principatu indeficiente atque superterreno, spiritus principatu, progredientem illum excipit. Et non simpliciter petitum concedit; sed prius ab isto quærit ut recte fidem ad Deum, et ad obediendum mentem docilem et benevolam in justitia confiteatur.

CAPUT CXLVI.

Quare sacro unguento inungitur imperator et precibus inauguratur.

Et cum hoc dederit labiis manuque consignaverit, tuta enim ac firma esse oportet ea quæ ad Deum respiciunt, illa quæ principatus sunt ipsi committit, ex ambone desuper, in medio populi gubernati acclamans, et in regem divino unguento sacratissimisque precibus inungens; myrrha quidem illum signans, charáctere et unctione illius qui reipsa cunctorum est dominator; et ad imitationem ipsius, illum constituens super terram, Spirituque roborans, et, per myrrhæ suavitatem, largissimam impertiens ei gratiam, ad duces civiles et militares constituendos. Precibus autem roborat, circummunit, confirmat et consecrat, ab illo qui solus est fortis et potens et omnium dominus terrestria cœlestiaque bona ipsi exoptans. Ideo post primam orationem, in caput ejus, crucis forma, myrrham infundit; ostendens quod Christus illum unxit, et qui per crucem vicit, illum esse victorem parat, et qui potestatem habet æternam, coronamque gloriæ gestit, potentiam et illi tribuit, et omnium caput ostendit. Ideo enim solum caput ungit; et tum: « Sanctus » intonat, significans quod ex sancto sanctificatur, et consecratur, ut a Christo sit sanctificatorum imperator. Et capite cingitur qui dux omnium est factus. Et coronatus, subinclinat caput servitutem præstans omnium Dominatori. Et secundam accipit orationem, veluti maxima recipiens tanquam fidelis servus, a Christo, et tanquam ipsi electus.

CAPUT CXLVII.

Quare novus imperator perungendus adducitur ab imperatoribus parentibus vel a summis ducibus.

Ideo tanquam electus ipsi, vel ab imperatore patre, vel a primis eorum qui sunt in auctoritate, ad pontificem adducitur. Sic testimonio probatur illum non tyrannice venisse, juxta leges electum esse, et ad imperium accipiendum, productum fuisse.

CAPUT CXLVIII. A

Quod olim preces in Ecclesia etiam pro proceribus et viris in dignitate constitutis peragebantur.

Hoc etiam sane post imp. erga cæteros in dignitate constitutos efficiebatur. Etenim post electionem regiamque propositionem, in ecclesiam adducebantur, et pro sacris januis, super mensam antiminsio posito, quæ sunt orationis atque benedictionis a patriarcha fiebant. Et ideo puto negotia ducum illorum fuisse prospera, quo Ecclesiæ submitterentur, et sacras Ecclesiæ preces acciperent. Rex vero postquam unctus est et pontificis de manu benedictionem accepit, assumit super caput coronam; et crucem, in signum pietatis; et candorem, qui pulvis est in mandylio, potestatis corruptibilitatem et exinde humilitatem significans; et ab B omnibus acclamatione fausta dignatus recedit.

CAPUT CXLIX.

Quid significet quod pro sacro pallio super imperatorias vestes imperator induit, et quid innuat ex levi ligno sceptrum.

Super regalia vestimenta sacrum etiam indumentum circumducitur, quod est magni dominatoris, significans moderationem et benevolentiam, quam in Ecclesiam præstare debet, et pacem. Sumit quoque virgam, non quamdam gravem ac duram, sed levem ac dulcem, ad corrigendum in lenitate, non autem ad irascendum et destruendum, nec ad conterendum et delendum.

CAPUT CL. C

Quid, quod in Sancta imperator novus ingreditur.

Et ita progreditur ante sanctos martyres, quoniam bene regere debet et pacificare Ecclesiam, et ante illam progredi, et bene moderari illam, et turbulentos persequi, cogereque omnes illi subjici et esse servos. Nam et ipse servitutem et fidem illi promittit, non tectus ante tremenda mysteria, progrediens, obedientiamque tanquam matri, illi præstans; pollicetur etiam quod erit per viam currens, quæ secundum Deum est, rectam et non erraticam, ad regnum cœlorum ducentem. Postquam enim templum percucurrit, in signum vitæ quæ nunc est, ad portas altaris consistit, ubi sane stat prope sacerdotes pro ipso deprecantes, ut regnum Christi obtineat. Paulo post autem hoc re- D gnum ipsum etiam in pignore sumit.

CAPUT CLI.

Quod in bema sive in sancta ingressus imperator communicat.

Etenim post sacri celebrationem, ad altare sicut ad cœlum rex ingressus, ipsum cœleste regnum Jesum Christum, Deum nostrum, participat; et reipsa consecratur rex sacra communione, ut ait divus Dionysius; quoniam per ipsam omnia consecrantur. Hæc etsi sunt extra subjectum, siquidem de templo est sermo, sunt tamen consequentia: nam sermo, qui de stantibus in templo erat, ad hoc nos necessario duxit.

ΚΕΦΑΛ. ΡΜΗ'.

Ὅτι καὶ ἐπὶ ἀξιωματικῶν εὐχὴ ὑπὸ τῆς Ἐκκλησίας πρὶν ἐτελεῖτο.

Ὃ δὴ καὶ μετὰ τοὺς βασιλεῖς καὶ εἰς τοὺς ἄλλους τῶν ἀξιωματικῶν ἐτελεῖτο. Μετὰ γὰρ τὴν ἐκλογὴν καὶ τὴν βασιλικὴν πρόβλησιν προσήγοντο τῇ Ἐκκλησίᾳ, καὶ πρὸ τῶν ἁγίων θυρῶν ἐπὶ τραπέζης ἀντιμινσίου τιθεμένου, τὰ τῆς εὐχῆς καὶ εὐλογίας παρὰ τοῦ πατριάρχου **135** ἐγίνετο. Καὶ διὰ τοῦτο οἶμαι τὰ τῶν ἀρχόντων ἐκείνων εὐοδοῦσθαι, διὰ τὸ ὑποκύπτειν τῇ Ἐκκλησίᾳ, καὶ τὰς ἱερὰς λαμβάνειν εὐχάς. Ὁ δέ γε βασιλεὺς μετὰ τὸ χρισθῆναί τε καὶ εὐλογηθῆναι ἀρχιερατικῇ χειρὶ, καὶ τὸ στέμμα λαβεῖν ἐπὶ κεφαλῆς, καὶ τὸν σταυρὸν εἰς δεῖγμα τῆς εὐσεβείας, καὶ τὴν ἀκακίαν, ὅπερ χοῦς ἐστιν ἐν μανδυλίῳ, σημαῖνον τὸ φθαρτὸν τῆς ἀρχῆς, καὶ τὴν ἐκ τούτου ταπείνωσιν, καὶ παρὰ πάντων τῆς εὐφημίας ἀξιωθῆναι καὶ κατελθεῖν.

ΚΕΦΑΛ. ΡΜΘ'.

Τί τὸ ὡς μανδύας ἱερὸν, ὃ ἐπάνω τῶν βασιλικῶν ἐνδυμάτων λαμβάνει ὁ βασιλεύς· καὶ τί ἡ ἀπὸ κούφου ξύλου ῥάβδος.

Ἐπάνω τῶν βασιλείων καὶ ἱερὸν ἔνδυμα περιβάλλεται, ὃ δεσποτάτου ἐστὶ, τὴν εὐταξίαν σημαῖνον καὶ τὴν εὐλάβειαν, ἣν ὀφείλει τῇ Ἐκκλησίᾳ ποιεῖν καὶ τὴν εἰρήνην. Καὶ ἔτι ῥάβδον λαμβάνει, οὐ βαρεῖάν τινα καὶ σκληρὰν, ἀλλ' ἐλαφράν τε καὶ μαλακὴν, διὰ τὸ παιδευτικὸν ἐν πραότητι καὶ μὴ ὀργίλον καὶ φθαρτικὸν, μηδὲ συντρῖβον καὶ ἀφανίζον.

ΚΕΦΑΛ. ΡΝ'.

Τί τὸ εἰσοδεύειν εἰς τὰ Ἅγια τὸν βασιλέα.

Καὶ τῶν ἁγίων οὕτω προπορεύεται, μαρτυρῶν, ὡς εὐτακτεῖν ὀφείλει καὶ εἰρηνεύειν τὴν Ἐκκλησίαν, καὶ προπορεύεσθαι ταύτης καὶ κατευθύνειν αὐτὴν, καὶ τοὺς ταραχώδεις διώκειν, καὶ πάντας ὑποκύπτειν αὐτῇ ποιεῖν καὶ δούλους εἶναι. Ἐπεὶ καὶ αὐτὸς δουλείαν αὐτῇ μαρτυρεῖ καὶ πίστιν, ἀσκεπὴς ὢν τῶν φρικτῶν μυστηρίων προπορευόμενος, καὶ ὑπακοὴν μητρικὴν αὐτῇ ἐξυπηρετῶν· καὶ ὅτι τὴν κατὰ Θεὸν ὁδὸν ἔσται τρέχων, καὶ τὴν εὐθεῖαν καὶ ἀπλανῆ, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἄγουσαν. Καὶ γὰρ περιδραμὼν τὸν ναὸν, τὴν ἐνταῦθα δηλῶν ζωὴν, εἰς τὰς πύλας τοῦ θυσιαστηρίου καθίσταται. Ἔνθα δὴ καὶ πλησίον ἵσταται τῶν ἱερέων εὐχομένων ὑπὲρ αὐτοῦ, τυχεῖν τῆς βασιλείας Χριστοῦ. Μετὰ μικρὸν δὲ καὶ τὴν βασιλείαν αὐτὴν ἐν ἀῤῥαβῶνι λαμβάνει.

ΚΕΦΑΛ. ΡΝΑ'.

Ὅτι εἰς τὸ βῆμα ὁ βασιλεὺς εἰσερχόμενος κοινωνεῖ.

Μετὰ γὰρ τὴν ἱερουργίαν, εἰς τὸ θυσιαστήριον εἰσελθὼν ὡς εἰς οὐρανὸν, αὐτῆς μετέχει τῆς οὐρανίου βασιλείας Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Καὶ τελειοῦται ὄντως βασιλεὺς τῇ ἱερᾷ κοινωνίᾳ, ὡς ὁ θεῖός φησι Διονύσιος· ὅτι πάντα τελειοῦται δι' αὐτῆς. Ταῦτα εἰ καὶ ἔξω τοῦ προκειμένου· περὶ γὰρ τοῦ ναοῦ ὁ λόγος, ἀλλ' ἑπόμενα· ἐπεὶ περὶ τῶν ἱσταμένων ἐν τῷ ναῷ ἦν ὁ λόγος, καὶ εἰς τοῦτο ἡμᾶς ἀναγκαίως ἤγαγεν.

Κληρικός. Ἀναγκαιότατον, θειότατε δέσποτα. Καὶ γὰρ ἦν ἀναγκαῖον καὶ περὶ τούτου μαθεῖν.

ΚΕΦΑΛ. ΡΝΒ'.

Περὶ στάσεως πιστῶν καὶ κατηχουμένων, καὶ τῶν ἐπ' ἐγκλήμασιν.

Ἀρχιερεύς. Οὕτω μὲν οὖν ἵσταται ὁ εὐσεβὴς λαὸς ἐν τῷ ναῷ, τὸν ὁρώμενον τοῦτον ἐξ οὐρανοῦ καὶ γῆς σημαίνοντι κόσμον· καὶ πάντες μόνοι χωροῦσιν ἐν τούτῳ οἱ εὐσεβεῖς, οἱ ἐν τῇ τοῦ Θεοῦ γῇ τὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς εὐσεβῶς ὑμνοῦντες Δεσπότην· οὐ μὴν δέ τις τῶν ἀσεβῶν ἢ ἑτεροδόξων καθόλου· ὅτι οὐδὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ. Ἵστανται δὲ τοῦ ἄμβωνος ὄπισθεν περὶ τὰ κατώτερα δὴ τοῦ ναοῦ οἱ εὐσεβεῖς μὲν καὶ τὴν πίστιν ὁμολογοῦντες, **136** ἀφώτιστοι δὲ ἔτι, καὶ τὸ θεῖον B βάπτισμα μὴ δεξάμενοι. Διὸ καὶ ὡς μήπω πιστοὶ τελέως, μηδὲ μέλη ἐσφραγισμένα τῆς Ἐκκλησίας, ἔξω βάλλονται τῶν μυστηρίων εἰσαγομένων. Οὐ γὰρ τῆς κοινωνίας Θεοῦ οὗτοι ἄξιοι. Καὶ κατοικοῦντες γὰρ τὴν τοῦ Θεοῦ κτίσιν, ἀνάξιοι τῆς τοῦ Θεοῦ μετουσίας, ὡς τὴν φθαρτὴν μόνον γέννησιν ἀσχηκότες, οὐ μὴν δὲ κατηξιωμένοι τῆς ἀφθαρσίας καὶ τῆς ἀθανάτου ζωῆς. Ἐξάγονται μὲν οὗτοι· ἀλλὰ καὶ οἱ παραπεπτωκότες μετὰ τὸ βάπτισμα, καὶ ἢ Θεοῦ ἀρνήσει περιπεσόντες, ἢ αἵματι χρανθέντες ἀδελφικῷ. φόνον ἐργασάμενοι, ἢ καὶ ἕτερά τινα πεπραχότες τῆς κοινωνίας ἀπείργοντα.

ΚΕΦΑΛ. ΡΝΓ'.

Ὅτι οὐ πάντες νῦν ἐξωθοῦνται μετὰ τῶν κατηχουμένων.

C Οἱ δὴ πάντες ἐξωθοῦντο πρότερον τῶν κατηχουμένων ἐξερχομένων. Νῦν δὲ διὰ τοὺς διωγμοὺς καὶ τὰς συνεχεῖς περιστάσεις, οὕτω τῶν Πατέρων καλὸν εἶναι λογισαμένων, κατηχούμενοι μὲν καὶ ἀρνησάμενοι καὶ φονεύσαντες ἐξωθοῦνται· οἱ δὲ λοιποὶ βάπτισμα μόνον κεκτημένοι ἀφίενται, ἰδίᾳ τῆς μετανοίας αὐτῶν παρὰ τῶν πνευματικῶν Πατέρων ἐνεργουμένης. Οὗτοι οὖν οἱ ἐξωθούμενοι περὶ τοὺς νάρθηκας ἵστανται, ἢ καὶ ἐν τοῖς κατηχουμένοις, τῶν φρικτῶν μυστηρίων ἐκτελουμένων.

ΚΕΦΑΛ. ΡΝΔ'.

Διατὶ νάρθηκες, καὶ κατηχουμενεῖα.

D Νάρθηκες δὲ λέγονται, ἤτοι τῶν ναῶν ἀρχαὶ, καὶ κατηχουμενεῖα, ἤτοι τῶν κατηχουμένων ὁ οἶκος. Ἃ καὶ διὰ τοῦτο ἐπενοήθη, ἵνα καὶ οὗτοι δι' ἀκοῆς καὶ ὁράσεως μόνης μετέχωσι τῶν θείων, καὶ διὰ τῶν χειλέων δὲ καὶ τῆς γλώσσης ὁμολογῶσι τὴν πίστιν, καὶ τὰ τῆς εὐσεβείας ῥήματα ᾄδωσιν. Οὐ κοινωνοῦσι δὲ τῆς στάσεως τοῖς πιστοῖς, οὐδὲ τῆς εὐχῆς. Ἀκοινώνητοι γὰρ καὶ διεστάμενοι ἔτι. Εἰ οὖν τῆς ἐν λειτουργίᾳ στάσεως καὶ εὐχῆς ἀνάξιοι, πολλῷ γε μᾶλλον τῆς φρικτωτάτης κοινωνίας. Διὸ καὶ γῆς μόνον εἰρήκαμεν σώζειν τύπον τὰ ἐν τῷ νάρθηκι καὶ τὰ τῶν κατηχουμένων, ὡς δίκην ἀλόγων τούτων ἔτι ἐπὶ τὴν γῆν διαιτωμένων, καὶ τῶν μὲν μὴ γεγεννημένων εἰς τὴν ζωὴν (τῶν ἀβαπτίστων) τῶν δὲ (ἤτοι τῶν ἀρνησαμένων καὶ τῶν παραπεπτωκότων) μὴ κατὰ λόγον Θεῷ ζησάντων, ἐν τῇ γῇ δὲ καὶ ἀπιστοι

Clericus. Maxime necessario, divinissime domine: de hoc enim nos edoceri necesse erat.

CAPUT CLII.

De statione fidelium et catechumenorum et peccatis gravatorum.

Pontifex. Sic quidem igitur consistit pius populus in templo, quod visibilem hunc a cœlo et terra mundum significat. Omnes autem et soli fideles in hoc degunt, qui in Dei terra, cœli terræque Dominum pie celebrant; nullus autem omnino impiorum vel heterodoxorum; quoniam nulla est convenientia Christo cum Belial. Stant autem post umbonem ad inferiora templi, qui quidem pii sunt et fidem confitentur, non autem adhuc sunt illuminati, nec divinum baptisma susceperunt. Ideo tanquam nondum perfecti fideles nec signata Ecclesiæ membra, mysteriis introductis foras ejiciuntur. Non enim participatione Dei isti digni sunt; ad creaturam enim Dei pertinentes, indigni sunt Dei communione, quasi corruptibilem tantum nativitatem adepti, non autem incorruptibilitate vitaque immortali digni facti. Ejiciuntur quidem isti, sed et illi qui post baptisma lapsi sunt, vel Dei negatione ciciderunt, vel cæde patrata, sanguine fraterno fœdati sunt, vel alia quædam a communione excludentia perpetraverunt.

CAPUT CLIII.

Quod non omnes nunc cum catechumenis exire ecclesia jubentur.

Hi omnes, catechumenis egredientibus, prius ejiciebantur. Nunc autem propter persecutiones frequentesque circumstantias, sic Patribus bonum esse judicantibus, catechumeni quidem et apostatæ et homicidæ ejiciuntur; cæteri vero baptisma solum possidentes, proprio motu dimittuntur pœnitentiæ ipsorum a spiritualibus Patribus excitatæ. Illi ergo qui ejiciuntur, circa narthceces, vel in catechumenis, dum sacra mysteria peraguntur, consistunt.

CAPUT CLIV.

Quare ecclesiæ vestibula nartheces sive ferula appellantur et catechumenorum loca.

Narthceces autem dicuntur, sive templorum initia et catechumenia; sive catechumenorum sedes; quæ propterea excogitata sunt, ut isti per auditionem et visum solum divina participent, et per linguam et labia confiteantur fidem, et pietatis verba concinant. Cum fidelibus autem nec in statione, nec in oratione communicant: extra communionem enim adhuc sunt et separati. Si proinde digni non sunt ut liturgiæ assistant et orent, multo minus tremenda communione sunt digni. Ideo terræ tantum diximus servare typum ea quæ sunt in narthece et ea quæ catechumenorum sunt, siquidem animalium more vivunt adhuc isti super terram, sive qui nondum ad vitam sunt generati (non baptizati) sive qui (vel apostatæ vel peccatores) non juxta rationem Deo

vivant. In terra autem sunt infideles et exsules paradisi; dumque vivimus hanc corruptibilem vitam, simul cum infidelibus et irrationabilibus in terra degimus, per fidei scientiam ab istis separati: nos enim Christi fideles sumus in Christo, cujus etiam ratione vivimus. Tunc autem infideles una cum peccatoribus a justis separabuntur, et omnino cum dæmonibus foras ejicientur: electi vero soli cum Christo et angelis erunt, et Christi communione digni judicabuntur.

CAPUT CLV.

Quare in proœmiis precum extra templum consistimus, et quid notet quod nos apertis portis ingredimur (catechumenis et pœnitentibus extra manentibus).

Hoc etiam nunc significantes, in hymnorum exordiis extrinsecus stamus, ut ante paradisum et ipsum cœlum, terram et hanc solam repræsentantes; et sæpe nobiscum sunt pœnitentes, sive qui ab apostasia conversi sunt, sive qui de homicidariis operibus mutati, sive qui de fidei ratione catechumeni. Apertis autem januis post hymnos extrinsecus dictos, nos quidem, ut in paradisum vel cœlum in divinum templum ingredimur; foris autem illi manent: quo significatur nobis aperta fuisse cœlestia nosque jam in Sancta sanctorum invenisse viam, et ad lumen ascendere, thronoque Domini propinquantes familiariter stare. Ad orientem enim et ad sanctuarium procedimus, et tanquam in nubibus, in divinis verbis et hymnis, ut in aera rapimur in templi adytum, in occursum Domini qui, in cœlum ascendendo nos ipsos quoque elevavit, seque nobis viam exhibuit ut semper et ubique cum Domino essemus, qui pro nobis immolatus est. Ideo et portæ aperiuntur et vela tolluntur, ut quæ desursum sunt cum iis quæ deorsum, uniantur. Catechumeni autem et aliquot cæteri adhuc in terra sunt et extra communionem, utpote qui Deum negaverunt aut homicidii rei sunt, et nonnisi paulatim in ecclesiam intromittuntur, neque vero in altum ascendunt, imo et excluduntur, nisi propter præsentem vitam et perfectionis spem intromittuntur. Qui vero initiatus non est, omnino reprobatus, nullam cum Christo communionem habet, ut nec is qui pœnitentiam non facit, aut in statu impœnitentiæ defungitur et cum cæteris reprobis damnationis reus fit. Deus Dominus autem, qui solus bonus et misericors est, det ut omnes qui in ipsum credunt, baptizatique sunt et catechizati, cum iis qui post baptismum peccarunt, in statu pœnitentiæ decedant et cum Christo conjungantur. Sed impii quoque ad Christum convertantur et gloriæ participent ejus qui vitæ honor et voluptas est, per quem nos ipsi vere sumus et per quem omnis creatura facta est.

A καὶ τοῦ παραδείσου ἐξόριστοι. Καὶ μέχρι μὲν ζῶμεν τὴν φθειρομένην τήνδε ζωήν, ὁμοῦ μετὰ τῶν ἀπίστων καὶ τῶν ἀλόγων τὴν γῆν διατρίβομεν, κεχωρισμένοι τούτων ὄντες τῇ γνώμῃ· ἐπεὶ ἡμεῖς πιστοὶ Χριστοῦ ἐν Χριστῷ, καὶ τούτου ζῶντες τῷ λόγῳ· τότε δὲ οἱ ἄπιστοι ἅμα καὶ ἁμαρτωλοὶ τῶν δικαίων διαιρεθήσονται, καὶ καθόλου μετὰ τῶν δαιμόνων ἔξω ῥιφήσονται. Ἔσονται δὲ μόνοι μετὰ Χριστοῦ καὶ τῶν ἀγγέλων οἱ ἐκλεκτοί, καὶ τῆς τοῦ Χριστοῦ κοινωνίας ἀξιωθήσονται.

ΚΕΦΑΛ. ΡΝΕ'.

Διατί ἐν τοῖς προοιμίοις τῶν προσευχῶν πρὸ τῶν ναῶν ἔξω ἱστάμεθα· καὶ τί τὸ ἀνοιγομένων τῶν πυλῶν εἰσιέναι.

B Τοῦτο οὖν καὶ νῦν δηλοῦντες ἐν τοῖς προοιμίοις τῶν ὕμνων, ἱστάμεθα ἔξωθεν ὡς πρὸ τοῦ παραδείσου ἢ καὶ αὐτοῦ τοῦ οὐρανοῦ, τὴν γῆν καὶ μόνην τυποῦντες. Καὶ σὺν ἡμῖν πολλάκις οἱ μετανοοῦντές εἰσιν, εἴτε οἱ ἀπὸ τῆς ἀρνήσεως ἐπιστρέφοντες, εἴτε οἱ ἀπὸ τῶν φονικῶν ἔργων, εἴτε οἱ τὸν λόγον τῆς πίστεως κατηχούμενοι. Ἀνοιγομένων δὲ τῶν πυλῶν μετὰ τοὺς ἔξωθεν ὕμνους, ἡμεῖς μὲν εἰσερχόμεθα ὡς εἰς παράδεισον ἢ τὸν οὐρανὸν τὸν θεῖον ναόν, ἔξωθεν δὲ ἐκεῖνοι μένουσι· δηλοῦντος τοῦ ἔργου, ὡς ἡμῖν ἀνεῴχθη τὰ ἐπουράνια, καὶ τὴν εἰς τὰ Ἅγια τῶν ἁγίων ἤδη εὑρήκαμεν εἴσοδον, καὶ ἀναβαίνομεν πρὸς τὸ φῶς, καὶ τῷ θρόνῳ Κυρίου ἐγγίζοντες πλησιάζομεν. Πρὸς ἕω γὰρ καὶ τὸ βῆμα πορευόμεθα, καὶ ἁρπαζόμεθα ὡς ἐν νεφέλαις τοῖς θείοις λόγοις C καὶ ὕμνοις, ὥσπερ εἰς ἀέρα, τὸν **137** ἐνδοτέρω ναόν, πρὸς ὑπάντησιν τοῦ Κυρίου, ὃς ἀνήγαγεν ἡμᾶς ἄνω εἰς τὸν οὐρανὸν ἀναβάς, καὶ ἡτοίμασεν ἡμῖν ὁδὸν ἑαυτόν, ἵνα πάντοτε σὺν αὐτῷ τῷ Κυρίῳ ἐσώμεθα, ἱερουργουμένῳ ὑπὲρ ἡμῶν. Διὸ καὶ αἱ πύλαι ἀνοίγονται, καὶ τὰ βηλόθυρα αἴρεται, ὡς τῶν ἄνω ἀνεῳγμένων καὶ τοῖς ἐπὶ γῆς ἑνωθέντων. Ἐκεῖνοι δὲ οἱ κατηχούμενοι καὶ λοιποί, ἔτι εἰσὶν ἐν τῇ γῇ, ἢ ἔξω πάντη καταλειφθέντες, ὡς οἱ Θεὸν ἀρνησάμενοι καὶ οἱ πεφονευκότες τὸν ἀδελφόν, ἢ μικρὸν εἰσελθόντες οἱ κατηχούμενοί τε καὶ οἱ ἐν πταίσμασιν ἄλλοις· οὐκ ἄνω δὲ ἀναβαίνοντες, ἀλλὰ καὶ ἐξωθούμενοι μετ' ὀλίγον. Ἐπεὶ καὶ τὸ εἰσελθεῖν μικρὸν νῦν διὰ τὴν παροῦσαν ζωὴν καὶ τὴν ἐλπίδα τῆς τελειώσεως. Εἰ δ' ἀμύητός τις ἀπέλθοι, οὗτος ἔξω D παντελῶς ἔσται, καὶ τοῦ μέρους Χριστοῦ ἀλλότριος, ὡς καὶ ὁ μὴ τὰ τῆς μετανοίας ἐνεργῆσαι σπουδάσας, καὶ δίχα μετανοίας ἀπελθών, σὺν τοῖς ἀλλοτρίοις ἔσται κατάκριτος. Ἀλλὰ δῴη Κύριος, ἀγαθὸς ὢν καὶ μόνος οἰκτίρμων οἰκτειρηθῆναι πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας, καὶ βαπτισθέντας πάντας κατηχουμένους, σὺν τοῖς ἡμαρτηκόσι μετὰ τὸ βάπτισμα, ἐν μετανοίᾳ τοῦ σώματος ἐξελθεῖν, καὶ τῷ Χριστῷ ἑνωθῆναι. Ἀλλὰ καὶ τοὺς ἀσεβεῖς γένοιτο πρὸς αὐτὸν τὸν Χριστὸν ἐπιστρέψαντας, ἀξιωθῆναι τῆς αὐτοῦ δόξης· ὃς καὶ μόνος τρυφὴ καὶ ζωὴ καὶ ἀπόλαυσις, καὶ τὸ ὄντως ὂν καὶ τὸ εἶναι ἡμᾶς ἐστι, δι' ὃν καὶ πάντα τὰ ὄντα γέγονε.

Clericus. Quæsumus, domine, ut per interventionem et preces sanctorum salus omnibus contingat.

Κληρικός. Γένοιτο ἡμῖν, δέσποτα, ταῖς τῶν ἁγίων εὐχαῖς ἡ σωτηρία τοῖς πᾶσιν.

Ἀρχιερεύς. Ναὶ ταῖς πρεσβείαις τῆς Θεομήτορος A καὶ πάντων τῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων γένοιτο πάντας σωθῆναι τοὺς εὐσεβεῖς· τοὺς δὲ ἀσεβεῖς πρὸς εὐσέβειαν ἐπιστρέψαι. Καὶ τῶν ἑτεροδόξων τὰ πλήθη πρὸς τὸ ὀρθόδοξον ἐλθεῖν, ἀνάγκη γὰρ, καὶ ἀγάπης ἔργον Θεοῦ, τὸ ὑπὲρ πάντων εὔχεσθαι.

Κληρικός. Ἰδοὺ καὶ τὰ περὶ τοῦ θείου ἔγνωμεν ναοῦ, καὶ σὺν αὐτῷ περὶ πλείστων ἄλλων. Λοιπὸν, ἅγιε δέσποτα, καὶ τὰ περὶ τῶν ἱερῶν χειροτονιῶν ἡμῖν δήλωσον.

Pontifex. Faciamus profecto ut Deiparæ et omnium angelorum sanctorumque precibus omnes pii salventur, impii autem ad fidem convertantur, ac turba infidelium ad fidem accedant. Pro cunctis enim preces faciendi necessitas charitati divinæ inhæret.

Clericus. En a te edocti sumus quæ ad divinum templum pertinent, et cum ejus cognitione multa alia novimus. Cæterum, sancte domine, explica quoque nobis quæ sacras ordinationes spectant.

ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ ΧΕΙΡΟΤΟΝΙΩΝ.

DE SACRIS ORDINATIONIBUS.

Ἀρχιερεύς. Τοῦτο δὴ καὶ ποιήσω, ἐπεὶ καὶ ἀναγκαῖον τοῖς ἱερωμένοις ἡμῖν τὰ περὶ τῶν ἐν ἡμῖν θείων τελετῶν τοὺς λόγους εἰδέναι, ὡς ἂν μᾶλλον γινώσκοντες οἵων κατηξιώθημεν δωρημάτων, εὐ- B γνώμονες δοῦλοι περὶ τὸν εὐεργέτην τυγχάνωμεν, καὶ τοῦ θείου ἔργου αὐτοῦ ὅση δύναμις ἐπιμελώμεθα μετὰ φόβου, ἵνα καὶ τὸν μισθὸν πολλαπλάσιον εὕρωμεν, ἀντὶ μικροῦ τινος ἀγῶνος καὶ πόνου τὴν ὑπὲρ λόγον λαβόντες ἀντιμισθίαν, καὶ τοιαύτην, οἵαν παρὰ Θεοῦ ἄνθρωπος, ὁ μὲν τὸ κατὰ δύναμιν δεδωκὼς ὡς κτίσμα καὶ κτισμάτων μέρος βραχὺ, ὁ δὲ ὡς μόνος Θεὸς καὶ κτίστης καὶ πάντα δυνάμενος, καὶ μὴ τοὐναντίον, ὃ μηδαμῶς ὅλως γένοιτο, κατάκρισις ἔλθοι τινὶ, ὡς μὴ τὸ τάλαντον καλῶς ἐμπορευσαμένῳ, ἢ τὴν θείαν μνᾶν ἐκείνην ὡς καταχώσαντι, ἢ κατά τι παραχαράξαντι. Ἀλλ' ἡμῖν ἵλεως εἴη Θεὸς, ὁ τοῦ Θεοῦ ζῶν Υἱὸς, ὁ Υἱὸς ἀνθρώπου γεγονὼς, καὶ μέγας μόνος ἀρχιερεὺς Ἰησοῦς, ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστὸς, ὁ ἀμίαντος, C ὁ ὅσιός τε καὶ ἄκακος, ὁ εἰρηνάρχης, ὁ εἰρηνοποιὸς, ὁ πρᾶος τὴν καρδίαν καὶ ταπεινὸς, ὁ ποιμὴν ὁ καλὸς, καὶ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· καὶ δῴη ἀγαπῆσαι αὐτὸν ὁλικῶς, καὶ ὡς φίλον αὐτῷ ἐν αὐτῷ, αὐτοῦ ποιμᾶναι τὸ ποίμνιον, καὶ τὰ τῆς θείας ἱερωσύνης αὐτοῦ ὡς βουλητὸν αὐτῷ ἕκαστον ἡμῶν κατὰ τὸν ἐπιβάλλοντα βαθμὸν ἐκτελέσαι **138** τε καὶ πληρῶσαι, καὶ ἑνωθῆναι αὐτῷ, εὐηρεστηκότας αὐτῷ, καὶ σὺν τῇ θείᾳ ποίμνῃ αὐτοῦ ἐν αὐτῷ καὶ ἡμᾶς σωθῆναι. Ἀρκτέον δὲ ἤδη περὶ τοῦ προκειμένου.

Pontifex. Hoc certe faciam, cum nobis qui consecrati sumus scire necessarium sit rationem divinorum mysteriorum quorum participes sumus, ut quo magis cognoscimus quibus donis et gratiis dignati sumus, eo æquiorem et gratiorem servitutem benefactori nostro exhibeamus, et pro viribus divino operi agendo cum timore studiose incumbamus. Qua ratione multiplicem mercedem pro modico certamine et labore consequemur, remunerationem accipientes merita nostra excedentem, talemque qualem a Deo hominem accipere par est, hic secundum vires tribuens, et velut creatura et creaturarum pusilla portio; ille ut solus creator et omnipotens. Contra autem nullo modo fiat: condemnatio pro mercede ei retribuatur, qui de talento sibi credito recte non fuerit negotiatus, vel divinam illam mnam in terram defoderit, aut aliquo modo adulteraverit. Sed propitius sit nobis Deus, Dei vivi Filius, et solus magnus episcopus, Salvator mundi, qui Christus est, purus, sanctus, peccati expers, princeps pacis, pacisque conciliator, corde mitis et humilis, qui bonus est pastor, animam ponens pro ovibus suis, donetque nobis ipsum amare toto animo, atque ut ipsi placitum est per ipsum ipsius ovile pascere, et sacra divini ejus sacerdotii munera unumquemque nostrum secundum gradum ipsi impositum, ejus voluntati obsequentes perficere et adimplere, ut cum ipsi placuerimus, ei tandem uniamur, et per ipsum cum divino ejus grege nos quoque salvemur. Nunc materiæ propositæ inchoanda tractatio

ΚΕΦΑΛ. ΡΝϚʹ.

Ὅτι δύο χειροτονίαι ἔξω τοῦ βήματος, ἀναγνώστου καὶ ὑποδιακόνου· τρεῖς δὲ ἐν τῷ βήματι, διακόνου, πρεσβυτέρου καὶ ἐπισκόπου. D

Δύο μὲν οὖν εἰσι χειροθεσίαι ἔξω τοῦ βήματος, ἡ τοῦ ἀναγνώστου καὶ ὑποδιακόνου. Εἰσὶ δὲ καὶ ἄλλαι, ὀφφικίων δηλαδὴ, καὶ ἡ τοῦ δεποτάτου ἢ κηροφόρου εἰπεῖν πρὸ τῶν ἀναγνωστῶν γινομένη, ἥτις οὐκ οἶδ' ὅπως οὐκ ἐνεργεῖται· ὥσπερ δὲ νῦν ἐξέλιπεν. Ἐν δὲ τῇ τῶν Θεσσαλονικέων Ἐκκλησίᾳ καὶ πρὸ ὀλίγου αὕτη ἦν, καὶ ταῖς ἀρχαίαις ὑποτυπώσεσι γέγραπται. Ἐξαίρετοι δὲ χειροτονίαι ἐντὸς τοῦ βή-

CAPUT CLVI.

Duas ordinationes extra bema sive sacrarium fieri, lectoris et subdiaconi: in bemate autem tres, diaconi, presbyteri atque episcopi.

Duæ sunt igitur extra sanctuarium manuum impositiones, lectoris et hypodiaconi. Sunt et aliæ, officiorum videlicet, et deputati, sive, ut ita dicam, ceroferi, quæ ante lectorem celebratur. Ista nescio qua ratione non fit amplius, et nunc veluti defecit. Vigebat autem ante paucum tempus in Thessalonicæ Ecclesia, et in antiquis formulariis describitur. Ordinationes autem eximiæ et proprie dictæ

quæ intra sanctuarium fiunt et in ipsa sanctissima mensa, tres sunt in Trinitatis similitudinem de quibus loquitur sanctus Dionysius, diaconi, presbyteri et episcopi. Istam quidam vocat ministrationem, velut ad ministrum pertinentem, et duabus aliis subordinatam. Nihil enim minister sive diaconus sine episcopo vel presbytero facit. Hanc autem perfectivam, quæ scilicet ad presbyterum spectat, quæque sacrificii et baptismatis mysteria et alia quædam operatur, non autem omnia; nec enim ordinationes. Nam gratiam communicativam non habet, neque aliquid aliud perfectivum vel illuminativum producere potest, sed mysteria solum et baptismum perficere.

CAPUT CLVII.

Omnia ecclesiastica a solo perfici episcopo.

Verum episcopus illuminandi vim habet, eo quod Patrem luminum imitatur, ipsiusque virtutem abunde possidet, et per ipsum omnis ordo, omne mysterium et sacramentum. Ipse enim ordinatione sua et baptizare valet, simul et sacrum unguentum conficere; et quæ ad ministerium, et perfectionem, et illuminationem pertinent, perficere, et legere, et psallere, et monachos constituere, et domos dedicare, et gradus sive officia distribuere, et matrimonio conjungere, et virgines congregare et consecrare, omnia denique per gratiam Christi præstare; omnia enim ecclesiastica ab ipso velut luminis fonte perficiuntur; ideo episcopus illuminativus vocatur. Nunc autem ab eo gratiæ dono incipiemus, quod est omnium minimum, ut brevi ad perfectum accedamus. Hoc etiam ita visum est magno Dionysio, qui a diacono incipiens ad episcopum progressus est. Nos igitur et de hoc et de aliis quoque dicere volentes, a primo sacerdotii charismate, qui lectoratus est, incipiemus.

CAPUT CLVIII.

Quomodo lector ab episcopo ordinetur.

Hic ergo ad episcopum adducitur, dato prius testimonio quod sanctæ sit vitæ, quod sacra conversatione et promotione dignus, litterasque sacras didicerit. Episcopus autem sacram stolam indutus, et pallium, quod in omni sacri mysterii confectione gestare solet (hoc enim repræsentat Jesum Deum et incarnatum), Deo benedicit, gratias convenienter agens in omni Dei opere, sed maxime pro homine qui in ipsius ministerium eligitur. Finita Trisagii oratione a clericis luminaria tenentibus, quia tum illuminatio fit et gratia communicatur, episcopus vestem nigram quæ humilitatis et religiosi timoris symbolum est, benedicit, et consecrandum jubet eam induere. Quo facto ad eum adducitur, et benedicitur, signo crucis ab eo ter manu peracto: postea obsignatur. Tondet enim episcopus capillos capitis ejus in figuram crucis, divinum et tremendum Trinitatis nomen super eum invocans, ex qua omnis sacra consecratio et mysterium. Primum quidem capillos in vertice capitis

A ματος, καὶ ἐν τῇ ἱερωτάτῃ τραπέζῃ εἰς τύπον τῆς Τριάδος τρεῖς, περὶ ὧν καὶ ὁ ἱερός φησι Διονύσιος· ἡ τοῦ διακόνου, ἡ τοῦ πρεσβυτέρου, καὶ ἡ τοῦ ἐπισκόπου. Καὶ τὴν μέν φησι λειτουργικὴν ὡς ὑπηρέτου, καὶ ἐν ταῖς δύο ἔχουσαν τάξιν· οὐδὲν γὰρ ὁ λειτουργικὸς ἤτοι διάκονος ἐνεργεῖ δίχα ἐπισκόπου ἢ πρεσβυτέρου· τὴν δὲ τελεστικήν, τὴν τοῦ πρεσβυτέρου δηλονότι, τὰς τελετὰς μέν, τὴν τῆς ἱερουργίας καὶ τοῦ βαπτίσματος καὶ ἑτέρας ἐνεργοῦσαν· οὐ τὰς πάσας δέ, οὐδὲ μὴν χειροτονίας. Καὶ γὰρ οὐ τὴν μεταδοτικὴν ἔχει χάριν, οὐδ' ἄλλον τελεστικὸν ἢ φωτιστικὸν ἐνεργεῖν ἐξισχύει· τελεῖν δὲ μόνον τὰ μυστικὰ καὶ τὸ βάπτισμα.

ΚΕΦΑΛ. ΡΝΖ'.

B *Ὅτι πάντα τὰ τῆς Ἐκκλησίας μόνος ἐνεργεῖ ὁ ἐπίσκοπος.*

Ὁ δέ γε ἱεράρχης φωτιστικός ἐστιν, ὅτι μιμεῖται τὸν Πατέρα τῶν φώτων, καὶ τὴν αὐτοῦ πλουτεῖ δύναμιν· καὶ πᾶσα τάξις, καὶ πᾶν μυστήριον, καὶ πᾶσα τελετὴ δι' αὐτοῦ. Αὐτὸς γὰρ καὶ βαπτίζειν ἅμα, καὶ μύρον ἐνεργεῖν, καὶ λειτουργικὸν καὶ τελεστικὸν ἀποτελεῖν καὶ φωτιστικὸν τῇ χειροτονίᾳ ἰσχύει· καὶ ἀναγινώσκειν, καὶ ψάλλειν, καὶ μονάζοντας καθιστᾷν, καὶ καθιεροῦν οἴκους, καὶ βαθμοὺς χορηγεῖν, καὶ πρὸς γάμον συνάπτειν, καὶ παρθενεύοντας συνιστᾷν, καὶ πάντα ποιεῖν χάριτι Χριστοῦ δύναται. Ὡς γὰρ ἀπὸ πηγῆς φωτός, πάντα δι' αὐτοῦ τὰ τῆς Ἐκκλησίας τελεῖται· διὸ καὶ φωτιστικὸς ὀνομάζεται ὁ ἐπίσκοπος. Τέως δὲ ἤδη ἀπὸ τοῦ δρ- C κοῦντος μικροτέρου τῶν δωρημάτων ἀρχόμεθα, ὡς ἂν κατὰ βραχὺ εἰς τὸ τέλειον ἔλθωμεν. Τοῦτο δὲ καὶ τῷ μεγάλῳ καλὸν ἐγνώσθη Διονυσίῳ· καὶ ἀπὸ τοῦ διακόνου ἀρξάμενος, εἰς τὸν ἐπίσκοπον ἦλθε. Καὶ ἡμεῖς τοίνυν καὶ περὶ τῶν ἄλλων ἐρεῖν βουλόμενοι ἀπὸ τοῦ πρώτου τῶν τῆς ἱερωσύνης χαρισμάτων ἀρξώμεθα. Ἔστι δὲ τὸ τοῦ ἀναγνώστου.

ΚΕΦΑΛ. ΡΝΗ'.

Ὅπως ὁ ἀναγνώστης ὑπὸ τοῦ ἱεράρχου τελεῖται.

Οὗτος τοίνυν προσάγεται τῷ ἀρχιερεῖ, μαρτυρηθεὶς εἶναι τοῦ ἁγνοῦ βίου, καὶ ἄξιος ἀναγωγῆς ἱερᾶς, καὶ τὰ ἱερὰ εἰδὼς γράμματα. Καὶ ὁ ἀρχιερεὺς ἐνδεδυμένος στολὴν ἱεράν, καὶ το ὠμοφόριον, ὃ δὴ ἐπὶ πάσῃ φέρει ἱερᾷ τελετῇ, τοῦτο γὰρ ἐκτυποῖ τὸν D Ἰησοῦν Θεὸν ὄντα καὶ σαρκωθέντα, εὐλογεῖ τὸν Θεὸν εὐχαριστῶν ἁρμοδίως ἐπὶ παντὶ ἔργῳ Θεοῦ, καὶ μάλιστα ἐπὶ ἀνθρώπῳ εἰς ὑπηρεσίαν ἐκλεγομένῳ αὐτοῦ. Καὶ τῆς προσευχῆς τοῦ Τρισαγίου παρὰ τῶν κληρικῶν τελεσθείσης, φῶτα κρατούντων, ὅτι φωτισμὸς γίνεται καὶ δίδοται χάρις, ὁ ἱεράρχης ἱμάτιον εὐλογήσας μέλαν, κελεύει τοῦτο ἐνδύσασθαι τὸν τελούμενον, τὸ ταπεινὸν καὶ εὐλαβὲς τῆς ζωῆς δηλοῦντος τοῦ μέλανος. Εἶτα ἄγεται ὁ τελούμενος πρὸς αὐτόν, καὶ εὐλογεῖται τῇ χειρὶ **139** σταυροειδῶς παρ' αὐτοῦ τρίς. Εἶτα καὶ σφραγίζεται. Κείρει γὰρ τὰς αὐτοῦ τρίχας, τῆς κεφαλῆς σταυροειδῶς ὁ ἀρχιερεύς, τὸ θεῖον καὶ φρικτὸν ὄνομα ἐπιλέγων αὐτῷ τῆς Τριάδος, ἐξ ἧς πᾶσα ἱερὰ τελετὴ καὶ μυστήριον. Καὶ πρῶτον μὲν κατὰ κορυφὴν κείρων

τὰς τρίχας φησίν, « Εἰς τὸ ὄνομα τοῦ Πατρός· » A εἶτα κατὰ τὸ μέτωπον, λέγων, « καὶ τοῦ Υἱοῦ· » εἶτα ἐκ πλαγίων τῆς κεφαλῆς δεξιόθεν λέγων, « Καὶ τοῦ ἁγίου Πνεύματος· » εἶτα ἐκ πλαγίων πάλιν ἐκ τῶν ἀριστερῶν, σταυρὸν τελειῶν, καὶ ἐπιφέρει, « Πάντοτε νῦν καὶ ἀεί. » Πάντες δὲ ἑκάστῃ ἐπικλήσει τὸ Ἀμὴν λέγουσιν, ὁμολογοῦντες ἅμα καὶ βεβαιούμενοι τὰ παρὰ τοῦ ἀρχιερέως. Καὶ ἡ μὲν ἀφαίρεσις τῶν τριχῶν τὴν καθιέρωσιν σημαίνει· ὅτι αἱ τρίχες ὅλου τοῦ σώματος ἐξανθήματα, καὶ ἀπαρχὴν Θεῷ προσενεχθῆναι ἐκ τοῦ ἀνθρώπου σημαίνει· σταυροειδῶς δὲ διὰ τὸν Ἰησοῦν, ὅτι αὐτὸς σαρκωθεὶς καὶ σταυρωθεὶς ἁγιάζει· ἐπ' ὀνόματι τῆς Τριάδος δὲ, ὅτι αὕτη ἡ δημιουργὸς τῶν ὅλων καὶ τελειοποιὸς, ὁ μόνος Θεός. B

ΚΕΦΑΛ. ΡΝΘ'.

Διατί σφραγὶς ἐν τῷ ἀναγνώστῃ· καὶ ὅτι ἡ κουρὰ ὀφείλει πάντοτε γίνεσθαι.

Ὕστερον δὲ ἐπὶ τῆς κορυφῆς, ἐν ᾗ ἡ ἀρχὴ τῆς κουρᾶς, μείζων ἡ κουρὰ παρὰ κληρικοῦ τινος γίνεται, ὅτι κεφαλὴ πάντων καὶ κορυφὴ ὁ Χριστός· καὶ αὐτὸς σφραγίς ἐστι καὶ σημεῖον τοῖς τελουμένοις εἰς αὐτόν· καὶ αὐτὸς τούτοις ἐπικάθηται, καὶ τὸ ἡγεμονικὸν ἁγιάζει, καὶ κεφαλὴ αὐτῶν ἐστι. Τῆς σφραγῖδος οὖν μείζονος γινομένης τῇ κορυφῇ, ἵν' ἀπὸ ταύτης ὥσπερ ἀπὸ ῥίζης εἰς ὅλον ἔλθῃ τὸν ἄνθρωπον ὁ ἁγιασμὸς, προσάγεται πάλιν ἤδη ἀνατεθεὶς διὰ τῆς κουρᾶς, καὶ φαινολίου εὐλογημένου ἤτοι καμισίου, ὅπερ τῶν ἱερῶν ἐνδυμάτων ἐστὶν ἀπαρχὴ, τοῦτο τὴν χεῖρα τοῦ ἱεράρχου ἀσπαζόμενος ἐνδύεται τῷ τραχήλῳ, ὡς ὑπὸ τὸν ζυγὸν ἐλθὼν τῆς ἱερωσύνης, καὶ ὑπὸ τὴν σκέπην γεγονὼς τοῦ Θεοῦ, καὶ ἀφιερούμενος εἰς ὑπηρεσίαν τῷ Θεῷ. Εἶτα ἐπάνω τῆς σφραγῖδος σφραγίζεται τρίς. Καὶ θεμένου τὴν χεῖρα ἐπὶ τῇ σφραγῖδι τοῦ ἱεράρχου, τὴν σκεπαστικὴν δύναμιν ἐπιδεικνυμένου τοῦ Θεοῦ, καὶ ὅτι μεταδίδωσι χάριτος, εὔχεται οὗτος ἁγιασθῆναι τὸν τελειούμενον ἐκλελεγμένον ὄντα αὐτῷ, καὶ μετὰ πάσης σοφίας τε καὶ συνέσεως ποιεῖσθαι τὴν ἀνάγνωσίν τε καὶ μελέτην τῶν θείων λογίων. Καὶ οὕτως εὐχαριστῶν τελειοῖ τὰ τῆς εὐχῆς. Μετὰ τὴν εὐχὴν δὲ σφραγίζει πάλιν αὐτὸν εἰς τελείωσιν. Καὶ εἰρηνεύων διὰ τὴν ἐκ Θεοῦ εἰρήνην καὶ τὴν ἐν Θεῷ ἕνωσιν, εἰπεῖν προτρέπεται, εἰ μὲν ἀναγνώστης ἐστὶ, περικοπὴν ἀποστολικήν· εἰ δέ γε ψάλτης, ἐκ τοῦ Ψαλτῆρος. Καὶ οὕτως εἰρήνην δοὺς αὐτῷ καὶ εὐξάμενος, ἀπολύει τῇ σφραγῖδι πάντοθεν τειχίζων αὐτὸν τὸν τελούμενον. Τινὲς δὲ καὶ ταῖς ῥήσεσι τῶν ἀναγνωσθέντων προσέχουσι, καὶ ὡς προοίμια καὶ δείγματα ἔχουσι ταύτας τῆς τῶν τελουμένων ζωῆς.

ΚΕΦΑΛ. ΡΞ'.

Ὅσα ὀφείλει ὁ ἀναγνώστης ἐνεργεῖν.

Οὕτως οὖν ὁ εἰς ἀναγνώστην καταστὰς οὗτος τάς τε θείας τῷ λαῷ ἔκτοτε ὑπαναγινώσκει Γραφὰς, προτρεπόμενος ὑπὸ διακόνων ἢ ἱερέων, τὰ τῶν προφητῶν δηλαδὴ καὶ τῶν ἀποστόλων ἱερὰ λόγια, ἱστάμενος ἐν τῷ μέσῳ ὡς ἐσφράγισται ἀσκεπής. Ἀλλὰ καὶ εἰς τὸ βῆμα χωρῶν ὡς τοῦ βήματος ὑπη-

A tondet dicens : « In nomine Patris ; » postea in fronte dicens : « Et Filii ; » deinde ex latere capitis dextro, dicens : « Et Spiritus sancti ; » iterumque ex latere sinistro crucem perficit, inferens, « Ubique nunc et semper. » Omnes autem ad unamquamque invocationem respondent, Amen, confitentes simul et confirmantes quæ ab episcopo fiunt. Capillorum autem detractio et resectio consecrationem significat ; capilli enim totius sunt corporis flosculi de eo efflorescentes, qui detractione sua indicant primitias ab homine Deo offerri. Fit autem illa capillorum resectio in crucis figuram propter Jesum, quoniam ipse incarnatus et crucifixus sanctificat ; in nomine autem Trinitatis, quoniam solus Deus est omnium creator et consummator.

CAPUT CLIX.

Quare signaculo utantur in lectore, et quod tonsura ubique fieri debeat.

Postremo fit in vertice, a quo tonsura incipit (major enim tonsura et integra ab aliquo clerico perficitur), quoniam Christus omnium est caput, et vertex, sigillumque et signum iis qui propter ipsum perficiuntur. Ipse quoque iis insidet, et rectores sanctificat, eorumque est caput. Confecto igitur in vertice majore sigillo, ut ipsius sanctificatio ab eo velut a radice in universum hominem perveniat, iterum adducitur ad episcopum, jam per tonsuram consecratus, et phenolio sive camisio, quod est sacrorum indumentorum primum et velC uti primitiæ, benedicto, manumque pontificis deosculatus per collum induitur, non secus ac si jugum sacerdotii subiret, Deique protectioni subjiceretur, et ministerio devoveretur. Deinde signo crucis ter obsignatur super sigillum tonsura impressum. Et episcopus ponens manum super illud sigillum (qua re virtus Dei protegens et gratiam communicans ab eo demonstratur), Deum precatur ut consecrandum sibi electum sanctificet, et cum omni sapientia et prudentia divinorum oraculorum lectionem et meditationem exerceat, sicque gratias agens hanc orationem complet. Oratione completa iterum obsignat eum ad sacramenti consummationem, pacemque illi precatur propter pacem a Deo obtinendam, et um eo unionem ; et dicere D eum jubet, si in lectorem ordinatus est, lectionem ex Apostolo ; si vero in cantorem, ex Psalterio. Sicque data illi pace et precatus, consecratum dimittit undique signo crucis velut muro cinctum et munitum. Nonnulli verbis lectis attendunt, eaque velut præmia et argumenta futuræ consecratorum vitæ æstimant.

CAPUT CLX.

Quænam debeant a lectore peragi.

Sic igitur qui lector constitutus est legit ab eo tempore Scripturas propter populum positas, sacra scilicet prophetarum et apostolorum oracula, a diaconis vel presbyteris jussus, stans in medio, aperto capite eo modo quo obsignatus est. Nec hoc tantum, verum etiam sanctuarium ingrediens ut san-

ctuarii minister, lumina accendit, ignemque affert sacerdoti, præceditque cereos accensos ante sancta dona gestans; oblationes quoque, et aquam, et fervidam sacerdoti affert, et exornat quæ ad templum spectant, cæteraque subministrat; hymnos quoque divinos psallentibus præcinit, sive canonem incipit, atque, ut absolute dicam, divinorum minister est in templo. Hæc autem omnia cum pietate et tremore agere debet, et quarum rerum minister est, attendere; cogitare quoque se Dei esse, et eorum qui ad eum appropinquant; et cum sanctis se ministrare, illucque accedere quo se conferunt angeli et habitant.

ρέτης, ἀνάπτει φῶτα, καὶ πῦρ προσάγει τῷ ἱερεῖ, καὶ προπορεύεται λαμπαδηφορῶν τῶν ἁγίων, καὶ τὰς προσφοράς, καὶ τὸ ὕδωρ, καὶ τὸ ζέον φέρει αὐτῷ, καὶ εὐκοσμεῖ τὰ τοῦ ναοῦ, καὶ τὰ ἄλλα ὑπηρετεῖ, καὶ τοὺς θείους προλέγει τοῖς ψάλλουσιν ὕμνους, ἤτοι κανοναρχεῖ· καὶ ἁπλῶς ὑπηρέτης τῶν θείων ἐστὶν ἐν τῷ ναῷ. Ὃ δὴ καὶ ὀφείλει μετ' εὐλαβείας πάντα ποιεῖν, καὶ γινώσκειν τίνων ὑπηρέτης **140** ἐστὶ, καὶ ὅτι Θεοῦ, καὶ τῶν ἐγγιζόντων ἐστὶν αὐτῷ, καὶ μετὰ τῶν ἁγίων ὑπηρετεῖ, ἐκεῖσε βαίνων, ὅπου χωροῦσιν οἱ ἄγγελοι.

CAPUT CLXI.

De subdiacono.

Post lectores sequitur, ut diximus, subdiaconorum ordo, qui lectoratu excelsior est, utpote diaconis tantum postpositus. Lectoribus autem et psaltis licet post susceptum divinum sigillum legitimo matrimonio jungi; subdiaconis autem non amplius. Illi igitur postquam lectoris sigillum primum acceperunt, et bene ministrarunt, tempore huic ordinationi suscipiendæ definito offeruntur. Tempus autem est annus ætatis vicesimus.

ΚΕΦΑΛ. ΡΞΑ'.

Περὶ ὑποδιακόνων.

Μετὰ τούτους τοὺς ἀναγνώστας, ὡς ἔφημεν, ἡ τάξις τῶν ὑποδιακόνων ἐστὶν, ἥτις καὶ ὑψηλοτέρα, ὡς μετὰ τοὺς διακόνους οὖσα. Καὶ οἱ μὲν ἀναγνῶσται καὶ ψάλται μετὰ τὴν σφραγῖδα τὴν θείαν καὶ εἰς γάμον ἔννομον ἐλθεῖν συγχωροῦνται· ὑποδιάκονοι δὲ οὐκέτι. Οὗτοι τοίνυν τὴν σφραγῖδα πρότερον τοῦ ἀναγνώστου λαβόντες, καὶ καλῶς ἐξυπηρετήσαντες, ἐν τῷ ὡρισμένῳ καιρῷ τῆς χειροτονίας ταύτης ἀξιωθῆναι προσάγονται. Καιρὸς δὲ αὐτοῖς τὸ εἰκοστὸν ἔτος.

CAPUT CLXII.

Subdiaconi ordinatio.

Pontifice igitur stante ante portas regias, missa nondum incepta, adducitur qui manus impositionem subdiaconi accepturus est, vestem nigram indutus et porphyreum camisium. Accenduntur que luminaria, quod in omni ordinatione fieri solet in gloriam magni Luminis, et demonstrationem illuminationis divinitus subministratæ. Deinde jussu pontificis camisium deponit, et sticharium induit pontifice ipsum benedicente. Sed prius ad orientem versus ter Deum adorat auctorem et subministratorem illuminationum, velut ad majorem illuminationem, quæ stichario significatur, accedens. Porphyream quidem vestem exuit, quæ passionis indicium est, utpote vibices adhuc sanguinolentas indicans.

ΚΕΦΑΛ. ΡΞΒ'.

Χειροτονία ὑποδιακόνου.

Τοῦ ἀρχιερέως τοίνυν ἱσταμένου ἠλλαγμένου πρὸ τῶν βασιλικῶν πυλῶν, μήπω ἀρξαμένης τῆς ἱερᾶς λειτουργίας, προσάγεται ὁ τὴν χειροθεσίαν τοῦ ὑποδιακόνου λαμβάνων, μετὰ τοῦ μέλανος ἱματίου καὶ τοῦ πορφυροῦ καμισίου, ἀναπτομένων φώτων. Τοῦτο δὲ γίνεται ἐν πάσῃ χειροτονίᾳ εἴς τε δόξαν τοῦ μεγάλου φωτὸς, καὶ εἰς ἔνδειξιν τοῦ χορηγουμένου φωτισμοῦ θείου. Καὶ ἀρχιερατικῇ προσταγῇ ἀποτίθεται μὲν τὸ καμίσιον· ἐνδύεται δὲ στιχάριον, εὐλογήσαντος αὐτὸ τοῦ ἀρχιερέως, πρότερον τρὶς προσκυνήσας κατὰ ἀνατολὰς τῷ Θεῷ τῷ χορηγῷ τῶν φωτισμάτων. Ὅπερ στιχάριον δηλοῖ, ὡς πρὸς μείζονα ἔρχεται φωτισμὸν, τὸ πορφυροῦν μὲν ἀποδυθεὶς, ὃ παθητικόν ἐστι, τοὺς μώλωπας ἔτι τοὺς αἱματώδεις δηλοῦν.

CAPUT CLXIII.

Quare candida tunica sive stichario induatur cingaturque subdiaconus.

Sed album sticharium demonstrat puriores gloriæ Dei radios, amictumque perturbationis expertem. Eum etiam cingunt, ut doceant eum non posse amplius vestem castitatis suo arbitrio possidere, sed ipsam circa lumbos ejus in humilitate constringi per temperantiam et castitatem, cum in posterum uxorem ducere non possit. Adiens igitur episcopum ab eo signatur, quia Jesus qui mortificatus est et vivit, ipsum inaugurat, et ipsi consecratur. Manus quoque illi imponitur, quoniam oratio a Deo gratiam et protectionem recipit. Ipsa autem est ejusmodi: « Quia tu posuisti in Ecclesia gradus et ordines, hunc quoque suscipe, ut as et portis templi sancti tui, » etc. Et cum gratias egit, cumque signavit, manile imponit episcopus ejus humero, ma-

ΚΕΦΑΛ. ΡΞΓ'.

Διατί λευκὸν στιχάριον περιβάλλεται, καὶ περιζώννυται ὁ ὑποδιάκονος.

Τὸ λευκὸν δὲ στιχάριον τὴν καθαρωτέραν τῆς δόξης τοῦ Θεοῦ περιβολὴν ἀπαθῆ ἐμφαίνων. Εἶτα καὶ περιζωννύουσι τοῦτον, ἔτι μὴ ἀπολύτως ἔχειν δυνάμενον τὴν τῆς ἁγνείας στολὴν, ἀλλὰ περισφίγγειν αὐτὴν ἐν ταπεινώσει περὶ τὴν ὀσφὺν ἑαυτοῦ διὰ τῆς σωφροσύνης καὶ τῆς ἁγνείας· ἐπεὶ καὶ οὐ δύναται λαμβάνειν ἔτι γυναῖκα. Προσερχόμενος οὖν σφραγίζεται, ὅτι ὁ νεκρωθεὶς καὶ ζῶν Ἰησοῦς οὗτος αὐτὸν τελειοῖ, καὶ αὐτῷ ἀνατίθεται. Καὶ χειροθετούμενος, ὅτι ἀπὸ Θεοῦ τὴν χάριν ἔχει καὶ σκέπην, τὰ τῆς εὐχῆς δέχεται. Αὕτη δέ ἐστιν, ὅτι « Σὺ ὁ θέμενος ἐν τῇ Ἐκκλησίᾳ βαθμοὺς καὶ τάξεις, καὶ τοῦτον πρόσδεξαι, ὡς ἂν παρίσταται ταῖς πύλαις τοῦ ναοῦ τοῦ ἁγίου σου, ὥστε ἀνάπτειν λύχνον σκηνώματος δόξης σου, καὶ τέλειον εἶναι δοῦλόν

σου· » καὶ ὅσαπερ ἄλλα εὔχεται. Καὶ εὐχαριστήσας, καὶ σφραγίσας αὐτὸν, ἐπιτίθησιν αὐτοῦ τῷ ὤμῳ μανδύλιον. Ταῖς δὲ χερσὶ χερνίβιον καὶ ξέστην παρέχει. Καὶ αὐτὸς ἀσπαζόμενος τὰς τοῦ ἀρχιερέως χεῖρας, ταῦτα λαμβάνει, τιμὴν διδοὺς, ὡς ὅτι τοιούτων τετύχηκεν ὑπηρέτης εἶναι. Ὁ ἱεράρχης δὲ ὑφαπλοῖ τὰς χεῖρας, καὶ τὸ νίμμα δέχεται.

A nibus autem malluvium tradit; ipse vero episcopi manus deosculatus hæc accipit. Huncque honorem ei defert, eo quod hujusmodi ministerium consecutus est. Episcopus autem manus extendit, et consueta recipit.

ΚΕΦΑΛ. ΡΞΔ'.

Ὅσα ἐνεργοῦσιν οἱ ὑποδιάκονοι.

Καὶ οὕτως εὐλογούμενος ὁ τελεσθεὶς, καὶ τοὺς ὑποδιακόνους ἀσπασάμενος, ὡς ὁμοταγὴς αὐτοῖς γεγονὼς, ἀπέρχεται, ἐκτελῶν τὰ τῶν ὑποδιακόνων σὺν αὐτοῖς. Καὶ φυλάσσει μὲν τὰς πύλας τὰς ἱερὰς, ἵνα μή τις τῶν ἀναξίων ἔνδον εἰσέλθῃ τοῦ βήματος· ἅπτεται δὲ τῶν ἱερῶν σκευῶν, καὶ εὐκόσμως αὐτὰ κατατίθησιν, εἰς τὸ τοὺς ἱερεῖς προσενέγκαι **141** τὰ δῶρα, εὑρηκότας ἡτοιμασμένα. Καὶ ἐν τῇ μεγίστῃ δὲ εἰσόδῳ ταῦτα ὑποδεχόμενος, τὰ περιττεύοντα λέγω τῶν ἱερῶν σκευῶν, περιφυλάξαι τοῖς ὑπηρέταις δίδωσιν. Οὐ γὰρ ἅπτεσθαι θεμιτὸν τούτων ἄλλοις τῶν ὑποδεεστέρων. Τοὺς κατηχουμένους τε ἐξωθεῖ κατὰ καιρὸν, ὅτε φησὶν ὁ διάκονος, « Οἱ κατηχούμενοι, προέλθετε. » Καὶ ἐν ταῖς λιτανείαις τὸν σταυρὸν οὗτος κατέχων, προπορεύεται. Ἀλλὰ καὶ τὴν ἐν τῇ θείᾳ τραπέζῃ λυχνίαν καὶ τὸ τρικήριον τοῦ βήματος καὶ τὰ φῶτα οἱ ὑποδιάκονοι εὐτρεπίζουσι. Διὸ καὶ μετὰ τοὺς διακόνους πρὸ τῶν ἱερῶν πυλῶν ἐν πάσῃ ἱερουργίᾳ, ὅτε χρὴ ὑπηρετεῖν τῷ ἀρχιερεῖ, προσέρχονται οὗτοι, καὶ τῶν μυστηρίων κοινωνοῦσι. Καὶ τὰ μὲν τῶν ὑποδιακόνων, ἤτοι ὑπηρετῶν, οὕτω.

CAPUT CLXIV.

Quænam subdiaconis peragenda sint.

Sicque ordinatus benedicitur, et salutans subdiaconos, ut factus ejusdem ordinis, ad eos abit, exsecuturus subdiaconorum munia; custoditque portas sacras, ne quis profanorum intra sanctuarium ingrediatur: tangit quoque vasa sacra, et pulchro ordine ea disponit, ut sacerdotes præparata invenientes dona deferant, et in maximo introitu ea suscipiens, vasa, inquam, sacra quæ supersunt B conservat, et ministris (sive subdiaconis aliis) tradit. Fas enim non est inferioribus quam isti sunt, ea tangere. Catechumenos quoque expellit tempore constituto, cum scilicet dicit diaconus, « Catechumeni, procedite. » In litaniis crucem tenens cæteros præcedit. Subdiaconi insuper cereostata in divina mensa, et tricerium sanctuarii, et luminaria præparant et adornant. Ideo in omni sacra operatione cum episcopo inserviendum est, accedunt illi ad sacras portas post diaconos, ibique mysteriorum communione fruuntur. Sic se habent ea quæ ad subdiaconos sive ministros pertinent.

ΚΕΦΑΛ. ΡΞΕ'.

Περὶ διακόνων

Μετ' αὐτοὺς δέ εἰσιν οἱ διάκονοι, οἱ καὶ λειτουργοὶ καὶ Λευῖται ὡς ἀπὸ τῶν νομικῶν ἐκείνων καλούμενοι. Πλὴν οὐδὲν ἴσον τούτοις τε καὶ τοῖς παλαιοῖς· ὅτι σκιᾷ μὲν ἐκεῖνοι ἐλάτρευον, οὗτοι δέ γε τῇ ἀληθείᾳ. Καὶ τοῖς ἑπτὰ τῶν ἐν ἀποστόλοις διακόνων, ὧν ὁ Στέφανος πρῶτος ἦν, οὗτοι δὴ συναρίθμιοι. Οἳ καὶ οὐ μόνον τοῖς μυστηρίοις ὑπηρετεῖν, ἀλλὰ δὴ καὶ ἐξοικονομεῖν δύνανται τὰ ἐν τῇ ἐκκλησίᾳ διακονήματα.

CAPUT CLXV.

De diaconis.

Post hos veniunt diaconi, qui et ministri et Levitæ velut a legalibus illis dicuntur. Veruntamen nihil est æquale istis et antiquis; quoniam hi umbræ serviebant, illi vero veritati, et apostolicis diaconis, quorum Stephanus primus erat, adnumerantur; quique non solum mysteriis inserviunt, sed etiam administrant ea quæ in ecclesia sunt officia.

ΚΕΦΑΛ. ΡΞϚ'.

Ὅτι διάκονοι κατὰ τοὺς ἑπτὰ ἐκείνους καὶ κριταὶ καὶ διακονημάτων μεγίστων οἰκονόμοι καθίστανται.

Καὶ τοῦτο ἄχρι τοῦ νῦν ὁρᾷν ἐστιν ἐνεργούμενον. Τοὺς γὰρ ἐκκρίτους τῶν διακόνων καὶ εἰς ἐπισκόπων τάξιν τιθέασι· καὶ σταυροὺς μὲν ἔχουσιν ἐπὶ κεφαλῆς, κριταὶ δὲ τελοῦσι. Καὶ ὁ μὲν αὐτῶν τὰ τῆς μεγάλης Ἐκκλησίας οἰκονομεῖ ὑπέρ τε τῶν κληρικῶν καὶ τῶν πενήτων, κατὰ τὸν ἱερώτατον Στέφανον· ὁ δὲ τὰ τῶν ἱερῶν μονῶν· ὁ δὲ τὰ τῶν ἱερῶν σκευῶν, καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας· ὁ δὲ τὰ τῶν ἱερέων διευθετεῖ καὶ τῶν κρίσεων καὶ χαρτοφυλακεῖ τὰ πεπραγμένα· ὁ δὲ τὰ τῶν ἱερῶν οἴκων φροντίζει τῶν ἐν τῇ πόλει, ὅπως εὐτάκτως ἔχωσι, καὶ μάλιστα τὰ τοῦ βήματος· ὁ δὲ τὰ τῶν ἐπιστρεφόντων ἐκδικεῖ καὶ οἰκονομεῖ, καὶ ἁπλῶς ἡ τοιαύτη τάξις καὶ τοῖς μεγάλοις ἔργοις ἐγκρίνεται.

CAPUT CLXVI.

Quod diaconi, illorum septem more, et judices et administrationum maximarum curatores constituuntur.

Hoc etiam huc usque fieri videre est. Præcipuos D enim et selectos e diaconis in episcoporum ordinem admittunt: cruces quoque in capite gestant, et judices constituuntur. Eorum quidem unus quæ ad Magnam Ecclesiam pertinent tam pro clericis quam pauperibus administrat juxta sanctissimum Stephanum: alius vero quæ ad sacra tantum: alius quæ ad vasa sacra, et ecclesiasticam disciplinam: alius quæ sunt sacerdotum et judiciorum inter eos exercendorum disponit et curat, actaque describit, archivis insérit, et custodit: alius sacrarum domuum quæ in urbe sunt, curam gerit, ut omnia in eis bene se habeant, præsertim quæ ad ecclesiarum sanctuaria: alius ad religionem vel meliorem frugem conversos protegit et procurat; atque, ut absolute dicam, ordo iste ad magna quæque agenda admittitur.

CAPUT CLXVII.

Quare subdiaconus vel diaconus ordinandus testimonio ornatur a septem presbyteris, non a diaconis.

Quapropter qui in diaconum promovendus est, non prius ordinatur quam sicut subdiaconus testimonium idoneum præstiterit, et vitæ sanctæ conveniens. Veluti cum Stephanum promoverunt, non prius constituerunt eum diaconum quam cognovissent, et testimonium accepissent eum Spiritu sancto plenum, sapientia et virtute præditum. Testimonium igitur de eo perhibent septem presbyteri, non autem diaconi, quoniam testimonium quod de eo perhibetur, perfectum esse debet et a perfectis redditum.

ΚΕΦΑΛ. ΡΞΖ'.

Διατί μαρτυρεῖται ὁ μέλλων χειροτονεῖσθαι ὑποδιάκονος, ἢ διάκονος, καὶ ὑπὸ πρεσβυτέρων ἑπτὰ, καὶ οὐχὶ διακόνων.

Ὁ μέλλων τοίνυν γενέσθαι διάκονος οὐ πρότερον χειροτονεῖται, εἰ μὴ μαρτυρίαν ἱκανὴν ἀποδώσει τῷ βίῳ ἁρμόζουσαν, ὡς καὶ ὁ ὑποδιάκονος. Ὅτι καὶ ἡνίκα προσεχειρίσαντο Στέφανον, οὐ πρότερον ἂν κατεστήσαντο, εἰ μὴ ἄρα πλήρη Πνεύματος ἁγίου ἔγνωσαν αὐτὸν καὶ σοφίας τε καὶ δυνάμεως. Καὶ τοῦτο ἐπεμαρτύρησαν. Μαρτυρεῖται τοίνυν ὑπὸ ἑπτὰ πρεσβυτέρων, καὶ οὐχὶ διακόνων, ὅτι τελείαν εἶναι δεῖ καὶ παρὰ τελείων τὴν μαρτυρίαν αὐτῷ.

CAPUT CLXVIII.

Quod maturum annis ordinandum esse oporteat

Debet quoque esse ætatis perfectæ, ne sit in operibus reprobandus. Nam si qui ætate nondum est perfecta, nihil firmum et ratum in rebus mundi agere potest, multo magis ætatis esse debet perfectæ qui divinis rebus inservit, ut annorum numero et securitatem et majestatem sibi conciliet. Hoc statuunt divini Patrum Spiritu sancto actorum canones qui res omnes ecclesiasticas modo consentaneo disponunt et digerunt. Si autem nonnulli divini episcopi discretione quadam istos annos in monachis sibi subditis breviant et contrahunt, hoc ideo fit quod monachis voluntatem suam facere non licet, sed aliorum. Quod si hoc verum esse visum fuerit, forsan et audere rationabile erit. Attamen quæ a canone statuta sunt observare decet; id enim est subjectio. Adducitur ergo qui ordinationem diaconatus suscipit; primumque testimonium illi perhibetur, non a duobus vel tribus, sed a septem presbyteris, ut accessuro ad sancti Spiritus ministerium. Ideo a perfectis testibus videlicet sacerdotibus, et quæ Spiritus sunt perfecte possidentibus, juxta numerum eligitur, ut firma sit et rata quæ per eos fit electio et testimonium. Nam sacrorum Ecclesiæ mysteriorum ministrum oportet ab omnibus eligi, ut electio suspicione vacet, et sit secura; cum omnes Stephano testimonium perhibuerint, quod sapientia et fide plenus fuerit. Testes autem propriis manibus testimonium suum confirmant, videlicet quod moribus et vitæ instituto dignus sit sacerdotio fungi, et quod sit ætate ad ministrandum perfecta.

ΚΕΦΑΛ. ΡΞΗ'.

Ὅτι τελείων εἶναι δεῖ τὸν χειροτονούμενον χρόνων.

Καὶ τελείων δὲ εἶναι τῶν χρόνων ὀφείλει, καὶ μὴ τῇ ἡλικίᾳ ἀτελῆ, ἵνα μὴ εἴη ἐπὶ τοῖς ἔργοις ἀπρόσδεκτος. Εἰ γὰρ μὴ ὁ τῷ χρόνῳ τέλειος ἐν τοῖς τοῦ κόσμου ἀβέβαιος, πολλῷ γε δὴ τοῦτον εἶναι τέλειον χρὴ, τὸν ἐν τοῖς θείοις ὑπηρετούμενον, ὡς καὶ τῷ χρόνῳ τὸ ἀσφαλές τε καὶ σεβάσμιον ἔχειν. Καὶ τοῦτο οἱ τὰ πάντα κοσμοῦντές τε καὶ ῥυθμίζοντες θεῖοι κανόνες τῶν πνευματοφόρων Πατέρων φασίν· εἰ καί τινες ἐπὶ μοναχοῖς διακρίσει **142** θείων ἱεραρχῶν τὸν χρόνον τοῖς ὑποτασσομένοις συντέμνουσιν ἔστιν ὅτε. Ἐπεὶ οὐ τὸ θέλημα ἑαυτῶν αὐτοῖς ἐστιν, ἀλλ' ἑτέροις. Καὶ εἴ γε τοῦτο φανείη ὂν ἀληθὲς, ἴσως καί τινα ἕξει λόγον τὸ συντεμεῖν. Πλὴν τὰ κεκανονισμένα τηρεῖσθαι δέον· τοῦτο γάρ ἡ ὑποταγή. Προσέρχεται τοίνυν ὁ τὴν χειροτονίαν δεξόμενος. Καὶ πρότερον μὲν μαρτυρεῖται οὐχ ὑπὸ δύο ἢ τριῶν, ἀλλ' ὑπὸ ἑπτὰ πρεσβυτέρων ὡς μέλλων ἐλθεῖν εἰς τὴν διακονίαν τοῦ Πνεύματος. Διὸ καὶ ὑπὸ τελείων μαρτύρων ἱερέων καὶ τὰ τοῦ Πνεύματος ἐχόντων τελείως καὶ κατὰ τὸν ἀριθμὸν ἐκλέγεται, ἵνα βεβαία ᾖ διὰ πάντων ἡ ἐκλογή τε καὶ μαρτυρία· ὅτι καὶ τὸν λειτουργὸν τῶν τῆς Ἐκκλησίας ἱερῶν μυστηρίων ὑπὸ πάντων ἐκλέγεσθαι χρὴ διὰ τὸ ἀνύποπτόν τε καὶ ἀσφαλές. Ἐπεὶ καὶ Στέφανος ὑπὸ πάντων ἐμαρτυρήθη πλήρης σοφίας καὶ πίστεως. Οἱ μάρτυρες δὲ οἰκείαις χερσὶ πιστοῦνται τὴν μαρτυρίαν, ὡς καὶ τῇ πολιτείᾳ τοῦ ἱερᾶσθαι ἄξιός ἐστι, καὶ τῷ χρόνῳ τέλειος τοῦ διακονεῖν.

CAPUT CLXIX.

Ordinatio diaconi.

Si nondum subdiaconus factus est, prius, ut diximus, consecratur in subdiaconum antequam missa inchoetur, episcopo in inferioribus portis ei manum imponente, et eum consecrante, cum ministret non precibus quæ fiunt in altari, sed iis qui exterius sunt, aliisque secundum gratiam operibus. Si vero prius ordinatus est subdiaconus, idoneus est ut post sanctorum donorum consecrationem ante

ΚΕΦΑΛ. ΡΞΘ'.

Χειροτονία διακόνου.

Καὶ εἰ μὲν οὔπω ὑποδιάκονος γέγονε, τελεῖται πρότερον, ὡς ἔφημεν, εἰς ὑποδιάκονον, πρὸ τοῦ τῆς ἱερουργίας ἐνάρξασθαι, κάτωθεν ἐν ταῖς πύλαις χειροθετήσαντος αὐτὸν καὶ τελέσαντος τοῦ ἀρχιερέως. Ἐπεὶ καὶ οὐ ταῖς προσευχαῖς τοῦ θυσιαστηρίου, ἀλλὰ τοῖς ἔξωθεν καὶ τοῖς κατὰ χρείαν ἄλλοις ἔργοις ὑπηρετεῖ. Εἰ δὲ προκεχειροτόνηται, ἕτοιμος ὢν, μετὰ τὴν τῶν θείων δώρων τελείωσιν πρὸ τῆς

τελευταίας εὐχῆς, σιγῆς γινομένης, ἤτοι πρὸ τοῦ A εἰπεῖν τὸν διάκονον, « Πάντων τῶν ἁγίων μνημονεύσαντες, » πρὸ τούτου τρὶς στὰς ἐν τῷ μέσῳ, καὶ τρὶς ἀνειπὼν ἐκφώνως τό, « Ὅσοι πιστοί, » τὸ μὲν ἐκπληρῶν τὴν τοῦ ὑποδιακόνου λειτουργίαν τοὺς κατηχουμένους ἐκβάλλοντος καὶ τοὺς πιστοὺς μόνους εἰς τὴν ἱερουργίαν καὶ κοινωνίαν ἀφιέντος τε καὶ συγκαλουμένου, ὃ καὶ ἔστιν ὁ βεβαιότερος λογισμός· μέλλων γὰρ χειροτονεῖσθαι διάκονος, οἷον ἀποδίδωσι τὸ τοῦ ὑποδιακόνου ἔργον, ὡς καὶ ὁ χειροτονεῖσθαι μέλλων πρεσβύτερος ἀναγινώσκει τὸ Εὐαγγέλιον, καὶ τὰ ἅγια ἐπὶ κεφαλῆς κατὰ τὴν εἴσοδον φέρει· τὸ δὲ μαρτυρῶν πᾶσι πιστοῖς ἑαυτὸν ὁ χειροτονεῖσθαι μέλλων ὑποδιάκονος εἰς διάκονον, ὡς καθαρὸς ὢν ἐπὶ μάρτυσι πᾶσι καὶ B μάλιστα τῷ Θεῷ, χειροτονηθῆναι προσέρχεται.

Τοίνυν μετὰ τὴν εὐχήν, « Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, » κελεύσει τοῦ ἀρχιερέως ὑπὸ δύο διακόνων εἰς τὸ βῆμα εἰσάγεται. Καὶ ἀναπτομένων φώτων εἰς δόξαν Θεοῦ τοῦ πρώτου φωτός, καὶ δεῖγμα τοῦ θείου φωτισμοῦ, τρὶς τὸ θυσιαστήριον περιέρχεται, παρακρατούντων αὐτὸν τῶν διακόνων, καὶ ἑτέρων προηγουμένων, καὶ χορείαν συνιστώντων, καὶ τό, « Ἅγιοι μάρτυρες, » ἐκφώνως ᾀδόντων, καὶ τό, « Δόξα σοι, Χριστὲ ὁ Θεός, » καὶ τρὶς προσκυνούντων ἐν τῇ τραπέζῃ ἅπαξ κατὰ χορείαν, ὡς ἐν τῷ τοῦ Θεοῦ θρόνῳ, αὐτοῦ τοῦ Χριστοῦ τοῖς μυστηρίοις ἐκεῖσε προκειμένου καὶ καθημένου. Τρὶς μὲν οὖν κυκλοῦσι διὰ τὴν τιμὴν τῆς Τριάδος· διάκονοι δὲ παρακρατοῦσιν, ἐπειδὴ μέλλει εἰς τὴν τά- C ξιν αὐτῶν ἐλθεῖν· ᾆσμα δὲ ᾄδεται τῶν μαρτύρων, ὅτι καὶ ὁ προσαγόμενος ἤθλησε βιώσας καλῶς, καὶ τὴν πίστιν ἐτήρησε, καὶ τὴν ἁγνείαν ἐφύλαξε, καὶ διὰ τοῦτο στεφανοῦται. Ὅθεν καὶ τοὺς μάρτυρας συγχορευτὰς τότε ἡ Ἐκκλησία ἐπικαλεῖται, καὶ τὸν θεῖον ἔλεον δαψιλῶς ἡμῖν ἐπελθεῖν ἐκδυσωπεῖ. Ἀλλὰ καὶ τὸν τελετάρχην Χριστόν, τὸ τῶν ἀποστόλων καὶ τῶν μαρτύρων ἀγαλλίαμα, λαμπρῶς καὶ δικαίως, ὅτι τῆς νίκης καὶ τῶν στεφάνων οὗτος ὁ ἀρχηγὸς τε καὶ αἴτιος, ὡς καὶ ἀποθανὼν ὑπὲρ ἡμῶν, καὶ ὑπερυψωθεὶς τῷ νικῆσαι, δοξολογεῖ. Ἀλλὰ καὶ τῆς Τριάδος τὸ ὁμοούσιον δεῖ κηρύττειν· αὕτη γὰρ ἡ ὄντως ἀγαλλίασις καὶ χαρὰ τῇ τῶν ἑορταζόντων ἐν οὐρανοῖς χορείᾳ, καὶ μάλιστα ἐπὶ καθιερώσει ἀνδρὸς ἱεροῦ καὶ ὑπηρέτου τῶν ἄνω. D

postremam orationem silentio facto, sive antequam diaconus dicat, omnium sanctorum memoriam agentes, ter in medio stans, ter elata voce dicat illud : « Quicunque fideles. » Quo quidem ex una parte exsequitur sacrum subdiaconi ministerium, ipsos catechumenos ejiciente, et fideles solos ad sacram mysteriorum celebrationem et communionem admittente et convocante. Quæ hujusce rei firmior et solidior ratio est. Diaconus enim jamjam ordinandus veluti reddit et exhibet subdiaconi opus, non secus ac presbyter ordinandus legit Evangelium, sanctaque super caput in introitu gestat. Ita quoque qui ex subdiacono in diaconum ordinatur, omnibus fidelibus testatur se purum et immaculatum a tot testibus et a Deo maxime judicatum, consecrari.

Post orationem igitur, et postquam dictum est : « Et erunt misericordiæ magni Dei, » jussu episcopi adducitur a duobus diaconis, et in sanctuarium introducitur ; accensisque luminaribus in gloriam Dei primi luminis, et demonstrationem divinæ illuminationis, ter altare circumambulat, tenentibus et ducentibus eum diaconis aliisque præcedentibus choream componentibus, et elata voce hymnum, « Sancti martyres, » canentibus, atque etiam, « Gloria tibi, Christe Deus ; » ter etiam reverentiam et inclinationem sanctæ mensæ facientibus, semel in unaquaque chorea, sive altaris circumitione veluti Christo ipso in throno Dei illic consistente et sedente cum mysteria celebrantur. Ter igitur circumeunt in honorem Trinitatis. Diaconi autem eum tenent, eo quod ad eorum ordinem et dignitatem accersendus est. Canticum autem martyrum canitur, eo quod qui adducitur, hujus vitæ certamen pulchre peregit, fidem servavit, castitatem custodivit, et propterea coronatur. Hinc tum Ecclesia non solum martyres choreæ socios invocat, divinamque misericordiam nobis adesse et largiter affluere impetrat, verum etiam mysteriorum principem Christum, apostolorum et martyrum gaudium præclare et juste laudat et celebrat, quoniam ipse est victoriæ et coronarum præses et auctor, utpote qui pro nobis mortuus est, atque ut vincamus superexaltatus. Nec hoc tantum, sed etiam prædicanda est in sancta Trinitate consubstantialitas. Ipsa enim vere est exsultatio et gaudium choreæ festum in cœlis celebrantium, maxime cum sacerdos et sanctorum minister consecratur..

Μετὰ τὴν τριττὴν οὖν χορείαν, ἐν ᾗ καὶ ἄγγελοι **143** συγχορεύουσι μᾶλλον ἡμῶν εὐφραινόμενοι, ὑπὲρ ἡμᾶς γάρ εἰσι τῇ γνώσει, καὶ τοῖς γινομένοις ἐξίστανται πλέον ἡμῶν αἰσθανόμενοι, προσάγεται ὁ χειροτονούμενος τῷ ἀρχιερεῖ, δεικνύντος τοῦ ἔργου, ὡς ἐξελέγη τε καὶ ἱκανὸς δειχθεὶς τῷ Θεῷ λειτουργεῖν προσκομίζεται. Ὑποκλίνει τοίνυν τὴν κεφαλήν, δεικνὺς τὴν δουλείαν, καὶ ὡς μετ' εὐχαριστίας καὶ ταπεινώσεως δέχεται τὰ τῆς χάριτος. Καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν τῆς χειροτονίας εἰς ἀπαρχήν, τῆς τριττῆς θείας ὑποστάσεως ἐπιβωμένης αὐτῷ, ὅτι πᾶν δώρημα ἐξ αὐτῆς διὰ τοῦ ἐλ-

Post tertiam igitur choream quam angeli quoque agunt majore quam nos lætitia (nos enim cognitione antecedunt, et quæ fiunt magis quam nos sentientes eorum admiratione capiuntur) : ordinandus in conspectum episcopi adducitur opere ostendente quod electus est, et præsentatur antea probatus idoneus ut Deo ministret. Inclinat igitur caput in servitutis argumentum, atque ut demonstret se cum gratiarum actione et humilitate gratiæ dona recipere. Ter in capite cruce signatur in primitias ordinationis, tribus divinis Trinitatis personis super ipsum elata voce invocatis, quia ex ipsa omne do-

num per unum ex ipsa verbum incarnatum, et in carne crucifixum. Deinde unum genuflectit, quo subjectionem suam et consecrationem testatur. Adducitur enim, quoniam, ut ait Dionysius, unum et solum sacri ministerii accipit donum, ministrare, exhortari et catechizare. Nam adducit solum, et exhortatur, et exclamat ut accedant, non tamen perficit; dicit enim, « Benedic, » non autem benedicit: « Et Dominum deprecemur, » exhortatur, sed non precatur: et « Sapienter attendamus, » non autem perficit. Se habet igitur ut ministrans, non ut perficiens. Unum et solum genu flectit, quia unius scilicet divini ministerii constituitur minister; hoc autem non a scipso, sed permissione a presbytero accepta; est enim alterius potestati obnoxius. Postquam igitur genu flexerit, et sacræ mensæ capite incubuerit, eo quod ipsa Christum significat omnium caput, et in ipsa est unguentum chrismatis, Spiritus gratia, mysteria quoque, ipsiusmet Jesu, proposita tunc et aperta: quandoquidem adducitur minister ei, qui propter nos sacrificatus est; et ipsius oracula mensæ quæ ejus est sepulcrum imposita sunt, et subtus hanc reliquiæ sunt sanctorum martyrum quos ad auxilium hymnus invocavit; quia qui adducitur electione martyr est, et vitam pie peregit, et pure post frontem mensæ affixam Jesum apud se invocavit ad misericordiam ipsius sibi conciliandam, et habitationem Patris et Spiritus promerendam, suscipit supra caput episcopalem dexteram, quæ demonstrat gratiæ adumbrationem, et illius a Christo participationem, quandoquidem et ipse apostolis manus imposuerit. Ipse etenim elevans manus, dixit, « Benedic eos, » et Spiritus descendens capitibus eorum insedit; ideo manuum impositione gratiam omnes accipiebant. Et sicut manus Dei nos creaverunt, sic nunc manus disponit ad reformationem et recreationem hominum. Et quoniam: « Dextera Domini fecit virtutem; et dextera Domini exaltat, et dextera Domini glorificata est in virtute; » scriptum quoque est: « Dextera tua, et brachium tuum Filius Patris, et illuminatio faciei tuæ, Spiritus sanctus; ipsa me deduxerunt et adduxerunt in montem sanctum tuum, altam illam et cœlestem Ecclesiam tuam, et in tabernacula tua, in quibus ipse habitat qui est in cœlestibus. »

Cum autem diaconus exclamaverit: « Attendamus » (oportet enim rebus maximis omnes attendere, et tum decenter sese componere et colligere), episcopus edicit clara voce: « Divina gratia, » testificans gratiam commune esse donum Trinitatis, et eam advocans. Adjungit: « Quæ semper infirma curat. » Humiles enim sumus et admodum infirmi, præsertim ad hæc Dei opera. Quapropter ab ea manat curatio infirmitatum nostrarum, hanc etenim virtutem possidet. « Et deficientia supplet, » inquit. Non enim nos a nobis ipsis aliquid possidemus aut valemus, sed ipsa est gratia quæ omnia potest, et

A αὐτῆς ἐνανθρωπήσαντος Λόγου καὶ σαρκὶ σταυρωθέντος. Εἶτα κλίνει τὸ ἓν γόνυ, ἅμα καὶ τὴν ὑποταγὴν δεικνὺς καὶ τὴν ἀφιέρωσιν. Προσάγεται γὰρ, ὅτι καὶ ἓν καὶ μόνον τῆς ἱερᾶς λειτουργίας λαμβάνει χάρισμα, ὥς φησι Διονύσιος, τὸ ἐξυπηρετεῖν καὶ προσκαλεῖσθαι καὶ κατηχεῖν. Προσάγει γὰρ μόνον καὶ παραγγέλλει καὶ προσφωνεῖ προσελθεῖν· οὐ μὴν δὲ καὶ τελειοῖ· « Εὐλόγησον » γάρ φησι· καὶ οὐκ εὐλογεῖ. Καὶ, « Τοῦ Κυρίου δεηθῶμεν, » προτρέπεται· οὐκ εὔχεται δέ. Καὶ, « Ἐν σοφίᾳ πρόσσχωμεν· » οὐ τελειοῖ δέ. Ὡς διακονῶν τοίνυν ὢν, καὶ οὐ τελειῶν, τὸ ἓν κλίνει καὶ μόνον γόνυ· ὅτι καὶ ἑνὸς τῆς θείας διακονίας ὑπηρέτης καθίσταται· καὶ τοῦτο δὲ, τὴν ἔνδοσιν λαμβάνων παρ' ἱερέως, καὶ οὐ παρ' ἑαυτοῦ. Λειτουργικὸς γάρ. Κλίνας τοί- B νυν τὸ γόνυ, καὶ τῇ τραπέζῃ τῇ ἱερᾷ προσερείσας τὴν κεφαλὴν, ὅτι αὕτη τὸν Χριστὸν σημαίνει τὴν τῶν ἁπάντων κεφαλὴν, καὶ ἐν αὐτῇ τὸ μύρον ἡ χάρις τοῦ Πνεύματος, καὶ τὰ μυστήρια δὲ, αὐτὸς δὴ ὁ Ἰησοῦς, προκείμενα τότε καὶ ἀπερικάλυπτα. ἐπεὶ καὶ αὐτῷ προσάγεται λειτουργῶν τῷ δι' ἡμᾶς τεθυμένῳ, καὶ τὰ λόγια τούτου ἐν τῇ τραπέζῃ τῷ αὐτοῦ μνήματι, καὶ ὑποκάτω ταύτης τὰ λείψανα τῶν μαρτύρων, οὓς δὴ καὶ πρὸς ἀρωγὴν ὁ ὕμνος ἐπεκαλέσατο. Ὅτι καὶ ὁ προσαγόμενος μάρτυς τῇ προαιρέσει εὐσεβῶς πολιτευσάμενος καὶ ἁγνῶς, μετὰ τοῦ ἐρεῖσαι τὸ μέτωπον τῇ τραπέζῃ καθ' ἑαυτὸν τὸν Ἰησοῦν εἰς ἔλεον ἑαυτοῦ καὶ κατοικίαν σὺν Πατρὶ καὶ Πνεύματι ἐπικαλούμενος, τὴν ἀρχιερατικὴν ἐπάνω τῆς κεφαλῆς ἐπιδέχεται δεξιὰν, ἣ δει- C κνύει τὸ ἐπισκιάζον τῆς χάριτος, καὶ τὸ ἀπὸ τοῦ Χριστοῦ μεταδοτικόν· ἐπεὶ καὶ τοῖς ἀποστόλοις τὰς χεῖρας ἐπέθηκε. Καὶ αὐτὸς γὰρ ἐπάρας τὰς χεῖρας, φησὶν, « Εὐλόγησον αὐτούς. » Καὶ τὸ Πνεῦμα δὲ κατελθὸν, ταῖς κεφαλαῖς αὐτῶν ἐπεκάθισε. Διὸ καὶ τῇ τῶν χειρῶν ἐπιθέσει πάντες τὴν χάριν ἐλάμβανον. Καὶ ὥσπερ αἱ χεῖρες Θεοῦ ἡμᾶς ἔπλασαν, καὶ νῦν χεὶρ ἐξοικονομεῖ πρὸς ἀνάπλασιν τῶν ἀνθρώπων. Καὶ ὅτι « Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, καὶ δεξιὰ Κυρίου ὑψοῖ, καὶ ἡ δεξιὰ Κυρίου δεδόξασται ἐν ἰσχύϊ, » γέγραπται καὶ, « Ἡ δεξιά σου καὶ ὁ βραχίων σου, ὁ Υἱὸς τοῦ Πατρὸς, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, τὸ Πνεῦμα τὸ ἅγιον, αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, τὴν ὑψηλὴν καὶ D ἐπουράνιόν σου Ἐκκλησίαν, καὶ εἰς τὰ σκηνώματά σου, ἐν οἷς αὐτὸς ἐνσκηνοῖς, ὁ κατοικῶν ἐν τοῖς οὐρανοῖς. »

Καὶ τοῦ διακόνου κεκραγότος τὸ, « Πρόσσχωμεν, » δεῖ γὰρ τοῖς μεγίστοις οὕτω πάντας προσέχειν τε καὶ συστέλλεσθαι, ὁ ἀρχιερεὺς ἐκφωνεῖ, « Ἡ θεία χάρις· » τῆς Τριάδος εἶναι κοινὴν μαρτυρῶν τὴν δωρεὰν, καὶ ταύτην ἐπικαλούμενος. Καὶ ἐπάγει, « Ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα. » Ταπεινοὶ γὰρ ἡμεῖς καὶ λίαν ἀσθενεῖς, καὶ μάλιστα πρὸς τοιαῦτα τοῦ Θεοῦ ἔργα. Διὸ καὶ ἡ θεραπεία τῶν ἀσθενῶν ἡμῶν παρ' αὐτῆς· αὕτη γὰρ παρέχει τὴν δύναμιν. « Καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, » φησίν. Οὐ γὰρ ἡμεῖς ἀφ' ἑαυτῶν τι κεκτήμεθα ἢ ἰσχύομεν, ἀλλ' αὐτὴ ἡ τοῦ Θεοῦ χάρις ἡ πάντα ἰσχύουσα

τε καὶ νέμουσα, ὅσαπερ ἡμεῖς ἔχομεν, ἡ καὶ ἀναπληροῦσα τὸ ἐλλειπὲς ἐν ἡμῖν· « προχειρίζεται, » ἤτοι προβάλλεται, καθιστᾷ, τελειοποιεῖ. Ἅμα δὲ τῷ λόγῳ καὶ τὸ χάρισμα δίδοται. Οὐδὲ γὰρ χρόνου χρεία τῇ παντοδυναμίᾳ καὶ αὐτοτελεῖ δυνάμει. « Τὸν δεῖνα, » καὶ τὸ ὄνομα λέγει, ἵνα τοῦτο γραφῇ ἄνω καὶ γνώριμος ὑπάρχῃ ἀγγέλοις τε καὶ **144** ἀνθρώποις· ἐπεὶ καὶ Θεοῦ καθίσταται λειτουργὸς, « τὸν εὐλαβέστατον ὑποδιάκονον εἰς διάκονον. » Τιμᾷ καὶ τὸ πρώην χάρισμα, καὶ τὸν ἔχοντα ὡς Θεοῦ ὑπηρέτην, ὡς Θεοῦ χάριν ἔχοντα, καὶ ἐν Χριστῷ ἐνεργοῦντα. « Εἰς διάκονον » δὲ λέγων, καὶ τὸ χάρισμα δίδωσιν. Καὶ ὁ χειροτονούμενος τὴν διακονίαν λαβεῖ τῷ λόγῳ τοῦ ἱεράρχου εὐθύς· ἐνεργὴς γάρ ἐστι τῷ παναγίῳ καὶ θείῳ Πνεύματι· διὸ καὶ οὐχ αὐτὸς οἷα ἄνθρωπος, ἀλλ' ὡς ἱεράρχης λέγει μετὰ τῆς χάριτος· καὶ τὴν χάριν ἐπεκαλέσατο· καὶ ἡ χάρις ἐνεργεῖ, ὅτι καὶ ἐνεργὴς ὁ λόγος τοῦ Θεοῦ· καὶ ὅτι πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. Τότε μὲν οὖν εὐθὺς ἀπὸ ὑποδιακόνου εἰς τὸ διάκονος εἶναι γέγονε· πλὴν ἔτι χρείαν ἔχει καὶ τῆς λοιπῆς τελετῆς τῶν ἀρχιερατικῶν εὐχῶν, καὶ τῶν κατὰ τύπον ἁπάντων. Οὐ γὰρ ἀρκεῖ μόνον ἡ φωνὴ τὸ τὸν ὑποδιάκονον προχειρισθῆναι εἰπεῖν εἰς διάκονον, ἢ εἰς ἄλλον τινὰ βαθμόν· ἀλλὰ σὺν αὐτῷ χρὴ καὶ ἐπὶ τῆς ἱερᾶς τραπέζης τὴν κεφαλὴν ἔχειν, καὶ κλίναντα τὸ γόνυ, τὴν χεῖρα τοῦ ἱεράρχου ἐπικειμένην ἔχειν, καὶ τὰς τετυπωμένας εὐχὰς ῥηθῆναί τε καὶ αἰτήσεις, καὶ σφραγισθῆναι, καὶ ἄξιον ἀνακηρυχθῆναι, καὶ τὸν ἱερὸν ἀσπασμὸν ποιήσασθαι· πάντα γὰρ ταῦτα τελειοῦσι τὸν χειροτονούμενον, καὶ πάντα γενέσθαι χρή· ἐπεὶ καὶ ἐν τοῖς λοιποῖς μυστηρίοις οὕτως ἐστὶν, ὥστε πάντα τὰ νενομισμένα πραχθῆναι, καὶ μηδὲν παραλειφθῆναι, ὡς ἑκάστου τὸν οἰκεῖον ἔχοντος λόγον.

Ἐπάγει δὲ καὶ τὸ, « Εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵν' ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος· » ἅμα μὲν καὶ τὴν τοῦ Θεοῦ χάριν ἐπικαλούμενος, ἅμα δὲ καὶ τὸ δι' αὐτῆς ἐνεργεῖν μαρτυρῶν, καὶ τὴν Ἐκκλησίαν δὲ πᾶσαν προσκαλούμενος συνεργὸν εἰς τὸ ἔργον ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ χειροτονουμένου· εἰ γὰρ Πέτρος συνεργὸν εἶχε τὴν Ἐκκλησίαν εἰς τὰς εὐχὰς, πολλῷ γε μᾶλλον αὐτός. Διὸ καὶ πάντων λεγόντων τρὶς εἰς δόξαν τῆς Τριάδος τὸ, « Κύριε, ἐλέησον, » καὶ αὐτὸς τὸν χειροτονούμενον τρὶς σφραγίζει ἐν τῇ Τριάδι τοῦτον διὰ τοῦ σταυροῦ τελειῶν. Εἶτα καὶ τὴν χεῖρα ἐπικειμένην ἔχων, τὰ τῆς εὐχῆς ἐπιλέγει, τὴν χάριν τῆς διακονίας τῆς ἱερᾶς ἐπιφοιτῆσαι αὐτῷ δυσωπῶν, καὶ κατὰ τὸν πρωτομάρτυρα καταστῆναι Στέφανον, καὶ οἰκονόμον γενέσθαι τῆς διακονίας καλὸν, καὶ τὰ λοιπὰ ἐπευχόμενος. Εἶτα καὶ ἐκφωνεῖ δοξολογῶν τὴν Τριάδα. Τότε οὖν ἐν τῇ ἐπιφοιτήσει τοῦ Πνεύματος καὶ μνήμη γίνεται πιστῶν πάντων. Εἷς γὰρ τῶν πρώτων διακόνων τὰ τῶν αἰτήσεων ἐπιφέρει, « Ὑπέρ τε τοῦ χειροτονοῦντος ἱεράρχου, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ δεηθῶμεν, » λέγων, τουτέστι τοῦ προχειριζομένου εἰς τὸ χάρισμα, καὶ τοῦτον ἄμεμπτον ἐν αὐτῷ διαφυλαχθῆναι, « καὶ τῶν βασιλέων, καὶ τῆς

A distribuit quæcunque habemus, quæque supplet quod in nobis deficit. « Promovet, » id est, designat, constituit, perficit; simul autem cum verbo datur gratia. Omnipotens enim, et per se absoluta, et consummata Dei virtus tempore opus non habet. « Hunc N. » nomen profert, ut illud superius scribat, notumque sit angelis et hominibus, cum Dei constituatur minister, « religiosissimum subdiaconum in diaconum. » Honorat et prius Dei donum, et possidentem, ut Dei servum, ut gratiæ divinæ possessorem, et per Christum operantem. Cum dicit ordinans, « In diaconum, » et gratiam donat, et qui ordinatur diaconum episcopi verbo statim accipit; efficax enim est per sanctissimum Dei Spiritum, eo quod non ut homo, sed ut pontifex loquitur cum gratia, B et gratiam producit, et gratia operatur. Efficax enim et operativus est sermo Dei, et omnia operatur unus et idem Spiritus. Tunc quidem statim e subdiacono fit diaconus. Nihilominus tamen opus adhuc habet mysterio et perfectione precum episcopalium, et cæterorum omnium quæ in ordinationum paradigmate continentur. Non enim vox sola sufficit, ut subdiaconus promoveatur, nec dicere in diaconum, vel quemvis alium gradum promoveatur; sed cum hoc oportet etiam caput ejus sacræ mensæ incumbere, et flectentem genu manum episcopi impositam habere, et descriptas preces et orationes recitari, et cruce signari, et dignum proclamari, et sacram salutationem fieri. Hæc C enim omnia ordinandum perficiunt, et omnia quæ præscripta sunt fieri necesse est, cum in cæteris sacramentis res ita se habeat, ut omnia quæ constituta sunt peragantur, et nihil eorum prætermittatur, utpote eorum unoquoque peculiarem rationem habente.

His superaddit episcopus: « Precemur igitur pro eo, ut veniat super ipsum gratia sanctissimi Spiritus; » simul quidem et Dei gratiam invocans, simul quoque et se per eam operari testificans, et universam Ecclesiam advocans tam pro se quam pro ordinando ut huic operi cooperetur. Nam si Petrus cooperantem suis precibus habuit Ecclesiam, multo magis ipse. Ideo omnibus dicentibus, « Kyrie eleison, » ter in honorem Trinitatis, ipse ter signat ordinandum D in nomine Trinitatis eum per crucis signum consecrans. Postea manum habens ipsi impositam precem recitat, qua Deo supplicat ut gratiam sacri diaconatus in ipsum immittat, eumque juxta protomartyrem Stephanum faciat bonum œconomum et dispensatorem officii diaconatus, cæteraque, ut moris est, precatur. Deinde alta voce sanctæ Trinitatis gloriam celebrat. Tunc igitur in adventu spiritus omnium fidelium fit commemoratio. Unus enim primorum diaconorum rogationes infert, dicens: « Deprecemur pro ordinante episcopo, et opere manuum ejus. » Hoc est, pro eo qui promovetur ad gratiæ donum, ut in eo immaculate conservetur: « Pro imperatoribus et urbe omnique Christiano populo. » Oportet enim in adventu gratiæ pro omni-

bus fidelibus orare, et eorum memoriam facere. A Tunc enim locuples Spiritus donatio omnibus in certaminis præmium dispensatur.

CAPUT CLXX.

Quod ordinandus quando ordinatur preces pro omnibus fundere debet, easque tunc maxime esse efficaces.

Ipsum quoque ordinandum tunc oportet ardentius pro omnibus intercedere. Nam ut a Patribus didicimus, quæcunque ordinandus secundum Deum tunc precatus fuerit, accipit, et pro quibus rationabiliter petierit, obtinet, velut tum sanctificatus et gratia donatus. Ideo sæpius multos fratrum qui ordinabantur rogavi, ut cum ordinarentur, pro me orarent, et mei recordarentur, ut misericor- B diam a Deo consequerer. Episcopus igitur recitatis rogationibus manum habens capiti ipsius impositam, per eam enim gratia operatur, secundam dicit orationem, qua postulat ordinandum per adventum sancti Spiritus repleri fide, sapientia, virtute et sanctificatione. Hæc autem vera cum humilitate ait, dicens, se manuum suarum impositioni non confidere, sed per divinæ misericordiæ visitationem dignis gratiam donari; ita ut per manuum impositionem divinæ misericordiæ visitatio significetur, et gratia indignis adveniat. Deinde vehementer petit eum ab omni peccato esse alienum, quia nullus est a macula purus, nullusque sufficiens ad hujusmodi ministeria. Petit insuper ut C cum bene ministraverit laboris mercedem a Christo accipiat. Sicque Deo alta voce laudato (oportet enim gratias illi agere pro omnibus divinis donis), ter iterum illum signando mysterii consummationem adimplet; deinde ordinatum e mensa erigit.

CAPUT CLXXI.

Quod episcopus in ordinatione ordinandum triplici signaculo consecrat.

Aspice autem et attende Trinitatem ubique prædicatam, et operantem in nobis, atque divina dona consummantem. Episcopus enim adductum statim ter cruce signat, in primitias consecrationis et ordinationis. Deinde secundo iterum eum signat D ter post invocationem divinæ gratiæ, et in eo per crucem operatur donum gratiæ in medio mysterio per virtutem Trinitatis, omnibus cum cantu dicentibus « Kyrie eleison. » Tertio denique post orationes pronuntiatas iterum illum ter cruce signat, ut jam per divinam virtutem a se integre consecratum et constitutum vel diaconum, vel presbyterum, vel episcopum. In illis enim ter similiter id fit, ut laudetur et celebretur Trinitas, atque signo crucis operari ostendatur, in principio scilicet operis, in medio, et in fine: quoniam ea sola causa est et cœpti, et profectus, et exsecutionis, quæ etiam Trinitas Deus est, omnium rerum causa. Præterea cum sint tres horum, ut angelorum, ordines,

πόλεως, καὶ παντὸς τοῦ Χριστωνύμου λαοῦ. « Δεῖ γὰρ τῇ ἐπιφοιτήσει τῆς χάριτος πάντων πιστῶν ὑπερεύχεσθαι καὶ μεμνῆσθαι· πλουσία γὰρ τότε ἡ δωρεὰ τοῦ Πνεύματος πᾶσιν ἐπιβραβεύεται.

ΚΕΦΑΛ. ΡΟʹ.

Ὅτι ἐν τῷ χειροτονεῖσθαι τὸν χειροτονούμενον δεῖ πάντων ὑπερεύχεσθαι· ἀνύσιμον γὰρ τοῦτο τότε μᾶλλον.

Καὶ αὐτὸν δὲ τὸν χειροτονούμενον χρὴ πάντων ὑπερεύχεσθαι θερμότερον τότε. Ὡς γὰρ παρὰ Πατέρων ἐμάθομεν, ὅσα ἂν τότε κατὰ Θεὸν ὁ χειροτονούμενος εὔξαιτο, λαμβάνει παρὰ Θεοῦ· καὶ ὑπὲρ ὧν αἰτήσει κατὰ λόγον εὑρίσκει, ὡς ἁγιαζόμενος, καὶ τὴν χάριν δεχόμενος. Διὸ κἀγὼ πολλάκις πολλοὺς, ἀδελφὲ, τῶν χειροτονουμένων ἠξίωσα, ἐν τῷ B χειροτονεῖσθαι εὔχεσθαι ὑπὲρ ἐμοῦ, καὶ μνησθῆναί μου τότε, ὥστε ἐλεηθῆναι. Ὁ ἀρχιερεὺς οὖν καὶ τῶν αἰτήσεων λεγομένων, τὴν χεῖρα ἔχων ἐπικειμένην τῇ αὐτοῦ κεφαλῇ, δι' αὐτῆς γὰρ ἡ χάρις ἐνεργεῖ, καὶ τὴν δευτέραν μετὰ τὰς αἰτήσεις ἐπιλέγει εὐχήν. Καὶ πληρωθῆναι ἐξαιτεῖται τὸν χειροτονούμενον πίστεως καὶ σοφίας καὶ δυνάμεως καὶ ἁγιασμοῦ τῇ ἐπιφοιτήσει τοῦ θείου Πνεύματος. Καὶ ἐν ἀληθεῖ ταπεινώσει **145** ταῦτά φησι λέγων, ὅτι οὐκ ἐν τῇ ἐπιθέσει τῶν αὐτοῦ χειρῶν θαῤῥεῖ, ἀλλ' ἐν τῇ ἐπισκοπῇ τοῦ θείου ἐλέους, δίδοσθαι χάριν τοῖς ἀξίοις· ὥστε διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἡ τοῦ θείου ἐλέους ἐπισκοπὴ δηλοῦται, καὶ ὅτι ἡ χάρις τοῖς ἀξίοις ἐπιφοιτᾷ. Εἶτα καὶ πάσης αὐτὸν ἁμαρ- C τίας ἐκτὸς γενέσθαι δυσωπεῖ· ὅτι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, καὶ οὐδεὶς ἱκανὸς πρὸς τοιαύτας διακονίας· καὶ καλῶς διακονήσαντα τὸν μισθὸν τοῦ κόπου λαβεῖν παρὰ τοῦ Χριστοῦ. Καὶ οὕτως ἐκφώνως τὸν Θεὸν ἀνυμνήσας (εὐχαριστεῖν γὰρ δεῖ ἐπὶ πᾶσι τοῖς θείοις δώροις), τρὶς πάλιν σφραγίζει, τὴν τελείωσιν ἐνεργῶν· καὶ ἀνιστᾷ τῆς τραπέζης τὸν χειροτονηθέντα.

ΚΕΦΑΛ. ΡΟΑʹ.

Ὅτι τρὶς ἐν τῇ χειροτονίᾳ τριττῇ σφραγῖδι ὁ ἱεράρχης τελειοῖ τὸν χειροτονούμενον.

Καὶ ὅρα πάντοθεν τὴν Τριάδα κηρυσσομένην τε καὶ ἐνεργοῦσαν ἐν ἡμῖν καὶ τελειοῦσαν τὰ θεῖα δωρήματα. Πρῶτον μὲν γὰρ εὐθὺς προσαχθέντα σφραγίζει τρὶς ὅπερ ἐστὶν ἀπαρχὴ τῆς καθιερώ- D σεως καὶ χειροτονίας· εἶτα δεύτερον πάλιν σφραγίζει τρὶς μετὰ τὴν ἐπίκλησιν τῆς θείας χάριτος, ἐνεργῶν ἐν αὐτῷ διὰ τοῦ σταυροῦ κατὰ τὸ μέσον τῆς τελετῆς ἐν τῇ Τριάδι τὸ δώρημα, πάντων λεγόντων τὸ, « Κύριε, ἐλέησον, » μετ' ᾠδῆς· καὶ τρίτον ἤδη μετὰ τὰς εὐχὰς τρὶς πάλιν σφραγίζει, ὡς τελειώσας καὶ ἀποκαταστήσας θείᾳ δυνάμει ὁλοτελῶς ἢ λειτουργὸν, ἢ πρεσβύτερον, ἢ ἐπίσκοπον. Καὶ ἐπ' ἐκείνοις γὰρ ὁμοίως γίνεται τρὶς ἡ Τριὰς ὑμνουμένη καὶ ἐνεργοῦσα τῇ σφραγῖδι, ἐν ἀρχῇ τε τοῦ ἔργου, καὶ τῇ μεσότητι, καὶ τῷ τέλει· ὅτι καὶ τοῦ ἄρξασθαι εἶναι, καὶ τοῦ προκόπτειν, καὶ τοῦ εἰς τέλος ἐλθεῖν, αὕτη μόνη αἰτία, ἡ καὶ τῶν ὅλων αἰτία ὁ Θεὸς ἡ Τριάς ἐστιν. Ἀλλὰ καὶ ὡς ἀγγελικῶν τουτωνὶ τῶν τριῶν οὐσῶν τάξεων, διακόνου, πρεσβυ-

τέρου καὶ ἐπισκόπου, καὶ ὁ ἀγγελικὸς τῶν ἐννέα ταγμάτων ἀριθμὸς, ὃς τρισσῶς τὴν Τριάδα ἐν ἑαυτῷ περιφέρει τε καὶ κηρύττει, διὰ τῶν τρὶς τρισσῶν σταυρικῶν σφραγίδων ἐν αὐτοῖς χειροτονουμένοις ἐκτυποῦται καὶ δείκνυται.

ΚΕΦΑΛ. ΡΟΒ'.

Τί τὸ ἀναστῆσαι τὸν χειροτονηθέντα, καὶ τὸ ἐνδῦσαι ἱερὰ ἄμφια.

Ἀναστήσας δὲ τῆς ἱερᾶς τραπέζης τὸν χειροτονηθέντα ὁ ἱεράρχης, σημαίνει ὅτι ἀπὸ τῆς ἐλάττονος καὶ ταπεινοτέρας τάξεως ἀναγαγὼν, εἰς ὑψηλοτέραν ἀνύψωσε· καὶ κείμενον κάτω καὶ ταπεινὸν ὄντα, ἀνέστησέ τε καὶ ἀνεβίβασεν. Εἶτα περιτίθησιν αὐτῷ καὶ ἄμφια ἀνάλογα τῷ βαθμῷ. Καὶ πρῶτον μὲν πρὸ τῆς χειροτονίας τὴν ζώνην λῦσαι τοῦ στιχαρίου εἰπὼν, καὶ τὸ χερνιβόξεστον ἀποθέσθαι, τὸ μεταβαίνειν ἀπὸ τῆς ἐλάττονος ἐδήλωσε τάξεως εἰς τὴν μείζονα· καὶ διακονίαν μὲν λαμβάνειν τὸν χειροτονούμενον, πλὴν οὐχ ὑλικωτέραν ἀλλ' ἀπολελυμένην τῆς ὕλης. Οὐ γὰρ ἵνα κλείσῃ τὰς πύλας, οὐδ' ἵνα φῶτα ἀνάψῃ, οὐδ' ἵνα τοὺς κατηχουμένους ἐξωθήσῃ, καθίσταται, ἀλλ' ἵνα λειτουργῇ, οἷς ἄγγελοι φρίττουσι μυστηρίοις.

ΚΕΦΑΛ. ΡΟΓ'.

Τί τὸ ὠράριον· καὶ διατί τοῦτο ἐξ ἀριστερῶν ὁ διάκονος περιτίθεται.

Περιζώννυνται μὲν οὖν καὶ οὗτοι, ἀλλὰ κατὰ καιρὸν ἐν τῇ κοινωνίᾳ μόνῃ τοῖς ὠραρίοις, εἰς δεῖγμα τῆς συστολῆς τε καὶ εὐλαβείας καὶ ταπεινώσεως. Διὸ καὶ ὡς τὴν τῶν ἀγγέλων ἐσχηκὼς τάξιν ὁ χειροτονηθεὶς, ὠράριον περιβάλλεται· ὃ δὴ τὸ νοερὸν δηλοῖ τῶν ἀγγέλων καὶ ὡς πτερὰ σημαίνει ἀπῃωρημένον τῶν ὤμων. Καὶ τὸ Τρισάγιον ᾆσμα τῶν ἀγγέλων ἐγγεγραμμένον ἔχει. Καὶ τοῦτο σφραγίζει μὲν ὁ ἀρχιερεύς· αὐτὸς δὲ ἀσπάζεται **146** καὶ τὴν χεῖρα τοῦ ἱεράρχου, δεικνὺς ὅτι καὶ ἐρᾷ τοῦ δώρου, καὶ τιμᾷ τοῦτο, καὶ τὸν διδόντα αὐτὸν, ὡς εὐεργέτην τοιούτων. Ὁ δὲ περιτίθησιν αὐτοῦ τῷ ἀριστερῷ ὤμῳ, ἐπεὶ τῆς ἐλάττονος ἔτι καὶ οὗτος τυγχάνει καὶ ὑφειμένης τάξεως ὁ διάκονος, καὶ τοῦ ἑνὸς ἔργου καὶ μόνου τοῦ λειτουργεῖν καὶ διακονεῖν ἐστιν ὑπηρέτης. Ὅτε δὲ τελεσθείη πρεσβύτερος, τότε καὶ ἀπὸ τοῦ δεξιοῦ ὤμου τοῦτο λήψεται, ὡς καὶ τὸ διακονεῖν καὶ τὸ τὰς τελετὰς ἐνεργεῖν λαβών.

ΚΕΦΑΛ. ΡΟΔ'.

Διατί καλεῖται ὠράριον, καὶ περὶ τῶν ἑξαπτερύγων· καὶ ὅτι ταῦτα μιμοῦνται τῷ ὠραρίῳ περιστελλόμενοι οἱ διάκονοι.

Ὠράριον δὲ καλεῖται, διὰ τὸ ὡραΐζειν αὐτὸν τῇ χάριτι, καὶ τῆς δόξης Θεοῦ τῷ κάλλει περικοσμεῖν. Οἱονεὶ γὰρ καὶ οὗτος ἐν τούτῳ ὡς ἐν πτέρυξιν ὡραΐζεται καὶ περικαλύπτεται εὐλαβείᾳ καὶ ἀρετῇ, καὶ μάλιστα ἐν τῷ μετέχειν τῆς κοινωνίας, τὰ Σεραφὶμ ἐκεῖνα μιμούμενος ἃ δὴ ἑξαπτέρυγα, ὡς γέγραπται, ὄντα, ταῖς μὲν δυσὶ πτέρυξι καλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, τὸ,

A diaconi, presbyteri et episcopi; et angelicus numerus ex novem ordinibus consistat, qui ter in se Trinitatem continet et prædicat, per tria crucis signa in ordinandis ter repetita recte effingitur et exprimitur.

CAPUT CLXXII.

Quid innuatur per hoc, quod ordinatus erigitur, et sacris induitur vestimentis.

Cum autem episcopus ordinatum a sacra mensa erigit, significat hac exaltatione se eum ab ordine minore et humiliore ad sublimiorem deducere; ideo jacentem et humilem erigit et attollit. Postea circumponit ei vestimenta gradui analoga. Primum ante ordinationem jubet zonam sticharii solvere, B et malluvium manibus deponere; quo significat eum transferri ab ordine minore in majorem, et ministerium accipere, attamen non materiale, sed materiæ expers. Non enim ut portas occludat, neque ut luminaria accendat, aut catechumenos expellat, constituitur, sed ut mysteriis ministret, in quorum conspectu contremiscunt angeli.

CAPUT CLXXIII.

Quid per horarium sive stolam, et quare hanc sinistro humero diaconus imponit.

Cinguntur quidem et isti horariis suis, at certo tempore, videlicet in sola communione, in signum contractionis spiritus, et timoris, et humilitatis. C Ideo ordinatus, ut angelorum ordinem consecutus, horario circumcingitur, quod naturam angelorum intelligibilem indicat: et sicut alæ quarum figuram habet, significat quoque humeris in sublimo suspensum. Habet etiam inscriptum Trisagion angelorum canticum. Hoc insuper sigillo crucis obsignat episcopus: ille vero episcopum osculatur, ejusque manum; ostendens se donum diligere, illudque et ipsum dantem, ut beneficum rerum ejusmodi largitorem honorare. Hic vero sinistro illius humero horarium adaptat, eo quod diaconus minoris est adhuc et subjecti ordinis, ministerque unius et solius operis, ad ministrandum scilicet et serviendum tantum institutus. Cum vero initiabitur in presbyterum, tunc stolam in dexterum quoque D humerum accipiet, velut tunc et ministrandi et sacrificandi potestate donatus.

CAPUT CLXXIV.

Quare vocetur horarium, et quod diaconi illo ornati sex alas Seraphicas imitantur.

Horarium autem dicitur quia ipsum gratia conspicuum reddit, et gloriæ Dei pulchritudine et splendore exornat. Ille enim horario velut alis conspicuus fit et splendidus, pietate et virtute circumtectus: sed præsertim dum communionis fit particeps Seraphim illa imitatur, quæ, ut scribitur, sex alis prædita sunt, quarum duabus facies suas velant, duabus aliis pedes, et reliquis volant, Sanctus, Sanctus, Sanctus clamantia. Nec hæc

tantum sex alæ significant, verum etiam Crucifixi typum gerunt. Alæ enim supernæ et infernæ sunt, veluti lignum crucis erectum; quæ vero ex lateribus cornu repræsentant et lignum transversum. Ideo diaconis ut Seraphim figurantibus flabellum a pontifice traditur. Illud autem alas angelorum designat, ipsa quoque Cherubim et Seraphim, cum et Seraphim flabellum depictum habeant, quæ typum gerunt eorum quæ in lege obumbrabant arcam, et ea quæ Sancta sanctorum dicebantur. Nam si hæc tunc erant in umbra, multo magis veritate comparente locum habere debent. Sunt etiam hic vere angelorum multitudines, et multi Patrum nostrorum eos viderunt et contemplati sunt domum replentes. Angelorum autem ordinem et vices sustinent, qui ad sacrum altare pertinent. Rejiciendi tamen non sunt rerum divinarum typi et imagines, quippe qui nos ad prototypa manuducunt.

A « Ἅγιος, ἅγιος, ἅγιος, » ἐκβοῶσιν. Ἀλλὰ καὶ τοῦ σταυρωθέντος ἐν τούτῳ ἔχουσι τύπον τὰ ἑξαπτέρυγα. Τὰ ἄνω μὲν γὰρ καὶ κάτω πτερὰ ὥσπερ τὸ ἰκρίον ἐστὶ τοῦ σταυροῦ· τὰ δὲ ἐκ πλαγίων πτερὰ τὸ κέρας. Διὸ καὶ τοῖς διακόνοις ὡς τὰ Σεραφὶμ ἐκτυποῦσι, καὶ ῥιπίδιον δίδοται παρὰ τοῦ ἀρχιερέως· αὐτὸ δὲ τὰς πτέρυγας δηλοῖ τῶν ἀγγέλων· καὶ αὐτὰ τὰ Χερουβίμ τε καὶ Σεραφὶμ ἐξεικονισμένα ἔχει· καὶ ἐκείνων φέρουσι τύπον τῶν ἐν τῷ νόμῳ, ἐπισκιαζόντων τὴν κιβωτὸν καὶ τὰ λεγόμενα Ἅγια τῶν ἁγίων. Εἰ γὰρ τότε ἦν ἐν τῇ σκιᾷ, δεῖ μᾶλλον ἐνταῦθα εἶναι, φανείσης τῆς ἀληθείας. Εἰσὶ δὲ καὶ ἀληθῶς πλήθη ὧδε ἀγγέλων. Καὶ πλεῖστοι τούτους πληροῦντας τὸν οἶκον τῶν Πατέρων ἡμῶν ἐθεάσαντο· καὶ αὐτοὶ δὲ οἱ τοῦ ἱεροῦ βήματος
B τάξιν ἔχουσι τῶν ἀγγέλων· ὅμως δὲ οὐκ ἀπόβλητοι καὶ οἱ τῶν θείων τύποι, ὡς χειραγωγοῦντες πρὸς τὰ πρωτότυπα.

CAPUT CLXXV.

Quid significet quod diaconus osculatur sacram mensam, manumque et genam episcopi et diaconos.

Tradens igitur episcopus diacono flabellum, eum jubet primum osculari sacram mensam, utpote qui in ea gratiam susceperit, deinde manum episcopalem, velut per ipsam ordinatum. Tertio genam propter charitatem, et in divinis unionem; et quod amabilis sit in Christo qui bona per spiritum distribuit, et dilectus qui accepit. Postea et diaconos osculatur, prius uniuscujusque horarium deosculans; demonstrans hac actione, et veluti dicens, Per hoc donum vobis sum unitus et æqualis factus, et unum vobiscum, ejusdemque vobiscum ordinis. Illi vero invidia procul in charitate eum resalutant, seseque demonstrant socii sui et æqualis amatores ab ipso in spiritu amati, et ipsius amantes. Diaconus igitur sic consecratus et consummatus stat ad ministrandum, flabellum manu tenens, donec sancta extollantur et demonstrentur. Tunc illud deponit finito ministerio, accedit enim communionis tempus. Ideo postquam episcopus et presbyteri communicaverunt, ipse ante quemvis alium diaconum cum pio timore accedit, et divinum panem, ut moris est diaconis, manu ab episcopo accipit, et calicis aliquid labiis degustat ante omnes alios; præ cæteris enim ut recens consecratus honoratur propter divinæ gratiæ in ipso innovationem et consecrationem.

ΚΕΦΑΛ. ΡΟΕ'.

Τί τὸ ἀσπάζεσθαι τὸν διάκονον τὴν τράπεζαν, τὴν χεῖρα καὶ παρειὰν τοῦ ἀρχιερέως, καὶ τοὺς διακόνους.

Παρασχὼν τοίνυν ὁ ἱεράρχης τῷ διακόνῳ καὶ τὸ ῥιπίδιον, κελεύει τοῦτον ἀσπάσασθαι πρῶτον τὴν ἱερὰν τράπεζαν ὡς ἐν αὐτῇ τὴν χάριν δεξάμενον· εἶτα καὶ τὴν ἀρχιερατικὴν χεῖρα ὡς δι' αὐτῆς χειροτονηθέντα· καὶ τρίτον τὴν παρειὰν διὰ τὴν ἀγάπην καὶ ἕνωσιν πρὸς τὰ θεῖα· καὶ ὅτι ἐραστὸς ἐν
C Χριστῷ ὁ τὰ ἀγαθὰ πνεύματι νέμων, καὶ ἀγαπητὸς ὁ λαβών. Εἶτα καὶ τοὺς διακόνους ἀσπάζεται πρότερον, ἐν ἑκάστῳ καὶ τὸ ὠράριον ἀσπαζόμενος, δεικνὺς καὶ οἱονεὶ λέγων, ὅτι Διὰ τούτου δὴ τοῦ χαρίσματος ὑμῖν ἡνώθην, καὶ ὁμοταγὴς γέγονα, καὶ ἕν εἰμι μεθ' ὑμῶν, καὶ τῆς αὐτῆς ὑμῖν τάξεως. Οἱ δὲ φθόνου χωρὶς ἐν ἀγάπῃ ἀντασπάζονται τοῦτον, καὶ ἐρασταὶ τοῦ ὁμοταγοῦς καὶ ἀγαπητοὶ καὶ ἀγαπῶντες ἐν πνεύματι δείκνυνται. Οὕτως οὖν τελειωθεὶς ὁ διάκονος, πρὸς τὸ ἐξυπηρετεῖν ἵσταται, τὸ ῥιπίδιον κατέχων τῇ χειρὶ, ἕως οὗ ὑψωθῶσι τὰ ἅγια. Τότε δὲ τίθησι τοῦτο τῆς ὑπηρεσίας τελεσθείσης· ἔρχεται γὰρ ἡ κοινωνία. Διὸ καὶ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων μετασχόντων, καὶ οὗτος μετ' εὐλαβείας προσελθὼν πρὸ παντὸς ἄλλου διακόνου, τὸν
D θεῖον ἄρτον λαμβάνει παρὰ τοῦ ἱεράρχου τῇ χειρὶ, ὡς ἔθος τοῖς διακόνοις, καὶ τοῦ ποτηρίου τοῖς χείλεσι πρὸ τῶν ἄλλων· ὡς ἄρτι γὰρ καθιερωθεὶς, προτιμᾶται διὰ τὸν ἐν αὐτῷ τῆς θείας ἐγκαινισμὸν χάριτος.

CAPUT CLXXVI.

Quare diaconus, nec non presbyter septem dies continuos sacro officio perfungitur.

Et septem diebus continuis cum sacerdote ministrat, tum ob honoranda Spiritus gratuita dona, tum ut operis habitum contrahat, tum etiam ne divini operis aliqua fiat interruptio integra dierum hebdomade, quæ presentem nostram vitam significat septimanarum more prætereuntem, in qua integra Dei opus indesinenter facere debemus. Nam

147 ΚΕΦΑΛ. ΡΟϚ'.

Διατί ἑπτὰ ἡμέρας ἀδιαλείπτως ὁ χειροτονηθεὶς διάκονος λειτουργεῖ, καὶ πρεσβύτερος.

Καὶ ἐπὶ ἡμέρας δὲ ἑπτὰ συνεχῶς σὺν τῷ ἱερεῖ λειτουργεῖ καὶ διὰ τὴν τιμὴν τῶν χαρισμάτων τοῦ Πνεύματος, καὶ ὡς ἂν εἰς ἕξιν ἔλθῃ τοῦ ἔργου, καὶ ἵνα μὴ διακοπή τις τοῦ θείου ἔργου γένηται τῇ ἑβδομάδι τῶν ἡμερῶν, ἥτις δηλοῖ τὴν παροῦσαν ἑβδοματικῶς διερχομένην ἡμῶν ζωὴν, ἐν ᾗ πάσῃ τὸ ἔργον τοῦ Θεοῦ ἀδιαλείπτως ποιεῖν ὀφείλομεν. Ἐν

γὰρ τῷ μέλλοντι μία ἔσται καὶ ἀδιάδοχος ἡ ἡμέρα, καὶ τοῦ θείου ἔργου τελετὴ μία καὶ ἀκατάπαυστος. Καὶ οὕτω μὲν τελεῖται ἡ τοῦ διακόνου χειροτονία.

ΚΕΦΑΛ. ΡΟΖ'.

Περὶ τοῦ πρεσβυτέρου.

Τοῦ πρεσβυτέρου δὲ, ὃς καὶ τελεστικὸς ὀνομάζεται παρὰ τοῦ θείου Διονυσίου, ὡς πολλάκις εἰρήκαμεν, διὰ τὸ τὰς τελετὰς ἐνεργεῖν, οἷον τὴν κοινωνίαν, τὸ βάπτισμα, καὶ τὰς προσευχὰς, οὐ μὴν δὲ τὴν μεταδοτικὴν ἔχειν χάριν, οὐδ' ἄλλον τελεῖν ἱερέα δύνασθαι, οὕτως ἄνωθεν ἐνεργεῖται. Ἐξετάζεται καὶ οὗτος παρὰ τοῦ ἱεράρχου περί τε βίου καὶ χρόνου.

ΚΕΦΑΛ. ΡΟΗ'.

Διατί τριάκοντα χρόνων χειροτονεῖται πρεσβύτερος.

Τριάκοντα δὲ οὗτος ὀφείλει εἶναι ἐτῶν. Διὸ καὶ πρεσβύτερος ὀνομάζεται, ὡς τὸν νεανίσκον ὑπεραναβὰς, καὶ τὸν Χριστὸν τῇ ἡλικίᾳ μιμούμενος. Καὶ αὐτὸς γὰρ διδάσκειν ἀρξάμενος, μετὰ τὸ λαβεῖν τὸ βάπτισμα καὶ τὴν ἐκ τοῦ Πατρὸς μαρτυρίαν ἐν Πνεύματι, ὃ δὴ καὶ ὡς χειροτονία ἦν παρὰ τοῦ Πατρὸς, « τριάκοντα ἦν ἐτῶν ἀρχόμενος, » καθάπερ γράφει Λουκᾶς. Καὶ οὗτος τοίνυν τῇ ἡλικίᾳ εἶναι ὀφείλει τέλειος, ὅτι καὶ ἱερεὺς Χριστοῦ, καὶ διδάσκαλος, καὶ τελεστὴς τῶν θείων καθίσταται.

ΚΕΦΑΛ. ΡΟΘ'.

Χειροτονία πρεσβυτέρου.

Μαρτυρηθεὶς οὖν καὶ αὐτὸς ὑπὸ πρεσβυτέρων, καὶ ἱκανὸς πρὸς τὸ ἔργον ἐκλεγεὶς, προσάγεται τελεσθῆναι. Καὶ προηγουμένως ἐν τῇ προθέσει ἄρτος δεύτερος ἐν τῇ προσκομιδῇ προσκομίζεται, ὡς ἂν τοῦτον δέξηται ταῖς χερσὶ χειροτονηθείς· εἶτα ἱερουργοῦντος τοῦ ἱεράρχου, συλλειτουργῶν καὶ αὐτὸς τὰ τοῦ ἀρχιδιακόνου τελεῖ. Καὶ τὸ Εὐαγγέλιον λέγει, εὐλογίαν δεχόμενος. Καὶ τὸν θεῖον ἄρτον ἐπὶ κεφαλῆς ἐν τῇ μεγάλῃ φέρει εἰσόδῳ, ὡς τὰ τῆς διακονίας ἀποδιδούς. Τῶν θείων οὖν δώρων τεθέντων, καὶ τοῦ καταπετάσματος, ὅ ἐστιν ὁ ἀὴρ, ἤτοι ὁ ἀμνὸς, κάθηται ὁ ἀρχιερεύς· καὶ ἅπτονται φῶτα, τὴν λάμψιν δηλοῦντα καὶ φωτοδοσίαν τῆς χάριτος. Καὶ οὗτος ὁ χειροτονηθῆναι μέλλων ὑπὸ διακόνων, τῆς πρώτης αὐτοῦ τάξεως δηλονότι, παρακρατούμενος φέρεται ἄχρι καὶ τῶν τοῦ βήματος ἱερῶν πυλῶν, δεικνύμενος μὲν καὶ πᾶσι, καὶ ὡς διάκονος ἔτι παρὰ τῶν ὁμοταγῶν κατεχόμενος· ἐπεὶ δὲ φθάσεις τὰς πύλας, ἀφίεται μὲν παρὰ τῶν διακόνων, ἐπεὶ τῆς τάξεως τούτων ἐπέκεινα γίνεται· λαμβάνουσι δὲ τοῦτον δύο τῶν πρεσβυτέρων οἱ ἔκκριτοι, ἐπεὶ πρὸς τὴν τάξιν ἔρχεται τούτων. Καὶ τοῦ ἀρχιδιακόνου καὶ λοιπῶν ἄλλων προηγουμένων ἱερέων, κυκλεῖται καὶ χορείαν ποιεῖ περὶ τὴν θείαν τράπεζαν τρὶς, συνιστῶν καὶ αὐτὸς χορείαν ἱερὰν ἀγγέλων καὶ ἱερέων· καὶ τρὶς ταύτην τελεῖ, τὴν Τριάδα δοξολογῶν, τοὺς ἁγίους μάρτυρας ἐκκαλούμενος, ἀγωνισάμενος καὶ αὐτὸς ἐν Χριστῷ καὶ ἐναθλήσας τῇ πολιτείᾳ διὰ Χριστόν· καὶ ὁ Χριστὸς δοξολογεῖται

A in futuro una est et successione carens dies, una quoque et indeficiens divini operis perfectio et consummatio. Hoc modo perficitur diaconi ordinatio.

CAPUT CLXXVII.

De presbytero.

Presbyter, qui a Dionysio telesticus sive mysteriorum operator vocatur, ut sæpius diximus, eo quod mysteria conficiendi virtutem habeat, velut communionem, baptismum et preces, non tamen gratiam istam cum altero communicandi, neque alium in presbyterum consecrandi, sic ab antiquo creatur. Inquiritur ab episcopo de vita et ætate.

CAPUT CLXXVIII.

B *Quare triginta annorum ætate presbyter ordinatur.*

Triginta autem annorum esse debet; ideo presbyter, id est, senior nominatur, veluti juvenilem ætatem supergressus, et Christum ætate exprimens. Ipse enim docere cœpit post acceptum baptismum, redditumque de ipso in Spiritu testimonium, qui velut ordinationis a Patre vicem gerebat. Scribit enim Lucas: « Et ipse Jesus erat incipiens quasi annorum triginta. » Ille igitur ætate perfectus esse debet, quoniam Christi constituitur sacerdos, rerum divinarum doctor et mystagogus.

CAPUT CLXXIX.

C *Ordinatio presbyteri.*

Testimonium igitur a presbyteris referens, et idoneus ad hoc opus electus adducitur ut consecretur. Sed antea secundus panis in mensa propositionis in oblatione quæ in ea fit, offertur, ut ordinatus eum manibus accipiat. Postea sacra faciente episcopo ministrat, et quæ sunt archidiaconi facit, et accepta benedictione Evangelium legit, divinumque panem super caput in magno introitu gestat, diaconatus officio sic fungens. Positis igitur divinis donis, et velo quod aer dicitur, sive agnus, sedet episcopus, et accenduntur luminaria, quæ illuminationem significant, et lucis per gratiam donationem. Tum ordinandus tentus a diaconis, utpote prioris sui ordinis, ducitur usque ad sacras D sanctuarii portas. Demonstrat equidem se adhuc diaconum esse, cum ab æqualibus teneatur. Cum vero pervenerit ad portas, a diaconis quidem dimittitur, eo quod ultra eorum ordinem promoveatur. Ipsum autem suscipiunt duo e presbyteris præcipui, quia ad eorum ordinem procedit. Archidiacono autem et cæteris sacerdotibus præeuntibus ter circumit et choream facit circa divinam mensam, effingens ipse et commendans angelorum et sacerdotum choream. Ter autem eam conficit Trinitatem laudibus celebrans, et sanctos martyres invocans, ipse quoque agonis in Christo decertator, et propter Christum in Ecclesiæ disciplina multa passus. Postremo Christus laudatur, ut apostolorum gaudium, et athletarum sive decertato-

rum exsultatio : quorum prædicatio erat Trinitas A consubstantialis quæ omnes glorificat.

Sic facta chorea et altaris circuitu, adducitur a presbyteris velut electus, et ad divinum opus et gratiam, quantum possibile est, idoneus repertus. Episcopus autem alacriter surgit. Non enim tardus est circa Dei dona, sed præparatus et gaudens statim signat ordinandi caput, primitias ordinationis per triplex crucis signaculum decerpens. Deinde ordinandus ambos pedes flectit propter servitutem et ad Deum accessum : consecratur enim ad majora. Quoniam autem prius diaconatus gratiam suscepit, et minister erat, nunc vero sacerdos et initiator sacrorum mysteriorum, et orationum, et baptismatis, et sacrificii constituitur, frontem B altari imponit et velut affigit. Altare enim est gratiæ donorum thesaurus. Episcopus autem manum imponens (ipsa est enim communicativa donationis divini sacerdotii, et imitatur omnipotentem, et omnia operantem, protegentem, omniaque inspicientem et moderantem Dei dexteram), invocat divinam gratiam, et consecrandum e diacono presbyterum creat, gratiam Spiritus ordinando advenire deprecans. Omnibus dicentibus ter, «Kyrie eleison,» ipse episcopus ter signat ordinandi caput, signum crucis imprimens perfectionis operativum. Sic facta prima prece et exclamatione ad Deum, post rogationes a primo presbytero recitatas, et secundam precem, ejusque exclamationem erigit ordinatum e sacrá mensa ; ita demonstrans, ut diximus, C divinum ascensum ejus ab humilioribus ad diviniora, et altiora, melioremque et præstantiorem statum : demonstrans quoque quod Jesus descendit e cœlis, et homo factus descendit per crucem usque ad inferos, et suscitatus et exaltatus, nos secum suscitavit, et suscitans exaltat. Hoc igitur in omni adoratione et prostratione significamus, cum inclinamus nos et erigimus, Christum descendisse, et se suscitasse, nos quoque lapsos secum suscitasse.

CAPUT CLXXX.

Quare presbyter horarium sive stolam gestat velut de collo ante pectus dependentem.

Postea horarium a sinistro humero in dexterum D transfert, quod posterius est anterius agens, et hoc modo velut sub jugum mittit ordinandum. Conspicere enim debet et considerare per symbola, quam acceperit gratiam ; et primum quod secundum unum et solum diaconatus opus contraxerit debitum : nunc vero ad mysteria et sacerdotium universum, unde majus illi impendet jugum, ita ut totius operis debeat esse minister et curator. Ideo secundo cingitur, velut vocatus ad majus opus.

CAPUT CLXXXI.

Quid penula denotet.

Phænolio quoque induitur ; quod indumentum

τελευταῖον, τῶν ἀποστόλων ὡς καύχημα, καὶ ἀθλητῶν ἀγαλλίαμα, ὧν τὸ κήρυγμα ἦν ἡ Τριὰς ἡ ὁμοούσιος, **148** ἥτις καὶ πάντας δοξάζει.

Καὶ οὕτω τῆς χορείας γεγενημένης, ὑπὸ τῶν πρεσβυτέρων προσάγεται, ὡς ἐκλεγεὶς, καὶ πρὸς τὸ θεῖον ἔργον καὶ τὴν χάριν ἱκανὸς εὑρεθεὶς ὡς ἐγχωρεῖ. Ὁ ἀρχιερεὺς δὲ ἑτοίμως ἀνίσταται· οὐ γὰρ διαμέλλει περὶ τὰ τοῦ Θεοῦ δῶρα, ἀλλ' ἕτοιμος καὶ χαίρων ἐστί. Καὶ εὐθὺς σφραγίζει τοῦ χειροτονουμένου τὴν κεφαλὴν, τὴν ἀπαρχὴν διὰ σφραγῖδος τρισσῶς τῆς χειροτονίας ποιούμενος. Εἶτα τοὺς δύο πόδας ὁ χειροτονούμενος κλίνας, διά τε τὴν δουλείαν καὶ τὴν προσαγωγὴν, καθιεροῦται γὰρ πρὸς τὰ μείζω, καὶ ὅτι τὴν τῆς διακονίας πρότερον λαβὼν χάριν καὶ λειτουργὸς ὤν, νῦν καὶ ἱερεὺς καὶ τελεστὴς τῶν ἱερῶν τελετῶν, τῶν προσευχῶν, καὶ τοῦ βαπτίσματος, καὶ τῆς ἱερουργίας καθίσταται, τὸ μέτωπον προσερείδει τῷ θυσιαστηρίῳ· τοῦτο γὰρ τῶν χαρισμάτων ὁ θησαυρός. Ὁ ἱεράρχης δὲ τὴν χεῖρα ἐπιθεὶς, αὕτη γὰρ ἡ τῆς δωρεᾶς μεταδοτικὴ τῆς θείας ἱερωσύνης, ἡ καὶ τὴν παντουργόν τε καὶ παντοδύναμον ἐκμιμουμένη καὶ σκεπαστικὴν καὶ παντεπίσκοπον δεξιὰν, ἐπικαλεῖται τὴν θείαν χάριν, καὶ ἀπὸ διακόνου πρεσβύτερον καθιστᾷ τὸν τελούμενον· καὶ τὴν χάριν ἐπελθεῖν τῷ χειροτονουμένῳ τοῦ Πνεύματος ἐπευξάμενος, πάντων λεγόντων τὸ, «Κύριε, ἐλέησον,» τρὶς, αὐτὸς ὁ ἱεράρχης σφραγίζει τρὶς τὴν τοῦ χειροτονουμένου κεφαλὴν τὴν τελειοποιὸν ἐνεργῶν σφραγῖδα. Καὶ οὕτω τὴν πρώτην εὐχὴν ποιησάμενος, καὶ ἐκφωνήσας μετὰ τὰς αἰτήσεις ὑπὸ πρεσβυτέρου τοῦ πρώτου γενομένας καὶ τὴν δευτέραν εὐχὴν καὶ ἐκφώνησιν, ἀνιστᾷ τὸν χειροτονηθέντα ἐκ τῆς ἱερᾶς τραπέζης· δεικνὺς αὐτοῦ τὴν ἀπὸ τῶν ταπεινοτέρων ἐπὶ τὰ θειότερα καὶ ὑψηλότερα θείαν ἀνάβασιν, ὡς εἰρήκαμεν, καὶ τὴν πρὸς τὰ κρείττω στάσιν· καὶ ὅτι ὁ κατελθὼν ἐκ τῶν οὐρανῶν καὶ ἐνανθρωπήσας Ἰησοῦς ἄχρι τοῦ ᾅδου διὰ σταυροῦ κατῆλθε, καὶ ἀναστὰς καὶ ἀνυψωθεὶς ἡμᾶς συνανέστησε, καὶ ἀνιστῶν ἀνυψοῖ διηνεκῶς. Τοῦτο οὖν καὶ ἐπὶ πάσῃ προσκυνήσει δηλοῦμεν, κλίνοντές τε καὶ ἀνιστάμενοι, ὅτι κατῆλθε καὶ ἀνῆλθε Χριστὸς, καὶ ἡμᾶς πεσόντας ἀνήγειρεν.

ΚΕΦΑΛ. ΡΠʹ.

Διατί τὸ ὠράριον ἐπὶ τὸν τράχηλον αὐτοῦ, ἢ τὸ ἐπιτραχήλιον ὁ πρεσβύτερος λαμβάνει.

Εἶτα καὶ τὸ ὠράριον ἀπὸ τοῦ ἀριστεροῦ ὤμου ἐπὶ τὸν δεξιὸν μεταφέρει, τὸ ὄπισθεν ἄγων ἔμπροσθεν, καὶ ὡς ὑπὸ ζυγὸν τὸν χειροτονούμενον ποιῶν. Καὶ γὰρ ὁρᾷν ὀφείλει καὶ διὰ τῶν συμβόλων, ἥνπερ ἔλαβε χάριν· καὶ ὅτι πρῶτον μὲν καθ' ἓν καὶ μόνον τῆς διακονίας ἔργον ὑπῆρχε κεκτημένος τὴν ὀφειλὴν, νῦν δὲ πρὸς τὰς τελετὰς καὶ τὴν ἱερωσύνην ὅλην· καὶ μείζων αὐτῷ ὁ ζυγὸς καὶ ὅλου τοῦ ἔργου ὀφείλει εἶναι ὑπηρέτης καὶ φροντιστής. Διὸ καὶ ἐκ δευτέρου ζώννυται, ὡς πρὸς μεῖζον κληθεὶς ἔργον.

ΚΕΦΑΛ. ΡΠΑʹ.

Τί σημαίνει τὸ φαινόλιον.

Καὶ φαινόλιον περιβάλλεται· ὅπερ ἔνδυμα λευ-

κὸν ἐστι δίχα μανικίων, ὅλον περιστέλλον τὸ σῶμα· λευκὸν μὲν, διὰ τὴν καθαρότητα καὶ ἁγιωσύνην, καὶ τὴν τῆς θείας δόξης περιβολὴν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, καὶ οἱ ἄγγελοι λευκὴν ἐσθῆτα περιβεβλημένοι πολλάκις ὤφθησαν· οὐκ ἔχον δὲ μανίκια διὰ τὸ ἐκτυποῦν τὸν σάκκον, ὃν ὁ Σωτὴρ ἐμπαιζόμενος ἐνεδύσατο· περιστέλλων δὲ ὅλον τὸ σῶμα ἄχρι καὶ τῶν ποδῶν ἀπὸ κεφαλῆς διὰ τὴν ἄνωθεν περὶ ἡμᾶς πρόνοιαν, καὶ τὸ συνεκτικὸν τοῦ Θεοῦ καὶ φυλακτικόν. Αἴρεται δὲ ὑπὸ τῶν χειρῶν ἐκ πλαγίου ἐν τῷ καιρῷ τῶν ἱερῶν ἔργων, οἷον ὡς πτερὰ γινόμενον διὰ τὸ ἀγγελικὸν τῆς ἀξίας· καὶ ὅτι αἱ χεῖρες δι' αὐτοῦ φαινόμεναι τὸ πρακτικὸν ἐμφαίνουσι καὶ ἐνεργὸν τοῦ Θεοῦ, ἐν οἷς ὁ ἱερεὺς ἐνεργεῖ. Πρῶτον μὲν οὖν ἀναγορεύει τοῦτον ὁ ἱεράρχης· ἐν τῷ τὸ ὠράριον λαμβάνειν **149** ἐκ τοῦ ἀριστεροῦ ὤμου ὄπισθεν, καὶ εἰς τὸ δεξιὸν ἐπιθεῖναι, τῶν δύο μερῶν γενομένων ἔμπροσθεν· ὅπερ τότε ἐστὶν ἐπιτραχήλιον ἐκτελούμενον καὶ οὕτω καλούμενον· δηλοῖ δὲ τὴν ἄνωθεν κατιοῦσαν ἀπὸ κεφαλῆς χάριν, ὡς μύρον ἐπὶ κεφαλῆς, φησὶν ὁ Δαβὶδ, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος, καὶ τὸν χρηστὸν ζυγὸν τῆς ἱερωσύνης τοῦ Χριστοῦ, καὶ ὡς φασί τινες, τὸ ἑλκυσθῆναι πρὸς τὸ πάθος αὐτὸν τὸν σταυρὸν ἐπ' ὤμων κατέχοντα· ἐπεὶ καὶ αὐτὸς ὁ ἱερεὺς τὰ τοῦ πάθους μυστήρια ἐνεργεῖν κατηξίωται. Τοῦτο τοίνυν ἐνδύων αὐτὸν ὁ ἀρχιερεὺς, φησὶν « Ἄξιος. » Καὶ φαινόλιον ὃ εἰρήκαμεν ἐπιβάλλων οὕτω φησὶν, « Ἄξιος· » εὐχόμενος τοῦτο εἶναι αὐτὸν ἄξιον καὶ ἐπὶ πᾶσιν ὁμολογῶν, καὶ ὅτι ὡς ἄξιος ἔλαβεν. Ἐν οἷς καὶ ταπεινοῦσθαι χρὴ τὸν λαμβάνοντα· τίς γὰρ ἄξιος; Τοῦτο γὰρ καὶ οἱ ἐντὸς ψάλλουσι τοῦ βήματος καὶ ἐκτὸς, τὸν ἀρχιερέα μιμούμενοι. Εἶτα προτρέπεται τὴν ἱερὰν ἀσπάσασθαι τράπεζαν ὡς πλήρη χάριτος, καὶ ὡς ἐν αὐτῇ καθαγιασθείς· εἶτα τὴν ἀρχιερατικὴν δεξιὰν, ὡς δι' αὐτῆς χειροτονηθείς· καὶ ἔτι τὴν παρειὰν, διὰ τὴν θείαν ἀγάπην τε καὶ εἰρήνην, καὶ ὅτι ὄργανον ἡ παρειὰ τῶν εὐχῶν· καὶ ὅτι ἀγαπῶν καὶ ἀγαπητὸς καὶ ὁ τελῶν καὶ ὁ τελούμενος. Διὰ τοῦτο καὶ πάντες πρεσβύτεροι χαίροντες ἀσπάζονται τοῦτον ὡς ὁμοταγῆ γεγονότα, καὶ τὸ τῆς ἀγάπης καὶ τῆς ἑνώσεως ἐπιδείκνυνται· καὶ εὐθὺς ἵσταται ἐπικλινόμενος ἐκ πλαγίου τῇ τραπέζῃ, καθ' ἑαυτὸν εὐχόμενος, ἕως ἀρθῇ τὸ καταπέτασμα, καὶ ὁ θεῖος γένηται ἀσπασμός. Τότε γὰρ αὖθις πρὸ τῶν ἄλλων πρεσβυτέρων ἐρχόμενος, ποιεῖ τὰ τοῦ ἀσπασμοῦ. Καὶ πάλιν ἵσταται ὑποκλινόμενος τῇ θείᾳ τραπέζῃ, καὶ τὸν τοῦ Θεοῦ ἐκκαλούμενος ἔλεον.

A est album sine manicis totum circumdans et operiens corpus. Album est propter puritatem, et sanctitatem, et divinæ gloriæ amictum; Deus enim amictus est lumine ut vestimento, et angeli vestem albam amicti sæpius apparuerunt. Manicis autem caret, ut repræsentetur saccus quem Salvator pedes iter faciens induebat. Cooperit autem totum corpus a capite ad pedes usque propter supernam erga nos providentiam, et Dei virtutem qua nos continet et conservat. Manibus vero attollitur a latere dum sacra fiunt opera; quo alis fiat consimile propter significandam angelicam quam adeptus est dignitatem; atque etiam eo quod ista elevatione manus ipsius apparentes operationis virtutem declarant, et internam Dei cooperationem in
B iis quæ sacerdos operatur. Primum igitur episcopus hunc renuntiat et deprædicat, cum horarium accipit, et ex posteriore parte sinistri humeri in dexteram imponit, duabus partibus anterius pendentibus, quod tunc est perfectum ἐπιτραχήλιον, supercollare, et ita vocatur. Indicat autem gratiam desuper a capite descendentem; ut inquit David, velut unguentum super caput descendens ad fimbriam vestimenti, et bonum sacerdotii Christi jugum; et, ut dicunt quidam, ut significetur eum gestantem humeris crucem ad passionem trahi, cum ipse sacerdos passionis mysteria operetur. Horario igitur eum induens sacerdos, ait, « Dignus. » Et phænolion, ut diximus, ipsi imponens dicit quo-
C que : « Dignus. » Optat eum esse dignum, et coram omnibus fatetur, et velut dignum accepisse dignitatem. Qua in re modestum esse et humilem oportet accipientem. Quis enim dignus? Hoc idem cantant qui sunt intra et extra sanctuarium, episcopum imitantes. Deinde admonetur osculari sanctam mensam, ut gratiæ plenam, atque ut in ipsa sanctificatus : postea episcopalem dexteram, ut per eam ordinatus, et insuper genas propter divinam charitatem et pacem, et eo quod genæ precum sint organon, et quoniam amat et amatur, consecrat et consecratur. Propter hoc omnes presbyteri lætantes eum ut æqualem et ejusdem ordinis factum salutant, illique demonstrant charitatis et unionis vinculum. His peractis illico stat a latere inclinatus
D mensæ, et in seipso orat donec tollatur velum, et divina fiat salutatio. Tum enim presbyterorum primus venit, et quæ sunt salutationis peragit, iterumque stat divinæ mensæ inclinatus, et Dei misericordiam invocans.

ΚΕΦΑΛ. ΡΠΒ'.

Ὅπως ὁ θεῖος ἄρτος τῷ χειροτονουμένῳ ἱερεῖ παρακαταθήκη δίδοται. Ὃ καὶ φρικτόν.

Ἡνίκα δὲ ὁ ἀρχιερεὺς σφραγίσῃ καὶ τελέσῃ τὰ δῶρα τῇ ἐπικλήσει τοῦ θείου Πνεύματος, τότε δὴ προσκαλεῖται πάλιν ὁ χειροτονηθείς. Καὶ λαβὼν τὸν δεύτερον ἡγιασμένον τέλειον ἄρτον τῇ δεξιᾷ ὁ ἀρχιερεὺς, δίδωσι τοῦτον τῷ χειροτονηθέντι, τὰς παλάμας σταυροειδῶς ἐκτυποῦντι εἰς τὴν τοῦ θείου πάθους ἔνδειξιν· καὶ ὅτι τὰς παλάμας ἐτρώθη ὑπὲρ

CAPUT CLXXXII.

Qua ratione divinus panis tremendi depositi instar datur ordinato presbytero.

Cum autem episcopus signaverit, et consummaverit dona invocatione divini Spiritus; tunc advocatur iterum ordinatus, et episcopus accipiens dextera manu secundum panem integrum sanctificatum ei tradit, palmas in modum crucis componenti in divinæ passionis demonstrationem, atque etiam eo quod in palmis vulneratus est pro nobis

crucifixus, ei qui dicit: « Accipe hoc depositum, illudque custodi ad adventum Domini, cum illud a te requisiturus est. » Res hæc tremore et horrore omnino plena est. Ostendit enim eum mysteriorum Dei œconomum factum, seque sacrificandum accepisse Jesum ipsum panem viventem, et non alium; ipsumque et illius sacerdotium ut depositum ipsi creditum esse, eaque teneri servare; sacerdotium videlicet, et sacram actionem immaculata, eo quod Dominus rationem administrationis istorum ab eo requiret.

A ἡμῶν ὁ σταυρωθείς. Καί φησι, « Λάβε ταύτην τὴν παρακαταθήκην, καὶ φύλαξον αὐτὴν ἄχρι τῆς παρουσίας τοῦ Κυρίου, ὅτε παρ' αὐτοῦ μέλλεις ἀπαιτεῖσθαι αὐτήν. » Τοῦτο φρίκης ἁπάσης μεστόν. Δείκνυσι γὰρ, ὡς οἰκονόμος τῶν τοῦ Θεοῦ μυστηρίων γίνεται, καὶ οὐκ ἄλλον, ἀλλὰ τὸν Ἰησοῦν τὸν ζῶντα ἄρτον λαμβάνει ἱερουργεῖν, καὶ τὴν ἱερωσύνην αὐτοῦ καὶ αὐτὸν ὡς παρακαταθήκην πιστεύεται· καὶ ὀφείλει τηρεῖν ταῦτα, τὴν ἱερωσύνην τε καὶ ἑαυτὸν ἀμώμητα· ὅτι καὶ παρ' αὐτοῦ ταῦτα ἀπαιτηθήσονται τοῦ Κυρίου.

CAPUT CLXXXIII.

Quod periculi plenum est sacræ missæ officium negligere.

Ubi nunc sunt qui sacerdotii gratia accepta, officia sacerdotalia quibusdam occasionibus pietatis speciem et opinionem, revera autem nihil pietatis habentibus negligunt, et supine habent, semel tantum idque perfunctorie ea contingentes et exercentes? Hujusmodi rationem incuriæ postulabuntur, quidnam fuerit quod eos ab exercendo munere prohibuerit. Tum enim pœnitentiam agentes a sacerdotii exercitio penitus removeantur. Quandiu autem sacerdotium retines et non prohiberis, operi sacro quantum homini fieri poterit insiste. Est enim opus illud mundi salus et conservatio.

ΚΕΦΑΛ. ΡΠΓ΄.

Ὅτι ἐπικίνδυνον τὸ ἀμελεῖν τῆς ἱερουργίας.

Ποῦ ἄρα εἰσὶν ἄρτι οἱ τὴν χάριν τῆς ἱερωσύνης B λαβόντες, καὶ ἐπὶ προφάσεσί τισι, καὶ τῇ δοκούσῃ μὲν, μὴ οὔσῃ δὲ εὐλαβείᾳ, οἰήσει δὲ μᾶλλον εἰπεῖν, τῶν τῆς ἱερωσύνης καταμελοῦντες καὶ ἀργῶς ἔχοντες, ἅπαξ δὲ μόνον οἷον ἀπτόμενοι, καὶ ὡς ἐν παρέργῳ ποιοῦντες; Οὗτοι τὸν λόγον τῆς ἀμελείας ἀπαιτηθήσονται, εἰ μή που τὸ κωλῦον ἐστί τι· τότε γὰρ τῶν τῆς ἱερωσύνης καθόλου μετανοοῦντες ἀποστήτωσαν. Ἐφ' ὅσον δὲ ἀντέχῃ ταύτης, καὶ οὐ κωλύει ὡς δυνατὸν ἀνθρώπῳ παρά τινος τοῦ ἱερουργεῖν, ἔχου τοῦ ἔργου, ὅτι τοῦ κόσμου ἐστὶ σωτήριον.

Postquam igitur episcopi manum osculatus est, et cum cordis contritione egressus est, defert, elatas manus habens, sacrum panem ad mensam, et capite manibus incumbente orat, memoriam faciens et sui ipsius et episcopi qui ipsum ordinavit, omniumque clericorum et laicorum, omnibusque salutem deposcit: viventium quoque orthodoxorum et mortuorum recordatur. Ipsum enim Dominum manibus tenet, ejusque manus vasa sunt; ipse qui tenetur Jesus Christus, est ei et manibus et capiti unctio. Ideo hic ut et in omnibus innovant Latini presbyteros suos legali more ungentes, quod Dionysius non dicit. Ita stans presbyter post capitis inclinationem, et orationem: « Attende, Domine Jesu Christe, » admonetur iterum, et fert divinum panem, et in disco ponit, cum sit exaltandus. Tum enim episcopus divinum panem in disco positum elevat, et hunc simul eo, Unum est enim Christi corpus. Sic cum hostiæ divisionem peregit, quæ spectant ad unionem partis ejus cum calice, et quæ ad communionem pro more perficit. Postquam igitur sanctissimis mysteriis communicavit episcopus, ante cæteros presbyteros venit ordinatus, honore præ cæteris habitus propter recens acceptam gratiam, et renovationem a divino Spiritu jam factam. Unde juxta consuetudinem vivifici panis particeps per episcopum factus, et dexteram et genam ejus osculatur, deinde tremendo calici communicat. Redditus sic vere perfectus, et tremenda communione sigillante et obsignante sacramentum ordinationis, in quodam loco altaris subsistit, et sacratissimum calicem manibus tenens

Ἀσπασάμενος οὖν τὴν χεῖρα τοῦ ἱεράρχου, καὶ μετὰ συντριβῆς ἀπελθὼν, ἄνω τὰς χεῖρας ἔχων ἐν τῇ τραπέζῃ τὸν ἄρτον φέρων τὸν ἱερὸν, καὶ ταῖς C χερσὶν ἐπικειμένην τὴν κεφαλὴν, εὔχεται, μεμνημένος καὶ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ χειροτονήσαντος **150** αὐτὸν ἱεράρχου, καὶ πάντων ἱερατικῶν τε καὶ λαϊκῶν· καὶ τὴν σωτηρίαν ἅπασιν ἐξαιτεῖται· καὶ ζώντων ὀρθοδόξων καὶ τεθνεώτων μέμνηται· αὐτὸν γὰρ ταῖς χερσὶ κατέχει τὸν Κύριον· καὶ αἱ χεῖρες αὐτοῦ ὑπὲρ τὰ ἱερά εἰσι σκεύη· καὶ ὁ κατεχόμενος Ἰησοῦς Χριστὸς, οὗτος χρίσμα αὐτῷ καὶ ταῖς χερσὶ καὶ τῇ κεφαλῇ. Διὸ καὶ ὧδε ὡς καὶ ἐν πᾶσι καινοτομοῦσι Λατῖνοι, τοὺς αὐτῶν πρεσβυτέρους νομικῶς χρίοντες· ὅπερ οὔ φησι Διονύσιος. Οὕτω δὲ ἱστάμενος, μετὰ τὴν κεφαλοκλισίαν ὁ ἱερεὺς καὶ τὴν εὐχὴν τὸ, « Πρόσσχες, Κύριε Ἰησοῦ Χριστὲ, » προσκαλεῖται πάλιν· καὶ φέρει τὸν θεῖον ἄρτον, καὶ D τίθησιν αὐτὸν ἐν τῷ δίσκῳ, ἐπεὶ μέλλει ὑψοῦσθαι. Τότε γὰρ ὁ ἱεράρχης τόν τε ἐν τῷ δίσκῳ προκείμενον θεῖον ἄρτον καὶ αὐτὸν ἀνυψοῖ ὁμοῦ· ἓν γάρ ἐστι τὸ σῶμα Χριστοῦ. Καὶ οὕτω μελίσας τὰ τῆς ἑνώσεως τοῦ ποτηρίου, καὶ τὰ τῆς κοινωνίας κατὰ τὸ ἔθος ἐκτελεῖ· κοινωνήσαντος οὖν τῶν ἁγιωτάτων τοῦ ἱεράρχου πρὸ τῶν ἄλλων πρεσβυτέρων, ὁ χειροτονηθεὶς ἔρχεται προτιμώμενος ἄρτι διὰ τὴν χάριν καὶ τὸ ἐγκαινισθῆναι ἤδη ὑπὸ τοῦ θείου Πνεύματος. Ὅθεν καὶ κατὰ τὸ ἔθος, τοῦ ζωοποιοῦ μετασχὼν ἄρτου, λαβὼν παρὰ τοῦ ἀρχιερέως, καὶ τὴν δεξιὰν καὶ τὴν παρειὰν αὐτοῦ ἀσπασάμενος, καὶ κοινωνήσας τοῦ φρικτοῦ ποτηρίου, καὶ οὕτω τέλειος ὄντως γεγονὼς, τῆς φρικτῆς κοινωνίας ἐπισφραγιζούσης τὴν τελετὴν τῆς χειροτονίας, ἔν τινι τόπῳ

τοῦ θυσιαστηρίου ἵσταται. Καὶ τὸ ἱερώτατον ποτήριον ταῖς χερσὶ κατέχων, μεταδίδωσι τοῦ θείου αἵματος τοῖς προσερχομένοις ἱερεῦσι καὶ διακόνοις· μαρτυρούμενος διὰ τοῦ ἔργου, ὡς τῶν μυστηρίων τετέλεσται ἱερεὺς καὶ τούτων ἄλλοις μεταδιδόναι τὴν ἐξουσίαν καὶ δύναμιν εἴληφε.

ΚΕΦΑΛ. ΡΠΔ'.

Διατί διάκονος καὶ πρεσβύτερος ἄρτι χειροτονηθέντες, ὁ μὲν τὰς τελευταίας αἰτήσεις, ὁ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν λέγουσιν.

Τῆς δὲ τελευταίας μετὰ τὴν ἀπόθεσιν τῶν θείων δώρων ἐν τῇ προθέσει γινομένης εὐχῆς, ὁ μὲν διάκονος χειροτονηθεὶς νεωστὶ τὰς αἰτήσεις τότε φησίν, ἄρτι μαρτυρούμενος καὶ δεικνύμενος τῷ λαῷ, ὡς κατέστη Θεοῦ ὑπηρέτης, καὶ τὰς αἰτήσεις ποιεῖσθαι ὑπὲρ αὐτοῦ χάριν εἴληφε, καὶ προσκαλεῖσθαι τὸν λαὸν πρὸς τὰς προσευχὰς καὶ δεήσεις (ὃ δὴ τῆς καθαρτικῆς ἐστι τάξεως καὶ λειτουργικῆς). καὶ ἀνατιθέναι αὐτοὺς τῷ Θεῷ. Διὸ καὶ τῷ ἱερεῖ ἐξυπηρετούμενος φαίνεται ἐν ταῖς ἱεραῖς εὐχαῖς, πρὸς τὸν λαὸν ἐπιλέγων, « Τοῦ Κυρίου δεηθῶμεν, » ἐν τῷ μέλλειν τὸν ἱερέα λέγειν τὴν εὐχὴν πρὸς τὸν Θεόν. Ὁ δέ γε νεωστὶ χειροτονηθεὶς ἱερεὺς αὐτὴν τὴν εὐχὴν πρὸς τὸν Θεὸν ἀναφέρει, ἣ καὶ τελευταία ἐστὶ καὶ ὀπισθάμβωνος λέγεται· δεικνύμενος μὲν καὶ αὐτὸς καὶ μαρτυρούμενος τοῖς πιστοῖς, ὡς ἱερεὺς κατέστη, καὶ μεσίτης γέγονεν αὐτοῖς τὰ πρὸς τὸν Θεόν, καὶ ὡς ἄρτι τὴν χάριν δεξάμενος, εὔχεται ὑπὲρ τοῦ λαοῦ. Αὕτη γὰρ ἡ εὐχή, τελευταία οὖσα, πάντα ἐξαιτεῖται ἱερεῦσι καὶ βασιλεῦσι καὶ λαϊκοῖς τὰ ἀγαθὰ καὶ τὴν εἰρήνην ἀπὸ τοῦ τῶν φώτων Πατρός. Πρῶτον δὲ λαμβάνει ἀρχιερατικὴν εὐλογίαν, καὶ οὕτως ἐξέρχεται, δεικνὺς ὅτι ὑπὸ τὸν ἱεράρχην ἐστί, καὶ ὑπ' αὐτοῦ τετελείωται. Καὶ μετὰ τὸ εὔξασθαι, πάλιν εὐλογεῖται, τὸ τῆς ὑπακοῆς ἐκπληρῶν, καὶ ὡς μισθὸν λαμβάνων τοῦ ἔργου τῆς ὑπηρεσίας αὐτοῦ τῆς ἱερᾶς. Οὕτω μὲν οὖν καὶ ὁ πρεσβύτερος τελεῖται δὴ καὶ χειροτονεῖται.

Καὶ εἰ μὲν τῆς μοναχικῆς ἐστι τάξεως, τὰ ἱερὰ ἀποθέμενος ἄμφια, τὰ συνήθη ἐνδύεται τοῦ σχήματος ἑαυτοῦ. Καὶ εὐλογίαν λαβὼν ἄπεισιν, ἄχρι τῆς ἑβδόμης καθ' ἡμέραν ἱερουργῶν, ὡς τετύπωται, ἵνα καὶ πρὸς τὸ ἔργον εἰς ἔθος ἔλθῃ, καὶ ἀδιάκοπος ἡ τῆς ἱερωσύνης ἐνέργεια τῇ ἑβδομάδι τῶν ἡμερῶν διαμείνῃ, δι' ἧς ἡ παροῦσα πᾶσα οἰκονομεῖται ζωή, ὡς ἂν τοῦτο **151** τὸ ἔργον ἐπιμελῶς ἐνεργήσας ἐν τῷ παρόντι, εἰς τὴν ἄληκτον ἐκείνην ἱερουργίαν καὶ ἄμεσον κοινωνίαν τοῦ Χριστοῦ καταντήσῃ· ἀλλὰ καὶ ὡς πνευματικὸν λαβὼν μέγα χάρισμα, κατὰ τὸν ἀριθμὸν τῶν τοῦ Πνεύματος χαρισμάτων, καὶ ἐν ἡμέραις ἴσαις ὀφείλει ἀδιαστάτως ἐνεργεῖν τὰ τῆς χάριτος, ὡς προγέγραπται.

ΚΕΦΑΛ. ΡΠΕ'.

Περὶ ἐνδυμάτων ἀνηκόντων κοσμικοῖς χειροτονηθεῖσι διακόνοις καὶ πρεσβυτέροις.

Εἰ δὲ τῶν κοσμικῶν εἴη, περιβάλλεται ἄμφια ἃ καὶ ὁ διάκονος ἀμφιέννυται, σημαντικὰ τῆς ἱερωσύνης, καὶ διὰ τὴν εὐλάβειαν ὀξέα ἢ μέλανα, καὶ κατὰ τὸ λεγόμενον ἱμάτιον ἐρραμμένα. Τὸ μὲν γὰρ

de divino sanguine tradit. Presbyteris et diaconis accedentibus, opere testificans se consecratum esse in sacramentorum sacerdotem, et ea aliis communicandi facultatem et auctoritatem accepisse.

CAPUT CLXXXIV.

Quare diaconus et presbyter jamjam ordinati, ille postremas preces, hic eas quæ retro ambonem in ecclesia fiunt, recitat.

Postrema oratione facta, post depositionem divinorum donorum in prothesi, diaconus recens ordinatus rogationes tunc recitat, jam testificans et demonstrans populo se constitutum esse Dei ministrum, gratiam rogationes pro ipso faciendi accepisse, ad preces et orationes populum exhortandi (est enim ordinis purgativi et ministerialis) et eum Deo consecrandi. Ideo in sacris precibus conspicitur sacerdoti inservire, populo edicens: «Dominum deprecemur,» cum sacerdos preces ad Deum dicturus est, sacerdos autem recens ordinatus orationem Deo offert, quæ liturgiæ postrema est, et post ambonem dicitur: quo ipse ostendit et testatur se sacerdotem factum, et mediatorem esse ipsis in iis quæ sunt ad Deum. Quia etiam recenter gratiam accepit, precatur pro populo. Oratio enim illa cum sit postrema, omnia bona pacemque a Deo luminum Patre postulat pro sacerdotibus, imperatoribus et laicis. Sed primum benedictionem episcopalem accipit, sicque egreditur ostendens se episcopo subjectum esse, et ab eo consecratum. Postquam precatus est, iterum benedicitur, quæ sunt obedientiæ et submissionis adimplens velut in mercedem sacri sui ministerii. Sic ergo presbyter consecratur et ordinatur.

Si autem monastici fuerit ordinis, sacras vestes deponit, et consuetas ordini suo induit, benedictioneque accepta abit, et sacrificat unoquoque die per hebdomadem, ut jam declaratum est, ut ad opus et verba sese assuefaciat, et sacerdotii virtus sine interruptione per sacrorum hebdomadem qua vita præsens universa gubernatur, permaneat: ut hoc opere sollicite in præsenti sæculo defunctus, ad indeficientem illam et æternam sacram operationem, et immediatam Christi communionem occurrat. Præterea, velut magna spirituali gratia donatus, debet juxta numerum donorum Spiritus æqualibus diebus indesinenter quæ sunt gratiæ operari, ut antea scriptum est.

CAPUT CLXXXV.

De vestimentis quæ competunt sæcularibus, quando diaconi vel presbyteri ordinantur.

Si vero sæcularis fuerit, vestimentis induitur quæ diaconus vestire solet, sacerdotalem dignitatem indicantibus, quæ propter pietatem violacea sunt, vel nigra, et secundum vestem, ἱμάτιον di-

etiam, adaptata. Vestem enim hujusmodi lectores A et psaltæ, omnesque sacerdotes propter divinum ministerium induunt, eo quod ejusmodi vestis facile connectatur et adaptetur cuicunque sacerdoti; vel quod quilibet ea indutus nullo negotio sacerdotales vestes induere possit immediate cum sæcularibus quibus conjungi possunt quæ sunt corpori commoda.

CAPUT CLXXXVI.

De sacris vestimentis, tunica ampliore, subucula et cæteris.

Unde est quod lector antequam sigillum accipiat, statim cum benedicendus est, illud induat, nigrum propter humilitatem significandam, ut diximus, et animi compressionem : hæc enim sunt luctus signa. Amplum quoque et longum est, ad pedes usque pertingens propter pietatem et divinam B charitatem. Circumcingitur etiam eo quod ministrare debet. Crucis quoque figuram tenet longitudine et manicis. Hæc igitur vestimenta omnibus communia sunt, atque, ut dicitur, ex imperatorio dono et privilegio in honorem sacerdotii ; senatores enim iis vestiuntur, umbellas etiam sive pileos ipsi imperatores gestant. Propriam autem ordinis sui vestem habet lector, quæ camision vocatur, habetque phænolii parvi vel sticharii ex lino figuram, et sacerdotii primitias, cum parvum sit, et perfectionem a Deo emanantem designat. Est autem coloris purpurei propter purpuream Salvatoris vestem, vel albi, propter sacerdotii puritatem, et illuminationem a Deo fluentem. Quapropter diaconi et sacerdotes vestimenta induunt C his imatiis superne similia, et umbellas in capite, cæteraque gestari solita, omnia crucis figuram exprimentia, ut et ipsa umbella. Jure sane meritoque cum crucifixi propter nos sint ministri, non secus ac ii qui supra caput maxime, cruces gestant. En hactenus quæ ad diaconos et presbyteros pertinent, explicavimus.

Clericus. Gratias, domine, agimus, qui sensum de omnibus apertum habemus, resque divinas, quod ad nos, edocemur, quas inter nihil est humani.

Pontifex. Et qui fieret ut quidquam interesset humani in rebus Dei ? quidnam vero in rebus Verbi Dei aut extra aut supra rationem non est? aut D quomodo in rebus Spiritus sanctissimi omnia non essent sancta ? Divina nempe rationem superant et sancta sunt.

CAPUT CLXXXVII.

De episcopo.

Jam incipimus de magna illa gratia, illuminativo scilicet episcoporum ordine, verba facere ; ideo pro viribus illam contemplabimur, et explicabimus, licet vires nostras superet horum intelligentia. Est enim donorum quæ hominibus a Deo dant maximum et perfectissimum, a quo omnis donatio et illuminatio immittitur. Ipsa est fundamentum, principium, et fons pietatis, radix quæ Christum ipsum repræsentat et gestat. Quapropter cum

ἱμάτιον καὶ ἀναγνῶσται καὶ ψάλται καὶ πάντες ἐνδιδύσκονται ἱερεῖς διὰ τὴν θείαν ὑπηρεσίαν, ὥστε μὴ ἅπτεσθαί τινος τῶν ἱερῶν, ἢ τοῖς τῆς ἱερωσύνης ἀμφίοις εὐθὺς χρῆσθαι μετὰ τῶν ἐνδυμάτων ἀμέσως, τῶν κοσμικῶν, δι' ὧν ἅπτονται καὶ τῶν τοῦ σώματος χρειωδῶν.

ΚΕΦΑΛ. ΡΠϚʹ.

Περὶ ἱερῶν ἐνδυμάτων, ἱματίου, καμισίου καὶ τῶν λοιπῶν.

Ὅθεν καὶ εὐθὺς πρὸ τῆς σφραγῖδος ὁ αναγνώστης τοῦτο εὐλογούμενος ἀμφιέννυται, μέλαν ὄν, διὰ τὴν ταπείνωσιν ὡς εἰρήκαμέν τε καὶ συστολήν· τοιαῦτα γὰρ τὰ τοῦ πένθους· καὶ ἄχρι ποδῶν καὶ εὐρύχωρον διὰ τὴν εὐλάβειαν μετὰ τῆς θείας ἀγάπης. Καὶ περιζώννυται, διὰ τὸ ὀφείλειν ὑπηρετεῖν. Σταυροῦ δὲ τύπον ἐπέχει τῷ μήκει τε καὶ τοῖς μανικίοις. Ταῦτα μὲν οὖν τὰ ἱμάτια κοινὰ πᾶσι, καὶ ὥς φασιν, ἐκ βασιλικῆς δωρεᾶς, εἰς τιμὴν τῆς ἱερωσύνης· ὅτι καὶ συγκλητικοὶ ταῦτα ἐνδύονται καὶ τὰ σκιάδια, καὶ αὐτοὶ οἱ βασιλεῖς. Ἴδιον δὲ τῆς τάξεως αὐτοῦ ὁ ἀναγνώστης κέκτηται ἔνδυμα, τὸ καλούμενον καμίσιον· ὅπερ ἢ κατὰ τύπον φαινολίου ἐστὶ μικροῦ, ἢ στιχάριον ἐκ λίνου, τὴν ἀπαρχὴν τῆς ἱερωσύνης δηλοῦν, διὸ καὶ μικρόν ἐστι, καὶ τὴν ἀπὸ τοῦ Θεοῦ σκέπην· καὶ ἢ πορφυροῦν, διὰ τὸ πορφυροῦν τοῦ Σωτῆρος ἱμάτιον, ἢ λευκὸν διὰ τὸ καθαρὸν τῆς ἱερωσύνης, καὶ τὸν ἀπὸ τοῦ Θεοῦ φωτισμόν. Τοίνυν οἱ διάκονοί τε καὶ ἱερεῖς ὅμοια τοῖς ἱματίοις ἄνωθεν ἐνδύονται ἄμφια καὶ ἐπὶ κεφαλῆς τὰ σκιάδια, καὶ λοιπὰ συνήθη φορέματα, πάντα σταυρὸν ἐκτυποῦντα, ὡς καὶ αὐτὸ τὸ σκιάδιον· ἐπεὶ καὶ τοῦ ἐσταυρωμένου δι' ἡμᾶς εἰσι λειτουργοί, ὡς καὶ ἐπὶ τῆς κεφαλῆς μᾶλλον τοὺς σταυροὺς φέροντες. Ἰδοὺ καὶ τὰ περὶ διακόνων καὶ πρεσβυτέρων ὑμῖν εἰρήκαμεν.

Κληρικ. Εὐχαριστοῦμεν, δέσποτα, ἐπὶ πᾶσι τὸν νοῦν διανοιγόμενοι, καὶ τὰ καθ' ἡμᾶς πάντα θεῖα μανθάνοντες, καὶ ὅτι οὐδὲν ἀνθρώπινον ἐν τοῖς ἱεροῖς.

Ἀρχιερεύς. Καὶ πῶς ἄρα ἀνθρωπινόν τι ἔσται ὅλως ἐν τοῖς τοῦ Θεοῦ; Ἢ ποῖον ἐν τοῖς τοῦ Θεοῦ Λόγου οὐ μετὰ λόγου καὶ κατὰ λόγον; Ἢ πῶς ἄρα ἐν τοῖς τοῦ παναγίου Πνεύματος οὐχ ἅγια πάντα ἔσται; Λοιπὸν καὶ θεῖα κατὰ τὸν λόγον καὶ ἅγια.

ΚΕΦΑΛ. ΡΠΖʹ.

Περὶ ἀρχιερέως.

Ἀρχόμεθα οὖν ἤδη καὶ περὶ τῶν τῆς μεγάλης χάριτος τῆς φωτιστικῆς τάξεως ἐρεῖν τῶν ἀρχιερέων. Διὸ καὶ περὶ ταύτης θεωρήσωμεν κατὰ δύναμιν· ὑπὲρ ἡμᾶς γὰρ καὶ τούτων ὁ νοῦς, ὅτι καὶ περὶ τοῦ μεγίστου καὶ τελεωτάτου δώρου τῶν καθ' ἡμᾶς ἐστιν, ἀφ' οὗ δὴ πᾶν δώρημα ἡμῖν καὶ φωτισμὸς καταπέμπεται· καὶ θεμέλιος αὕτη καὶ ἀρχὴ, καὶ πηγὴ δὲ τῆς 152 εὐσεβείας ἐστὶ καὶ ῥίζα, καὶ τὸν Χριστὸν αὐτὸν ἐξεικονίζει καὶ φέρει. Διὸ

καὶ τελεώτερα πάντα τὰ ἐν ταύτῃ τελούμενα. A Ἡμεῖς μὲν οὖν ἐροῦμεν περὶ αὐτῶν, ὅσον ἐγχωρεῖ καὶ ἰσχύομεν· ὑμεῖς δὲ συντείνατε τοῖς λεγομένοις τὸν νοῦν, καὶ ὁρᾶτε ἐξ ἀρχῆς ἤδη τὸ ἐπηρμένον τῆς θείας ταυτησὶ τάξεως. Πᾶσι μὲν ἐφεῖται, καθαροῦ μόνον βίου ἐπειλημμένοις, ἐν ὀρθοδόξῳ τῇ πίστει, ζητεῖν τὰ λοιπὰ τῆς ἱερωσύνης, ἀναγνώστου σφραγῖδα, ὑποδιακόνου χειροθεσίαν, διακόνου χειροτονίαν καὶ πρεσβυτέρου· καὶ προβιβασμοὺς ἐν τούτοις δή τινας διακονημάτων καὶ τιμάς.

ΚΕΦΑΛ. ΡΠΗ'.

Ὅτι χωρὶς ψήφων οὐδεὶς τελεῖται ἐπίσκοπος.

Ἐπισκοπὴν δὲ οὐδενὶ ἔξεστι ζητεῖν· οὐδὲ δυνατὸν χωρὶς ἐκλογῆς τε καὶ ψήφων. Κἂν γὰρ ἀνθρωπίνως B τις καὶ παρὰ τὸν ὅρον τὸν ἱερὸν πρὸς τοῦτο ἐπιχειροίη, οὐκ ἂν ἐπιτεύξοιτο ψήφων ἱερῶν χωρίς· ὅθεν ἐκ τούτου προσεκτέον τινὰ μὴ ἐπεμβαίνειν, μηδὲ ζητεῖν, μηδὲ περιδρομὰς ποιεῖν, ὡς ὁ Χρυσορρήμων φησί· καὶ τοὺς ἐκλεγομένους δὲ καὶ ψηφιζομένους ἀπαθῶς τοῦτο ἀποστολικῶς ἐνεργεῖν· μᾶλλον δὲ θείως· εἰ γὰρ καὶ παρὰ τῶν ἀποστόλων ἡ τῶν ἀποστόλων ψῆφος ἀπήρξατο, ἡνίκα προεβλήθη εἰς τὴν τοῦ δυοκαιδεκάτου τάξιν τοῦ παραπεπτωκότος Ματθίας, ἀλλ' ἡ ἐκλογὴ ἀπὸ τοῦ Σωτῆρος πρότερον ἤρξατο, ὃς ἀρχηγός ἐστι καὶ τελειωτὴς τῆς σωτηρίας ἡμῶν, ἀφ' οὗ δὴ Ἀνδρέαν ἐξελέξατο καὶ τὸν Πέτρον, Ἰωάννην τε καὶ Ἰάκωβον, Φίλιππον καὶ Ναθαναὴλ καὶ Ματθαῖον, καὶ τὴν λοιπὴν χορείαν τῶν μαθητῶν· πρὸς οὓς καὶ μετὰ ταῦτά φησιν· « Οὐχ ὑμεῖς με C ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, ἵνα ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ. » Οὓς καὶ ἁλιεῖς ἀνθρώπων, καὶ ἅλας τῆς γῆς καὶ φῶς τοῦ κόσμου, καὶ κριτὰς τοῦ Ἰσραήλ, καὶ συνθρόνους, καὶ ποιμένας τῶν προβάτων αὐτοῦ, καὶ λύειν καὶ δεσμεῖν δυναμένους, καὶ ἱερεῖς, καὶ ἱερουργούς, καὶ διδασκάλους καὶ κήρυκας, εἶπέ τε καὶ ἔδειξε· καὶ κήρυκας τοῦ Εὐαγγελίου, καὶ διδασκάλους οἰκουμενικοὺς καὶ ἐκάλεσε καὶ ἐποίησε. Παρ' αὐτοῦ τοίνυν διὰ τῶν αὐτοῦ καὶ ἐκλέγεσθαι χρὴ καὶ χειροτονεῖσθαι τοὺς τελουμένους· μᾶλλον δὲ εἰ ὡς αὐτὸς βούλεται ἡ ἐκλογὴ γένοιτο, καὶ ἡ χειροτονία ἔσται ἀληθῶς παρ' αὐτοῦ καὶ διὰ τῶν ἀξίων ὑπὲρ τῆς Ἐκκλησίας αὐτοῦ· καὶ ἀξίως τὰ θεῖα ἔσται τελούμενα. Εἰ δ' οὖν, παρὰ τῶν ἀναξίων ἔσται D ἐπεὶ καὶ δι' αὐτῶν ἡ χάρις, ὡς ἐμάθομεν, ἐνεργεῖ· πλὴν παρὰ γνώμην Χριστοῦ τοῦ τὴν χάριν παρὰ Πατρὸς ἐν Ἁγίῳ Πνεύματι νέμοντος, καὶ πρὸς καθαίρεσιν οὐ πρὸς οἰκοδομὴν ψυχῶν καὶ τῆς Ἐκκλησίας. Ὡς οὖν Χριστοῦ καὶ θεῖον ἔργον ἡ ἀρχιερωσύνη ἐξαιρέτως, οὕτω δὴ νενόμισται ἐν τοῖς δεχομένοις αὐτὴν ἐνεργεῖσθαι.

ΚΕΦΑΛ. ΡΠΘ'.

Περὶ ἱερῶν ψήφων· καὶ ὅτι ἐν ταῖς ψήφοις δεῖ πάντως εἶναι τοὺς ἐπισκόπους, ἐξαιρέτως δὲ τρεῖς.

Ὁ πρῶτος ἱεράρχης, ὃς δὴ τυποῖ τὸν Χριστὸν

[1] Joan. xv, 16.

in illius initiatione fiunt, omnia perfectiora sunt. Nos igitur de illis dicemus, quantum licet et possumus: vos vero mentem dictis advertite, et videte ab ipso initio hujus divini ordinis altitudinem et sublimitatem. Omnibus quidem vitæ puræ in orthodoxa fide tantum amore capitis quærere et persequi licet cæteros sacerdotii gradus, lectoris sigillum, subdiaconi manus impositionem, diaconi et presbyteri ordinationem, et in his ordinibus promotiones quasdam, et ministeriorum dignitates.

CAPUT CLXXXVIII.

Quod nisi per suffragia electus nemo episcopus consecratur.

Verum episcopatum nemini quærere licet, nec possibile sine electione et suffragiis. Nam si quis humanum patiens hunc assequi præter sacras definitiones adnisus fuerit, illum tamen sine sacris suffragiis non consequetur. Unde diligenter attendendum est ne quis violente in episcopatum ingrediatur, ne quis eum requirat, ne quis ambitus faciat, ut ait aurea loquens. Eos similiter qui eliguntur, et suffragiis prævalent, id præstare debent nullo acti humano affectu, sed apostolice, vel potius divine. Quanquam enim ab apostolis suffragium inceperit, cum in ordinem duodecimi qui ceciderat promotus est Matthias; attamen electio primum a Salvatore cœperat, qui dux est et consummator salutis nostræ; propterea Andream elegit, et Petrum et Joannem, et Jacobum, Philippum et Nathanael, et Matthæum, reliquumque discipulorum chorum, ad quos postea dicit: «Non vos me elegistis, sed ego elegi vos, ut eatis et fructum feratis, et fructus vester maneat [1]. » quos etiam piscatores hominum, et sal terræ, et lumen mundi, et judices Israel, et assessores ipsius, et ovium ejus pastores, et solvere et ligare potentes, et sacerdotes, et sacrorum operatores, et doctores, et prædicatores dixit et instituit. Prædicatores quoque Evangelii, et doctores terræ vocavit, et effecit. Oportet igitur eos qui consecrandi sunt, eligi et ordinari ab ipso per eos qui sunt ipsius, præsertim si ut vult electio fiat. Ordinatio tum vere ab ipso erit, et divina per dignos et condigne pro ipsius Ecclesia erunt celebrata. Si igitur ab indignis facta fuerit, per ipsos tamen, ut didicimus, gratia operatur, verum ad destructionem, non ad animarum et Ecclesiæ ædificationem, idque præter Christi intentionem gratiam a Patre per Spiritum sanctum distribuentis. Quemadmodum igitur episcopatus præ cæteris est divinum Christi opus; sic etiam legibus statutum est qua ratione in iis qui eum suscipiunt, agendum sit.

CAPUT CLXXXIX.

De sacris suffragationibus, et quod omnes episcopi provinciæ illis interesse debeant, ad minimum tres.

Primus episcopus, qui Christi typus est, convo-

cat qui sub ipso sunt episcopos, primorum apostolorum ordinem tenentes, ipsiusque gratiam et virtutem ab eo emanatam possidentes, remque cum iis communicat. Cum igitur opus sit divinum et desiderabile, omnes ad hoc conveniunt. Si omnes provinciæ episcopi adsunt, bene est. Hoc postulat canonica constitutio, opusque est et præceptum apostolicum; omnes enim aderant in electione Matthiæ. Si hoc fieri non potest, ex omni cœtu tres adsint propter sanctam Trinitatem, quoniam hæc est omnium creatrix et perfectrix, cæteris consentientibus, et quæ de hac electione judicant, mandantibus. Hoc in Christi baptismate conspicitur, Patre cum Spiritu sancto testimonium de Filio perhibente. In Transfiguratione quoque Filius cum iis de seipso testatus est, baptizatus est, gratiamque dedit, et divino lumine coruscavit. Ideo in duobus vel tribus testibus, inquit, stabit omne verbum [1]. In apostolis idem observatum fuit. Tres enim a cæteris exempti electi sunt, Petrus, Joannes, et Jacobus frater Domini, qui, ut ait Paulus, videbantur esse columnæ. Tres quoque Servator præ cæteris et eximie mysteriis majoribus adhibuit, Petrum, Joannem, et illius consanguineum Jacobum. Omnibus igitur præsentibus, vel necessario tribus, primus episcopus jubet eos in loco sacro sedere, et suffragia dare. Oportet enim divina divino jussu et exhortatione fieri. Ipse quidem primus cum iis non ingreditur, tunc vel hoc ipso Jesum Deum et hominem figurans, qui corpore absens potestatem suam dedit, et per eos operatur qui sui sunt. Nec hoc tantum, sed etiam ut vices Christi agens divinum suffragium ipse iterum obsignet et approbet. Ne autem videatur cum ipsis non agere, sed ipsis assentiens et unanimis appareat, aliquem ex iis qui illi ministrant vice sua functurum cum iis mittit, e clero selectum, qui potissimum esse solet chartophylax.

CAPUT CXC.

Qua ratione inter suffragantes episcopos medius sedet chartophylax.

Ideo in medio episcoporum sedet, non ut chartophylax, ea enim ratione cathedram inter episcopos non habet; vel aliquis alius clericus, sed ut vices agens magni episcopi. Sedet igitur et per ordinem interrogat episcopos, non tamen cum iis fert suffragium. Magni enim episcopi sententia ab initio data est, ut episcopi suffragium ferrent; iterumque dabitur finitis suffragiis, eo quod illius sententia divinæ sortis locum tenebit. Propter hoc præter episcopos qui illic sunt nullus alius fert suffragium.

CAPUT CXCI.

Quod preces fiant cum suffragia ferenda sunt.

Venientibus igitur illis cum chartophylace quo

A συγκαλεῖται τοὺς τελοῦντας ὑπ' αὐτὸν ἀρχιερεῖς, τὴν τῶν πρώτων ἀποστόλων τάξιν ἐπέχοντας, καὶ τὴν αὐτοῦ παρ' αὐτοῦ ἐσχηκότας χάριν καὶ δύναμιν· καὶ κοινοῦται τὸ ἔργον. Ἐπεὶ οὖν θεῖον τοῦτο καὶ ἐραστὸν, πάντες ἐπὶ τούτῳ συντίθενται· καὶ εἰ μὲν οἱ τῆς ἐπαρχίας πάρεισι πάντες, καλόν· τοῦτο γὰρ καὶ ἡ διαταγὴ τῶν κανόνων βούλεται, καὶ ἀποστολικόν ἐστιν ἔργον τε καὶ διάταγμα· πάντες γὰρ ἦσαν ἐπὶ τῇ ψήφῳ Ματθίου· εἰ δ' οὐ δυνατὸν, ἐξ ἅπαντος εἶναι τρεῖς διὰ τὴν Τριάδα· ὅτι αὕτη τῶν ὅλων δημιουργὸς τε καὶ τελειοποιὸς, συμφωνούντων αὐτοῖς καὶ ἀνατιθεμένων τὰ περὶ τούτου καὶ τῶν λοιπῶν. Τοῦτο δὲ καὶ ἐπὶ τῷ βαπτίσματι ὤφθη, μαρτυροῦντος τὸν Υἱὸν τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος· καὶ ἐν τῇ Μεταμορφώσει, ἑαυτόν τε 153

B σὺν τούτοις τοῦ Υἱοῦ μαρτυροῦντος, βαπτιζομένου καὶ διδόντος τὴν χάριν, καὶ θείῳ φωτὶ λάμποντος. Διὸ καὶ, «Ἐπὶ δύο μαρτύρων ἢ τριῶν, φησὶ, σταθήσεται πᾶν ῥῆμα.» Καὶ ἐν τοῖς ἀποστόλοις δὲ τοῦτο ἦν. Τρεῖς γὰρ ἐξαίρετοι ἀπελέγησαν τῶν λοιπῶν, Πέτρος, Ἰωάννης τε καὶ Ἰάκωβος ὁ τοῦ Κυρίου ἀδελφὸς, οἱ δοκοῦντες στῦλοι εἶναι, ὡς Παῦλός φησι. Καὶ αὐτὸς ὁ Σωτὴρ τρεῖς ἐξαιρέτως εἶχεν ἐν τοῖς μείζοσι μυστηρίοις, τὸν Πέτρον καὶ Ἰωάννην καὶ τὸν ὅμαιμονα τούτου Ἰάκωβον. Τῶν πάντων οὖν ὄντων, ἢ κατ' ἀνάγκην τριῶν, κελεύει τούτοις ὁ πρῶτος ἀρχιερεὺς ἐν τόπῳ ἱερῷ καθίσαι, καὶ τὰς ψήφους ποιήσασθαι· ὅτι θείῳ κελεύσματι τὰ θεῖα γίνεσθαι χρή. Καὶ αὐτὸς μὲν ὁ πρῶτος σὺν αὐτοῖς

C οὐκ ἔρχεται τότε, τυπῶν κἀν τούτῳ τὸν θεάνθρωπον Ἰησοῦν, ὅτι καὶ σωματικῶς μὴ παρὼν, τὴν ἐξουσίαν αὐτοῦ δοὺς ἐνεργεῖ διὰ τῶν αὐτοῦ· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἵνα τὴν θείαν ψῆφον οὗτος αὖθις ἐπισφραγίσῃ, τὸν τύπον Χριστοῦ πληρῶν. Ἵνα δὲ μὴ καὶ δόξῃ ὅτι οὐ συμπράττων ἐστὶν, ὡς ἂν φαίνηται συνὼν καὶ συμψηφιζόμενος, τοποτηρητὴν αὐτοῦ πέμπει σὺν αὐτοῖς τῶν αὐτῷ λειτουργούντων ἀπὸ τοῦ κλήρου τὸν ἔκκριτον ὃς ἐξαιρέτως καὶ ὁ χαρτοφύλαξ ἐστί.

ΚΕΦΑΛ. ΡϞ'.

Ὅπως ὁ χαρτοφύλαξ μέσον κάθηται τῶν ψηφιζομένων ἐπισκόπων.

Διὸ καὶ μέσον κάθηται τῶν ἀρχιερέων, οὐχ ὡς χαρτοφύλαξ, οὐδὲ γὰρ καθέδραν ἐν ἐπισκόποις οὗτος ἔχει, ἢ ἄλλος τις κληρικὸς, ἀλλ' ὡς τοποτηρη-

D τὴς τοῦ μεγάλου ἀρχιερέως. Κάθηται δὲ καὶ ἐρωτᾷ κατὰ τάξιν τοὺς ἐπισκόπους· οὐ μὴν συμψηφίζεται. Ἡ γὰρ γνώμη τοῦ μεγάλου ἀρχιερέως δίδοται μὲν ἀπαρχῆς εἰς τὸ τοὺς ἐπισκόπους ψηφίσασθαι, ἀποθήσεται δ' αὖθις ὕστερον τῶν ψήφων τελεσθεισῶν· ὅτε καὶ ἡ τούτου γνώμη ὡς θεῖος κλῆρος ἔσται. Διὰ τοῦτο πλὴν τῶν ἐπισκόπων ἐκεῖσε ἄλλος τις οὐ ψηφίζεται.

ΚΕΦΑΛ. ΡϞΑ'.

Ὅτι προσευχὴ γίνεται ἐν ταῖς ψήφοις.

Ἐλθόντων τοίνυν τούτων σὺν τῷ χαρτοφύλακι,

[1] Deut. XIX, 15.

ἔνθα ψηφίζεσθαι ἔθος, ἅπτονται μὲν τῆς θείας εἰκόνος Χριστοῦ ἐνώπιον κηροὶ τρεῖς εἰς δόξαν τε καὶ τύπον τῆς ἁγίας Τριάδος· καὶ ὅτι παρ' αὐτῆς ἡμῖν ἅπας φωτισμὸς, καὶ μᾶλλον οὗτος ὁ τελεώτατος. Διὸ καὶ ἐντεῦθεν ἀρχόμενον τὸ τρικήριον, καὶ ἐν πάσαις τελεταῖς τοῦ ἀρχιερέως ἐστὶ τὸν ἐν αὐτῷ τέλειον ὑπὸ τῆς τελείας μόνης Τριάδος φωτισμὸν σαφῶς ἐκδηλοῦν. Εἶτα ὁ πρῶτος τῶν ἐπισκόπων ἐπιτραχήλιον περιτίθεται, τὴν ἄνωθεν χάριν, ὡς εἰρήκαμεν, ἐκτυποῦν. Καὶ κατὰ ἀνατολὰς τρὶς προσκυνῶν τὸν ἐν Τριάδι Θεὸν, τοῦτον εὐλογεῖ· δεῖ γὰρ ἐν τοῖς οὕτω θείοις τε καὶ μεγίστοις ἀπὸ Θεοῦ, ὡς ἐδιδάχθημεν, ἄρχεσθαι, καὶ τοῦτον πρὸ πάντων εὐλογεῖν· καὶ ἀπὸ Θεοῦ καὶ προσευχῆς ἀρχομένους, τὴν χάριν ἐν ἑαυτοῖς ἐπισπᾶσθαι τοῦ Πνεύματος, καὶ οὕτω τῷ θείῳ ἐγχειρεῖν ἔργῳ. Διὰ τοῦτο καὶ ὑπὸ πάντων τῶν ἐκεῖσε γινομένης προσευχῆς, τὸ θεῖον Πνεῦμα ἐπικαλοῦνται ἐλθεῖν καὶ ἐνσκηνῶσαι αὐτοῖς. Εἶτα τὸν τρισάγιον ὕμνον τῶν ἀγγέλων ὑμνήσαντες, καὶ τὴν τοῦ *Πάτερ ἡμῶν* προσευχὴν, ἥτις τοῦ Σωτῆρός ἐστι, καὶ λοιπῶν ἄλλων λεγομένων ἁρμοζόντων τῷ μυστηρίῳ, τὸ, « Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, » διὰ τοὺς ἀποστόλους οὓς ὁ Χριστὸς ἐξελέξατο, δι' αὐτῶν ἐν Πνεύματι ἁγίῳ τὴν οἰκουμένην σαγηνεύσας, καὶ τὸ, « Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου Σωτὴρ, ἵνα καὶ σὺν αὐτοῖς Χριστὸς γένηται, » καὶ τὸ, « Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου, » ἵνα δι' αὐτῶν τῆς θείας εἰρήνης τοῦ Χριστοῦ ἐπιτύχωσι, καὶ ὡς οἱ ἅγιοι σύμφωνοι καὶ τῷ Χριστῷ ἡνωμένοι, μετ' εἰρήνης καὶ οὗτοι καὶ συμφώνως τὴν ἐπισκόπου ἐκλογὴν καὶ τὰς θείας ψήφους τελέσωσιν, ἐκτενῆ δέησιν ποιεῖται, **154** πρότερον θυμιάσας εἰς δήλωσιν τῆς ἐπιθυμίας τῆς χάριτος ὁ ἐναρξάμενος ἀρχιερεύς. Καὶ τῶν βασιλέων μνησθεὶς ὡς ἐκδίκων τῆς Ἐκκλησίας, καὶ τοῦ ἀρχιεπισκόπου ὡς πηγῆς ὄντος ἐν Χριστῷ τῷ ἐν εἴδει πυρίνων γλωσσῶν τὸ Πνεῦμα τοῖς ἀποστόλοις ἐκπέμψαντι, τῆς θείας ἱερωσύνης καὶ τῆς ἀδελφότητος τῶν ἀρχιερέων δηλαδὴ ὡς ὁμοταγῶν τῇ χάριτι καὶ συνεργῶν καὶ συνεπισκόπων, ἀπολύσεως γινομένης ἐπ' εὐχαριστίᾳ Θεοῦ, διὰ τῆς ἁγίας αὐτοῦ Μητρὸς καὶ τῶν ἀποστόλων αὐτοῦ, δι' ὧν ἡ χάρις τοῦ Θεοῦ χορηγεῖται, καὶ πάντων τῶν ἁγίων, ἵνα ἐπ' αὐτοὺς ἔλθοι τὸ θεῖον ἔλεος, εὐξάμενοι ὑπὲρ ἀλλήλων, καὶ συγχώρησιν δόντες ἀλλήλοις διὰ τὴν τὸ εὔχεσθαι ὑπὲρ ἀλλήλων λέγουσαν ἐντολὴν, κάθηνται τοῦ ψηφίσασθαι. Κάθηνται δὲ ἑκατέρωθεν μὲν οἱ ἀρχιερεῖς οὐκ ἐπὶ θρόνων ἀλλ' ἐπὶ σκιμποδίων τινῶν μικρῶν· ἐπεὶ ὁ ἀρχιεπίσκοπος ἐκεῖσε οὐ πάρεστιν· ὁ χαρτοφύλαξ δὲ μέσον αὐτῶν ὁμοίως, πλὴν ὑπεράνω, τὸν τόπον τοῦ ἀρχιεπισκόπου πληρῶν, ὃς καὶ ἐρωτᾷ ἀπὸ τοῦ πρώτου τῶν ἀρχιερέων κατὰ τάξιν ἕκαστον τὴν γνώμην εἰπεῖν. Συμφωνοῦντες οὖν ἐν προσώπῳ ἑνὶ, ὃς ἄξιος τῆς ἱεραρχίας ἐστὶ, τὸ ὄνομα τούτου παρὰ τοῦ χαρτοφύλακος, ἢ τινος ἄλλου ὑπηρέτου παρόντος καὶ κάτω καθημένου, ἐν χάρτῃ γράφεται ἀποτεταγμένῳ εἰς τοῦτο. Οὐ πολλοὶ δὲ πάρεισιν ἐκεῖ, εἰ μὴ οἱ ἀρχιερεῖς μόνοι, καὶ ὁ χαρτοφύλαξ σὺν ὑπηρέτῃ τῷ ὑπομνημα-

suffragia dare mos est, ante divinam Christi imaginem cerei tres accenduntur in gloriam et typum sanctæ Trinitatis, et quod ab ea nobis veniat omnis illuminatio, et multo magis hæc divinissima. Ideo hinc tricerii emanat origo, cujus usus viget in omnibus sacris episcopi operationibus; quo evidenter indicatur perfectam illuminationem a sola et perfecta Trinitate emanare. Deinde primus episcoporum epitrachelium sive stolam sacerdotalem, quæ supernam gratiam, ut diximus, designat, collo circumponit, et ad orientem ter adorat, Deum in personarum Trinitate benedicens. In his enim divinis et maximis rebus a Deo incipere edocti sumus, et ante omnia ipsi benedicere, exordiumque a Deo et precibus facientes gratiam Spiritus ad nos attrahere, sicque divinum opus aggredi. Ideo facta prece ab omnibus qui illic sunt, invocatur divinus Spiritus ut adveniat, et inhabitet in eis. Postea, trisagio angelorum hymno decantato, et prece *Pater noster* recitata, quæ Salvatoris est, et reliquis aliis dictis quæ mysterio conveniunt, utpote: « Benedictus es, Christe Deus noster, » propter apostolos quos Christus elegit, per eos in Spiritu sancto terram universam indagine cinxit et cepit; et illud: « Velut in medium discipulorum advenisti, o Salvator, ut cum ipsis Christus esset; » et istud: « Intercessione omnium sanctorum et Deiparæ, » ut per ipsos divinam Christi pacem consequantur. Et sicut sancti concordes cum pace Christo uniuntur, sic et illi concorditer electionem et divina suffragia perficiant. Episcopus officium initians orationem extensam pronuntiat, facto prius in significationem adventus gratiæ thuris suffimento; imperatorum quoque meminit, ut Ecclesiæ defensorum, et archiepiscopi, ut in Christo pauperis, qui in figura linguarum flammearum immisit in apostolos Spiritum sanctum. Meminit etiam divini sacerdotii, et fraternitatis episcopalis, nempe per gratiam velut ejusdem ordinis, et comministrorum, et coepiscoporum. Tum fit dimissio in gratiarum actione Deo per sanctam ejus Matrem, et apostolos suos per quos gratia Dei dispensatur, omnium quoque sanctorum, ut super eos descendat divina misericordia. Denique precibus pro invicem factis secundum divinum præceptum sedent ad suffragia colligenda. Sedent autem episcopi ex utraque parte, non super thronos, sed super scabella quædam parva, cum illic non adsit archiepiscopus; chartophylax autem similiter in medio eorum sedem habet, sed superiorem, eo quod archiepiscopi locum occupet, qui et sententiam unumquemque rogat, ab episcoporum primo incipiens, et secundum ordinem procedens. Consentientes igitur in unam personam, ut episcopatu dignam, ipsius nomen a chartophylace, vel aliquo alio ministro præsente, et inferius sedente, in charta scribitur ad hoc præparata. Illic autem multi non adsunt, propter secretas inquisitiones quæ ibidem fiunt, sed episcopi soli, et chartophylax cum ministro

qui illi est a commentariis cum nomina scribuntur. Si igitur omnes convenerint, spiritus est opus : si vero contentio aliqua oriatur, non equidem bonum est. Si vero contingat propter scrutinium, eo quod qui scrutantur homines sunt ; iterum bonum est, veruntamen plurium suffragia secundum canones prævalent.

A τογράφῳ, ὅτε γράφονται τὰ ὀνόματα διὰ τῆς γινομένης ἐκεῖσε μυστικῆς ἐξετάσεως. Εἰ μὲν οὖν συμφωνήσουσι πάντες, πνευματικὸν ὅλον τὸ ἔργον· εἰ δ' ἔρις τις γένοιτο, οὐκ ἀγαθὸν μὲν, εἰ καὶ διὰ τὴν ἐξέτασιν, ὅτι οἱ ἐξετάζοντες ἄνθρωποι, αὖθις ἀγαθόν· πλὴν ἡ τῶν πλειόνων ψῆφος πάλιν κρατεῖ κατὰ τοὺς κανόνας.

CAPUT CXCII.

Quod eligentes ferre debent suffragium ordine temporis quo electi sunt, non gradus vel dignitatis.

Tres tamen viri pii in gloriam et typum Trinitatis eligantur e pluribus, vel ex omnibus, et scribatur quot suffragiis prævaluerunt. Primus electus post primum ponatur, sicut a gratia factum est : non enim hic oportet gradus et dignitates præferre, sed virtutem et meritum, cum suffragia sint ad idoneos operi eligendos instituta, non ad promovendum eum qui prævenerit, et virtute caruerit. Nam sæpe præferendi sunt sacerdotes episcopis, et sacerdotibus et episcopis pii monachi, vel laici. Qui primus electus est dignus est quoque qui primo loco ponatur. Postquam inscriptio facta est, surgunt episcopi, et suffragia ad archiepiscopum per chartophylacem mittuntur.

ΚΕΦΑΛ. ΡϞΒ'.

Ὅτι τοὺς ψηφισθέντας καθὼς ἐψηφίσθησαν χρὴ τίθεσθαι, καὶ οὐ κατὰ τὸν βαθμὸν ἤτοι τὸ ἀξίωμα.

Ὅμως ἀπολεγέντες ἐκ τῶν πλειόνων ἢ καὶ πάντων, καὶ ψηφισθέντες τρεῖς ἄνδρες εὐλαβεῖς εἰς δόξαν τῆς Τριάδος καὶ τύπον, καὶ γραφέντες ὡς ἐψηφίσθησαν, ὁ πρῶτος ψηφισθεὶς πρότερον τεθεὶς κἂν ὁποίου τύχοι βαθμοῦ, καὶ ὁ ψηφισθεὶς δεύτερος μετὰ B τὸν πρώτως ψηφισθέντα τεθεὶς, καθὼς παρὰ τῆς χάριτος γέγονεν, οὐ δὲ γὰρ χρὴ ἐνταῦθα βαθμοὺς καὶ τάξεις προτίθεσθαι, ἀλλ' ἀρετὴν καὶ τὸν ἀξιώτερον, ἐπεὶ καὶ διὰ τοὺς ἱκανοὺς πρὸς τὸ ἔργον ἐστὶν ἡ ψῆφος, καὶ οὐ διὰ τὸν προβιβασθῆναι φθάσαντα, ἂν μὴ καὶ τὴν ἀρετὴν ἔχῃ, ὅτι πολλάκις προτιμότεροι ἐπισκόπων ἱερεῖς, καὶ ἐπισκόπων καὶ ἱερέων εὐλαβεῖς μοναχοὶ ἢ καὶ λαϊκοί. ὁ πρῶτος ψηφισθεὶς καὶ πρῶτος τίθεσθαι δίκαιος. Μετὰ τὸ γραφῆναι δὲ, ἀνίστανται οἱ ἀρχιερεῖς, καὶ αἱ ψῆφοι τῷ ἀρχιεπισκόπῳ διὰ τοῦ χαρτοφύλακος ἀποστέλλονται.

CAPUT CXCIII.

De episcopo eligendo (in archiepiscopum) qui synodo alicui intersit.

Sciendum autem quod in suffragiis ferendis, si opus est episcopum aliquem ex minori urbe ad majorem eligi, et synodo tum intersit, eligendus ipse reliquorum mandato e synodo secedit, et ipso absente sententiæ de ipso feruntur, et si idoneus ad majus ministerium visus fuerit, electus ponitur. Ex quo dicitur, gradus præferri non oportere, sed virtutem, et primo probatum episcoporum uniformi consensu affectibus vacuo, vel secundo, vel tertio, ut divina gratia decrevit, inscribi debere secundum suffragiorum ordinem. Innovatio certe est, dignitates et gradus præferre cum novum hoc sit et recens, et ab initio ita factum non fuerit, ut inquisitione facta cognovimus. Episcopi igitur post lata suffragia discedunt. Archiepiscopus ergo suffragia accipiens, dijudicat apud se electos, et in quem animo inclinaverit, ad eum mittit, illique significat ut episcopatum accipiat.

ΚΕΦΑΛ. ΡϞΓ'.

Περὶ ἐπισκόπου μέλλοντος ψηφισθῆναι παρόντος τῇ συνόδῳ.

C Ἰστέον οὖν, ὡς ἐν ταῖς ψήφοις εἰ χρεία γένοιτο ἀρχιερέα τινὰ ἐν μείζονι πόλει ἐξ ἄλλης πόλεως ἀπολέξασθαι, καὶ οὗτος παρείη τῇ συνόδῳ, προσταγῇ τῶν λοιπῶν τῆς συνόδου αὐτὸς ἐξέρχεται. Καὶ ἀπόντος αὐτοῦ περὶ αὐτοῦ δίδονται γνῶμαι· καὶ εἴ γε φανείη ἱκανὸς, πρὸς τὴν μείζονα διακονίαν ψηφισθεὶς, τίθεται. Ἔστιν οὖν καὶ ἐκ τούτου μαθεῖν, ὡς οὐ χρὴ βαθμοὺς προτιθέναι, ἀλλ' ἀρετὴν· καὶ τὸν δοκιμασθέντα πρῶτον ἢ δεύτερον ἢ τρίτον, ὡς ἡ θεία ἔκρινε χάρις, τῇ ὁμογνωμοσύνῃ ἐν ἀπαθείᾳ τῶν ἀρχιερέων Χριστοῦ, κατὰ τὴν τάξιν τῶν ψήφων γράφεσθαι. Καινοτομία ἄρα τὸ τάξεις καὶ βαθμοὺς προτιθέναι· ἐπεὶ καὶ νέον τοῦτο, καὶ οὐκ ἐξαρχῆς ἦν, ὡς ἐξετάσαντες ἔγνωμεν. Οἱ μὲν οὖν ἐπίσκοποι D μετὰ τὰς ψήφους ἀπέρχονται· ὁ ἀρχιεπίσκοπος δὲ τὰς ψήφους λαβὼν, ἀνακρίνει καθ' **155** ἑαυτὸν τοὺς ψηφισθέντας· καὶ εἰς ὃν ἂν κινηθείη τῷ Πνεύματι, εἰς τοῦτον δὴ καὶ ἀποστέλλων μηνύει τὴν ἐπισκοπὴν καταδέξασθαι.

CAPUT CXCIV.

Archiepiscopi sententiam pro divina sorte haberi.

Considera autem mysterium divinæ gratiæ, et integritatis affectu carentis, in iis qui student divina divine in Ecclesia peragere. Archiepiscopus cum suffragia feruntur præsens non est, propter solam suffragiorum sinceritatem conservandam, ut actio libere et sine dissimulatione fiat. Si etenim hac ratione adesse non possit, ne sane adsit. Absen-

ΚΕΦΑΛ. ΡϞΔ'.

Ὅτι ὡς κλῆρος θεῖος ἡ τοῦ ἀρχιεπισκόπου γνώμη.

Καὶ ὅρα μυστήριον Θεοῦ ἀπαθείας καὶ χάριτος τοῖς προσέχουσι τὰ θεῖα θείως ἐνεργεῖν ἐν τῇ Ἐκκλησίᾳ. Ἐν μὲν ταῖς ψήφοις ὁ ἀρχιεπίσκοπος οὐ παρών ἐστι διὰ τὸ καθαρὸν τῶν ψήφων, μόνον ἀνυποκρίτου ὄντος τοῦ ἔργου· εἰ γὰρ μὴ οὕτω, δύναται παρεῖναι καὶ μὴ παρών· τῶν ψηφισαμένων τε ἀπόντων διὰ τὸ ἀπαθὲς αὖθις, μόνος ὁ μέγας ὁμ-

γιερεὺς τὸν κρείττονα τῶν ἐκλεγέντων ἐκλέγεται, οἷά τις κλῆρος θεῖος αὐτῷ ἐναπολειφθείς. Εἰ οὖν ἁγνότης συνειδήσεως ἐνταῦθα εἴη, ὡς καὶ ἐλπίζων εἰμὶ, πῶς οὐκ ἂν τὸ τοῦ Θεοῦ εἰς τέλος ἐκβαίη βούλημα;

A tibus autem iis qui suffragia tulerunt, ut omnis affectus humani occasio tollatur, magnus episcopus, quemadmodum sors aliqua divina ipsis relicta, iterum solus eligit de tribus jam electis præstantiorem. Si ergo castitas et puritas conscientiæ hic adsit, ut ego spero, quomodo Dei voluntas scopum non attinget?

ΚΕΦΑΛ. ΡϞΕ'.

Ὅτι, μὴ βουληθέντων τῶν ψηφισθέντων, ἕτεραι ψῆφοι γίνονται.

Ὁ τοίνυν διακριθεὶς πρῶτος καὶ μηνυθεὶς καὶ δεξάμενος, εἰ δ' οὖν, ὁ δεύτερος ἢ ὁ τρίτος. Εἰ δὲ μὴ βουληθεῖεν ἐκεῖνοι, ὁμοίως πάλιν ἑτέρων ψηφιζομένων, ἐξ αὐτῶν οὐ βουληθεὶς καὶ ὑποταγεὶς προσέρχεται τῷ μεγάλῳ ἀρχιερεῖ, καὶ λόγον δίδωσιν ὡς καταδέχεται τὴν τῆς Ἐκκλησίας τελέσαι ἐπιταγήν· καὶ προσκυνήσας, τὸ ἔργον πληροῦν καθυπόσχεται. Καὶ ἀῤῥαβὼν τοῦτο ἤδη τυγχάνει πνευματικός· εἰ γὰρ ὁ πρὸς ἀνθρώπους λόγον δοὺς οὐ βέβαιος ἀθετῶν, πολλῷ μᾶλλον ὁ πρὸς Θεόν· καὶ ἤδη κελεύεται ἀπελθεῖν καὶ ἑτοιμασθῆναι.

CAPUT CXCV.

Electis nolentibus, alia electio suscipitur.

Propterea qui primus ab episcopis judicatus fuerit dignus, electione illi significata, si eam acceptaverit (si vero non, secundus, vel tertius; si vero noluerunt illi, iterum alii similiter eliguntur) quicunque, inquam, ex illis electionem acceptare eique B se submittere voluerit, ad magnum episcopum adducitur, et cum eo verba facit, an sit eam suscepturus, et completurus Ecclesiæ mandatum. Et inclinatione facta se opus impleturum pollicetur. Hoc jam arrhabon et pignus est spirituale. Si enim datum hominibus verbum firmum est, nec irritatur, multo magis quod Deo datur. His actis mox abire jubetur et præparari.

ΚΕΦΑΛ. ΡϞϚ'.

Ὅπως τὸ μήνυμα γίνεται.

Τοῦτο δέ ἐστι τὸ τῶν συναλλαγμάτων γενέσθαι καὶ τῶν μνήστρων τὰς ἀπαρχάς. Καὶ ἡ ἡμέρα προκαταγγέλλεται. Καὶ ἡ Ἐκκλησία πᾶσα συνάγεται, πάσης τάξεως συναθροισθείσης ὁμοῦ· ἐπὶ γὰρ Θεῷ μάρτυρι καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ τοῖς ἁγίοις καὶ ἀνθρώποις πᾶσι πιστοῖς τὴν μεμνηστευμένην χρὴ ἀναδέξασθαι Ἐκκλησίαν, καὶ μνηστὴν αὐτῷ γενέσθαι τὴν μεμνηστευμένην Χριστῷ, ὑπὲρ ἧς οὗτος προῖκά τε καὶ λύτρον τὸ αἷμα προθύμως καὶ τὴν ψυχὴν δέδωκε· καὶ τὸ ποιμαίνειν καὶ φροντίζειν ὑπὲρ αὐτῆς τῆς πρὸς ἐκεῖνον ἀγάπης δεῖγμα ἐδίδαξε. Συναχθείσης τοίνυν τῆς Ἐκκλησίας ἁπάσης ὁ τῆς ἐπισκοπῆς ὑποψήφιος ἔνδον γίνεται τοῦ ναοῦ καὶ τοῦ σεπτοῦ θυσιαστηρίου. Καὶ λαμπάδας ἀναπτόντων ἁπάντων διὰ τὴν ἔνθεον χαρὰν ἐπὶ τῇ συναπτομένῃ τῷ ἱερῷ ἀνδρὶ Ἐκκλησίᾳ, καὶ αὐτῷ ὡς καθαρῷ μνήστορι, καὶ τῷ ἐγγινομένῳ θείῳ ἐπὶ τούτοις φωτισμῷ, ἐπιτραχήλιον διὰ τὴν ἄνωθεν χάριν, καὶ φαινόλιον διὰ τὸ λαμπρόν τε καὶ καθαρὸν ὁ ὑποψήφιος ἐνδιδύσκεται.

CAPUT CXCVI.

Quomodo fiat renuntiatio.

Ista sunt nuptialis fœderis et arrhabonis primitiæ. Dies etiam prius annuntiatur, qua universa Ecclesia simul cum universis ordinibus congregetur. Oportet enim Ecclesiam ad nuptias petitam, C Deo teste et angelis ipsius, et sanctis, et fidelibus omnibus, eum suscipere, et sponsam ipsius fieri quæ Christo desponsata est, pro qua libenti animo sanguinem et animam dedit in dotem et redemptionis pretium: oportet quoque ipsam pascere, et pro ea sollicitum esse, quæ charitatis in eum specimen edidit. Coacta igitur universa Ecclesia, qui ad episcopatum electus est, sese intra templum et venerandum sanctuarium recipit: deinde omnibus lampadas et luminaria accendentibus ad demonstrandum divinum gaudium propter Ecclesiam viro sacro, et velut casto sponso, et insuper divina illuminatione perfuso, matrimonio conjungendam, stolam sacerdotalem induit electus ad significandam supernam gratiam, et phænolion sive casulam D propter illustrem claritatem et puritatem.

ΚΕΦΑΛ. ΡϞΖ'.

Ὅτι καὶ ἐν τῷ μηνύματι προσευχὴ καὶ θυμίαμα καὶ φῶτα.

Καὶ εὐλογήσαντος τὸν Θεὸν, εὐχὴ γίνεται τρισαγίου, καὶ τοῦ, « Πάτερ ἡμῶν, » καὶ λοιπῶν ἄλλων τῷ καιρῷ ἁρμοδίων, ὅτι θείου ὄντος τοῦ ἔργου, καὶ Θεὸς προηγεῖται, καὶ εὐχὴ ἁγιάζουσά τε καὶ πρὸς αὐτὸν ἀναφέρουσα. Καὶ μετὰ τὸ τέλος τῆς προσευχῆς τῆς ἀπολύσεως γινομένης ἔμπροσθεν τοῦ φρικτοῦ θυσιαστηρίου, ἐν ταῖς ἱεραῖς τοῦ βήματος πύλαις ὁ ψηφισθεὶς ἵσταται. Καὶ κατὰ τὸ μέσον τοῦ ναοῦ πρὸς αὐτὸν ὁρῶντες, τὸν Θεὸν δὲ μᾶλλον εἰπεῖν, λαμπαδηφοροῦντες ἱστάμενοι οἱ παρὰ τοῦ ἀρχιεπισκόπου σταλέντες, τὰ τοῦ ἱεροῦ μηνύματος λέγου-

CAPUT CXCVII.

Quod in renuntiatione illa usus precum et suffitus et luminum.

Ipso autem Deum benedicente oratio trisagii dicitur, « Pater noster, » aliaque tempori consentanea, eo quod, divinum cum sit opus, Dei invocatio præcedit, et oratio sanctificans, et ad Deum animum reflectens. Finita oratione, et facta absolutione stat electus ante tremendum sanctuarium in sacris ipsius portis. Dum autem qui luminaria gestant in medio templi subsistunt, in ipsum, dicere malim in Deum, inspicientes, qui ab archiepiscopo missi sunt, sacrum significationis decretum pronuntiant, videlicet: « Sanctissimus archiepiscopus, et quæ cum

ipso est divina synodus, advocant et adsciscunt sanctitatem tuam in episcopum sanctissimæ N. hujus Ecclesiæ.» Ipse autem hæc audiens, modeste, ut decet, de se loquitur, et se excusat. Deinde primum gratias Deo agit, qui eum supra meritum honorare dignatus est; postea archiepiscopo, et sacræ synodo, qui eum hujusmodi operis ministrum elegerunt, et eo dignari voluerunt. Denique ut Dei amicus Deum pie deprecatur ut ipsius gratia et eligentium precibus provinciam sibi commissam recte administret. Hoc modo sponsus Ecclesiæ sibi demandatæ in conspectu throni Christi, et monumenti ejus, sanctorumque angelorum et hominum constituitur. Cum autem consenserit, et Ecclesiam susceperit, de ea curam providam habere tenetur. His sic peractis quæ pertinent ad ordinationem et consecrationem præparantur.

CAPUT CXCVIII.

De ordinatione episcopi.

Instante igitur die dicta, omnes episcopi electores congregantur; adest quoque archiepiscopus ordinationem cum ipsis facturus, vel potius Christus operans quæ peculiaria sunt, quæque ipse tradidit. Congregatur quoque omnis cleri multitudo, et antequam missa inchoetur, anabathra ponitur, et super eam thronus in quo sedet magnus episcopus, infra vero ex utraque parte positi sunt alii throni in quibus sedent episcopi.

CAPUT CXCIX.

De ejus confessione primoque signaculo.

Deinde cantores venientes primum adorant magnum episcopum, ut Salvatorem Christum sacerdotum principem, faustis acclamationibus ingeminantes, «In multos annos, domine;» quo suum propter divinum opus gaudium non modo demonstrant, verum etiam illi continuam et perpetuam in opere perseverantiam deprecantur. Deinceps et cæteri clerici per ordinem similia faciunt, et stant juxta ordinem qui peculiariter de hac re descriptus est. Tandem venit electus præcedentibus ipsum clericis, ipsoque chartophylace, et ministro qui ex suis ab initio illi aderat.

CAPUT CC.

Quid denotent in solo descripta, tres fluvii, civitas et aquila.

Cum vero electus tres fluvios pertransiit in solo per gypsum figuratos, qui doctrinæ donum ad quod vocatus est, significant, subsistit super urbem ob oculos descriptam quæ ipsius episcopatum indicat, in cujus summitate aquila similiter describitur, puritatem, rectitudinem, et altitudinem theologiæ subindicans, quod de filio tonitrui theologo, discipulo virgine, qui in Christi sinu requiescere solebat, vulgo scribunt. Ideo lucis radios habet aquila qui theologicum et gratia donatum significant. Stans igitur super illam urbem, ipsius inscriptionem recitat, quæ dicendorum securitatem declarat.

A σιν, ὡς «Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἡ περὶ αὐτὸν θεία σύνοδος προσκαλοῦνται **156** τὴν ἁγιωσύνην σου εἰς ἀρχιερέα τῆς δεῖνα ἁγιωτάτης Ἐκκλησίας.» Ὁ δὲ, τούτων ἀκούσας, ἀπολογεῖται τὰ εἰκότα. Καὶ εὐχαριστεῖ πρῶτον τῷ Θεῷ, ἀξιωθεὶς τῶν ὑπὲρ αὐτόν· εἶτα τῷ ἀρχιεπισκόπῳ καὶ τῇ ἱερᾷ συνόδῳ, τοιούτου ἔργου αὐτὸν ὑπηρέτην ἐκλεξαμένοις, καὶ εἰς τοῦτο καταξιῶσαι θελήσασιν. Εἶτα καὶ εὔχεται, καλῶς καὶ ὡς Θεῷ φίλον χάριτι αὐτοῦ καὶ εὐχαῖς τῶν ἐκλεξαμένων διακονῆσαι καὶ ἐκτελέσαι τὸ ἐγχειρισθέν. Καὶ οὕτως αὐτὸς μὲν μνηστὴρ τῆς ἐγχειρισθείσης ἐκκλησίας ἐνώπιον τοῦ θρόνου Χριστοῦ καὶ τοῦ μνήματος, καὶ τῶν ἁγίων ἀγγέλων καὶ ἀνθρώπων κατέστη. Συμφωνήσας τε καὶ παραλαβὼν τὴν ἐκκλησίαν, καὶ φροντίζειν ταύτης καὶ προνοεῖσθαι ὀφείλων·
B τὰ τῆς χειροτονίας δὲ ἤδη μετὰ τοῦτο καὶ τῆς τελειώσεως ἑτοιμάζεται.

ΚΕΦΑΛ. ΡϞΗ'.

Περὶ χειροτονίας ἐπισκόπου.

Τῆς οὖν κυρίας ἐπιστάσης, συνάγονται μὲν πάντες οἱ ψηφισάμενοι ἀρχιερεῖς, πάρεστι δὲ ὁ ἀρχιεπίσκοπος τὴν χειροτονίαν σὺν αὐτοῖς ἐκτελέσων· ὁ Χριστὸς δὲ μᾶλλον εἰπεῖν δι' αὐτῶν ἐνεργῶν τὰ οἰκεῖα καὶ ἃ παραδέδωκε. Συναθροίζεται δὲ καὶ ἅπαν πλῆθος τοῦ κλήρου, καὶ ἔτι τῶν λαϊκῶν. Καὶ πρὸ μὲν τῆς ἱερᾶς λειτουργίας ἡ ἀναβάθρα τίθεται, καὶ κάθηται ἐπὶ θρόνου ἐν αὐτῇ ὁ μέγας ἀρχιερεύς· κάτω δὲ ἕτεροι ἑκατέρωθεν θρόνοι· καὶ ἐπ' αὐτοὺς οἱ ἐπίσκοποι.

C

ΚΕΦΑΛ. ΡϞΘ'.

Περὶ τῶν τῆς ὁμολογίας, καὶ τῆς πρώτης σφραγῖδος.

Καὶ οὕτως οἱ ψάλται μὲν ἐρχόμενοι, πρῶτον τὸν μέγαν προσκυνοῦσιν ὡς τὸν Σωτῆρα Χριστὸν ἀρχιερέα, καὶ εὐφημοῦσι τρὶς, «Εἰς πολλὰ ἔτη, δέσποτα,» λέγοντες, ἐπὶ τῷ θείῳ χαίροντες ἔργῳ, καὶ τὴν εἰς τὸ διηνεκὲς διαμονὴν τούτου καὶ ἐργασίαν εὐχόμενοι· ἐφεξῆς δὲ οἱ λοιποὶ κληρικοὶ κατὰ τάξιν ἐκτελοῦντες τὰ ὅμοια, καὶ κατὰ τάξιν ἱστάμενοι, ὡς καὶ ἡ διάταξις περὶ τούτου διατυποῖ. Καὶ τελευταῖον ὁ ὑποψήφιος ἔρχεται, προηγουμένων αὐτοῦ κληρικῶν, καὶ αὐτοῦ τοῦ χαρτοφύλακος, ὡς ἀξιοπίστου καὶ τῶν τοιούτων ἐξαρχῆς ὑπηρέτου.

D

ΚΕΦΑΛ. Σ'.

Τί δηλοῦσι τὰ ἐπ' ἐδάφους ἀνιστορούμενα, τρεῖς ποταμοὶ, ἡ πόλις τε καὶ ὁ ἀετός.

Ὁ δὴ ὑποψήφιος τρεῖς ποταμοὺς διελθὼν, ἐπ' ἐδάφους διὰ γύψου ἐκτυπωθέντας, τὸ τῆς διδασκαλίας ἐφ' ᾧ ἐκλήθη δηλοῦντας χάρισμα, ἐπάνω πόλεως ἵσταται ἀνιστορουμένης, τὴν ἐπισκοπὴν δηλούσης αὐτοῦ, ἧς ἐπὶ τῇ κορυφῇ ἀετὸς ὁμοίως ἀνιστορεῖται, τὸ καθαρὸν καὶ ὀρθὸν τῆς θεολογίας καὶ τὸ ὑψηλὸν ὑπεμφαίνων· ὃ δὴ καὶ περὶ τοῦ υἱοῦ τῆς βροντῆς τοῦ Θεολόγου μαθητοῦ καὶ παρθένου τοῦ καὶ ἐπιστηθίου γράφουσι. Διὸ καὶ φεγγεῖον ἔχει ὁ ἀετὸς, ὡς τὸ θεολογικὸν καὶ κεχαριτωμένον δηλῶν. Στὰς οὖν ἐπὶ τῆς πόλεως, ἐπιγραφὴν λέγει ἑαυτοῦ, τὸ ἀσφαλὲς δηλῶν περὶ τῶν μελλόντων ῥηθῆναι. Ἐπι-

λέγει δὲ τὸ ἱερὸν τῆς πίστεως Σύμβολον ὀρθῶς καὶ A ὡς παρὰ τῶν Πατέρων ἐτέθη, καὶ τὰ λοιπὰ ἔτι τῆς τῶν ὀρθοδόξων Πατέρων ὁμολογίας· καὶ ὅτι οὐ δέδωκέ τι πρὸς τὸ ἐλθεῖν εἰς τὴν ἐπισκοπήν· καὶ ὡς καθαρῶς καὶ ἀμέμπτως διοικήσει τὴν ποίμνην. Καὶ τέλος λέγει τὴν ἰδίαν ὑπογραφὴν, δι' ἧς τὰ προειρημένα σφραγίζει τε καὶ ὁμολογεῖ, μαρτυρῶν, ὡς καὶ τὰ ὀρθόδοξα ταῦτα τῇ ἑαυτοῦ κηρύξει ποίμνῃ, ἃ δὴ καὶ καθωμολόγησε, καὶ εἰς τέλος ταῦτα φυλάξει.

Deinde sacrum fidei Symbolum recte et invariate refert, ut a Patribus positum est, cæterasque orthodoxorum Patrum confessiones. Affirmat quoque se ad episcopatum assequendum nihil dedisse, seque ovile suum sancte et irreprehensibiliter gubernaturum. Denique propriam subscriptionem recitat per quam quæ dicta sunt, confirmat, et confitetur, protestans se hanc doctrinam orthodoxam, quæque confessus est, gregi suo prædicaturum, et ad finem usque servaturum.

157 ΚΕΦΑΛ. ΣΑ'.

Περὶ τῆς πρώτης σφραγῖδος.

Τούτων οὖν τελεσθέντων, εἰς τὸν ἀετὸν ἔρχεται, τὴν θεολογίαν δηλαδὴ καὶ τὸ τῆς διδασκαλίας ὕψος. Καὶ παρὰ τοῦ χαρτοφύλακος τὴν κεφαλὴν γυμνωθεὶς, B δι' ἣν μέλλει λαμβάνειν χάριν, καὶ κεφαλὴν ἑαυτοῦ μαρτυρῶν τὸν Χριστὸν, καὶ τὸν ἑαυτοῦ ἀρχιεπίσκοπον, δι' οὗ καὶ τὴν χειροτονίαν λαμβάνει, ὑποκλίνει τὴν κεφαλὴν, δεικνὺς τὴν ὑποταγὴν, καὶ τὴν ἐν ταπεινώσει τῆς τοῦ Χριστοῦ χάριτος παραδοχήν. Καὶ τοῦ χαρτοφύλακος βοῶντος, « Κελεύσατε, » κατέχοντος τὸν σφραγιζόμενον ἀπὸ τοῦ τραχήλου, ἀνίστανται οἱ ἐπίσκοποι, καὶ ἐν τῇ ἀναβάθρᾳ ὁ ἀρχιεπίσκοπος· καὶ ἄνωθεν τὴν χεῖρα ἐκτείνων καὶ σφραγίζων τοῦτον, φησὶν, « Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε ἐπίσκοπον ἢ μητροπολίτην τῆς δεῖνα, » καὶ τὰ λοιπά· ποιῶν σταυρὸν ἐν τῷ τέλει, σημαίνων, ὡς οὐχ αὐτὸς, ἀλλὰ δι' αὐτοῦ ὁ Χριστὸς χειροτονεῖ. Καὶ τῶν ψαλτῶν ᾀδόντων τὸ, « Εἰς C πολλὰ ἔτη, δέσποτα, » εὐκτέον γὰρ δεῖ εἶναι τὸ χορηγεῖσθαι τὴν τοῦ Θεοῦ χάριν ὑμῖν, ὁ ὑποψήφιος ἀνερχόμενος, καθεσθέντος τοῦ ἀρχιεπισκόπου, ἀσπάζεται τούτου τὸ γόνυ, ὡς πρὸς Θεὸν κλίνων καὶ διὰ τὴν δουλείαν· καὶ τὴν δεξιὰν ὡς ὑπουργὸν θείου ἔργου, καὶ ὡς τοῦτον χειροτονήσασαν· καὶ τὴν παρειὰν διὰ τὴν ἐν Χριστῷ ἀγάπην καὶ ἕνωσιν. Ἀπερχόμενος δὲ καὶ πρὸς τοὺς ψηφισαμένους ἐπισκόπους, ἀσπάζεται τούτους κατὰ τὸ στόμα, ὡς ἤδη ἀρξάμενος τούτων γενέσθαι ὁμοταγὴς, καὶ διὰ τὰ ἱερὰ τούτων χείλη τὰ αὐτὸν ψηφισάμενα, καὶ διὰ τὴν ἐν Χριστῷ ἀγάπην τε καὶ εἰρήνην· καὶ οὕτω πάλιν ἐπὶ τοῦ ἀετοῦ ἱστάμενος, ὑποκλίνει τὴν κεφαλήν. Καὶ τοῦ χαρτοφύλακος λέγοντος τὸ, « Κελεύσατε, » ὑπανίστανται αὖθις οἵ τε ἐπίσκοποι, καὶ D αὐτὸς ὁ ἀρχιεπίσκοπος. Καὶ τὴν χεῖρα ἐκτείνων, ἐκφωνεῖ· « Ἡ χάρις τοῦ παναγίου Πνεύματος ἔσται μετὰ σοῦ. » Καὶ σφραγίζων αὐτὸν, ἀπολύει.

CAPUT CCI.

De primo signaculo.

His peractis, ad aquilam procedit, ad theologiam videlicet, et doctrinæ sublimitatem. Postea capite ipsius a chartophylace nudato per quod gratiam accepturus est, testans Christum et archiepiscopum suum a quo ordinatur, sibi caput esse, illud inclinat, inclinatione subjectionem demonstrans, et Christi gratiæ cum humilitate acceptionem. Chartophylace autem tenente eum qui signandus est per collum, et exclamante : « Jubete, » surgunt episcopi, et qui est in anabathra archiepiscopus ; extendensque manum desuper, et cum cruce signans, ait : « Gratia sanctissimi Spiritus per mediocritatem meam promovet te in episcopum vel metropolitam civitatis N., et reliqua. » In fine autem crucis signum facit, quo demonstrat non se, sed Christum per ipsum ordinare. Psaltis autem cantantibus illud : « In multos annos, domine » (orandum enim est gratiam Dei nobis abunde suppeditari), ascendit electus, et sedente archiepiscopo illius osculatur genu, sese velut coram Deo inclinans, tam propter servitutem indicandam quam propter dexteram ejus quæ divini operis est adjutrix, quæque ipsum ordinavit. Genam quoque osculatur ut ordinatoris sui propter charitatem in Christo, et unionem. Abit quoque ad episcopos electores quos in ore osculatur, ut jam cum iis incipiens ejusdem esse ordinis, tum etiam propter sacra labia quæ ipsum elegerunt, et in Christo charitatem et pacem. Sic iterum ad aquilam subsistit capite inclinato. Et chartophylace dicente, « Jubete, » surgunt iterum et episcopi et ipse archiepiscopus, qui manu extensa exclamat : « Gratia sanctissimi Spiritus sit tecum, » eumque signans dimittit.

ΚΕΦΑΛ. ΣΒ'.

Ὅτι τὸ μήνυμα μὲν συμφωνία τε καὶ συμβόλαια καὶ μνῆστρα. ἡ τῆς προικὸς δὲ ἀπόδοσις καὶ τὰ θεῖα θεώρητρα καὶ οἱ τῆς χάριτος ἀῤῥαβῶνες, ἡ ὁμολογία καὶ ἡ σφραγὶς καὶ ὁ ἀσπασμός.

Καὶ οὕτως ὁ μὲν ὑποψήφιος ἤδη τοὺς ἀῤῥαβῶνας ἔσχε τῆς Ἐκκλησίας· καὶ τέλειος τυγχάνει μνηστὴρ, τὴν σφραγῖδα ταύτην ἀντὶ δακτυλίου λαμβάνων, καὶ τὸν ἀπαθῆ καὶ ἱερὸν ἀσπασμὸν ποιούμενος, ὡς φησι Παῦλος, ἀσπαζόμενος ἐν ἁγίῳ φιλήματι, καὶ χειρὶ ἤδη τὴν ἐκκλησίαν παραλαμβάνων.

CAPUT CCII.

Quod solemnis renuntiatio sit instar consensus documentorum et instrumentorum desponsationis : dotis autem traditio, sanctaque munera dotalitia et arrhabones gratiæ sunt confessio, signaculum crucis, osculumque.

Hoc modo electus arrhas matrimoniales Ecclesiæ consequitur, fitque perfecte illius sponsus, et crucis illud signum pro annulo nuptiali accipit, osculumque sacrum affectu humano carentem tradit, ut ait Palus, salutantes in osculo sancto, et Ecclesiam jam ipsi traditam manu accipit. Ideo et facta

hactenus præclare in hac causa, et pacta magnifica, et munera ante nuptias data, et dona sponsi sponsæ oblata hæc sunt, fides in Deum verissima, quæ nulla impietate laborat, et recta confessio, et promissio conservandæ Ecclesiæ sibi desponsatæ in charitate et pace, et salutis distributione. Nondum tamen perfecte illius est vir, neque desponsatus, et jam ipsam possidens, neque unum corpus et membrum cum ipsa factus; sed hoc jam fieri incipit, verum non absolute, sed in matrimonio magni et puri mariti, cum ipse præclaram dotem, sanguinem videlicet suum, tradens eam sibi ipsi nuptum collocavit; irreprehensibilis ipse et castus immaculatam efficiens quæ prius meretrix erat, et gloriosam quæ nudata, et puram quæ sordibus contaminata erat, et reginam quæ mala et fœda erat ancilla. Incepta enim sacrorum operatione primus episcopus missam inchoat, primumque introitum cum episcopis et sacerdotibus more consueto facit.

CAPUT CCIII.

Quare mappulam episcopalem induit, et quare recens electus primo ingressu non egreditur.

Electus autem in secretario sese vestit, et supergeniculare sibi circumponit: jam enim castissimæ sponsæ Ecclesiæ arrham habet, signum nempe victoriæ et resurrectionis speciosi sponsi Jesu Christi Dei nostri per crucem in castitate et puritate datum. Hæc enim demonstrat supergeniculare quod est velut ensis e zona dependens, crucemque figurans, habensque resurrectionem inscriptam, qua Christi potestatem in mortem significant. Ipse equidem ad introitum non egreditur, sed honoratur ut sponsam jamjam ducturus, et privatim præeunte pompa introitum facturus. Sic autem fit ille introitus. E secretario educitur, et præeunte diacono, tenentibus enim duobus presbyteris, venit per dexteram templi partem, et soleam usque ad sanctuarium, ubi quæ ad divinum matrimonium spectant, perficiuntur; quæ sic se habent. Post primum igitur introitum matrimonium hoc Spiritus, nempe ordinatio, perficitur, eo quod sic res ab initio hanc ordinis consequentiam nacta fuerit. Dominus enim noster incarnatus est, et pro nobis passus, et resuscitatus, deinde in cœlos assumptus est, quæ omnia primus introitus indicat. Post hæc Spiritus sanctus descendit, qui Salvatoris successores ordinavit, et ejusdem dignitatis effecit. Inde est quod pontifice cum reliquis ad altare velut in cœlos ingresso, antequam ad communem thronum velut ad supercœlestem sedem ascendat, ordinandus adducitur, et consecratur, atque ita eadem sede potitur. Nam post trisagium hymnum decantatum, qui angelorum est ode, et consentiens superiorum et inferiorum melodia, facto per tricerium in crepidine sanctæ mensæ crucis signo, non autem in synthrono propter ordinationem (Deus enim cum vult nos sanctificare et exaltare nobiscum humiliatur).

A Διὸ καὶ τὰ γινόμενα ἐπὶ τούτῳ λαμπρὰ, καὶ τὰ συμβόλαια μεγαλοπρεπῆ, καὶ τὰ προγαμιαῖα δῶρά τε καὶ θεώρητρα. Ταῦτα δέ ἐστιν ἡ πίστις, ἡ τοῦ Θεοῦ ἀληθεστάτη καὶ ἀπαρέγκλητος καὶ ὀρθὴ ὁμολογία, καὶ τὸ καθυποσχέσθαι διατηρῆσαι τὴν ἁρμοζομένην ἐκκλησίαν ἐν ἀγάπῃ τε καὶ εἰρήνῃ καὶ σωτηρίας νομῇ. Οὔπω δὲ τελείως ἀνήρ ἐστιν, οὐδὲ ἁρμοσθεὶς καὶ ἤδη ἔχων αὐτὴν, οὐδὲ ἓν σῶμα καὶ μέλος γενόμενος μετ' αὐτῆς. Τοῦτο οὖν καὶ ἤδη ἔρχεται γίνεσθαι καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν τῷ τοῦ μεγάλου καὶ καθαροῦ νυμφίου γάμῳ· ἡνίκα προῖκα λαμπρὰν αὐτὸς τὰ αἵματα δοὺς, ταύτην ἑαυτῷ ἐνυμφεύσατο, ὁ ἄμωμός τε καὶ καθαρὸς, ἄσπιλον αὐτὴν τὴν πρὶν πόρνην ἀπεργασάμενος, καὶ ἔνδοξον τὴν γεγυμνωμένην, καὶ καθαρὰν τὴν ῥυπαρὰν, καὶ βασίλιδα B τὴν πονηρὰν δούλην καὶ αἰσχρὰν ἀποδείξας. Τῆς ἱερουργίας γὰρ ἀρξαμένης, ὁ μὲν πρῶτος ἀρχιερεὺς τῆς θείας λειτουργίας ἀπάρχεται, καὶ τὴν πρώτην εἴσοδον ποιεῖται μετὰ τῶν ἀρχιερέων συνήθως καὶ ἱερέων.

158 ΚΕΦΑΛ. ΣΓ'.

Διατί ἐπιγονάτιον περιτίθεται, καὶ ἐν τῇ πρώτῃ εἰσόδῳ ὁ ὑποψήφιος οὐκ ἐξέρχεται.

Ὁ ὑποψήφιος δὲ ἐν τῷ διακονικῷ φορέσας, καὶ ἐπιγονάτιον περιθέμενος, ἤδη γὰρ καὶ αὐτὸς τὸν ἀῤῥαβῶνα ἔσχε τῆς καθαρωτάτης νύμφης τῆς Ἐκκλησίας, τὸ σημεῖον τῆς διὰ σταυροῦ ἐν ἁγνείᾳ καὶ καθαρότητι νίκης καὶ ἀναστάσεως τοῦ ὡραίου νυμφίου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦτο γὰρ C δηλοῖ τὸ ἐπιγονάτιον, ὡς ῥομφαία κατὰ τὴν ζώνην ἐκκρεμάμενον, τόν τε σταυρὸν ἐκτυποῦν καὶ τὴν ἀνάστασιν γεγραμμένην ἔχον, τὸ κατὰ τοῦ θανάτου κράτος δηλοῦν, αὐτὸς μὲν εἰς τὴν εἴσοδον οὐκ ἐξέρχεται, οἷα νυμφεύσασθαι μέλλων τιμώμενος, ὡς ἰδίᾳ μετὰ προπομπῆς εἰσαγόμενος. Καὶ τοῦτο δὲ εἴσοδός ἐστιν· ἀπὸ τοῦ διακονικοῦ γὰρ ἐξάγεται, καὶ προηγουμένων αὐτοῦ διακόνων, παρακρατούντων τε δύο πρεσβυτέρων, διὰ τοῦ δεξιοῦ μέρους τοῦ ναοῦ καὶ τοῦ σωλέως ἄχρι τοῦ βήματος ἔρχεται, καὶ τὰ τοῦ θείου γάμου τελεῖται· ἃ καὶ ἔχουσιν οὕτως. Ἰδοὺ οὖν μετὰ τὴν πρώτην εἴσοδον ὁ γάμος οὗτος τοῦ Πνεύματος ἤτοι ἡ χειροτονία τελεῖται· ἐπεὶ καὶ οὕτω παρηκολούθησε τὴν ἀρχὴν σαρκωθέντος μὲν καὶ παθόντος ὑπὲρ ἡμῶν τοῦ Δεσπότου D καὶ ἀναστάντος καὶ ἀναληφθέντος εἰς οὐρανοὺς, ἃ δὴ πάντα ἡ πρώτη σημαίνει εἴσοδος· μετὰ τοῦτο δὲ τοῦ Πνεύματος τοῦ ἁγίου κατελθόντος, ὃ τοὺς διαδόχους τοῦ Σωτῆρος κεχειροτόνηκε καὶ ὁμοθρόνους ἀπέδειξεν. Ὅθεν καὶ τοῦ ἀρχιερέως εἰσελθόντος εἰς τὸ θυσιαστήριον ὡς εἰς οὐρανοὺς μετὰ τῶν λοιπῶν, πρὸ τοῦ ἀναβῆναι τὸ σύνθρονον ὡς τὸν ὑπερουράνιον θρόνον, ὁ χειροτονούμενος ἄγεται καὶ τελεῖται, καὶ οὕτω σύνθρονος γίνεται. Μετὰ γὰρ τὸν τρισάγιον ὕμνον τὴν τῶν ἀγγέλων ᾠδὴν, τὴν σύμφωνον τῶν ἄνω τε καὶ κάτω μελῳδίαν, τῆς σφραγῖδος διὰ τοῦ τρικηρίου ἐν τῇ κρηπῖδι γινομένης τῆς ἱερᾶς τραπέζης, καὶ οὐκ ἐν τῷ συνθρόνῳ διὰ τὴν χειροτονίαν· συνταπεινοῦται γὰρ ὁ Θεὸς ἡμῖν, ἁγιάζειν ἡμᾶς καὶ ἀνυψοῦν βουλόμενος.

ΚΕΦΑΛ. ΣΔʹ.

Διατί ὑπὸ πρεσβυτέρων ὁ ὑποψήφιος ἄχρι τῶν ἁγίων θυρῶν φέρεται.

Τότε ὁ χειροτονούμενος ὑπὸ πρεσβυτέρων προσφέρεται. Εἰ γὰρ καὶ μνηστὴρ γέγονε τέλειος τῆς ἐπισκοπῆς, καὶ τὴν σφραγῖδα τῶν μνήστρων εἴληφε καὶ τὸν ἀσπασμὸν, ἀλλ' οὔπω νυμφίος γέγονε ταύτης, οὐδὲ τὴν τιμὴν ἔλαβε τῆς θυγατρὸς τοῦ βασιλέως, ἣν ἐμνηστεύσατο ὡς μήπω ἁρμοσθεὶς αὐτῇ, οὐδὲ ἀνὴρ γεγονὼς, οὐδὲ ταύτην ἐμπιστευθεὶς, οὐδὲ ἓν σὺν αὐτῇ γεγονὼς πνεῦμα· ἐπεὶ καὶ πνευματικὰ πάντα ταῦτα· καὶ οὐδὲ σὰρξ ὧδε χωρεῖ· ὅτι καὶ τέκνα τίκτει δι' αὐτῆς, ἃ οὐκ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ τελοῦσι τικτόμενα. Διὸ καὶ πρεσβύτερος ἔτι καλεῖται πρὸ τῆς νυμφεύσεως, ἄχρι δὴ καὶ τοῦ ἀνὴρ τῆς Ἐκκλησίας καὶ ἐπίσκοπος γενέσθαι τε καὶ κληθῆναι.

CAPUT CCIV.

Quare a presbyteris usque ad sacras fores adducitur recens electus.

Tum ordinandus a presbyteris præsentatur. Licet enim factus sit sponsus episcopatus perfectus, et sigillum crucis atque osculum acceperit, ut nuptiarum pignus, nondum tamen istius Ecclesiæ vir est, neque filiæ regis quam desponsavit, dignitatem accepit, cum nondum ipsi connubio junctus fuerit, neque maritus factus, nec ejus fidei commissa sit, nec in unum spiritum cum ea coaluerit. Hæc enim omnia spiritalia sunt, et illuc caro non accedit, quoniam per eam filios gignit qui neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo gignuntur. Ideo et presbyter adhuc appellatur ante matrimonii celebrationem, quoadusque vir Ecclesiæ et episcopus fiat et vocetur.

ΚΕΦΑΛ. ΣΕʹ.

Χειροτονία ἐπισκόπου.

Καὶ προάγεται μὲν ἄχρι καὶ τῶν θυρῶν ὑπὸ πρεσβυτέρων· ἔνδοθεν δὲ ὑπὸ ἐπισκόπων δύο τῶν πρώτων ὡς μαρτύρων τοῦ πράγματος ἅμα παραλαμβάνεται· καὶ ὅτι εἰς τὴν τάξιν ἔρχεται τούτων. Καὶ κύκλῳ τρὶς τὴν ἱερὰν τράπεζαν διελθὼν, θείας χορείας συνισταμένης, τοῦ ἤχου τῶν ἑορταζόντων καὶ πανηγυριζόντων ἐν Πνεύματι ᾀδομένου, καὶ τῶν μαρτύρων συγχορεύειν ἡμῖν ἐπιβοωμένων, καὶ τοῦ, « Δόξα σοι, Χριστὲ ὁ Θεὸς, » τῶν ἀποστόλων καύχημα, μαρτύρων ἀγαλλίαμα,» ἅμα ἐν ἀγαλλιάσει μελπομένου, ὅτι τούτων ἡ Τριὰς ἡ ὁμοούσιος κήρυγμα, προσάγεται τῷ μεγάλῳ ἀρχιερεῖ ὁ χειροτονούμενος ἐπὶ τῇ τῆς ἱερᾶς τραπέζης **159** κρηπῖδι, ὡς λίθος στεῤῥὸς ἑδραζόμενος ἐπὶ τῷ θεμελίῳ τῆς Ἐκκλησίας. Τό γε δὲ, « Δόξα σοι, Χριστὲ ὁ Θεὸς, » ἐν μὲν τῇ Κωνσταντινουπόλει ταῖς χειροτονίαις οὐκ ἔγνωμεν ὅλως ᾀδόμενον· ἐν τῇ τῶν Θεσσαλονικέων δὲ εὕρομεν μετὰ τὸ δὶς εἰπεῖν τὸ, « Ἅγιοι μάρτυρες. » Ὃ καὶ ἀναγκαῖόν ἐστιν, ὡς ἐκεῖσε μὲν τῶν μαρτύρων μόνον τῇ χορείᾳ προσκαλουμένων, ὧδε δὲ καὶ τοῦ Σωτῆρος αὐτοῦ τοῦ ἑνὸς τῆς Τριάδος σεσαρκωμένου, καὶ τῆς Τριάδος αὐτῆς ὁμοουσίου δοξαζομένης. Καὶ πάντων τῶν θειοτάτων ἐπισκόπων κυκλούντων τὸν χειροτονούμενον, καὶ ἁπτομένων αὐτοῦ ὡς συγχειροτονούντων τῷ πρώτῳ, ἡ πρώτη σφραγὶς καὶ ἀπαρχὴ τῆς χειροτονίας παρὰ τοῦ πρώτου ἀρχιερέως τῇ κεφαλῇ τοῦ χειροτονουμένου γίνεται. Εἶτα κάμπτει καὶ ἄμφω τὰ γόνατα ὁ χειροτονούμενος ἐπὶ τῆς κρηπῖδος· καὶ τὸ μέτωπον τῇ ἱερᾷ προσερείδει τραπέζῃ· ἐπειδήπερ οἰκονομεῖται μὲν καὶ αὐτὸς ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· δέχεται δὲ τὴν χάριν ἀπὸ τοῦ ὑπερουρανίου Θεοῦ, οὗ ὡς θρόνος μὲν τὸ θυσιαστήριον, ὡς χεὶρ δὲ ἡ χεὶρ τοῦ ἀρχιερέως. Ταύτης οὖν ἐπιτιθεμένης τῇ χειροτονουμένου κεφαλῇ καὶ τοῦ πτεροῦ φερομένου, ὃ δὴ τὴν περιστερὰν ὑπεμφαίνει διὰ τὸ Πνεῦμα τὸ ἅγιον,

CAPUT CCV.

Ordinatio episcopi.

Adducitur autem a presbyteris ad portas usque sanctuarii; interius vero ab episcopis duobus primis ut actionis testibus. Verum suscipitur ab iis, quoniam ad eorum ordinem progreditur. Ter autem chorea facta circumit sacram mensam. Interim cantantur hymni in tono diem festum agentium, et panegyrim celebrantium, martyresque ut nobis indulgentiam impetrent magno clamore invocantur. Cantatur quoque hymnus: « Gloria tibi, Christe Deus, » apostolorum gaudium, martyrum exsultatio; » sed exsultatione et lætitia gestientes, quia Trinitas consubstantialis eorum prædicatio. Ordinandus magno episcopo adducitur ad crepidinem sacræ mensæ, velut lapis firmus positus et stabilitus super fundamentum Ecclesiæ. Quod ad hymnum, « Gloria tibi, Christe Deus, » non novimus omnino quod in ordinationibus quæ Constantinopoli fiunt, decantetur. In Thessalonicensium vero Ecclesia hoc invenimus, postquam bis dictum est, « Sancti martyres. » Quod necessarium est: nam illic quidem martyres tantum in chorea invocantur; hic vero etiam Salvator ipse, qui unus de Trinitate incarnatus est, et ipsa quoque Trinitas consubstantialis glorificatur. Omnibus divinissimis episcopis circumdantibus ordinandum, et ipsum tangentibus ut appareant primo consentientes, primum sigillum, et ordinationis primitiæ a primo episcopo fiunt capiti illius qui ordinatur. Postea flectit utrumque genu ordinandus super crepidinem et frontem sacræ mensæ incumbit, quandoquidem gubernat et ædificat ipse super fundamentum apostolorum et prophetarum. Recipit autem gratiam a Deo supercœlesti, cujus quidem veluti thronus est altare; cujus veluti manus est, episcopi manus. Ea igitur ordinandi imposita capiti, et alia portata quæ columbam subindicat propter Spiritum sanctum, elata voce quæ in ea scripta sunt promulgat, « Divina gratia, » et quæ sequuntur. Cantato deinde

ter « Kyrie eleison, » secundum sigillum fit super A caput consecrandi.

τὰ ἐν αὐτῷ γεγραμμένα ἐκφωνεῖ ὁ ἀρχιερεύς· « Ἡ θεία χάρις » καὶ τὰ ἑξῆς· καὶ τοῦ, « Κύριε ἐλέησον, » τρὶς ᾀδομένου, ἡ δευτέρα γίνεται ἐν τῇ κεφαλῇ τοῦ τελουμένου σφραγίς.

CAPUT CCVI.

Quare Evangelium ordinandi episcopi capiti imponitur.

Mox Evangelium aperitur, quod Christus est, et per ipsum Ecclesia ejus; et apertum ponitur super caput et cervicem ordinandi. Qua actione significatur Christum habere pro capite, qui factus est Ecclesiæ caput et omnia quæ Christi sunt illum cognoscere, omnemque illius cognitionem, quantum licet, habere; cum constituatur in ea quæ principatum ejus spectant: omnem præterea mentem, et B rationem, et sensus secundum Christum efformare et accommodare, eumque cervicem levi Christi jugo submittere, nihilque agere præter ipsius sententiam; quoniam Ecclesiam ipsius super caput et cervicem per Evangelium suscepit. Eo igitur aperto, et imposito, sacrisque litteris ordinandi capiti incumbentibus, episcopus primam precem precatur: « Ut Herus et Dominus Deus noster qui constituit in Ecclesia primum apostolos, secundo prophetas, tertio doctores, » et reliqua, « quique hunc vocavit ad episcopalem dignitatem per manum meam et reliquorum coepiscoporum, corroboret per adventum et virtutem, et gratiam sancti Spiritus, sicut apostolos corroboravit et prophetas, et ungat quemadmodum reges, et sanctificet ut principes sacerdotum, et eo sine C peccato et macula conservato, et episcopatu ornato in omni morum gravitate et severitate sanctum efficiat, ut postulet quæ ad populi salutem spectant, et ad obedientiam ipsi præstandam. » Quod equidem maximum est donum; et revera maxima dona hæc sacra precatio præbet, cum tradat ordinando apostolorum et prophetarum virtutem. Quapropter episcopi donis gratiæ apostolicis et propheticis fruuntur. Hunc autem ungendum, inquit, « non secus ac reges, » quoniam illi ungebantur oleo et spiritu; et nunc etiam reges unguntur ab Ecclesia, principatum ab ea suscipientes. Episcopi quoque propter potestatem et principatum gratia Spiritus unguntur: « Constitues eos, inquit Scriptura, principes super omnem terram. » Sanctificat autem eum sicut D principes sacerdotum, et antiquos illos Melchisedech, Aaron et Samuel; ut etiam apostolos quos sacros gratiæ principes et mystas constituit, ut in altare supernum ingrediatur, et Agnum viventem sacrificet, et pro omnibus propitietur; atque ut sanctificatus ingrediatur in Sancta sanctorum, et quæ vere sancta sunt, operetur, permaneatque Dei sacerdos irreprehensibilis et immaculatus, omni puritate et morum gravitate ornatus, demonstretque finem sanctum Dei sanctitate et gratia cumulatum.

ΚΕΦΑΛ. ΣϚ'.

Διατί τὸ Εὐαγγέλιον τίθεται τῇ τοῦ χειροτονουμένου ἀρχιερέως κεφαλῇ.

Καὶ εὐθὺς τὸ Εὐαγγέλιον ἀνοίγνυται· ὃ δὴ ὁ Χριστός ἐστι, καὶ δι' αὐτοῦ ἡ Ἐκκλησία αὐτοῦ· καὶ ἐπὶ τῆς κεφαλῆς ἀνεῳγμένον καὶ τοῦ τραχήλου τοῦ χειροτονουμένου τίθεται· δηλοῦντος τοῦ ἔργου, ὡς τὸν Χριστὸν ἔχει κεφαλὴν, κεφαλὴ τῆς Ἐκκλησίας γινόμενος, καὶ πάντα τὰ τοῦ Χριστοῦ χρὴ εἰδέναι τοῦτον, καὶ πᾶσαν ἔχειν τὴν γνῶσιν αὐτοῦ ὡς ἐγχωρεῖ, ἐπεὶ καὶ περὶ τὸ ἡγεμονικὸν αὐτοῦ τίθεται· καὶ πάντα νοῦν καὶ λόγον καὶ τὰς αἰσθήσεις τυποῦν καὶ ῥυθμίζειν κατὰ Χριστὸν, καὶ ὑπὸ τὸν ζυγὸν τοῦ Χριστοῦ τὸν ἐλαφρότατον ἔχειν τὸν αὐχένα, καὶ μηδὲν πράττειν παρὰ γνώμην αὐτοῦ, ὅτι καὶ τὴν Ἐκκλησίαν αὐτοῦ ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ αὐχένος διὰ τοῦ Εὐαγγελίου ἐδέξατο. Τούτου οὖν ἀνεῳγμένου τεθέντος, τῶν γραμμάτων τῶν ἱερῶν ἐπικειμένων τῇ τοῦ τελουμένου κεφαλῇ, ὁ ἀρχιερεὺς τὴν πρώτην εὐχὴν εὔχεται· Ἵνα ὁ Δεσπότης καὶ Κύριος ὁ Θεὸς ἡμῶν ὁ καταστήσας ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, καὶ τὰ λοιπὰ, ὁ καὶ τοῦτον καλέσας εἰς τὴν ἀρχιερατικὴν ἀξίαν, διὰ χειρὸς αὐτοῦ καὶ τῶν λοιπῶν συνεπισκόπων τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ χάριτι τοῦ ἁγίου Πνεύματος ἐνισχύσῃ, ὡς τοὺς ἀποστόλους ἐνίσχυσε, καὶ προφήτας, καὶ χρίσῃ ὡς τοὺς βασιλεῖς, καὶ ἁγιάσῃ ὡς τοὺς ἀρχιερεῖς, καὶ ἀνεπίληπτον αὐτοῦ τηρήσας τὴν ἀρχιερωσύνην κατακοσμῶν ἐν πάσῃ σεμνότητι, ἅγιον ἀναδείξῃ· ὥστε αἰτεῖσθαι τὰ πρὸς σωτηρίαν τοῦ λαοῦ, καὶ ὑπακούειν αὐτὸν αὐτοῦ· ὃ δὴ τὸ μέγιστόν ἐστι δώρημα. Καὶ ὄντως μέγιστα λίαν παρέχεται δῶρα ἡ ἱερὰ αὕτη εὐχὴ, τὴν ἰσχὺν τῶν ἀποστόλων καὶ προφητῶν τῷ χειροτονουμένῳ διδοῦσα. Διὸ καὶ ἀποστολικὰ καὶ προφητικὰ οἱ ἀρχιερεῖς χαρίσματα κέκτηνται. Χρίσαι δὲ τοῦτον φησὶν ὡς τοὺς βασιλεῖς, ὅτι καὶ οὗτοι ἐχρίοντο ἐλαίῳ καὶ Πνεύματι. Καὶ νῦν οἱ βασιλεῖς χρίονται παρὰ τῆς Ἐκκλησίας, τὸ ἄρχοντες εἶναι παρ' αὐτῆς λαμβάνοντες· καὶ οἱ ἀρχιερεῖς δὲ διὰ τὴν ἐξουσίαν καὶ τὴν ἀρχὴν τοῦ Πνεύματος, τῇ χάριτι χριόμενοι. « Καταστήσεις γὰρ αὐτοὺς, φησὶν, ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. » Ἁγιάζει δὲ τοῦτον ὡς τοὺς ἀρχιερεῖς, καὶ τοὺς πάλαι μὲν ἐκείνους, τὸν Μελχισεδὲκ, τὸν Ἀαρὼν τε καὶ Σαμουὴλ, ἀλλὰ καὶ τοὺς ἀποστόλους καὶ ἱεράρχας τῆς χάριτος, ὑπὲρ τὸν νόμον καθιστῶν, ὥστε εἰς τὸ ἄνω θυσιαστήριον εἰσιέναι, καὶ τὸν ζῶντα θύειν ἀμνὸν, καὶ ὑπὲρ πάντων ἱλάσκεσθαι, καὶ **160** ἡγιασμένον εἶναι, ὡς ἂν εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσέρχηται καὶ αὐτὰ τὰ ὄντως ἅγια ἐνεργῇ καὶ ἀνεπίληπτον αὐτὸν μένειν ἱερέα Θεοῦ, καὶ κατακοσμεῖσθαι πάσῃ σεμνότητι· καὶ τέλος ἅγιον ἀναδεῖξαι, πεπληρωμένον τῆς Θεοῦ ἁγιότητός τε καὶ χάριτος.

ΚΕΦΑΛ. ΣΖ'.

Διατί τὸν ἀρχιερέα, « Δέσποτα ἅγιε » λέγουσι καὶ μεγάλην αὐτῷ τὴν ἁγιωσύνην.

Διὰ τοῦτο γὰρ καὶ, « Δέσποτα ἅγιε, » καὶ μεγάλην αὐτῷ τὴν ἁγιωσύνην λέγουσιν, ἐπειδὴ καὶ τοῖς ἄλλοις μὲν ἱερεῦσιν ἁγιωσύνη ἐστὶ τῆς χάριτος ἁγιαζομένοις ἐν Πνεύματι, ἐξαιρέτως δὲ τῷ ἀρχιερεῖ, χειροτονουμένῳ ἐν Πνεύματι ἁγίῳ. Καὶ τὸν βασιλέα δὲ χρίων ὁ ἀρχιερεὺς ἅγιον ἀνακηρύττει· ἀλλὰ μόνῳ λόγῳ τῇ ἀνακηρύξει φησὶ διὰ τὸ χρίσμα τὸ ἅγιον τοῦ ἱεροῦ μύρου, ἐξ οὗ δὴ καὶ πάντες πιστοὶ χρίονται, καὶ ἅγιοι ὀνομάζονται. « Ἀδελφοὶ ἅγιοι, Παῦλός φησι, κλήσεως ἐπουρανίου μέτοχοι. » — « Τὸν ἀρχιερέα δὲ ἀνάδειξον, φησὶν, ἅγιον. » Καὶ οὕτω χειροτονεῖ ταῖς εὐχαῖς ἅγιον. Καὶ ὁ μὲν βασιλεὺς τὰ τῆς ἱερωσύνης οὐκ ἔχει, οὐδὲ τὰ τῶν ἀποστόλων καὶ προφητῶν καὶ διδασκάλων χαρίσματα· μόνον δὲ ἀναγορεύεται ἅγιος τῇ χρίσει τοῦ μύρου. Ὁ δὲ ἀρχιερεὺς σὺν αὐτοῖς τοῖς χαρίσμασι καὶ τὸ ἅγιος εἶναι διὰ τῶν εὐχῶν τῆς χειροτονίας λαμβάνει· τὸ δὲ μεῖζον, ἵνα καὶ ἐφ' οἷς ὑπὲρ τῆς τοῦ λαοῦ σωτηρίας αἰτεῖται καθυπακούηται. Ταῦτα εἰρηκὼς, ἐκφωνεῖ, « Ὅτι ἡγίασταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία· » ὅτι μόνος φύσει ἅγιος ὁ Θεὸς καὶ δεδοξασμένος ἐστὶ, καὶ αὐτὸς ὁ ἁγιάζων καὶ δοξάζων, καὶ μόνος ὢν βασιλεὺς καὶ ἀρχιερεύς. Καὶ ἐκφωνῶν, ἀνυμνεῖ τὴν Τριάδα, παρ' ἧς πάντα τελεῖται, καὶ ἧς τὰ τοιαῦτα δωρήματα. Ἀλλὰ καὶ ἡ ἐπίκλησις τῆς Τριάδος ὡς καὶ ἐπὶ τοῦ βαπτίσματος τελεσιουργεῖ καὶ ἐνταῦθα καὶ ἐν πάσαις ἱεραῖς τελεταῖς.

Εἶτα παρὰ τοῦ πρώτου τῶν συνόντων ἀρχιερέων αἱ αἰτήσεις εἰκότως λέγονται, κατὰ τοῦτον δὴ τὸν καιρὸν, ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ σωτηρίας ἁπάντων, τοῦ ἀρχιεπισκόπου ὡς ἐνεργοῦντος τὸ θειότατον ἔργον, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τῆς χειροτονίας δηλαδὴ καὶ τοῦ χειροτονουμένου αὐτοῦ, τῶν εὐσεβῶν τε βασιλέων τῆς πόλεως, καὶ πάντων πιστῶν· καὶ τὸ, « Κύριε, ἐλέησον, » οἱ λοιποὶ ἀποκρίνονται· μαρτυρουμένου τοῦ ἔργου, ὅτι παρὰ πάντων τελεῖται ἱεράρχης· καὶ πάντες συμφωνοῦσι τῷ ἀρχιεπισκόπῳ καὶ συνεύχονται καὶ συγχειροτονοῦσιν αὐτῷ οἱ ἀρχιερεῖς· ἐπεὶ καὶ συνεφάπτονται τοῦ τὴν χειροτονίαν δεχομένου· τοῦτο δὲ ἐν μόνῃ ἐπισκόπου χειροτονίᾳ τελεῖται· καὶ ὅτι ἐν τοιαύτῃ μεγίστῃ δωρεᾷ καὶ ἐπιφοιτήσει τοῦ θείου Πνεύματος δεῖ πάντων μεμνῆσθαι τῶν πιστῶν, ἵνα τύχωσιν ἐλέους καὶ σωτηρίας καὶ χάριτος. Ὁ ἀρχιεπίσκοπος δὲ τὴν χεῖρα ἔχων ἐπικειμένην, ὡς τὴν σκεπαστικὴν καὶ φρουρητικὴν χάριν δηλοῦσαν τοῦ Θεοῦ, καὶ τὴν τοῦ ἁγίου Πνεύματος ἐπιδημίαν τε καὶ ἐνέργειαν καὶ ἐπισκίασιν γινομένην, μᾶλλον δὲ κατασκήνωσιν ἐν τῷ χειροτονουμένῳ τῆς χάριτος, μετὰ τὰς αἰτήσεις, εὐθὺς καὶ τὴν δευτέραν ἐπιφέρει εὐχὴν, τὴν χεῖρα ἔχων ἀεὶ ἐπικειμένην τῇ τοῦ χειροτονουμένου κεφαλῇ· δηλῶν, ὡς ὥσπερ

CAPUT CCVII.

Quare episcopum alloquentes, « Sanctum dominum » nuncupant et magnam illi tribuunt sanctimoniam.

A Propter hoc enim, « Domine sancte, » magnam dicunt esse illius sanctimoniam, quandoquidem et aliis presbyteris sanctimonia inest gratiæ per Spiritum sanctificantis, præsertim vero episcopo qui sanctus ordinatur. Episcopus autem imperatorem ungens, eum sanctum proclamat, sed verbo tantum hoc per proclamationem dicit, propter unctionem sacri ungenti chrismatis, a quo fideles omnes et unguntur et sancti denominantur. « Fratres sancti, inquit Paulus, vocationis cœlestis participes. » — « Effice illum, inquit, episcopum sanctum, » et ita illum ordinat precibus sanctitate donatum.

B Imperator equidem quæ sunt sacerdotii non habet, neque apostolorum, prophetarum, aut doctorum dona. Solum renuntiatur pontifex unctione chrismatis : verum episcopus per preces ordinationis accipit cum ipsis donis et sanctum esse, et quod majus est, ut in iis quæ pro alicujus salute postulaverit, exaudiatur. Hæc cum dixerit, alta voce pronuntiat orationis conclusionem : « Quoniam sanctificatum est nomen tuum, glorificatum est regnum tuum. » Quia solus est natura Deus sanctus, et glorificatus : ipse quoque est qui sanctificat, et glorificat, quique rex solus est et episcopus. Postea exclamans laudat Trinitatem, a qua omnia consecrantur, et cujus sunt omnia ejusmodi dona.

C Verum enim vero Trinitatis invocatio ut in baptismate, ita et hic, et in omnibus sacris mysteriis, sacras initiationes et consecrationes operatur.

Deinceps rogationes eo tempore a primo congregatorum episcoporum merito dicuntur pro superna pace, et omnium salute, pro archiepiscopo velut operante divinissimum opus : et pro operibus manuum ejus, ordinatione scilicet ; pro ipso quoque ordinando, et piis imperatoribus ; pro urbe et omnibus fidelibus. Reliqui respondent : « Kyrie, eleison. » ipso facto testante eum ab omnibus episcopum consecrari ; omnes enim episcopi cum archiepiscopo consentiunt, et comprecantur, et

D coordinant, cum simul contingant suscipientem ordinationem. Hoc autem fit in sola episcopi ordinatione ; quoniam in hac maxima donatione, et Spiritus Dei accessione omnium fidelium memoriam agere oportet, ut misericordiam, salutem, et gratiam consequantur. Archiepiscopus autem manum habet impositam, ut gratiam Dei significet protectricem, et conservatricem, et sancti Spiritus adventum et virtutem, et obumbrationem tum fieri, potius vero gratiæ in ordinando inhabitationem. Recitatis rogationibus, statim ad secundam progreditur orationem, manum semper habens capiti illius qui ordinatur impositam. Qua ratione docet quæcunque precatur efficacia esse, et ea, qui manus impositione donatur, accipere. Oratio au-

tem ipsa quam admirabilis! « Domine Deus, qui A eo quod non potest natura humana divinitatis ferre præsentiam, œconomica tua dispensatione constituisti nobis doctores affectibus nobis similes, qui thronum tuum vicesque tenerent. » Papæ mysterium! potestatem et virtutem homo accipit, et throno ipsius Dei dignus judicatur. O rem mirandam! Cum non possit natura humana, inquit, divinitatis præsentiam capere. Solum enim illud quod a nobis assumptum est, Verbo secundum omnia unitum est, et ipsius mater Virgo Verbum in utero suo personaliter carnem factum donec pareret, excepit et continuit. Ideo omnium maxime post Deum honorari meretur, nosque tremenda ejusmodi œconomia maximo isto dono, sacerdotio nempe Christi Dei nostri, digni facti B sumus.

Ipse igitur orando pergit: « Et hunc declaratum et effectum œconomum sacræ episcopalis gratiæ. » En œconomus rei maximæ efficitur: unde et fidelis et prudens, ut requiritur, esse debet. « Fac eum imitatorem veri pastoris, qui animam posuit pro ovibus suis. » En pastor, verum qui secundum Jesum tenetur totis viribus curam gerere gregis sui rationalis. O gratiam magnam! at et debitum. Mori debet pro ovibus Christi, ut ordinatione factus ipsius imitator, et pastor secundum ipsum constitutus, potensque omnia quæ sunt ejus per ipsum in sancto Spiritu operari, et administrare. C Et addit, dicens: « Cæcorum ducem, » infidelium videlicet ad fidem, insipientium institutorem, eorum qui propter ignorantiam ab hæresi possidentur, ut eos ad fidem orthodoxam revocet, aut etiam peccatorum ad pœnitentiam, necnon « institutorem, et correctorem » refractariorum et audacter contumacium, « Doctorem simplicium, » secundum veram prudentiam. « Lumen mundi, » secundum apostolos qui lumen mundi fuerunt, sicque a Christo vivo lumine vocati; et secundum Paulum, lucem mundi verbum vitæ tenentem. Tandem: « Ut cum animas ipsi creditas, inquit, recte gubernaverit. » Hæc est rei summa, omni studio conetur et efficiat ut salventur. Creditæ sunt illi animæ, magnum debitum! sed Deus maximam D gratiam concedit certantibus, magnamque officii sui præstiti mercedem reportabunt. Vides magnam omnesque alias excedentem divini operis remunerationem, episcopali scilicet officio redditam. Quæ vero illa? Quam præparavit, inquit, iis qui decertarunt pro prædicatione Evangelii tui. En certaminis obligatio, et pro prædicatione, nempe Evangelii. Et qui decertant velut athletæ sunt. Quis autem hoc certamen decertavit? Ipse primus est Salvator, qui pro veritate testimonium perhibuit, bonamque illam confessionem confessus est: Quod Pater ipsius est Deus, et ipse Dei Patris Filius. Eum in hoc agone secuti sunt apostoli. Unde episcopus qui pulchre pro Evangelio decertaverit, sive

εὔχεται, ἐνεργεῖται, καὶ λαμβάνει ὁ χειροθετούμενος. Ἡ εὐχὴ δὲ πάλιν ὡς θαυμαστή! « Κύριε ὁ Θεός, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν ἀνθρώπου φύσιν τὴν τῆς Θεότητος ὑπενεγκεῖν οὐσίαν, τῇ σῇ οἰκονομίᾳ ὁμοιοπαθεῖς ἡμῖν καταστήσας διδασκάλους, τὸν σὸν ἐπέχοντας θρόνον. » Βαβαὶ τοῦ μυστηρίου! τὴν τοῦ Θεοῦ ἐξουσίαν καὶ δύναμιν ἄνθρωπος λαμβάνει, καὶ εἰς τὸν θρόνον αὐτοῦ τοῦ Θεοῦ καταξιοῦται καθῆσθαι. Ὢ τοῦ θαύματος! Ἐπεὶ οὐ δύναται ἀνθρωπίνη φύσις, φησὶ, τὴν οὐσίαν τῆς Θεότητος δέχεσθαι. Μόνον γὰρ τὸ ἀφ' ἡμῶν πρόσλημμα τῷ Λόγῳ κατὰ πάντα ἡνώθη· καὶ ἡ αὐτοῦ Παρθένος Μήτηρ ὑποστατικῶς ἕως ἔτεκεν αὐτὸν τὸν Λόγον σαρκωθέντα ἐν τῇ μήτρᾳ ἐδέξατο. Διὸ καὶ πάντων **161** μετὰ Θεὸν τιμιωτέρα· καὶ τῇ τοιαύτῃ φρικτῇ οἰκονομίᾳ καὶ ἡμεῖς τοῦ τοιούτου μεγίστου δώρου τῆς ἀρχιερωσύνης Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἠξιώθημεν.

Αὐτὸς οὖν φησι, « Καὶ τοῦτον τὸν ἀναδειχθέντα οἰκονόμον τῆς ἀρχιερατικῆς χάριτος. » Ἰδοὺ οἰκονόμος τοῦ μεγίστου· ὅθεν καὶ πιστὸς καὶ φρόνιμος, ὡς ἀπαιτεῖται, ὀφείλει εἶναι. « Ποίησον μιμητὴν σοῦ τοῦ ἀληθινοῦ ποιμένος, τιθέντα τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων σου. » Ἰδοὺ καὶ ποιμήν· πλὴν κατὰ τὸν Ἰησοῦν Χριστὸν χρεωστῶν εἶναι καὶ τῆς λογικῆς αὐτοῦ δὴ δυνάμει ἐπιμέλεσθαι ποίμνης. Ὢ τῆς μεγάλης δωρεᾶς, ἀλλὰ καὶ τῆς ὀφειλῆς! Ὑπεραποθνήσκειν ὀφείλει τῶν προβάτων Χριστοῦ, ὡς καὶ μιμητὴς αὐτοῦ τῇ χειροτονίᾳ καὶ ποιμὴν κατ' αὐτὸν καθιστάμενος, καὶ τὰ αὐτοῦ πάντα ἰσχύων δι' αὐτοῦ ἐνεργεῖν ἐν ἁγίῳ Πνεύματι. Καὶ ἐπιφέρει λέγων, « Ὁδηγὸν τυφλῶν, » ἀπίστων δηλαδὴ πρὸς τὴν πίστιν, παιδευτὴν ἀφρόνων, τῶν ἀγνωσίᾳ κρατουμένων αἱρέσεων, ὡς ἐπανάγειν εἰς τὸ ὀρθόδοξον, ἢ καὶ ἁμαρτανόντων εἰς τὴν μετάνοιαν· ἢ καὶ « παιδευτὴν » τῶν ἀνυποτάκτων τε καὶ θρασυνομένων, « Διδάσκαλον νηπίων κατὰ τὴν ἀληθῆ σύνεσιν. » Φωστῆρα ἐν κόσμῳ κατὰ τοὺς ἀποστόλους αὐτοὺς « φῶς » ὄντας τοῦ κόσμου καὶ κληθέντας ὑπὸ Χριστοῦ τοῦ ζῶντος φωτός· καὶ κατὰ Παῦλον φωστῆρα ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντα. Τὸ δὲ τέλος· « Ὡς ἂν τὰς ἐμπιστευθείσας αὐτῷ, φησὶ, ψυχὰς καλῶς ἐξοικονομήσας, » τοῦτο γὰρ τὸ κεφάλαιον, σωθῆναι ταύτας σπουδάσῃ τε καὶ ποιήσῃ. » Ὅτι δὲ ἐμπεπίστευται ψυχὰς, μέγα τὸ χρέος. Ἀλλὰ καὶ μεγίστην δίδωσι τὴν χάριν τοῖς ἀγωνιζομένοις ὁ Θεὸς, καὶ τὸν μέγαν μισθὸν λήψονται. Ὁρᾷς μέγαν παρὰ πάντα ἄλλον ἔργον θεῖον μισθὸν τὸν ἐκ τοῦ ἔργου τῆς ἀρχιερωσύνης; Τίς δὲ οὗτος; « Ὃν ἡτοίμασας, φησὶ, τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου σου. » Ἰδοὺ καὶ ἀθλήσεως ὀφειλή· καὶ ὑπὲρ τοῦ κηρύγματος αὕτη δὴ τοῦ Εὐαγγελίου. Καὶ ὡς ἀθληταὶ οἱ ἀγωνιζόμενοι. Καὶ τίς ὁ ταύτην ἀθλήσας; Αὐτὸς πρῶτος ὁ Σωτὴρ, μαρτυρήσας ὑπὲρ τῆς ἀληθείας καὶ τὴν καλὴν ὁμολογήσας ὁμολογίαν, ὅτι Πατὴρ αὐτοῦ ὁ Θεὸς, καὶ αὐτὸς Υἱὸς τοῦ Πατρός· καὶ οἱ τούτου ἀπόστολοι. Ὥστε ὁ καλῶς ἐναθλήσας ὑπὲρ τοῦ Εὐαγγελίου ἀρχιερεὺς, εἴτε ἐν ἀγῶσι καὶ κόποις, εἴτε δὴ καὶ δι' αἵματος, εἴτ' ἐν πειρασμοῖς, διωγμοῖς τε καὶ ὕβρεσιν, εἴτε ἐν ζήλῳ,

ἢ ἐν ἐλέει, ἢ θείοις ἄλλοις ἔργοις, μετὰ τῶν ἀποστόλων ἔσται καὶ τοῦ Χριστοῦ, ὡς καὶ τὴν αὐτοῦ καὶ αὐτῶν κομισάμενος χάριν καὶ συνδοξασθησόμενος. Ὁ δὲ ἱεράρχης τὴν εὐχὴν τελέσας, ἐκφωνεῖ καὶ δοξάζει τὸ κράτος καὶ τὸ ἔλεος αὐτοῦ τοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν Υἱοῦ, καὶ τοῦ Πατρὸς αὐτοῦ, καὶ τοῦ Πνεύματος, τῇ ἐπικλήσει τῆς Τριάδος τὰ προλεχθέντα βεβαιωσάμενος, καὶ τὸν χειροτονούμενον τελειώσας. Διὸ καὶ τὴν τελευταίαν ποιεῖται σφραγῖδα τούτου τῇ κεφαλῇ, εἰς δεῖγμα τῆς τελειώσεως. Καὶ οὕτω τὸ μὲν ἱερὸν Εὐαγγέλιον αἴρων, τίθησι τῇ τραπέζῃ· ὅτι τὴν χάριν αὐτοῦ ὁ χειροτονηθεὶς λαβὼν ἔχει· καὶ ὅλος ἐστὶν Εὐαγγέλιον καὶ τοῦ Εὐαγγελίου Χριστοῦ ὄργανον θεῖον.

A in certaminibus et laboribus, sive etiam ad sanguinis usque effusionem, sive in tentationibus, et persecutionibus, et contumeliis, sive in zelo, aut misericordia, aut aliis divinis operibus, cum apostolis erit et ipso Christo, ut qui ipsius, et ipsorum gratiam retulerit, et cum iis glorificabitur. Episcopus oratione completa exclamat, et glorificat imperium et misericordiam ipsius Filii qui pro nobis incarnatus est, et Patris ejus et Spiritus; invocatione Trinitatis confirmans prius dicta, et ordinandum perficiens. Propter quod sigillum postremum ipsius capiti imprimit in perfectionis et consecrationis argumentum. Et sic sacrum Evangelium attollens reponit in mensa; quia ordinatus gratiam ejus possidet, et totus est Evan-
B gelium, et Evangelii Christi divinum instrumentum.

ΚΕΦΑΛ. ΣΗ'.

Τί τὸ ὠμοφόριον δηλοῖ.

Εἶτα καὶ ὡς ποιμένα δειχθέντα τῶν τοῦ Χριστοῦ προβάτων καὶ κατὰ χάριν ὡς τὸν Χριστὸν γενόμενον, τῷ ὠμοφορίῳ κοσμεῖ, ὃ τὴν τοῦ Σωτῆρος δηλοῖ ἐνανθρώπησιν. Καὶ γὰρ εὐλογῶν αὐτὸ, ἀσπαζομένου τοῦ χειροτονηθέντος, τῷ τραχήλῳ αὐτοῦ περιτίθησιν, ἐκφωνῶν τὸ, «Ἄξιος.» Ὃ δὴ τρὶς ἐντός τε καὶ ἐκτὸς λαμπρῶς ᾄδεται, πιστουμένων πάντων τὴν χάριν, καὶ βεβαιούντων μετὰ τῶν ἄνω τάξεων, καὶ ἐπὶ ταύτῃ λίαν εὐφραινομένων. Τὸ δέ γε ὠμοφόριον αὐτὴν δηλοῖ προφανῶς, ὡς εἰρήκαμεν, τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν, ὅτι τὸ ἀπολωλὸς ἡμᾶς πρόβατον ἐπὶ τῶν ὤμων αὐτῶν ἐβάστασε, τὴν ἀνθρωπίνην ἐνδυσάμενος **162** ὅλην φύσιν, καὶ ἑνώσας ἑαυτῷ καὶ θεώσας ταύτην, καὶ ἅμα προσάξας ὑπὲρ ἡμῶν αὐτὸ τὸ πρόσλημμα τῷ Πατρὶ διὰ σταυροῦ καὶ θανάτου, καὶ ἀναστήσας καὶ ἀνυψώσας ἡμᾶς. Διὸ καὶ τοὺς σταυροὺς περιφέρει, καὶ ἐξ ἐρίου ἐστὶ, καὶ τῷ τραχήλῳ τοῦ ἀρχιερέως τοῖς ὤμοις τίθεται· μᾶλλον δὲ κατὰ καιρὸν καὶ κύκλῳ τῶν ὤμων καὶ ἔμπροσθέν τε καὶ ὄπισθεν. Ἄρτι δὲ ὡς ἐν προχείρῳ καὶ ὡς ζυγὸν θεῖον ἐν τῷ τραχήλῳ λαμβάνει, καὶ ὅτι μετ' ὀλίγον ἐξελεῖν αὐτὸ μέλλει τοῦ Εὐαγγελίου κηρυσσομένου.

CAPUT CCVIII.

Quid per humerale denotatur.

Deinde eum pallio ornat, ut ovium Christi pastorem probatum atque ut ipsum Christum per gratiam factum. Denotat autem pallium Salvatoris incarnationem. Illud enim benedicens archiepiscopus, osculante eum ordinato, ipsius collo imponit, exclamans: «Dignus.» Ter autem clare et magnifice interius et ab ipso archiepiscopo cantatur, omnibus cum superioribus ordinibus gratiam probantibus et confirmantibus, et in ea admodum lætantibus. Pallium autem manifeste significat, ut diximus, Verbi Dei incarnationem,
C quoniam nos ovem perditam inveniens super humeros portat, naturamque humanam integram induitus, eamque sibi adunatus deificavit, atque idipsum quod assumpserat per crucem et mortem Patri pro nobis obtulit, et suscitatus nos exaltavit. Ideo pallium circumfert cruces, et e lana texitur, et collo humerisque episcopi imponitur, maxime vero secundum tempus circa humeros anterius et posterius. Nunc autem illud sumit ut præsens et ad manum, atque ut divinum jugum cervici impositum, et brevi illud ablaturus, cum scilicet Evangelium prædicatur.

ΚΕΦΑΛ. ΣΘ'.

Τί σημαίνει τὸ ἐκβάλλειν ἐν τῷ Εὐαγγελίῳ τὸν ἀρχιερέα τὸ ὠμοφόριον, καὶ ἐν τῇ θείᾳ ἱερουργίᾳ.

Τοῦτο δὲ τὸ ἐν τῷ Εὐαγγελίῳ ἐκβάλλειν τὴν δουλείαν τε καὶ ὑποταγὴν πρὸς τὸν Σωτῆρα σημαίνει, οὐ τολμᾷ γὰρ ὁ ἀρχιερεὺς αὐτὸ περιτίθεσθαι, μαρτυρῶν αὐτὸν σαρκωθέντα τε καὶ παθόντα καὶ ζῶντα, ἀναγινωσκομένων τῶν ῥημάτων αὐτοῦ· ὅτι αὐτός ἐστιν ὁ λαλῶν. Καὶ δείκνυσι τὸ ὠμοφόριον ἐξελὼν, ὡς Ὑπηρέτης τούτου καὶ δοῦλος ἐγὼ, καὶ αὐτοῦ τὴν χάριν περίκειμαι. Καὶ τὸ τῆς σαρκώσεως αὐτοῦ καὶ τοῦ πάθους καὶ τῆς ζωῆς σύμβολον τοῦτο. Διὸ καὶ οὐ τολμῶ ἐνδεδύσθαι· ἀλλ' ὁρῶν ἔμπροσθεν βασταζόμενον, ὥστε μεμνῆσθαι τῶν αὐτοῦ, καὶ φρίττειν ἐπὶ τοῖς οὕτω θαυμαστοτάτοις ἔργοις. Τοῦ Εὐαγγελίου

CAPUT CCIX.

D *Quid significet quod cum Evangelium legitur et in divinæ missæ celebratione episcopus humerale exuit.*

Illa autem pallii cum Evangelium legitur remotio, significat servitutem et subjectionem Servatori devotam. Non audet enim episcopus illud sibi circumponere, testificans Christum esse incarnatum et passum, et viventem, lectisque ipsius verbis quod illemet est qui loquitur. Removens autem a se pallium, indicat se velut servum illius esse: Sim utinam servus illius, et gratia tua circumdar! Illud præterea symbolum est, et incarnationis, et passionis, et vitæ. Ideo non audet illud induere, sed conspicit ante se gestatum ut recordetur eorum quæ portendit, et contremiscat in cogita-

tione operum tanta admiratione et stupore dignissimorum. Evangelio igitur prædicato, et mystico sacrificio confecto ab Evangelio usque ad tempus quo sunt exaltanda mysteria divina, sic facit propter ea quæ dicta sunt, quoniam sacrorum operatio Salvatoris nostri opus est, et ipse est qui per nos sacerdotes et servos suos sacrificat et sacrificatur. A principio autem missæ et in exaltatione divini panis, et in ordinationibus, et in aliis sacris mysteriis, episcopus semper, ut dictum est, pallio ab humeris in orbem cingitur.

A τοίνυν χηρυσσομένου, καὶ τῆς μυστικῆς θυσίας ἐκτελουμένης ἀπὸ τοῦ Εὐαγγελίου ἄχρι καὶ τοῦ μέλλειν ὑψοῦν τὰ θεῖα μυστήρια, οὕτω δὴ ποιεῖ διὰ τὰ προειρημένα· ὅτι καὶ ἡ ἱερουργία ἔργον αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν· καὶ αὐτὸς ὁ δι' ἡμῶν τῶν ἱερέων αὐτοῦ καὶ δούλων ἱερουργῶν καὶ ἱερουργούμενος. Ἐξ ἀρχῆς δὲ τῆς λειτουργίας, καὶ ἐν τῇ ὑψώσει τοῦ θείου ἄρτου, καὶ ταῖς χειροτονίαις, καὶ ταῖς ἄλλαις ἱεραῖς τελεταῖς, πάντοτε ἀπὸ τῶν ὤμων κύκλῳ, ὡς εἴρηται, τοῦτο περιβάλλεται ὁ ἀρχιερεύς.

CAPUT CCX.

Quid vox Dignus, quam super ordinando pronuntiant: et quid osculum sacræ mensæ, et quo primi episcopi dextra n genamque, et cæterorum ora osculatur.

Quod etiam tunc ordinatus a primo episcopo accipiens, collum induitur, et dignus renuntiatur, utpote a Deo dignus effectus, et talis ab angelis et hominibus cognitus, atque in posterum obligatus operi condigne et condecore vivere et conversari, et eo dignum veluti precibus et votis acceptum sese præbere. Postea eum osculatur pontifex, ut propter gratiæ magnitudinem sibi amabilem, et per ipsum æquali honore fruentem, et in Christo sanctificatum et unitum. Ipse quoque sacram mensam osculatur, eam ut gratiæ officinam honorans, in qua et consecratus est, et ordinationem accepit. Osculatur etiam dexteram quæ ipsum ordinavit, quasi et ipsa sit sanctificata, et gratia abundet, eamque communicandi jus habeat, itemque perficiendi et consecrandi per Spiritum sanctum, et benedictionem largiendi, divinaque dona distribuendi, per quam et ipse ordinatus est episcopus, et consummatus. Osculatur insuper pontificis genam ut sermonis instrumentum, ut precum ministram, atque etiam propter charitatem et unionem. Amat enim et ipse communicantis gratiam. Ut autem amatus et dilectus vere in Christo solo amabili amat et diligit. Mendax autem osculum, ut Judas, non figit, nec alapis genam cædit ut deicidæ; sed contra osculo testatur se eam honorare, sanctamque judicare, et dilectissimam, atque etiam se ejusdem ordinis cum episcopo consecrante, licet sub eo, esse factum. Hoc est enim eorum manum et genas osculari, non autem labia. Nam labiis osculatur sibi ordine æquales, et qui ante ipsum ordinati sunt episcopi, et ab ipsis mutuis osculis honoratur, ut ipsis unitus, ut charissimus, ut gratia divina donatus, ut collega iisdem secundum omnia prærogativis dignatus, amans et amatus, pacificus, et cooperator, atque ut in divinis mysteriis eorum comminister.

ΚΕΦΑΛ. ΣΙ'.

B *Τί τὸ Ἄξιος ἐπὶ τῷ χειροτονουμένῳ λεγόμενον, καὶ ὁ ἀσπασμὸς τῆς τε ἱερᾶς τραπέζης, καὶ τοῦ ἀρχιερέως τοῦ πρώτου ἐν τῇ δεξιᾷ, καὶ τῇ παρειᾷ, καὶ τῶν λοιπῶν ἐν τῷ στόματι.*

Ὅπερ δὴ καὶ τότε χειροτονηθεὶς, ἐπενδύεται τῷ τραχήλῳ παρὰ τοῦ πρώτου ἱεράρχου λαβὼν, καὶ ἀναγορεύεται ἄξιος, ὡς παρὰ Θεοῦ γεγονὼς ἄξιος, καὶ γνωστὸς ὢν τοῖς ἀγγέλοις καὶ τοῖς ἀνθρώποις, καὶ ἀξίως τοῦ ἔργου ὀφείλων πολιτεύεσθαι, καὶ ὡς εὐχὴν τοῦτο δεχόμενος ἄξιος εἶναι. Εἶτα ἀσπάζεται τοῦτον ὁ ἱεράρχης, ὡς ἐραστὸν αὐτῷ διὰ τὸ μέγα τῆς χάριτος καὶ ὡς ὁμοταγῆ δι' αὐτοῦ, καὶ ἡγιασμένον ἐν Χριστῷ καὶ ἡνωμένον· καὶ αὐτὸς δὲ, τὴν ἱερὰν τράπεζαν ἀσπασάμενος, τιμῶν αὐτὴν ὡς τῆς χάριτος ἐργαστήριον, ἐν ᾗ καὶ τετέλεσται, καὶ τὴν χειροτονίαν ἐδέξατο, καὶ τὴν χειροτονήσασαν ἀσπάζεται
C δεξιὰν, ὡς καὶ αὐτὴν ἡγιασμένην καὶ κεχαριτωμένην, καὶ τὸ μεταδοτικὸν τῆς χάριτος ἔχουσαν, καὶ τελεστικὴν ἐν ἁγίῳ Πνεύματι καὶ εὐλογίας χορηγὸν, καὶ χαρισμάτων θείων παρεκτικὴν, δι' ἧς καὶ οὗτος ἀρχιερεὺς κεχειροτόνηται καὶ τετέλεσται. Ἔτι δὲ καὶ τὴν τοῦ ἱεράρχου ἀσπάζεται παρειὰν, ὡς ὄργανον τοῦ λόγου, ὡς ὑπηρέτιν τῶν εὐχῶν, καὶ διὰ τὴν ἀγάπην τε καὶ ἕνωσιν. Ἐρᾷ γὰρ καὶ αὐτὸς τοῦ μεταδόντος τὴν χάριν, καὶ ἀγαπῶν ἐστι καὶ φιλῶν ἀληθῶς ἐν Χριστῷ τῷ ἐραστῷ μόνῳ, ὡς καὶ ἀγαπώμενος καὶ φιλούμενος· καὶ ὅτι οὐ ψευδῶς ἀσπάζεται, ὡς ὁ Ἰούδας, οὐδὲ ῥαπίζει τὴν παρειὰν, ὡς οἱ θεοκτόνοι· ἀλλὰ μᾶλλον ταύτην τιμᾷ, καὶ ἁγίαν ἡγεῖται καὶ φιλτάτην, καὶ ὅτι καὶ αὐτὸς τῆς αὐτῆς τῷ ἱεράρχῃ γεγένηται τάξεως, εἰ καὶ ὑπ' αὐτόν ἐστι.
D Τοῦτο γὰρ τὸ τὴν χεῖρα καὶ παρειὰν ἀσπάζεσθαι, καὶ οὐ τὰ χείλη αὐτῶν. Ἀσπάζεται γὰρ τοῖς χείλεσι τοὺς καὶ κατὰ τὴν τάξιν ἴσους καὶ τὴν ἀρχὴν ἀρχιερεῖς, καὶ παρ' αὐτῶν ἀντασπάζεται **163** ὡς ἡνωμένος, ὡς φίλτατος, ὡς τὴν θείαν χάριν λαβὼν, ὡς ὁμοταγὴς, τῶν ἴσων κατὰ πάντα ἠξιωμένος, καὶ φιλῶν, καὶ φιλούμενος, καὶ εἰρηνικὸς καὶ συνεργὸς, ὡς ἐν τοῖς θείοις συλλειτουργός.

CAPUT CCXI.

Quis sit ritus osculi in ordinatione patriarchæ.

Unde in ordinationibus archiepiscoporum, patriarcharum scilicet, patriarcha ordinatus, nec

ΚΕΦΑΛ. ΣΙΑ'.

Ὅπως ὁ ἀσπασμὸς ἐν τῇ χειροτονίᾳ τοῦ πατριάρχου.

Ὅθεν καὶ ἐν ταῖς τῶν ἀρχιεπισκόπων χειροτονίαις, τῶν πατριαρχῶν δηλαδὴ, οὐ τὸν ἀσπασμὸν ὁ

A χειροτονηθεὶς πατριάρχης ποιεῖται εἰς τὴν χεῖρα τοῦ χειροτονήσαντος καὶ τὴν παρειάν· ἀλλ' ἀσπασάμενος πρῶτον τὴν θείαν τράπεζαν, ἀνέρχεται εἰς τὴν κρηπῖδα· καὶ τὸν ἀσπασμὸν ποιεῖται κατὰ τὸ ἔθος, τοῦ μὲν χειροτονήσαντος αὐτὸν τὴν ἱερὰν τράπεζαν ἀσπαζομένου πρότερον, ὡς τῶν ἱερῶν ἔργων πηγήν, εἶτα τὴν χεῖρα τοῦ χειροτονηθέντος πατριάρχου, ὡς πρώτου καταστάντος τῷ θείῳ Πνεύματι καὶ πατριάρχου αὐτῶν, καὶ διὰ τὴν ἕνωσιν εἰς τὸ στόμα, ἢ τὴν παρειὰν διὰ τὴν ὑποταγήν· ὁμοίως δὲ καὶ οἱ λοιποὶ ἀρχιερεῖς οἱ σὺν αὐτῷ τοῦτον χειροτονήσαντες.

ΚΕΦΑΛ. ΣΙΒ'.

Περὶ τάξεως πατριαρχῶν, ἀρχιεπισκόπων καὶ ἐπισκόπων.

Εἰ γὰρ καὶ μία ἡ τῆς ἐπισκοπῆς χάρις καὶ δύναμίς B τε καὶ τάξις ἐκ τοῦ Θεοῦ, τοῦ πρώτου καὶ μόνου Πατρὸς καὶ ἐπισκόπου, ἀλλὰ καὶ πατριὰς ἔχει υἱότητάς τε καὶ χάριτας διαφόρους, ὡς καὶ ἑκάστη τάξις, ἐπεὶ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα ἡ Θεότης. Καὶ μία μὲν τῇ Τριάδι ἡ φύσις· ἓν δὲ τὸ αἴτιον ὁ Πατήρ, ᾧπερ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα κατὰ πάντα ὑπείκει· καὶ ἓν θέλημα τούτων, καὶ μία κίνησίς τε καὶ δύναμις. Ἐκ τῆς Τριάδος δὲ καὶ πᾶσα εὐταξία ἄνω τε καὶ κάτω ἐστί. Διὸ καὶ πρώτην μέσην καὶ τελευταίαν τάξιν ἑκάστη τῶν ἄνω τάξεων ἐν ἑαυτῇ κέκτηται· καὶ διδασκάλων εἰσὶ καὶ ἐν ἐκείνοις διδάσκαλοι καὶ Πατέρων Πατέρες.

ΚΕΦΑΛ. ΣΙΓ'.

C *Κατὰ Λατίνων, ὅτι ἓν μόνον τὸ αἴτιον ἐν τῇ Τριάδι ὁ Πατήρ, ἵνα μὴ διάφοροι ὦσιν ἀρχαί.*

Ἐπεὶ καὶ ἐν τῇ ἀσυγχύτῳ καὶ προανάρχῳ καὶ συμφυεῖ καὶ ὁμοδόξῳ Τριάδι τάξις ἐστίν, ὥσπερ ἔφημεν· καὶ ὁ μὲν Πατὴρ καὶ ἀναίτιος, τὰ δὲ ἐξ αὐτοῦ καὶ αἰτιατά· καὶ τούτων τὸ μὲν γεννητὸν καὶ Υἱός, τὸ δὲ ἐκπορευτὸν καὶ ἅγιον Πνεῦμα· καὶ ὅμως ἀδιαίρετος ἡ Τριάς, καὶ μία ταύτης ὡς καὶ ἡ οὐσία ἐστὶ καὶ ἡ δύναμις· ἐξ αὐτῆς οὖν καὶ πᾶσα πατριά, Παῦλός φησι· καὶ τάξις ἐν οὐρανῷ τε καὶ ἐπὶ γῆς. Ἐπεὶ δὲ ἥκομεν ὧδε σὺν Θεῷ, μικρὸν θεωρήσωμεν, ὅπως καὶ ἡ τοῦ πατριάρχου χειροτονία τελεῖται· καὶ εἰ ἐπίσκοπός ἐστιν, ὅπως καθίσταται πατριάρχης, καὶ εἰ μὴ ἔστιν ἐπίσκοπος, ἄξια γὰρ καὶ ταῦτα θεωρίας. Πλὴν τὰ τοῦ ἐπισκόπου ἐν ὀλίγοις τελέσω- D μεν. Μετὰ τὸν ἀσπασμὸν οὗτος τὸν ἱερόν, τοῦ ἱεράρχου ἀσπασαμένου αὖθις τὴν ἱερὰν τράπεζαν, καὶ εἰς τὸ σύνθρονον ἀνελθόντος ὥσπερ εἰς τὸν οὐρανὸν ὁ Χριστός, καὶ ὁ χειροτονηθεὶς αὐτὴν ἀσπασάμενος, ἀνέρχεται· καὶ ἐκ δεξιῶν ἵσταται τοῦ πρώτου ἀρχιερέως, ὡς τὴν πρώτην τάξιν ἔχων παρὰ τοὺς ἄλλους τότε ἐπισκόπους, ἤδη τῇ χάριτι χειροτονηθείς, καὶ τῆς φήμης τῶν βασιλέων καὶ τοῦ πρώτου ἀρχιερέως γινομένης, ἵσταται μετὰ τῶν λοιπῶν ἐπισκόπων ὑπὸ χεῖρα ὢν καὶ αὐτός.

manum ordinantis nec genas osculatur, sed primum divinam mensam osculatus ascendit ad altaris crepidinem, et more consueto tradit osculum. Postquam ipsius ordinator sacram mensam primum osculatus fuerit, ut sacrarum operationum fontem, osculatur ordinati patriarchæ manum, ut divino Spiritu secundum omnia primi, et ipsorum patriarchæ, os quoque ipsius osculatur propter unionem, vel genam propter subjectionem; similiter faciunt cæteri episcopi, qui cum ipso hunc ordinaverunt.

CAPUT CCXII.

De ordine patriarcharum, archiepiscoporum, episcoporum.

Etsi enim una est episcopatus gratia, et virtus, et ordo ex Deo, primo et solo Patre et episcopo emanans, patrias tamen habet, filiationes et gratias differentes, ut unusquisque ordo postulat, cum Pater, et Filius et Spiritus sanctus una sint in Trinitate divinitas et natura. Unum autem est principium Pater, quemadmodum Filius et Spiritus, secundum omnia consentiens; una eorum voluntas, et una motio et virtus. Ex Trinitate autem omne decus et bonus ordo tam rerum superiorum quam inferiorum procedit. Ideo unusquisque superiorum ordinum in se possidet primum, medium et postremum ordinem, atque e doctoribus est, et in iis sunt doctores, et Patrum Patres.

CAPUT CCXIII.

Contra Latinos, unam tantum causam in SS. Trinitate esse Patrem, ne plura principia inducantur.

Quandoquidem, ut diximus, ordo est in Trinitate inconfusa, consubstantiali, per omnia sibi consentiente, quæ sine principio est et omne principium antecedens, Pater quidem sine principio est; quæ vero ex ipso, principiata dicuntur, et horum unum est genitum, nempe Filius, alterum procedit, nempe Spiritus sanctus. Est tamen indivisibilis Trinitas, unaque est illius et substantia, ita et virtus. Ex ipsa igitur est, ut ait Paulus, omnis paternitas et ordo in cœlo et in terra. Cum igitur, Deo favente, huc devenerimus, paucis edisseremus qua ratione patriarchæ ordinatio perficitur; et si episcopus est, qua ratione constituitur patriarcha; et qua ratione, si non est episcopus. Sunt enim hæc contemplatione et consideratione digna: verum quæ sunt episcopi paucis perficiemus. Post sacram istam salutationem archiepiscopus, osculatus iterum sacram mensam, in thronum communem ascendit, ut Christus in cœlos; ordinatus quoque eamdem osculatus ascendit, et a dextris primi episcopi adstat, atque ut mox consecratus primum inter episcopos locum tunc obtinet. Deinde facta imperatorum et primi archiepiscopi fausta acclamatione, stat et ipse sub manu cum cæteris episcopis.

CAPUT CCXIV.

Quomodo pacem precetur plebi ante apostolicam lectionem, et quare pacem precaturus, benedictionem prius ab archiepiscopo accipit.

Cum autem sederunt omnes episcopi et presbyteri, et Apostoli verba legenda sunt, adit archiepiscopum, ut benedictionem accipiat ab eo, eamque det lectori. Hæc autem pacis dandæ ratio mysterium est, quo significatur a Deo donari. Non licet autem ei hoc agere sine sententia germani et diœcesani pontificis, præsertim in ipsius ecclesia, et ipso præsente, qui pastorum primus est et princeps. Ideo per benedictionem permissionem accipit. Lecto Apostolo pacem precatur lectori, secundas post archiepiscopum ferens. Ipse enim archiepiscopus pacem precatur ei qui Evangelium legit. Sic perficitur divina Missa, stante ordinato ante omnes episcopos missam simul facientes. Pronuntiat etiam primam exclamationem precis catechumenorum, et consequenter reliquas preces.

A ΚΕΦΑΛ. ΣΙΔ'.

Τί τὸ εἰρηνεῦσαι ἐν τῷ Ἀποστόλῳ· καὶ διατί εὐλογίαν λαμβάνει παρὰ τοῦ πρώτου ὁ εἰρηνεύων.

Πάντων δὲ τῶν ἀρχιερέων καὶ ἱερέων καθεσθέντων ἐν τῷ μέλλειν ἀναγινώσκεσθαι τὰ ἀποστολικὰ 164
ῥήματα, ἀπελθὼν λαμβάνει εὐλογίαν ἀπὸ τοῦ ἀρχιεπισκόπου, ὡς ἂν εἰρήνην δῷ τῷ ἀναγινώσκοντι. Τοῦτο δὲ τελετή ἐστι τὸ εἰρηνεῦσαι, καὶ ὡς ἀπὸ τοῦ Θεοῦ διδόμενον. Καὶ οὐκ ἔξεστι αὐτῷ τοῦτο πράττειν ἄνευ γνώμης τοῦ γνησίου ἀρχιερέως, καὶ ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ, καὶ ταῦτα αὐτοῦ παρόντος, καὶ πρώτου ὄντος καὶ ἀρχιποίμενος. Λαμβάνει τοίνυν δι' εὐλογίας τὴν ἔνδοσιν· καὶ ἀναγνωσθέντος τοῦ Ἀποστόλου, εἰρηνεύει τὸν ἀναγνόντα, τὰ δευτερεῖα φέ-
B ρων τοῦ ἀρχιεπισκόπου. Αὐτὸς γὰρ ὁ ἀρχιεπίσκοπος τὸ Εὐαγγέλιον εἰρηνεύει. Καὶ οὕτω μὲν ἡ θεία λειτουργία τελεῖται, ἱσταμένου πρὸ πάντων συλλειτουργούντων ἐπισκόπων τοῦ χειροτονηθέντος, καὶ τὴν πρώτην ἐκφώνησιν τῆς εὐχῆς τῶν κατηχουμένων λέγοντος, καὶ τὰς λοιπὰς εὐχὰς ἀκολούθως.

CAPUT CCXV.

Quod in communione sacra primus accipit nuper ordinatus episcopus, et quomodo illa celebretur.

In divina vero communione primus divinum panem manibus ab archiepiscopo accipit, et cum eo communicat; postea tradit archiepiscopo divinum sanguinem per sacrum calicem, et illi iterum archiepiscopus, quandoquidem, licet misericordia et humanitate Dei divina sibi mutuo tradant homines, attamen unus est per omnes operans et datus. Deinde quoniam bono primum participant primi, et qui ad eos dignitate sua propius accedunt (ordo enim continet omnia, et nihil est bono ordine penitus privatum), post divinam communionem archiepiscopos ad instar Salvatoris divinum panem dividens omnibus distribuit. Ordinatus autem episcopus accipiens primum divinum calicem cum accedentibus episcopis et reliquis eum communicat. Deinde lavatis manibus sacrum antidorum jussu archiepiscopi populo præbet.; quo jam ordinatus demonstrat, et testatur populo se per antidorum sanctificationem omnibus communicare.

ΚΕΦΑΛ. ΣΙΕ'.

Ὅπως καὶ ἐν τῇ κοινωνίᾳ τὰ πρωτεῖα ὁ χειροτονηθεὶς ἔχει· καὶ ὅπως ἡ κοινωνία γίνεται.

Ἐν δὲ τῇ θείᾳ μεταλήψει πρώτου τὸν θεῖον ἄρτον ταῖς χερσὶ παρὰ τοῦ ἀρχιεπισκόπου λαμβάνοντος καὶ σὺν αὐτῷ κοινωνοῦντος, εἶτα μεταδιδόντος τῷ ἀρχιεπισκόπῳ τοῦ θείου αἵματος διὰ τοῦ ἱεροῦ ποτηρίου, κἀκείνου πάλιν αὐτῷ, ἐπεὶ εἰ καὶ τὰ θεῖα παρ' ἀλλήλων ἀλλήλοις ἡμῖν δίδοται φιλανθρωπίᾳ
C Θεοῦ, ἀλλ' εἷς ἐστιν ὁ διὰ πάντων ἐνεργῶν καὶ διδόμενος· καὶ ὅτι τῆς μετοχῆς τοῦ ἀγαθοῦ πρῶτον οἱ πρῶτοι μετέχουσι καὶ ἐγγίζοντες τῇ ἀξίᾳ· ἐπεὶ καὶ τάξις συνέχει πάντα, καὶ οὐδὲν χωρίς ἐστιν εὐταξίας. Μετὰ δὲ τὴν θείαν μετάληψιν ὁ μὲν ἀρχιεπίσκοπος πᾶσι τὸν θεῖον δίδωσι, μελίσας ἄρτον, κατὰ μίμησιν τοῦ Σωτῆρος· ὁ χειροτονηθεὶς δὲ ἀρχιερεὺς, λαβὼν τὸ πρῶτον θεῖον ποτήριον, μεταδίδωσι τοῖς προσερχομένοις ἀρχιερεῦσί τε καὶ λοιποῖς· εἶτα ἀπονιψάμενος, καὶ τὸ ἱερὸν τῷ λαῷ παρέχει ἀντίδωρον, προσταγῇ τοῦ ἀρχιεπισκόπου, δεικνύμενος ἤδη χειροτονηθεὶς καὶ μαρτυρούμενος τῷ λαῷ, καὶ μεταδιδοὺς ἁγιασμοῦ πᾶσι τῷ ἀντιδώρῳ.

CAPUT CCXVI.

Quod ritus episcopum post ordinationem in cathedra velut throno suo inaugurandi, enthronismum Ecclesiæ ejus indicet, qui nunc propter gentium injurias cessavit.

Postea in una templi parte versus prothesin in cathedra episcopali inthronizatur, præparato ibi throno in figuram et argumentum enthronismi in Ecclesiam suam. Enthronismus ille magnifico cum apparatu, ut nunc patriarchæ, prius fieri solebat, circa Ecclesiam inthronizandi episcopi, convocatis per litteras archiepiscopis ad hunc enthronismum celebrandum provinciæ episcopi. Nunc vero barbarorum incursionibus, et ingruentibus in Ecclesias tentationibus et perturbationibus, celebritas

D ΚΕΦΑΛ. ΣΙϚ'.

Ὅτι τὸ ἐνθρονίζεσθαι μετὰ τὴν χειροτονίαν τὸν ἐνθρονισμὸν τυποῖ τῆς Ἐκκλησίας αὐτοῦ, πεπαυμένον ἄρτι διὰ τὰς ἀπὸ τῶν ἐθνῶν ἐπηρείας.

Εἶτα καὶ ἐν ἑνὶ μέρει τοῦ ναοῦ περὶ τὴν πρόθεσιν γινόμενος, ἐνθρονίζεται ἀρχιερατικῷ εὐτρεπισθέντι ἐκεῖσε θρόνῳ, εἰς τύπον τοῦ ἐνθρονισμοῦ τῆς Ἐκκλησίας αὐτοῦ· ὃς δὴ ἐνθρονισμὸς πρότερον μὲν ἐγίνετο μεγαλοπρεπῶς, ὡς νῦν ὁ τοῦ πατριάρχου περὶ τὴν ἐκκλησίαν τοῦ ἐνθρονιζομένου ἀρχιερέως, ἐπισκόπων συναγομένων τῆς ἐπαρχίας, καὶ τὸν ἐνθρονισμὸν ἐπιτελούντων γράμμασι τοῦ ἀρχιεπισκόπου· νῦν δὲ τοῦτο πέπαυται ταῖς βαρβαρικαῖς ἐφόδοις, καὶ τοῖς ἐπελθοῦσι ταῖς ἐκκλησίαις πει-

ρασμοῖς, καὶ ταῖς ταραχαῖς. Ἐν τῇ Μεγάλῃ δὲ μόνον γίνεται ἐκκλησίᾳ. Καὶ προτεθέντος θρόνου ἐν ᾧ κάθηται ὁ ἀρχιεπίσκοπος, καὶ πέπλου συνήθους, ὑπὸ ἱερέως εὐχῆς γινομένης καὶ Τρισαγίου, τῶν ἐπισκοπειανῶν παρόντων, καὶ λαμπαδηφορούντων ἁπάντων, κυκλοῦντος καὶ τοῦ λαοῦ, ἐνθρονίζεται παρά τε τοῦ πρώτου τῶν ἱερέων καὶ δευτερεύοντος ὁ χειροτονηθεὶς ἀρχιερεὺς, τρὶς ἐν τῷ θρόνῳ ὡς καὶ τὸν πατριάρχην ἐν τῷ συνθρόνῳ ἐγκαθιζόντων αὐτὸν τῶν ἱερέων, καὶ ἐκφωνούντων τὸ « Ἄξιος· » εἶτα καθημένου αὐτοῦ, εὐφημοῦσι τοὺς εὐσεβεῖς βασιλεῖς, τὸν ἀρχιεπίσκοπον, καὶ αὐτὸν τὸν χειροτονηθέντα· καὶ οὕτως ἀπολύουσιν. Ὁ δέ γε λαὸς προσερχόμενος, ἀλλὰ δὴ καὶ ἱερωμένοι, ἀσπάζονται τὴν τοῦ χειροτονηθέντος χεῖρα, καὶ εὐλογοῦνται, μετὰ πίστεως τρέχοντες· ἐπειδήπερ νεωστὶ χειροτονηθεὶς ὅλος ἐστὶ κεκαθαρμένος τε καὶ πεφωτισμένος, καὶ τῷ ἐγκαινισμῷ ἡ χάρις
165 δαψιλέστερον χορηγεῖται παρὰ τῶν λαβόντων αὐτὴν ἄνωθεν. Τότε δὲ οὐδὲ κωλύεται εὐλογεῖν ἄλλης ὢν ἐπίσκοπος πόλεως, ἐπεὶ τὸ ἐνδόσιμον ἔχει, ὡς ἄρτι χειροτονηθείς. Λαμβάνει δὲ καὶ τὸν μανδύαν μετὰ τῶν ποταμῶν ὡς διδάσκαλος, τοῦ, « Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, » λεγομένου· ὅτι καὶ ἀπὸ τῶν οὐρανῶν ἡ χάρις ἡμῖν ἐκκέχυται· καὶ τὸ ἐγκόλπιον ὡς ἔνθεον ἀῤῥαβῶνα· ὅτι καὶ τὸ πρόσωπον φέρει Χριστοῦ, καὶ ἐν Χριστῷ τοῦ πρώτου ἀρχιερέως· καὶ ὅτι νυμφίος γέγονε τῆς Ἐκκλησίας Χριστοῦ, καὶ ἐν τῷ καιρῷ τῆς νυμφεύσεως πᾶσαν κέκτηται τὴν ἄδειαν εὐλογεῖν τε καὶ εὔχεσθαι, ἣν καὶ ὁ γνήσιος αὐτὸς ἀρχιερεύς· οὐ μὴν δὲ χειροτονεῖν. Καὶ εὐλογεῖ δὲ παῤῥησίᾳ κατ' αὐτὴν μόνην τὴν ἡμέραν.

ΚΕΦΑΛ. ΣΙΖ'.

Διατί προπέμπεται ἐν τῇ πόλει, καὶ εὐλογεῖ ὁ χειροτονηθείς.

Διὸ καὶ μετὰ τὴν τράπεζαν ἐπικαθεζόμενος ἵππῳ, κυκλοῖ τὴν πόλιν δορυφορούμενος· καὶ σφραγίζει πάντας καὶ εὐλογεῖ, ἁγιάζων τῇ σφραγῖδι τὴν πόλιν, καὶ ἐπευχόμενος ὡς καινὸς γεγονὼς ἀρχιερεὺς, τῆς ἐγκαινισθείσης αὐτῷ μεταδιδοὺς θείας χάριτος, καὶ ἁγιασμὸν τῇ εὐλογίᾳ χορηγῶν.

ΚΕΦΑΛ. ΣΙΗ'.

Τί τὸ ἀπελθεῖν εἰς τὸν βασιλέα καὶ εὔξασθαι τὸν νεωστὶ χειροτονηθέντα ἀρχιερέα, καὶ ὅπως τοῦτο πρῶτον ἐγίνετο.

Διὸ δὴ καὶ ὡς πρὸς Θεὸν παῤῥησίαν ἔχων καὶ τῇ χειροτονίᾳ δυνάμενος, καὶ τῷ βασιλεῖ πέμπεται εὐξόμενος ὑπὲρ αὐτοῦ, καὶ ἅμα ὡς χριστὸς Κυρίου τῷ Πνεύματι, τὸν χριστὸν Κυρίου τῷ μύρῳ εὐλογῶν καὶ ἐνισχύων ταῖς εὐχαῖς. Ὅθεν καὶ ἀπελθὼν εὔχεται τὰ πρὸς σωτηρίαν αὐτῷ· ὅτε καὶ πρότερον μὲν ἐγίνετο θεοφιλῶς τε καὶ δεόντως ἡ τάξις, διὸ καὶ ὀνήσιμος ἦν ἡ τοῦ ἀρχιερέως εὐχή· νῦν δὲ τοὐναντίον γινόμενον, ἄπρακτον τὴν εὐχὴν ἀποφαίνει. Τὸ ἀρχαῖον γὰρ ἔθος ἦν, ὅτι ἀποστελλομένου τοῦ ῥαιφερενδαρίου μετὰ τοῦ ἀρχιερέως εἰς τὰ βασίλεια,

A illa cessavit, et in sola Magna ecclesia peragitur in hunc modum : Præparato et proposito throno in quo sedet archiepiscopus, et peplo solito ipsi adaptato, factaque prece a presbytero, et præsentibus episcopianis omnibus trisagion cantantibus et cereos deferentibus, et circumdante plebe inthronizatur ordinatus episcopus a sacerdotum primo, et eo qui post ipsum secundus agit, terque a presbyteris in throno collocatur, exclamantibus, « Dignus. » Deinde eo sedente faustis acclamationibus, imperatores prosequuntur archiepiscopum et ipsum ordinatum, et sic celebratum dimittunt. Populus autem accedens, atque etiam clerici sacrati osculantur ordinati manum, et benedicuntur qui cum fide concurrunt. Cum enim sit recens or-
B dinatus, totus est purgatus et illuminatus, gratiaque in hac nova consecratione abundantius ab iis suppeditatur qui eam superne acceperunt. Neque etiam tunc benedicere prohibetur, licet alterius sit urbis episcopus, cum hujus rei, ut recens ordinatus, potestatem habeat. Accipit quoque mandyam sive pallium undulatum velut doctor, dum dicitur : « De cœlis accepisti divinam gratiam ; » quia gratia e cœlis in nos effusa est, et per encolpium, sive per crucis reliquiis gravidæ quæ collo appenditur traditionem, ut per divinum arrhabonem confirmatur : quoniam etiam personam Christi sustinet, et in Christo primi episcopi. Quia denique sponsus Ecclesiæ Christi factus est, et hac ratione omnem habet potestatem benedicendi, et precandi quam
C germanus illius urbis episcopus, non tamen ordinandi. Benedicit autem publice et confidenter per hunc solum diem.

CAPUT CCXVII.

Quare civitatem perequitat recens ordinatus et benedictionem impertit omnibus.

Ideo postquam ab altari recessit, equo insidens gyrat urbem, satellitum armatorum corona cinctus, crucisque signo signat omnes, et benedicit : urbem quoque signo crucis sanctificat ; et preces faciens ut novus factus episcopus divinam insuper gratiam qua per novam consecrationem donatus est, communicat, et sanctificationem benedictione largitur.

D

CAPUT CCXVIII.

Quare recens ordinatus episcopus abit ad imperatorem et pro eo precatur, et quomodo hoc pridem factum fuerit.

Quapropter, ut apud Deum confidentiam consecutus, et ordinatione sua potens, ad imperatorem mittitur ipse bene precaturus, et simul ut christus Domini per Spiritum, christum Domini chrismate factum benedicit, et precibus corroborat. Unde ad eum accedit, et quæ salutaria sunt, ei precatur. Hic ordo prius decenter et secundum Deum amanter observabatur ; ideo episcopi oratio plurimum erat utilis et efficax. Nunc vero contrarium observatum orationem reddit inutilem. Antiquitus mos erat ut mitteretur referendarius cum

episcopo in Cæsaris palatium, piusque imperator stationem faceret donec veniret episcopus. Eo igitur accedente dicebat diaconus : « Dominum deprecemur, » et episcopus orationem legebat, præstoque erat thuribulum, ut scribitur in Vita sancti Amphilochii. Hoc nunc facit patriarcha quinta die nova : episcopus accepto thuribulo, thure incenso imperatorem perfundit, et cum ipso communicat divinam gratiam et sanctificationem. Inclinante caput imperatore, ut significatur in Vita sancti Ambrosii, impertiebat illi benedictionem episcopus, ut recens ordinatus, et jam Spiritu innovatus, et valens in Christo benedicere et sanctificare. Postea imperatorem in ore osculabatur propter eam quæ in Christo est pacem, charitatem et sanctificationem. Sanctus enim est episcopus non modo mysteriorum communione et ordinatione, verum etiam hoc facit ut habens ordinatione sua cum imperatore communionem. Nam religiosus imperator chrismate quidem sanctus est, episcopus vero ordinatione. Post osculum honorabat episcopus inclinatione capitis imperatorem propter mundanam potestatem, et discedebat. Multi religiosorum imperatorum eum muneribus donabant, ut pro ipsis precatum, et honorifice dimittebant, ut sanctificatum. Sic magnus Constantinus non modo divinum Sylvestrum, sed etiam episcopos prope omnes qui erant in synodo honorifice comitabatur et deducebat, et conspiciebatur largitionibus eos prosequens, et membra eorum qui propter Christum passi fuerant, ut cæteris magis pretiosa, honorans.

ἐποίει παράστασιν ὁ εὐσεβὴς βασιλεὺς, καὶ ἐρχόμενος ὁ ἀρχιερεὺς, τοῦ διακόνου λέγοντος, « Τοῦ Κυρίου δεηθῶμεν, » ἀνεγίνωσκε τὴν εὐχὴν, καὶ ὄντος θυμιατοῦ, ὡς καὶ ἐν τῷ βίῳ τοῦ θείου Ἀμφιλοχίου γέγραπται, τοῦτο δὲ νῦν ὁ πατριάρχης τῇ νέᾳ Πέμπτῃ ποιεῖ, λαμβάνων ὁ ἀρχιερεὺς τὸ θυμιατὸν, ἐθυμία τὸν βασιλέα, μεταδιδοὺς αὐτῷ θείας χάριτος καὶ ἁγιασμοῦ, καὶ ὑποκλίνοντος τοῦ βασιλέως τὴν κεφαλὴν, ὡς καὶ ἐν τῷ βίῳ τοῦ ἁγίου δηλοῦται Ἀμβροσίου, ἐδίδου εὐλογίαν αὐτῷ ὁ ἀρχιερεὺς, ὡς νεωστὶ χειροτονηθεὶς καὶ ἐγκαινισθεὶς ἤδη τῷ Πνεύματι, καὶ ἰσχύων ἐν Χριστῷ εἰρήνην τε καὶ ἀγάπην καὶ τὸν ἁγιασμόν· ἅγιος γὰρ τῇ κοινωνίᾳ τῶν μυστηρίων καὶ τῇ χειροτονίᾳ ὁ ἀρχιερεύς. Ἀλλὰ καὶ ὡς κοινωνίαν μετὰ τοῦ βασιλέως ἔχων τῇ χειροτονίᾳ ὁ ἀρχιερεὺς τοῦτο ἐποίει· ὅτι ὁ μὲν τῷ χρίσματι ἅγιος, ἤτοι ὁ εὐσεβὴς βασιλεὺς, ὁ δέ γε ἀρχιερεὺς ἅγιος τῇ χειροτονίᾳ. Μετὰ δὲ τὸν ἀσπασμὸν προσκυνῶν τῇ κεφαλῇ τὸν βασιλέα διὰ τὴν κοσμικὴν ἐξουσίαν, ἀπήρχετο ὁ ἀρχιερεύς. Πολλοὶ δὲ τῶν εὐσεβῶν βασιλέων καὶ ἐδωροῦντο τούτῳ ὡς εὐξαμένῳ ὑπὲρ αὐτῶν, καὶ προέπεμπον ὡς ἡγιασμένον, ὡς καὶ Κωνσταντῖνος ὁ Μέγας, οὐ τὸν θεῖον Σίλβεστρον μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ συνόδῳ πάντας σχεδὸν προπέμπων αὐτοὺς καὶ τιμῶν καὶ δωρούμενος καθεωρᾶτο, καὶ τὰ διὰ Χριστὸν παθόντα τίμια τούτων μέλη τιμῶν.

CAPUT CCXIX.

Quod episcopalis dignitas non ita ut prius honoratur a regibus, unde ira Dei provocatur.

Nunc autem fit omnino contrarium. Exspectatur quidem episcopus, venit, precatur; nullius tamen honoris propter Christum dignus judicatur, sed potius dedecoratur, et eo qui benedicitur multo minor habetur, et illius secundum servitutem minister lectoribus vilior, qui die quinto novo cum patriarcha et cæteris clericis imperatoris manum genasque osculantur. Accedens enim coram imperatore sese prosternit, et precatus illius dexteram osculatur.

166 ΚΕΦΑΛ. ΣΙΘ'.

Ὅτι οὐ τιμᾶται νῦν ἡ ἀρχιερωσύνη παρὰ τῶν βασιλέων ὡς πρότερον· διὰ τοῦτο ὀργίζεται Θεός.

Νῦν δὲ τοὐναντίον γίνεται ἅπαν· καὶ ἡ παράστασις μὲν τελεῖται, καὶ ὁ ἀρχιερεὺς ἐρχόμενος εὔχεται· οὐ τιμῆς δέ τινος διὰ Χριστὸν ἀξιοῦται, ἀλλ' ἀτιμάζεται μᾶλλον, καὶ ὡς ἐλάττων κατὰ πολὺ δείκνυται τοῦ εὐλογηθέντος, καὶ κατὰ δουλείαν ὑπηρέτης, καὶ τῶν ἀναγνωστῶν εὐτελέστερος, τῶν κατὰ τὴν νέαν Πέμπτην ἀσπαζομένων τὸν βασιλέα εἴς τε τὴν χεῖρα καὶ τὴν παρειὰν μετὰ τῶν κληρικῶν καὶ τοῦ πατριάρχου. Προσελθὼν γὰρ τῷ βασιλεῖ προσκυνεῖ, καὶ τὴν αὐτοῦ τοῦ βασιλέως ἀσπάζεται χεῖρα μετὰ τὸ εὔξασθαι.

CAPUT CCXX.

Quod canonicis constitutionibus adversum est, episcopos dextram regis osculari, et episcopos ac præpositos a rege transponi in alia loca.

Quomodo qui precatus est hoc facit? Quamobrem imperator sacerdotis manum osculatur, ordinatus vero episcopus post orationem habitam imperatoris manum? Hoc fit plane præter rationem et inconsequenter. Vide vero quantum et quale sit id quod fit. Sanctificatus Spiritu, consecratus episcopus, qui manum habet sanctificatam, ita ut possit et ordinare, et benedicere, et cruce signare viros pios, ipse manibus ligatur. Manus vero ad benedicendum non consecratas, sed mundanas et bellicosas, labiis

ΚΕΦΑΛ. ΣΚ'.

Ὅτι τὸ ἀσπάζεσθαι ἀρχιερεῖς τὴν τοῦ βασιλέως χεῖρα παρὰ τὴν κανονικὴν τάξιν· καὶ τὸ μεταθέσεις ἐπισκόπων καὶ ἡγουμένων ποιεῖν τὸν βασιλέα.

Καὶ πῶς ὁ εὐχόμενος τοῦτο ποιεῖ; Καὶ διατί πρεσβυτέρου μὲν τὰς χεῖρας ἀσπάζεται βασιλεὺς, ἀρχιερεὺς δὲ χειροτονηθεὶς καὶ εὐχόμενος, τὴν χεῖρα τοῦ βασιλέως; Τοῦτο παρὰ πᾶσαν ἀκολουθίαν ἐστί. Καὶ ὅρα τὸ γινόμενον ὅσον. Ὁ ἡγιασμένος τῷ Πνεύματι, ὁ καθιερωθεὶς ἀρχιερεὺς, ὁ τὴν χεῖρα ἁγιασθεὶς, ὥστε χειροτονεῖν δύνασθαι καὶ εὐλογεῖν καὶ σφραγίζειν τοὺς εὐσεβεῖς, αὐτὸς δεσμεῖ τὰς χεῖρας, καὶ τὰς μὴ καθιερωμένας εἰς τὸ εὐλογεῖν, ἀλλὰ κοσμικὰς καὶ στρατηγικὰς χεῖρας, ἀσπάζεται δουλικῶς

χείλεσιν ἱεροῖς καὶ ἡγιασμένοις, χθὲς ἤδη καὶ καθ' ἡ- A μέραν τῇ φρικτῇ προσψαύουσι κοινωνίᾳ. Ἀλλὰ καὶ καθημένου τοῦ βασιλέως παρίσταται. Ταῦτα εἰ μὲν ἰδιώτης ἦν ἔδει· ἐπεὶ καί, « Τὸν βασιλέα τιμᾶτε, » φησὶν ὁ Ἀπόστολος· εἰ δὲ Χριστοῦ ἀρχιερεὺς καὶ τὸν τόπον τοῦ Χριστοῦ κεκτημένος, οὐ δεῖ οὕτω γίνεσθαι· εἰς Χριστὸν γὰρ ἀνατρέχει ἡ ἀτιμία· ὅτι οὐ τῶν πολλῶν εἷς ἐστιν, ἀλλὰ τῶν ἀφιερωμένων, καὶ τῶν τὴν ἀποστολικὴν πλουτησάντων δύναμιν. Ἀλλὰ ταῦτα, οὐ τοσοῦτον ἀπὸ τῶν βασιλέων, ὅσον ἀπὸ κολάκων ἀνθρώπων γέγονε, παραπεισάντων αὐτοὺς ἀνθρωπίνοις λόγοις ἐνεργεῖν καὶ τὰ μείζω, ὥστε καὶ προβιβάζειν ἐπισκόπους, καὶ μεταθέσεις ποιεῖν. Βαβαί! τὸν κεχειροτονημένον τῷ Πνεύματι τῆσδε τῆς Ἐκκλησίας ποιμένα, ἑτέρας ποιμένα καθίστασθαι παρὰ τῶν μὴ ἐχόντων τὴν τῆς ἱερωσύνης δύναμιν B καὶ ἐνέργειαν, καὶ παρὰ γνώμην τοῦ Πνεύματος!

ΚΕΦΑΛ. ΣΚΑ'.

Ὅτι οὐ δεῖ τοὺς κατὰ κόσμον ἄρχοντας τὰ ἱερὰ οἰκειοῦσθαι, καὶ λογίζεσθαι κερδαίνειν ἐκ τῶν ἀνατεθειμένων τῷ Θεῷ.

Εἰ δεῖ πρὸς οἰκοδομὴν καταστῆναι πρὸς μείζω πόλιν, παρὰ τοῦ Πνεύματος ἔσται τοῦτο, παρ' οὗ δὴ καὶ κεχειροτόνηται, οὐ παρὰ τῆς κοσμικῆς ἐξουσίας. Ἀλλὰ καὶ καθηγούμενοι ἀνδρῶν μοναστῶν καὶ Θεῷ καθιερωμένων, καὶ ψυχῶν χάριτι Θεοῦ προεστῶτες, οὕτω παρὰ τὸ τοῦ Πνεύματος θέλημα πολλοὶ δείκνυνται· καὶ λύουσι καὶ δεσμοῦσι, λαβόντες τοῦτο παρὰ τῶν μὴ λαβόντων τὴν τοῦ χαρίσματος δύναμιν· C καὶ χειροτονοῦνται καὶ πολλῶν ἄρχουσι, μηδὲν φροντίζοντες ὅλως τῶν ἐχόντων τὸ χάρισμα. Διὸ καὶ τὰ συντρίμματα ἡμῶν πολλὰ γέγονε, καὶ ἐσμικρύνθημεν, καὶ ὀλιγοστοὶ παρὰ πάντα τὰ ἔθνη γεγόναμεν· καὶ βίᾳ σπευδόντων τῶν μὴ καθηκόντων ἄρχειν τε καὶ ἐφάπτεσθαι, κατάρχουσιν ἡμῶν οἱ ἀλλότριοι· καὶ τὰ μὴ φίλα Θεοῦ ποιούντων, οἱ ἐχθροὶ ἡμῶν καὶ τοῦ Θεοῦ ἀκολούθως ἡμῖν κατεπεμβαίνουσι. Καὶ τὰ ἱερὰ οἰκειούμενοι καὶ κοινοῦντες, ἐκ τῶν ἀνατεθειμένων τῷ Θεῷ λογιζόμενοι (φεῦ!) κερδαίνειν, τὰ ἴδια ἡμῶν ἀπωλέσαμεν· καὶ καρποῦνται τὰ ἡμέτερα, 167 καὶ ἔδονται ἐνώπιον ἡμῶν οἱ ὑπεναντίοι. Ἀλλ' εἴθε γένοιτό τις θεραπεία τοῦ δεινοῦ τούτου, καὶ εἴησαν μὲν τὰ τοῦ Καίσαρος Καίσαρος, τὰ τοῦ Θεοῦ δὲ τοῦ Θεοῦ, ὡς ἂν καὶ ἠξιωμένα ἅπαντα γένοιτο εὐλογίας D τοῦ Θεοῦ, καὶ τὰ ἱερὰ συνιστάμενα, καὶ τὰ κοσμικὰ αὐξανόμενα, καὶ μὴ τοὐναντίον, ὑπ' ἀλλήλων φθειρόμενα· ὅτι καὶ ὁ ἀρχῆθεν πολέμιος καὶ φθορεὺς δεινὸς ἐν τούτοις σπεύδει, ὅπως καὶ ἱεροσυλίαν τοῖς εὐσεβέσι προστρίψῃ, καὶ τῶν ἱερῶν καὶ θείων τὴν καθαίρεσιν ἐνεργήσῃ. Ἀλλὰ καθαιρεθείη παρὰ Θεοῦ ὁ πονηρός, καὶ ζήσαιεν εὐσεβῶς καὶ θεοφιλῶς οἱ πιστοί τε καὶ εὐσεβεῖς, καὶ μισθὸν τῆς φιλοχρίστου γνώμης εἴησαν κομιζόμενοι ἐν Χριστῷ, τὴν τῶν δεινῶν ἐλευθερίαν, καὶ τὴν τῶν ἀγαθῶν παντοίαν ἐπαύξησιν. Ὁ χειροτονηθεὶς δὲ ἀρχιερεὺς καὶ τὸν τελευταῖον ἐν τῇ συνόδῳ ποιήσας ἀσπασμόν, καὶ τὸν οἰκεῖον τόπον λαβών, οὐκέτι χρείαν ἑτέρων τῶν κατὰ τύπον ἔχει· ἀλλ' ὡς ἀρχιερεὺς ὤν, τῶν τῆς Ἐκκλη-

A sacris et sanctificatis, quæ jam heri et unoquoque die tremendam communionem attingunt, non tantum serviliter osculatur, sed etiam sedenti imperatori adstat. Si privata persona esset, hæc quidem sic fieri oporteret, cum dixerit Apostolus: « Regem honorate. » Si vero Christi est episcopus, et Christi locum tenens, sic fieri non oportet; in Christum enim recurrit dedecus, quoniam non e vulgo ille est, sed e personis consecratis, et virtutem apostolicam copiose possidentibus. Verum ista non tam ab imperatoribus quam ab adulatoribus fiunt, qui eos humanis verbis falsa persuasione commovent ad majora perpetrandum, ita ut audeant et promovere episcopos, et translationes facere. Papæ! ordinatum per Spiritum sanctum hujus Ecclesiæ pastorem ab iis constitui alterius pastorem, B qui non habent sacerdotii potestatem et virtutem, et præter Spiritus sententiam!

CAPUT CCXXI.

Quod principes sæculares non debent sacra curare, atque ex rebus Deo consecratis lucrum petere.

Si ædificationis Ecclesiæ causa oportet aliquem episcopum in majori urbe constitui, hoc a Spiritu statuendum est, a quo et ordinatus est, non autem a mundana potestate. Multi etiam duces et abbates monachorum, qui Deo consecrati sunt, et gratia Dei animabus præsunt, sic præter Spiritus voluntatem agere convincuntur; solvunt enim et ligant, C ab iis potestate accepta, qui gratiæ virtutem non acceperunt. Ordinantur quoque, multisque imperant, nihil omnino curantes eos qui gratiæ donum possident. Ideo afflictiones et contusiones nostræ multæ factæ sunt, et præ omnibus gentibus contemptibiles, et minimi habiti sumus, et dum violenter festinamus ea quæ non decet attingere, et iis quos non oportet imperare, nobis alienigenæ dominantur; dumque facimus quæ Deo displicent, inimici nostri Deique consequenter nobis insultant, et quæ nobis sacra sunt, possident, Deoque consecratis potiuntur; eheu! existimantes lucrum aliquod facere, propria nostra perdidimus. Messes et fructus nostros colligunt inimici nostri, eaque D ante oculos nostros comedunt. Sed utinam fiat hujus gravissimi mali quædam sanatio, et quæ sunt Cæsaris dimittantur Cæsari, et quæ Dei Deo, ut omnia fiant Dei benedictione digna, consistantque sacra et conserventur, et sæcularia augeantur; non autem contrarium, ut ab invicem corrumpantur. Quoniam qui a principio inimicus noster est et molestus corruptor, in ejusmodi rebus festinat, ut sacerdotium cum viris piis committat, illudque alterat, sacraque et divina evertat. Sed evertatur a Domino malus, vivantque sancte et Deo amanter fideles et pietatis studiosi, et mercedem sententiæ Christo dilectæ reportent, libertatemque per Christum ab his gravibus molestiis, omnifariumque bonorum augmentum. Ordinatus

autem episcopus, postremaque salutatione in synodo functus proprium locum occupat, non amplius eget cæteris quæ typo continentur, sed ut episcopus exsistens quæ ad suam Ecclesiam spectant, curat. Cooperatur quoque sacris operibus accedens ad synodum a seipso, cum opus est, et advocatus.

A σίας αὐτοῦ φροντίζει· συνεργεῖ δὲ καὶ τοῖς ἱεροῖς ἔργοις παραβάλλων τῇ συνόδῳ, καὶ ἀφ' ἑαυτοῦ, ὅτε χρεία, καὶ προσκαλούμενος.

CAPUT CCXXII.

Quod episcopus electus ter osculum figit, et quomodo osculum quodque fiat.

Osculum ter datur ordinando præter illud quod fit in sanctuario. Primum quidem post indicationem, utpote tum factus Ecclesiæ sponsus cujus possessionem aggreditur. Cum videlicet nullo exsistente suaveolente suffitu vel roseo liquore adducitur ordinandus ad archiepiscopum sedentem, et ad episcopos circa ipsum ex utraque parte sedentes, terque sese prosternit, et osculatur genu, manum et genam pontificis, et in ore episcopos tum sedentes; nondum enim est episcopus, jussus autem sedet, non in throno episcopali, sed privatim inferius, in loco depressiore: quo significatur eum Ecclesiam tantum despondisse, et sponsalium primitias accepisse, nondum enim vir ejus est, vel maritus. Ideo velut qui tantum dederit symbola et arrhabonum primitias cum amicis et fratribus sponsæ ea peragit quæ ad amicitiam confirmandam inserviunt; unde eos osculatur ut jam amicus, et sedet cum eis, et consulit cum eis; non tamen considet, cum thronum nondum assecutus fuerit, nec honorem et dignitatem Patris Ecclesiæ; nec enim ipsis cooperatur, cum ordinare non possit. Consilium vero dat solum, sive sententiam dicit, et eorum quæ sunt sponsæ curam gerit, possessionum scilicet et negotiorum ad Ecclesiam spectantium. Secunda salutatio fit cum perficiuntur sponsalia, traditque sponsus et accipit pignora et mutuas donationes ante matrimonium fieri solitas, eaque agit quæ Patri conveniunt, et ad ipsum referuntur, veluti quod rectam fidem confessus, et œconomiam sibi creditam se bene administraturum sincere pollicitus primitias matrimonii accipiat, et in illius possessionem per parvum sigillum veluti per arrhabonem mittatur. Tunc enim sine unguento et suffitu osculum facit. Osculum vero ordinationis quod fit in sanctuario consummativum est et matrimonii et unionis, quia vir et maritus Ecclesiæ constituitur. Sed de eo dictum est, cum de ordinatione verba faceremus. Nunc autem tertium dicimus illud quod fit extra sanctuarium, sicut et alia oscula, illud nempe quod fit in synodo, et post ordinationem, cum recens ordinatus veniens sedentibus archiepiscopo et episcopis ter sese prosternit coram magno pontifice, ut subjectionem suam demonstret, et Trinitatem honoret. Postea surgente paululum archiepiscopo, ut ipsum honoret velut episcopum, stantibus vero aliis episcopis, æqualis enim est eis, et ejusdem honoris, accedit et consuetam facit salutationem; archiepiscopi scilicet genu, manum et genam osculatur; episcopos vero stantes in ore. Hoc peracto iterum

ΚΕΦΑΛ. ΣΚΒ'.

Ὅτι τρὶς ποιεῖται τὸν ἀσπασμὸν ὁ ἀρχιερεὺς χειροτονηθείς· καὶ ὅπως ἕκαστος γίνεται.

Ὁ ἀσπασμὸς δὲ τῷ χειροτονουμένῳ, πλὴν τοῦ ἐν τῷ βήματι τελουμένου, γίνεται τρίς· πρῶτον μὲν μετὰ τὸ μήνυμα ὡς γεγονότος αὐτοῦ μνηστῆρος τῆς ἐκκλησίας, ἧς τὴν ἐγχείρισιν δέχεται, ὅτε μὴ εὐόσμου ὄντος τινὸς, θυμιάματος δηλονότι ἢ ῥοδοστάγματος, καθημένου τοῦ ἀρχιεπισκόπου καὶ τῶν ἀρχιερέων ἑκατέρωθεν, προσαγόμενος προσκυνεῖ τρίς· B καὶ ἀσπαζόμενος γόνυ καὶ χεῖρα καὶ παρειὰν τοῦ ἱεράρχου, καὶ τοὺς ἀρχιερεῖς εἰς τὸ στόμα καθημένους καὶ αὐτοὺς, οὐ γὰρ ἐπίσκοπός ἐστιν ἔτι, κελευσθεὶς κάθηται, οὐκ ἐν θρόνῳ τῶν ἐπισκόπων, ἀλλ' ἰδίᾳ, κάτωθεν ἐν ὑφειμένῳ τινὶ, δηλουμένου ἐκ τούτου, ὡς ἡρμόσατο μόνον τὴν ἐκκλησίαν, καὶ τῆς μνηστείας ἔλαβε τὴν ἀπαρχὴν, οὐδέπω δὲ ἐστιν ἀνὴρ ἢ νυμφίος. Διὸ ὡς μόνον τὰ συμβόλαια δοὺς, καὶ τῶν ἀῤῥαβώνων τὰς ἀπαρχὰς, μετὰ τῶν φίλων τῆς νύμφης καὶ ἀδελφῶν ποιεῖται τὰ τῆς φιλίας ἐνέχυρα. Καὶ ἀσπάζεται ὡς φίλος ἤδη, καὶ κάθηται σὺν αὐτοῖς, καὶ βουλεύεται μετ' αὐτῶν. Οὐ συγκάθηται δὲ, ἐπεὶ οὐδὲ τοῦ θρόνου τετύχηκεν, οὐδὲ τῆς τιμῆς τοῦ Πατρὸς αὐτῆς καὶ ἀξίας· οὐδέ γε συμπράττει, ὅτι οὐδὲ χειροτονεῖν δύναται· συμβουλὴν δὲ ἤτοι C γνώμην καὶ μόνον δίδωσι, καὶ τῶν τῆς νύμφης φροντίζει κτημάτων δηλαδὴ καὶ πραγμάτων τῆς ἐκκλησίας. Ὁ δεύτερος δὲ ἀσπασμὸς, ὅτε τελεσθῶσι τὰ μνῆστρα, καὶ δοὺς τοὺς ἀῤῥαβῶνας καὶ λαβὼν, καὶ τὰς πρὸ τοῦ γάμου δωρεὰς καὶ τὰ σύμφωνα τῷ Πατρὶ, οἷον τὴν πίστιν ὀρθὴν ἀνομολογήσας, καὶ γνησίως τὴν ἐμπιστευθεῖσαν οἰκονομεῖν καθυποσχεθεὶς, τὰς ἀπαρχὰς τῆς νυμφεύσεως λάβῃ, καὶ τῇ μικρᾷ σφραγῖδι ταύτην ὡς ἐν ἀῤῥαβῶνι ἐγχειρισθῇ. Καὶ τότε γὰρ δίχα μύρου καὶ θυμιάματος ποιεῖται τὸν ἀσπασμόν. Γίνεται δὲ καὶ ὁ τῆς χειροτονίας, ὃς ἐντός ἐστι καὶ τελεστικὸς καὶ τῆς νυμφεύσεως καὶ ἑνώσεως· ὅτι ἀνὴρ καὶ νυμφίος τῆς ἐκκλησίας κατέστη. Ἀλλ' ὁ περὶ τούτου ἐν τῇ χειροτονίᾳ ἐῤῥέθη λόγος. D Νῦν δὲ τρίτον φαμὲν τὸν ἔξωθεν τοῦ βήματος, ὡς καὶ τοὺς ἄλλους ἀσπασμοὺς, τὸν ἐν τῇ συνόδῳ, καὶ μετὰ τὴν χειροτονίαν· ὅτε ἐλθὼν ὁ νεωστὶ χειροτονηθεὶς, τοῦ ἀρχιεπισκόπου καὶ τῶν ἀρχιερέων καθημένων, προσκυνεῖ τρὶς τῷ μεγάλῳ ἀρχιερεῖ, τὴν ὑποταγὴν αὐτοῦ δεικνὺς, καὶ τιμῶν τὴν Τριάδα. Εἶτα προσελθὼν, ὑπανισταμένου καὶ τοῦ ἀρχιεπισκόπου μικρὸν, τιμῶντος αὐτὸν ὡς ἀρχιερέα, καὶ τῶν ἄλλων δὲ ἱσταμένων ἀρχιερέων, ἴσος γάρ ἐστιν αὐτοῖς καὶ ὁμοταγὴς, ποιεῖται τὸν ἀσπασμὸν συνήθως· καὶ τὸν μὲν ἀρχιεπίσκοπον εἰς τὸ γόνυ καὶ τὴν χεῖρα καὶ τὴν παρειὰν ἀσπάζεται, τοὺς ἀρχιερεῖς δὲ ἱσταμένους **168** εἰς τὸ στόμα. Καὶ οὕτω πάλιν μέσον στὰς, καὶ τὸν ἀρχιεπίσκοπον προσκυνήσας, κελεύεται καθεσθῆναι· καὶ κάθηται

εἰς τὸν τόπον τῆς αὐτῆς Ἐκκλησίας, ἤδη καὶ τοῦτον παραλαβών. Διὸ καὶ ὁ ἀσπασμὸς γίνεται, ἵνα καὶ τὸν θρόνον αὐτοῦ λάβῃ καὶ συγκάθεδρος ἀναγορευθῇ τῆς συνόδου καὶ συγκριτής. Καὶ δὴ κατὰ τὴν τάξιν τοῦ θρόνου αὐτοῦ καὶ τὴν τιμὴν ἔχει· καὶ κάθηται καὶ γνωμοδοτεῖ, καὶ τὰ λοιπὰ ἐνεργεῖ.

A in medio stat, et postquam sese coram archiepiscopo inclinavit, assidere jubetur. Sedet autem in loco ecclesiæ suæ debito, jam illius capturus possessionem; ideo enim fit illa salutatio, ut thronum suum accipiat, et synodi promulgetur assessor, et cum aliis judex. Nam secundum ordinem throni sui et honoratur, et sedet, et sententiam dicit, et cætera operatur.

ΚΕΦΑΛ. ΣΚΓ'.

Διατί ἐν τῷ τρίτῳ καὶ τελευταίῳ ἀσπασμῷ θυμίαμα μετὰ ῥοδοστάγματος προσφέρεται· καὶ περὶ τῆς λεγομένης πράξεως, ἤτοι γράμματος, τὰ περὶ τῆς χειροτονίας δηλοῦντος.

Ἐπεὶ δὲ ταῦτα διὰ τῆς χάριτος ἔλαβε, καὶ τῶν εὐόσμων προσφέρεταί τι, οἷον ῥοδόσταγμα, καὶ θυμίαμα διὰ τοῦ ἐπὶ τῆς εὐταξίας, ὃς καὶ προηγεῖται, καὶ τὸν χειροτονηθέντα ἐν τούτοις πᾶσι προπέμπει. Οὕτως οὖν ὁ χειροτονηθεὶς ἀρχιερεὺς καταστὰς πάντα τὰ νενομισμένα τετέλεκεν. Ὃς καὶ ἐγγράφως λαμβάνει τὰ περὶ αὐτοῦ ὑπομνήματα εἰς δήλωσιν ἀσφαλείας, γράμμα λαβὼν πάντα περιέχον τὴν ἀναγωγὴν αὐτοῦ, τὴν ἱερωσύνην, τὸν βίον, τὰς ψήφους, καὶ ὑπὸ τίνων ἐψήφισται, καὶ ὅπως τὴν ἀρχιερωσύνην κανονικῶς ἔλαβεν. Ὃ δὴ καὶ ὁ ἀρχιεπίσκοπος ὑπογράφει, καὶ βούλλῃ οἰκείᾳ σφραγίζει, ὡς ἂν ἡ εἰς τὴν ἐπισκοπὴν κατάστασις ἐμμάρτυρος τούτου ᾖ.

CAPUT CCXXIII.

Quare ad tertium et ultimum osculum suffitus cum aqua rosacea offertur, et de actione sive scripto quo singuli ordinationis ritus exponuntur.

Cum autem per gratiam hæc acceperit, offert aliquid suaveolens, veluti roseum liquorem, et B quæ suffitum apta sunt facere, per eum qui cæremoniis ordine agendis præpositus est, qui in hujusmodi et præit, et ordinatum deducit. Cum igitur sic episcopus institutus omnia quæ legibus statuta sunt perfecerit, scripto etiam accipit testificationem securitatis causa eorum quæ de ipso dicta factave sunt; diploma nempe omnia continens, institutionem ipsius, mores, sacerdotium, suffragia, et a quibus suffragia accepit, quave ratione episcopatum canonice suscepit. Hoc testimonium archiepiscopus subscribit et bulla propria obsignat, ut sit illi promotionis et institutionis ad episcopatum testificatio.

ΚΕΦΑΛ. ΣΚΔ'.

Περὶ καταστάσεως καὶ χειροτονίας πατριάρχου.

C Ἐπεὶ δὲ καὶ ὁ πατριάρχης ἐπίσκοπος, ἴδωμεν καὶ τὰ κατ' αὐτὸν ἐν τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου. Πατριάρχου πρὸς Θεὸν μεταστάντος, οὐδεὶς τῶν ἀρχιερέων τῇ Μεγάλῃ ὅλως ἐκκλησίᾳ παραβάλλει, ἵνα μὴ ὡς ἐπιβάτης λογισθῇ. Τοῦ βασιλέως δὲ ὡς ἐκδίκου τῆς Ἐκκλησίας προτροπὴν ἄνωθεν ἔχοντος τῶν θείων Πατέρων, σύνοδον ἱερὰν τούτου χάριν συνάγειν ἀρχιερέων, αὐτὸς δὴ ὁ βασιλεὺς τοὺς πλησιοχώρους προσκαλεῖται διὰ προσταγμάτων ἀρχιερεῖς. Καὶ συναχθέντων αὐτῶν, πάντες οἵ τε πρότερον ὄντες ἐν τῇ μεγάλῃ πόλει, οἵ τε συναθροισθέντες ἔξωθεν ὅσοι δυνατὸν ἐλθεῖν, ἐπεὶ καὶ εἴπερ πάντες ἦσαν κανονικοὶ, τοῦ βασιλέως προστάγματι ὁμοῦ συνάγονται ἐν ἱερῷ τόπῳ ἑνί. Καὶ τοῦτο δὲ ἀρχαῖον ἔθος τὸ μὴ μόνους συνάγεσθαι, ἵνα μὴ D σχίσματά τινα συμβαίη γενέσθαι καὶ ταραχάς. Συνάγονται δὲ οὐκ ἐν τῷ μεγάλῳ ναῷ τοῦ πατριαρχείου, ὅτι πατριάρχης οὐκ ἔστι, καὶ οὔτινι ἄδεια ἐκεῖσε παραβαλεῖν, ἀλλ' ἐν τῷ τῶν ἁγίων Ἀποστόλων θείῳ σηκῷ, διὰ τὴν χάριν τῶν ἀποστόλων, καὶ ὅτι ἀποστολικὸν τὸ λειτούργημα, καὶ κύκλῳ δὲ αἱ εἰκόνες τῶν ἀποστόλων, ὡς καὶ ἐν τῷ ψηφιφορίῳ οἱ ἀπόστολοι ἀνιστόρηνται ἄνωθεν τὸ Πνεῦμα δεχόμενοι. Τῆς εὐχῆς οὖν, καὶ τῶν τριῶν φώτων καὶ τοῦ θυμιάματος, καὶ τοῦ μνημοσύνου, καὶ τῆς ἀπολύσεως παρὰ τοῦ πρώτου ἀρχιερέως τελεσθέντων, συμψαλλόντων καὶ συνευχομένων καὶ τῶν λοιπῶν, κατὰ τάξιν κάθηνται, μόνον τοῦ χαρτοφύλακος αὐτοῖς συμπαρόντος, καὶ ὡς ἔθος αἱ ψῆφοι ἐν τρισὶ προσώποις,

CAPUT CCXXIV.

De constitutione et ordinatione patriarchæ.

Cum autem episcopus fit patriarcha, videamus quid in ejus consecratione observari soleat. Patriarcha ex hac vita ad Deum profecto nullus omnino episcoporum ad Magnam ecclesiam accedit, ne sedem hanc invadere velle videatur: sed imperator ea de causa sacram episcoporum synodum convocat, ea utens auctoritate sibi antiquitus a divinis Patribus ut Ecclesiæ defensori concessa. Advocat igitur in urbem, regiis suis litteris, vicinos episcopos quantum fieri potest; nam si omnes adessent, res esset plane canonica. Illi igitur secundum regias litteras simul cum iis qui in urbe tum versantur in loco sacro congregantur. Ex antiqua autem consuetudine soli non congregantur, ne schismata inter eos et tumultus contingant. Congregantur autem non in magno patriarchii templo, eo quod non est patriarcha, neminique licet illud accedere, sed in divina Sanctorum Apostolorum ecclesia, tum propter gratiam apostolicam, tum propter ministerium apostolicum. Circa eos appensæ sunt apostolorum imagines, velut in loco suffragiorum ferendorum historia apostolorum cœlitus Spiritum recipientium depingi consueta est. Oratione igitur et tribus luminibus, et thuris suffitu, et monimento, et absolutione ab episcoporum primo perfectis, cæteris simul psallentibus et comprecantibus ordine sedent, solo chartophylace ipsis considente. Suffragia autem secundum consuetudinem, ut diximus, in tres personas

feruntur, lataque ad imperatorem a chartophylace A et duobus episcopis deferuntur. Unius de tribus a concilio nominatis electio antiquitus imperatori, ut uncto, a Patribus permissa est, eo quod omnes sunt a synodo electi, et digni eo honore judicati.

CAPUT CCXXV.

Quod ab imperatore ipso præsente dignitatem patriarchu electus suscipit.

Qui igitur e tribus electus est, et declaratus, et ab ipso imperatore præsente dignus pronuntiatus, hoc enim fit ut plurimum propter operis magnitudinem et grave actionis momentum, quod qui noverunt, reverentur, electioni consentire persuasus, eaque accepta, indicta die declarationem excipit, convocatis omnibus qui illic sunt, episcopis, presbyteris, archimandritis, hegumenis, clero, et populi magna parte, velut promoto communi Patre, omnibus quoque principibus lampades gestantibus, facta prece, ut dictum est, ab electo patriarcha, et dimissione, solemnis illa patriarchæ electi declaratio sive indicatio a maximis senatoriis principibus pronuntiatur. Imperatoris enim personam gerunt, imperator vero quæ synodi sunt administrat, ut unctus Domini, et defensor atque minister Ecclesiæ cum unctus est, constitutus, idque tum pollicitus.

CAPUT CCXXVI.

Quomodo fiat decretum de ejus electione.

Quapropter qui declarationem pronuntiant, sic C loquuntur : « Fortis et sanctus Dominus noster et imperator, et divina sacraque et magna synodus advocant sanctitatem tuam ad excelsissimum thronum patriarchii Constantinopolitani : » testantes quod imperator non a seipso, sed quæ synodus statuit simul cum synodo pronuntiat, et solum ministerium hic præbet.

CAPUT CCXXVII.

Contra eos qui dicunt quod imperator patriarcham facit.

Quapropter nugantur quidam rerum novarum inventores invidia impulsi, cum dicunt : Imperator patriarcham creat. Nullo modo id facit imperator, sed synodus ministrante pio imperatore, ut de- D monstratum est; non tantum quoniam defensor est, et imperator unctus ab Ecclesia, sed etiam ut cooperetur, et ministret, et diligat, et firma conservet quæ ad Ecclesiam spectant: tenetur enim propter Ecclesiæ pacem hæc inter orthodoxos observare. Postquam igitur electus sese ab onere subeundo modeste et honeste excusavit, Ecclesiamque suscepit, omnes episcopi illum adeunt et adoratione colunt, similiter clerici et laici benedictione ab eo accepta, quia sponsus Ecclesiæ est. Si igitur ille electus patriarcha episcopus est, ordinatione non eget, sed tantum enthronismo; si vero presbyter, ordinatur et in thronum collocatur.

A ὡς εἰρήκαμεν, γίνονται. Καὶ τὰς ψήφους ταύτας ὁ χαρτοφύλαξ μετὰ δύο ἀρχιερέων προσκομίζει τῷ βασιλεῖ. Τούτῳ δὲ ἀνεῖται ἄνωθεν ἀπὸ τῶν Πατέρων ὡς κεχρισμένῳ βασιλεῖ, ἡ ἀπὸ τῶν τριῶν ἐκλογὴ, ὅτι ἐκλελεγμένοι εἰσὶ παρὰ τῆς συνόδου καὶ οἱ τρεῖς κεκριμένοι ἄξιοι.

ΚΕΦΑΛ. ΣΚΕ'.

Ὅτι ὁ βασιλεὺς δι' ἑαυτοῦ ἀξιοῖ τὸν ψηφισθέντα τὴν πατριαρχείαν καταδέξασθαι.

Ὁ οὖν ἐκ τῶν τριῶν ἐκλεγεὶς καὶ διαμηνυθεὶς, ἢ καὶ παρ' αὐτοῦ ἀξιωθεὶς παραγενομένου **169** τοῦ βασιλέως, τοῦτο γὰρ καὶ ἐπὶ πλέον γίνεται διὰ τὸ μέγα τοῦ ἔργου καὶ τὸ παραιτεῖσθαι τὴν μεγάλην ἐγχείρησιν τοὺς εἰδότας, ὡς εὐλαβουμένους αὐτὴν, ὁ πεισθεὶς καὶ καταδεξάμενος, ἐν ὡρισμένῃ ἡμέρᾳ τὸ μήνυμα δέχεται πάντων συνηγμένων ἐκεῖσε ἀρχιερέων, ἱερέων, ἀρχιμανδριτῶν, ἡγουμένων, τοῦ κλήρου, καὶ πλείστου λαοῦ, ὡς τοῦ κοινοῦ προχειριζομένου Πατρὸς, καὶ ἀρχόντων λαμπαδηφορούντων ἁπάντων. Καὶ τῆς εὐχῆς γινομένης, ὡς εἴρηται, παρὰ τοῦ ὑποψηφίου πατριάρχου, καὶ ἀπολύοντος, τὸ μήνυμα δίδοται παρ' ἀρχόντων συγκλητικῶν τῶν μεγίστων, τοῦ βασιλέως γὰρ φέρουσι τὸ πρόσωπον. Ὁ βασιλεὺς δὲ τὰ τῆς συνόδου ὑπηρετεῖ, ὡς Χριστὸς Κυρίου καὶ δεφένσωρ καὶ ὑπηρέτης τῆς Ἐκκλησίας καταστὰς, ἐν τῷ χρίεσθαι καὶ τοῦτο καθυποσχεθείς.

ΚΕΦΑΛ. ΣΚϚ'.

Ὅπως τὸ μήνυμα γίνεται.

C Διὸ καὶ οἱ τὸ μήνυμα λέγοντες οὕτω φασίν· « Ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, καὶ ἡ θεία καὶ ἱερὰ καὶ μεγάλη σύνοδος προσκαλοῦνται τὴν ἁγιωσύνην σου εἰς τὸν ὑψηλότατον θρόνον τοῦ πατριαρχείου τῆς Κωνσταντινουπόλεως· » μαρτυροῦντες, ὡς οὐχ ὁ βασιλεὺς ἀφ' ἑαυτοῦ, ἀλλὰ τὰ τῆς συνόδου μετὰ τῆς συνόδου μηνύει, καὶ μόνον ὑπηρετεῖ.

ΚΕΦΑΛ. ΣΚΖ'.

Κατὰ τῶν λεγόντων ὅτι ὁ βασιλεὺς τὸν πατριάρχην ποιεῖ.

Φλυαροῦσι τοίνυν οἱ λέγοντες καινοτόμοι φθόνῳ βαλλόμενοι, ὡς Ὁ βασιλεὺς τὸν πατριάρχην ποιεῖ· οὐδαμῶς γὰρ ὁ βασιλεὺς, ἀλλ' ἡ σύνοδος ἐνεργεῖ, D ἐξυπηρετουμένου μόνον τοῦ βασιλέως εὐσεβοῦς ὄντος, ὡς δέδεικται· οὐ μόνον ὅτι ἔκδικός ἐστι, καὶ βασιλεὺς χρισθεὶς ἐκ τῆς Ἐκκλησίας, ἀλλ' ἵνα καὶ συνεργῶν εἴη καὶ ὑπηρετῶν, καὶ στέργῃ καὶ βέβαια τηρῇ τὰ τῆς Ἐκκλησίας, ὀφειλομένου καὶ τούτου ἐν τοῖς ὀρθοδόξοις τηρεῖσθαι, διὰ τὴν εἰρήνην τῆς Ἐκκλησίας. Ἀπολογουμένου οὖν καὶ τοῦ ὑποψηφίου τὰ εἰκότα, καὶ καταδεξαμένου τὴν Ἐκκλησίαν, πάντες ἀρχιερεῖς προσέρχονται τούτῳ καὶ προσκύνησιν ἀπονέμουσιν, ὁμοίως κληρικοί τε καὶ λαϊκοὶ, λαμβάνοντες εὐλογίαν ὅτι μνήστωρ τῆς Ἐκκλησίας ἐστίν. Οὗτος οὖν, εἰ μὲν ἐκ τῶν ἀρχιερέων ἐστὶν, οὐ δεῖται χειροτονίας, ἀλλὰ μόνον ἐνθρονισμοῦ· εἰ δὲ ἱερεὺς, χειροτονεῖται καὶ ἐνθρονίζεται.

ΚΕΦΑΛ. ΣΚΗ'.

Ὅτι τὸ μήνυμα γεγονὼς ἱερεὺς δέχεται ὁ μὴ πρότερον ὢν ἱερεύς. Καὶ περὶ προβλήσεως πατριάρχου.

Εἰ δὲ ψηφισθεὶς οὐκ ἦν ἱερευς, καταδεξάμενος γενέσθαι, κατὰ τάξιν καὶ βαθμὸν προαγόμενος, πρῶτον χειροτονεῖται εἰς ἱερέα, καὶ οὕτω τὸ μήνυμα δέχεται. Μετὰ δέ γε τὸ μήνυμα καὶ ἕτερόν τι γίνεται πρὸ τῆς χειροτονίας ἢ τοῦ ἐνθρονισμοῦ, ὃ καλεῖται « πρόβλησις. » Τοῦτο δέ ἐστιν ὁμολογία τοῦ βασιλέως διὰ στόματος οἰκείου καὶ τιμὴ πρὸς τὴν Ἐκκλησίαν, ὡς στέργει τὸν ἐκλεγέντα παρ' αὐτῆς, καὶ ἐψηφισμένον, τὴν Ἐκκλησίαν ποιμαίνειν καταδεξάμενον· καὶ ἐν τῇ ἁγίᾳ Τριάδι τῇ δωρησαμένῃ τούτῳ τὴν βασιλείαν ἔχει καὶ αὐτὸς αυτὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸν πατριάρχην. Οὐ μὴν ἐνεργεῖ αὐτὸν αὐτὸς, οὐδὲ δίδωσι τούτῳ τι, ἀλλὰ συμφωνεῖ καὶ ἐπακολουθεῖ τῷ ἔργῳ. Καὶ δῆλον ὅτι οὐ δίδωσιν, ἀλλὰ λαμβάνει μᾶλλον, καὶ ὡς ὑπηρέτης τῶν τῆς Ἐκκλησίας ἐστὶν, ὅτι τὴν ἱερὰν ῥάβδον αὐτῷ τῷ ὑποψηφίῳ ἐγχειρίσας οἰκείᾳ χειρὶ, προσέρχεται καὶ ὑποκλίνει τούτῳ τὴν κεφαλήν· καὶ ἀποκαλύπτων αὐτὴν, ὡς ἔθος, εὐλογίαν δέχεται, καὶ ἀσπάζεται τὴν τοῦ ὑποψηφίου χεῖρα. Φανερώτερον δὲ, ὅτι **170** οὐ δίδωσιν αὐτός τι, ἀλλὰ τοῦτο ποιῶν τὰ τῆς Ἐκκλησίας στέργει τε καὶ βεβαιοῖ, ὅτι καὶ ὄντος ἀρχιερέως, τοῦ ὑποψηφίου πατριάρχου, καὶ μηδενὸς εἰς χειροτονίαν ἀρχιερατικοῦ χρείαν ἔχοντος, τοῦτο γίνεται. Καὶ ἔτι τοῦτο διὰ τὸ τιμᾷν ἐστι τὸν βασιλέα τὴν Ἐκκλησίαν, οὐκ ἄρχειν.

CAPUT CCXXVIII.

Quod is qui antea sacerdos non erat, prius ordinatur sacerdos antequam decretum de ejus electione accipiat. Et de patriarchæ promotione sive declaratione per imperatorem.

Si autem electus non erat presbyter, postquam ut fieret consensit, secundum ordinem et gradum quem habet promotus, primum in presbyterum consecratur, et consecratus solemni declaratione inauguratur. Post declarationem autem illam et paululum antequam episcopus ordinetur, vel inthronizetur, fit id quod dici solet promotio, hoc est, confessio imperatoris per os proprium, honoremque defert Ecclesiæ testificans se electum ab Ecclesia diligere et amplecti quem statuit synodus Ecclesiam pascere, habereque illum et agnoscere in nomine sanctæ Trinitatis a qua imperium accepit, in archiepiscopum Constantinopoleos novæ Romæ et œcumenicum patriarcham. Non igitur creat illum imperator, neque illi dat aliquid, sed operi jam facto consentit et obsequitur. Clarum est quod nihil illi dat; sed potius] ab eo accipit, et veluti minister est rerum ecclesiasticarum. Nam cum electo sacram virgam propria manu tradidit, ad eum accedit, et illi caput inclinat, et aperit, et sicut moris est, benedictionem accipit, osculaturque electi patriarchæ manum. Clarius adhuc patet imperatorem nihil illi dare, sed hæc facere ut ostendat se amore in Ecclesiam ferri, et quæ ab ea constituta sunt, confirmare. Quoniam si electus patriarcha est episcopus, nulloque consequenter egeat episcopali ministerio ad ordinationem, id tamen fieri solet. Præterea hoc facit imperator, ut demonstret se Ecclesiam honorare, non ut illi imperet.

ΚΕΦΑΛ. ΣΚΘ'.

Διατί μανδύαν ἀποστέλλει μὲν καὶ τὸ ἐγκόλπιον τῷ ὑποψηφίῳ πατριάρχῃ ὁ βασιλεὺς, δικανίκιον δὲ τῇ χειρὶ δίδωσιν.

Ὅτι ἐλθόντα τὸν ὑποψήφιον ὁ βασιλεὺς πρὸ τοῦ ἰδεῖν φιλοφρονεῖ, καὶ μανδύαν μετὰ ποταμῶν ἀποστέλλει, καὶ τὸ τῆς Ἐκκλησίας ἐγκόλπιον, ὅπερ ὡς ἀῤῥαβών ἐστι καὶ ὡς ὑπηρέτης καὶ φύλαξ αὐτὸς φυλάσσει. Διὸ καὶ τὴν ῥάβδον ὡς τιμιωτέραν καὶ ποιμαντικῆς ἐξουσίας σύμβολον αὐτὸς δίδωσι διὰ τὴν τιμὴν καὶ τὸ ἀσφαλέστερον τῇ χειρί· καὶ δείκνυσι πᾶσιν, ὅτι καὶ αὐτὸς τοῦτον ποιμένα στέργει, ὃν ἐξελέξατο ὁ Θεός· καὶ φανερώτερον τοῦτο μαρτυρῶν, κελεύει. Καὶ ἵππος παρασήμοις τισὶ κοσμεῖται· καὶ ἐπ' αὐτῷ ὁ ὑποψήφιος κάθηται. Καὶ ὑπὸ πεζοῦ τοῦ κόμητος τὸν χαλινὸν τοῦ ἵππου κατέχοντος ἀντὶ τοῦ βασιλέως αὐτοῦ, ὡς ὁ μέγας ἐν βασιλεῦσι Κωνσταντῖνος τῷ ἱερῷ πεποίηκε Σιλβέστρῳ, προπέμπεται διά τε τῆς βασιλικῆς πάσης αὐλῆς καὶ τῆς δημοσίας ὁδοῦ ἄχρι καὶ αὐτοῦ τοῦ πατριαρχείου. Εἰ ἔστι δὲ καὶ τῷ βασιλεῖ υἱὸς, ἕπεται ἔφιππος, καὶ ἡ σύγκλητος πᾶσα. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα καὶ ἡ καλουμένη πρόβλησις γίνεται διὰ τὴν τῆς Ἐκκλησίας τιμὴν, ἣ εἰς Χριστὸν ἀναφέρεται. Καὶ εἰ μὲν ὁ ψηφισθεὶς ἀρχιερεύς ἐστιν, ὡς ἔφημεν, μετὰ τὸ μήνυμα εὐθὺς πατριάρχης ἐστὶ, καὶ οὐδενὸς ἀλ-

CAPUT CCXXIX.

Quare imperator pallium et encolpium sive thecam sacrarum reliquiarum ad electum patriarcham mittit, baculum vero ipse manu sua illi porrigit.

Nam imperator electum ad se venientem, antequam illum videat, blande et amanter prosequitur, pallium undulatum illi mittens, et crucem sinu gestari solitam, quæ ut pignus velut minister et custos conservat. Ideo virgam, ut honorabilius potestatis pastoralis symbolum, ipse manu tradit propter honorem et securitatem, atque ut demonstret se pastorem quem Deus elegit, charitate complecti. Testimoniorum tamen evidentissimum hoc est: jubet ut præparetur equus phaleris pulchre insignitus, et illi electus insideat, frenaque equi prehendat, vice imperatoris, comes pedes incedens, ut olim sancto Sylvestro fecit magnus imperator Constantinus, et sic pedibus incedat per aream regiæ et viam publicam donec ad patriarchium perveniat. Si autem est imperatori filius, eques sequitur, et omnis senatus. Sic igitur ad Ecclesiæ honorem fit ea quæ vocatur promotio, sed hæc omnia ad Christum referuntur. Si electus episcopus est, ut diximus, post solemnem declarationem statim est patriarcha, nulloque alio indiget præter solum enthronismum. Promotus in ecclesiam ve-

nit, templumque ingressus et sanctum altare, epi- A trachelium et pallium sibi circumponit, et accepto thuribulo et thure, prece facta suffumigat sacram mensam et thronum sanctum superiorem, ut sibi concessum, iterumque sacram mensam, osculaturque sacrum Evangelium, et sanctam mensam iterum, velut Christum et Ecclesiam quam accepit. Postea reddens thuribulum diacono ab eo suffumigatur, et tempore adveniente benedicit Deum, qui eum tantis donis dignatus est: quoniam etiam ab oratione incipere debet qui Ecclesiam accepit, cum oratio unionem cum Christo cujus est Ecclesia, significet. Hinc etiam trisagii oratione facta diaconus ambonem ascendit, ibique supplicationem protensam pronuntiat, in qua imperatorum memoriam facit et ipsius patriarchæ; patriarcha B autem dicta apud se oratione protensæ supplicationis exclamat, « Quia misericors, » etc., et dimissione facta, faustaque acclamatione ad multos annos decantata, ut sacerdotium perseveret incolume, crucis signo facto abit.

CAPUT CCXXX.

De enthronismo patriarchæ et de pace quæ ab antistite datur, et quantum fas, illi redditur.

Crastina vero die, congregatis imperatoribus et principibus et fere omni populo, liturgia magno cum apparatu celebratur a patriarcha, assistentibus ei episcopis omnibus, et clero, et urbis sacerdotibus. Oportet enim omnes adesse pastoris sui en- C thronismo, et eum in cathedra conspicere, velut ipsum Dominum nostrum Jesum Christum Filium Dei viventis, et ab ipso in his initiis tum maxime benedici, pacemque ab eo de sacerdotali throno suscipere, eamque illi vovere et acclamare. Pax autem illa est Servatoris nostri, quæ omnem intellectum superat, hæreditas nostra, suavis compellatio et æterna exspectatio, ut, quemadmodum precatus est, unum cum ipso simus, Patreque ejus et Spiritu. Illa igitur est quæ nos Deo et angelis conjungit, quæ bona nobis abunde suppeditat in hoc et præsenti sæculo, cujus pacis Jesu non est terminus, quam ad crucem procedens nobis in hæreditatem reliquit, ut dictum est, quamque a D mortuis suscitatus primum pronuntiavit, et dedit, nobisque insevit. Hanc divinam pacem qui zelotæ sunt fidei, et vere Christiani audire desiderant ab episcopo; quique sciunt quæ sit salutatio illa pacis, orant sacros episcopos quandiu vivunt, in throno sedere, et pacem ipsis dicere et precari, ut scriptum est in Vita magni Petri Alexandrini, qui sæpe verecundabatur hoc facere, reverens virtutem quæ est in throno episcopali, quam sæpius corde puro conspiciebat. Post mortem etiam magno cum desiderio petierunt videre pastores suos mortuos in throno suo sedentes, hoc modo credentes se divina pace frui.

λου δέεται, εἰ μὴ τοῦ ἐνθρονισμοῦ μόνου. Καὶ προβληθεὶς, εἰς τὴν Ἐκκλησίαν ἔρχεται· καὶ εἰσελθὼν τὸν ναὸν καὶ τὸ θεῖον θυσιαστήριον, ἐπιτραχήλιον καὶ ὠμοφόριον περιτίθεται. Καὶ θυμιατήριον λαβὼν, καὶ τὸ θυμίαμα εὐλογήσας, κύκλῳ θυμιᾷ τὴν ἱερὰν τράπεζαν καὶ τὸν ἄνω ἅγιον θρόνον, ὡς δεδομένον αὐτῷ· καὶ πάλιν τὴν ἱερὰν τράπεζαν· καὶ ἀσπάζεται τὸ ἱερὸν Εὐαγγέλιον καὶ αὐτὴν, ὡς τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν ἥνπερ παρέλαβε· καὶ τὸ θυμιατὸν δοὺς διακόνῳ, θυμιᾶται παρ' αὐτοῦ. Καὶ καιροῦ γινομένου εὐλογεῖ τὸν Θεὸν, τὸν τηλικούτων αὐτὸν ἀξιώσαντα· καὶ ὅτι ἀπὸ προσευχῆς δεῖ ἄρχεσθαι, τὴν Ἐκκλησίαν παραλαβών· ἐπεὶ καὶ ἕνωσις πρὸς Χριστὸν, οὗ ἡ Ἐκκλησία, ἡ προσευχή. Ὅθεν καὶ προσευχῆς Τρισαγίου γινομένης, ὁ διάκονος τὰ τῆς ἐκτενοῦς ἐπὶ τοῦ ἄμβωνος ποιεῖται δεήσεως· καὶ μνημονεύει τῶν τε βασιλέων, καὶ τοῦ πατριάρχου αὐτοῦ. Ὁ δὲ πατριάρχης τὴν εὐχὴν εἰπὼν καθ' ἑαυτὸν τῆς ἐκτενοῦς ἱκεσίας, ἐκφωνεῖ, « Ὅτι ἐλεήμων· » καὶ ἀπόλυσιν ποιησάμενος, τοῦ, « Εἰς πολλὰ ἔτη, » ᾀδομένου ὑπὲρ τοῦ διαμένειν τὴν ἀρχιερωσύνην, σφραγίσας, ἀνέρχεται.

ΚΕΦΑΛ. ΣΛ'.

Περὶ τοῦ ἐνθρονισμοῦ καὶ τῆς παρὰ τοῦ ἀρχιερέως διδομένης εἰρήνης, καὶ ἀντιδιδομένης ὁπόσον δύναται.

Τῇ κυρίᾳ δὲ ἡμέρᾳ τῶν βασιλέων συνηγμένων καὶ ἀρχόντων, καὶ σχεδὸν παντὸς τοῦ λαοῦ, ἡ λειτουργία μεγαλοπρεπῶς τελεῖται παρὰ τοῦ πατριάρχου, συνόντων αὐτῷ τῶν ἀρχιερέων ἁπάντων καὶ τοῦ κλήρου, καὶ τῶν τῆς πόλεως ἱερέων. Δεῖ γὰρ πάντας παρεῖναι ἐπὶ τῷ τοῦ ποιμένος αὐτῶν ἐνθρονισμῷ, καὶ ἰδεῖν αὐτὸν ἐπὶ τῆς καθέδρας ὡς τὸν Κύριον ἡμῶν Ἰησοῦν αὐτὸν τὸν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ εὐλογηθῆναι παρ' αὐτοῦ τότε μᾶλλον καὶ καταρχὰς καὶ τὴν εἰρήνην παρ' αὐτοῦ δέξασθαι ἀπὸ τοῦ ἱερωτάτου θρόνου καὶ προσφωνῆσαι ταύτην αὐτῷ. Αὕτη δέ ἐστιν ἡ εἰρήνη τοῦ Σωτῆρος ἡμῶν ἡ πάντα νοῦν ὑπερέχουσα, ἡ κληρονομία ἡμῶν, τὸ γλυκὺ πρόσρημα, ἡ αἰώνιος προσδοκία, ἵνα ὦμεν ἓν μετ αὐτοῦ, καὶ τοῦ 171 Πατρὸς αὐτοῦ, καὶ τοῦ Πνεύματος, ὥσπερ ηὔξατο. Αὕτη οὖν, ἡ καὶ τῷ Θεῷ καὶ τοῖς ἀγγέλοις ἡμᾶς συνάπτουσα, καὶ τὰ ἀγαθὰ ἡμῖν χορηγοῦσα, καὶ ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι, ἧς εἰρήνης τοῦ Ἰησοῦ ὅριον οὐκ ἔστιν οὐδέν· ἣν καὶ πρὸς τὸ πάθος ἐρχόμενος, κληρονομίαν ἀφῆκεν ἡμῖν, ὡς εἴρηται, καὶ ἀναστὰς πρῶτον εἴρηκέ τε καὶ δέδωκε καὶ ἐφύτευσεν ἐν ἡμῖν· ἧς ἐπιθυμοῦντες ἀκοῦσαι παρὰ τοῦ ἱεράρχου θείας εἰρήνης οἱ ἐξαρχῆς ζηλωταὶ τῆς πίστεως, καὶ ὄντως Χριστιανοὶ, εἰδότες τί ἐστι τὸ πρόσρημα τῆς εἰρήνης, καὶ ζώντων τῶν ἱερῶν ἀρχιερέων ἐδέοντο ἐπὶ τοῦ θρόνου καθίσαι, καὶ τὴν εἰρήνην αὐτοῖς εἰπεῖν, ὡς ἐν τῷ βίῳ τοῦ μεγάλου Πέτρου Ἀλεξανδρείας γέγραπται, ὃς καὶ πολλάκις ᾐδεῖτο τοῦτο ποιεῖν, τὴν ἐν τῷ θρόνῳ εὐλαβούμενος δύναμιν, ἣν καὶ πολλάκις ἑώρα ὡς τὴν καρδίαν καθαρὸς, καὶ μετὰ τὸ τέλος ἐζήτουν ἐν ἐπιθυμίᾳ πολλῇ, καὶ νεκροὺς ἐπὶ τοῦ θρόνου ἰδεῖν αὐτῶν τοὺς ποιμένας, ὡς καὶ οὕτω πιστεύοντες τυχεῖν τῆς θείας εἰρήνης.

ΚΕΦΑΛ. ΣΛΑ'.

Περὶ τῶν θείων καὶ μεγάλων ἀρχιερέων Πέτρου Ἀλεξανδρείας καὶ Ἰωάννου τοῦ Χρυσοῤῥήμονος· ὅτι ἐκάθισαν τούτους τοῖς θρόνοις καὶ μετὰ θάνατον διὰ τὴν ἄνωθεν εἰρήνην.

Ὃ δὴ καὶ μετὰ τὴν σφαγὴν ἐπὶ τῷ θείῳ ἐκείνῳ Πέτρῳ γέγονεν ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν τῇ βασιλίδι δὲ πόλει τῇ φιλοχρίστῳ, ἐπὶ τῷ χρυσοῤῥήμονι Πατρί· ὃν καὶ νεκρὸν ἐπὶ πολὺ ὄντα, ἐπὶ τὸν θρόνον ἐκάθισαν· καὶ ὃς, φασὶ, χάριτι θείᾳ διῆραι τὰ χείλη, καὶ τὸ, « Εἰρήνη ὑμῖν, » εἰπεῖν. Νῦν δὲ οὐκ οἶδ' ὅπως τοῦτο καταπεφρόνηται· καίτοι γε τοῦ τε θρόνου ὄντος, καὶ τῆς σφραγῖδος ἄνωθεν τελουμένης, καὶ τῆς ἱερᾶς γινομένης καθέδρας, καὶ παρὰ τοῦ ἀρχιερέως τοῦ, « Εἰρήνη πᾶσι, » λεγομένου, καὶ τοῦ διακόνου πρότερον τὸ, « Πρόσσχωμεν, » ἐκβοῶντος. Ἀλλ' οὐδεὶς ἐπὶ τούτῳ φροντίζει, οὐδὲ ἀκοῦσαι ποθεῖ, οὐδὲ ἀντιφωνεῖ, « Καὶ τῷ πνεύματί σου. » Καίτοι γε Γρηγόριος ἡ θεολόγος φωνὴ ἐρᾷ τε καὶ ἐπιποθεῖ τὴν φίλην εἰρήνην, καὶ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα ταύτην καλεῖ, καὶ δοῦναι καὶ ἀντιλαβεῖν εὐχῆς ποιεῖται. Ἀλλ' ὡς ἔοικε τῷ μικρὰν εἶναι τὴν φωνὴν ἀγνοηθῆναι τὴν τὰ μέγιστα δυναμένην, καὶ πρὸς ἔθος ἐλθεῖν τοῦ μηδὲ αἰσθάνεσθαι ταύτης, καὶ τὸν διάκονον ὡς εἰκῆ λέγειν τὸ, « Πρόσσχωμεν, » καὶ τὸν ἀρχιερέα δὲ καθ' ἑαυτὸν καὶ ἀνειμένως πως καὶ οὐκ ἐν φροντίδι τὸ, « Εἰρήνη πᾶσι, » λέγειν, ἢ τὸ, « Εἰρήνη ὑμῖν. » Ἀλλὰ προσεκτέον, καὶ τὰ παραδεδομένα φυλακτέον, καὶ μᾶλλον τὰ παρὰ τοῦ Χριστοῦ, ὅς ἐστιν ἡ εἰρήνη ἡμῶν, οὗπερ τὴν εἰρήνην καὶ Πέτρος ἡμῖν εὔχεται, καὶ Παῦλος πανταχοῦ, καὶ τῶν μαθητῶν ἁπάντων καὶ ἱερέων οἱ χοροί. Καὶ προσεκτέον, μήποτε ῥᾳθυμίᾳ ἢ καταφρονήσει τοῦ δώρου, ἢ ἀγνοίᾳ τῆς μεγίστης εὐεργεσίας, ἢ καὶ ἐπηρείᾳ ἐχθροῦ, τῆς ἐννοίας καὶ ζητήσεως ἀπάγειν ἡμᾶς βουλομένου τῆς εἰρήνης ὡς ψυγῆναι τὴν ἀγάπην ἀεὶ ζητοῦντος, καὶ τὴν ἐν Χριστῷ ἕνωσιν. Τοῦτο γίνεται ὅθεν καὶ καθεσθέντος ἐπὶ τοῦ θρόνου τοῦ ἱεράρχου, πάντες οἱ ὑπ' αὐτὸν ἱερωμένοι τε καὶ λαϊκοὶ ἀτενῶς εἰς αὐτὸν ὡς εἰς τὸν Χριστὸν ἐν τῷ οὐρανῷ καθήμενον ἱστάμενοι καθοράτωσαν. Καὶ τοῦ διακόνου τὸ, « Πρόσσχωμεν, » λέγοντος, ὁ μὲν ἀρχιερεὺς, τὸ, « Εἰρήνη πᾶσιν, » ἢ τὸ, «Εἰρήνη ὑμῖν, » ἐκφώνως λεγέτω· πάντες δὲ, « Καὶ τῷ πνεύματί σου, » ἀποκρινέσθωσαν, τὰς κεφαλὰς ὑποκλίνοντες. Καὶ αὕτη ἐστὶν ἡ μετὰ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἕνωσίς τε καὶ εἰρήνη. Καὶ οὕτως οἱ μὲν ἀρχιερεῖς καθεζέσθωσαν· οἱ λοιποὶ δὲ κατὰ τὴν τάξιν στηκέτωσαν.

CAPUT CCXXXI.

De divinis et magnis antistibus Petro Alexandrino et Joanne Chrysostomo C. Pol. quod mortui etiam in throno sive cathedra sua collocati sunt propter pacem pristino more ab illis accipiendam.

Hoc certe accidit Alexandriæ in divino illo Petro post ejus cædem; et in urbe regia et Christi amante in Patre sancto Chrysostomo, quem longo post mortem tempore in thronum suum collocarunt, quique tum, ut dicunt, divina gratia aperuit labia, et illud : Pax vobis, pronuntiavit. Nunc autem nescio quomodo hoc contemnitur, quamvis thronus adsit, et signum crucis desuper conficiatur, et sacra cathedra subsistat, pronuntieturque ab episcopo, « Pax vobis, » priusque diaconus inclamet, « Attendamus. » Nullus tamen ad hoc mentem advertit, neque audire desiderat, neque respondet : « Et cum spiritu tuo. » At Gregorius Theologus vocem amat et desiderat, vocatque eam dilectam pacem, remque et nomen dulce, quam dare et percipere per orationem procurat. Sed ut probabile est, dictio illa maxime potens et efficax, eo quod exigua sit, ignoratur; et obtinuit consuetudo, ut ne quidem audiatur, et sentiatur, frustraque dicat diaconus illud : « Attendamus, » et episcopus ipse languide et supine, non autem cum cura et studio pronuntiet illud : « Pax omnibus, » vel, « Pax vobis. » Sed serio his advertendum est, et quæ nobis tradita sunt, custodienda; præsertim quæ a Christo, qui est pax nostra, cujus pacem Petrus nobis imprecatur, et ubique Paulus, discipulorumque omnium et sacerdotum chori. Attendendum autem est ne hoc fiat pigritia quadam et supinitate, vel doni neglectu, vel maximi beneficii ignorantia, vel inimici malignitate nos a pacis cogitatione et inquisitione avertere volentis, semperque quærentis charitatem et nostri cum Christo unionem tepidiorem et frigidiorem reddere. Hinc igitur, episcopo sedente in throno, qui ei subsunt sacrati et laici stantes fixis oculis in eum velut in Christum cœlo insidentem intueantur. Et cum diaconus profert : « Attendamus, » episcopus dicat, alta voce : « Pax omnibus, » vel, « Pax vobis, » omnes vero capita inclinantes respondeant, « Et cum spiritu tuo. » Hæc est illa pax quæ nos unit Christo et sanctis ejus. Sic igitur episcopi hoc pronuntiantes sedeant, stent vero reliqui ordine suo.

ΚΕΦΑΛ. ΣΛΒ'.

Περὶ ἐνθρονισμοῦ πατριάρχου.

Ὁ δὲ τοῦ πατριάρχου ἐνθρονισμὸς γίνεται οὕτως· Εἰ ἀρχιερεύς ἐστι κεχειροτονημένος, 172 μετὰ τὴν πρόβλησιν παραγεγονὼς εἰς τὸν μέγαν τῆς Θεοῦ Σοφίας ναὸν καὶ προσευξάμενος, καὶ τοῦ μνημοσύνου γινομένου, ὡς εἴρηται, ἄνεισι, καὶ τῆς κυρίας ἐπιστάσης, πάντων συνηθροισμένων, κάτεισι. Καὶ τὰ ἀρχιερατικὰ μετὰ τοῦ σάκκου ἐνδύεται· καὶ τῆς λειτουργίας ἀπάρχεται, κατὰ τὸ ἔθος

CAPUT CCXXXII.

De enthronismo Patriarchæ.

Patriarchæ autem enthronismus, sive in cathedram collocatio fit hoc modo. Si episcopus ordinatus est, post promotionem accedit ad magnum Sapientiæ Dei templum, ibique precatus, et monumento, ut dictum est, facto recedit. Die autem dicta instante omnibus congregatis accedit, et ornamenta episcopalia cum sacco induitur, et missam incipit, metropolitis eum de more venu-

rantibus, et in loco consueto sacras stolas vestientibus, qui postea in tempore Introitus missæ advocantur. Introitu facto fausta acclamatio inferius non fit, sed in synthrono, velut in episcopi ordinatione. Trisagio decantato et oratione finita cerei traduntur, et plurimi accenduntur propter Spiritus gratiam significandam, quæ tum in episcopo innovatur ad Ecclesiæ catholicæ administrationem suscipiendam et aggrediendam per ipsius in divino throno patriarchico collocationem. Credendum enim est gratiam abundantius et profusius in eum advenire, ut corroboretur ad majus divinum opus et ministerium pro omnibus Ecclesiis subeundum. Nam secundum proportionem ministerii demandati, major unicuique illuminatio, et gratia, et virtus a Deo suppeditatur: « Habentes, inquit, donationes differentes secundum gratiam nobis datam, sive prophetiam secundum rationem fidei, sive ministerium, in ministrando; » reliqua insuper enumerat Apostolus.

Cæterum patriarcha licet episcopus, secundum tamen ministerium quo fungitur majorem accipit gratiam, maxime cum in dignitate illa constituitur. Ideo accenduntur luminaria, omnibus stantibus secundum ordinem suum in gradibus suis, duoque primi episcopi prodeunt, et electum accipiunt ex utroque latere, et in divinum thronum collocant, exclamantque illud, « Dignus, » quod postea ter cantatur ab omnibus sacris hominibus qui sunt intra sanctuarium, terque ab omnibus qui sunt extra, psaltis et clericis. Iterum secundo surgunt, et sedent clamantes, « Dignus, » et iterum ter intus et extra sanctuarium illud psallitur; et tertio similiter ab iis in sedem collocatur, terque, « Dignus, » dicitur, et psallitur, a sacratis intra, et a psaltis extra. Tunc fausta fit acclamatio, quæ est sacrum quoddam mysterium Christi cruce et morte sua vincentis, et carne resurgentis, et exaltati, mundum fide ad se trahentis, « Ipsa est enim victoria quæ mundum vicit, fides nostra, » ut ait dilectus discipulus. Quæ per episcopos Christi regnum quod antea Christum persequebatur, Christo subegit. Ideo in hac acclamatione imperatores prædicantur pii, non infideles, nec aliena sapientes, eorumque anni optantur multi, uti permaneant semper; nam regni Christi non erit finis. Episcopatus autem cum regno faustis acclamationibus denuntiatur, eo quod episcopatus regnum Christo subegit, et Christianorum imperium constituit; Christi vero regnum est æternum; dicitur enim: « Tu es sacerdos in sæculum, hoc est semper, secundum ordinem Melchisedech, » non autem secundum legem. Ea de causa clamante diacono, « Sapienter attendamus, » alta voce profert patriarcha, « Pax omnibus. » Ad quod omnes, ut diximus, magna cum cura attendere oportet; episcopos vero et presbyteros attentos stare et ei respondere, « Et spiritui tuo, » sicque sedere; populum similiter pace accepta

A τῶν μητροπολιτῶν προσκυνούντων, καὶ ἐν τῷ συνήθει τόπῳ τὰς ἱερὰς περιβαλλομένων στολάς, καὶ προσκαλουμένων συνήθως ἐν τῷ καιρῷ τῆς εἰσόδου. Μετὰ τὴν εἴσοδον δὲ ἡ φήμη κάτω οὐ γίνεται, ἀλλ᾽ ὡς ἐν ἀρχιερέως χειροτονίᾳ, ἐν τῷ συνθρόνῳ. Μετὰ γὰρ τὸ Τρισάγιον καὶ τὴν εὐχήν, κηροδοσία γίνεται, ἀναπτομένων φώτων πολλῶν διὰ τὴν χάριν τοῦ Πνεύματος, ἐγκαινιζομένην τῷ ἱεράρχῃ πρὸς τὴν τῆς καθολικῆς Ἐκκλησίας οἰκονομίαν τε καὶ ἐγχείρησιν διὰ τῆς ἐν τῷ θείῳ θρόνῳ τῷ πατριαρχικῷ ἱερᾶς καθιδρύσεως. Ἐπιφοιτᾷν γὰρ δαψιλέστερον αὐτῷ πιστευτέον, ὡς ἐνισχύειν πρὸς τὸ μεῖζον ὑπὲρ πασῶν τῶν ἐκκλησιῶν ἔνθεον ἔργον καὶ ὑπηρέτημα· ὅτι καὶ ἔλλαμψις μείζων καὶ χάρις καὶ δύναμις κατὰ τὴν ἀναλογίαν τῆς διακονίας ἑκάστῳ χορηγεῖται. « Ἔχοντες δὲ, φησί, χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, » καὶ λοιπὰ ἐπικαταλέγει.

Λοιπὸν ὁ πατριάρχης εἰ καὶ ἐπίσκοπος, ἀλλ᾽ οὖν κατὰ τὴν διακονίαν καὶ μείζω λαμβάνει χάριν, καὶ μᾶλλον ἐν τῷ ἀποκαθίστασθαι. Ὅθεν καὶ ἀναπτομένων τῶν φώτων, πάντων ἱσταμένων ἐν ταῖς βαθμίσι κατὰ τὴν τάξιν, ὑπὸ δύο τῶν πρώτων ἀρχιερέων ἐγκαθιδρύεται, λαμβανόντων αὐτὸν ἑκατέρωθεν, καὶ τῷ θείῳ θρόνῳ ἐγκαθιζόντων, καὶ ἐκβοώντων τὸ Ἄξιος. Ὃ δὴ καὶ ψάλλεται τρὶς παρὰ τῶν ἐντὸς πάντων ἱερωμένων, καὶ τρὶς παρὰ τῶν ἐκτὸς ψαλ-
C τῶν τε καὶ κληρικῶν. Καὶ ἐκ δευτέρου αὖθις ἀνιστῶσί τε καὶ καθίζουσι, βοῶντες τὸ Ἄξιος. Καὶ πάλιν τοῦτο τρὶς ἐντός τε καὶ ἔξωθεν ψάλλεται. Καὶ τρίτον ὁμοίως ἐνθρονίζεται παρ᾽ αὐτῶν, καὶ τὸ « Ἄξιος » λέγεται καὶ ψάλλεται τρὶς παρά τε τῶν ἱερωμένων ἐντός, καὶ παρὰ τῶν ψαλτῶν ἐκτός. Καὶ τότε ἡ φήμη γίνεται· ἥτις δὴ καὶ ἱερά ἐστι τελετὴ τοῦ Χριστοῦ νικήσαντος τῷ σταυρῷ καὶ θανάτῳ, καὶ ἀναστάντος σαρκὶ καὶ ἀνυψωθέντος, τὸν κόσμον ἑλκύσαντος τῇ πίστει αὐτοῦ. Ἐπεὶ καὶ « Αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν, » ὁ ἠγαπημένος φησίν· ἥτις καὶ διὰ τῶν ἀρχιερέων Χριστοῦ τὴν βασιλείαν τὴν τὸν Χριστὸν πρὶν διώκουσαν τῷ Χριστῷ καθυπέταξε. Διὸ καὶ βασιλεῖς ἀνακηρύττονται εὐσεβεῖς, οὐκ ἄπιστοι, οὐδὲ ἑτερό-
D φρονες. Καὶ τούτων πολλὰ λέγονται τὰ ἔτη, εἰς τὸ διαμένειν ἀεί· ὅτι καὶ τῆς βασιλείας Χριστοῦ οὐκ ἔσται τέλος. Καὶ ἡ ἀρχιερωσύνη δὲ σὺν τῇ βασιλείᾳ ἀναγορεύεται, ὅτι καὶ ἡ ἀρχιερωσύνη τὴν βασιλείαν Χριστῷ καθυπέταξε, καὶ αὕτη τὴν Χριστιανῶν βασιλείαν καθιστᾷ· καὶ ἡ τοῦ Χριστοῦ ἀρχιερωσύνη αἰώνιος. « Σὺ ἱερεὺς γάρ, φησίν, εἰς τὸν αἰῶνα, τουτέστι διαπαντός, κατὰ τὴν τάξιν Μελχισεδέκ, » καὶ οὐ κατὰ νόμον. Καὶ οὕτω, « Σοφίᾳ πρόσσχωμεν, » κράζοντος τοῦ διακόνου, τό, « Εἰρήνη πᾶσιν, » ὁ πατριάρχης ἐκφωνεῖ. Περὶ οὗ, ὡς εἰρήκαμεν, ἔδει φροντίζειν πάντας· καὶ δεῖ φροντίζειν, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς ἵστασθαι, καὶ ἀντιφωνεῖν αὐτῷ, « Καὶ τῷ πνεύματί σου· » καὶ οὕτω καθέζεσθαι, καὶ τὸν λαὸν ὁμοίως δεξάμενον τὴν εἰρήνην, « Καὶ

τῷ πνεύματί σου, » βοᾷν. Τοῦτο γὰρ ἡ τοῦ Σωτῆρος πρὸς ἡμᾶς κληρονομία καὶ δωρεὰ, καὶ ἡ τελευταία εὐχὴ, τὸ ἓν εἶναι μετ' αὐτοῦ· καὶ ἡ πρώτη φωνὴ μετὰ τὴν ἀνάστασιν, « Εἰρήνη ὑμῖν. » Καὶ διὰ τοῦτο οὕτω λαμπρὰ καὶ ἡ ἐν τῷ συνθρόνῳ τοῦ πατριάρχου γίνεται ἐγκαθίδρυσις, ἵνα καθεσθεὶς ὥσπερ ὁ Σωτὴρ εἰς τοὺς οὐρανοὺς, τὴν εἰρήνην ἐκεῖθεν ἅπασι δῴη τε καὶ κηρύξαι· ὡς καὶ ἐκεῖθεν τῷ τρικηρίῳ εὐλογεῖ, ὡς ἀπὸ τοῦ οὐρανίου θρόνου τὴν τῆς Τριάδος παρέχων χάριν καὶ ἔλλαμψιν διὰ τοῦ Σωτῆρος. Τὰ δὲ ἐφεξῆς ὡς ἐν πάσαις ταῖς λειτουργίαις γίνεται· εἰ μὲν ἀρχιερεὺς ἦν, οὕτως.

A *Et Spiritui tuo* resonare. Hæc est enim Servatoris hæreditas et donatio nobis concessa, postremaque oratio, ut unum cum ipso simus. Prima quoque ipsius vox post resurrectionem, « Pax vobis. » Propterea collocatio patriarchæ in thronum suum tam magnifice tantoque fit cum apparatu, ut, quemadmodum Servator sedens in cœlis pacem inde omnibus donat et prædicat, ita patriarcha e sede sua tricerio benedicat, velut a cœlesti throno præbens per Servatorem Trinitatis gratiam et illuminationem. Quæ sequuntur, eodem modo fiunt, quo in cæteris liturgiis. Si episcopus est, ita fit ut dictum.

173 ΚΕΦΑΛ. ΣΛΓ'.

Ὅπως ἡ χειροτονία τοῦ πατριάρχου γίνεται, μὴ ὄντος πρότερον ἐπισκόπου.

Εἰ δὲ πρεσβύτερος καὶ οὐκ ἀρχιερεὺς ὁ ὑποψήφιός ἐστι, χειροτονεῖται πρῶτον ἐπίσκοπος· ἔπειτα ἐνθρονίζεται. Ἐπισκόπου γὰρ ὁ θρόνος· ὅτι καὶ ἐπίσκοπος τὴν τοῦ Χριστοῦ πλουτεῖ δύναμιν. Καὶ γίνεται οὕτως ἡ χειροτονία. Εἰς τὸ ἁγιώτατον εἰσελθὼν βῆμα, προσκυνεῖ τὴν ἱερὰν τράπεζαν καὶ ἀσπάζεται ὁ ὑποψήφιος πατριάρχης· καὶ περὶ τὰς βαθμίδας τοῦ θείου συνθρόνου γενόμενος, προσκυνεῖ κατὰ ἀνατολὰς τρίς. Καὶ τὰ ἀρχιερατικὰ ἐνδιδύσκεται τῶν ἐκκλησιαστικῶν διακόνων ὡς ἀγγέλων τὰς ἱερὰς ἐνδεδυμένων στολὰς πρῶτον εὐλογίαν λαβόντων παρ' αὐτοῦ καὶ οὕτως ἐξυπηρετούντων αὐτῷ. Οἱ ἀρχιερεῖς δὲ μετὰ μανδύων ἵστανται μόνον. Πάντα οὖν ἐνδυσάμενος τὰ ἀρχιερατικὰ, στιχάριον μετὰ ποταμῶν, διὰ τὸ ἁγνόν τε καὶ τὴν διδασκαλίαν, διὰ τὴν ἄνωθεν χάριν ἐπιτραχήλιον, καὶ ζώνην καὶ ἐπιγονάτιον διὰ τὴν σωφροσύνην καὶ ἰσχὺν κατὰ θανάτου καὶ νίκην, ἐπιμάνικά τε καὶ σάκκον διὰ τὴν θείαν ἐνέργειαν καὶ τὴν διὰ τοῦ πάθους ἀφθαρσίαν, ὠμοφόριον μόνον οὐ περιβάλλεται· τοῦτο γὰρ ἴδιον ἐπισκόπου.

CAPUT CCXXXIII.

B *Quomodo ordinatio patriarchæ fiat qui episcopus antea non fuerat.*

Si vero electus presbyter est, non episcopus, ordinatur primum episcopus; postea in thronum collocatur. Ad episcopum enim thronus pertinet, eo quod Christi virtutem abunde possideat. Hoc autem ritu fit ordinatio. Patriarcha electus, sanctissimum ingrediens tribunal, adorat sacram mensam et osculatur. Cum vero pervenerit ad gradus divini synthroni, ter ad orientem adorat, et vestes episcopales induitur. Ecclesiastici autem diaconi, sicut angeli sacras stolas sive tunicas induti, benedictionem primum ab eo accipiunt, et ei sic ministrant. Episcopi autem cum mandyis sive longis palliis stant tantum. Omnes igitur C archieraticas vestes indutus, sticharium undulatum propter puritatem et doctrinam, epitrachelium sive stolam sacerdotalem, et zonam propter gratiam superne venientem, supergenuale propter temperantiam et fortitudinem contra mortem, deque ea victoriam, supermanicalia vero et saccum propter divinam virtutem, et per passionem immortalitatem, solum est pallium quo non induitur; est enim episcopi proprium.

ΚΕΦΑΛ. ΣΛΔ'.

Ὅτι καὶ ὁ πατριάρχης ὑπὸ τοὺς κανόνας ἐστί· καὶ μέλλων χειροτονεῖσθαι ἐπίσκοπος δίδωσι τὴν ὁμολογίαν αὐτοῦ τῇ Ἐκκλησίᾳ.

Μετὰ τοῦ σάκκου οὖν στὰς, δεικνὺς ὡς οὔπω ἐπίσκοπος πάντων ἱσταμένων ἀρχιερέων καὶ κληρικῶν τὰ τοῦ κανόνος ἐκπληροῖ· καὶ τὴν ὁμολογίαν αὐτοῦ ἐνώπιον λέγει πάντων, τὴν πίστιν ὀρθὴν διδοὺς, ὡς δῶρον τῆς νυμφεύσεως καθαρόν. Ὁ μὲν γὰρ ἀρχιερεὺς εἰς πατριάρχην μετατιθέμενος, δοὺς ἐξαρχῆς τὴν ὁμολογίαν ἐν τῷ χειροτονεῖσθαι, οὐκ ἔχει χρείαν αὖθις λέγειν αὐτήν· οὗτος δὲ μήπω ἐπίσκοπος γεγονὼς, ἀνάγκη ταύτην δοῦναι πρὸ τῆς χειροτονίας τῇ Ἐκκλησίᾳ, καὶ ἐντὸς ταύτην λέγει τοῦ βήματος, ὡς πάντων τῶν ἐν τῷ βήματι ἄρχων ἐν Πνεύματι καθιστάμενος καὶ Πατήρ. Αὐτὴν δὲ λέγει ἣν καὶ πάντες οἱ ὑποψήφιοι ἀρχιερεῖς λέγουσι, χωρὶς μόνον τοῦ ὑποτάσσεσθαι τῷ πατριάρχῃ. Ἐπεὶ γὰρ αὐτὸς πατριάρχης χειροτονούμενός ἐστι, τίνι ὑποταγήσεται, ἀλλ' ἢ τοῖς κανόσι καὶ μόνον, οὓς καὶ ὁμολογεῖ φυλάσσειν; Τῆς ὁμολογίας οὖν τελε-

CAPUT CCXXXIV.

Patriarcham quoque subesse canonibus, atque si episcopus ordinandus est, confessionem suam edere Ecclesiæ.

Stans igitur cum sacco, et hoc habitu demonstrans se nondum esse episcopum, stantibus quoque omnibus episcopis et clericis, qui supersunt e D canone complet, et confessionem suam coram omnibus recitat, rectam fidem ut purum desponsationis suæ donum exponens. Qui episcopus ad patriarchatum transfertur, qui confessionem ab initio dedit cum ordinaretur, non opus habet eam iterum proferre. Sed cum nondum factus est episcopus, necesse est ut ante ordinationem suam edat illam in Ecclesia, et intra sanctuarium, ut omnium qui sunt in sanctuario princeps et Pater per Spiritum constitutus. Eamdem autem edit quam omnes electi episcopi edere solent; eo solum excepto quod subjectionem patriarchæ non promittit; cum enim in patriarcham ordinetur, cui subjicietur, nisi solum canonibus quos confitetur se servaturum?

Facta igitur confessione propria manu scripta et subscripta, episcopi (ut testentur subjectionem suam, eum adorant, quoniam Magnæ ecclesiæ sponsus factus est; atque ab eo benedicti in loca consueta extra tribunal secedunt, et vestes episcopales induunt omnes. Presbyteri quoque benedictionem ab eo accipiunt. Cum autem qui secundas inter presbyteros agit, oblationem de more fecerit, missa inchoatur. Primo introitu facto diaconi et presbyteri per templum egrediuntur, et oratione introitus completa, bini de more in sanctuarium ingrediuntur.

A θείσης μετὰ τῆς οἰκειοχείρου ἐπιγραφῆς καὶ ὑπογραφῆς, οἱ ἀρχιερεῖς προσκυνοῦσι διὰ τὴν ὑποταγὴν, ὅτι μνήστωρ τῆς Μεγάλης ἐκκλησίας ἐγένετο. Καὶ εὐλογούμενοι παρ' αὐτοῦ, εἰς τοὺς συνήθεις ἔξωθεν τοῦ βήματος ἀπέρχονται τόπους, καὶ τὰ ἀρχιερατικὰ ἀμφιέννυνται ἅπαντα. Τῶν πρεσβυτέρων δὲ λαβόντων καὶ αὐτῶν εὐλογίαν τοῦ τῶν ἱερέων τε δευτερεύοντος ποιησαμένου τὴν προσκομιδὴν, ὡς ἔθος, ἡ λειτουργία ἄρχεται. Καὶ τῆς πρώτης εἰσόδου γινομένης, οἱ μὲν διάκονοι καὶ ἱερεῖς διὰ τοῦ ναοῦ ἐξελθόντες καὶ τὴν εὐχὴν ἐκτελέσαντες τῆς εἰσόδου, συνήθως κατὰ συζυγίαν εἰς τὸ θεῖον βῆμα εἰσέρχονται.

CAPUT CCXXXV.

Quod episcopi quando patriarcha ordinandus est, templum non per mediam portam, sed a latere (dextro) ingrediuntur.

Episcopi vero a chartophylace, et iis qui cum ipso sunt, advocantur, iisque præeuntibus a dexteris et sinistris, sanctuarium ingrediuntur, binique adorantes electum, stant secundum ordinem. Cereorum distributione facta, et luminaribus pluribus accensis in demonstrationem divinæ illuminationis, ut sæpius diximus, et adventus Spiritus et illustrationis, maximæ quoque propter hoc alacritatis et gaudii in cœlo et in terra, electus a duobus primis episcopis hinc inde assumitur, cæteri vero sequuntur, sed clerici omnes antecedunt, dumque præclare et magnifice decantatur hymnus, « Sancti martyres, » ter ducitur chorea ex consuetudine circa sacram mensam propter lætitiam cœlestem, omnibus, ipso quoque electo, in unaquaque chorea ad sacram mensam velut ante Dei thronum sese abjicientibus atque prosternentibus.

ΚΕΦΑΛ. ΣΛΕ'.

B *Ὅτι οὐκ εἰσοδεύουσι μέσον, πατριάρχου χειροτονουμένου οἱ ἀρχιερεῖς· ἀλλὰ διὰ τῆς πλαγίας εἰσέρχονται.*

Οἱ ἀρχιερεῖς δὲ παρὰ τοῦ χαρτοφύλακος καὶ τῶν σὺν αὐτῷ προσκαλούμενοι καὶ προοδηγούμενοι, διὰ τῆς πλαγίας τῆς δεξιᾶς εἰσέρχονται τὸ θυσιαστήριον, καὶ προσκυνοῦντες κατὰ συζυγίαν τῷ ἔτι ὑποψηφίῳ, ἵστανται κατὰ τάξιν. Κηροδοσίας δὲ γινομένης, καὶ φώτων ἀναπτομένων πολλῶν εἰς δεῖγμα τοῦ θείου φωτισμοῦ, ὡς πολλάκις εἰρήκαμεν, **174** καὶ τῆς ἐπιδημίας τοῦ Πνεύματος καὶ ἐλλάμψεως, καὶ τῆς μεγίστης ὑπὲρ τούτου ἐν τῷ οὐρανῷ καὶ ἐν γῇ λαμπρότητος, καὶ χαρᾶς, ὁ ὑποψήφιος ὑπὸ τῶν δύο πρώτων ἑκατέρωθεν λαμβάνεται ἀρχιερέων· οἱ λοιποὶ δὲ ἕπονται καὶ οἱ κληρικοὶ πάντες πορεύονται C ἔμπροσθεν. Καὶ λαμπρῶς ᾀδομένου τοῦ, « Ἅγιοι μάρτυρες, » ἡ χορεία γίνεται τρισσῇ, κυκλόθεν τῆς θείας τραπέζης κατὰ τὸ ἔθος διὰ τὴν εὐφροσύνην τὴν ἐπουράνιον κατὰ χορείαν, προσκύνησιν ἐν τῇ ἱερᾷ τραπέζῃ ὡς ἐν τῷ θρόνῳ τοῦ Θεοῦ ποιουμένων ἁπάντων καὶ τοῦ ὑποψηφίου.

CAPUT CCXXXVI.

Ab archiepiscopo Heracleensi, si præsens ille fuerit, patriarcham ordinari. Sin, a primo quoque aliorum archiepiscoporum.

His peractis, statim, si adest Heracleæ episcopus, ille quæ ad patriarchæ ordinationem spectant, exsequitur; eo quod, ut dicitur, Byzantium a Severo imperatore Heracleæ subjecta fuit, et usque ad magnum Constantinum episcopatus fuit Heracleæ metropoli attributus. Ascendit igitur super crepidinem, omnibus episcopis ipsum juvantibus et contingentibus, ut consensum suum in illius ordinatione demonstrent, quam simul decreverunt, ordinandum omnes quoque simul in Spiritu sancto consecrant. Hunc primum de more Heracleæ archiepiscopus ter cruce signat, hac actione primitias ordinationis delibans. Si vero non adest Heracleæ archiepiscopus, primus eorum, qui adsunt episcopus ordinationem cum aliis facit. Postea ordinando genua flectenti, fronte quoque et capite in sacram mensam incumbenti manum ordinans illi imponit, et cæteri illum contingunt. Denique quæ sunt in ala seu Spiritu descripta, legit ordinans, istud nempe, « Divina gratia. » Hoc facto, secun-

ΚΕΦΑΛ. ΣΛϚ'.

Ὅτι εἰ μὲν Ἡρακλείας πάρεστι, παρ' αὐτοῦ χειροτονεῖται ὁ πατριάρχης, εἰ δ' οὔ, παρὰ τοῦ πρώτου τῶν ἄλλων ἀρχιερέων.

Καὶ εὐθὺς εἰ μὲν Ἡρακλείας ἐστὶν ἀρχιερεὺς, οὗτος τὰ τῆς χειροτονίας ἐνεργεῖ τοῦ πατριάρχου· ἐπεὶ, ὥς φασι, τὸ Βυζάντιον ἀπὸ Σεβήρου βασιλέως ὑπὸ τὴν Ἡράκλειαν γέγονε, καὶ ἐπισκοπὴ ἦν τοῦ Ἡρακλείας ἄχρι καὶ τοῦ μεγάλου Κωνσταντίνου. D Ἀνελθὼν οὖν ἐπὶ τῆς κρηπῖδος, τῶν ἀρχιερέων πάντων συνεργούντων αὐτῷ καὶ συνεφαπτομένων τῷ χειροτονουμένῳ τε καὶ ἀλλήλοις, δεικνύντες ὡς συμφωνοῦσι πάντες, ἐπεὶ καὶ συνεψηφίσαντο, καὶ συγχειροτονοῦσιν ὁμοῦ ἐν ἁγίῳ Πνεύματι τὸν χειροτονούμενον, σφραγίζει τοῦτον ὁ Ἡρακλείας πρῶτον κατὰ τὸ ἔθος τρὶς, τὴν ἀπαρχὴν ποιῶν τῆς χειροτονίας. Εἰ δὲ οὐκ ἔστιν Ἡρακλείας, ἕτερος ἀρχιερεὺς τῶν ἄλλων ὁ πρῶτος τὴν χειροτονίαν σὺν τοῖς λοιποῖς ἐνεργεῖ. Εἶτα κλίναντος τὰ γόνατα, καὶ ἐπὶ τῆς θείας τραπέζης τὸ μέτωπον ἔχοντος τοῦ χειροτονουμένου καὶ τὴν κεφαλὴν ἐπ' αὐτῇ τὴν χεῖρα τίθησιν ὁ χειροτονῶν, καὶ οἱ λοιποὶ συνεφάπτονται. Καὶ τὰ τοῦ πτεροῦ ἤτοι τοῦ Πνεύματος ὁ χειροτονῶν ἀναγινώσκει, τὸ, « Ἡ θεία χάρις. » Καὶ μετὰ

τοῦτο τὴν δευτέραν ποιεῖται σφραγῖδα εἰς τὸ, « Κύριε, ἐλέησον. » Εἶτα τὸ Εὐαγγέλιον ἀνεῳγμένον δεχομένου τοῦ χειροτονουμένου ἐπὶ τῆς κεφαλῆς τε καὶ τοῦ τραχήλου ἐπικειμένης καὶ τῆς χειρὸς τοῦ χειροτονοῦντος, ἡ πρώτη εὐχὴ λέγεται, ἧς τελεσθείσης, ὁ δεύτερος ἀρχιερεὺς τὰς αἰτήσεις ποιεῖται. Καὶ οὕτω πάλιν ὁ χειροτονῶν καὶ τὴν δευτέραν εὐχὴν ἐκπληροῖ. Καὶ σφραγίσας τὸ τρίτον εἰς τύπον τῆς Τριάδος καὶ τῆς χειροτονίας τελείωσιν, ὅτι μόνη ἡ Τριὰς τελειοποιὸς, τὸ Εὐαγγέλιον αἴρει καὶ τίθησι τῇ τραπέζῃ, καὶ τὸν χειροτονηθέντα ἀνίστησιν ὡς ὑψωθέντα τῇ χάριτι· καὶ λαβὼν τὸ ὠμοφόριον καὶ σφραγίσας, τῷ χειροτονηθέντι περιτίθησιν, ἐκφωνῶν τὸ Ἄξιος (ἄξιον γὰρ αὐτὸν ὁ σταυρωθεὶς ἐκτετέλεκεν)· ὃ δὴ καὶ λαμπρῶς τρὶς ἐντός τε ᾄδεται καὶ ἐκτὸς, συμφωνούντων καὶ ἀγαλλιωμένων ἁπάντων καὶ βεβαιούντων τὰ τῆς χάριτος. Καὶ οὕτως ὁ μὲν χειροτονήσας τῆς κρηπῖδος κατέρχεται, τελέσας τὸ ἔργον· ἀνέρχεται δὲ εἰς αὐτὸν ὁ χειροτονηθεὶς πατριάρχης, ὡς τελεσθεὶς καὶ ἐπίσκοπος, καὶ πρῶτος ἁπάντων ὤν.

A dum facit sigillum, sive crucis signum cum pronuntiatur, « Kyrie, eleison. » Ordinandus postea Evangelium apertum suscipit super caput et cervicem, pronuntiaturque prima oratio, manu ordinantis ipsi imposita. Oratione completa secundus episcopus supplicationes facit. Sic iterum ordinans secundam orationem perficit. Ea finita tertio ordinandum cruce signat in figuram Trinitatis, et ordinationis consummationem et perfectionem operatur. Deinde Evangelium ab eo tollit, et altari imponit, et ordinatum erigit, velut gratia exaltatum et excelsum factum. Pallium demum accipiens et cruce signans ordinato circumponit, exclamans, « Dignus » (ipsum enim crucifixus dignum reddidit), quod intra et extra sanctuarium ter clare et magni- B fice decantatur, omnibus consentientibus et gaudentibus, et quæ gratiæ sunt confirmantibus. Opere sic confecto ordinator de crepidine descendit, eam autem ascendit patriarcha ordinatus, ut perfecte consecratus episcopus, et omnium primus.

ΚΕΦΑΛ. ΣΛΖʹ.

Ὅπως ἐν τῇ χειροτονίᾳ τοῦ πατριάρχου ὁ ἀσπασμὸς γίνεται.

Διὸ τῆς τάξεως σωζομένης, ἐπιθέντος τούτου τὴν χεῖρα ἐπὶ τῆς τραπέζης τῆς ἱερᾶς, αὐτός τε ὁ χειροτονήσας ἔρχεται ὡς ὑπ' αὐτὸν ὤν· καὶ ἀσπασάμενος τὴν ἱερὰν τράπεζαν, καὶ τὴν χεῖρα ἀσπάζεται αὐτοῦ τοῦ χειροτονηθέντος ὑπ' αὐτοῦ, ὡς πατριάρχου, καὶ τὴν παρειὰν ἢ τὸ στόμα, καὶ καθεξῆς οἱ λοιποὶ ἀρχιερεῖς ἅπαντες. Καὶ οὕτως ὅ τε πατριάρχης καὶ αὐτοὶ πάντες ὡς πηγὴν χάριτος καὶ μνῆμα Χριστοῦ, αὖθις τὴν ἱερὰν ἀσπαζόμενοι τράπεζαν ἄνω ἀνέρχονται ἐν τῷ συνθρόνῳ ὡς ἐν οὐρανῷ, καὶ ταῖς ἱεραῖς βαθμίσι, διὰ τὰς ἄνω τάξεις· καὶ τὰ τοῦ ἐνθρονισμοῦ, ὡς προγέγραπται, γίνεται· μετὰ δὲ τὸν ἐνθρονισμὸν τὰ τῆς φήμης τῶν τε βασιλέων καὶ τοῦ νέου πατριάρχου, ὡς εἴρηται. **175** Καὶ οὕτως ὁ Ἀπόστολος λέγεται, εὐλογίαν λαβόντος τοῦ Ἡρακλείας καὶ εἰρηνεύοντος. Καὶ τὸ θεῖον ἀναγινώσκεται Εὐαγγέλιον, εἰρηνεύοντος ἐν τούτῳ τοῦ πατριάρχου. Καὶ ἡ θεία λειτουργία καθεξῆς, ὡς ἔθος, παρ' αὐτοῦ τοῦ πατριάρχου τελεῖται. Ταῦτα καὶ περὶ τῶν ἱερῶν χειροτονιῶν, ὡς ἐξισχύσαμεν γνῶναι, ἐξεθήκαμεν, ἀδελφοὶ, καὶ ὡς ἐν ἱστορίας μέρει τὸ πλέον ἐγράψαμεν· καὶ τοῦτο δι' ὑμᾶς ἐρωτῶντας, καὶ τῶν μὴ εἰδότων εἰς δήλωσιν. Ἀρκείτω οὖν τὰ εἰρημένα.

Κληρικός. Ἱκανὰ, δέσποτα, καὶ λίαν εὐφράνθημεν ἐκ τούτων. Ἅπερ γὰρ οὐκ οἴδαμεν, ἔγνωμεν, καὶ τὴν εὐταξίαν τῆς Ἐκκλησίας θαυμάζομεν.

CAPUT CCXXXVII.

Quomodo in ordinatione patriarchæ osculum fiat.

Ideo manum super sacram mensam eo imponente, ipse ordinator venit, velut sub ejus potestate constitutus, et osculatur sacram mensam et manum, genam quoque vel os ab eo in patriarcham ordinati; et consequenter ordine conservato omnes C episcopi. Sic ipse patriarcha, et cæteri omnes iterum sacram mensam deosculati, ut fontem gratiæ, et Christi monumentum, in sacros gradus et synthronum ascendunt velut in cœlum propter superiores ordines significandos. Denique quæ ad enthronismum spectant, ut scriptum est, perficiuntur, et consequenter fausta fit imperatorum et novi patriarchæ acclamatio, ut dictum est. His sic actis Apostolus legitur, benedictionem accipiente Heracleæ episcopo, et pacem annuntiante: divinum quoque Evangelium legitur, in eo pacem annuntiante ipso patriarcha. Divina missa consequenter ab ipso patriarcha de more perficitur. Hæc, fratres, de sacris ordinationibus a nobis, ut cognoscere valuimus, exposita sunt et magna ex parte in mo- D dum historiæ descripta. Hoc interrogantibus præstitimus, ad majorem eorum qui jam illa noverunt, instructionem. Sufficiant igitur quæ dicta sunt.

Clericus. Sufficiunt, domine, et ex iis plurimum lætati sumus: quæ enim ignorabamus, cognovimus, et pulchrum Ecclesiæ ordinem admiramur.

ΚΕΦΑΛ. ΣΛΗʹ.

Ὅτι πάντα τὰ τῆς ἱερωσύνης ὁ Σωτὴρ ἑκάστου βαθμοῦ δι' ἑαυτοῦ κατειργάσατο.

Ἀρχιερεύς. Καὶ ὄντως εἰσὶ θαυμαστὰ τὰ τῆς Ἐκκλησίας· ὅτι καὶ Θεοῦ εἰσιν ἔργα τοῦ θαυμαστὰ ποιοῦντός τε καὶ ἐξαίσια· καὶ μᾶλλον ταῦτα τὰ τῆς οἰκονομίας ἔργα, ὡς τελευταῖα καὶ παντὸς τοῦ κόσμου σωτήρια. Ταύτας δὲ τὰς χειροτονίας καὶ ὁ Σω-

CAPUT CCXXXVIII.

Quod omnibus sacerdotii, uniuscujusque gradus, partibus Salvator per seipsum est perfunctus.

Episcopus. Vere admiranda sunt Ecclesiæ mysteria; Dei enim sunt opera facientis mirabilia et ingentia, hominibus inusitata: et maxime hæc œconomiæ opera, velut postrema, et universo mundo salutaria. Has ordinationes Servator ut diximus, in

semetipso suscepit, et demonstravit, et uniuscu jusque gradus officium per seipsum exsecutus est, fundamentumque fuit et exemplar primitivum omnis boni quo Ecclesiam suam donavit. Est enim dux et princeps vitæ et salutis nostræ, mysteriorum præses, et initiationis operator, perficiens ipse et perfectus : ipse solus est ipsissima perfectio et consummatio. Quemadmodum igitur tunc baptismum et chrisma suscepit propter nos, cum baptizatus Spiritum desuper accepit : ita quæ ad sacerdotium pertinent secundum ipsius gradus operatus est ante baptismum, et post baptismum. Lectoris officio functus est, cum annum agens duodecimum in medio doctorum sedit, eos audiens et interrogans. Præterea populo legens in medio synagogæ, ut apud Lucam scriptum est : « Quia surrexit ut legeret, et datus est illi liber Isaiæ prophetæ, » et quæ sequuntur. Quæ autem sunt subdiaconi et diaconi fecit, cum parentibus subjectus est, et iis ministravit, et in die festo cum iis ascendit in templum ; cum etiam nummularios e templo ejecit, quod subdiaconorum est, et prohibuit ne quis vasa in templum inferret, et proposita mensa discipulorum pedes lavit seque ministrum vocavit. Munera quoque presbyteri et doctoris peregit, cum statim post baptismum desuper Spiritum accepit, testimoniumque Filii dilecti a Patre reportavit. Perfectus enim tum erat corpore, annorum triginta incipiens esse, ut scriptum est. Ideo statim agonem subiit, jejuniisque et precibus vacavit, et tentationem ter ab inimico suo diabolo passus est, tandemque eum pro nobis vicit et dejecit, tropæum erexit, discipulos elegit et assumpsit, pœnitentiam prædicavit, et ad eam vocavit, signaque multa operatus est, animas prudenter rexit, peccatores ad se convertit et aggregavit, quæ omnia sunt sacerdotii munera.

A τῆρ, καθὼς ἔφημεν, ἔδειξεν ἐν ἑαυτῷ· καὶ τὰ ἑκάστου βαθμοῦ δι' ἑαυτοῦ ἐνήργησε· καὶ θεμέλιος οὗτος γέγονε καὶ ἀρχέτυπον ἀγαθοῦ παντὸς τῇ ἑαυτοῦ Ἐκκλησίᾳ· ὅτι καὶ ἀρχηγὸς τῆς ζωῆς καὶ τῆς σωτηρίας ἡμῖν, καὶ τελετάρχης καὶ τελεσιουργὸς, καὶ τελῶν καὶ τελούμενος, καὶ αὐτοτελειότης μόνος ἐστίν· ὥσπερ οὖν τό τε βάπτισμα καὶ μύρον ἐδέξατο δι' ἡμᾶς ἐν τῷ βαπτισθῆναι τὸ Πνεῦμα δεξάμενος ἄνωθεν, καὶ τὰ τῆς ἱερωσύνης κατὰ βαθμὸν ἐνήργησε, πρὸ τοῦ βαπτίσματος καὶ μετὰ τὸ βάπτισμα τὰ τοῦ ἀναγνώστου ποιῶν, καθήμενος ἐν μέσῳ τῶν διδασκάλων δωδεκαέτης που ὤν, καὶ ἀκούων αὐτῶν καὶ ἐπερωτῶν αὐτούς· ἔτι δὲ καὶ ἐν μέσῳ συναγωγῆς ἀναγινώσκων τῷ λαῷ, ὡς ἐν τῷ Λουκᾷ γέγραπται, ὅτι « Καὶ ἀνέστη ἀναγνῶσαι, καὶ
B ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου, » καὶ τὰ ἑξῆς. Τὰ τοῦ ὑποδιακόνου τε καὶ διακόνου ἐνήργησεν, ὑποτασσόμενός τοῖς γονεῦσι καὶ ἐξυπηρετούμενος αὐτοῖς, καὶ κατὰ τὴν ἑορτὴν εἰς τὸ ἱερὸν ἀνερχόμενος σὺν αὐτοῖς· ἀλλὰ καὶ τοὺς θεκκαπήλους ἐκβάλλων τοῦ ἱεροῦ, ὃ τῶν ὑποδιακόνων ἐστὶ, καὶ κωλύων ἵνα τι σκεῦος διὰ τοῦ ἱεροῦ εἰσενέγκῃ, καὶ προτιθεὶς τράπεζαν καὶ νίπτων τοὺς πόδας τῶν μαθητῶν, καὶ διάκονον ἑαυτὸν καλῶν· τὰ τοῦ πρεσβυτέρου δὲ καὶ διδασκάλου, εὐθὺς μετὰ τὸ βάπτισμα ἄνωθεν λαμβάνων τὸ Πνεῦμα, καὶ ὑπὸ τοῦ Πατρὸς Υἱὸς ἀγαπητὸς μαρτυρούμενος· ὅτι καὶ τέλειος ἦν τὸν τοῦ σώματος χρόνον τριάκοντα ὢν ἐτῶν ἀρχόμενος, ὡς γέγραπται, ὅτι καὶ εὐθὺς πρὸς τὸν ἀγῶνα ὑπέδυ, καὶ νηστείαις καὶ προσευχαῖς
C ἐσχόλαζε, καὶ πειρασμοὺς τρὶς ὑπενεγκὼν ὑπὸ τοῦ ἀντικειμένου διαβόλου, νενίκηκεν εἰς τέλος ὑπὲρ ἡμῶν, καὶ αὐτὸν καταβέβληκε, καὶ τρόπαιον ἔστησε· καὶ μαθητὰς ἐκλεξάμενος προσελάβετο, καὶ μετάνοιαν ἐκήρυξε, καὶ πρὸς ταύτην ἐκάλεσε, καὶ σημεῖα πολλὰ κατειργάσατο, καὶ ᾠκονόμησε ψυχὰς, καὶ ἁμαρτάνοντας ἐπιστρέψας, πρὸς ἑαυτὸν συνηγάγετο. Ἃ τῆς ἱερωσύνης ἐστίν.

CAPUT CCXXXIX.

Quod et sacerdos et doctor et princeps sacerdotum Christus secundum humanam naturam est ordinatus a Patre.

Insuper maximum aliud testimonium velut ordinationem accepit, cum transfiguratus est et divinam deitatis suæ gloriam denudavit, ut, quantum hominibus licet, conspiceretur, perque divinum corpus suum fulgores et fulgura coruscavit, apparuitque ut nubes divinus Spiritus, ubi medius erat ; et vox desuper a Patre venit : « Hic est Filius meus dilectus in quo mihi complacui, ipsum audite. » Illud autem, « Ipsum audite, » aliquid est amplius baptismate et excellentius, superna voce quæ tum facta est, et signum est sacerdotii episcopalis ; ipse enim est æternus sacerdos. Sed jam Pater de eo testimonium perhibebat, et quod ille discipulis suis dicebat, « Qui audit vos, me audit, » idem Pater et de eo dicit, « Ipsum audite, » testificans eum esse doctorem et pastorem nostrum, et episcopum, et imaginem sui ipsus vivam, ut Verbum et Sapientiam

ΚΕΦΑΛ. ΣΛΘ'.

Ὅτι καὶ ἱερεὺς καὶ διδάσκαλος καὶ ἀρχιερεὺς ὁ Χριστὸς κατὰ τὸ ἀνθρώπινον κεχειροτόνηται ὑπὸ τοῦ Πατρός.

Εἶτα καὶ μεγίστην ἄλλην μαρτυρίαν οἷα χειροτονίαν ἐδέξατο. Μεταμορφωθέντος γὰρ καὶ τὴν θείαν
D αὐτοῦ τῆς θεότητος παραγυμνώσαντος δόξαν ὡς ἀνθρώποις ἐνεχώρει **176** ἰδεῖν, καὶ διὰ τοῦ θείου ἀστράψαντος σώματος, ὡς νεφέλη μὲν τὸ θεῖον ἐδείχθη Πνεῦμα, οὗ μέσον γέγονε· καὶ φωνὴ ἄνωθεν ἠχθη ἐκ τοῦ Πατρὸς, « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε, » τοῦτο δὲ τὸ « Αὐτοῦ ἀκούετε, » περισσότερον τοῦ βαπτίσματός ἐστι, καὶ τῆς ἄνωθεν τότε γεγενημένης φωνῆς· καὶ ἀρχιερωσύνης ἐστὶ σημεῖον. Καίτοι γε αὐτὸς ὁ αἰώνιός ἐστιν ἱερεύς. Ἀλλ' ἤδη καὶ ὁ Πατὴρ αὐτὸν ἐμαρτύρει· καὶ ὅπερ αὐτὸς τοῖς μαθηταῖς ἔλεγεν, « Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, » τοῦτο ὁ Πατὴρ καὶ περὶ αὐτοῦ λέγει, « Αὐτοῦ ἀκούετε, » διδάσκαλον αὐτὸν καὶ ποιμένα ἡμῶν μαρτυρῶν καὶ ἀρχιερέα, καὶ εἰκόνα ζῶσαν ἑαυτοῦ ὡς Λόγον καὶ ἐνυπόστατον Σοφίαν,

καὶ χαρακτῆρα συμφυῆ· καὶ αὐτοῦ ἀκούειν παρεγγυᾶται· καὶ ὅτι τὸ λειτουργικὸν καὶ τελεστικὸν καὶ φωτιστικὸν, ἅπερ εἰς τοὺς ἱερωμένους διαιρεῖ Διονύσιος, καὶ εἰς ἑαυτὸν Χριστὸς ἐπεδείξατο, πρὸ τοῦ βαπτίσματος μὲν καθυποτασσόμενος τοῖς γονεῦσι, καὶ προσιὼν τῷ ναῷ, καὶ ἀναγινώσκων τῷ λαῷ καὶ διακονῶν· βαπτισθεὶς δὲ, καὶ τὸ Πνεῦμα λαβὼν, τὸ τελεστικὸν ἐνδεικνύμενος διά τε τοῦ βαπτίζειν τοὺς μαθητὰς, καὶ ἀποστέλλειν ἰᾶσθαι, καὶ χρίειν ἐλαίῳ, καὶ αὐτὸν ἐνεργεῖν τὰ τῶν σημείων τε καὶ ἰάσεων. Τὸ φωτιστικὸν δὲ, ἐντοῦθα δὴ μεταμορφωθεὶς, τελεώτερον μαρτυρηθεὶς ὑπὸ τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα μεθ' ἑαυτοῦ κεκτημένος, καὶ τὴν λάμψιν τοῦ Πνεύματος τοῖς μαθηταῖς παρασχών· ὡς καὶ τελεώτερον ἔτι τῇ ἐπιδημίᾳ τῶν ἐμπύρων τότε γλωσσῶν φωτιστικοὺς καὶ αὐτοὺς ποιῶν, ὡς ἂν μεταδιδόναι ἰσχύωσιν ὅπερ ἔλαβον, ἧς δὴ μεταμορφώσεως αὐτόπτας καὶ κήρυκας ἤτοι τῆς φανερώσεως καὶ ἀποκαλύψεως κατὰ δύναμιν τῶν ὁρώντων τῆς θεότητος αὐτοῦ καὶ φυσικῆς αὐγῆς τε καὶ χάριτος καὶ δυνάμεως, καὶ μαρτυρίας τελεωτέρας τοῦ ἀνωτάτου Πατρὸς μάρτυρας, καὶ οἱονεὶ διὰ τῆς νεφέλης χειροτονίας, καὶ διὰ τῆς ἄνωθεν φωνῆς ἀνακηρύξεως τοὺς ἐξαιρέτους εἶχε τῶν ἀποστόλων· ἧς καὶ γενομένης τῆς φωνῆς, μόνος αὐτὸς ὑπελείφθη, ὥσπερ ὁ Λουκᾶς φησιν· ὅτι καὶ αὐτὸς ἦν μόνος ὁ μαρτυρούμενος καὶ ἀναδεικνύμενος. Σὺν τοῖς ἀποστόλοις δὲ καὶ ἄλλους μάρτυρας εἶχεν ἀξιολόγους, τοὺς ἐκκρίτους τῶν προφητῶν, ἐκ τῆς Παλαιᾶς καὶ τῆς Νέας τὰς μαρτυρίας συνιστῶν ἑαυτῷ, καὶ ἀποδεικνὺς τὴν ἀλήθειαν. Καὶ δύο μὲν ἐκ τῆς σκιᾶς ἄγει μάρτυρας, ἐπεὶ ἀτελὴς ὁ τύπος καὶ τὰ σκιώδη· τρεῖς δὲ ἐκ τῆς χάριτος, ὅτι ἔλαμψεν ἡ χάρις καὶ ἡ ἀλήθεια· καὶ ὅτι τῆς τελεταρχικῆς Τριάδος τὴν γνῶσιν κηρύττει ἡ Ἐκκλησία, καὶ τὴν τελεωτάτην τοῦ Θεοῦ ἐκτήσατο γνῶσίν τε καὶ δύναμιν. Διὸ καὶ ὡς τελείως ὁ Χριστὸς μαρτυρηθεὶς τε καὶ ἀνακηρυχθεὶς ὑπὸ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ τὰ τῆς θεότητος ἐνδειξάμενος, εὐθὺς τοῖς κορυφαίοις τῶν μαθητῶν τοῦ πρώτου φωτισμοῦ μεταδίδωσι, καὶ τῆς χάριτος τῆς θεότητος κοινωνοὺς ἀποφαίνει καὶ λάμψεως. Διὸ καὶ ἐπὶ πρόσωπον ἔπεσον, φησὶ, σωματικοῖς ὀφθαλμοῖς μὴ δυνάμενοι τὴν λαμπρότητα φέρειν.

ΚΕΦΑΛ. ΣΜ'.

Ὅτι μετὰ τὸ μορφωθῆναι Χριστὸς τοὺς Δώδεκα καὶ τοὺς Ἑβδομήκοντα μαθητὰς οἷον χειροτονήσας, πρὸ προσώπου αὐτοῦ κηρύττειν ἀπέστειλεν.

Εἶτα καὶ ἑτέρους σὺν αὐτοῖς ἐξελέξατο. Μετὰ τὴν μεταμόρφωσιν γὰρ, ὡς ὁ Λουκᾶς αὖθίς φησιν, ὁ μέγας καὶ μόνος ἀρχιερεὺς ὁ πάντα ἔχων ἐν ἑαυτῷ, καὶ δι' ἡμᾶς πάντα γινόμενος, ἱεράρχας μὲν τοὺς πρώτους, ἱερεῖς δὲ τοὺς δευτέρους κατέστησε, καὶ πρὸ προσώπου αὐτοῦ κηρύττειν ἀπέστειλε. Τέλος δὲ καὶ ἱερούργησεν ἑαυτὸν, καὶ τὰ μυστήρια δέδωκε· καὶ τυθεὶς ὑπὲρ ἡμῶν διὰ τοῦ σταυροῦ, θανών τε καὶ ἀναστὰς, τῷ Πατρὶ κατήλλαξεν ἡμᾶς καὶ τὰς ἀπαρχὰς τοῦ Πνεύματος τῷ ἐμφυσήματι δέδωκε· καὶ τελεώτερον ἔτι χειροτονεῖ τοὺς μαθητὰς, ἀναβὰς,

subsistentem, et characterem connaturalem, ideo illum audire adhortatur et jubet. In seipso quoque Christus demonstravit virtutem ministerialem, consecrativam, et illuminativam, in quas Dionysius virorum sacrorum divisit officia. Ante baptisma subjectus fuit parentibus, templum adiens, legens populo, et ministrans. Baptizatus autem et accepto Spiritu virtutem consecrativam exhibuit, baptizando discipulos, eos ad sanandum mittendo, oleo ungendo, ipsemet operando miracula, et sanitates. Illuminativam vero cum transfiguratus est, et perfectius atque illustrius a Patre commendatus est, Spiritumque secum possedit, et Spiritus illuminationem discipulis præbuit, et aliquanto perfectius adhuc eos illuminandi virtute cumulavit per adventum ignearum linguarum, ut, quod acceperant, cum aliis communicare possent. Cujus transfigurationis, seu manifestationis, et revelationis divinitatis suæ secundum videntium vires, naturalis quoque splendoris, et gratiæ, et virtutis, cum testimonio perfectiori supremi Patris, et ordinationis veluti per nebulam, et per vocem cœlitus editam promulgationis, oculatos testes et præcones habuit apostolorum selectos et eximios. Qua voce edita solus relictus est, ut ait Lucas, quoniam ipse solus erat cui testimonium perhibebatur, et qui demonstrabatur. Cum apostolis autem alios habuit testes fide dignos e prophetis electos. Collegit enim sibi testimonia tam ex veteri quam ex nova lege, ut veritatem demonstraret. Duos ex umbra adduxit testes, eo quod figuræ, typi et umbratilia imperfecta sunt, tres autem ex gratia, quoniam resplenduit gratia et veritas; Ecclesia quoque prædicat Trinitatis mysteriorum principis et auctricis cognitionem, et perfectissimam possidet Dei intelligentiam et virtutem. Ideo Christus a Patre et Spiritu testificatus, et renuntiatus ut perfectus, postquam divinitatis argumenta demonstravit, statim coryphæos discipulorum primæ illuminationis participes fecit, gratiæque et fulgoris deitatis suæ communionem dedit. Quapropter cum tantum splendorem ex eo coruscantem oculis corporeis ferre non possent, in faciem, inquit, ceciderunt.

CAPUT CCXL.

Quod post transfigurationem Christus Duodecim et Septuaginta discipulos veluti ordinatos ante faciem suam misit ad prædicandum.

Postea et alios cum eis elegit. Nam post transfigurationem, ut iterum ait Lucas, magnus et solus episcopus qui omnia in seipso continet, et propter nos omnia factus est, primos episcopos constituit, secundos vero presbyteros, atque ante faciem suam, ut Evangelium prædicarent, dimisit. Tandem seipsum sacrificavit, et mysteria nobis dedit. Per crucem autem sacrificatus pro nobis, mortuus et suscitatus, Patri nos reconciliavit, et primitias Spiritus insufflatione dedit. Perfectiori adhuc ordinatione ascendens discipulos consecra-

vit per igneas illas linguas Spiritus unicuique eorum distributas et insidentes. Unde omnes æqualem gratiam acceperunt, et Spiritu sancto repleti sunt. Ideo electi sunt ab initio discipuli, et ad oves perditas missi, et gratiam acceperunt, et gratiam ut aliis præberent jussi. Nec tamen hoc modo perfecte consecrati sunt. Nondum enim propitiatio pro omnibus oblata fuerat Patri, victima et hostia voluntaria et immaculata, benignus scilicet Deus noster, qui ipse pro nobis sacrificatus est, et primitiæ naturæ nostræ factus, homo pro nobis factus est. Ille igitur nobis clementer unitus statim gratiæ dona nobis præbuit. Et primum sanctam ipsius matrem et Virginem adventu Spiritus, gratia sua cumulatam ad bene gestandum iterum corroboravit; atque ut ipsum ex se ineffabiliter et in personæ unitatem incarnatum ferre posset, virtutem præbuit, et Virginem puram ante partum, parientem, et post partum conservavit. Postea cum Josepho mysteriorum cognitionem gratiose communicavit. Deinde magis longe dissitis, ethnicis, piè tamen viventibus seipsum per stellam manifestavit, in specu et præsepi jacentem. Ita quoque angelis et pastoribus simplicioribus propter imaginis analogiam et æqualitatem innotuit; nam pastor ipse est, licet animarum, et ovium rationalium Dominus velut qui eos creavit, beneficiis afficit, et magna cum cura custodit et immortalis ipse exsistens perpetua vigilantia ipsis providet. Præterea et Simeoni, qui appellabatur Justus, innotuit infans, et ab eo agnitus est Deus; Annæ similiter: purius vero et perfectius Baptistæ, qui ante prædicatus fuerat amicus: quique in omnibus et in ipsa morte ipsius præcursor fuerat. Omnium autem evidentissime ipsius discipulis, quos præparans ad apostolatum, et totius mundi capturam, vocavit piscatores hominum, lumen et sal mundi, judices et pastores, et cætera, quibusque paulatim, ut expediebat, gratiam dedit. Tandem ut communis victima oblatus, inimicitia soluta et exinanita morte, assumptus est ad Patrem deferens victimam, divinoque honore exaltavit naturam humanam. Denique nobis per ipsum Patri reconciliatis perfectiorem gratiam concessit, fonsque gratiarum Paracletus nobis præsens adfuit, a nobis peregre non discedens (est enim ubique, ut omnia semper vivificans et continens), sed seipsum manifestans, et purgatis, transmutatisque per Filium Patris beneplacito et virtute propria, ut ei consubstantialis et cooperator, clarius et evidentius sese demonstrans, et patefaciens; atque, ut ita dicam, totus in nobis per gratiam inhabitans, et in unoquoque divisus, ipse tamen indivisus permanens. Gratia, ut diximus, inhabitat, non tamen personaliter, licet natura præsens sit ubique, et super omnia, infinitus exsistens. Non enim persona incarnatur, atque nobis inest, sicut nec Pater, sed per gratiam in nobis et inhabitat, et manet, et operatur. Solus Filius incarnatus est, in nobis tamen personaliter non habi-

A ταῖς ἐμπύροις ἐκείναις γλώσσαις τοῦ Πνεύματος
177 διαμερισθείσαις αὐτοῖς, αἳ καὶ ἐφ' ἕνα ἕκαστον αὐτῶν ἐπεκάθισαν· ἐπεὶ καὶ ἴσην ἅπαντες ἔλαβον τὴν χάριν, καὶ πάντες ἁγίου Πνεύματος ἐνεπλήσθησαν· ἐπεὶ καὶ ἐξελέγησαν μὲν ἀπαρχῆς οἱ μαθηταὶ, καὶ ἀπεστάλησαν εἰς τὰ πρόβατα τὰ ἀπολωλότα, καὶ δωρεὰν ἔλαβον, καὶ δωρεὰν παρέχειν ἐτάχθησαν· οὔπω δὲ καὶ τετελείωνται· ὅτι καὶ οὔπω τὸ ἱλαστήριον προσηνέχθη καὶ τὸ ὑπὲρ ἁπάντων ἐθελόθυτον σφάγιον καὶ θῦμα ἄμωμον τῷ Πατρὶ, αὐτὸς ὁ ὑπὲρ ἡμῶν τυθεὶς, ὁ ἀγαθὸς Θεὸς ἡμῶν ὁ καὶ ἀπαρχὴ τῆς φύσεως ἡμῶν γεγονὼς, ἐνανθρωπήσας ὑπὲρ ἡμῶν. Οὗτος οὖν ἑνωθεὶς ἡμῖν εὐσπλαγχνίᾳ, εὐθὺς ἡμῖν παρεῖχε τὰ δῶρα τῆς χάριτος. Καὶ πρῶτον μὲν τὴν ἁγίαν αὐτοῦ καὶ παρθένον Μητέρα
B πρὸς τὴν κυοφορίαν ἐνίσχυσε τῇ ἐπελεύσει τοῦ Πνεύματος, πληρώσας αὐτὴν τῶν αὐτοῦ χαρίτων, καὶ πρὸς τὸ ἐνυποστάτως αὐτὸν δύνασθαι φέρειν σεσαρκωμένον ἐξ αὐτῆς ἀποῤῥήτως, δύναμιν παρασχόμενος, καὶ παρθένον διαφυλάξας ὡς καὶ πρὸ τόκου καὶ τίκτουσαν καὶ μετὰ τόκον ἁγνήν· ἔπειτα τῷ Ἰωσὴφ γνῶναι τὸ μυστήριον τῇ χάριτι χορηγήσας· εἶτα τοῖς Μάγοις μακρόθεν οὖσι καὶ ἐθνικῶς ζῶσι καὶ ἐναγῶς, ἑαυτὸν διὰ τοῦ ἀστέρος γνωρίσας, καὶ ἐν τῷ σπηλαίῳ καὶ φάτνῃ κείμενος, ὡς καὶ τοῖς ἀγγέλοις, καὶ τοῖς ποιμέσι τοῖς ἁπλοϊκωτέροις ἐμφανισθεὶς, διὰ τὸ ἴσον τῆς εἰκόνος· ὅτι ποιμὴν καὶ αὐτὸς, εἰ καὶ ψυχῶν καὶ προβάτων λογικῶν δεσπότης ὡς κτίστης καὶ νομεὺς παραγεγονὼς, καὶ φύλαξ
C ὡς κηδεμὼν, καὶ ὡς ἀγρυπνῶν δι' ἡμᾶς προνοητὴς ὢν ἀθάνατος· ἔπειτα μετὰ τοῦτο τῷ Συμεὼν προχρηματισθεὶς ὡς δικαίῳ, καὶ ἐμφανισθεὶς νήπιος, καὶ ὡς Θεὸς γνωρισθεὶς· καὶ τῇ Ἄννῃ δὲ ὁμοίως· καθαρώτερον δὲ τῷ Βαπτιστῇ καὶ προκηρύξαντι φίλῳ καὶ προδραμόντι ἐν πᾶσι, καὶ τῷ θανάτῳ· καὶ ἐμφανέστερον ἔτι τοῖς αὐτοῦ μαθηταῖς. Οὓς καὶ καταρτίζων πρὸς τὴν ἀποστολὴν καὶ τὴν παγκόσμιον ἄγραν, ἁλιεῖς ἀνθρώπων ἐκάλεσε, καὶ φῶς τοῦ κόσμου, καὶ ἅλας καὶ κριτὰς καὶ ποιμένας, καὶ τὰ λοιπὰ, καὶ κατ' ὀλίγον διδοὺς αὐτοῖς ὡς ἐνεχώρει τὰς χάριτας, τέλος κοινὴ θυσία προσενεχθεὶς, καὶ τὴν ἔχθραν λύσας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναληφθεὶς πρὸς τὸν Πατέρα, καὶ ἀνενεγκὼν τὴν θυσίαν, καὶ τιμῇ ὑψώσας τῇ θεϊκῇ τὸ ἀνθρώπινον,
D τέλος τοῖς καταλλαγεῖσιν ἡμῖν δι' αὐτοῦ τῷ Πατρὶ τὴν τελεωτέραν χάριν ἀπέστειλε. Καὶ ἡ πηγὴ τῶν δωρημάτων ἡμῖν ὁ Παράκλητος ἐπεδήμησεν, οὐκ ἀποδημῶν, καὶ γάρ ἐστι πανταχοῦ, ὡς πάντα ζωογονῶν καὶ συνέχων, ἀλλὰ φανερῶν ἑαυτὸν, καὶ τοῖς καθαρθεῖσι καὶ ἀναμορφωθεῖσι διὰ τοῦ Υἱοῦ τοῦ Πατρὸς εὐδοκίᾳ, καὶ συνεργίᾳ ἰδίᾳ, ὡς συμφυής τε καὶ συνεργὸς, ἐμφανιζόμενος ἐναργέστερον, καὶ ὅλως ὡς εἰπεῖν καὶ τῇ χάριτι ἐνσκηνῶν καὶ μεριζόμενος ἐν ἑκάστῳ, καὶ μένων ἀμέριστός τε καὶ ὁ αὐτός. Τῇ χάριτι δὲ, ὡς εἴπομεν, ἐνσκηνοῖ, οὐ μὴν τῇ ὑποστάσει, εἰ καὶ φύσει παρὼν ἐστι πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν, ἀπεριόριστος ὤν. Οὐ γὰρ τῇ ὑποστάσει σαρκοῦται καὶ ἐν ἡμῖν γίνεται, ὥσπερ οὐδ' ὁ Πατήρ. Ἐνσκηνοῖ δὲ καὶ μένει καὶ ἐνεργεῖ τῇ χάριτι. Μό-

νος δὲ σεσάρκωται ὁ Υἱός. Καὶ οὗτος οὐχ ἐν ἡμῖν ἐνυποστάτως εἶναι, ἀλλ' ἐν τῷ προσλήμματι μόνῳ, ἵνα ἐκ τῆς ἡμῶν ἡμεῖς ἀπαρχῆς ὡς ἀπὸ πηγῆς συγγενῶς την χάριν λαμβάνωμεν, καὶ δι' αὐτοῦ γνησίως υἱοποιώμεθα τῷ Πατρί. Πλὴν ἐκεῖνος μὲν κατὰ φύσιν Υἱὸς, θέσει δὲ καὶ κατὰ χάριν ἡμεῖς. Ὁρᾷς τὸ μυστήριον; Θεὸς μεθ' ἡμῶν ὁ Ἐμμανουὴλ, ἵνα καὶ ἡμεῖς θεωθῶμεν. Ἀλλὰ κατὰ φύσιν μὲν αὐτὸς Θεός ἐστι καὶ Υἱὸς, θέσει δὲ θεοὶ καὶ κατὰ χάριν ἡμεῖς. Διὸ καὶ Πατὴρ αὐτοῦ ὁ Πατὴρ, ἀλλὰ κατὰ φύσιν, καὶ Πατὴρ ἡμῶν, ἀλλὰ κατὰ χάριν· ὡς καὶ Θεὸς αὐτοῦ διὰ τὸ ἐξ ἡμῶν πρόσλημμα καὶ Θεὸς ἡμῶν, ὅτι κτίστης. Καὶ τοῦτο ὃ εἴρηκεν ἀναστὰς, « Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. »

A sit, sed in eo solo quod assumpsit, ut ex primitiis nostris velut e fonte, generis conjunctione gratiam accipiamus, et per eum Filii Patris legitime efficiamur. Verum ille Filius Dei est naturalis, nos vero adoptione et per gratiam. Vides mysterium, Deus nobiscum, Emmanuel, ut nos deificemur. Sed natura Deus ille est, et Filius, nos autem positione gratiosa. Ideo et Pater, illius Pater est, sed natura Pater autem noster, sed secundum gratiam; sicut et Deus ipsius est propter id quod a nobis assumpsit; et Deus noster, quia Creator. Illud est quod post resurrectionem dixit: « Ascendo ad Patrem meum et Patrem vestrum, Deum meum et Deum vestrum. »

178 *Κληρικός*. Ὑψηλὰ τὰ εἰρημένα καὶ θεῖα, καὶ πολὺν ἡμῖν τὸν φωτισμὸν τῆς γνώσεως δέδωκεν.

B *Clericus*. Hæc alta sunt et divina, plurimumque luminis cognitioni nostræ addunt.

Ἀρχιερεύς. Τῆς αὐτοῦ χάριτός εἰσιν. Ἡ δὲ αὐτοῦ χάρις φωτισμός· ὅτι τὸ ἀληθινὸν φῶς αὐτός. Καὶ ἐμὲ τοίνυν καὶ ὑμᾶς ἐν αὐτῷ ἡ χάρις φωτίζει, ὥσπερ φῶς ἐν λαμπάδι τόν τε κατέχοντα καὶ τοὺς περὶ αὐτὸν αὐγάζει. Χάρις οὖν τῷ Θεῷ τῷ τὰ ἐκείνου καταξιώσαντι τοὺς ταπεινοὺς ἡμᾶς τοῖς ἀδελφοῖς ἀναγγέλλειν. Εἴπωμεν δὴ καὶ περὶ τῶν λοιπῶν χειροτονιῶν.

Pontifex. Opera sunt gratiæ ipsius. Ipsius enim gratia illuminatio est, quoniam ipse vera lux est. Me igitur et vos per ipsum gratia illuminat, sicut lumen in lampade, et sustinentem illuminat, et qui sunt circa ipsum. Deo igitur gratias qui nos humiles et abjectos dignos fecit qui hæc sua fratribus annuntiaremus. Verba nunc faciamus de cæteris ordinationibus.

Κληρικός. Ναὶ, δέσποτα· ἐπεὶ καὶ περὶ πασῶν ἄξιόν ἐστι μαθεῖν. Καὶ δίδαξον ἡμᾶς τίνες αὗται.

Clericus. Ita, domine. Dignum est enim et utile de omnibus edoceri. Doce nos quænam illæ sint.

ΚΕΦΑΛ. ΣΜΑ'.

Περὶ χειροτονιῶν ἔξω τοῦ βήματος διαφόρων, τῶν ἡγουμένων καὶ τῶν ἐκκλησιαστικῶν ὀφφικίων, καὶ πρῶτον περὶ τοῦ μεγάλου οἰκονόμου.

C CAPUT CCXLI.

De ordinationibus variis extra sacrarium sive bema, præfectorum atque ecclesiasticorum officiorum, ac primum de magno œconomo.

Ἀρχιερεύς. Τῶν πρωτοπρεσβυτέρων, τῶν ἀρχιδιακόνων, τῶν καθηγουμένων, καὶ λοιπῶν ἐν διαφόροις διακονήμασι τοῖς λεγομένοις ὀφφικίοις, λειτουργίας κεκτημένων ἐκκλησιαστικὰς, ὧν καὶ τάξεις εἰσὶ καὶ ὑπηρεσίαι διάφοροι. Καὶ ὁ μὲν αὐτῶν οἰκονόμος χειροτονεῖται, τῶν κτημάτων τε καὶ προσόδων καὶ τῶν διαδιδομένων ἑκάστῳ ποιούμενος πρόνοιαν. Δεῖ γὰρ καὶ περὶ τούτων φροντίζειν εἰς λυσιτέλειαν τοῦ κοινοῦ καὶ σύστασιν τῶν ἐκκλησιαστικῶν. Καὶ μαρτυρεῖ ἡ οἰκονομία Στεφάνου καὶ τῶν λοιπῶν διακόνων, ἐξυπηρετουμένων μὲν καὶ τῇ διδασκαλίᾳ καὶ τῷ κηρύγματι, ὡς Στέφανός τε καὶ Φίλιππος, ἀλλὰ καὶ ταῖς χρείαις καὶ ταῖς κοιναῖς τραπέζαις τῶν ἀδελφῶν.

Pontifex. Protopresbyterorum, archidiaconorum, catechumenorum, seu abbatum, et cæterorum qui in diversis ministeriis quæ officia dicuntur, differentes administrationes ecclesiasticas obtinent, quorum varii sunt ordines et munera. Ex iis œconomus ordinatur, qui possessionibus, et proventibus, et sportulis quæ unicuique tribuuntur, providere debet. Oportet enim eum de his curam gerere in utilitatem publicam, et ecclesiasticorum emolumentum et conservationem. Hoc testatur œconomia Stephani, et reliquorum diaconorum, qui non D solum ministrabant doctrinæ et prædicationi, ut Stephanus et Philippus, sed etiam fratrum necessitatibus et mensis.

ΚΕΦΑΛ. ΣΜΒ'.

Περὶ τοῦ μεγάλου σακελλαρίου, καὶ τοῦ μεγάλου σκευοφύλακος.

CAPUT CCXLII.

De magno sacellario et magno scevophylace sive custode vasorum sacrorum.

Ὁ δὲ τῶν ἱερῶν μονῶν ἐπιμέλεται, καὶ τοὺς ἐν αὐταῖς εὐτακτεῖ, καὶ τὰ τούτων ὡς δυνατὸν ἐξετάζει. Ὁ δὲ φυλάσσει τὰ σκεύη, καὶ τῶν ἱερῶν προνοεῖται, καὶ τὰ τῶν ὕμνων καὶ τοῦ ναοῦ εὐτακτεῖ, καὶ τῶν ἱεραρχικῶν ἐνδυμάτων καὶ τῶν λοιπῶν ἄλλων ἱερῶν κέκτηται τὴν φροντίδα.

Ille vero sacrorum monasteriorum curam gerit, et in iis bonum ordinem procurat, et quæ ad ea spectant, pro viribus inquirit. Iste autem, hoc est, scevophylax, seu vasorum custos, custodit vasa, et sacris providet, et quæ ad hymnos et templum pertinent, bono ordine disponit, vestium quoque episcopalium, et cæterorum sacrorum sollicitudinem habet.

CAPUT CCXLIII.

De magno chartophylace et sacelli præfecto.

Iste autem presbyteris præsidet, in ordine continet, et quæ eos spectant, scrutatur, productos ad ordines examinat, atque ut ordinentur episcopo adducit et proponit. Procurat etiam ut matrimonia legitime celebrentur. Negotiis episcopalibus et judiciariis inserviens, ea dirigit et disponit cum sententia episcopi; commentarii et acta publica illius custodiæ commissa sunt. In summa, totus est episcopi dextera. Qui hunc sequitur, quæ pertinent ad sacras domos quæ sunt in urbe disquirit, atque ut bonus ordo secundum disciplinam canonicam in iis observetur, sollicitudinem gerit, et maxime eorum quæ sunt in altari et sanctuario, ne præter decus aliquid in iis fiat, vel sacra negligantur.

CAPUT CCXLIV.

De protecdico sive primo defensore Ecclesiæ.

Alius iterum delegatur, ut revertentes ab apostasia recipiendi curam habeat, atque ut prævaricationes legis vindicet; eosque qui homicidii aut alterius criminis rei sunt, examinet et in eos inquirat; quod si quid auxilii ad eorum salutem procurandam ab Ecclesia postulent, ipsis præstetur. Qui etiam potissimum ordinantur judices, cum divinum Evangelium in manus accipiunt; et quod majus est, ad episcopum prope accedunt, primique sunt sub ipso ministri.

CAPUT CCXLV.

De cæteris in universum clericis.

Post istos plures sunt alii, quorum unusquisque sacram functionem, alius aliam, nanciscitur. Illam vero non simpliciter, atque ut sors tulit, exercent; sed accepta Spiritus gratia, ut benedictionem et sanctificationem, et licentiam, et virtutem ad agendum per gratiam ab episcopo consequantur, quia et hoc ab apostolis traditum est; ut de Barnaba et Paulo scriptum est, quod orantes apostoli imposuerunt illis manus, et ad opus miserunt.

CAPUT CCXLVI.

Quamobrem intra bema in ordinatione episcopi, presbyteri, diaconi dicitur divina gratia, *extra bema autem in cæteris officiis* gratia sancti Spiritus.

Ideo et hic ordinationes fiunt, verum extra, non intra tribunal. Intra enim, ut diximus, tres tantum ordinationes fiunt, diaconi, presbyteri, et episcopi; in quibus etiam episcopus pronuntiat illud, « Divina gratia, » propter doni perfectionem. Nec tantum quod ordinatio illa sit perfectior, sed etiam eo quod universalis sit, et non partialis. Omnes enim diaconi unam gratiam, sed perfectam secundum ministerium possident; unam quoque presbyteri virtutem ad mysteriorum operationem: unam denique vim et energiam omnes episcopi ad munera episcopalia exercenda, licet in eis varii sint thronorum et principatuum ordines. Ideo gratia com-

ΚΕΦΑΛ. ΣΜΓ'.

Περὶ τοῦ μεγάλου χαρτοφύλακος καὶ τοῦ σακελλίου.

Ὁ δὲ τὰ τῶν ἱερέων ἐπιστατεῖ, καὶ συντάττει τούτους καὶ ἀνερευνᾷ τὰ περὶ αὐτῶν, προαγομένους τε ἐξετάζει, καὶ πρὸς τὸ ἱερᾶσθαι προσάγει, καὶ τὰ τῶν γάμων νομίμως φροντίζει γίνεσθαι· τὰ τῶν ἐπισκόπων τε καὶ τὰ τῶν κρίσεων ἐξυπηρετῶν διοικεῖ μετὰ γνώμης τοῦ ἱεράρχου, καὶ τὰ ὑπομνήματα φυλάσσει· καὶ χεὶρ ὅλως ἐστὶ τῷ ἱεράρχῃ δεξιά. Ὁ μετὰ τοῦτον δὲ τὰ τῶν εὐαγῶν οἴκων τῶν κατὰ τὴν πόλιν διερευνᾷ, καὶ τῆς ἐν αὐτοῖς ἐπιμέλεται εὐταξίας, καὶ μᾶλλον τῶν ἐν τῷ θυσιαστηρίῳ τε καὶ τῷ βήματι, μήποτέ τι παρὰ τὸ δέον εἴη γινόμενον, ἢ τὰ ἱερὰ ἀμελῆται.

ΚΕΦΑΛ. ΣΜΔ'.

Περὶ τοῦ πρωτεκδίκου.

Ἕτερος δὲ πάλιν τοὺς ἐπιστρέφοντας ἐξ ἀρνήσεως δέχεσθαι τάξιν ἔχει, καὶ τοὺς θείους καὶ ἱεροὺς ἐκδικεῖ νόμους, τοὺς φόνῳ ἢ ἄλλῳ τινὶ ἁμαρτήματι περιπίπτοντας ἐξετάζων, καὶ ὅσα ὑπὲρ βοηθείας αὐτῶν καὶ σωτηρίας διενεργεῖ. Οἳ καὶ ἐξαιρέτως χειροτονοῦνται κριταὶ, τὸ θεῖον εἰς χεῖρας λαμβάνοντες Εὐαγγέλιον, ὃ τὸ μεῖζον ἐγχείρημα, καὶ ἐγγίζουσι τῷ ἀρχιερεῖ, καὶ πρῶτοι αὐτοῦ τυγχάνουσιν ὑπουργοί.

179 ΚΕΦΑΛ. ΣΜΕ'.

Περὶ τῶν λοιπῶν ὁμοῦ κληρικῶν.

Μετὰ τούτους δὲ καὶ ἕτεροί εἰσι πλεῖστοι, ἄλλος ἄλλην ἱερὰν λειτουργίαν λαμβάνοντες. Οἱ πάντες οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργοῦσιν, ἀλλὰ χάριν λαμβάνοντες Πνεύματος, ἵνα καὶ τὴν εὐλογίαν παρὰ τοῦ ἱεράρχου καὶ τὸν ἁγιασμὸν καὶ τὴν ἔνδοσιν καὶ τὴν ἰσχὺν πρὸς τὸ ἐνεργεῖν διὰ τῆς χάριτος ἔχωσιν· ὅτι καὶ ἀπὸ τῶν ἀποστόλων τοῦτό ἐστιν, ὡς καὶ περὶ Βαρνάβα καὶ Παύλου γέγραπται, ὅτι προσευξάμενοι οἱ ἀπόστολοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας, καὶ πρὸς τὸ ἔργον ἀπέστειλαν.

ΚΕΦΑΛ. ΣΜϚ'.

Διατί ἔνδοθεν μὲν τοῦ βήματος ἐν τῇ χειροτονίᾳ ἐπισκόπου, πρεσβυτέρου καὶ διακόνου λέγεται ἡ θεία χάρις, ἔξωθεν δὲ τοῖς ὀφφικίοις ἡ χάρις τοῦ παναγίου Πνεύματος.

Διὸ καὶ ἐνταῦθα χειροτονίαι γίνονται, πλὴν ἔξωθεν, καὶ οὐκ ἐν τῷ βήματι. Ἐντὸς μὲν γὰρ τοῦ βήματος, ὡς εἰρήκαμεν, τρεῖς χειροτονίαι γίνονται μόνον, διακόνου, πρεσβυτέρου, καὶ ἐπισκόπου. Ἐν οἷς καὶ τὸ « Ἡ θεία χάρις, » διὰ τὸ τέλειον τοῦ χαρίσματος τότε, ὁ ἀρχιερεὺς λέγει· ὅτι καὶ τελειοτέρα ἡ χειροτονία ἐστὶ, καθολική τε καὶ οὐ μερική. Πάντες γὰρ μίαν χάριν διάκονοι καὶ τελείαν κατὰ τὸ διακονεῖν ἔχουσι· καὶ μίαν πρεσβύτεροι δύναμιν καὶ ἐνέργειαν ἔχουσιν εἰς τὸ τὰς τελετὰς ἐνεργεῖν· καὶ μίαν πάντες εἰς τὰ ἀρχιερατικὰ οἱ ἐπίσκοποι τὴν ἰσχὺν καὶ ἐνέργειαν, εἰ καὶ θρόνων καὶ ἀρχῆς εἰσι τάξεις. Διὸ καὶ ἡ κοινὴ χάρις τῆς ἁγίας Τριά-

δος ἐν ἐκείναις ἐπιϐοᾶται ταῖς καθολικαῖς καὶ κοιναῖς χειροτονίαις, καὶ ἐν τῇ ἱερᾷ καὶ θείᾳ τραπέζῃ. Ἐν ταύταις δὲ ἔξωθεν τοῦ βήματος γινομέναις ὡς διαφόρων ἔξωθεν διακονιῶν, οὐ λέγεται οὕτως, ἀλλ' ὑποκλίναντος τοῦ χειροτονουμένου διὰ τοῦ χαρτοφύλακος τὴν κεφαλὴν, ἀσκεπῆ ταύτην ἔχοντος, ὡς λαμϐάνοντος ἀπὸ τοῦ Χριστοῦ διὰ τοῦ ἀρχιερέως, καὶ ὡς ὑποκειμένου αὐτῷ, καὶ τὸ, « Κελεύσατε, » τοῦ Χαρτοφύλακος λέγοντος, ἀνίσταται ὁ ἱεράρχης, ὡς θεῖον τὸ ἔργον δηλῶν, καὶ ὡς παρέχει χάρισμα, καὶ τὴν χεῖρα ἐκτείνας, « Ἡ χάρις, λέγει, τοῦ παναγίου Πνεύματος προχειρίζεταί σε ἢ οἰκονόμον ἢ ἕτερόν τι τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας. » Καὶ εὐθὺς σφραγίζει τοῦτον. Καὶ κάθηται ὁ ἀρχιερεύς. Καὶ οἱ μὲν ᾄδοντες ψάλλουσι τὸ, « Εἰς πολλὰ ἔτη, » εὐχαριστοῦντες Θεῷ, καὶ ἐπευχόμενοι διὰ τῶν ἀρχιερέων ἀεὶ τὴν Ἐκκλησίαν προκόπτειν καὶ τὰ χαρίσματα δίδοσθαι. Ὁ χειροτονηθεὶς δὲ προσελθὼν, ἀσπάζεται τὸ γόνυ διὰ τὴν ὑποταγὴν, τὴν χεῖρα ὡς τελέσασαν τὴν δεξιὰν τοῦ ἀρχιερέως, καὶ τὴν παρειὰν διὰ τὴν ἕνωσιν καὶ ἀγάπην. Εἶτα καὶ τοὺς ἐν τῷ οἰκείῳ ἀσπάζεται τάγματι, εἰ πρῶτος, τοὺς πρώτους, εἰ δὲ δεύτερος, τοὺς δευτέρους, ὡς ὁμοταγὴς γεγονώς. Καὶ οὕτω πάλιν στὰς, καὶ τὸν ἀρχιερέα προσκυνήσας, εὐχαριστῶν τῷ χαρίσματι, εἰς τὸν οἰκεῖον τόπον ὃν κεχειροτόνηται, ἄπεισιν.

A munis sanctæ Trinitatis in istis universalibus et communibus ordinationibus invocatur, idque fit in sacra et divina mensa. In iis autem ordinationibus quæ fiunt extra sanctuarium, utpote quorum ministeria varia sunt et exteriora, non ita dicitur. Sed ordinando caput admonitu chartophylacis inclinante, et detectum habente, velut gratiam a Christo per episcopum accipiente, atque ut illi subjecto, tumque chartophylace, « Jubete, » pronuntiante, surgit episcopus, velut divinum opus significans, et gratiam quasi præbens, manumque extendens sic dicit : « Gratia sanctissimi Spiritus promovet te, » vel œconomum, vel aliquod aliud officiorum quæ in sanctissima Ecclesia nostra frequentantur. Et statim cruce illum signat, quo facto sedet episcopus. B Interim cantatur acclamatio, « Ad multos annos, » qua gratiæ Deo aguntur, optaturque Ecclesiam per episcopos semper proficere, et augeri, donaque conferre. Postea ordinatus ad ordinantem accedit, illiusque genu osculatur propter subjectionem; manum, ut episcopi dexteram quæ ordinationem perfecit, et genam propter unionem et gratiam. His actis osculatur quoque eos qui sunt sui ordinis : si primi ordinis, primos; si secundi, secundos, ut eorum collega factus. Sicque iterum humillime salutato episcopo, in locum proprium ad quem ordinatus est, abit, gratias agens de dono suscepto.

ΚΕΦΑΛ. ΣΜΖ'.

Ὅτι οἱ πρῶτοι καὶ κριταὶ χειροτονούμενοι καὶ Εὐαγγέλιον δέχονται ταῖς χερσὶ παρὰ τοῦ ἀρχιερέως.

Εἰ δὲ τῶν κριτῶν ἐστι καὶ τῶν πρώτων, καὶ Εὐαγγέλιον αὐτῷ ὁ ἀρχιερεὺς δίδωσι πρὸ τοῦ ἀσπασμοῦ ἐπιλέγων, « Εἶπεν ὁ Κύριος, Ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε· » φοϐεροῦ ὄντος τοῦ λόγου· ὡς γὰρ κρινεῖ κριθήσεται· καὶ ὅτι κατὰ τὸ Εὐαγγέλιον ὀφείλει κρίνειν, καὶ, ὡς αὐτό φησι, μὴ κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνειν. Καὶ οὕτω ποιεῖται τὸν ἀσπασμόν. Τὸ οὖν εἰπεῖν, « Ἡ θεία χάρις τοῦ παναγίου Πνεύματος, » οὐ καθολικόν τι καὶ τέλειόν **180** φησι χάρισμα, καὶ ἀπὸ ὑποδιακόνου εἰς διακονίαν, ἢ ἀπὸ διακόνου εἰς πρεσβύτερον ἐκτελοῦν, ἀλλὰ μένοντα διάκονον ἢ πρεσϐύτερον ἕν τι λειτούργημα ἱερὸν, πρὸς εὐταξίαν τῆς Ἐκκλησίας ἐνεργεῖν. Ὃ δὴ ἀπὸ τῆς χάριτος λαμϐάνει τοῦ Πνεύματος, ἤτοι ἀπὸ τῶν διαφόρων χαρισμάτων τῶν κατὰ προκοπὴν ἑκάστῳ τάγματι διδομένων, μερικὸν ὂν καὶ ἐν ἑνί. Ἕτερος γὰρ τοῦ αὐτοῦ βαθμοῦ καὶ τάγματος κέκτηται πάλιν ἄλλο· καὶ πάντα κατὰ λόγον τὰ τῆς Ἐκκλησίας εἰσί.

CAPUT CCXLVII.

C *Quod primores et judices ordinati Evangelium e manibus episcopi accipiunt.*

Si vero e numero est primorum judicum, Evangeliumque ipsi dat episcopus, ante osculum hæc adjicit : « Dicit Dominus, In quo judicio judicatis, judicabimini. » Tremendus sermo, ut enim quis judicabit, judicabitur. Oportet enim secundum Evangelium judicare; atque, ut ipse ait, non secundum speciem, sed rectum judicium judicare. His dictis salutationem exsequitur. Istud igitur dicere, « Gratia sanctissimi Spiritus, » universale aliquod et perfectum donum non significat, nec ex subdiacono diaconum, vel ex diacono presbyterum consecrare, sed aliquem perseverantem in diaconatu vel presbyteratu unum aliquod ministerium D sacrum ad bonum Ecclesiæ ordinem conservandum insuper operari. Illud vero a gratia Spiritus accipit, videlicet a differentibus gratiæ donis quæ unicuique ordini, ut inde augeatur et perficiatur, conferuntur. Partiale igitur est, et uni gradui inhærens. Alius enim ejusdem gradus et ordinis iterum aliud possidet; fiunt autem hæc omnia secundum Ecclesiæ definitionem et consuetudinem.

ΚΕΦΑΛ. ΣΜΗ'.

Ὅτι τὰ τῶν ὀφφικίων τῆς Ἐκκλησίας ἱερωμένοι ὀφείλουσιν ἐνεργεῖν, καὶ οὐχ ὡς ἔν τισι τόποις, ὡς καὶ τῇ Τραπεζοῦντι λαϊκοί.

Ταῦτα δὲ τὰ ἱερὰ λειτουργήματα ἐν ἱερωμένοις ὀφείλουσιν εἶναι διακόνοις τε καὶ πρεσϐυτέροις, καὶ οὐκ ἐν ἀνδράσι κοσμικοῖς καὶ μὴ ἱερωσύνην ἔχουσιν·

CAPUT CCXLVIII.

Quod sacræ personæ officiis ecclesiasticis fungi debent, et non, sicut quibusdam in locis et Trapezunte, laici.

Omnia autem ista sacra officia conferri debent viris sacratis, diaconis videlicet et presbyteris, non autem sæcularibus, et sacerdotio nondum

ordinatis. Nam officia illa sacra sunt et per sigillum episcopale et gratiam spiritalem imprimuntur; eaque non oportet assumere qui ordinatione carent, ut fieri solet in Trapezuntiorum metropoli. Hoc enim est contra ordinem canonicum; et maxime quia istorum officiorum plurima multis sacerdotibus præsunt. Nullo modo autem oportet ordine carentem sacrato alicui præesse.

CAPUT CCXLIX.

Quod monachi non ordinati non debeant constitui confessarii.

Similis ratio est de officio spiritalis paternitatis. Illud conferendum non est monachis idiotis, nullam prorsus ordinationem habentibus. Nam adeo sacratissimum hoc est, ut solis episcopis conveniat, non autem presbyteris, quemadmodum canones loquuntur. Ec autem officio funguntur presbyteri urgente necessitate cum licentia episcopi, illoque absente, non præsente. Crimina tamen majora, veluti sunt fidei abnegatio, homicidium, et personarum sacrarum lapsus ad episcopum referre oportet; et alia quæcunque fugiunt et excedunt cognitionem suscipientis confessionem, omnia quoque agere cum episcopi consilio; nam opus illud est episcopi proprium.

CAPUT CCL.

Quare mandatum datur (ad episcopalem auctoritatem demonstrandam).

Et manifestum est ex litteris permissoriis. Si enim presbyterorum hoc esset proprium officium, non darentur illis licentia, et mandatum ad excipiendas confessiones. Ergo si canones hæc tam attente et studiose de presbyteris constituunt, quo jure hoc conceditur iis qui nullo sacerdotio fruuntur? Oportet enim confessiones excipientem et benedicere et orationem absolutionis super absolvendum dicere, et indulgere, et pœnas imponere, et eos qui digni sunt, divinorum mysteriorum participes facere. Qua ratione hæc omnia perficiet, qui nulli sacerdotio est initiatus? Dicet forsan aliquis, Id præstabit propter permissionem episcopi, et eo quod ad eum hæc omnia refert; verum quæ hujus rei necessitas, cum canonibus non consentiat? Nam si de presbyteris sic loquuntur canones, ut in eo tantum ministrent cum necessitas id postulat, abest episcopus, et cum illius absentis licentia, quomodo id operabitur qui sacerdotium non accepit? Dicunt enim Patres hanc esse ipsissimam apostolorum gratiam; apostolorum autem gratiam habent episcopi, non presbyteri; presbyteri vero, ut iterum iidem dicunt, septuaginta discipulorum gratiam possident. Quapropter fidelibus qui Samariæ a Philippo uno ex septem diaconis baptizati fuerant, Petrus et Joannes manus imposuerunt, ea de causa de Jerusalem Samariam venientes ut Spiritum sanctum acciperent; illud vero unguentum ab episcopo solo conficitur, cujus rei gratiam non habet presbyter. Diaconorum autem in hoc maximo ministerio nusquam meminerunt canones. Ergo si

A ὅτι ἱερὰ ταῦτα καὶ διὰ σφραγῖδος ἀρχιερατικῆς, καὶ χάριτος πνευματικῆς ἐνεργούμενα. Καὶ τοὺς μὴ κεκτημένους χειροτονίαν οὐ δεῖ λαμβάνειν αὐτά, ὡς ἐν τῇ μητροπόλει Τραπεζουντίων ἐνεργεῖται. Παρὰ τὴν τάξιν γὰρ τοῦτο, καὶ μᾶλλον ὅτι πλεῖστα τῶν ὀφφικίων τούτων καὶ πολλῶν ἱερέων προΐσταται. Καὶ οὐδόλως χρὴ ἱερωμένου τινὸς ἀχειροτόνητον προεστάναι.

ΚΕΦΑΛ. ΣΜΘ'.

Ὅτι οὐδὲ ἰδιώτας μοναχοὺς χρὴ καθιστᾷν πνευματικούς.

Ὁμοίως δὲ καὶ τὸ τῆς πνευματικῆς πατρότητος λειτούργημα οὐ χρὴ δωρεῖσθαι μοναχοῖς ἰδιώταις, χειροτονίαν ὅλως μὴ ἔχουσιν. Ἐπεὶ τοσοῦτον ἱερώτατον τοῦτο, ὅτι μόνων ἐπισκόπων ἐστὶ καὶ οὐ
B πρεσβυτέρων, ὡς οἱ κανόνες φασί. Τὸ πρεσβυτέρους δὲ ἐνεργεῖν, τὸ τοιοῦτον κατ' ἀνάγκην γίνεται, καὶ μετὰ προτροπῆς ἐπισκόπου, καὶ ἀπόντος αὐτοῦ, οὐ παρόντος. Καὶ τὰ μείζω δὲ τῶν ἐγκλημάτων, ἤτοι ἄρνησιν πίστεως, καὶ φονικὴν ἁμαρτίαν, καὶ τὰ τῶν ἱερατικῶν πτώματα, εἰς τὸν ἐπίσκοπον ἀναφέρεσθαι χρή, καὶ ὅσαπερ ἕτερα διαφεύγει τὴν τοῦ ἀναδεχομένου γνῶσιν, καὶ πάντα πράττειν μετὰ τῆς τοῦ ἐπισκόπου βουλῆς· ὅτι τοῦ ἐπισκόπου τὸ ἔργον ἴδιον.

ΚΕΦΑΛ. ΣΝ'.

Διατί ἔνταλμα δίδοται.

Καὶ δῆλον ἀπὸ τοῦ προτρεπτικοῦ γράμματος· εἰ
C γὰρ τοῦ πρεσβυτέρου ἦν, οὐκ ἂν προτροπῇ καὶ ἐνταλτηρίῳ ἐδίδοτο. Εἰ οὖν ἐπὶ πρεσβυτέρῳ τοσαύτη ἡ προσοχὴ καὶ διαταγὴ παρὰ τῶν κανόνων, πῶς ἄρα τούτῳ δοθήσεται, ἱερωσύνην μὴ κεκτημένῳ; Δεῖ γὰρ τὸν ἐξομολογήσεις δεχόμενον καὶ εὐλογεῖν, καὶ εὐχὴν συγχωρήσεως ἐπιλέγειν, καὶ συγχωρεῖν, καὶ ἐπιτιμᾷν, καὶ τῶν θείων κοινωνεῖν μυστηρίων τοὺς ἀξίους. Καὶ πῶς ἐνεργήσειε ταῦτα ὁ μὴ κεκτημένος ἱερωσύνην; Ἴσως δ' εἴποι τις, Διὰ τὴν ἔνδοσιν καὶ τὸ ἀναφέρεσθαι ταῦτα τῷ ἀρχιερεῖ. Καὶ τίς ἡ ἀνάγκη; ἐπεὶ οὐ κανονικόν. Εἰ γὰρ οὕτω περὶ τῶν πρεσβυτέρων οἱ κανόνες φασὶν, ὡς κατ' ἀνάγκην ὑπηρετήσουσιν ἀπόντος τοῦ ἐπισκόπου, καὶ προτροπῇ τοῦ ἐπισκόπου, πῶς τοῦτο ἐνεργήσει ὁ μὴ ἱερωσύνην λαβών; ἐπεὶ καὶ τῶν ἀποστόλων, φα-
D σὶν οἱ Πατέρες, ἡ χάρις αὕτη ἐστί· τῶν ἀποστόλων δὲ τὴν χάριν ἔχουσιν οἱ ἐπίσκοποι, καὶ οὐχὶ πρεσβύτεροι· οἱ πρεσβύτεροι δὲ τὴν τῶν ἑβδομήκοντα κέκτηνται, πάλιν λέγουσιν οὗτοι. Διὸ καὶ τοῖς βαπτισθεῖσιν ὑπὸ Φιλίππου ἑνὸς τῶν ἑπτὰ διακόνων ἐν τῇ Σαμαρείᾳ πιστοῖς Πέτρος, καὶ Ἰωάννης τὰς χεῖρας ἐπετίθεσαν ἀπελθόντες, ἵνα λάβωσι Πνεῦμα ἅγιον· ὃ δὴ τὸ μύρον ἐστὶ, παρ' ἐπισκόπου μόνου γινόμενον, οὗ τὴν χάριν οὐκ ἔχει πρεσβύτερος. Καὶ διακόνου δὲ οὐδόλως μέμνηνται οἱ κανόνες ἐν τῇ μεγίστῃ ταύτῃ ὑπηρεσίᾳ. Εἰ οὖν πρεσβύτεροι χωρὶς **181** προτροπῆς οὐκ ἔχουσιν ἄδειαν, καὶ διακόνων οἱ κανόνες οὐ μέμνηνται, πῶς ἕτερος ἰδιώτης μὴ ἱερωσύνην ὅλως λαβὼν, ὑπηρετήσει τούτῳ τῷ μυστηρίῳ καὶ ἱερῷ τῆς μετανοίας λειτουργήματι; Περὶ οὗ δὴ καὶ κατὰ

δύναμιν ἐροῦμεν τῷ εἱρμῷ τοῦ λόγου, καὶ πρὸς τοῦτο ἐλθόντες ἤδη Θεοῦ θέλοντος, πρότερον τὰ περὶ τῶν ἱερῶν χειροτονιῶν κατὰ δύναμιν ἑρμηνεύσαντες.

A presbyteri sine licentia episcoporum hanc facultatem non habent, et diaconorum non meminerunt canones; quo jure homo idiota, nullo sacerdotii charactere insignitus, administrabit hoc mysterium, et sacrum pœnitentiæ ministerium? Cum igitur connexione sermonis nostri ducti ad hoc mysterium enarrandum, Deo volente devenerimus, quæ ad sacras ordinationes spectant, jam prius interpretati, de eo nunc pro viribus verba faciemus.

Κληρικός. Ναὶ, ἅγιε δέσποτα. Ἄξιον ἡμᾶς καὶ περὶ τούτου διδάξαι καὶ ἀναγκαῖον.

Clericus. Ita certe, sanctissime domine, non modo æquum est et utile, sed etiam necessarium nos de his rebus docere.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

DE POENITENTIA.

Ἀρχιερεύς. Κἀγὼ πρὸς τοῦτο ἑτοίμως ἔχω, καὶ τῶν κατὰ δύναμιν λόγων οὐκ ἀμελήσω· ὅτι καὶ τὸ κεφάλαιον τῆς σωτηρίας πάντων πιστῶν μετὰ τὸ βάπτισμα ἡ μετάνοια· καὶ ἄλλο αὕτη καθάρσιον, καὶ δεύτερον βάπτισμα, δι' ἐξαγορεύσεώς τε καὶ ταπεινώσεως, τοῖς κατὰ δύναμιν πόνοις καὶ δάκρυσι κατορθούμενον. Ἧς μετανοίας προοίμιον τελῶναι καὶ ἁμαρτωλοὶ καὶ πόρναι ἐν μετανοίᾳ Χριστῷ προσελθόντες καὶ προσδεχθέντες, καὶ λῃστὴς ἐπὶ τοῦ σταυροῦ μόνον ἐξομολόγησιν καὶ πίστιν δοὺς, καὶ τὸ, « Μνήσθητι· » καὶ ὁ κορυφαῖος τῶν μαθητῶν μετὰ τὴν τῆς ἀρνήσεως πτῶσιν, κλαύσας πικρῶς καὶ ἐλεηθεὶς, καὶ τῇ τριττῇ ἐρωτήσει, εἰς ὃ ἦν ἀποκαταστὰς, ἢ καὶ μεῖζον, ποιμὴν Χριστοῦ τῶν προβάτων καταστὰς, εἰς τὸ ποιμαίνειν ἐν προσοχῇ καὶ συμπαθείᾳ τὰ πρόβατα, ἀπὸ τοῦ πταῖσαι καὶ προσδεχθῆναι, τὸ τοὺς πταίσαντας δέχεσθαι μαθὼν μεταγνόντας· καὶ σὺν αὐτῷ ἅπαντες· ὁ γὰρ μὴ πταίσας ἐν ἀνθρώποις οὐκ ἔστιν ὅλως· καὶ πρῶτος πταίσας καὶ ὑπὲρ πάντας ἐν πᾶσι πιστοῖς ἐγὼ, καὶ συγχωρηθῆναι αἰτούμενος καὶ σωθῆναι.

B *Episcopus.* Ego quoque ad hoc paratus sum, et mihi pro viribus earum explicatio curæ erit: nam salutis fidelium post baptismum summa est pœnitentia, et aliud purgatorium, alterque baptismus per confessionem et humilitatem in lacrymis et laboribus secundum vires susceptis feliciter institutus. Cujus pœnitentiæ initium fuerunt publicani et peccatores cum pœnitentia ad Christum accedentes, et ab eo suscepti, et latro quoque in cruce solum confessionem edens et fidem; atque « Memento mei » pronuntians. Ipse apostolorum coryphæus cum post negationis lapsum flevisset amare, et misericordiam consecutus est, et trina interrogatione pristino statui restitutus, quodque majus, ovium Christi pastor constitutus est, ut eas cum attentione et C mansuetudine pasceret, atque a lapsu suo, et post lapsum receptione sua, lapsos pœnitentes recipere disceret, idemque cum ipso discerent omnes Ecclesiæ pastores. Nullus enim omnino homo est qui non peccet, primusque ego, et super omnes fideles peccavi, veniamque et salutem postulo.

Κληρικός. Ὡς ἀληθῶς, δέσποτα, τοῦ τοιούτου χρῄζομεν πάντες· ὅτι καὶ πάντες διηνεκῶς ἁμαρτάνομεν.

Clericus. Quam vere omnes hujus veniæ indigemus, cum omnes continuo peccemus!

ΚΕΦΑΛ. ΣΝΑ'.

Ὅτι τοῦτο μετάνοια, τὸ διηνεκῶς ταπεινοῦσθαι, καὶ ἁμαρτωλὸν λέγειν καὶ νομίζειν ἑαυτὸν, καὶ πρὸς τὴν ἐξαγόρευσιν τρέχειν. Καὶ ὅτι οὐδεὶς καθαρὸς ἐν ἀνθρώποις.

CAPUT CCLI.

Esse pœnitentiam, si quis continenter humiliet seipsum seque habeat peccatorem ac profiteatur, et ad confessionem properet. Neque quemquam inter homines esse purum a peccatis.

Ἀρχιερεύς. Ἀληθῶς, ἀδελφέ. Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς καθαρὸς ἀπὸ ῥύπου, ὡς γέγραπται, κἂν μίαν ἡμέραν ἐνδιατρίψῃ τῷ βίῳ; τὸ μὲν ὢν ἀπὸ τῆς προγονικῆς ἁμαρτίας ἁμαρτωλὸς, τὸ δὲ καὶ φωτισθεὶς τῷ βαπτίσματι, εὐθὺς καὶ ἄκων κατά τι περιπίπτων τῇ ἁμαρτίᾳ. Τὸ γάρ τινα χάριν τούτου ἡμαρτηκέναι γονέα τυχὸν ἢ φίλον ἢ συγγενῆ, ὅπερ ἀδύνατον μὴ συμβῆναι, εἰ καὶ ἐν ἀγνοίᾳ τοῦ βρέφους, ἀλλ' αἰτία τούτου συμβαίνει· καὶ προστρίβεται τούτῳ ῥύπος εὐθὺς καὶ ἁμάρτημα. Ἔπειτα καὶ ἄνθρωπος τοῦτο μόνον, εἰ καὶ τὴν χάριν ἔλαβε, καὶ τὰ τῆς σαρκὸς εὐθὺς ζητεῖ γεννηθὲν, καὶ ἀλόγως καὶ τοῦ ἐννοεῖν χωρίς.

D *Episcopus.* Vere, frater. Quis enim gloriabitur se cor habere purum? vel quis ab omni sorde purus, ut scribitur, licet diem unum vitæ impenderit? sive consideretur ob peccatum originale peccator, sive baptismo illuminatus, statim, licet invitus, in aliquod peccatum inciderit. Fieri enim non potest ut vel in infantiæ ignorantia non aliquando contingat vel patrem, vel amicum, vel cognatum aliquem illius causa peccasse. Sed istius rei causa contingit ut statim illi macula et peccatum tribuatur, cum homo, licet gratiam acceperit, ob hoc solum et quæ carnis sunt, statim ac generatus est imprudenter et sine mente quærat et appetat. Hoc autem ex transgres-

sione venit, qua simul ac formatus est, et nondum intelligens peccat, quia in peccatis secundum Davidem concipitur. Si igitur fieri non potest ut infanti recenter nato, et baptizato non inuratur peccatum aliquod, multo sane magis nobis omnibus, qui licet ratione utamur, in omnibus tamen et secundum et præter sententiam nostram, magis vero secundum animi nostri sententiam perpetuo peccamus, idque ultro negligimus; quod enim ex oblivione et ignorantia peccamus, ex incuria nostra procedit. Non est autem in hoc malo excusando laborandum.

CAPUT CCLII.

Opus esse omnibus pœnitentia, et sacerdotibus et laicis.

Itaque solum pœnitendum est, ut Baptista et Dominus atque ipsius discipuli prædicarunt; oportet et laicos et monachos, et clericos, et sacerdotes, et episcopos, et nullum pœnitentiæ sese eximere, quia omnes peccavimus et peccamus, et omnes pœnitentiæ agendæ rei sumus. Ideo Servator noster, et ipsius Baptista dixerunt: « Pœnitentiam agite, appropinquavit enim regnum cœlorum. » Ipse enim cœlorum rex prope adest omnibus pœnitentibus. Quia prope est Dominus omnibus eum invocantibus in veritate. Ego autem diserte et manifeste omnibus qui mecum sunt, exclamo per gratiam Jesu Christi: Pœnitentiam agamus, ut servemur; prope enim Dei regnum; et cum divinissimo Paulo: « Nunc propior est salus nostra; venit enim Salvator noster et Judex. Deponamus igitur opera tenebrarum, et induamur arma lucis. » Quod autem confessio et pœnitentia necessariæ sint sacerdotibus, et monachis, et laicis, Apostolus testatur, dicens: « Confitemini alterutrum peccata vestra, et orate pro invicem, ut sanemini. » Ex eo quod ait, « Confitemini alterutrum et orate pro invicem, » docet omnibus utilem esse peccatorum confessionem et pœnitentiam, quam antea, ut diximus, prædicaverat Baptista, et Salvator operatus fuerat, recipiens peccatorum confessiones, et maxime publicani, prodigi, meretricis, Zacchæi, et latronis e cruce, aliorumque compluriam. Hoc præterea multis parabolis demonstrat, sed præsertim per prodigi parabolam, qui omnia quidem fecit quæ ad pœnitentiam spectant. Cum enim diceret, « Peccavi in cœlum et coram te, » confessionem fecit; cum vero, « Non sum dignus vocari filius tuus, » contritionem subindicavit, et sui ipsius condemnationem per sponte factam sui increpationem. Cum autem dixit, « Fac me ut unum ex mercenariis tuis, humilem cum spe supplicationem: de nemine enim desperandum. En igitur ex Evangelio pœnitentiæ fructus, quos postulat ipse Baptista: convertere se a peccato; sic enim fecit luxuriosus ille qui servatus est: relinquens luxuriem et vitam impuram rediit ad patrem, ut ipsi confiteretur. *Peccavi* enim, confidenter dicit. Nec hæc simpliciter, sed *in cœlum et coram te*, impia videlicet et scelesta operatus, et cœlestibus contraria, et coram te tui contemp-

A τοῦτο δὲ ἐκ τῆς παραβάσεως. Ὅθεν καὶ ἅμα τεχθὲν καὶ μὴ νοοῦν ἁμαρτάνει, ὡς καὶ ἐν ἁμαρτίαις κατὰ τὸν Δαβὶδ συλλαμβάνεται. Εἰ οὖν καὶ ἐν τῷ ἀρτιγενεῖ καὶ νεοφωτίστῳ βρέφει οὐ δυνατὸν μὴ προστριβῆναί τινα ἁμαρτίαν, πολλῷ γε δὴ ἐν πᾶσιν ἡμῖν καὶ κατὰ γνώμην, καὶ παρὰ γνώμην, μᾶλλον δὲ κατὰ γνώμην ἐν πᾶσιν ὡς λογικοῖς οὖσι, καὶ ἀμελοῦσιν ἑκοντὶ διηνεκῶς ἁμαρτάνουσι· καὶ τὰ τῆς λήθης γὰρ καὶ ἀγνοίας παρὰ τῆς ἡμῶν ἀμελείας· καὶ οὐκ ἔστιν ἀπολογίαν εὑρεῖν.

182 ΚΕΦΑΛ. ΣΝΒ'.

Ὅτι πάντας δεῖ μετανοεῖν ἱερωμένους καὶ λαϊκούς.

B Διὸ μετανοεῖν μόνον χρὴ, ὡς ὁ Βαπτιστὴς καὶ ὁ Δεσπότης ἐκήρυξε, καὶ οἱ αὐτοῦ μαθηταί· καὶ πάντας μετανοεῖν χρὴ λαϊκούς τε καὶ μοναστὰς, κληρικούς τε καὶ ἱερεῖς καὶ ἀρχιερεῖς· καὶ μηδένα χωρίζειν τῆς μετανοίας ἑαυτὸν, ὅτι καὶ πάντες ἡμάρτομέν τε καὶ ἁμαρτάνομεν· καὶ μετανοεῖν πάντες ὀφείλομεν. Ὅθεν καὶ ὁ μὲν Σωτὴρ ἡμῶν ἔφη καὶ ὁ αὐτοῦ Βαπτιστὴς, «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.» Αὐτὸς δηλαδὴ ὁ τῶν οὐρανῶν βασιλεὺς, ἐγγὺς γινόμενος τοῖς μετανοοῦσιν· ὅτι καὶ ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Ἐγὼ δὲ τρανῶς ἐκβοῶ πᾶσι μετ' ἐμοῦ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν χάριτος, Μετανοῶμεν, ἵνα σωθῶμεν· ἐγγὺς γὰρ ἡ τοῦ Θεοῦ βασιλεία· καὶ μετὰ τοῦ θειοτάτου Παύλου, « Νῦν ἐγγύτερον ἡμῖν
C ἡ σωτηρία. Ὁ γὰρ Σωτὴρ καὶ κριτὴς ἡμῶν ἔρχεται. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός.» Ὅτι δὲ καὶ ἱερεῦσιν ἀναγκαία, ὡς καὶ μοναχοῖς καὶ λαϊκοῖς, ἡ ἐξαγόρευσις καὶ μετάνοια, καὶ ὁ Ἀπόστολος μαρτυρεῖ, «Ἐξομολογεῖσθε ἀλλήλοις, λέγων, τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε·» ἐκ τοῦ, « Ἐξομολογεῖσθε ἀλλήλοις καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, » διδάσκων, ὡς πᾶσι χρεία ἐστὶν ἡ τῶν ἐπταισμένων ἐξαγόρευσις καὶ μετάνοια. Ἣν δὴ προεκήρυξε μὲν καὶ ὁ Βαπτιστὴς, ὡς εἰρήκαμεν, καὶ ὁ Σωτὴρ ἐνήργησε, δεξάμενος τὰς τῶν ἁμαρτωλῶν ἐξομολογήσεις, καὶ ἐξαιρέτως τοῦ τελώνου, τοῦ ἀσώτου, τῆς πόρνης, τοῦ Ζακχαίου, τοῦ λῃστοῦ ἐπὶ τοῦ σταυροῦ, καὶ πλείστων ἄλλων ἁμαρτησάντων
D τὴν ἐξαγόρευσιν. Καὶ παραβολαῖς δὲ τοῦτο δηλοῖ, καὶ μᾶλλον τῇ τοῦ ἀσώτου, ὃς δὴ τὰ τῆς μετανοίας πάντα ποιεῖ. Καὶ λέγων μὲν τὸ, « Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, » τὴν ἐξομολόγησιν ἐνεργεῖ· τὸ δὲ, « Οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. » τὴν συντριβὴν ὑπεμφαίνει, καὶ τὴν ἑαυτοῦ κατάκρισιν σὺν τῇ αὐτομεμψίᾳ· τὸ δὲ, « Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου, » τὴν μετ' ἐλπίδος ταπεινὴν ἱκεσίαν. Οὐ δεῖ γὰρ ἀπογινώσκειν τινά. Ἰδοὺ οὖν ἀπὸ τοῦ Εὐαγγελίου καὶ οἱ καρποὶ τῆς μετανοίας, οὓς ἀπαιτεῖ καὶ ὁ Βαπτιστής· τὸ ἐπιστρέψαι ἀπὸ τῆς ἁμαρτίας· οὕτω γὰρ καὶ ὁ σωθεὶς ἄσωτος διεπράξατο· καταλιπὼν τὴν ἀσωτείαν, ἐπανῆλθε πρὸς τὸν πατέρα τοῦ ἐξομολογήσασθαι. *Ἥμαρτον* γὰρ, παῤῥησίᾳ λέγει· καὶ οὐχ ἁπλῶς, ἀλλ' *εἰς τὸν οὐρανὸν*

καὶ ἐνώπιόν σου· τὰ ἐναγῆ δηλονότι πταίσας, καὶ ἐναντία τῶν οὐρανίων, καὶ ἐνώπιόν σου καταφρονητής σου φανείς, καὶ μὴ πτοηθεὶς μηδ' εὐλαβηθεὶς ἢ ἐντραπεὶς ὅλως σὲ τὸν ἅγιον Ποιητήν μου. Τὸ κατακρῖναι ἑαυτὸν ἀληθῶς· « Οὐκ εἰμὶ ἄξιος γάρ, φησί, κληθῆναι υἱός σου· » καὶ τὸ εὔξασθαι καὶ ζητῆσαι τὰ τῶν ταπεινῶν ἔργα καὶ ὑποδίκων καὶ ὀφειλόντων· « Ποίησόν με γάρ, λέγει, ὡς ἕνα τῶν μισθίων σου. Ταῦτα καὶ ὁ χορὸς τῶν ἀποστόλων ἔπραξε καὶ ἐδίδαξε. Μᾶλλον δὲ διὰ τοῦτο κοπιῶντες διήρχοντο, καὶ ἀποθνήσκοντες ἔτρεχον, ἐπιστρέφειν τοὺς ἁμαρτάνοντας ὁρῶντες καὶ σπεύδοντες· οὓς καὶ ἐπετίμων καὶ παρεκάλουν, καὶ ἀπεστρέφοντο ὅτε ἔδει, καὶ παρεδέχοντο, καὶ ὅλοι τοῦ σῶσαι πάντας ἐγίνοντο.

ΚΕΦΑΛ. ΣΝΓ'.

Ὅτι τὸ κηρύσσειν μετάνοιαν καὶ τοῦ Σωτῆρος ἴδιον ἔργον, καὶ τῶν ἀποστόλων ἦν, καὶ τοῦτο πρὸ πάντων ὀφειλόμενον ἀρχιερεῦσι καὶ ἱερεῦσιν.

Περὶ οὗ δὴ καὶ ἡμῖν σπουδαστέον, τοῖς ἱερωμένοις φημί· καὶ τοῦτο βοῶ καὶ ἐμοί, καὶ τοῖς σὺν ἐμοὶ ἱεράρχαις, ὅτι τοῦτο μᾶλλον πάντων τῶν ἄλλων ἡμῖν ὀφειλόμενον ἐξαίρετον ἔργον, τὸ πρὸς μετάνοιαν ἄγειν, καὶ τοῦτο κηρύγματος ἐργασία, καὶ ὡς τὸ ἐπιστρέφειν ἀθέους πρὸς τὴν πίστιν. Ἐπεὶ καὶ καλὸν μὲν τὸ ἀπίστους πρὸς πίστιν ἕλκειν, καὶ τοῦτο γὰρ τοῦ Σωτῆρος καὶ τῶν ἀποστόλων αὐτοῦ· σπάνιον δὲ νῦν διὰ τὸ καὶ τὸν ζῆλον τῶν ἀποστολικῶν ἀνδρῶν ἐκλιπεῖν, **183** καὶ τὸ τοὺς διωγμοὺς μείζους ἄρτι γενέσθαι. Κάλλιστον δὲ μετὰ τοῦτο, καὶ ἴσον τούτου, τὸ τοὺς πιστοὺς συντηρεῖν καὶ ἐπιστρέφειν ὅλῃ δυνάμει καὶ σπουδῇ πάσῃ πρὸς τὴν μετάνοιαν. Διὸ καὶ οὐ χρὴ τούτους ἀναμένειν ἔρχεσθαι, μηδὲ ζητεῖν παρ' αὐτῶν τὴν ἐπιστροφήν, ἀλλὰ περιτρέχειν τοὺς οἰκονόμους τῆς μετανοίας, καὶ ἐρευνᾷν καὶ ζητεῖν τὸν πταίοντα, καὶ πᾶσι τρόποις ἕλκειν ἐπείγεσθαι πρὸς Θεόν, καὶ ἀπάγειν μὲν τῆς ἁμαρτίας, προσάγειν δὲ τῷ Θεῷ.

ΚΕΦΑΛ. ΣΝΔ'.

Ὅτι κήρυγμα ἀληθὲς ἡ πρᾶξις τῶν ἐνεργούντων τοῖς πιστοῖς τὴν μετάνοιαν.

Καὶ τοῦτο ἀντὶ κηρύγματος τοῦ Εὐαγγελίου ἔσται τῷ ἱεράρχῃ· μᾶλλον δὲ αὐτὸ τὸ κήρυγμα. Τί γὰρ ἕτερον τοῦ κηρύγματος ἢ τῶν ἀπολωλότων ἡ σωτηρία καὶ τῶν πεπτωκότων ἡ ἔγερσις, καὶ τῶν πεφευγότων ἀπὸ τοῦ κρείττονος ἡ πρὸς τοῦτο ἐπιστροφή; Ὅπερ οὖν ἐστι πρὸς τοὺς σφαλέντας περὶ τὴν πίστιν, ὅτι ὁ ἐπιστρέψας αὐτοὺς πρὸς Θεὸν ὡς στόμα Θεοῦ ἐστιν, ἀξίους ποιήσας ἐξ ἀναξίων, τοῦτο καὶ τὸ ἐπιστρέψαι ἐστὶν ἡμαρτηκότα. Ὁ γὰρ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ ὁμοίως στόμα Θεοῦ, καὶ Χριστοῦ ἄξιος ὡς σώσας ψυχὴν ἐκ θανάτου καὶ καλύψας πλῆθος ἁμαρτιῶν, καθὰ γέγραπται. Δι' ἣν αἰτίαν καὶ ὁ λόγος ἐπ' Ἐκκλησίας τῆς διδασκαλίας ἐνεργεῖται τοῦ Πνεύματος, καὶ παραδέδοται, καὶ ἀναγκαῖος τῷ ἱεράρχῃ καὶ ὀφειλόμενος· καὶ οὗτος οὐ σεσοφισμένος τις καὶ ποικίλος, οὐδ' ἐκ λόγων τῆς ἔξω τέχνης συντεθειμένος, ἀλλ' ἁπλοῦς τε καὶ κατὰ δύναμιν, πρὸς

A p'or visus sum, neque te sanctum Creatorem meum ullo modo reformidavi, neque reveritus sum, aut pudore suffusus excolui. Vere seipsum condemnare. Inquit enim, « Non sum dignus vocari filius tuus. » Præterea desiderare, et quærere, humilium reorum et debitorum opera et officia; dicit enim: « Fac me ut unum ex mercenariis tuis. » Hæc quoque præstitit et docuit apostolorum chorus. Maxime autem propter hoc laborantes ad eos veniebant, morientes currebant. Ipsi vero ad peccantium conversionem magno cum desiderio festinabant, quos et corripiebant, et exhortabantur, et a malis consiliis su s avertebant, et cum opus erat recipiebant. Denique toti erant i eorum salute procuranda occupati.

B

CAPUT CCLIII.

Salvatoris et apostolorum proprium hoc fuisse opus prædicare pœnitentiam, et hoc ante omnia ab episcopis et sacerdotibus fieri debere.

De quo nobis, viris sacratis dico, diligenter curandum est, hocque clamo, et mihi, et collegis meis episcopis, alios ad pœnitentiam vocare et agere opus esse omnium excellentissimum, nobisque præ cæteris debitum et conveniens, prædicationisque effectum et finem, ut et impios et atheos ad fidem convertere; cum pulchrum sit infideles ad fidem trahere, hoc enim Salvatoris et apostolorum ejus proprium est, quanquam nunc hoc rarum sit deficiente virorum apostolicorum zelo, et perse-
C cutionibus recens ingruentibus vehementius. Optimum vero et pulcherrimum secundum hoc, atque etiam illi æquale est, fideles conservare, et totis viribus, omnique studio ad pœnitentiam convertere. Ideo non oportet donec veniant, eos sustinere, neque conversionem ab ipsis quærere, sed pœnitentiæ œconomos currere, scrutari, inquirere labentem, et omnibus modis trahere, et urgere ad Deum atque a peccato abducere, et ad Deum adducere.

CAPUT CCLIV.

Veram hanc esse prædicationem, quæ ad pœnitentiam Christianos excitat.

Hoc erit episcopo vice prædicationis Evangelii, magis vero ipsa prædicatio. Quid est enim aliud prædicatio quam perditorum salus, et eorum qui
D ceciderunt resurrectio, qui a meliori deciderunt, ad illud conversio? Quod igitur est lapsis circa fidem prædicare, eo quod qui illos ad Deum convertit instar oris Dei est ex indignis dignos faciens; hoc idem est, eum qui peccavit convertere. Qui enim convertit peccatorem ex errore viæ suæ similiter os Dei est, et Christo dignus, veluti animam de morte servans, et peccatorum multitudinem operiens, ut scriptum est. Propter quam causam sermo doctrinæ ab Ecclesiæ Spiritu suscitatur, et traditur, et episcopo necessarius est, et debito conveniens; sed fucatus esse non debet, nec varie ornatus, nec ex sermonibus artis externæ compositus, verum simplex, pro viribus institutus ad animarum instructionem, morum correctionem et

bonam constitutionem, stantium confirmationem, lapsorum erectionem, eorum qui longe submoti sunt reductionem, concussorum et tumultuantium consistentiam, omnium denique, quæ fieri potest, utilitatem. Nam artes, et differentes methodi cum natura ortæ non sunt, sed natura posterius inventæ: Deus vero naturam corrigens, ex rebus simplicibus a natura datis, et non variegatis eam corrigit. Ideo incarnatus est per nostram ipsam naturam, reformans et refingens naturam. Verbis igitur simplicibus, et a Spiritu præsertim emanantibus doceat doctor, ut et corrigatur, et sibi prosit, et humiliatus de variis sermonis sui floribus non se inaniter ostentet, nihil suos auditores juvans, et debitum non exsolvens. Hoc omnis prædicationis et doctrinæ finem esse putet, vel auditoribus et sibi obnoxiis prodesse, vel debito satisfacere: « Væ mihi, inquit Apostolus, nisi evangelizavero. » Sæpe etiam demonstrat non esse tantopere festinandum ad alias sacras actiones, et sacramenta, ipsumque baptismum peragendum, sed aliquando præponendam esse prædicationem, ut plures convertantur, dicens: « Non enim misit me Christus baptizare, sed evangelizare. » Quanquam enim baptizaverit et Timotheum et Stephanæ domum, et plures alios, attamen prædicationem bis præposuit. Propter quid? Quia primum infidelem oportet convertere ad fidem, et eum postea baptizare. Baptizare igitur est sacerdotis alicujus, convertere vero doctoris. Sed nunc video, heu! sacerdotum multos sacramenta contemnere, simul et verbum doctrinæ, et divinam salutaremque prædicationem; semel quidem cum fastu et phantasia quadam ducti sacra facientes, raro vero precantes, et nunquam prædicantes, magnifice sedentes, et judiciorum sæcularium curam gerentes: unde pugnæ tumultusque omnes nascuntur, lites, et altercationes inutiles, imo animabus noxiæ et infestæ. Illos video animum anxie occupantes in bonorum corruptibilium sollicitudine, vitæ autem suæ spiritalis, velut iis magis spiritales qui ipsis subsunt, inquisitionis sacrarum Scripturarum, observationis canonum, vel alterius in Patrum scripta sacræ diligentiæ nullam rationem habentes; nec de ecclesiis, nec de Christi ovili sollicitos, licet hæc Paulus edicat: « Attendite vobis ipsis, et universo gregi in quo vos Spiritus sanctus posuit episcopos, regere Ecclesiam Domini et Dei, quam acquisivit sanguine suo. » Hæc autem non venturis lupis, sed jam præsentibus. De reditibus suis et propriis negotiis frequens est multis sermo; de thesauro vero cœlesti animarum servandarum, rarus. Nec extra istorum numerum me ipsum colloco: ego enim negligens cum negligentibus incuriæ culpam sustinebo. Ideo officii mei debitum apud me perpendens, et meipsum et fratres meos lugeo, atque illud ut dictu necessarium, jam dico et expono: munus scilicet esse et debitum nostrum quod detrectare non possumus, urgere fratres ut pœnitentiam agere in animum inducant. Pœniten-

A καταρτισμὸν τῶν ψυχῶν, πρὸς τὴν τῶν ἠθῶν διόρθωσιν καὶ κατάστασιν ἀγαθήν, πρὸς στηριγμὸν τῶν ἱσταμένων, πρὸς ἀνέγερσιν τῶν πεπτωκότων, πρὸς ἐπαναγωγὴν τῶν μακρυνθέντων, πρὸς στάσιν τῶν κλονηθέντων, πρὸς τὴν δυνατὴν τῶν πάντων ὠφέλειαν· ὅτι οὐδὲ μετὰ τῆς φύσεως αἱ τέχναι τε καὶ διάφοροι μέθοδοι, ἀλλὰ τῆς φύσεως ὕστερον ἐφευρέσεις. Θεὸς δὲ τὴν φύσιν ἐπανορθῶν, ἐκ τῶν δεδομένων τῇ φύσει ἁπλῶν καὶ ἀποικίλων ἐπανορθοῖ. Διὸ καὶ σεσάρκωται διὰ τῆς αὐτῆς ἡμῖν φύσεως ἀναμορφῶν καὶ ἀναπλάττων τὴν φύσιν. Καὶ ἐν ἁπλοῖς τοίνυν λόγοις καὶ τοῖς τοῦ Πνεύματος μᾶλλον ὁ διδάσκαλος διδασκέτω, ἵνα καὶ κατορθοῖ, καὶ ἑαυτὸν ὠφελῇ, ταπεινούμενος ὢν καὶ μὴ κομπάζων ἐκ τῶν ποικίλων, μηδ' ὠφελῶν τοὺς ἀκούοντας, καὶ B τὸ χρέος ἀποπληρῶν, τοῦτο παντὸς κηρύγματος καὶ διδασκαλίας νομίζων τέλος, ἢ τὸ τοὺς ἀκροατὰς καὶ ὑφ' αὐτὸν ὠφελῆσαι, ἢ τὸ χρέος ἀποπληρῶσαι. « Οὐαί μοι γάρ, φησὶ Παῦλος, ἐὰν μὴ εὐαγγελίζωμαι. » Ὃς καὶ τὰς ἄλλας πολλάκις δείκνυται ἱερὰς πράξεις καὶ τελετάς, καὶ αὐτὸ τὸ βάπτισμα μὴ σπεύδειν τοσοῦτον ἐνεργεῖν, ἀλλὰ προτιθέναι τὸ κηρύσσειν, ἵνα πλείστους ἐπιστρέψῃ, καὶ φησιν, « Οὐ γάρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· » καίτοι γε ἐβάπτιζε· καὶ τὸν Τιμόθεον γάρ, καὶ τὸν Στεφανᾶ οἶκον καὶ πλείστους ἄλλους ἐβάπτισεν. Ἀλλὰ τούτου τὸ κήρυγμα προτίθησι μᾶλλον. Διατί; Ὅτι δεῖ πρότερον ἐπιστρέψαι τὸν ἄπιστον πρὸς τὴν πίστιν, καὶ τότε τοῦτον βαπτίσαι. C Τὸ βαπτίσαι οὖν καὶ ἱερέως τινός, τὸ δὲ ἐπιστρέψαι διδασκάλου. Ἀλλὰ νῦν ὁρῶ φεῦ! ἅμα καὶ τῶν ἱερῶν καταμελοῦντας πολλοὺς τελετῶν, καὶ τοῦ λόγου τῆς διδασκαλίας τοῦ κηρύγματος τοῦ ἐνθέου καὶ σωτηρίου, καὶ ἅπαξ μὲν ἱερουργοῦντας ὑπεροχικῶς τε καὶ μετὰ φαντασίας τινός, ὀλιγάκις δὲ προσευχομένους, καὶ οὐδαμῶς κηρύσσοντας, μεγαλοπρεπῶς τε προκαθημένους, καὶ κρίσεων φροντίζοντας κοσμικῶν, ἐξ ὧν μάχαι καὶ ταραχαὶ πᾶσαι τίκτονται, ἔριδές τε καὶ φιλονεικίαι ἀνωφελεῖς, μᾶλλον δὲ ψυχοβλαβεῖς, καὶ περὶ μὲν κτημάτων φροντίδα τῶν φθειρομένων ἀσχολουμένους, περὶ δέ γε βίου πνευματικοῦ ἑαυτῶν ὡς πνευματικῶν μᾶλλον ὄντων ἢ τῶν ὑπ' αὐτούς, ἢ ἐξετάσεως ἱερῶν Γραφῶν καὶ συντηρήσεως τῶν κανόνων, ἢ ἑτέρας ἀκρι- D βείας ἱερᾶς τῆς **184** ἐκ τῶν Πατέρων, ποιουμένας οὐδένα λόγον, οὐδὲ τῶν ἐκκλησιῶν φροντίζοντας, οὐδὲ τοῦ ποιμνίου τοῦ Σωτῆρος ἡμῶν· καὶ ταῦτα τοῦ Παύλου λέγοντος, « Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ὑμᾶς ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Κυρίου καὶ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. » Καὶ ταῦτα οὐ μελλόντων ἐλθεῖν τῶν λύκων, ἀλλ' ἤδη παρόντων. Καὶ περὶ μὲν προσόδων καὶ τῶν ἰδίων πολὺς τοῖς πολλοῖς ὁ λόγος, περὶ δὲ τοῦ ἐν οὐρανοῖς θησαυρίσματος τῶν σωζομένων ψυχῶν ὀλίγος ὁ λόγος. Καὶ οὐχ ἔξω ποιοῦμαι τῶν τοιούτων ἐμαυτόν. Κἀγὼ γὰρ σὺν τοῖς ἀμελοῦσιν ἀμελῶν τὸν λόγον ὑφέξω. Διὸ καὶ ἐμαυτοῦ τὴν ὀφειλὴν λογιζόμενος, καὶ ἐμαυτὸν καὶ τοὺς

ἀδελφούς μου πενθῶ. Καὶ ὡς ἀναγκαῖον ὂν τὴν ὀφειλὴν ἡμῶν λέγειν, λέγω· καὶ ὅτι ἀπαραίτητον ἡμῖν χρέος τὸ σπεύδειν ἐνάγειν τοὺς ἀδελφοὺς εἰς μετάνοιαν. Ἡ μετάνοια γὰρ ἓν τῶν μυστηρίων ἐστί· καὶ ἴδιον ἐπισκόπων αὐτὴν ἐνεργεῖν ἐν τοῖς πιστοῖς. Καὶ ἀγωνιστέον πρὸς τοῦτο· σὺν τοῖς ἐπισκόποις δὲ καὶ οἱ τὸ λειτούργημα λαβόντες ἐκ προτροπῆς σπουδαζέτωσαν· καὶ μὴ πρὸς κέρδος σαρκὸς, ὃ δὴ ζημία ἐστὶ, καὶ ἡ ὄντως ζημία, τινὲς (οὐ γὰρ πάντας φημὶ, ὡς οὐδ' ἐπισκόπους ἅπαντας) ἀφοράτωσαν· μηδὲ παρὰ τοὺς κανόνας διακρινέτωσαν, ἵνα μὴ εἰς ἑαυτὸν ὁ ἐνεργῶν παρὰ τοὺς κανόνας τὰς ἁμαρτίας ἑτέρου ἐπισπώμενος εἴη. Πᾶς οὖν μήτε ἀκριβέστερον τῶν Πατέρων ἑαυτὸν, πλανώμενος, νομιζέτω, τίς γὰρ ἐκείνων πρὸς τὰ τοιαῦτα ἁγνότερος καὶ προσοχὴν μᾶλλον ἔχων ἢ καθαρώτερος; μήτε συμπαθέστερος τούτων πάλιν δοκείτω εἶναι ἐξαπατώμενος, ἀνειμένος ὢν καὶ συγκαταπίπτων ἀλόγως τοῖς πίπτουσιν. Ἀλλὰ καὶ τίς τολμηρίας, ὥστε θαῤῥῆσαι τῶν Πατέρων εἶναι φιλανθρωπότερος; Πόθεν δὲ καὶ τὴν ἐξουσίαν ἕξει, εἴπερ αὐτοὺς ἀθετεῖ, καὶ παρὰ τοὺς ὅρους ἐκείνων πράττει; Πάντως ἀφ' ἑαυτοῦ ποιήσει, καὶ οὐχ ἕξει τὸ ἀσφαλὲς τὸ πραχθέν· οὐ γὰρ ἐκ τῆς διαδοχῆς τῶν Πατέρων. Τοίνυν ἀσφαλιζέσθω ἕκαστος μηδὲν ἐνεργεῖν παρὰ τοὺς ὅρους καὶ τοὺς κανόνας τοὺς πατρικούς. Παρὰ διαφόρων δὲ οὗτοι τῶν θεοφόρων, καὶ ἱκανοὶ ὡς Πνεύματι συντεθέντες, καὶ περὶ παντὸς πάθους ἰατρικώτατοι, καὶ θεραπευτικοὶ λίαν. Περὶ ὧν καὶ οὐ χρὴ λέγειν ἡμᾶς, σαφεστάτων ὄντων, καὶ ἐν πολλοῖς γεγραμμένων, καὶ διερμηνευθέντων εἰς μείζονα γνῶσιν σαφηνείας ὑπὸ πολλῶν. Κατὰ τοὺς κανόνας τοίνυν διακρίνειν ἅπαντες ὀφείλουσι, καὶ μὴ προσέχειν ἑτέροις τισὶν, ἔξω τῶν κανονικῶν ὅρων συντεθειμένοις· ὅτι κατὰ διαδοχὴν ἡ χάρις. Ἀπὸ γὰρ τῆς πηγῆς τῶν χαρίτων τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν εἰς τοὺς ἀποστόλους ἦλθεν αὐτοῦ· ἀπὸ δὲ τῶν ἀποστόλων εἰς τοὺς Πατέρας· ἀπὸ δὲ τῶν Πατέρων ἡμῶν εἰς ἡμᾶς. Εἰ οὖν τὰ τῶν Πατέρων τηροῦμεν, καὶ ἡ διαδοχὴ τῆς χάριτος ἐν ἡμῖν ἔσται, καὶ βεβαία ἡ παρ' ἡμῶν ἀπόφασις. Εἰ δ' ἄλλως παρὰ τὰ ὡρισμένα ἐκείνοις ἐνεργήσεις, ἀμφίβολος ἔσται καὶ ἡ ἀπόφασις. Ἀλλὰ τί τὸ ἀναγκάζον παρὰ τοὺς ὅρους ποιεῖν; Θερμή τινος μετανοίας ἐπίδειξις, καὶ ἐξαγόρευσις τῶν ἐπταισμένων τελεία, καὶ συντριβὴ ἐκ ψυχῆς καὶ ταπείνωσις, ἀποχή τε ἀληθὴς τῶν πονηρῶν ἔργων καὶ τῆς ἁμαρτίας ἐκ τῆς καρδίας μῖσος καὶ ταύτης ἀποφυγὴ, καὶ προθυμία πρὸς ἔργα τῆς μετανοίας ἐν ἐγκρατείᾳ τε καὶ ἐλέει; Κάλλιστα ταῦτα καὶ οἱ Πατέρες διδάσκουσι. Καὶ πρόσδεξαι τὸν τοιοῦτον, καὶ τὰ τῆς ἀγάπης αὐτῷ κύρωσον· ἀσφάλισαι δὲ τὸν ἀδελφὸν, καὶ τὰ τῆς μετανοίας ἀκριβέστερον ζήτησον. Καὶ πεῖραν λάβε αὐτοῦ· καὶ εἴγε ἐκ τούτου τὸ τῆς μετανοίας γνήσιον καταμάθοις, καὶ χρόνου ζητήσει οὗτος ἁρμόζουσαν ἐκκοπὴν, καὶ συνεομίαν τινὰ ἐπωφελῆ, πρὸς τὸ μεταδοῦναι τοῦ ἀγαθοῦ οὐ κωλυθήσῃ. Καὶ γὰρ ὁ σκοπὸς ἅπας πρὸς τὸ ἑνωθῆναι πάντας τῷ ἀγαθῷ. Καὶ εἰ τοῦτο, μὴ κα-

A tia enim unum est e sacramentis, et proprie dictum: episcoporum est eam in fidelibus excitare et operari, et iis ad hoc enitendum. Qui sacrum hoc ministerium ex commissione acceperunt, illud cum episcopis diligenter procurent, non ad carnale aliquod lucrum emungendum, quod damnum est, et revera damnum. Aliqui, non enim omnes dico, sicut nec omnes episcopos, ad hoc diligenter animum advertant, neque præter canones dijudicent, ne quis præter canones agens, in sei psum alterius peccata derivet. Nullus igitur seipsum seducens existimet se Patribus diligentius et accuratius agere. Quis enim illis ad ejusmodi prior et sincerior, aut attentior? Neque iterum deceptus videri affectet illis humanior, et infirmitatibus B hominum complacentior, remisse se gerens, et cadentibus concidens. Verum quis audaculus adeo ut se Patribus humaniorem confidenter credat et jactet? Unde hanc auctoritatem deprompsit, si illos aspernatur, et contra illorum definitiones agit? Omnino a seipso aget, nullaque facto tum securitas erit; non enim a successione Patrum emanat. Unusquisque igitur apud se firmum ratumque statuat nihil agere præter Patrum definitiones et canones, cum illi sint a variis auctoribus Deo afflatis instituti, et sufficientes velut a Spiritu compositi, ut animi morbis et affectibus medeantur remediis admodum salutaribus, et sanitatem efficaciter procurantibus. De quibus dicere nos non oportet cum C clarissimi sint, multisque in locis scripti reperiantur, et a multis ad dilucidiorem cognitionem explicati. Debent igitur omnes secundum canones judicare, nec attendere nescio quibus aliis extra canonicas definitiones compositis, quoniam gratia ad nos per successionem descendit. A fonte enim gratiarum Domino et Salvatore nostro in apostolos ejus venit, ab apostolis autem in Patres, a Patribus nostris ad nos. Si igitur quæ Patrum sunt conservamus, gratiæ successio in nobis erit, firmaque et stabilis constitutio et professio nostra: si vero aliter quam a Patribus constitutum est, egeris, dubia erit et incerta. Sed quid cogit præter canones agere? Vehemens cujusdam pœnitentiæ demonstratio, et delictorum perfecta confessio, et ex animo D contritio, et humilitas, et malorum operum vera abstinentia, et peccati ex corde sincerum odium, illius fuga, et promptus animus ad opera pœnitentiæ cum temperantia et misericordia exsequenda. Hæc pulcherrime Patres docent. Amplectere talem et quæ sunt charitatis ipsi confirma; corrobora fratrem tuum, et quæ ad pœnitentiam spectant, diligentius inquire, et ipsum experire. Si ex eo didiceris germano pœnitentiæ fructu ipsum duci, et quæsierit aliquid de tempore pœnitentiæ statuto convenienter et utiliter sibi subduci et detrahi, ut cum illo quod bonum est, communices, non prohibeberis; omnis enim sacramentorum scopus est omnes bono unire. Hoc si non contempseris, a Patribus consequeris et accipies auctoritatem. Ego

quoque in hoc opere collega tuus, et studiose collaborans bono tecum sum animo: confidentiam adde animose festinanti, potius in ulnas eum complectere, et pro viribus, convenienterque ipsius bono animo eum curare satagito.

CAPUT CCLV.

Quod attendendum sit ad eos qui pœnitere se profitentur, atque genuinos pœnitentes cum accedunt suscipiendos; eos qui simulatione hoc faciunt, examinandos.

Si quis autem frigidus et animo duplex, et verbo solo conversionem demonstrans, opere autem nullo modo; non solum ad aliquid boni faciendum tardus et piger, sed etiam ad proprium vomitum redire paratus, sanctos veluti deridens, et gestibus subsannans, vel humilitatem et zelum simulans; in paucis vero probatus, statim post doni participationem tepidus, vel etiam frigidus, prioribusque iterum implicatus fuerit, a te talis longe absit, ne alienis communices peccatis. In vase cœnoso non est immittendum pretiosum unguentum, et præcipimur margaritas ante porcos non projicere, nec dare sancta canibus. Ista iis qui in Dominum benevoli videntur, præstanda sunt, non autem impuris, sanguinem vorantibus, et raptoribus. De istis tamen non est desperandum, neque aliquis rejiciendus, sed, ut diximus, unusquisque quærendus, et recipiendus est, et ad pœnitentiam excitandus, quæ semper exspectanda est, cum spes ad finem usque perseveret; sanctorum tamen communione non oportet eos dignari, ne in damnationem imprudenter tradentibus hoc imputetur, ut et accipientibus.

CAPUT CCLVI.

De confessione, quomodo hæc fieri debeat.

Confessionem autem non oportet simpliciter edere, sed ut Salvator noster demonstravit, cum Zacchæum et meretricem suscepit. Ille enim cum majestate quadam et contritione confessus est, et promisit quæ inique gesserat se correcturum, et opera divina additurum. « Ecce enim, inquit, dimidium bonorum meorum, Domine, do pauperibus, et si aliquem defraudavi, reddo quadruplum. » Illa vero, accipiens alabastrum unguenti, et stans ad pedes ejus, et retro plorans, non enim audebat coram, cœpit lacrymis rigare pedes ejus, et capillis capitis sui tersit, et deosculata est pedes ejus, et unguento unxit. Ideo dixit Jesus, « Remittuntur tibi peccata tua, » et, « Quoniam dilexit multum, cui autem paucum dimittitur, parum amat; » Zacchæo autem, « Hodie salus huic domui facta est. » Vides propter alacrem animi ad bonum propensionem, et conversionis veritatem, statim datam esse cum salute remissionem; sed non pœnitentibus: « Discedite a me, inquit, qui operamini iniquitatem; » et, « Blasphemantibus in Spiritum sanctum, dixit, nunquam remittetur; » et remittere nolentibus: « Non remittetur vobis; » et: « Nisi pœnitentiam egeritis, ait, similiter peribitis; » et non obedientibus

A τυχνήσῃς. Καὶ παρὰ τῶν Πατέρων γὰρ εὑρήσεις καὶ λήψῃ τὴν ἐξουσίαν. Καὶ αὐτὸς ἐγὼ συνθαῤῥῶ σοι, συνεργάτης τελῶν σοι καὶ σπουδαστής. Καὶ θάῤῥυνον τὸν προθυμούμενον μᾶλλον, καὶ ἐναγκάλισαι, καὶ θεράπευσον ὅση σοι δύναμις, ἀναλόγως τῇ προθυμίᾳ.

185 ΚΕΦΑΛ. ΣΝΕ'.

Ὅτι χρὴ τοῖς λέγουσι μετανοεῖν προσέχειν, καὶ τοὺς μὲν γνησίως προσερχομένους δέχεσθαι, τοὺς δὲ ἐν ὑποκρίσει τοῦτο ποιοῦντας δοκιμάζειν.

Εἰ δὲ ψυχρός τις οὗτος καὶ δίψυχος, καὶ λόγῳ μὲν μόνῳ δεικνὺς τὴν ἐπιστροφήν, ἔργοις δὲ ὅλως οὐδαμῶς, καὶ οὐ μόνον οὐ πρᾶξαί τι χρηστὸν προθυμούμενος, ἀλλὰ καὶ πρὸς τὸν ἴδιον ἔμετον ἑτοίμως ἔχων ἐπανελθεῖν, καὶ οἷον καταγελῶν τῶν ἁγίων
B καὶ κατορχούμενος, ἢ δῆθεν μὲν ὑποκρινόμενος τὸ ταπεινόν τε καὶ θερμουργόν, ἐν ὀλίγῳ δὲ δοκιμασθεὶς, εὐθὺς χλιαρὸς ἢ καὶ ψυχρὸς ὅλος μετὰ τὸ δῶρον γινόμενος, καὶ τοῖς πρότερον αὖθις ἐγκαλινδούμενος, ἀπέστω σοι οὗτος, ἵνα μὴ ἀλλοτρίαις ἔσῃ κοινωνῶν ἁμαρτίαις. Καὶ ἐν ἀγγείῳ δὲ βορβόρου οὐ χρὴ εἰσάγειν μύρον, καὶ, « Τοὺς μαργαρίτας οὐ χρὴ ῥίπτειν τοῖς χοίροις, » παραγγελίαν εἰλήφαμεν, « μηδὲ διδόναι τὰ ἅγια τοῖς κυσὶν, » εὐνοϊκοῖς μὲν δοκοῦσι καὶ ὑπὲρ τοῦ Δεσπότου, ἀκαθάρτοις δὲ καὶ αἱμοβόροις καὶ ἅρπαξιν. Ὅμως οὐδὲ τούτων ἀπογινώσκειν χρὴ, οὐδὲ ἀποστρέφεσθαί τινα, ἀλλὰ προσδέχεσθαι μὲν καὶ ζητεῖν, ὡς εἰρήκαμεν, ὑπομιμνήσκειν τε καὶ διεγείρειν πρὸς τὴν μετά-
C νοιαν, καὶ ἀναμένειν ἀεὶ τούτους πρὸς ταύτην ἐλθεῖν, ἐπεὶ καὶ ἄχρι τέλους ἐλπίς· οὐ μὴν δὲ τῶν ἁγίων καταξιοῦν, ἵνα μὴ εἰς κρῖμα, ὡς καὶ αὐτῶν καὶ τῶν ἀλόγως διδόντων γένηται.

ΚΕΦΑΛ. ΣΝϚ'.

Περὶ ἐξαγορεύσεως, ὅπως χρὴ ταύτην γίνεσθαι.

Τὴν ἐξαγόρευσιν δὲ οὐχ ἁπλῶς χρεὼν γίνεσθαι, ἀλλ' ὡς ὑπέδειξεν ὁ Σωτὴρ, ὅτε τὸν Ζακχαῖον καὶ τὴν πόρνην ἐδέξατο. Ὁ μὲν γὰρ μετὰ σεμνότητος ἐξήγγειλε πάντα καὶ συντριβῆς, καὶ ἐπηγγέλλετο τὰ ἀδικήματα διορθώσασθαι καὶ ἐπιθεῖναι θεῖα ἔργα. « Ἰδοὺ γὰρ, φησὶ, τὰ ἡμίση τῶν ὑπαρχόντων μοι, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. » Ἡ δὲ
D λαβοῦσα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα (οὐ γὰρ ἐτόλμα ἐνώπιον) ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. Διὸ καὶ εἶπεν αὐτῇ ὁ Ἰησοῦς, « Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· » καὶ, « Ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ, » φησί. Τῷ δὲ Ζακχαίῳ, « Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο. » Ὁρᾷς διὰ τὸ πρόθυμον καὶ τὸ ἀληθὲς τῆς ἐπιστροφῆς καὶ τὴν ἄφεσιν παρευθὺς μετὰ τῆς σωτηρίας χαριζομένην; Ἀλλὰ τοῖς μὴ μετανοοῦσιν, « Ἀπόστητε ἀπ' ἐμοῦ, φησὶν, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. » Καὶ, « Τοῖς βλασφημοῦσιν εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐδαμῶς ποτε ἀφεθήσεται, » εἴρηκε, καὶ τοῖς μὴ ἀφιέναι θέλουσιν οὐκ ἀφίεσθαι. Καὶ,

« Ἐὰν μὴ μετανοῆτε, φησὶν, οὕτως ὁμοίως ἀπολεῖσθε. » Καὶ τοῖς μὴ πειθομένοις αὐτῷ, « Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. » Διὸ χρὴ γνησίως μετανοεῖν καὶ ἐν ταπεινώσει, καὶ μὴ, ὡς φασί τινες, ὃ καὶ γελοῖον, ὅτι φαγόντων καὶ πιόντων ἀνοίγεται ἡ καρδία πρὸς τὴν ἐξομολόγησιν. Διὸ δὴ καὶ κραιπαλῶντες, ἵνα μὴ καὶ πλέον εἴπω, θαῤῥοῦσι τὰ τῆς μετανοίας ποιεῖν, τὰ ἐναντία ταύτης πράττοντες, ἀπεναντίας τε βαίνοντες τῷ λέγοντι, « Προσέχετε ἑαυτοῖς, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ αἰφνιδίως ἐφ' ὑμᾶς ἐπέλθῃ ὄλεθρος. » Καὶ πῶς συντριβήσεται τὴν καρδίαν ὁ οὕτως ἔχων; Πῶς δὲ κατανυγήσεται; Μετὰ ποίας δὲ ἄρα τῆς προσοχῆς τε καὶ ταπεινώσεως τὰ τῆς ἐξομολογήσεως ἐνεργήσει;

A ei : « Ecce relinquetur domus vestra deserta. » Ideo sincere et in humilitate agenda est pœnitentia, et non, sicut quidam dicunt, quod est ridiculum, comedentibus et bibentibus cor ad confessionem aperitur. Quapropter crapula oppressi, ut nihil amplius dicam, audent confidenter quæ pœnitentiæ sunt agere, ipsi contraria facientes, et in oppositum gradientes ei qui dixit : « Attendite vobis ipsis ne crapula et ebrietate graventur corda vestra et repente veniat super vos ruina. » Quomodo cor conteret, qui sic se habet? quomodo compungetur? Qua vero attentione et humilitate quæ ad confessionem spectant, operabitur?

186 ΚΕΦΑΛ. ΣΝΖ'.

Ὅπως χρὴ τὸν τὴν ἐξομολόγησιν δεχόμενον καθῆσθαι καὶ διακεῖσθαι, καὶ ὅπως τὸν ἐξομολογούμενον.

Ἀλλ' οὐ χρὴ οὕτω γίνεσθαι. Ἐν τόπῳ δὲ σεμνῷ τε καὶ ἱερῷ, καὶ ἰδιαζόντως καὶ ἀθορύβως χρὴ τὸν δεχόμενον τὴν ἐξομολόγησιν καθῆσθαι μετ' εὐλαβείας, ἱλαρὸν ὄντα καὶ πρᾳηνῆ τῇ ψυχῇ καὶ τῷ βλέμματι, τὴν θείαν ἀγάπην διὰ τοῦ ἤθους ἐπιδεικνύμενον· καὶ τὸν ἐξομολογούμενον δὲ μετὰ θάῤῥους καὶ θείου φόβου καὶ μετ' εὐλαβείας καθίσαι τοῦ δεχομένου ἐνώπιον, μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ διὰ τοῦ δεχομένου τῷ Χριστῷ ἀναγγέλλει, τῷ καὶ τὴν ἄφεσιν νέμοντι· καὶ προτραπέντα, πάντα λέγειν ἀνενδοιάστως καὶ ἐν ταπεινώσει καὶ ἀληθείᾳ, καὶ μηδὲν ὑποκρύπτειν.

CAPUT CCLVII.

B *Quomodo sedere et comparatus esse debeat qui confessionem audit : et quomodo ille qui confitetur.*

Sed hæc non sic agenda sunt; sed oportet confessorem in loco nitido, præclaro, et sacro, privatim, et extra tumultum sedere cum reverentia hilarem, animo, vultuque mansueto, divinam charitatem oris habitu et moribus demonstrantem : confitentem autem cum fiducia, divino timore et reverentia in conspectu confessoris, potius vero in conspectu ipsius Christi sedere, cum per confessorem Christo confiteatur, qui remissionem largitur; cumque exhortari debet confessor omnia indubitanter dicere, in humilitate, et veritate, nihilque occultare.

C

ΚΕΦΑΛ. ΣΝΗ'.

Ὅτι τρία ἐν ἡμῖν ἐν οἷς κατορθοῦμεν ἢ ἁμαρτάνομεν, λογιστικὸν, θυμικὸν καὶ ἐπιθυμητικὸν, ἃ καὶ λέγονται τὸ τῆς ψυχῆς τριμερές.

Καὶ τριῶν ὄντων ἐν ἡμῖν, λογιστικοῦ τε λέγω, καὶ θυμικοῦ, καὶ τοῦ ἐπιθυμητικοῦ, περὶ πάντων τῶν ἐν τούτοις πλημμελημάτων κατὰ μέρος ἀναγγέλλειν. Εἰ δ' ἀγνοεῖ ποῖα ταῦτα ὁ ἐξομολογούμενος, ὑπομιμνήσκεσθαί τε καὶ ἐρωτᾶσθαι παρὰ τοῦ ἀναδεχομένου· ὅτι ἐν τοῖς τρισὶ τούτοις, ὡς καὶ ὁ Νύσσης φησὶ μέγας Γρηγόριος, ἢ κατορθοῦμεν, ἢ σφαλλόμεθα. Καὶ ἐν μὲν τῷ λογιστικῷ ἡ πίστις ἐστὶ καὶ τὰ διὰ τοῦ νοὸς ἐνεργούμενα πάντα. Διὸ καὶ ἐρωτᾶσθαι περὶ τῆς πίστεως χρὴ, μή ποτε ἐσφάλη ἢ ἐβλασφήμησεν.

CAPUT CCLVIII.

Tria esse in nobis quibus vel recte agimus vel peccamus, quæ et tripartitæ dicuntur animæ facultates, rationabilem, irascibilem et concupiscibilem.

Tres sunt in homine facultates, rationalis, irascibilis, et concupiscibilis : de delictis omnibus quæ per illas committuntur, tractabimus. Si confitens ignorat qualia illa sunt, a confessore de illis commonendus et interrogandus est; quoniam in his tribus, ut ait magnus Gregorius Nyssenus, vel recte agimus vel labimur. In rationali facultate fides est, et quæcunque per mentem aguntur. Ideo de fide eum oportet interrogare, ne forte aliquando lapsus fuerit, vel blasphemaverit.

D

ΚΕΦΑΛ. ΣΝΘ'.

Ὅτι τρία ἕτερα ἐν ἡμῖν ἐν οἷς ἢ τὰ ἀγαθὰ ἐνεργοῦμεν ἢ τὰ φαῦλα, νοῦς, καὶ ὁ λαλούμενος λόγος καὶ αἱ διὰ τοῦ σώματος πράξεις.

Ὃ δὴ καὶ κατὰ νοῦν καὶ λόγον προβαίνει· καὶ γὰρ τρία κεκτήμεθα ἕτερα, ἐν οἷσπερ ἢ κατορθοῦμεν, ἢ περιπίπτομεν, νοῦν καὶ τὰ περὶ τὸν νοῦν, λόγον καὶ τὰ τοῦ λόγου, πράξεις καὶ τὰ τῶν πράξεων· ἐν οἷς καὶ τὸ λογιστικὸν καὶ θυμικὸν, καὶ ἐπιθυμητικὸν ἐνεργεῖ.

CAPUT CCLIX.

Tria esse in nobis alia quibus bona vel mala operamur, mentem, sermonem, et actiones quas corpore edimus.

Quod procedit et secundum mentem, et secundum sermonem. Tria enim alia possidemus, in quibus vel recte agimus, vel cadimus, mentem et quæ circum eam sunt; sermonem, et quæ sermonis sunt; actiones, et quæ ad eas spectant, in quibus et rationalis, et irascibilis, et concupiscibilis operantur

ΚΕΦΑΛ. ΣΞ'.

Ὅσα διὰ τοῦ νοὸς κατορθοῦται τοῖς ἀγωνιζομένοις, τῷ λογιστικῷ καὶ θυμικῷ, καὶ ἐπιθυ-

CAPUT CCLX.

Quæ per mentem recte aguntur per rationabilem facultatem et irascibilem atque concupiscibilem :

et quæ in contrarium accidunt non attendentibus.

Primum quidem mens in corde producit vel bonas cogitationes ad eas attendens, vel malas non attendens. Hinc attendentibus per rationalem facultatem memoria Dei, et fides recta, oratio et attentio, recte diriguntur, laudatio quoque et gratiarum actio Deo redditæ, quæ, ut diximus, ad rationalem pertinent. Ad irascibilem facultatem per mentem pertinent zelus, excitus pro pietate, et sacris hymnis, et agendis Deo gratiis ardens et vehemens. Ad concupiscibilem vero per mentem, charitas in Deum, et in proximum vera et germana amorque in divina, bonæque et spirituales cogitationes. His contraria non attendentibus accidunt; mente quidem homini minime temperanti, per rationalem facultatem recta non cogitare de recta fide, et uno in Trinitate Deo, et Verbi incarnatione, et cæteris quæ ad Deum referuntur: his adjungenda, ingratitudo, blasphemia, et rerum ad apostasiam vergentium, et diabolicarum phantasiæ. Per irascibilem, zelum in malis demonstrare, in fratrem aliquid moliri, invidere, fascinare, furere, vindictam quærere, et alia pleraque irarum plena peragere. Per concupiscibilem vero, ambitiosum esse, pecuniarum animo cupidum, quæ proximi sunt concupiscere, contra rationem et decorum bona aliena amare aut marcescentem carnis pulchritudinem, pravos concupiscentiæ motus cogitatione conservare, res sordidas animo nutrire et fovere, omnisque generis impuritatem, velut jumenta vivere, et jumentis pejora animo agitare. Hæc hisque similia secundam trifidam illam distinctionem ad mentem spectant.

CAPUT CCLXI.

Quæ recte faciat homo ratione cum tripartita facultate animæ si attendat, et quæ peccet si attendere neglexerit.

Iterum recte agit homo secundum sermonem, per rationalem facultatem, pie et sancte commotus et impulsus ad fidei sermones, cum publice et confidenter Deum juxta catholicam fidem confitetur, eum laudat et celebrat, gratias agit, docet divina, interpretatur, veritatem in omnibus profitetur, judicium justum judicat, bona et divina omnia loquitur; per irascibilem vero, sermone cum zelo ad virtutem excitans, in Dei gloriam, et fratrum defensionem loquens, adversariis contradicens, impie agentes, et legum prævaricatores redarguens, coram regibus et principibus confidenter loquens, et eos terrefaciens justitiæ patrocinans: per concupiscibilem autem, Deum laudans et celebrans, enarrans ejus opera, et laudibus eum super omnia efferens, et pro aliis deprecans, pacem cum fratribus procurans, eosque invicem reconcilians, pro illis apud reges et duces quibus verbis modisque poterit, intercedens. Sermone vero labitur homo per rationalem, cum male instigatus Deum lingua blasphemat, eum abnegat, gratias illi non agit, nihil secundum conscien-

A *μητικῷ· καὶ ὅσα τοὐναντίον συμβαίνει μὴ προσέχουσιν.*

Καὶ πρῶτον μὲν ὁ νοῦς ἐν τῇ καρδίᾳ γεννῶν, ἢ τοὺς ἀγαθοὺς ἐν προσοχῇ, ἢ τοὺς πονηροὺς μὴ προσέχων ἀπογεννᾷ λογισμούς. Ἐντεῦθεν οὖν τοῖς μὲν προσέχουσι διὰ τοῦ λογιστικοῦ μνήμη Θεοῦ, καὶ πίστις ὀρθὴ, προσευχή τε καὶ προσοχὴ κατορθοῦται, καὶ δοξολογία καὶ εὐχαριστία Θεοῦ· ἃ δὴ τοῦ λογιστικοῦ εἰσιν, ὡς εἰρήκαμεν· τοῦ θυμικοῦ δὲ διὰ τοῦ νοὸς ζῆλος καὶ διέγερσις ὑπέρ τε τῆς εὐσεβείας καὶ τῶν ἱερῶν ὕμνων καὶ τῆς Θεοῦ εὐχαριστίας θερμός τε καὶ ἔντονος· τοῦ ἐπιθυμητικοῦ δὲ διὰ τοῦ νοὸς ἀγάπη πρὸς τὸν Θεὸν, καὶ πρὸς τὸν πλησίον ἀληθὴς καὶ γνησία, καὶ ἔρως πρὸς τὰ θεῖα, καὶ ἀγαθοὶ καὶ πνευματικοὶ λογισμοί. Τἀναντία δὲ τούτων τοῖς μὴ προσέχουσι συμβαίνει· καὶ B τῷ μὲν νοΐ μὴ νήφοντι τῷ ἀνθρώπῳ διὰ τοῦ λογιστικοῦ τὸ οὐκ ὀρθὰ λογίζεσθαι περὶ τὴν εὐσεβῆ πίστιν καὶ τὸν ἐν Τριάδι μόνον Θεὸν καὶ τὴν τοῦ Λόγου σάρκωσιν, καὶ λοιπὰ εἰς Θεὸν ἀναγόμενα, καὶ ἀχαριστία καὶ βλασφημία, καὶ τὸ ἀποστατικὰ καὶ δαιμονιώδη φαντάζεσθαι· διὰ δὲ τοῦ θυμικοῦ τὸ ζηλοῦν ἐπὶ πονηροῖς, καὶ κατὰ τοῦ ἀδελφοῦ μελετᾷν, καὶ διαφθονεῖσθαι καὶ βασκαίνειν καὶ μαίνεσθαι, καὶ ἀνταποδιδόναι ζητεῖν, καὶ ἄλλα πλεῖστα θυμοειδῆ ἐνεργεῖν· διὰ τοῦ ἐπιθυμητικοῦ δὲ φιλοδοξεῖν, φιλαργυρεῖν **187** ἐν καρδίᾳ, καὶ ἐπιθυμεῖν τῶν τοῦ πλησίον, ἐρᾷν παραλόγως ἀγαθῶν ἀλλοτρίων, ἢ κάλλους μαραινομένου σαρκὸς, ἐμπαθῆ τε διανοεῖσθαι, καὶ τρέφειν ἐν τῇ ψυχῇ ῥυπαρὰ, καὶ C ὅλον ἀκαθαρσίαν, καὶ ὡς τὰ κτήνη εἶναι, καὶ κτηνῶν τῇ διανοίᾳ χείρονα. Καὶ ταῦτα μὲν καὶ τὰ ὅμοια τοῦ νοὸς διὰ τοῦ τριμεροῦς τούτου.

ΚΕΦΑΛ. ΣΞΑ'.

Ὅσα κατορθοῖ ὁ ἄνθρωπος τῷ λόγῳ μετὰ τοῦ τριμεροῦς τῆς ψυχῆς, καὶ ὅσα ἀμελῶν πλημμελεῖ.

Τῷ λόγῳ δὲ ἄνθρωπος πάλιν κατορθοῖ διὰ μὲν τοῦ λογιστικοῦ κινούμενος εὐσεβῶς καὶ ἀγαθῶς ἐν τοῖς τῆς πίστεως λόγοις, καὶ παῤῥησίᾳ ὁμολογῶν τὸν Θεὸν ὀρθοδόξως, δοξολογῶν τε αὐτὸν καὶ εὐχαριστῶν καὶ ἀνυμνῶν, ἐκδιδάσκων τε τὰ θεῖα καὶ ἑρμηνεύων, ἀληθεύων ἐν πᾶσι, κρίνων κρῖμα δίκαιον, D πᾶν ἀγαθὸν καὶ θεῖον λαλῶν· διὰ τοῦ θυμικοῦ δὲ μετὰ ζήλου τῷ λόγῳ διεγείρων πρὸς ἀρετὰς ὑπὲρ τοῦ Θεοῦ τε λαλῶν καὶ τῶν ἀδελφῶν, ἀντιλέγων τοῖς ἐναντίοις, ἐλέγχων ἀσεβοῦντας καὶ παρανόμους, ἐνώπιον βασιλέων τε καὶ ἀρχόντων παῤῥησίᾳ λαλῶν καὶ πτοούμενος, καὶ τῆς δικαιοσύνης ὑπερμαχων· διὰ τοῦ ἐπιθυμητικοῦ δὲ ἐπαινῶν καὶ ἀνυμνῶν τὸν Θεὸν, ἐκδιηγούμενος, καὶ ἐγκωμιάζων καὶ ὑπεραίρων, καὶ ὑπὲρ ἄλλων προσευχόμενος, λαλῶν τὰ σωτηριώδη, εἰρηνεύων τοὺς ἀδελφοὺς, καταλλάσσων ἀλλήλοις, ὑπὲρ αὐτῶν πρὸς βασιλεῖς, πρὸς ἡγεμόνας δεόμενος, καὶ πάντα λέγων ὑπὲρ αὐτῶν. Σφαλλόμενος δὲ ὁ ἄνθρωπος τῷ λόγῳ διὰ μὲν τοῦ λογιστικοῦ πονηρῶς κινούμενος βλασφημεῖ τῇ γλώσσῃ Θεὸν, τοῦτον ἀρνεῖται, ἀχαριστεῖ, οὐδὲν κατὰ συνείδησιν

λέγει, ἐπιορκεῖ, ψεύδεται, καὶ οὐδὲν ὅλως λαλεῖ χρηστόν. Διὰ τοῦ θυμικοῦ δὲ λοιδορεῖ τῷ λόγῳ, ὑβρίζει, συκοφαντεῖ, προδίδωσι, ψευδομαρτυρεῖ, διαβάλλει, κατηγορεῖ, ψέγει, καὶ πᾶν ὅ τι κατὰ τοῦ πλησίον λαλεῖ κακόν. Διὰ τοῦ ἐπιθυμητικοῦ δὲ ᾄσματα λαλεῖ πορνικά, αἰσχρολογίας, λόγους φλυαρεῖ γελωτοποιούς. Μυθώδη καὶ γραώδη ἐρεύγεται, πάντα λόγον ἀκαθαρσίας λαλεῖ. Καὶ τοιαῦτα μὲν τὰ τοῦ λόγου.

A tiam facit, pejerat, mentitur, nihilque utile omnino profatur. Per irascibilem, cum verbo conviciatur, injuriam infert, fraude circumvenit, prodit, falsum testimonium perhibet, calumniatur, detrectat, vituperat, et cum quidquid contra proximum loquitur malum est. Per concupiscibilem vero cantilena meretricias profert, sermones turpes et ridiculos deblaterat, fabulosa et animalia eructat, impura quælibet verba effutit. Quæ ad sermonem spectant, sunt ejusmodi.

ΚΕΦΑΛ. ΣΞΒ'.

Ὅσα τῶν πράξεων ἀγαθὰ διὰ τοῦ τριμεροῦς τῆς ψυχῆς προσέχοντος τοῦ ἀνθρώπου, καὶ ὅσα πονηρὰ μὴ προσέχοντος.

Τῶν πράξεων δὲ κατορθώματα προσέχοντος τοῦ ἀνθρώπου διὰ μὲν τοῦ λογιστικοῦ ἡ ἐπίτασις τῶν ὕμνων, ἡ ἔντονος δοξολογία, τὸ προσέχειν καθ' ἑαυτὸν, τὸ συνάγειν τὸν νοῦν ἐν ἑαυτῷ, τὸ προσεύχεσθαι διηνεκῶς, τὸ ὑπὲρ τῆς εἰς Θεὸν ὀρθοδόξου πίστεως καὶ τιμῆς καὶ δοξολογίας διδόναι εἰς κόπον ἑαυτὸν, ἢ καὶ θλίψεις, καὶ τὸ μένειν ἐν τοῖς ὀρθοῖς καὶ θείοις ἀκίνητον· διὰ τοῦ θυμικοῦ δὲ τοῖς ἔργοις τὸ ἀνδρίζεσθαι πρὸς τὰς ἀρετὰς, τὸ δικαιοπραγεῖν, τὸ κοπιᾷν ὑπὲρ τοῦ δικαίου, τὸ ζηλοῦν πρὸς τὴν ἐργασίαν τῶν ἐντολῶν, τὸ ἐλεεῖν ἀφειδῶς ἐξ ὧν ἔχει, τὸ ἀκτημονεῖν διὰ Χριστὸν, τὸ ἀμελεῖν τῶν κατὰ σάρκα, καὶ φεύγειν ἐκ τοῦ κόσμου, καὶ καταφρονεῖν τῶν τοῦ κόσμου, τὸ διακονεῖν ἀδελφοῖς, τὸ ἀγρυπνεῖν, καὶ γυμνητεύειν, καὶ χαμευνεῖν, τὸ γρηγορεῖν καὶ ἵστασθαι, καὶ γονυκλιτεῖν, τὸ νηστεύειν, τὸ ἀλουτεῖν, καὶ σωματικῶς διὰ Χριστὸν θλίβεσθαι, πολλάκις δὲ καὶ μαρτυρεῖν, ὃ δὴ τῶν πράξεων Χριστοῦ τὸ τελευταῖόν ἐστι· διὰ τοῦ ἐπιθυμητικοῦ δὲ τὸ ἁγνεύειν διὰ Χριστὸν, τὸ παρθενεύειν, τὸ ἐλεεῖν πένητας ἐν ἀγάπῃ, τὸ ἐν φυλακαῖς καὶ ἀσθενέσι παραβάλλειν διὰ Χριστὸν, τὸ ὀρφανῶν καὶ χηρῶν προΐστασθαι, τὸ τὰ οἰκεῖα προέσθαι ὑπὲρ βοηθείας ἀδελφοῦ, καὶ τέλος ἐν ἀγάπῃ τὸ πολλάκις δοῦναι καὶ ἑαυτὸν ὑπὲρ ἀδελφῶν, ὡς καὶ ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἔπραξε. Τοὐναντίον δὲ σφαλλομένου ἀνθρώπου τῷ λογιστικῷ μὲν ταῖς πράξεσι **188** μὴ προστρέχειν θείοις ναοῖς, τὸ ἀμελεῖν τῶν εἰς τιμὴν τοῦ Θεοῦ, τὸ μὴ κοπιᾷν ὑπὲρ τοῦ Θεοῦ καὶ τῶν θείων, τὸ ἁρπάζειν δὲ μᾶλλον τὰ θεῖα καὶ κοινὰ ποιεῖν, καὶ κατὰ τῶν δούλων τοῦ Θεοῦ φέρεσθαι, διαλοιδορούμενον αὐτοὺς καὶ κακοποιοῦντα· διὰ τοῦ θυμικοῦ δὲ τοῖς ἔργοις τὸ τύπτειν ἀδελφοὺς, τὸ φονεύειν, τὸ ἀποκλείειν, τὸ πᾶσι τρόποις κακοποιεῖν, διὰ τοῦ ἐπιθυμητικοῦ δὲ τὸ πορνεύειν, μοιχεύειν, ἀσελγαίνειν, καὶ πάντα τὰ τῆς ἀκαθαρσίας ἐνεργεῖν, αἱμομιξίας τε καὶ ἀσωτείας, ἔτι τε τὸ ἀδικεῖν δι' αἰσχροκέρδειαν, καὶ ἁρπάζειν, κλέπτειν τε καὶ μεθύειν, καὶ γαστρίζεσθαι, καὶ τὰ λοιπὰ ποιεῖν δι' ἔργων τῆς ἐπιθυμίας δεινά.

CAPUT CCLXII.

Quænam actiones bonæ per tripartitam animæ facultatem attendente homine, et quænam pravæ non attendente.

Hominis autem ad actiones suas attendentis præ-
B clare facta sunt per rationalem quidem facultatem intenta hymnorum recitatio, vehemens Dei laudatio, sibi ipsi attendere, mentem in seipso colligere, continuo orare, pro recta in Deum fide, et honore, et laudatione seipsum laboribus et tribulationibus exponere, atque in iis quæ recta sunt et divina immotum permanere. Per irascibilem operibus, generose se gerere erga virtutem, juste agere, pro justo laborare, zelo ardere in mandatorum Dei operationem, largiter de bonis suis pauperibus impertiri, propter Christum bonis privari, eorum quæ sunt secundum carnem nullam curam habere, fugere de mundo, quæ ad mundum spectant contemnere, fratribus ministrare, vigilare, et nudum
C esse, et humi cubare, vigilare et stare, et genua flectere, jejunare, illotum permanere, corporaliter propter Christum affligi, sæpius et martyrium oppetere, quod actionum Christianorum postrema est et summa. Per concupiscibilem autem, castitatem propter Christum servare, virginitatem custodire, cum charitate pauperum misereri, carceres, et infirmos propter Christum visitare, orphanis et viduis præesse et prodesse, propria negotia fratris adjuvandi causa deserere, tandemque sæpius cum charitate se ipsum pro fratribus dare, sicut pro nobis fecit Christus. Contrariæ vero sunt hominis labentis secundum rationalem facultatem actiones, ad divinas ecclesias non accurrere, quæ ad honorem Dei faciunt non curare, pro Deo rebusque di-
D vinis non laborare, sed potius divina rapere et communia habere, profanare, contra Dei servos efferri, eos probris et molestiis afficientem. Per irascibilem in operibus, fratres verberare, occidere, commoda illis obvenientia intercludere, omnibus modis affligere. Per concupiscibilem fornicari, adulterari, lascive et petulanter vivere, et omni immunditiei genere se polluere, incestisque et luxuriæ quibus adhuc jungenda sunt, inique propter turpe lucrum agere, rapere, furati, et inebriari, helluari, cæteraque concupiscentiæ gravia et horrenda opera perpetrare.

ΚΕΦΑΛ. ΣΞΓ'.

Ὅτι ἀναγκαία παντὶ ἡ ἐξομολόγησις, ἐπεὶ καὶ ἁμαρτάνομεν πάντες.

Ἐν τούτοις οὖν ἅπασιν ὀφείλει ἕκαστος τῶν ἐξομολογουμένων ἑαυτὸν ἐρευνᾷν, καὶ ὁ δεχόμενος περὶ

CAPUT CCLXIII.

Quod necessaria cuilibet homini est confessio, siquidem omnes delinquimus.

In his igitur omnibus tenetur unusquisque confitentium seipsum examinare et scrutari, et con-

fessor de unoquoque eum interrogare; et si quid A boni præclare fecit, laudare, et ad hoc illum exhortari et confirmare. Si vero deprehenderit eum, in aliquibus lapsum per confessionem et pœnitentiam, ut poterit eum corriget, et ad Deum reducet, Patrum definitiones secutus, et spirituali eorum judicio et discretioni adhærens. Verumtamen et illi ipsi qui sibi videntur non lapsi, quod, ut ego existimo, fieri non potest, omnes pœnitentiam agere tenentur.

ἑκάστου διερωτᾷν, καὶ εἰ μὲν κατώρθωκεν ἀγαθόν τι, ἐπαινεῖν καὶ πρὸς τοῦτο ἐπιστηρίζειν, εἰ δ' ἐσφαλμένον ἔν τισιν εὕρῃ, διὰ τῆς ἐξομολογήσεως τε καὶ μετανοίας διορθοῦσθαι τοῦτον ὡς δύναμις, καὶ πρὸς Θεὸν ἐπαγάγειν τὸν πιπτωκότα, τοῖς ὅροις τῶν Πατέρων ἑπόμενον, καὶ τῇ πνευματικῇ τούτων διακρίσει. Πλὴν καὶ οἱ δοκοῦντες μὴ πεσεῖν, ὅπερ, ὡς ἐγὼ νομίζω, ἀδύνατον, μετανοεῖν ὀφείλουσι πάντες.

CAPUT CCLXIV.

Etiam pie viventem oportere sub obedientia vivere et a Patre dirigi, nec sibimetipsi confidere.

Existimare enim se non labi, labi est, et peccatorum maximum, quod infeliciter animi vesana B quadam elatione patiuntur, dicentes: Quando te novimus? pro, Non peccavimus. Quod autem hoc sit maximum peccatum, dilectus et virgo testatur, dicens: «Si dixerimus quod peccatum non habemus, nos ipsos decipimus. Si confiteamur peccata nostra, fidelis est et justus, ut remittat nobis peccata.» Vides confessionis virtutem. Omnes igitur ad eam edendam festinemus, quia omnes ea opus habemus, et testis Dei frater dicit: «Confitemini alterutrum peccata, orate pro invicem ut sanemini.» Vulnerati enim sunt omnes, vibicesque et livores peccatorum gestant, nullusque est qui sanatione non indigeat. Unus solus est sine peccato, qui et humiliter medetur, et per humilitatem dat nobis medelam, cum nobis invicem accidere et humiliari jubet, et ab invicem C sanari. Si vero sanatus est aliquis, et ad virtutum operationem animo prompto, qui est ejusmodi, hoc a seipso et proprio marte non aggrediatur, sed cum Patris benedictione, et canonem perficiat, non proprium, sed eum viva voce accipiat, et cum animi subjectione illum requirat, nullusque quovis modo sibi confidat, neque per seipsum illum æstimet. Hoc enim a Christiana vita longe abest, quia proprio arbitrio vivere non est Christi, cum Christus usque ad mortem Christi obediens fuerit Patri suo. Si igitur ille, quis illo major? Qua ratione Christi est qui non secundum Christum vivit? Quocirca Christi est qui secundum D Christum vivit in humilitate, suam ipsius voluntatem non faciens, sed divinam tantum, atque ut Salvator, in subjectione permanens, oransque: «Verumtamen non voluntas mea,» humanitatis videlicet, «sed tua fiat.» Quæ divina voluntas ipsius est cum Patre et sancto Spiritu. Ideo ut duplicis naturæ, duas quoque possidet naturales voluntates. Et Theanthropos unus existens naturalem humanam voluntatem qua præditus est, eamque purissimam, nullique accusationi et calumniæ obnoxiam Patri subjecit, et primum voluntatis rebellionem delevit, duasque naturales operationes ditavit, unus persona exsistens ineffabiliter, duabus vero naturis duplex, per quas totaliter nos renovans deificavit.

ΚΕΦΑΛ. ΣΞΕ'.

Ὅτι καὶ τὸν εὐλαβῶς ζῶντα δεῖ μεθ' ὑποταγῆς ζῆν, καὶ ὑπὸ Πατρὸς κανονίζεσθαι, καὶ μὴ ἑαυτῷ θαῤῥεῖν.

Τὸ γὰρ λογίζεσθαι μὴ πεσεῖν, τοῦτο τὸ πεσεῖν ἐστι, καὶ τῶν ἁμαρτημάτων τὸ μεῖζον. Ὃ δὴ καὶ ἐξ ἀριστεροῦ ἀπονοίᾳ πεπόνθασι, Πότε σε εἴδομεν; λέγοντες, ἀντὶ τοῦ, Οὐχ ἡμαρτήκαμεν. Ὅτι δὲ τοῦτο τὸ μεῖζον ἁμάρτημα, ὁ ἠγαπημένος καὶ παρθένος μαρτυρεῖ λέγων, «Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας.» Ὁρᾷς δύναμιν τῆς ἐξαγορεύσεως; Σπεύδωμεν τοίνυν πρὸς αὐτὴν πάντες, ὅτι καὶ πάντες αὐτῆς χρείαν ἔχομεν. Καὶ ὁ θεάδελφος μάρτυρ, «Ἐξομολογεῖσθε, λέγων, ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Τετραυματισμένοι γὰρ πάντες, καὶ μώλωπας κεκτημένοι, καὶ οὐδεὶς ὁ μὴ τῆς ἰατρείας χρείαν ἔχων.» Εἷς μόνος ὁ ἀναμάρτητος, ὁ καὶ ἰατρεύων ταπεινῶς, καὶ ταπεινώσει διδοὺς ἡμῖν τὴν ἰατρείαν ἐν τῷ προσπίπτειν ἀλλήλοις καὶ ταπεινοῦσθαι, καὶ παρ' ἀλλήλων κελεύσας ἰατρεύεσθαι. Εἰ δὲ καὶ ἰατρευθείς τίς ἐστι καὶ πρὸς ἐργασίαν ἀρετῶν προθυμούμενος, καὶ οὗτος οὐκ ἀφ' ἑαυτοῦ πρὸς τοῦτο κινείσθω, μετ' εὐλογίας δὲ ποιείτω Πατρὸς, καὶ κανόνα τελείτω μὴ ἴδιον, ἀλλὰ διὰ ζώσης φωνῆς λαμβάνων, καὶ μεθ' ὑποταγῆς ζητείτω, καὶ μηδεὶς μηδαμῶς ἑαυτῷ θαῤῥείτω, μηδὲ δι' ἑαυτοῦ δοκιείσθω· πόῤῥω γὰρ τοῦτο Χριστιανικῆς ζωῆς, τὸ ζῆν αὐτεξουσίως, οὐ τοῦ Χριστοῦ, ἐπεὶ Χριστὸς ὑπήκοος γέγονε τῷ ἑαυτοῦ Πατρὶ μέχρι θανάτου σταυροῦ. Εἰ οὖν αὐτὸς, τίς τούτου μείζων; καὶ πῶς Χριστοῦ, ὁ μὴ κατὰ Χριστὸν ζῶν; Ὥστε Χριστοῦ ὁ κατὰ Χριστὸν ζῶν ἐν ταπεινώσει, καὶ μὴ ποιῶν τὸ ἑαυτοῦ, ἀλλὰ μόνον τὸ θεῖον θέλημα, καὶ ἐν ὑποταγῇ μένων, ὡς καὶ ὁ Σωτὴρ, «Πλὴν μὴ τὸ θέλημά μου,» τῆς ἀνθρωπότητος δηλονότι, «ἀλλὰ τὸ σὸν γενέσθω,» εὐχόμενος. Ὅπερ θεῖον θέλημα, καὶ αὐτοῦ ἐστι μετὰ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. Διὸ ὡς διφυὴς ὢν, καὶ δύο φυσικὰ θελήματα κεκτημένος, καὶ θεάνθρωπος μόνος, τὸ φυσικὸν ἀνθρώπινον θέλημα ἀδιάβλητον ἔχων καὶ καθαρὸν ὑπέταξε τῷ Πατρὶ, τὴν πρώτην ἐκ θελήματος παρακοὴν ἀναιρῶν, καὶ δύο φυσικὰς πλουτῶν ἐνεργείας, εἷς τελῶν ὑπὲρ λόγον τῇ ὑποστάσει, ταῖς δὲ δύο φύσεσι διπλοῦς, δι' αὐτῶν ὁλικῶς ἡμᾶς ἀνακαινίσας ἐθέωσε.

Ἐν τῇ μετανοίᾳ δὲ καὶ τὸ τῆς μετανοίας ἀγγελικὸν εὑρίσκεται σχῆμα· περὶ οὗ δὴ καὶ προειρήκαμεν. Πλὴν ἀναγκαῖον πάλιν ἐρεῖν ὅπως τε **189** τελεῖται, καὶ τὰ περὶ τῶν συμβόλων αὐτοῦ.

ΚΕΦΑΛ. ΣΞΕ'.

Διατί τὸ τῶν μοναχῶν σχῆμα ἀγγελικὸν ὀνομάζεται.

Ἀλλὰ πῶς μετανοίας σχῆμα λέγεται καὶ ἀγγελικόν; ἐπεὶ οὐ περιπίπτουσιν ἄγγελοι, εἴποι τις ἄν, ὅτι οὐδὲ φύσει τὸ περιπίπτειν αὐτοῖς. Ὁ; ἀκουέτω, ὡς τὸ ἄτρεπτον καὶ ἄπτωτον Θεοῦ μόνου, ἀεὶ ὄντος καὶ ἀναλλοιώτου μένοντος. Τοῖς ἀρξαμένοις δὲ καὶ κτιστοῖς ἀλλοίωσις ἕπεται. Καὶ δῆλον, ὥς τινες ἐκ τῶν ἀγγέλων περιπεπτώκασιν, ἀλλὰ τὸ προσέχειν αὐτοὺς, καὶ ταπεινοῦσθαι, καὶ ὑπείκειν Θεῷ, καὶ λειτουργοὺς εἶναι καθαροὺς, καὶ ποιεῖν τὸ θέλημα αὐτοῦ, καθὰ γέγραπται, τοῦτό ἐστι τὸ ἀγγέλους εἶναι. Ἄγγελος γὰρ ὁ ἀναγγέλλων τὰ τοῦ Θεοῦ. Ὅθεν καὶ μοναχὸς, εἰ καὶ τῆς παραπεπτωκυίας φύσεώς ἐστι τῶν ἀνθρώπων, ἀλλ' ἰσχὺν ἔσχε προθυμηθεὶς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Καὶ οὐδὲν αὐτὸν οὐ μὴ ἀδικήσει. Ἐξερχόμενος τοίνυν οὗτος τοῦ βίου, καὶ κόσμον καὶ γονέας καὶ γυναῖκα καὶ τέκνα καὶ ἀδελφοὺς ἀφεὶς, τὴν τῶν ἀγγέλων μιμεῖται ζωήν. Ἀπροσπαθεῖς γὰρ οὗτοι τῶν κάτω, καὶ μὴ γενεὰν σαρκὸς ἔχοντες, ἀλλὰ καὶ τὸ δοῦναι λόγον, αἴρειν ἐπ' ὤμων Χριστοῦ τὸν σταυρὸν, καὶ τούτῳ ἀκολουθεῖν κατ' ἴχνος, καὶ ὑπήκοον εἶναι, καὶ ἀρνήσασθαι πάντα, καὶ μὴ ποιεῖν οἰκεῖον θέλημα, ἔργον ἀγγέλων ἐστίν. « Εὐλογεῖτε γὰρ, φησὶ, τὸν Κύριον, πάντες ἄγγελοι αὐτοῦ. Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τοῦ λόγου αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. » Ὁρᾶτε; Ἰδοὺ καθ' ὁμοίωσιν ἀγγέλων τὸ σχῆμα, καὶ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ, *Μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω*; εὐξαμένου πρὸς τὸν Πατέρα. Διὸ καὶ Διονύσιος τοῦτο τὸ σχῆμα ὑπέρτερον τῇ καθαρότητι καὶ τῆς τῶν ἐν κόσμῳ ἐπισκόπων ζωῆς φησιν.

ΚΕΦΑΛ. ΣΞϚ'.

Διατί ἐπιπλέον οἱ νῦν εἰς ἐπισκοπὴν ἀγόμενοι πρῶτον γίνονται μοναχοί.

Διὸ καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοὺς πλείους τῶν εἰς ἐπισκοπὴν ἀγομένων ἄρτι τῷ θείῳ σχήματι τούτῳ κατακοσμοῦσα πρότερον, οὕτως ἐπισκόπους καθιστᾷ, τὰ μέγιστα καὶ ἅγια τῶν ἁγίων τῷ παναγίῳ ἐξασφαλιζομένη καὶ ἱερῷ σχήματι. Ὅρα δὲ καὶ ὅπως τελεῖται ἡ τοῦ μοναχικοῦ σχήματος ἐν Χριστῷ θεία τελετή.

ΚΕΦΑΛ. ΣΞΖ'.

Περὶ μοναχικῆς τελειώσεως.

Προσέρχεται ὁ μονάσαι βουλόμενος ἑκουσίως, καὶ δοὺς λόγον τῆς κατὰ Θεὸν ζωῆς, δοκιμάζεται ἐν ὡρισμένῳ καιρῷ, καὶ πίστιν δοὺς ἀπὸ τῆς αὐτοῦ βιοτῆς, καὶ τὴν τελείωσιν τοῦ σχήματος ἐκζητήσας, ἵνα μὴ δόξῃ βιασθεὶς ἢ ἀναγκασθεὶς, προσάγεται τῷ ναῷ· ἐπεὶ ὡς δῶρον προσφέρεται, ἐξάγων αὐτὸς ἑαυτὸν τοῦ κόσμου· καὶ πρὸ τῶν πυλῶν ἵσταται, ἐπεὶ οὐδέπω

A In pœnitentia vero et pœnitentiæ angelicus invenitur habitus : de quo jam supra diximus. Attamen necessarium est iterum quomodo conficiatur et de ejus symbolis dicere.

CAPUT CCLXV.

Quare pœnitentialis et monachalis habitus angelico nomine appellatur ?

Sed quomodo pœnitentiæ habitus dicitur angelicus, fortasse dicet aliquis, cum angeli non cadant, natura non est eis ut cadere possint? Audiat iste immutabilitatem et impeccantiam solius esse Dei qui semper est et immutabilis permanet, res autem quæ cœperunt et creatæ sunt mutatio sequitur, quod liquet cum nonnulli ex angelis lapsi fuerint; sed eos Deo adhærere, coram eo humiliari
B eique obedire, mundos esse ministros, facere ejus voluntatem sicut scriptum est, hæc est angelorum conditio. Nam angelus idem sonat ac rerum divinarum nuntius. Unde et monachus, etsi lapsæ sit hominum naturæ, attamen, si voluntate ferveat, virtutem habet ambulandi super serpentes et scorpiones et super omnem inimici potestatem, et nihil ei nocebit. Hic igitur e vita egressus, mundoque et parentibus, muliere, filiis atque fratribus derelictis, vitam angelorum imitatur; isti enim nullo terrestrium amore tenentur, neque carnalem habent propinquitatem, sed insuper rationem submittere, super humeros crucem Christi tollere, ejus sequi vestigia, docilem esse, omnia abnegare,
C propriam voluntatem non facere, hoc est opus angelorum. Ait enim : « Benedicite Dominum, omnes angeli ejus, potentes virtute, facientes verbum illius ad audiendam vocem sermonum ejus. Benedicite Dominum, omnes virtutes ejus, ministri ejus, qui facite voluntatem ejus. » Videtisne? En habitus ille est secundum similitudinem angelorum et ipsius Jesu Christi qui Patrem deprecabatur dicens : « Non mea voluntas sed tua fiat. » Ideo Dionysius dixit hunc ipsius vitæ episcoporum qui in mundo sunt integritate præstare.

CAPUT CCLXVI.

Quare ut plurimum qui nunc ad episcopatum perveniunt, prius fiunt monachi?

Quamobrem Christi Ecclesia plerosque eorum
D quos modo ad episcopatum extollit prius hoc habitu adornatos sic episcopos constituit, maxima et sancta sanctorum hoc sanctissimo sacroque habitu confirmando. Vide autem quomodo fiat monachici habitus in Christo divina consecratio.

CAPUT CCLXVII.

De monachali perfectione.

Accedit qui libenter vult monachi vitam agere, et data ratione vitæ quæ est secundum Deum, in tempore constituto probatur; deinde fidem dans per suam conversationem, et sacrum habitus induendi ritum exposcens, ne videatur vim passus atque coactus, templum adit, quoniam velut donum semetipsum offert, et pro foribus stat, quoniam

A nondum inter angelos homines angelicos dinumeratus est, sed quasi pœnitens, ante paradisum atque cœlum stat, intrare nequaquam audens; et incepta sacra initiatione, post primum in sancta ingressum quo significatur naturam nostram ad superna fuisse assumptam, ipse adducitur, perinde ac si inventus esset qui perierat, super humeros Domini qui invenit susceptus et apportatus.

CAPUT CCLXVIII.

Quid notet quod sine calceis est et nudus, capiteque intecto.

Ideo vestibus mundanis exutus est pedibusque nudis et detecto capite, illud quidem quoniam omnia mundi superflua abjecit; istud vero quoniam inops est et pauper, quasi fuerit a latronibus B divitiis spoliatus, et misere vulneratus atque plagis contusus nudusque derelictus, et semianimus jacens, vel etiam quasi bonis a malis civibus eversus atque fame et pessima siliquarum esca viribus exhaustus.

CAPUT CCLXIX.

Quid quod ita nudus adducitur, excipitur ulnis, procidit, et cætera.

Unde illo ita nudo a bonis servis velut angelis, viris scilicet ad angelorum dignitatem evectis, introducto, istud alta voce cantatur: « Manus paternas aperire mihi festina. » Lumina quoque accenduntur quibus data gratia et illuminatio cœlestisque monstratur lætitia. Ter quidem procumbit adductus, C propter Trinitatem et ingressionis firmitatem. Ter autem surgit, quoniam a lapsu erigitur; et ad sacras valvas velut ad cœlum appropinquans, coram præfecto, tanquam in conspectu Patris cœlestis provolvitur, eumque ut filius procul peregrinatus hilariter amplectitur. Deinde surgit, et coram fratribus procumbit veniam flagitans, perinde ac si filium natu majorem oret ne irascatur, quasi eos injuria affecisset dum stolide conversaretur, et cum eis simulque cum Patre cœlesti reconciliatur.

CAPUT CCLXX.

Quare promissiones in interrogatione consistant et responsione, idque fieri ut sponte ac voluntate promitti demonstretur. D

Postea jubetur aures et os aperire nequaquam in mendacio et simulatione, sed ut veritatem pœnitentiæ vere confiteatur, et interrogatus fatetur quam ob rem accesserit; quoniam vitam desiderat asceticam, et poscit ut in chorum monachorum ascribatur, et quoniam libenter absque necessitate accedit, necnon semetipsum servaturum esse in virginitate, in castitate et pietate, obedientiamque usque ad mortem præfecto præstiturum promittit, omnem etiam afflictationem et angustiam passurum propter regnum cœlorum et in monasterio sacrisque exercitationibus permansurum usque ad extremum spiritum. Hæc igitur pollicitus coram Deo et hominibus, quasi offerat Creatori sacrificium vo-

συναρίθμιος τοῖς ἀγγέλοις καὶ ἀνθρώποις ἀγγελικοῖς. Ἀλλὰ καὶ ὡς μετανοῶν, πρὸ τοῦ παραδείσου καὶ τοῦ οὐρανοῦ ἵσταται εἰσενεχθῆναι ἐκδυσωπῶν, καὶ τῆς ἱερᾶς ἀρξαμένης μυσταγωγίας, μετὰ τὴν πρώτην εἰς τὰ ἅγια εἴσοδον, ἣ δηλοῖ τὴν τοῦ προσλήμματος ἡμῶν εἰς τὰ ἄνω προσαγωγήν, καὶ αὐτὸς προσάγεται, ὡς τὸ ἀπολωλὸς εὑρεθεὶς, καὶ ἐπὶ τῶν ὤμων τοῦ εὑρηκότος Δεσπότου ληφθεὶς καὶ ἀνενεχθείς.

ΚΕΦΑΛ. ΣΞΗ'.

Τί τὸ ἀνυπόδετον καὶ γυμνὸν εἶναι καὶ ἀσκεπῆ.

Διὸ καὶ γυμνὸς τῶν κοσμικῶν ἐστιν ἐνδυμάτων, καὶ ἀνυπόδετός τε καὶ ἀσκεπής· τὸ μὲν, ὅτι τὰ περιττὰ καὶ τοῦ κόσμου πάντα ἀπέρριψε· τὸ δὲ, ὅτι καὶ πένης ἐστὶ καὶ πτωχὸς, ὡς **190** ὑπὸ τῶν λῃστῶν τὸν πλοῦτον ἀφαιρεθεὶς, καὶ δεινῶς τραυματισθεὶς καὶ μωλωπισθεὶς, καὶ γυμνὸς ἀφεθεὶς, καὶ ἡμιθνὴς κείμενος· ἀλλὰ καὶ ὑπὸ τῶν κακῶν πολιτῶν τὰ ὑπάρχοντα ἀφαιρεθεὶς, καὶ ὑπὸ τοῦ λιμοῦ καὶ τῆς κακίστης τροφῆς τῶν κερατίων κατατακείς.

ΚΕΦΑΛ. ΣΞΘ'.

Τί τὸ οὕτω γυμνὸν προσάγεσθαι, κρατούμενον ταῖς ἀγκάλαις, καὶ ὑποπίπτειν, καὶ τὰ λοιπά.

Ὅθεν καὶ προσαγομένου τούτου γυμνοῦ ὑπὸ τῶν καλῶν δούλων ὡς ἀγγέλων τῶν ἰσαγγέλων ἀνδρῶν, τὸ, « Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον, » ἐκφώνως ᾄδεται. Καὶ φῶτα ἀνάπτεται, τὴν διδομένην χάριν καὶ ἔλλαμψιν καὶ τὴν χαρὰν δηλοῦντα τὴν ἐπουράνιον. Καὶ τρὶς μὲν προσπίπτει ὁ προσαγόμενος διὰ τὴν Τριάδα, καὶ τὸ βέβαιον τῆς προσαγωγῆς· ἀνίσταται δὲ τρὶς, ὅτι ἐγείρεται ἐκ τοῦ πτώματος· καὶ ἐγγίσας ταῖς θύραις ταῖς ἱεραῖς ὡς τῷ οὐρανῷ, τῷ καθηγητῇ προσπίπτει ὡς τῷ οὐρανίῳ Πατρί· καὶ ἱλαρῶς προσδέχεται ὡς ὁ ἀποδημήσας υἱός. Εἶτα καὶ ἀνίσταται, καὶ τοῖς ἀδελφοῖς ὑποπίπτει συγχώρησιν ἐξαιτῶν, ὡς πρὸς τὸν πρεσβύτερον υἱὸν μὴ ὀργίζεσθαι παρακαλῶν, ὡς καὶ αὐτοὺς καθυβρίσας, ἀλόγως πολιτευσάμενος· καὶ τούτοις ἅμα τῷ οὐρανίῳ Πατρὶ καταλλάσσεται.

ΚΕΦΑΛ. ΣΟ'.

Διατί αἱ ὑποσχέσεις ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει· καὶ ὅτι διὰ τὸ ἑκούσιον.

Εἶτα ἀνοῖξαι τὰ ὦτα καὶ τὸ στόμα διακελεύεται, καὶ μὴ ἐν ὑποκρίσει καὶ εἰρωνείᾳ, ἀλλὰ τὰ ἀληθῆ τῆς μετανοίας ἀληθῶς ἀνομολογῆσαι· καὶ ἐρωτώμενος, καθομολογεῖ διατί προσῆλθεν. Ὅτι ποθεῖ τὸν τῆς ἀσκήσεως βίον, καὶ καταταγῆναι τῷ τῶν μοναζόντων χορῷ ζητεῖ· καὶ ὅτι ἑκουσίως, καὶ χωρὶς ἀνάγκης προσέρχεται· καὶ φυλάττειν ἑαυτὸν ἐν παρθενίᾳ καὶ σωφροσύνῃ καὶ εὐλαβείᾳ, καὶ σώζειν ἄχρι θανάτου τῷ προϊσταμένῳ τὴν ὑπακοὴν ἐπαγγέλλεται· καὶ πᾶσαν θλῖψιν καὶ στενοχωρίαν ὑπομένειν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ παραμένειν τῷ μοναστηρίῳ καὶ τῇ ἀσκήσει ἕως ἐσχάτης ἀναπνοῆς. Ταῦτα οὖν καθυποσχεθεὶς ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὡς προσαγόμενος ἐθελόθυτον θῦμα ζῶν καὶ

λογικὸν τῷ κτίσαντι, κατηχεῖται. Καὶ τῆς τελειοτάτης ζωῆς ὑφηγεῖται αὐτῷ ὁ ἱερεὺς τὴν πολιτείαν. Καὶ ὡς πεινάσαι ἔχει, καὶ διψῆσαι, καὶ γυμνητεῦσαι διὰ Χριστὸν, τὸν ταῦτα παθόντα ὑπὲρ ἡμῶν, καὶ ὀνειδισθῆναι καὶ χλευασθῆναι καὶ διωχθῆναι καὶ πάντα παθεῖν δι' αὐτὸν, καὶ χαίρειν, ὅτε ταῦτα πάντα πάθοι διὰ Χριστόν· καὶ ὅτι μεγίστη ἡ δωρεά· καὶ δεύτερον βάπτισμα λαμβάνει, καὶ καθαίρεται τῶν ἁμαρτιῶν· καὶ υἱὸς φωτὸς δείκνυται· καὶ ὁ Κύριος ἡμῶν ἐπ' αὐτῷ χαίρει μετὰ τῶν ἀγγέλων αὐτοῦ, θύων αὐτῷ τὸν μόσχον τὸν σιτευτὸν, ὅπερ ἐστὶν αὐτοῦ τὸ σῶμα καὶ αἷμα. Καὶ ὅπως ἀντιλογία μὲν καὶ ἀνηκοΐα, ὑπερηφανία τε καὶ τὰ λοιπὰ πάντα δεινὰ, πόῤῥωθεν ἀπ' αὐτοῦ, πλουτεῖ δὲ τὴν ταπείνωσιν καὶ τὴν ὑπακοὴν καὶ φιλαδελφίαν καὶ ἐπιείκειαν, τὴν μελέτην τε καὶ ἀνάγνωσιν τῶν θείων λογίων, καὶ τήρησιν τῆς καρδίας ἀπὸ τῶν ῥυπαρῶν λογισμῶν· ἔτι δὲ ἐργασίαν τὴν κατὰ δύναμιν· καὶ τέλος ἐξαγγελίαν τῶν τῆς καρδίας κρυπτῶν κατὰ τὰς ἱεράς τε καὶ θείας ὑποθήκας. Δι' ὧν δείκνυται, ὡς ἄρα καλῶς εἴρηται τὸ σχῆμα τὸ ἅγιον ἐν τῇ μετανοίᾳ εἶναι.

A luntarium, virum et rationabile, instruitur, et perfectissimæ vitæ conversationem illum docet sacerdos, aperit etiam quantum esurire oportebit et sitire et nudus esse propter Christum qui talia propter nos toleravit, necnon injuriis lacessi et illudi, et persecutionem pati omniaque propter eum ferre, et gaudere quando ista omnia propter Christum patietur, et quoniam hoc est maximum donum, et quia secundum accipit baptismum, et a peccatis mundatur, et filius lucis ostenditur, et Dominus noster de eo gaudet cum angelis ejus, occidens ei vitulum saginatum, quod est ejus corpus et sanguis; indicat etiam quomodo rebellio et inobedientia atque superbia cæteraque mala omnia procul ab eo futura sint, sed eum divitem futurum
B esse humilitate, obedientia, fraterna dilectione, mansuetudine, meditatione et agnitione divinorum sermonum, necnon cor esse servaturum ab impuris cogitationibus et quantum poterit operaturum. Denique abscondita cordis manifestat secundum sanctas divinasque institutiones. Quibus ostenditur, habitum sanctum esse, prout recte diximus, in pœnitentia.

ΚΕΦΑΛ. ΣΟΑ'.

Τί ἡ τῶν τριχῶν σημαίνει κουρά.

Ταῦτα οὖν πάντα καθομολογήσας ἐπ' ἐλπίδι τῆς δυνάμεως τοῦ Χριστοῦ, καὶ συνταξάμενος ἐν τούτοις μένειν ἄχρι τέλους ζωῆς αὐτοῦ, ἑκουσίως γὰρ Χριστῷ ἀνατίθεται, κείρεται σταυροειδῶς τὰς τρίχας τῆς κεφαλῆς εἰς τὸ ὄνομα τῆς Τριάδος· διὰ μὲν τῆς Τριάδος τελούμενος, διὰ δὲ τοῦ σταυροῦ τὴν νέκρωσιν τοῦ κόσμου δηλῶν, καὶ σφραγιζόμενος τῷ ὑπὲρ
191 ἡμῶν σταυρωθέντι· διὰ δὲ τῆς ἀφαιρέσεως καὶ κουρᾶς τῶν τριχῶν ἀπαρχὴν ἐκ τοῦ σώματος ὡς θυσίαν προσφέρων τῷ Κυρίῳ· ὅτι ὅλος προστάγεται, καὶ ἀφιεροῦται Χριστῷ, καὶ ὡς τὰ περιττὰ πάντα καὶ τὰ τοῦ κόσμου ἀποτιθέμενος.

CAPUT CCLXXI.

Quid indicet tonsura capillorum.

Idcirco hæc omnia confessus in spe virtutis Christi, et fratribus cooptatus inter eos usque ad finem vitæ suæ permansurus, libenter enim Christo dicatur, in modum crucis capillis capitis tondetur in nomine Trinitatis, per Trinitatem consecratus,
C per crucem vero se mortuum mundo ostendens, et confirmatus ei qui pro nobis fuit crucifixus; per tonsuram autem et rasuram capitis quasi primitias ex corpore in sacrificium Deo offerret, quoniam ipse totus offertur et Domino consecratur, et quasi omnia superflua et mundana abjiceret.

ΚΕΦΑΛ. ΣΟΒ'.

Τίς ἡ δύναμις τῶν πρὸ τῆς κουρᾶς εὐχῶν.

Πρὸ τῆς κουρᾶς δὲ, μετὰ τὰς ὑποσχέσεις, εὐχὰς παρὰ τοῦ ἱερέως δέχεται ἱεράς. Καὶ ἡ μὲν ἔστιν, ἵνα ὁ πανοικτίρμων Θεὸς ὑποδέξαιτο αὐτὸν ὡς προσελθόντα, καὶ ὑπαγκαλίσαιτο ὡς τὸν ἄσωτον, καὶ ὑπερασπίσαι αὐτοῦ διὰ τοὺς ἀεὶ πολεμοῦντας· καὶ ἵνα πάντοτε σὺν αὐτῷ ᾖ, εὐφραίνων αὐτοῦ καὶ γλυκαίνων τὴν καρδίαν τῇ παρακλήσει τοῦ θείου Πνεύματος, ἀξιῶν αὐτὸν καὶ τῆς μερίδος τῶν ὁσίων, ὧν τὸ σχῆμα ἐνδύεται, ἵνα καὶ σὺν αὐτοῖς κληρονομήσῃ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν αὐτῷ τῷ Χριστῷ, ὃν καὶ εὐλογεῖ σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι. Αὕτη γὰρ ἡ κλῆσις πάντα τὰ θεῖα δίδωσι, καὶ τὸν τελούμενον τελειοῖ. Ἔπειτα σφραγίσας αὐτὸν, καὶ πρὸς ἀνατολὰς στραφεὶς, τὴν τελεωτέραν λέγει εὐχὴν, ἐπ' ἐδάφους κειμένου τοῦ τελουμένου. « Ὁ ὢν, Δέσποτα, Κύριε, ὁ μετὰ τοῦ ζῶντος καὶ ἐνυποστάτου Λόγου σου, καὶ τοῦ παρὰ σοῦ ἐκπορευομένου Πνεύματος τῆς ἀληθείας· » ὃν καὶ Θεὸν ἀγγέλων φησὶν, ᾧ καὶ τὰ Σεραφὶμ παρίστανται ἀνυμνοῦντα, καὶ τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον πάντα, αὐτὸν εἶναι

CAPUT CCLXXII.

Quænam significatio precum quæ tonsuræ præmittuntur.

At ante tonsuram, post votorum nuncupationem, preces sacras a sacerdote accipit. Prima quidem est ut totius misericordiæ Deus illum ut accedentem suscipiat, et amplectatur ut prodigum, et tueatur adversus inimicos jugiter aggredientes. Utque
D semper sit cum eo, delectans et lætificans cor ejus consolatione Spiritus, eum dignans qui partem habeat cum sanctis quorum induit habitum; ut cum eis consequatur regnum cœlorum in ipso Christo quem benedicit cum Patre et Spiritu; illa enim invocatio divina dat omnia et initiatum perficit. Deinde eum signans et ad orientem conversus perfectiorem dicit orationem, initiato jacente in pavimento: « O tu qui es, Domine Deus, cum vivo et consubstantiali Verbo tuo, et procedente a te Spiritu veritatis..... », quem Deum angelorum appellat, cui Seraphim concinendo circumstant, eumque verum esse lumen quo illuminantur omnia, cujus splendore stupent, tota supernorum primogenitorum Ecclesia testatur, et precatur ut

oculos demittat super humilitatem initiati qui coram multis vota nuncupavit, et eum admittat in gratiam adoptionis quam in sacro baptismate redemit propter hunc habitum angelico simillimum; flagitat etiam ut iste in eo servetur, et induatur robore ad pugnandum contra invisibilem inimicum, et subjiciendas carnis rebelliones virtute Spiritus, atque exuto vetere homine, novum induat, in omnibus commorans et oratione insistens ut vivat ille in sanctitate et justitia, fiat Dei instrumentum et habitaculum Spiritus, et dignus habeatur qui cum omnibus electis regnum cœlorum obtineat, deprecatur. Et vocem extollens benedicit Trinitatem, ex qua omne nobis venit donum perfectum; et postquam pacem omnibus pronuntiavit, et dixit: Inclinate capita vestra, omnes inclinant cum monacho nuper initiato, qui non manum pontificis habet impositam, non enim ordinationem accipit, sed solummodo librum precum super caput positum, dum sacras preces suscipit. Adhibet ergo sacerdos aliam orationem: « Sancte Domine virtutum, Pater Domini nostri Jesu Christi, suscipe servum tuum istum. » Et ter signat eum in perfectionem initiati monachi, simulque in gloriam Trinitatis cui illum consecrat, et cætera deprecatus elevata voce, benedicit. Et conversus jacentem erigit, id innuens, eum ex peccato surrexisse, remissionem consecutum, et exceptum fuisse a Patre, rursumque in filium adoptatum, illi primam puritatis stolam reddidisse, collocasseque cum angelis. Quapropter illius dexteram arripiens, illum erigit sacerdos, et ostendens Evangelium, tanquam Salvatorem illud deosculari mandat, quod innuit amplecti et deosculari Patrem. Tum addit: Ecce, Christus invisibiliter hic adest, monetque ut attento animo sis, neque in posterum cadas. Quoniam nemo cum cogit ita ut invitus veniat, sed libenter accedit. Quod ita confitetur, nempe ex proposito venire. Dein rursum ait sacerdos: « Ecce Christus invisibiliter hic adest, et vide ad quem accedis, Christum scilicet, cui conjungeris, ipsi enim Christo adunaris, et cui abrenuntias, nempe mundo et rebus mundi. » Dansque forficulas: « Accipe, inquit, et mihi redde », ut spontaneam ostendat voluntatem. Et si ipse quidem recipit pater qui tonsuram facturus est sacerdos, ipse iterum sumit forficulas ab initiato monacho qui prius cum amplectitur. At si has accipit sponsor, deinde eas dat sacerdoti, et rursus sacerdos initiato tradit, eoque iterum amplectente et illas sponsori præbente, ipse iterum eas reddit sacerdoti. Quod fit trina vice, et in honorem Trinitatis, et in confirmationem ejus quod factum est. Sacerdos vero tertia vice accipiens: « Ecce, ait, e manu Christi eas accipis »; terribile verbum tremorem incutiens audientibus. Deinde sumens forficulas dicit; « Benedictus Deus qui vult omnes salvos fieri », et reliqua. Nam oportet Domino gratias agere de omnibus salutiferis operibus. Statim ergo tondet eum sacerdos in nomine

A μαρτυρεῖ, δυσωπούμενον ὑπὸ πάσης ἐπουρανίου Ἐκ-
κλησίας τῶν ἄνω πρωτοτόκων, καὶ ἐπὶ τὴν ταπεί-
νωσιν εὔχεται ἐπιβλέψαι τοῦ τελουμένου, τοῦ πολ-
λῶν ἐνώπιον ὁμολογήσαντος τὰ τῆς ὑποσχέσεως, καὶ
συνάψαι τῷ χαρίσματι τῆς υἱοθεσίας τῷ ἐν τῷ ἁγίῳ
βαπτίσματι διὰ τοῦ ἀγγελοειδοῦς τούτου σχήματος,
καὶ τηρηθῆναι ἐν αὐτῷ, καὶ ἐνδυναμωθῆναι πρὸς τὸν
τοῦ ἀοράτου ἐχθροῦ πόλεμον, καταβάλλειν τε τὰς
τῆς σαρκὸς ἐπαναστάσεις τῇ δυνάμει τοῦ Πνεύματος,
καὶ τὸν παλαιὸν ἀποβαλλόμενον, τὸν νέον ἐνδύσασθαι
ἄνθρωπον, καὶ ἐν πᾶσιν ὀχυρώσας καὶ ἐνισχύσας τῇ
εὐχῇ, ὥστε ζῆν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ὄρ-
γανον γενέσθαι Θεοῦ, καὶ κατοικητήριον Πνεύματος,
ἀξιωθῆναι τοῦτον αἰτεῖται σὺν πᾶσι τοῖς ἐκλεκτοῖς τῆς
βασιλείας τῶν οὐρανῶν. Καὶ ἐκφωνήσας δοξολογεῖ τὴν
B Τριάδα, παρ' ἧς ἅπαν ἡμῖν χορηγεῖται δώρημα τέ-
λειον. Καὶ τὴν εἰρήνην ἐκφωνήσαντος πᾶσι, καὶ τὸ
κλῖναι τὰς κεφαλὰς, πάντες κλίνουσι, τὴν δουλείαν
ὑποδεικνύντες σὺν τῷ τελουμένῳ μοναχῷ· ὃς δὴ καὶ
οὐ τὴν χεῖρα τοῦ ἱεράρχου ἔχει ἐπικειμένην, οὐ γὰρ
χειροτονίαν δέχεται, ἀλλὰ τὸ βιβλίον τῶν εὐχῶν μό-
νον ἐπὶ κεφαλῆς, τὰς ἱερὰς εὐχὰς δεχόμενος. Ἐπάγει
οὖν ὁ ἱερεὺς καὶ τὴν ἑτέραν εὐχὴν, « Ἅγιε Κύριε τῶν
δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
πρόσδεξαι τὸν δοῦλόν σου ὁ δεῖνα. » Καὶ σφραγίζει
τοῦτον τρὶς εἰς τελείωσιν ἅμα τοῦ τελουμένου μονα-
χοῦ, καὶ δόξαν τῆς Τριάδος, ἀφιερῶν τοῦτον αὐτῇ,
καὶ τὰ λοιπὰ ὑπερευξάμενος, ἐκφωνεῖ καὶ δοξολογεῖ.
Καὶ στραφεὶς ἐγείρει τὸν κείμενον, δεικνὺς ὡς ἐξαν-
C έστη τῆς ἁμαρτίας, καὶ τὴν ἄφεσιν ἔλαβε, καὶ
προσεδέξατο τοῦτον ὁ Πατὴρ, καὶ εἰς τὴν υἱοθεσίαν
ἀνάγει πάλιν, καὶ τὴν προτέραν στολὴν τῆς καθάρ-
σεως δίδωσι, καὶ μετὰ τῶν ἀγγέλων συντάττει. Διὸ
καὶ λαβὼν αὐτὸν τῆς δεξιᾶς ἐν τῷ ἀνιστᾷν ὁ ἱερεὺς,
καὶ τὸ Εὐαγγέλιον ὑποδείξας ὡς τὸν Σωτῆρα, ἀσπά-
σασθαι λέγει αὐτὸ, ὃ δηλοῖ τὸ ἐναγκαλίσασθαι καὶ
καταφιλῆσαι τὸν Πατέρα. Εἶτα καὶ φησιν, « Ἰδοὺ ὁ
Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι. » Καὶ παραγ-
γέλλει προσέχειν, ὥστε μηκέτι πεσεῖν· ἐπεὶ οὐδεὶς
ἀναγκάζει τοῦτον ὥστε ἀκουσίως ἐλθεῖν· ἀλλ' ἑκου-
σίως προσέρχεται. Καὶ τοῦτο οὕτως ὁμολογεῖ, ὡς ἐκ
προαιρέσεως ἔρχεται. Εἶτα πάλιν φησὶν ὁ ἱερεύς·
« Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι, καὶ
βλέπε τίνι προσέρχῃ· τῷ Χριστῷ δηλονότι· τίνι συν-
D τάσσῃ· ὅτι αὐτῷ τῷ Χριστῷ· καὶ τίνι ἀποτάσσῃ·
οἷον αὐτῷ τῷ κόσμῳ **192** καὶ τοῖς τοῦ κόσμου. » Καὶ
δοὺς αὐτῷ τὸ ψαλίδιον, « Λάβε καὶ ἐπίδος μοι, »
φησὶν, ἵνα τὸ ἑκούσιον δείξῃ. Καὶ εἰ μὲν αὐτός ἐστιν
ἀναδεχόμενος καὶ Πατὴρ, ὁ καὶ ἀποκείρων ἱερεὺς,
αὐτὸς λαμβάνει τὸ ψαλίδιον πάλιν ἀπὸ τοῦ τελουμέ-
νου μοναχοῦ, ἀσπασαμένου τούτου πρότερον. Εἰ δ'
οὖν λαμβάνει ὁ ἀνάδοχος τοῦτο, καὶ δίδωσιν αὐτὸ τῷ
ἱερεῖ. Καὶ ὁ ἱερεὺς πάλιν παρέχει τῷ τελουμένῳ·
οὗ καὶ ἀσπαζομένου πάλιν καὶ διδόντος τοῦτο τῷ
ἀναδόχῳ, αὐτὸς δίδωσι πάλιν τῷ ἱερεῖ. Καὶ τοῦτο
γίνεται ἐπὶ τρὶς, εἴς τε τιμὴν τῆς Τριάδος, καὶ τοῦ
γινομένου βεβαίωσιν. Καὶ ὁ ἱερεὺς τὸ τρίτον διδοὺς,
φησίν· « Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβά-
νεις αὐτό. » Φοβερὸς ὁ λόγος, καὶ φρίκην ἐμποιῶν

τοῖς ἀκούουσιν. Εἶτα λαβὼν τὸ ψαλίδιον, ἐπιλέγει, « Εὐλογητὸς ὁ Θεὸς ὁ θέλων πάντας σωθῆναι, » καὶ τὰ λοιπά. Δεῖ γὰρ εὐχαριστεῖν τῷ Κυρίῳ ἐπὶ πᾶσι τοῖς σωτηρίοις ἔργοις. Εὐθὺς οὖν ἀποκείρει αὐτὸν ὁ ἱερεὺς εἰς ὄνομα τῆς Τριάδος, σταυροειδῶς κείρων αὐτὸν ἀπὸ κορυφῆς, καὶ τὰς τρίχας τῷ θυσιαστηρίῳ ἀποτίθησι, δεικνὺς, ὡς ἀπαρχὴ αὗται καὶ δῶρόν εἰσι τῷ Θεῷ ὡς καὶ ὁ προσενεχθεὶς ὅλος, καὶ θυσία ζῶσα καὶ εὐάρεστος. Εἶτα καὶ τὰ τοῦ σχήματος ἐνδιδύσκει, ἕκαστον σφραγίζων τῷ τοῦ σταυροῦ τύπῳ. Καὶ ἐπιλέγων, « Ἐνδύεται ὁ δοῦλος τοῦ Θεοῦ, ἢ περιζώννυται, ἢ ὑποδύεται, ἢ ἕτερόν τι, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· » καί· « Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ, Κύριε ἐλέησον. » Ὃ καὶ τρὶς ἐν ἑκάστῳ παρὰ πάντων λέγεται, δηλουμένου, ὡς ἐν τῇ Τριάδι τειχίζεται, καὶ τὸ θεῖον ἔλεός ἐστιν ἐπ' αὐτῷ· καὶ αὕτη ἡ εὐχὴ ἐξαιρέτως τοῦ μοναχοῦ, τὸ παρὰ τοῦ Κυρίου Ἰησοῦ ἐκκαλεῖσθαι τὸν ἔλεον.

A Trinitatis, illum summa cervice in formam crucis abradens, et capillos altari imponit, monstrans eas esse Deo primitias et donum, prout ille totus offertur sacrificium vivum et acceptabile. Deinde habitu eum induit, singula signans signo crucis, et dicens : « Induitur servus Dei, vel præcingitur, vel subvestitur, aut aliud quid, in nomine Patris, et Filii et Spiritus sancti ; » et : « Dicamus pro eo : Kyrie, eleison. » Quod ter in singulis ab omnibus dicitur, quo ostenditur illum in Trinitate contegi, divinamque misericordiam esse super eum ; et ipsa monachi oratio præcipue intendit ut a Domino Jesu invocet misericordiam.

ΚΕΦΑΛ. ΣΟΓ.

Τί δηλοῦσι τὰ τοῦ ἱεροῦ σχήματος τῶν μοναχῶν ἄμφια.

Ἐνδύεται δὲ πρῶτον μὲν, φησὶ, χιτῶνα εὐφροσύνης καὶ ἀγαλλιάσεως, ἀντὶ τῆς γυμνώσεως ἐκείνης τε καὶ αἰσχύνης, καὶ τῆς παρακολουθησάσης διὰ τῆς παρακοῆς καὶ τῆς ἁμαρτίας φθορᾶς τοῦ θανάτου καὶ τῆς λύπης, ἣν ἀναιρεῖ δι' ὑπακοῆς καὶ ἀφθόρου ζωῆς τὸ μοναδικὸν σχῆμα τὸ ἅγιον. Εἶτα τὸ παλλίον τοῦ μεγάλου σχήματος. « Εἰς στολὴν, λέγων, ἀφθαρσίας καὶ σεμνότητος, » ὡς Θεοῦ σκέπης σημεῖον, διὰ τῆς ἐν εὐλαβείᾳ ζωῆς χαριζόμενον ζωὴν αἰώνιον τῷ λαμβάνοντι, ἔτι δὲ καὶ εἰς θείαν περιβολὴν, ἣν ἡ χάρις τοῦ Πνεύματος δίδωσιν, ἀντὶ τῶν δερματίνων χιτώνων. Εἶτα τὸ κουκούλιον τῆς ἀκακίας. « Εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίου, » λέγων, διὰ τὴν ἐκ Θεοῦ τῆς χάριτος ἐπισκίασιν, καὶ τοῦ ἡγεμονικοῦ διὰ τῆς ταπεινοφροσύνης καὶ τῆς ἀκακίας κατὰ τὰ ἄδολα νήπια ὕψωσιν, καὶ ἔτι τῆς κεφαλῆς μετὰ πάντων τῶν αἰσθητηρίων τὴν ἐκ τοῦ Θεοῦ φυλακὴν καὶ περίθαλψιν. Ὃ δὴ καὶ ἔμπροσθεν περὶ τὸ στῆθος διὰ τὸ λογιστικὸν καὶ τὴν καρδίαν καὶ ὄπισθεν ἐκκρέμαται, σταυροὺς ἐρυθροὺς περιφέρον, εἰς τὸ διώκειν τῷ βασιλικῷ καὶ φρικτῷ σημείῳ τοὺς καθ' ἡμῶν ἔμπροσθέν τε καὶ ὄπισθεν ἐπεμβαίνοντας. Ἔπειτα τὸν ἀνάλαβον ἐκ δερμάτων ζώου διὰ τὴν τῶν κοσμικῶν νέκρωσιν ἀπὸ τῶν ὤμων ἔμπροσθέν τε σταυροειδῶς καὶ ὄπισθεν, σημεῖα κεκτημένον σταυροῦ, μᾶλλον δὲ αὐτὸν ἐκτυποῦντα τὸν σταυρὸν, « Ἀναλαμβάνων, λέγων ὁ ἱερεὺς, τὸν σταυρὸν αὐτοῦ ἐπὶ τῶν ὤμων, καὶ ἀκολουθῶν τῷ Δεσπότῃ, καθὰ δὴ καθωμολόγησεν. » Εἶτα ἐπὶ τούτοις τὴν ζώνην, καὶ ταύτην ἐκ δέρματος, περιζώννυται λέγων, « Τὴν ὀσφὺν αὐτοῦ εἰς νέκρωσιν σώματος καὶ ἀνακαίνισιν πνεύματος, » διὰ τὴν σωφροσύνην καὶ τὴν ἁγνείαν, καὶ τὸ νεκρὰς ποιεῖν ὅση δύναμις τὰς κινήσεις τῆς σαρκὸς, καὶ ἐνισχύεσθαι κατὰ τῶν παθῶν, καὶ πρὸς τὰς πράξεις τῶν ἐντολῶν ἀνδρίζεσθαι. Εἶτα τὰ σανδάλια, « Εἰς ἑτοιμασίαν, φησὶ, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, » ἵνα μὴ προσκόπτῃ τοὺς πόδας τοὺς νοεροὺς τῆς ψυχῆς, μηδὲ παρὰ τῶν νοουμένων ὄφεων δάκνηται τὴν τῶν λογισμῶν πτέρναν, ἀλλ' ἐπάνω τούτων ἐπιβαίνῃ, καὶ καταπατῇ λέοντα καὶ δράκοντα, τὰ κρυπτὰ τῆς

B CAPUT CCLXXIII.

Quid denotet sacer monachorum habitus quo induitur.

Primum quidem, dixit, induitur vestem lætitiæ et exsultationis illius loco nuditatis et turpitudinis et secutæ per inobedientiam et peccatum corruptionis mortis ac tristitiæ, quam tollit per obedientiam vitamque incorruptibilem sacer monachorum habitus. Deinde pallium induit majoris habitus dicens : « In stolam immortalitatis et sanctitatis » tanquam signum divini præsidii vitam æternam per vitam in pietate peractam impertiens accipienti, et insuper in signum divini amictus quem pro vestibus pelliceis largitur Spiritus gratia. Deinde tradit cucullum innocentiæ dicens : « In galeam C salutaris fidei », propter adumbrationem divinæ gratiæ, et principalem exaltationem hunc manentem qui humilitate et innocentia ingenuis assimilatur infantibus, vel etiam propter custodiam atque tutelam, Deo favente, servatam capitis omniumque simul sensuum. Quod a fronte quidem pendet circa pectus propter rationem et cor, ac a tergo religatur, cruces rubras circumferens ad repellendos regali terribilique signo hostes in nos a fronte et a tergo irruentes. Deinde scapulare imponit ex pelle animalis factum, quoniam rebus mundi mortuus est monachus, ab humeris parte anteriori pendens in formam crucis, parte vero posteriori signis crucis refertum seu potius ipsam crucem D referens : « Accipiens crucem super humeros, ait sacerdos, sequitur Dominum, prout confessus est. » Deinde post ista zonam induit et quidem pelliceam dicens : « Præcinguntur renes ejus in mortificationem corporis et renovationem spiritus ad castitatem et munditiam ad mortificandos quantum poterit, motus carnis, ad obluctandum adversus vitia, ad confirmandum animum circa præceptorum opera. Postea inducit sandalia dicens : « In præparationem Evangelii pacis, » ut spiritales animæ pedes non offendat, neque spiritibus serpentibus lædantur cogitationum plantæ, sed super hos ambulet et conculcet leonem atque draconem, occultas malitiæ lethalesque bestias, et nunquam regressurus curat

viam Evangelii, usque dum supra currens ubi nostra conversatio est, ad cœlum perveniat. Denique chlamydem velut omnia complectentem addit, ad quam clariori voce sacerdos dicit: «Tu frater noster, accipe magnum et angelicum habitum in nomine Patris, et Filii, et Spiritus sancti», quoniam hæc vestis est perfectissima et omnia continet, necnon universa custodit protegentemque Dei virtutem ostendit et significat atque austeritatem, pietatem ac humilitatem vitæ monasticæ, et quoniam neque manus nec aliud quidpiam membrum secundum hanc vitam viva et ad mundanas operationes libera, sed omnia mortua habet monachus. Solum vero liberum habet caput ad Deum spectans, qui est caput universorum, resque Dei cogitans et ad eum approperans. Illud autem habet cucullo circumdatum propter humilitatem, et ne sensibus ibi collectis nullum sit integumentum.

A κακίας καὶ φθονερὰ θηρία, καὶ ἀμεταστρεπτὶ τρέχῃ τὴν ὁδὸν τοῦ Εὐαγγελίου, 193 ἕως ἂν ἄνω δραμὼν, ὅπου ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς καταντήσῃ, τελευταῖον δὲ, ὡς περιεκτικὸν πάντων περιβάλλεται τὴν μανδύαν, ἐν ᾧ καὶ τρανότερόν φησιν ὁ ἱερεὺς, «Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος,» ὡς τελεώτατον ὄντα καὶ περιεκτικὸν πάντων, καὶ τὴν φυλακτικὴν καθόλου καὶ σκεπαστικὴν τοῦ Θεοῦ δύναμιν δηλοῦντά τε καὶ σημαίνοντα· καὶ ἔτι τὸ συνεσταλμένον καὶ εὐλαβὲς καὶ ταπεινὸν τῆς μοναχικῆς ζωῆς, καὶ ὅτι οὐ χεῖρας ἤ τι τῶν μελῶν κατὰ τὸν βίον ἔχει ζῶντα ὁ μοναχὸς, καὶ πρὸς κοσμικὴν ἐργασίαν ἐλεύθερα, ἀλλὰ πάντα νεκρά. Μόνην δὲ τὴν κεφαλὴν B ἐλευθέραν ἔχει, πρὸς Θεὸν ὁρῶσαν τὴν τῶν ἁπάντων κεφαλὴν, καὶ τὰ ἐκείνου φρονοῦσαν, καὶ πρὸς αὐτὸν ἀνατρέχουσαν. Ἀλλὰ καὶ ταύτην περιστελλομένην τῷ κουκουλίῳ διὰ τὴν ταπεινοφροσύνην, καὶ μηδ' ἐκεῖσε τὰ αἰσθητήρια ἀπερικάλυπτα ἔχοντα.

CAPUT CCLXXIV.

Quod monachus habitu suo conditionem mortis Christi imitatur.

Insuper monasticam agens vitam mortuus est et quasi in sepulcro positus. Ideo chlamys quidem velut sepulcrum, vestes autem interiores sepulcralia referunt indumenta, nempe tunica et cætera. Passionem vero per crucem consummatam ostendunt tam scapulare quam aliæ vestes; crucifixus enim monachus est mundo, quod cæterum promisit; cucullus autem a capite pendens velut sindo, ex omni parte crucifixum pro nobis et mortuum involutumque in sepulcralibus indumentis ac sindone Dominum imitatur, ut quemadmodum per vitam cum eo crucifixus est et mortuus, ita cum eo resurgat, et exaltetur, et hæres appareat paterni ejus regni, bonorumque nobis paratorum a constitutione mundi particeps exhibeatur; quæ ei deprecatur sacerdos, postquam sanctum sumpserit habitum. Statim enim novam adjicit orationem, et precatur ut Deus bonus et fidelis in promissis suis et cujus dona sunt sine pœnitentia, det ei conversationem bonam et honestam ac irreprehensibilem et in sanctificatione vivens intemeratum custodiat habitum quem induit; et annuntiat singularum vestium sensum et virtutem, quoniam tunica quidem divinam justitiam loco transgressionis induit; zona autem mortificatione corporis et castimonia semetipsum circumdedit, hæc enim circa renes mittitur, ut concupiscentia quidem sit mortuus, virtute vero magnanimus; cucullo salutarem sumpsit humilitatem, ut mente quæ toti imperat homini humilia sentiat, et bene sensus instruat; ideo illam dicit galeam salutis; scapulari vero cruce ait, et fide sese adornavit, illud enim habet figuram crucis, qua Christi fidem et mortem testatur; amictu autem, pallio scilicet et chlamyde, stolam immortalitatis ut loricam ferream sibi circumjecit, et pro pelliceis vestibus, divina exornatus gratia splenduit; sandaliis vero potestatem accepit peragrandi viam quæ ducit ad salutem et pacem,

ΚΕΦΑΛ. ΣΟΔ'.

Ὅτι τὴν τοῦ Χριστοῦ νέκρωσιν καὶ διὰ τοῦ σχήματος μιμεῖται ὁ μοναχός.

Ἀλλὰ καὶ ὅτι νεκρὸς ὁ μονάζων τῷ βίῳ, καὶ ὡς ἐν τάφῳ ἐστί· διὸ καὶ ὡς τάφος μὲν ὁ μανδύας· ἐντάφια δὲ τὰ ἐντὸς, ὁ χιτὼν δηλαδὴ καὶ τὰ λοιπά. Δηλοῦσι δὲ τὸ διὰ σταυροῦ πάθος ὁ ἀνάλαβος καὶ τὰ ἄλλα. Ἐσταυρωμένος γὰρ τῷ κόσμῳ ἐστὶν ὁ μοναχός· καὶ τοῦτο δὴ καθυπέσχετο. Τὸ δὲ κουκούλιον ἀπὸ κεφαλῆς ὡς σουδάριον. Καὶ ὅλος τὸν σταυ- C ρωθέντα ὑπὲρ ἡμῶν καὶ ἀποθανόντα καὶ εἱληθέντα τοῖς ἐνταφίοις τε καὶ τῷ σουδαρίῳ ἐκμιμεῖται Δεσπότην· ἵνα ὡς συσταυρωθεὶς τῷ βίῳ καὶ συννεκρωθεὶς αὐτῷ, καὶ συναναστῇ καὶ συνανυψωθῇ, καὶ συγκληρονόμος ὀφθῇ τῆς Πατρικῆς αὐτοῦ βασιλείας, καὶ τῶν ἀγαθῶν τῶν ἡτοιμασμένων ἡμῖν πρὸ καταβολῆς κόσμου κοινωνὸς ἀναφανῇ. Ἃ καὶ εὔχεται αὐτῷ ὁ ἱερεὺς μετὰ τὸ λαβεῖν τὸ σχῆμα τὸ ἅγιον. Εὐθὺς γὰρ ἐπιφέρει πάλιν εὐχήν· καὶ εὔχεται ἵνα ὁ Θεὸς ὁ ἀγαθὸς, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις αὐτοῦ καὶ ἐν τοῖς χαρίσμασιν ἀμεταμέλητος ὢν, δῴη αὐτῷ βίον εὐσχήμονα καὶ πολιτείαν ἐνάρετον καὶ ἀκατάγνωστον, καὶ ἐν ἁγιασμῷ ζήσαντα ἄσπιλον διατηρῆσαι τὸ σχῆμα ὃ ἐνεδύσατο. Καὶ καταλέγει ἑκάστου τῶν ἐνδυμάτων τὴν ἔννοιάν τε καὶ δύναμιν· D ὅτι τῷ μὲν χιτῶνι τὴν θείαν δικαιοσύνην ἀντὶ τῆς παραβάσεως ἐνεδύσατο· τῇ δὲ ζώνῃ τὴν νέκρωσιν τοῦ σώματος καὶ τὴν σωφροσύνην ἐν ἑαυτῷ περιέθετο. Ἐπεὶ ὅτι καὶ περὶ τὴν ὀσφὺν, ἵνα νεκρὸς μὲν ᾖ τῇ ἐπιθυμίᾳ, ἀνδρεῖος δὲ ταῖς ἀρεταῖς. Τῷ δὲ κουκουλίῳ τὴν ταπεινοφροσύνην εἰς σωτηρίαν περιεβάλλετο. Ὥστε διὰ τοῦ ἡγεμονικοῦ τὰ ταπεινὰ φρονεῖν καὶ καλῶς τὰς αἰσθήσεις παιδαγωγεῖν. Διὸ καὶ περικεφαλαίαν σωτηρίου τοῦτό φησι. Τῷ δὲ ἀναλάβῳ, τῷ σταυρῷ καὶ τῇ πίστει κατεκοσμήθη, φησί. Τύπον γὰρ οὗτος ἔχει σταυροῦ, δι' οὗ ἡ τοῦ Χριστοῦ πίστις τε καὶ ἡ νέκρωσις μαρτυρεῖται. Τῷ δὲ περιβολαίῳ, τῷ παλλίῳ δηλαδὴ καὶ τῷ μανδύᾳ, στολὴν ἀφθαρσίας ὡς θώρακα ἰσχυρὸν περιέθετο. Καὶ ἀντὶ τῶν δερματίνων χιτώνων θείᾳ κ[αλλω]πισθεὶ-

σθη καὶ ἐλαμπρύνθη χάριτι. Τοῖς δὲ σανδαλίοις δύναμιν εἴληφεν, ὥστε ἐπιβῆναι τῆς ὁδοῦ τῆς πρὸς σωτηρίαν ἀγούσης καὶ τὴν εἰρήνην, τὰ τῆς εἰρήνης κατὰ τὸ Εὐαγγέλιον ὁδεύειν καὶ τρέχειν ὀφείλων, καὶ ταύτην εὐαγγελίζεσθαι, ὡς καὶ αὐτὸς μαθητὴς ὀφθεὶς τοῦ Χριστοῦ, πάντα καταλιπὼν, καὶ τούτῳ ἑπόμενος. Χριστὸς δέ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ ἡ ὁδὸς πρὸς τὸν Πατέρα καὶ ἡ ἀλήθεια καὶ ἡ ζωὴ καὶ τὸ φῶς· καὶ ὁ τούτῳ ἀκολουθῶν ἕξει τὸ φῶς τῆς ζωῆς, καὶ πρὸς τὴν ζωὴν καταντήσει. Ἀλλὰ καὶ τὸν Ἠλίαν καὶ τὸν Βαπτιστὴν μιμησάμενος ὁ μονάζων, ὡς τοῦ ἀναχωρητικοῦ βίου ἀρχηγοὺς, ἐνδύσεται τὴν τῶν ἀγγέλων ἀφθαρσίαν, καὶ τῆς ἐκ δεξιῶν καταξιωθῇ τοῦ Χριστοῦ παραστάσεως, καὶ ἀκούσει τῆς μακαρίας αὐτοῦ φωνῆς, *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου*· ἧς καὶ πάντας ἀξιωθῆναι εὔχεται. Ἐκφωνήσας δὲ καὶ τὴν **194** Τριάδα δοξολογήσας ὡς ἔθος, καὶ τὸ, *Εἰρήνη πᾶσιν*, εἰπὼν, καὶ τὰς κεφαλὰς τῷ Κυρίῳ κλῖναι κελεύσας ὡς δούλους, ἵνα τύχωσιν ἅπαντες καὶ τῆς ἄνωθεν εὐλογίας, πάλιν εὔχεται πρὸς Θεὸν, εἰσαγαγεῖν αὐτὸν εἰς τὴν αὐτοῦ θείαν καὶ πνευματικὴν αὐλήν· τουτέστιν οἰκεῖον αὐτῷ ποιῆσαι, καὶ συντάξαι τοῖς φίλοις αὐτοῦ καὶ τῇ συγκλήτῳ αὐτοῦ, καὶ καθαρὸν καὶ ὑψηλότερον αὐτοῦ ποιῆσαι τὸ φρόνημα τῶν βιωτικῶν, εἰς τὸ διηνεκῶς μνημονεύειν τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἑαυτοὺς διὰ Χριστὸν τῷ βίῳ σταυρώσασι. Καὶ ἐκφώνως πάλιν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν τὸν ἐν Τριάδι λέγων Θεὸν ἀνυμνεῖ. Ἐπεὶ καὶ παρ' αὐτοῦ ἡμῖν ἡ ὁδηγία τοῦ κρείττονος καὶ πρόνοια καὶ ἐπισκοπή. Εἶτα τοῦ διακόνου τὸ ἱερὸν κατέχοντος Εὐαγγέλιον, λαμβάνει τοῦτο ὁ ἱερεύς· καί φησιν, « Εἶπεν ὁ Κύριος, *Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι.* » Καὶ δίδωσιν αὐτῷ εἰ ἱερωμένος ἐστίν· εἰ δ' οὔ, σταυρὸν παρέχει αὐτῷ. Αὐτὸς δὲ λαμβάνων, προσκυνεῖ καὶ ἀσπάζεται, δεικνὺς ὅτι τούτῳ ἐπηκολούθησε, καὶ ὀφείλει ἀκολουθεῖν. Εἶτα καὶ λαμπάδα ὁ ἱερεὺς δίδωσιν, εἰς δεῖγμα οὗπερ εἴληφε φωτισμοῦ, καὶ ὡς ὀφείλοντι καθαρῶς πολιτεύεσθαι. Διὸ καὶ τὰς τοῦ Σωτῆρος αὐτῷ λέγει φωνὰς ἐκβοῶν, « Εἶπεν ὁ Κύριος, *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων*, » καὶ τὰ ἑξῆς. Εἶτα τοῦτον καὶ πρὸ τῶν ἁγίων θυρῶν ἱστᾷ, ὡς εἰς τὰς πύλας τοῦ οὐρανοῦ ἐφθακότα, καὶ τῷ Δεσπότῃ κατηλλαγμένον τὸ Εὐαγγέλιον φέροντα καὶ τὴν λαμπάδα ἡμμένην. Ἐπειδήπερ εὐαγγελικῶς καὶ φωτεινῶς ὀφείλει ζῆσαι, εἰς δόξαν τοῦ πρὸς τὸ θαυμαστὸν αὐτοῦ φῶς καλέσαντος αὐτὸν Θεοῦ. Καὶ εὐθὺς αὐτὸν ἀσπασάμενος ὁ ἱερεὺς διὰ τὴν ἐν Χριστῷ ἀγάπην καὶ ἕνωσιν, καὶ τὸν τοῦ οὐρανίου Πατρὸς δηλῶν ἀσπασμὸν, ὅτε τὸν ἀπολωλότα εὗρεν υἱὸν, καὶ τὴν μεγάλην χαρὰν ἐτέλεσεν, ἱστᾷ πλησίον αὐτοῦ, ὅτι καὶ ἐγγὺς τοῦ Θεοῦ γεγένηται. Οἱ ἀδελφοί τε μετὰ τοῦ Πατρὸς πάντες λαμπαδηφοροῦντες, ἐπιδεικνύμενοι τὸ φαιδρὸν, καὶ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν τῶν ἀγγέλων χαρὰν, ἀπέρχονται, καὶ ἀσπαζόμενοι ἕκαστος τό τε ἱερὸν Εὐαγγέλιον καὶ τὸν ἱερέα, τύπον σῴζοντα τοῦ Χριστοῦ, καὶ αὐτὸν τὸν αὐτοῦ σταυρὸν, καὶ τὸν λα-

iter pacis secundum Evangelium agendi et currendi, pacem evangelizandi : nam ipse factus est Christi discipulus, illum, omnibus derelictis, secutus, Christus autem est pax nostra et via ad Patrem, veritasque, vita atque lux, et qui eum sequitur habebit lumen vitæ ac ad vitam perveniet; sed et Eliam atque Joannem imitatus vitæ anachoretarum principes, monachus induit angelorum immortalitatem, et dignus factus est qui a dextris Christi collocetur, et audiat beatam ejus vocem : « Venite, benedicti Patris mei, » qua omnes dignos fieri obsecrat. Verum alta voce postquam Trinitatem pro more benedixit et ait : « Pax omnibus », jussitque capita Domino inclinare ut servos, ut omnes supernam consequantur benedictionem, rursus ad Deum precatur, ut eum introducat in divinam suam spiritalemque aulam, id est, ut eum sibi familiarem faciat, et amicis suis suoque senatui consociet, cogitationes ejus purificet et mundanis superexaltet, ut perpetuo recordetur bonorum eos manentium qui per vitam semetipsos propter Christum crucifixerunt. Et iterum vocem extollens, pastorem et episcopum animarum nostrarum quem in Trinitate dicit Deum celebrat, quoniam ab ipso est nobis melioris vitæ institutio, providentia et inspectio. Deinceps diacono sanctum tenente Evangelium, hoc accipit sacerdos et ait : « Dixit Dominus : Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam et sequatur me. » Et dat ei, si sacerdos est; si secus, crucem ei exhibet. Hic autem accipiens adorat et osculatur, ostendens se eum esse secuturum prout sequi debet. Postea lucernam dat sacerdos, in signum ejus quam accepit illuminationis, et tanquam pure conversaturo. Ideo Salvatoris verba dicit ei clamans : « Dixit Dominus : Sic luceat lux vestra coram hominibus, » et cætera. Exinde illum ante sacras valvas collocat, quasi ad januas cœli pervenerit cum Domino reconciliatus, qui Evangelium portat ardentemque lampadem, quoniam secundum Evangelium et in lumine debet vivere, in gloriam Dei qui ad admirabile lumen suum vocavit eum. Et illico eum osculatus sacerdos propter charitatem et unionem in Christo, cœlestisque Patris osculum significans, quoniam perditum invenit filium et magnam fecit lætitiam, apud se collocat, quia Deo propius factus est. Fratres, etiam cum patre omnes lucernas ferentes, quo hilaritatem connotant Deique gratiam et angelorum gaudium, exeunt, et singuli deosculati sanctum Evangelium et sacerdotem qui Christi figuram servat, ipsamque hujus crucem et eum qui habitum suscepit, lætantes concinunt. Hoc autem cantatur : « Cognoscamus, fratres, mysterii virtutem. » Verum quænam est? quoniam ex peccato ad domum paternam reversum optimus Pater occurrens amplectitur, et primam reddens dignitatem, saginato vitulo occiso, cum cœlitibus facit festivitatem et lætitiam.

θόντα τὸ σχῆμα. Καὶ ᾄδουσιν εὐφραινόμενοι. Τὸ δὲ ᾀδόμενον, « Ἐπιγνῶμεν, ἀδελφοὶ, τοῦ μυστηρίου τὴν δύναμιν. » Τίς δὲ αὕτη; « Ὅπως τὸν ἐκ τῆς ἁμαρτίας πρὸς τὴν πατρικὴν ἐπανελθόντα ἑστίαν ὁ πανάγαθος Πατὴρ προϋπαντήσας ἀσπάζεται. » Καὶ δοὺς τὸ πρῶτον ἀξίωμα, μετὰ τῶν ἄνω ποιεῖται τὴν εὐταξίαν καὶ εὐφροσύνην, θύσας τὸν μόσχον τὸν σιτευτόν.

CAPUT CCLXXV.

Quod, post osculum et cærimonias universas, supremum bonorum, sacræ cœnæ communio.

Propterea post osculationem sacrificium agitur vituli viventis, et secundum ordinem et congruenter ita fit, cum ab Apostolo appelletur divini Evangelii summarium. Qui habitum sumpsit ante Evangelium et sanctos lumina ferentes progreditur, ut miles Christi et minister constitutus. Et memoria dignus habetur in orationibus utpote in cœlo conscriptus et choro fratrum adunatus. Denique communione divinissimorum mysteriorum donatur, cœlestis vivæque mensæ particeps ostensus. Et ita cum gaudio omnium canentium et precantium ut ille vitis Domini disponatur, ad sensibilem mensam procedit cum sociis lætitia perfusus. Et tunc vacans orationibus, obedientiæ et ministerio, in humilitate currens viam vitæ Christum sequitur, cujus gloriæ participatione utinam universi habeamur digni per ejus misericordiam. En igitur doctrinam de pœnitentia, ut nobis fuit possibile exposuimus, necnon de habitu sancto, quoniam angelicus est et pœnitentiæ habitus. Superest ut de duobus adhuc reliquis mysteriis Ecclesiæ summatim dicamus, ut omne quod promisimus expleamus, et ad finem peragamus sermonem.

Clericus. Bonum est, sanctissime domine, quemadmodum de aliis, ita et de istis nos edocere.

ΚΕΦΑΛ. ΣΟΕ'.

Ὅτι μετὰ τὸν ἀσπασμὸν καὶ τὰ τῆς τελετῆς πάντα, τέλος τῶν ἀγαθῶν ἡ κοινωνία.

A Διὸ καὶ μετὰ τὸν ἀσπασμὸν ἡ ἱερουργία τελεῖται τοῦ ζῶντος μόσχου· καὶ κατὰ τάξιν ἁρμοδίως ἥ τε τοῦ Ἀποστόλου περικοπὴ καὶ τοῦ θείου Εὐαγγελίου ἀναγινώσκεται. Καὶ ὁ τὸ σχῆμα λαβὼν, καὶ τοῦ Εὐαγγελίου καὶ τῶν ἁγίων λαμπαδηφορῶν προπορεύεται, ὡς στρατιώτης Χριστοῦ καὶ ὑπηρέτης καταστάς. Καὶ μνήμης ἀξιοῦται ἐν ταῖς αἰτήσεσιν, ὡς καταγραφεὶς ἐν τοῖς οὐρανοῖς, καὶ τῇ χορείᾳ τῶν ἀδελφῶν συνταγείς. Καὶ τελευταῖον τῆς κοινωνίας τῶν θειοτάτων καταξιοῦται, τῆς ὑπερουρανίου καὶ ζώσης τραπέζης κοινωνὸς ἀποδειχθείς. Καὶ οὕτω μετ' εὐφροσύνης πάντων ᾀδόντων καὶ εὐχομένων ὡς B ἄμπελον Κυρίου καταρτισθῆναι αὐτὸν, καὶ εἰς τὴν αἰσθητὴν πορεύεται τράπεζαν, τοῖς ὁμοτογέσι συνευφραινόμενος· σχολάζων ἔκτοτε ταῖς προσευχαῖς καὶ τῇ ὑπακοῇ καὶ διακονίᾳ, ἐν ταπεινώσει τὴν ὁδὸν τρέχων τῆς ζωῆς, καὶ ἐπακολουθῶν τῷ Χριστῷ· οὗ καὶ πάντες ἀξιωθείημεν τῆς δόξης καὶ κοινωνίας ἐλέει αὐτοῦ. Ἰδοὺ τοίνυν καὶ τὰ τῆς μετανοίας ὡς ἐνὸν ἡμῖν ἐξεθήκαμεν, καὶ τὰ τοῦ σχήματος τοῦ ἱεροῦ, ὡς καὶ ἀγγελικοῦ, καὶ τῆς μετανοίας σχήματος ὄντος. Λοιπὸν καὶ περὶ τῶν δύο ἔτι ὑπολοίπων μυστηρίων τῆς Ἐκκλησίας κατὰ σύνοψιν εἴπωμεν, ὡς ἂν **195** τὰ τῆς ὑποσχέσεως ἐκτελέσωμεν, καὶ εἰς τέλος τὸν λόγον ἀγάγωμεν.

Κληρικός. Καλὸν, ἁγιώτατε δέσποτα, ὡς περὶ τῶν ἄλλων, καὶ περὶ τούτων μαθεῖν ἡμᾶς.

ΠΕΡΙ

ΤΟΥ ΤΙΜΙΟΥ ΝΟΜΙΜΟΥ ΓΑΜΟΥ.

DE

HONESTO ET LEGITIMO CONJUGIO.

Pontifex. Et jam loquimur de matrimonio quale secundum divinam licentiam inter homines perficitur ab eis qui secundum mundum volunt vivere, propter solam liberorum generationem et concessum est propter mortem ex inobedientia sequentem, ut, usquedum per Christum venerit vita et immortalitas, præsens corruptibilis permaneat vita, et ne sine benedictione sit hominum constitutio atque principium, nec isti absque ea vitam habeat, utque matrimonio ab intemerata Ecclesia benedi-

C *Ἀρχιερεύς.* Καὶ λέγομεν ἤδη περὶ τοῦ γάμου, ὅστις κατὰ θείαν συγχώρησιν ἐν ἀνθρώποις ἐστὶν ἐνεργούμενος, τοῖς κατὰ κόσμον θέλουσι ζῆν, διὰ μόνην παιδοποιΐαν, καὶ συγκεχώρηται διὰ τὸν ἐκ τῆς παρακοῆς ἐπακολουθήσαντα θάνατον, ἵνα ἕως ἂν ἔλθῃ ἡ διὰ τοῦ Χριστοῦ ζωὴ καὶ ἀθανασία, ὁ παρὼν φθαρτὸς διαμένῃ βίος, καὶ μὴ χωρὶς εὐλογίας ἡ τῶν ἀνθρώπων εἴη καταβολὴ καὶ ἀρχὴ καὶ τὸ εἶναι τούτους ἐν βίῳ, καὶ ὡς παρὰ τῆς ἀσπίλου Ἐκκλησίας τὴν εὐλογίαν ἔχοντος τοῦ γάμου, σπεύ-

δωσιν οἱ ἐν τούτῳ ἄσπιλοι εἶναι ὡς ἐγχωρεῖ, καὶ ἐννόμως καὶ δίχα ψόγου καὶ ῥύπου συνάπτωνται, καὶ ὡς εἰπεῖν ἄμωμον καὶ ὡς παρθενικὸν ἐγγὺς φυλάσσειν τὸν γάμον.

ΚΕΦΑΛ. ΣΟϚʹ.

Διατί στέφανοι ἐν τῷ γάμῳ.

Διὰ τοῦτο γὰρ καὶ στέφανοι τίθενται, διὰ τοὺς παρθένους καὶ καθαροὺς, ὅτι συνάπτονται ἄσπιλοι, καὶ ὡς τὴν παρθενίαν ἄχρι τοῦ γάμου συντετηρήκασιν. Ὃ δὴ καὶ ἀπ' αὐτῆς τῆς φύσεως μαρτυρούμενον καλὸν εἶναι, ὁ συναπτόμενος τῇ νύμφῃ νυμφίος πρὸ παντὸς τοῦτο βούλεται κεκτῆσθαι αὐτὴν, τὸ παρθένον εἶναι καὶ καθαρὰν, καὶ μὴ ἑτέρου τινὸς, ἀλλ' αὐτοῦ καὶ μόνου εἶναι καὶ κληθῆναι γυναῖκα. Ὅθεν καὶ αὐτὸν ἐκδιδάσκεσθαι χρὴ τοιοῦτον ἑαυτὸν τηρεῖν νυμφίον καθαρὸν τῇ νύμφῃ, καὶ αὐτῆς ἄνδρα, καὶ οὐχ ἑτέρας. Καὶ εἰ τοῦτο, εὐλογημένη ἡ συζυγία, καὶ ἡ κοίτη, κατὰ Παῦλον εἰπεῖν, ἄσπιλος καὶ ἀμίαντος· καὶ ἐπὶ τῷ γάμῳ τούτῳ τελεία ἡ εὐλογία· καὶ ὁ Χριστὸς παραγίνεται. Εἰ δὲ νενοθευμένος ὁ γάμος καὶ ῥύπων ἔμπλεως, πῶς ἄρα ἐκεῖσε Χριστὸς, ὁ καθαρώτατος μόνος, καὶ τῶν ψυχῶν νυμφίος ἅγιός τε καὶ ἄμωμος; Ἀπέστω τοίνυν πᾶσα πορνεία τοῦ τιμίου γάμου καὶ ἁρπαγή· καὶ μοιχεία πᾶσα πόῤῥω, καὶ σὺν ταύτῃ ἡ βδελυρὰ καὶ τὸ γένος συγχέουσα αἱμομιξία τε καὶ πολυγαμία. Καὶ τὰ τοῦ ἱεροῦ τόμου ἀκατάλυτα φυλαττέσθω, ἵνα καὶ τόμος εἴη ἑνώσεως καὶ μὴ διαστάσεως, ὡς τῶν κακῶς συναπτομένων χωριζομένων μᾶλλον καὶ διεσταμένων Θεοῦ· καὶ ὅτι ἐκ τοῦ λύεσθαι τοῦτον ταραχὴ ἔσται τῇ Ἐκκλησίᾳ. Καὶ ὁ μὲν δίγαμος κανονιζόμενος ἔστω, καθά φασιν οἱ Πατέρες. Ὁ τρίγαμος δὲ πλέον. Καὶ οὗτος τρίτην ἀγέσθω μὴ τέκνα ἔχων ἄχρι τοῦ τεσσαρακοστοῦ. Τῷ τέκνα δὲ κεκτημένῳ τὸν τεσσαρακοστὸν τελέσαντι χρόνον ἀσυγχώρητος ἔσται ἡ τριγαμία, ὁ ἱερός φησι τόμος. Τὰ περὶ τούτων οὖν σὺν ἀκριβείᾳ ἔστω, καὶ προσοχῇ τοῖς προστάταις τῶν ἐκκλησιῶν ἐνεργούμενα. Θεωρήσωμεν δὲ καὶ ὅπως ὁ γάμος νομίμως ἄρχεται γίνεσθαι. Εἰ μὲν πατέρες τοῖς συναπτομένοις εἰσὶν, οὗτοι δὴ καὶ συμφωνοῦσιν ἀλλήλοις, καὶ τὰς γνώμας πρὸς τὸ ἔργον ἱστῶσιν. Εἶτα καὶ ἡμέρας ἐπιστάσης, ὥστε γραφῆναι καὶ τὰ συμβόλαια, συνάθροισις τιμίων γίνεται ἀνδρῶν, μαρτυρίας χάριν τοῦ γινομένου, καὶ ὅτι νομίμου γάμου συνάλλαγμα ἐνεργεῖται. Διὸ καὶ νομικὸς ἀποτεταγμένος ἐστὶ, καὶ τὰ συμβόλαια γράφει, καὶ σιγνογραφίας τῶν συναλλαττόντων ποιεῖται διὰ σταυροῦ, δηλῶν ὡς ἐκ τοῦ Θεοῦ τὸ ἔργον ἐστὶ, καὶ ἐν Χριστῷ ἄρχεται, τῶν μελλονύμφων καὶ τῶν πατέρων αὐτῶν τοῦ καλάμου ἐφαπτομένων, τὸ ἑκούσιον καὶ οἰκειοθελὲς ἐνδεικνυμένων ἐκ τούτου· καὶ ὅτι Χριστὸς συνάπτει αὐτούς. Διὸ καὶ πρὸς αὐτὸν προσκυνοῦσι πρῶτον, καὶ οὕτω τοῦ καλάμου ἐφάπτονται· καὶ τούτου ἕνεκεν, ὅτι Χριστὸς συνδεῖ τούτους· καὶ σταυρικοὶ λέγονται δεσμοί. Καὶ οὐχ ἐξὸν **196** αὐτοὺς λύειν δίχα τινῶν παρακολουθημάτων νομίμων, τοιούτων, ὡς καὶ ἐπὶ τετελεσμένῳ τῷ γάμῳ. Εἰ δ' οὖν, ἔσται παρανομία ἡ λύσις. Τοῦ καιροῦ δὲ ἐπιστάντος τῶν γάμων, εἰς τὸν ναὸν

A ctionem consecuto, studeant conjuges in eo, ut fieri potest, intemerati esse. Et sic licite, sine reprehensione et absque labe conjunguntur, ita ut irreprehensibile dicatur et quasi virginale servetur matrimonium.

CAPUT CCLXXVI.

Quare coronis in nuptiis utantur.

Ob hanc enim causam ponuntur coronæ propter virginitatem et castitatem eorum qui intemerati copulantur et quia virginitatem usque ad matrimonium custodiverunt; quod ipsa natura testatur bonum esse, sponsus enim sponsæ consociatus ante quemcumque vult eam possidere, ita ut virgo sit et pura, neque cujuslibet alterius, sed eam sui solius esse, suamque vocari feminam requirit. Unde ipsum oportet ediscere talem semetipsum sponsæ B purum esse servaturum, ita ut sit ejus vir, et non alterius; quod si adsit, benedictum erit conjugium, et cubile, ut secundum Paulum loquar, immaculatum erit et illibatum, et super tale connubium plena erit benedictio, et Christus ei aderit. Sed si pollutum sit matrimonium et labe plenum, quomodo igitur ibi Christus qui solus purissimus est et animarum sponsus sanctus et irreprehensibilis? Absit igitur ab honorabili conjugio omnis fornicatio et raptus, procul absit omne adulterium, et cum eo obscenium, quo miscetur genus incestum scelus et polygamia, et inviolate serventur sacri (Ritualis) libri statuta, ut liber sit unionis, non separationis, cum male conveniant, sed potius abscedant qui a Deo C distant; et quoniam si violetur hic liber, hinc turbabitur Ecclesia. Bigamus quidem dirigatur, prout dixerunt Patres, de trigamo autem plura statuta sunt. Hic tertiam ducat uxorem, si liberos non habeat, usque ad annum quadragesimum; sed si liberos habeat, et jam quadragesimum attigerit annum, tolerari non poterit tertium matrimonium, sacer inquit liber. Quæ de his accurate et diligenter ab Ecclesiæ præfectis adimpleantur. Verum inspiciamus quomodo matrimonium honestum esse incipiat. Si patres quidem sunt convenientibus, illi inter se consentiunt, suaque consilia ad opus iniunt. Deinde die constituta, ut nuptialis scribatur pactio, honorabiles congregantur viri, quod fit gratia testimonii, et quoniam legalis matrimonii contractus initur. D Ideo etiam vir adest a lege designatus qui conjugales scribit tabulas; et sigillum desponsatorum fit per crucem, quo patet opus ex Deo esse, et in Christo incipere, futuris conjugibus et eorum patribus calamum tangentibus, ita singulis libertatem et spontaneam voluntatem isto modo exprimentibus, et quoniam Christus eos conjungit. Quapropter hunc primum adorant, et deinde calamum tangunt, et quoniam Christus eos alligat, crucis dicuntur vincula, neque licet ea solvere quin quædam ex lege consequantur, eadem ac de perfecto matrimonio, si secus, peccatum erit solutio. Verum superveniente nuptiarum die, templum adeunt sponsus et sponsa, nam a Deo ejusque Ecclesia vir feminam accipit, et sacerdos, sacra stola indutus, primum

quidem sacræ mensæ imponit annulum ferreum propter robur viri, et annulum aureum propter infirmam corporis constitutionem et puritatem mulieris, atque sancta prius consecrata, quoniam in conspectu Christi opus perficitur, et ipse erit eis in sanctitate et recta in eum fide atque castitate communio et adunatio.

ὅ τε νυμφίος καὶ ἡ νύμφη γίνονται. Παρὰ τοῦ Θεοῦ γὰρ καὶ τῆς Ἐκκλησίας αὐτοῦ ὁ ἀνὴρ τὴν γυναῖκα λαμβάνει. Καὶ ὁ ἱερεὺς ἱερὰν στολὴν ἐνδυσάμενος, πρῶτον μὲν τῇ ἱερᾷ τίθησι τραπέζῃ δακτύλιον σιδηροῦν διὰ τὸ στεῤῥὸν τοῦ ἀνδρὸς, καὶ δακτύλιον χρυσοῦν, διὰ τὸ ἁπαλόν τε καὶ ἁγνὸν τῆς γυναικός· καὶ τὰ προηγιασμένα ἅγια, ὅτι ἐνώπιον Χριστοῦ γίνεται τὸ ἔργον, καὶ αὐτὸς ἔσται τούτοις ἐν ἁγιασμῷ καὶ τῇ πρὸς αὐτὸν ὀρθῇ πίστει καὶ σωφροσύνῃ κοινωνία καὶ ἕνωσις.

CAPUT CCLXXVII.

Non esse matrimonio jungendum orthodoxum cum secus sentiente.

Quapropter nunquam licet orthodoxo heterodoxam ducere, nam quæ pars, ait Apostolus, fideli cum infideli? Deinde sacerdos in mensa altera calicem ponit ex vino, communem ideo calicem appellatum quo concordia ostenditur vitæque communitas et gaudium. Et sic egressus in porticu, vel intra fores templi, quasi tunc solummodo daretur benedictionis principium et starent in vestibulo operis, arrharum adimplet ritum, nam ad hoc prolati ordinantur annuli, ut concordiam et sigillum contractus significent.

CAPUT CCLXXVIII.

De arrhabonibus futurarum nuptiarum.

Deum ergo benedicit sacerdos, et, pace dicta, quum opus sit pace quæ a Deo est, ac in pace et propter pacem atque concordiam conveniant, virum quidem collocat a dextris cum iste princeps sit et caput mulieris, mulierem vero a sinistris utpote inferiorem, et quia a latere ejus est, vir enim feminæ principium. Post pacem, precatur ut Deus, dispersa in unum congregans, qui benedixit Isaac et Rebecca, conjuges benedicat benedictione spirituali. Isaac autem meminit ac Rebeccæ, nullius ex patriarchis alterius, quoniam altera Isaac non nupsit, hancque ex genere suo secundum legem in nuptiali fœdere accepit, et caste cum eâ sola vixit; et quoniam solus erat iste ingenuus Abraham filius, puer benedictionis a Deo benedictus. Sed gratiæ nequaquam meminit in matrimonio, quoniam matrimonium Christianis non est opus alteri præpositum, etsi a Christo benedictionem consequatur propter lubricitatem hominum, utque adhuc constet mundus iste corruptibilis; perfectus autem Evangelii scopus virginitas est et incorruptibilitas, ad quam omnes robustos accedere hortatur. Deinde alta voce glorificans Deum misericordem, dat mulieri annulum ferreum ut viri nomine sacerdos, viro autem aureum, ut nomine mulieris, et tertia vice eos permutat, Trinitatem adorans, quæ omnia perficit et firmat. Deinde invicem jungunt dexteras, quo monstrant se in Christo adunatos et unum factos esse, virumque mulierem e manu Ecclesiæ per sacerdotem accipere. Igitur sacerdos, pace omnibus denuntiata, ostendens unionem et concordiam, et dicens: Inclinate capita, precatur ut qui despondit sibi Ecclesiam ex gentibus virginem castam, nos scilicet fideles, has benedicat nuptias, et conjuges

ΚΕΦΑΛ. ΣΟΖ'.

Ὅτι οὐ χρὴ συνάπτεσθαι ὀρθόδοξον ἑτερόφρονι.

Διὸ μὴ συναπτέον ὅλως ὀρθόδοξον ἑτερόφρονι. Τίς γὰρ, φησὶ, μερὶς πιστῷ μετὰ ἀπίστου; Καὶ ἐν παρατραπέζῳ δέ τινι ἐξ οἴνου ποτήριον τίθησι, τὸ καλούμενον οὕτω κοινὸν ποτήριον, τὴν ὁμοφροσύνην δηλοῦν καὶ κοινωνίαν τοῦ βίου καὶ εὐφροσύνην. Καὶ οὕτως ἐξελθὼν ἐν τῷ νάρθηκι, ἢ ἔνδον τῶν πυλῶν τοῦ ναοῦ, ὡς τῆς ἀπαρχῆς διδομένης τῆς εὐλογίας, καὶ ἐν προθύροις τοῦ ἔργου ὄντος, τὰ τῶν ἀῤῥαβώνων ποιεῖται. Εἰς τοῦτο γὰρ καὶ τεταγμένοι εἰσὶν οἱ προτεθέντες δακτύλιοι διὰ τὴν συμφωνίαν καὶ τὴν σφραγῖδα τοῦ συναλλάγματος.

ΚΕΦΑΛ. ΣΟΗ'.

Περὶ τῶν μνήστρων.

Εὐλογεῖ οὖν τὸν Θεὸν ὁ ἱερεύς· καὶ τῶν εἰρηνικῶν λεγομένων, ἐπεὶ καὶ χρεία τῆς ἐκ Θεοῦ εἰρήνης καὶ ἐν εἰρήνῃ καὶ δι' εἰρήνην συνάπτονται καὶ ὁμόνοιαν, ἱστᾷ τὸν μὲν ἄνδρα ἐκ δεξιῶν, ἐπεὶ καὶ οὗτος ἄρχων καὶ κεφαλὴ τῆς γυναικὸς, τὴν γυναῖκα δὲ ἐξ ἀριστερῶν, ὡς ὑποδεεστέραν, καὶ ὡς ἐκ τῆς πλευρᾶς αὐτοῦ. Αἰτία γὰρ αὐτῆς ὁ ἀνήρ. Καὶ μετὰ τὰ εἰρηνικὰ εὔχεται, ἵνα ὁ Θεὸς ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα, καὶ εὐλογήσας Ἰσαὰκ καὶ Ῥεβέκκαν, καὶ τοὺς συναπτομένους εὐλογήσῃ εὐλογίᾳ πνευματικῇ. Ἰσαὰκ δὲ μέμνηται καὶ Ῥεβέκκας, καὶ οὐχ ἑτέρας τῶν παλαιῶν, ὅτι ἑτέρᾳ τῷ Ἰσαὰκ οὐ συνήφθη, καὶ ταύτην ἐκ τοῦ γένους αὐτοῦ νομίμως ἐν συναλλάγμασιν ἔλαβε· καὶ σωφρόνως μετ' αὐτῆς ἐβίω μόνης· καὶ ὅτι γνήσιος τοῦ Ἀβραὰμ οὗτος παῖς μόνος, καὶ ἐξ ἐπαγγελίας, καὶ εὐλογημένος ὑπὸ Θεοῦ. Ἐκ τῶν τῆς χάριτος δέ τινος οὐ μέμνηται ἐν τῷ γάμῳ, ὅτι οὐ προηγούμενον ἔργον τοῖς Χριστιανοῖς ὁ γάμος, εἰ καὶ εὐλογηται παρὰ τοῦ Χριστοῦ, διὰ τὸ εὐόλισθον τῶν ἀνθρώπων, καὶ τὸν φθαρτὸν ἔτι κόσμον συνίστασθαι. Τέλειος δὲ τοῦ Εὐαγγελίου σκοπὸς ἡ παρθενία καὶ ἀφθαρσία· πρὸς ἣν καὶ τοὺς ἰσχύοντας χωρεῖν προσκαλεῖται. Εἶτα καὶ ἐκφώνως δοξολογήσας τὸν ἐλεήμονα Θεὸν δίδωσι τῇ γυναικὶ τὸν σιδηροῦν δακτύλιον ὡς παρὰ τοῦ ἀνδρὸς ὁ ἱερεύς· τῷ δὲ ἀνδρὶ τὸν χρυσοῦν, ὡς παρὰ τῆς γυναικός· καὶ ἐκ τρίτου αὐτοὺς ἀνταλλάσσει, τὴν Τριάδα τιμῶν, ἥτις ἅπαντα τελειοῖ τε καὶ βεβαιοῖ. Εἶτα καὶ συμπλέκει αὐτῶν τὰς δεξιὰς, δεικνὺς ὅτι ἐν Χριστῷ συνηρμόσθησαν, καὶ ἓν γεγόνασι· καὶ ὅτι ὁ ἀνὴρ τὴν γυναῖκα ἀπὸ τῆς χειρὸς τῆς Ἐκκλησίας διὰ τοῦ ἱερέως παρέλαβεν. Ὁ ἱερεὺς οὖν ἐκφωνήσας εἰρήνην πᾶσι, δεικνὺς τὴν ἕνωσιν καὶ ὁμόνοιαν, καὶ κλῖναι τὰς

κεφαλὰς εἰπὼν, εὔχεται, ἵνα ὁ μνηστευσάμενος ἑαυτῷ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν παρθένον ἁγνὴν, ἡμᾶς δηλαδὴ τοὺς πιστοὺς, εὐλογήσῃ καὶ τὰ μνῆστρα ταῦτα, καὶ τοὺς μνηστευομένους φυλάξῃ ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ. Καὶ ἐκφώνως ἀνυμνήσας τῆς Τριάδος τὸ κράτος καὶ τὴν βασιλείαν καὶ δύναμιν καὶ μίαν ἀρχὴν, ὡς τελετάρχου μόνης καὶ παντουργοῦ, εἰσάγει τούτους διὰ μέσου τοῦ ναοῦ ἐν πολλοῖς μάρτυσιν, ὡς τῆς Ἐκκλησίας τέκνα, ἀντικρὺ τοῦ θυσιαστηρίου πρὸ τῶν ἁγίων θυρῶν, ὡς ἐνώπιον ἄγων τοῦ Θεοῦ, ἐπεὶ καὶ ἐν τούτῳ καθαροὶ συνάπτονται, ψαλλομένου ψαλμοῦ ἁρμοδίου πρὸς τοῦτο, *Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον*, καὶ τὰ ἑξῆς ἄχρι τέλους.

A custodiat in pace et sensu unanimi. Et clara voce celebrans Trinitatis fortitudinem et regnum et potestatem et unum principatum, utpote solius mysteriorum auctoris soliusque omnipotentis, eos inducit in medium templum multos inter testes, tanquam Ecclesiæ liberos, in conspectu altaris coram sanctis foribus, ducens eos velut in conspectum Dei, quoniam in eo puri conjunguntur, cantato psalmo ad hoc accommodato: *Beati omnes qui timent Dominum*, et reliqua usque ad finem.

ΚΕΦΑΛ. ΣΟΘ'.

Περὶ τῆς τοῦ γάμου τελετῆς.

Ὅτε δὲ στῶσι τοῦ θυσιαστηρίου ἐνώπιον, ἀπολύουσι τὰς χεῖρας, ἔμπροσθεν αὐτὰς ἔχοντες, ὡς ἔμπροσθεν ἱστάμενοι τοῦ Θεοῦ, τὸ τῆς δουλείας δεικνύντες, καὶ λαμπάδας βαστάζουσι, τὴν σωφροσύνην ἑαυτῶν μαρτυροῦντες, ἀλλὰ καὶ τὴν ἐγγινομένην ἐν αὐτοῖς θείαν χάριν σημαίνοντες. Καὶ πάντες ὁμοίως λαμπαδηφοροῦσιν οἱ κληρικοὶ διὰ τὴν θείαν ἔλλαμψιν καὶ φαιδρότητα. Καὶ τῶν εἰρηνικῶν αὖθις λεγομένων (προηγοῦνται γὰρ ταῦτα, καὶ ἐν πάσῃ λέγονται τελετῇ διὰ τὴν ἄνωθεν εἰρήνην, καὶ τὸ ἀναγκαίως ὑπὲρ ἁπάντων ἐν πάσῃ τελετῇ γίνεσθαι τὴν προσευχὴν) ὁ ἱερεὺς τὴν πρώτην εὐχὴν λέγει τοῦ γάμου, τὸν Θεὸν τὸν ἅγιον ἐπικαλούμενος, τὸν ἀσώματόν τε καὶ καθαρὸν, τὸν πλάσαντα τὸν ἄνθρωπον, καὶ ἐξ αὐτοῦ τὴν γυναῖκα εἰς βοηθὸν, αὐτὸν ἐξαποστεῖλαι ἄνωθεν τὴν χεῖρα αὐτοῦ, καὶ ἁρμόσαι τούτους ἀλλήλοις. Καὶ πάλιν συνάπτει τούτων τὰς χεῖρας, τὸ τέλειον δηλῶν τῆς ἑνώσεως. Καὶ συζεῦξαί φησιν ἐν ὁμοφροσύνῃ, καὶ δοῦναι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίαν τε καὶ ἀκατάγνωστον βιοτήν. Καὶ ἐκφώνως Θεὸν ἐλέους καὶ οἰκτιρμῶν δοξολογεῖ τὴν Τριάδα, ὅτι τὰ τοιαῦτα ἐλέους ἔργα αὐτοῦ καὶ συμπαθείας. Εἶτα καὶ τοὺς στεφάνους ἐκ τοῦ θυσιαστηρίου λαβὼν καὶ εὐλογήσας, τὸν μὲν εἰς τὴν κεφαλὴν τοῦ ἀνδρὸς, τὸν δὲ εἰς τὴν κεφαλὴν τῆς γυναικὸς τίθησι, πρὸς τὸν Κύριον καὶ Θεὸν τῶν ὅλων δόξῃ καὶ τιμῇ στεφανῶσαι αὐτοὺς εὐχόμενος, ὡς καθαρῶς ἐν αὐτῷ συναπτομένους.

CAPUT CCLXXIX.

De sacro ritu benedictionis nuptialis.

B Quando autem stant in conspectu altaris, solvunt manus, quas ante se habent, utpote stantes ante Deum, et servitutem manifestantes; et lampades gestant quo eorum castitatem testantur, sed et divinam gratiam sibi supervenientem significant. Omnes pariter clerici lucernas portant propter divinam illuminationem et claritatem. Et pace iterum dicta (hæc enim præcedit, atque in omni mysterio dicitur propter cœlestem pacem, et quia necesse est in omni mysterio preces fieri pro omnibus), sacerdos primam dicit orationem matrimonio Deum invocans sanctum et incorporeum et purum, qui hominem plasmavit, et ex eo mulierem fecit in adjutorium, ut cœlitus manum suam emittat, et eos inter se C conjungat. Et iterum jungit eorum manus perfectionem unionis exprimens et dicens: « Conjunge eos in castitate, et da fructum ventris, piam sobolem et vitam irreprehensibilem. Et alta voce Deum misericordiæ et miserationum Trinitatem glorificat, quoniam ista sunt opera ejus misericordiæ et miserationis. Deinceps acceptis ex altari et benedictis coronis, alteram quidem viri, alteram autem mulieris capiti imponit, Dominum Deumque universorum ut eos gloria et honore coronet deprecans utpote pure in eo conjugatos.

ΚΕΦΑΛ. ΣΠ'.

Περὶ ἀναδόχου τοῦ ἐν τῷ γάμῳ.

Οὓς δὴ στεφάνους καὶ ὁ τῆς σωφροσύνης καὶ ὁμονοίας ἀνάδοχος ὄπισθεν ἑστὼς δέχεται, ἀντὶ πατρὸς αὐτοῖς γινόμενος, καὶ διδάσκαλος τῆς ὁμοφροσύνης καὶ ἀγαθῆς συζυγίας. Διὸ καὶ τῶν ὀρθοδόξων ὀφείλει καὶ θεοφιλῶν εἶναι. Τὴν εἰρήνην τε αὖθις ἐπευξάμενος ὁ ἱερεὺς, τὴν δευτέραν ἐπιλέγει εὐχὴν, ὡς καὶ ἐν ταῖς χειροτονίαις παρὰ τοῦ ἱεράρχου γίνεται.

CAPUT CCLXXX.

De sponsore in nuptiis.

D Quas coronas castitatis sponsor et concordiæ retro stans accipit, pro patre eis factus, et doctor communis castimoniæ bonique conjugii. Ideo oportet orthodoxos Deique amicos hoc fungi munere. Pace iterum optata, sacerdos secundam dicit orationem, quemadmodum in ordinationibus fit a pontifice.

ΚΕΦΑΛ. ΣΠΑ'.

Ὅτι ἡ τοῦ γάμου τελετὴ ἀρχιερέως ἴδιον ἔργον.

Ὅτι καὶ τοῦτο ἔργον τοῦ ἱεράρχου· καὶ αὐτὸς τοῦτο ἔν τε βασιλεῦσι καὶ ἄρχουσι καὶ λοιποῖς ἄλλοις ἐνεργεῖ. Δίδοται δὲ ὅμως τοῦτο καὶ ἱερεῦσι ποιεῖν, ὅτι τελετὴ μόνη, καὶ οὐ τῆς μεταδοτικῆς χάριτος. Πλὴν καὶ τοῖς ἱερεῦσι μετὰ προτροπῆς

CAPUT CCLXXXI.

Quod conjugum benedictio proprium episcopi est opus.

Illud enim opus est pontificis, et ipse illud præ regibus et principibus cæterisque operatur. Attamen hoc pariter facere sacerdotibus conceditur, quoniam tantummodo est mysterium, et non agitur de communicandæ gratiæ sacramento. Cæterum

hoc est mera concessio sacerdotibus facta ad singula nuptiarum solemnia, quoniam proprium est episcopi, et absque ejus consensu non potest constare conjugium, nam solus pontifex pater est Ecclesiæ. Secunda autem oratione poscit ut qui per suam præsentiam in Cana honorabile ostendit esse matrimonium cui aderat, istos quoque modo in matrimonium conjunctos in pace et concordia custodiat, istudque honorabile faciat connubium, thorumque servet immaculatum et illabatam eorum vitam tueatur, ut in pinguem senectutem provecti divina impleant mandata. Et proclamat eum esse qui omnia benedicit et sanctificat. Deinde ad orientem conversus flagitat se non reprehendi, sed dignum haberi qui Patrem vocet Deum qui est in cœlis. Et omnes pariter orationem a Salvatore institutam, in gratiarum actionem gratia operis faciendam, in ostensionem servitutis, in postulationem bonorum, in communicationem Spiritus, per sanctam carnem Filii ejus qui est verus de cœlo panis, per quem conjuges, modo pie et caste conversentur, vivent, et quoniam Pater omnium et ipsorum conjugum Deus est qui omnium et ipsorum conjugum Deus est qui omnia creavit. At post orationem vocem extollit sacerdos regnum Dei potestatemque et gloriam celebrans. Et data pace dicit: Inclinate capita vestra, creaturæ, Creatori. Et preces facit super communem potum dicens: Deus qui omnia fecisti tua potentia, cœlumque firmasti et coronam creaturarum tuarum benedixisti, id est, omnia, quoniam tu es in universo et super universum, ipse communem potum istorum servorum suorum benedic benedictione spirituali, ut sint in perpetuum benedicti ». Et dum manu eos signat, causam indicat, nempe ut benedicatur nomen et glorificetur regnum sanctæ Trinitatis, quoniam ipsa omnia benedicit et sanctificat.

CAPUT CCLXXXII.

Quod connubio jungendi puri esse debent et in sacro benedici templo et sacræ Cœnæ fieri participes.

Statim ad præsanctificata venit per sacrum calicem, et acclamat: « Ecce præsanctificata sancta sanctis. » Et omnibus clamantibus: « Unus Sanctus, unus Dominus, » quoniam ipse solus est sanctificatio, servorumque suorum pax et vinculum, sacris epulis adhibet recenter desponsatos, si parati sint. Unde oportet eos esse paratos, ut sancte coronentur, sancteque conjungantur, nam finis omnis sacramenti, divinique omnis mysterii sigillum sacra communio. Et bene fecit Ecclesia divina dona præparando, in propitiationem et benedictionem conjugum, quia ipse matrimonio præfuit qui dona dedit et est, et in pacificam eorum adunationem atque concordiam, proinde dignos esse communione oportet qui in matrimonium copulantur, et in templo Dei inter se nubere, in domo Dei, Dei filios utpote in conspectu illius, ubi per

A δίδοται, καὶ ἐν ἑκάστῳ ἔργῳ γάμου, ὅτι ἴδιόν ἐστιν ἐπισκόπου· καὶ χωρὶς γνώμης αὐτοῦ οὐ δυνατὸν συστῆναι γάμον. Πατὴρ γὰρ τῆς Ἐκκλησίας ὁ ἀρχιερεὺς μόνος. Τῇ δὲ δευτέρᾳ εὔχεται εὐχῇ, αὐτὸν τὸν διὰ τῆς ἐπιφανείας αὐτοῦ τίμιον ἐν Κανᾷ ἀναδείξαντα τὸν γάμον ἐν αὐτῷ παραγενόμενον, καὶ τοὺς συναπτομένους νῦν εἰς γάμον ἐπικαλεῖται ἐν εἰρήνῃ τηρῆσαι καὶ ὁμονοίᾳ, καὶ τίμιον αὐτὸν ποιῆσαι τὸν γάμον, καὶ τὴν κοίτην τηρῆσαι ἀμίαντον, ἀκηλίδωτόν τε αὐτῶν διαφυλάξαι τὸν βίον, καὶ ἐν γήρᾳ πίονι καταντήσαντας, ἐνεργεῖν τὰς θείας ἐντολάς. Καὶ ἐκφωνεῖ αὐτὸν εἶναι τὸν εὐλογοῦντα πάντα καὶ ἁγιάζοντα. Εἶτα καὶ στραφεὶς πρὸς ἀνατολάς, ἀκατακρίτως καταξιωθῆναι ἐκδυσωπεῖ καλέσαι Πατέρα τὸν ἐπουράνιον Θεόν. Καὶ

B πάντες ὁμοῦ τὴν παρὰ τοῦ Σωτῆρος προσευχὴν λέγουσιν, εἰς εὐχαριστίαν τοῦ ἔργου, εἰς δεῖγμα δουλείας, εἰς αἴτησιν ἀγαθῶν, καὶ εἰς κοινωνίαν τοῦ Πνεύματος, διὰ τῆς ἁγίας σαρκὸς τοῦ Υἱοῦ αὐτοῦ, ὅς ἐστιν ὁ ἐπουράνιος ἄρτος, δι' οὗ **198** καὶ οἱ συναπτόμενοι, εἰ εὐσεβῶς καὶ σωφρόνως πολιτεύσονται, ζήσονται· καὶ ὅτι Πατὴρ πάντων καὶ τῶν συναπτομένων ὁ Θεὸς ὡς δημιουργός. Μετὰ δὲ τὴν προσευχὴν ἐκφωνεῖ ἀνυμνήσας τὴν τοῦ Θεοῦ βασιλείαν καὶ δύναμιν καὶ δόξαν ὁ ἱερεύς. Καὶ εἰρήνην δούς, κλῖναι λέγει τὰς κεφαλὰς τὰ κτίσματα τῷ ποιήσαντι. Καὶ εὐχὴν ποιεῖται ἐπὶ τῷ κοινῷ ποτηρίῳ, λέγων, « Ὁ Θεὸς ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου, καὶ στερεώσας τὸν οὐρανόν, καὶ τὸν

C στέφανον τῶν κτισμάτων σου εὐλογήσας, » τουτέστιν ἅπαντα ὡς καὶ ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν ὤν, « αὐτὸς καὶ τὸ κοινὸν ποτήριον τῶν δούλων σου τούτων εὐλόγησον εὐλογίᾳ πνευματικῇ, ἵνα εὐλογημένοι πάντοτε ὦσι. » Καὶ ἐν τῷ σφραγίζειν τῇ χειρί, καὶ τὴν αἰτίαν ἐκφωνεῖ, ὅτι εὐλόγηται τὸ ὄνομα, καὶ δεδόξασται ἡ βασιλεία τῆς ἁγίας Τριάδος. Ἐπεὶ καὶ αὕτη τὰ πάντα εὐλογεῖ τε καὶ τελειοῖ.

ΚΕΦΑΛ. ΣΠΒ'.

Ὅτι δεῖ τοὺς συζευγνυμένους εἰς γάμον καθαροὺς εἶναι, καὶ ἐν ἁγίῳ εὐλογεῖσθαι ναῷ, καὶ τῶν μυστηρίων μετέχειν.

Εὐθὺς δὲ τῶν προηγιασμένων ἅπτεται διὰ τοῦ ἱεροῦ ποτηρίου, καὶ ἐκφωνεῖ, « Τὰ προηγιασμένα

D ἅγια τοῖς ἁγίοις. Καὶ πάντων ἐκβοώντων τό, « Εἷς Ἅγιος, εἷς Κύριος, » ὅτι οὗτος ὁ ἁγιασμὸς μόνος, καὶ τῶν συναπτομένων δούλων αὐτοῦ εἰρήνη καὶ ἕνωσις, κοινωνεῖ τοὺς νεονύμφους, εἴγε ἱκανῶς ἔχουσι. Καὶ δεῖ τούτους ἑτοίμως ἔχειν, ἵνα καὶ ἀξίως στεφανωθῶσι, καὶ καλῶς συζευχθῶσι. Τέλος γὰρ πάσης τελετῆς καὶ θείου μυστηρίου παντὸς σφραγὶς ἡ ἱερὰ κοινωνία. Καὶ καλῶς ἡ Ἐκκλησία ποιοῦσα, προετοιμάζει τὰ θεῖα δῶρα, εἰς ἐξιλασμὸν τῶν συναπτομένων καὶ εὐλογίαν· ἐπεὶ αὐτὸς ἐν τῷ γάμῳ ἦν παραγεγονὼς ὁ δοὺς τὰ δῶρα καὶ ὤν, καὶ εἰς ἕνωσιν αὐτῶν εἰρηνικὴν καὶ ὁμόνοιαν· ὅθεν ἀξίους δεῖ εἶναι τῆς κοινωνίας τοὺς γάμῳ συζευγνυμένους, καὶ ἐν ναῷ ἁγίῳ συνάπτεσθαι, τῷ οἴκῳ τοῦ Θεοῦ, τὰ τέκνα τοῦ Θεοῦ, ὡς ἐνώπιον

αὐτοῦ· ὅπου καὶ διὰ τῶν δώρων αὐτὸς ἱερουργούμενός ἐστι, καὶ προτίθεται, καὶ μέσος ὁρᾶται ἡμῶν. Εἶτα καὶ ἀπὸ τοῦ κοινοῦ δίδωσι ποτηρίου. Καὶ τὸ, « Ποτήριον σωτηρίου λήψομαι, » ψάλλεται. Τοῦτο δὲ διὰ τὰ πανάγια δῶρα, καὶ εἰς σημεῖον τῆς ἐν εὐφροσύνῃ ἀπὸ τοῦ Θεοῦ ἑνώσεως· καὶ ὅτι ἀπὸ τῆς εἰρήνης καὶ ὁμονοίας ἔσται αὐτοῖς ἡ εὐφροσύνη. Τοῖς μὴ ἱκανοῖς δὲ τῆς κοινωνίας, οἷον διγάμοις, καὶ ὁμοίοις, οὐ τὰ θεῖα δίδοται δῶρα, ἀλλὰ τὸ κοινὸν ποτήριον μόνον εἰς μερικὸν ἁγιασμὸν καὶ κοινωνίαν ἀγαθήν τε καὶ ἕνωσιν ἐν εὐλογίᾳ Θεοῦ. Εἶτα καὶ ἐκτενοῦς δεήσεως γινομένης, καὶ μνημονευομένων ὁμοῦ τῶν συζευχθέντων, ὡς ἤδη γεγενημένων ἕν, καὶ τοῦ ἀναδεξαμένου ὡς συνεργοῦ τοῦ ἔργου, « Ὅτι ἐλεήμων, » ἐκφωνεῖ, τὸν θεῖον ἔλεον αὐτοῖς ἐπευχόμενος· καὶ ὅτι ἀπὸ τοῦ ἐλέους τοῦ Θεοῦ ταῦτα. Εἶτα καὶ ὥσπερ αὐτοὺς κατηχῶν τε καὶ νουθετῶν, καὶ τὴν εἰρήνην ἐπευχόμενος, ἀποστολικὰ ἐπιφέρει, λέγων, *Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε,* » καὶ τὰ ἑξῆς· καὶ τὸ, « Ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν πάντοτε. » Καὶ εὐθὺς λαμβάνων αὐτοὺς ἐκ τῶν χειρῶν, ὡς πρὸς τὸ θυσιαστήριον ἄγει, καὶ χορείαν ποιούμενος, ᾄδει μετὰ τῶν ψαλλόντων, ἐν Χριστῷ εὐφραινόμενος, τὸ, « Ἅγιοι μάρτυρες » ὡς ἐπὶ χειροτονίᾳ· καὶ τὸ, « Δόξα σοι, φησὶ, Χριστὲ ὁ Θεὸς, ἀποστόλων καύχημα. » Κοινωνοὶ γὰρ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ οἱ εὐσεβῶς καὶ σωφρόνως ζήσαντες, καὶ ὅτι οὐ σαρκὶ μόνον, ἀλλὰ ψυχῇ μᾶλλον χρὴ συνάπτεσθαι, διά τε τῆς ὀρθῆς ἡμῶν πίστεως, καὶ τῶν τῆς εὐσεβείας θεοφίλων ἔργων, ἵνα καὶ ἀληθὴς ᾖ συζυγία, καὶ γάμος ἀμίαντος, καὶ κοινωνοὶ ὦσι Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ, καὶ μᾶλλον τῶν τῆς σαρκὸς καταφρονησάντων ἄχρι καὶ μαρτυρίου. Καὶ οὕτως εὐχὴν ἐπὶ τῇ λύσει τῶν στεφάνων ἐπάγει· ἵνα ὁ δοὺς αὐτοῖς τοὺς στεφάνους εἰς σημεῖον τῆς σωφροσύνης, καὶ τὸν ἄχρι τοῦ γάμου αὐτῶν τῆς ἁγνείας καὶ καθαρότητος μισθὸν, ὅτι ἁγνοὶ πρὸς γάμον συνήφθησαν, αὐτὸς καὶ τὴν λύσιν τῶν στεφάνων **199** εὐλογήσῃ, καὶ ἀδιάσπαστον αὐτὴν τηρήσῃ τὴν συζυγίαν καὶ τὴν συνάφειαν, ἵνα συμφώνως εὐλογῶσιν αὐτοῦ τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, πάντοτε. Ἐπεὶ καὶ οὗτός ἐστιν ὁ πάντα πρὸς τὸ συμφέρον ἀγαθῶς ἐξοικονομῶν. Εἶτα τὸν Χριστὸν ἐπικαλεσάμενος, διὰ τῆς Μητρὸς αὐτοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἔλεον πᾶσι δοῦναι καὶ σωτηρίαν, ἀπολύει. Καὶ εὐλογούμενοι παρ' αὐτοῦ οἱ νεόνυμφοι, οἴκοι μετὰ χαρᾶς πορεύονται. Ταῦτα μὲν οὖν καὶ τὰ τοῦ γάμου, καὶ οὐ χρὴ πλείω λέγειν. Εἰ γὰρ καὶ ζητήσεις περὶ γάμου τινές εἰσιν, ἀλλ' οὐ καιρὸς ἡμᾶς περὶ τούτων λέγειν· ὅτι καὶ περὶ πάντων σαφῶς ἡμᾶς ἐκδιδάσκουσιν οἱ Πατέρες. Μόνον ἀναγκαῖον τοῦτο μαθεῖν, ὡς οἱ συναφθέντες γάμῳ παρὰ Θεοῦ συνήφθησαν, καὶ καθαροὶ τῇ ἐπικλήσει τοῦ καθαροῦ. Τηρείτωσαν οὖν ἀλλήλοις ἀμόλυντον τὸν γάμον, καὶ ἐν εἰρήνῃ καὶ εὐλαβείᾳ μενέτωσαν· καὶ ὃ ἔλαβον παρὰ τοῦ Θεοῦ, τὴν ἕνωσιν ἐν σεμνότητι, καὶ ἀγάπην ἐν σωφροσύνῃ, καὶ συμβίωσιν ἐν ὁμονοίᾳ τε καὶ εἰρήνῃ ὡς παρακαταθήκην ἀλλήλοις

A donum ipse in sacrificium offertur, et producitur, et in medio nostrum conspicitur. Postea dat ex communi calice, et cantatur: « Calicem salutaris accipiam. » Dona vero sanctissima fiunt in signum unionis a Deo in gaudio initæ, et quoniam a pace et concordia erit eis lætitia. Illis autem qui ad communionem non sunt comparati, velut bigamis et similibus, divina non dantur mysteria, sed solummodo calix communis ad aliquantulam sanctificationem, ad bonam communitatem et unionem in benedictione Dei. Deinde longa oratione facta in qua simul de conjugibus recordatur tanquam unum jam factis, eumque connotat qui opus adjuvit, quoniam, inquit, misericors est, divinam eis postulat misericordiam, et denuntiat hæc esse a B divina misericordia. Postea quasi eos edocens et instruens, optata pace, apostolica refert verba, dicens: « Fratres, gaudete in Domino semper, » et reliqua, ac illud: « Deus pacis erit vobiscum semper, » illosque manu apprehendens, velut ad altare ducit, et facta chorea, cantat cum cantatoribus in Christo lætatus: « Sancti martyres », tanquam in ordinatione, et illud: « Gloria tibi, ait, Christe Deus, apostolorum decus, » nam socii fiunt Christi et sanctorum ejus qui pie et pacifice vivunt, et quoniam non carne tantum sed potius anima copulari oportet per rectam fidem nostram et opera pietatis Deo beneplacita, ut verum sit conjugium, et connubium impollutum, et Christi ejusque sanctorum sint socii, præcipue carnem aspernando C usque ad martyrium, et sic orationem in solutione coronarum protrahit, ut qui dedit eis coronas in signum castimoniæ, et in mercedem eorum puritatis ac munditiæ usque ad matrimonium asservatæ, quoniam puri in matrimonium conjuncti sunt, ipse etiam coronarum solutionem benedicat, et indissolubile custodiat eorum conjugium ac societatem, ut una voce jugiter benedicant ejus nomen, Patris, et Filii, et sancti Spiritus, quum ipse sit qui omnia in bonum dispensat. Deinceps postquam Christum invocaverit ut gratia Matris et sanctorum ejus misericordiam omnibus donet et salutem, eos dimittit, et benedicti ab eo nuper conjugati domum cum gaudio pergunt. Ista quidem de ma-D trimonio, nec oportet plura dicere. Nam etsi quædam sint de matrimonio quæstiones, sed tempus non est de his dicendi, quoniam de omnibus sapienter nos docuerunt Patres. Hoc tantum discere necessarium est, nempe matrimonio conjunctos a Deo esse sociatos, et puros per invocationem ejus qui puritas est. Igitur sibi mutuo custodiant illibatum matrimonium, et in pace ac pietate permaneant, et quod acceperunt, scilicet unionem in sanctitate, et caritatem in castitate, et communitatem vitæ in concordia et pace ut commissum sibi invicem conservent, ne in damnum ab eis exigatur ratio castitatis cæterorumque divinorum operum. Neque de corpore tantum, sed et de animis suis curent, quoniam duplices se habent, nempe ex corpore

et anima, et tanto præstat anima corpori quanto corruptibilibus incorruptibilia. Ideo et virtuti vocent præsertim justitiæ et veritati atque orationi ad gratias Deo agendas, studeant etiam ut diligenter divinissimæ communionis fiant participes, ita enim Deus erit cum eis. Pueros quoque in disciplina et cognitione Domini enutriant, quemadmodum divinus docet Paulus, inopibus insuper fratribus ex eis quæ a Domino acceperunt bonis misericordiam faciant, ut et ipsi misericordiam consequantur, et regno Dei simul cum liberis fiant digni. Hæc quidem de honorabili castoque matrimonio pro viribus explanavimus.

A φυλαττέτωσαν, ἵνα μὴ τὸν λόγον ἀπαιτηθῶσι τῆς τε σωφροσύνης καὶ τῶν λοιπῶν θείων ἔργων. Καὶ μὴ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῶν ψυχῶν αὐτῶν φροντιζέτωσαν, ὅτι καὶ διπλοῖ τελοῦσιν, ἐκ σώματος καὶ ψυχῆς, καὶ κρείσσων τοῦ σώματος κατὰ πολὺ ἡ ψυχή, ὅσον τὰ ἄφθαρτα τῶν φθαρτῶν. Διὸ καὶ τῶν ἀρετῶν ἐπιμελείσθωσαν, καὶ μάλιστα δικαιοσύνης καὶ ἀληθείας· καὶ τῶν προσευχῶν δὲ εἰς εὐχαριστίαν Θεοῦ· καὶ ἔτι τοῦ μετέχειν ἐν προσοχῇ τῆς θειοτάτης κοινωνίας. Οὕτω γὰρ καὶ ὁ Θεὸς ἔσται μετ' αὐτῶν. Καὶ τὰ τέκνα δὲ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἐκτρεφέτωσαν, ὡς ὁ θεῖος Παῦλος διδάσκει. Καὶ τοὺς πένητας ἀδελφοὺς ἐξ ὧν λαμβάνουσι παρὰ τοῦ Θεοῦ ἐλεείτωσαν, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι, καὶ τῆς τοῦ Θεοῦ βασιλείας ὁμοῦ τοῖς τέκνοις ἄξιοι γίνωνται. Ταῦτα καὶ περὶ τοῦ τιμίου καὶ σώφρονος κατὰ δύναμιν εἴρηται γάμου.

ΠΕΡΙ

ΤΗΣ ΙΕΡΑΣ ΤΕΛΕΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΕΛΑΙΟΥ

ΗΤΟΙ ΤΟΥ ΕΥΧΕΛΑΙΟΥ.

DE SACRO RITU SANCTI OLEI

SIVE EUCHELÆI.

Quoniam cadere omnibus omnino hominibus in vita accidat, jam dicendum est de sancti olei sacramento pro redemptione peccatorum nostraque sanatione et divinæ misericordiæ largitione instituto. Hoc autem a Salvatore apostolis traditum in ostensionem divinæ miserationis et suavitatis, Ecclesia, quemadmodum a Jacobo didicimus qui frater Domini appellatur a Paulo, et frater Dei esse et propinquitate generis et imitatione operum dignus habitus est, primusque ad sequendum Christum vocatus est et summus fuit sacerdos, recte operatur. Nam si quis in infirmitatem corporis vel tantum animæ ceciderit, convocantur ab eo Ecclesiæ presbyteri; hi enim potestatem habent conferendi sacramenta, nequaquam vero diaconi.

B Ἐπεὶ δὲ τοῖς ἐν τῷ βίῳ καὶ τὸ πταίειν παρέπεται καὶ πᾶσιν ἀνθρώποις ἁπλῶς, ῥητέον ἤδη καὶ περὶ τῆς τοῦ ἁγίου ἐλαίου τελετῆς, ὑπὲρ λυτρώσεως ἁμαρτημάτων καὶ ἰατρείας ἡμῶν καὶ παροχῆς θείου ἐλέους δεδωρημένης. Τοῦτο δὲ παρὰ τοῦ Σωτῆρος τοῖς ἀποστόλοις παραδοθὲν, εἰς δεῖγμα τῆς θείας συμπαθείας καὶ ἱλαρότητος, ἡ Ἐκκλησία, ὡς παρὰ τοῦ Ἰακώβου μεμαθήκαμεν, ὃς ἀδελφὸς τοῦ Κυρίου καλεῖται παρὰ τοῦ Παύλου, καὶ ἀδελφὸς Θεοῦ εἶναι δῶρον μέγιστον εἴληφε καὶ τῇ συγγενείᾳ τοῦ γένους, καὶ τῇ μιμήσει τῶν ἔργων, καὶ πρῶτος ἐκλήθη μετὰ Χριστὸν, καὶ ἔστιν ἱεράρχης, τοῦτο καλῶς διενεργεῖ. Τινὸς γὰρ τῶν ἀδελφῶν ἀῤῥωστίᾳ σώματος, ἢ καὶ ψυχῆς μόνον περιπεσόντος, συγκαλοῦνται παρ' αὐτοῦ τῆς Ἐκκλησίας οἱ πρεσβύτεροι. Οὗτοι γὰρ δύναμιν C ἔλαβον ἐνεργεῖν τὰς τελετὰς, καὶ οὐχ οἱ διάκονοι.

CAPUT CCLXXXIII.

Quare in euchelæi ritu septem sunt presbyteri, et quare etiam sæpe tres propter sacerdotum raritatem.

Frater quidem Dei presbyterorum non dixit numerum, consuetudo autem septem advocari edocuit, quod ego fieri censeo propter septem apud Isaiam numerata Spiritus dona, vel propter septem illos veteris legis sacerdotes qui Dei jussu septies circa Jericho tuba cecinerunt et mœnia everterunt, quemadmodum illi iniquam civitatem et ardua elationum peccati mœnia destruunt: vel cum mortua

ΚΕΦΑΛ. ΣΠΓ.

Διατί ἑπτὰ πρεσβύτεροι ἐν τῷ εὐχελαίῳ· καὶ διατί πολλάκις καὶ τρεῖς διὰ σπάνιν ἱερέων

Καὶ ὁ μὲν Θεάδελφος οὔ φησι τούτων ἀριθμόν· ἡ δέ γε συνήθεια ἑπτὰ παρέδωκε προσκαλεῖσθαι· οἶμαι δὲ διὰ τὰ ἑπταχῶς ἀριθμούμενα ἐν Ἡσαΐᾳ δῶρα τοῦ Πνεύματος· ἢ καὶ διὰ τοὺς ἑπτὰ ἐκείνους τοῦ νόμου παλαιοὺς ἱερεῖς, κύκλῳ σαλπίσαντας τῆς Ἱεριχὼ ἑπτάκις προστάγματι θεϊκῷ καὶ καταβαλόντας τὰ τείχη· ὡς ἂν καὶ τὴν πονηρὰν οὗτοι πόλιν καὶ τὰ σκληρὰ τείχη τῶν τῆς ἁμαρτίας ὑψωμάτων καθέ-

λωσιν, ἢ καὶ ὡς νεκρᾶς οὔσης τῆς ψυχῆς κατὰ μί- A μησιν τοῦ Προφήτου, ὡς ἐπὶ τοῦ παιδὸς ἐκείνης τῆς Σουμανίτιδος, εὐξαμένων τῶν ἱερέων ἑπτάκις ταύτην ἐγείρωσι, καθὰ δὴ καὶ ὁ Ἐλισσαῖος τὸν παῖδα, **200** ἑπτάκις ἐπανακάμψας, καὶ ἑπτάκις εὐξάμενος· ἢ καὶ ὡς ὁ Ἠλίας ἑπτάκις εὐξάμενος, τὸν οὐρανὸν ὃν ἔκλεισε τοῖς ἁμαρτήμασι, πάλιν ἤνοιξε καὶ κατήγαγεν ὑετὸν, καὶ οὗτοι ἑπτάκις εὐξάμενοι, λύσωσι μὲν τὸν τῆς ἁμαρτίας αὐχμὸν, ἀνοίξωσι δὲ κατὰ τὸν Πέτρον τὸν οὐρανὸν, τὴν κλεῖδα βαλόντες τῆς χάριτος, καὶ τὸν ἔλεον ἐκ Θεοῦ τῆς ἀφέσεως ὡς ὑετὸν καταγάγωσιν. Οὗτος μὲν οὖν ὁ νοῦς, ὡς ἐμοὶ δοκεῖ, περὶ τῶν ἑπτά. Τινὲς δὲ ἔνθα σπάνις ἱερέων, καὶ τρεῖς προσκαλοῦνται μόνους. Καὶ τοῦτο οὐ μεμπτέον. Ἔσται γὰρ πρῶτον μὲν διὰ δύναμιν B τῆς Τριάδος· ἔπειτα δὲ καὶ διὰ τὸ εἰς μαρτυρίαν καὶ κήρυγμα τῆς Τριάδος παρὰ τοῦ Ἠλιοῦ πάλιν γεγονὸς, ὅτε νεκρωθέντα τὸν υἱὸν Σαραφθίας ἀνέστησε, τρὶς προσευξάμενος καὶ τρὶς ἐπιπεσὼν αὐτῷ. Τινὲς δὲ καὶ πλείονας τῶν ἑπτὰ συναθροίζουσιν εἰς πλείονος δεῖγμα πίστεώς τε καὶ προθυμίας. Ἀλλ' οὐ πολυπραγμονητέον περὶ τοῦ ἀριθμοῦ· ἐπεὶ οὐδὲ ἀριθμὸς γράφεται. Πλὴν εἰ καὶ οὐ γέγραπται, ἀλλ' ἀναγκαῖον τὴν ἀρχαίαν τηρεῖσθαι παράδοσιν. Καὶ ἔστωσαν μὲν ἑπτὰ ὡς ἔθος ἀρχαῖον· εἰ δ' ἀνάγκη, τὸ ἔλαττον τρεῖς· καὶ πάντα λεγέτωσαν ὅσα παραδέδοται λέγεσθαι· ὅτι τοῦ Πνεύματος πάντα ἐκ τῶν Πατέρων ὄντα. Εἷς δὲ πρεσβύτερος μὴ ποιείτω εὐχέλαιον· ὅτι ὡς περὶ ἐπισκόπου γέγραπται μὴ χειροτονεῖσθαι παρ' ἑνὸς, οὕτω καὶ περὶ εὐχελαίου, μὴ C παρὰ πρεσβυτέρου ἑνὸς τελεῖσθαι. « Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, φησὶ, καὶ οὐχ ἕνα πρεσβύτερον. Καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ. »

201 ΚΕΦΑΛ. ΣΠΔ'.

Ὅτι μεγίστη τοῦ ἁγίου ἐλαίου ἡ δύναμις.

Καὶ τί ἐκ τούτου γενήσεται; Ὅρα ὅτι τὸ μέγιστον. « Καὶ ἡ εὐχὴ, φησὶ, τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· » οὐχ οἱ ἄνθρωποι, ἀλλ' ὁ Κύριος. Ἐπεὶ τὴν χάριν τοῦ Κυρίου τῆς ἱερωσύνης ἐνδέδυνται. Καὶ τί ἔτι πλέον ὁ κάμνων εὑρήσει; Κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ὁρᾶτε δύναμιν τῆς τελετῆς ταύτης; καὶ ἀῤῥωστίας λύει, καὶ τοὺς κειμένους ἐγείρει, καὶ ἁμαρτίας ἀφίησιν.

ΚΕΦΑΛ. ΣΠΕ'. D

Κατὰ τῆς ἐν τῷ εὐχελαίῳ τῶν Λατίνων καινοτομίας.

Ἀλλ' οἱ καινοτομοῦντες πάντα Λατῖνοι καὶ τὸ περὶ τούτου παρέφθειραν. Καὶ οὐ χρὴ διδόναι τοῦτο ἀῤῥωστοῦσι, φασὶν, ἀλλ' ἀποθνήσκουσιν, ἐπεὶ ἁμαρτίας ἀφίησιν, ἵνα μὴ πάλιν ἐπιζήσας τις ἐξαμάρτοι. Βαβαὶ τῆς ἀπονοίας! Ὁ μὲν Ἀδελφόθεος, « Καὶ ἡ εὐχὴ, φησὶ, τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· » οὗτοι δὲ, Ἵνα ἀποθάνῃ, φασίν. Ὁρᾷς τὸν ἐκκρημνισθέντα, ὅπως ἀεὶ πρὸς τὸ κάταντες καταφέρεται; Κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ, ἵνα ἰαθῇ καὶ ἐγερθῇ δηλονότι. Καὶ τοῦτο δείκνυσιν ὁ Σωτὴρ, πρὸς τὸν παράλυτον εἰρηκὼς, *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου·*

sit anima, ad imitationem prophetæ puerum illius Sumanitidis ad vitam revocantis, sacerdotes septies deprecati illam resuscitant, quemadmodum Elisæus puerum septies in eum incurvatus et septies deprecatus; vel perinde ac Elias septies precatus cœlum quod propter peccata clauserat, rursum aperuit, et inde pluviam eduxit, ita isti septies deprecati solvunt quidem peccati siccitatem, cœlum vero aperiunt more Petri clavem gratiæ gestantes, et misericordiam a Deo remissionis ut pluviam educunt. Hac est ratio, ut mihi videtur, de septem sacerdotibus. Quidam vero, ubi est sacerdotum penuria, tres tantum advocant, et hoc culpa caret. Fit enim primum quidem propter virtutem Trinitatis, deinde vero propter illud ab Elia in testimonium et prædicationem Trinitatis rursus factum, quando mortuum Sarephthenæ filium resuscitavit, ter deprecatus, terque in eum incurvatus. Quidam autem plures quam septem congregant in signum majoris fidei et voluntatis. Sed non oportet de numero disceptare, cum numerus scriptus non sit. Attamen, etsi scriptus non fuerit, necesse est antiquam servari traditionem: adsint quidem septem secundum antiquum morem; at, si necesse fuerit, ad minimum tres, et omnia dicant quæcunque dicere traditum est, quoniam a Spiritu sunt omnia quæ ex Patribus excepta sunt. Unus autem presbyter non conficiat euchelæum, quoniam quemadmodum de episcopo scriptum est ne ab uno ordinetur, ita et de euchelæo, ne ab uno presbytero conficiatur: « Inducat, inquit, presbyteros Ecclesiæ (et non unum presbyterum), et orent super eum, ungentes eum oleo. »

CAPUT CCLXXXIV.

Quod maxima sit sacri olei efficacia.

Et quidnam ex hoc eveniet? Vide quam sit maximum. « Et oratio fidei, ait, salvabit infirmum, et alleviabit eum Dominus, » non homines, sed Dominus, quoniam gratiam Domini sanctificationis induerunt. Et quid amplius laborans inveniet? « Et si peccata fecerit, remittentur ei. » Videtisne virtutem hujus mysterii? et infirmitatem solvit, et jacentes alleviat, et peccata dimittit.

CAPUT CCLXXXV.

Contra novitatem Latinorum circa euchelæum.

Sed Latini omnia innovantes doctrinam quoque hujus mysterii adulteraverunt, et dicunt illud non dandum esse infirmis, sed morientibus, quoniam peccata dimittit, ne rursum sanitati redditus delinquat. Heu! quanta insania! Dei quidem Frater: « Et oratio, inquit, fidei salvabit infirmum, et alleviabit eum Dominus; » illi autem dicunt: Ut moriatur. Viden' quomodo præceps in tetriora semper feratur præcipitia? Et si peccata fuerit, remittentur ei, scilicet ut sanetur et allevietur, quod Salvator demonstrat dicendo ad paralyticum: « Remittuntur tibi peccata tua; » et: « Surge et ambula; » et:

« Ecce sanus factus es ; jam noli peccare, ne deterius A tibi aliquid contingat. » Illi vero cogitant contrario Salvatoris ejusque apostolis, et non alleviandis sed morientibus istud autumant esse conferendum. Quapropter hoc non faciunt secundum apostolicam traditionem advocati ab eis qui opus habent, sed proprios usus facientes custodiunt. Et sanctum quidem dicit Evangelium : « Ungebant oleo multos ægros, et sanabant ; » illi autem aiunt non conferri sacramentum ut sanentur, sed ut insanabiles fiant et moriantur. O homo, ignoras mysteriorum notitiam, et damnabiliter erras. Nam Evangelium et ejus qui hoc dedit frater dixerunt istud oleum pro infirmis institui, ut uncti, dimissis peccatis, allevientur, quemadmodum utrique paralytico declaratum est ; B ambobus enim dixit Salvator : « Dimittuntur tibi peccata tua » inde ostendens infirmitatis causam esse peccata.

202 CAPUT CCLXXXVI.

Quod aliud sit euchelæum, aliud oleum quo mortui perunguntur.

Verumtamen mortui quoque oleo unguntur, quemadmodum divinus dixit Dionysius, in signum unctionis olei a principio in baptismo acceptæ, et hujus ritus dat rationem, nempe quoniam cum ille qui in Christo occubuit et bene et fortiter certamen consummavit ad quod primum etiam unctus fuerat, nunc quoque oleo lenitur. Quod fit indicium C Christi, et sigillum discedentium in Christo, in sanctificationem mortuorum corporum, eorum qui pro Christo pugnantes his in terris pie conversati sunt, et etiam in honorem ipsorum, quoniam secundum Christum vixerunt, cujus signum est sanctificatum unctionis oleum. Ideo etiam sacerrimis martyrum reliquiis sub altari divino velut in monumento suppositis sanctum ipsum infunditur unguentum loco istius olei. Perfectis enim infundi debet perfectissimum.

CAPUT CCLXXXVII.

Quod monachis defunctis oleum, laicis pulvis ex thuribulo inspergitur.

Igitur nos istud sic implemus. Fratribus quidem in D Christo mortuis infundimus oleum, quod tamen non est sanctum oleum vivis datum, ait Christi Frater, sed oleum ex lampade templi vel potius altaris exceptum. Et nullum ex monachis sepelimus, quin prius oleum lucernæ vigilis in corpus ejus infundamus, cum sit sanctificatum utpote ardens in conspectu Domini ; profanis fratribus qui in Christo obierunt thuris copiam tanquam sacram et crucis signo sanctificatam, per suffimentum in formam crucis injicimus, priusquam omnino terram immittamus, committentes sanctificatum in Christo terræ sanctificatæ secundum divinam sententiam, donec resurgat. Alii vero religiosiores viri adhuc viventes euchelæi mysterium conficiunt, in ipsorum propitiationem et absolutam peccatorum remissionem, et si ad

A καί, *Ἔγειρε καὶ περιπάτει*· καί, *Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.* Οἱ δὲ ἀπεναντίας φρονοῦσι τῷ Σωτῆρί τε καὶ τοῖς ἀποστόλοις αὐτοῦ. Καὶ τοῖς μὴ ἐγειρομένοις, ἀλλ' ἀποθνήσκουσι τοῦτό φασι δίδοσθαι. Διὸ καὶ οὐ κατὰ τὴν ἀποστολικὴν τοῦτο ποιοῦσι παράδοσιν, προσκαλούμενοι παρὰ τῶν χρῃζόντων, ἀλλ' ἰδίᾳ ποιοῦντες φυλάττουσι. Καὶ τὸ μὲν ἱερόν φησιν Εὐαγγέλιον· *Καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον*· οἱ δὲ διδόναι μὴ εἰς τὸ θεραπεύεσθαι, ἀλλ' εἰς τὸ εἶναι ἀθεραπεύτους καὶ ἀποθνήσκειν φασίν. Ἄνθρωπε, ἀγνοεῖς τὴν γνῶσιν τῶν μυστηρίων, καὶ ἐπιβλαβῶς ἀπατᾷ. Τὸ μὲν γὰρ Εὐαγγέλιον, καὶ τοῦ δεδωκότος τοῦτο ὁ ἀδελφὸς ὑπὲρ ἀῤῥώστων τοῦτό φησι τὸ ἔλαιον, καὶ εἰς τὸ ἀφεθέντας τὰ ἁμαρτήματα χριομένους ἐγείρεσθαι, καθὼς B καὶ τῷ ἑνὶ καὶ ἑτέρῳ παραλύτῳ ἐῤῥέθη. Καὶ τοῖς δύο γὰρ ἔφησεν ὁ Σωτήρ, *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου*· ὡς δεικνυμένης τῆς ἀῤῥωστίας ἐξ αἰτίας ἁμαρτημάτων εἶναι.

202 ΚΕΦΑΛ. ΣΠϚʹ.

Ὅτι ἕτερον μὲν τὸ τοῦ εὐχελαίου, ἕτερον δὲ τὸ νεκροῖς χριόμενον ἔλαιον.

Πλὴν δὲ καὶ νεκροὶ ἐλαίῳ ἀλείφονται, ὡς ὁ θεῖός φησι Διονύσιος, εἰς τύπον τῆς χρίσεως τοῦ ἐξαρχῆς ἐλαίου τοῦ ἐν τῷ βαπτίσματι. Καὶ τὸν λόγον δίδωσι τούτου, ὅτι καλῶς καὶ γενναίως ὁ ἐν Χριστῷ τελευτήσας τὸν ἀγῶνα τετελεκώς, δι' ὃν καὶ πρώην ἠλείψατο, καὶ νῦν ἐλαίῳ ἀλείφεται· καὶ τοῦτο εἰς σημείωσιν Χριστοῦ καὶ σφραγῖδα τῶν ἐν Χριστῷ ἀπελ- C θόντων, καὶ εἰς ἁγιασμὸν τῶν νεκρῶν σωμάτων, τῶν ἠγωνισμένων ὑπὲρ Χριστοῦ καὶ εὐσεβῶς πολιτευσαμένων ἐνταῦθα, καὶ εἰς τιμὴν δὲ αὐτῶν, ὅτι κατὰ Χριστὸν ἔζησαν, οὗ σημεῖον τῆς χρίσεως τὸ ἡγιασμένον ἔλαιόν ἐστι. Διὸ καὶ τοῖς κατατιθεμένοις ὥσπερ ἐν τάφῳ ὑπὸ τὸ θεῖον θυσιαστήριον ἱερωτάτοις τῶν μαρτύρων λειψάνοις καὶ μύρον ἅγιον ἐπιβάλλεται ἀντὶ τοῦ ἐλαίου τούτου. Τοῖς γὰρ τελείοις χρὴ ἐπιβάλλειν τὸ τελειώτατον.

ΚΕΦΑΛ. ΣΠΖʹ.

Ὅτι ἔλαιον μὲν τοῖς μοναχοῖς, χοῦς δὲ τοῦ θυμιατηρίου τοῖς κοσμικοῖς ἐπιβάλλεται.

Καὶ ἡμεῖς τοίνυν τοῦτο τελοῦμεν. Καὶ τοῖς τε- D θνεῶσιν ἐν Χριστῷ ἀδελφοῖς ἐπιχέομεν ἔλαιον· πλὴν οὐ τὸ διδόμενον ἅγιον ἔλαιον τοῖς ζῶσιν, ὅ φησιν ὁ Θεάδελφος, ἀλλ' ἐκ τῆς λυχνίας τοῦ ναοῦ, καὶ μᾶλλον τοῦ θυσιαστηρίου. Καὶ οὐδένα τῶν μοναχῶν θάπτομεν εἰ μὴ καὶ τὸ τῆς φωταγωγοῦ ἔλαιον τῷ λειψάνῳ ἐκχέομεν, ἡγιασμένον ὄν, ὡς ἐνώπιον Κυρίου ἀνάπτον. Καὶ ἐν τοῖς κοσμικοῖς δὲ κατὰ Χριστὸν ἀδελφοῖς τελευτήσασι χοῦν τοῦ θυμιατηρίου, ὡς ἱερὸν καὶ ἡγιασμένον τελοῦντα, τῇ τοῦ σταυροῦ σφραγῖδι διὰ τοῦ θυμιάματος σταυροειδῶς ἐπιβάλλομεν, πρὸ τῆς ἁπλῶς ἐπιβαλλομένης γῆς, παραδιδόντες τὸν ἡγιασμένον ἐν Χριστῷ ἐν ἡγιασμένῃ γῇ κατὰ τὴν θείαν ἀπόφασιν, συντηρούμενον ἕως ἂν ἐξαναστῇ. Ἕτεροι δὲ τῶν εὐλαβεστέρων ἀνδρῶν ζῶντες ἔτι τὸ τοῦ εὐχελαίου ποιοῦσι μυστήριον, εἰς

Πασιμὸν ἑαυτῶν καὶ τελευταίαν ἁμαρτημάτων ἄφεσιν. Καὶ εἰ πρὸς θάνατόν εἰσιν, ἐκ τούτου τηρεῖται, καὶ κοιμηθέντας αὐτοὺς χρίουσιν οἱ προσήκοντες, εἰς σφραγῖδα ἱερωτάτην τῶν ὁσίων τοῦ ἀπελθόντος λειψάνων καὶ τιμὴν καὶ ἁγιασμόν. Ἄξιοι γὰρ οἱ ἠγωνισμένοι τιμᾶσθαι τοῖς ἱεροῖς χρίσμασι· καὶ σφραγίζεσθαι δέον σφραγῖδι Χριστοῦ τοὺς κατὰ Χριστὸν ζήσαντας. Καὶ ἔτι ἐπιχέουσιν ἔλαιον ἐνταφιαζομένοις αὐτοῖς, τὸν θεῖον ἔλεον ἐκκαλούμενοι. Οὗτος ὁ σκοπὸς τοῦ ἁγίου ἐλαίου, τοῖς ζῶσι διδομένου, ὥστε ζῆσαι καὶ μένειν κεκαθαρμένους· οὐ μὴν τοῖς ζῶσιν ὥστε θανεῖν, καὶ μὴ προσδοκᾷν ἐγείρεσθαι· ὅτι καὶ διὰ τοῦτο μᾶλλον παρέχεται, ἵνα ἐγείρῃ τοὺς χρισθέντας ὁ Κύριος, καὶ τὰ ἁμαρτήματα αὐτοῖς ἀφεθῇ. Καὶ τοῦτο πάντοτε καὶ οὐχ ἅπαξ ἔσται. Ἐπεὶ καὶ, « Ἐξομολογεῖσθε ἀλλήλοις, φησὶ, τὰ ἁμαρτήματα· » ἀεὶ δηλονότι καὶ οὐχ ἅπαξ, « καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· » οὐ μίαν, ἀλλὰ διηνεκῶς, ὅτι καὶ διὰ παντὸς πταίομεν. Τοῦτο δὲ τὸ χρίεσθαι ὕστερον ἐκ τῆς ἀναπτούσης ἐν τῷ ναῷ λυχνίας διὰ σφραγῖδα καὶ ἁγιασμὸν τῶν λειψάνων τοῦ ἀπελθόντος, ὡς καὶ τοῖς μυστηρίοις προκαθαρθέντων τοῦ Χριστοῦ καὶ ἡγιασμένων τῷ βαπτίσματι καὶ μύρῳ, καὶ τῇ φρικτῇ κοινωνίᾳ. Ἐνταῦθα δὲ καί τινες τελετὴν ποιοῦσιν ἐλαίου ὑπὲρ τῶν ἐν Χριστῷ κοιμηθέντων. Ἣν καὶ τῶν ἀρχιερέων τινὲς μὲν κωλύουσι γίνεσθαι, ὡς μὴ παραδεδομένην οὖσαν ἐν τῇ Γραφῇ· τινὲς δὲ, οὔ, ὡς ὑπὲρ ψυχῶν γινομένην. Ἔγωγε οὖν ὡς ἐνεχώρει περὶ τούτου ζητήσας, εὗρον ὡς ἀγαθὸν εἶναι γίγνεσθαι. Καὶ τοὺς βουλομένους ποιεῖν οὐ χρὴ κωλύειν. Πλὴν οὐκ ἔλαιον τοῦτο τὸ παραδεδομένον ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν ἀποστόλων ἐστὶ, περὶ οὗ τὸ μὲν Εὐαγγέλιον, ὡς ἔφημεν, λέγει· *Καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον*· ὁ Ἀδελφόθεος δὲ ὅσα ἐν τῇ Καθολικῇ περὶ τούτων γράφει. Ἓν γὰρ τοῦτο, καὶ οὐ πολλὰ, καὶ μία τελετὴ, καὶ ἓν τῶν ἑπτὰ **202** μυστηρίων. Ἀλλ' ὑπὲρ τῶν κεκοιμημένων προσάγεται ἔλαιον εἰς προσαγωγὴν Θεοῦ καὶ τιμὴν, ὑπὲρ ἐλέους καὶ συμπαθείας τῶν ἀπελθόντων, ὡς κηροὶ καὶ θυμίαμα καὶ λοιπὰ ἕτερα ὑπὲρ αὐτῶν τῷ ναῷ καὶ ἐν τοῖς ἐνταφίοις αὐτῶν προσφερόμενα. Ὧν προκειμένων ὡς δώρων, ὑπὲρ τῶν ἀπελθόντων ἡμεῖς ἱκετεύομεν, καὶ θείου τυγχάνουσιν ἐκεῖνοι ἐλέους, ὡς ἡ Ἐκκλησία διενεργοῦσα διδάσκει, καὶ πάντες σχεδὸν οἱ Πατέρες γράφουσι, καὶ πρὸ πάντων ὁ μέγας τῷ ὄντι καὶ ἱερὸς Ἀθανάσιος, περί τε κηρῶν καὶ ἐλαίου γράφων ὥστε ταῦτα προσφέρειν ὑπὲρ τῶν τεθνεώτων, κἂν εἰς χοῦν, κἂν εἰς ἀέρα ὑπὸ πυρὸς διελύθησαν· καὶ τὸ μὲν ὡς ὁλοκάρπωσις, τὸ δὲ ὡς θυσία ὑπὲρ αὐτῶν τῷ Θεῷ· καὶ προσάγειν ταῦτα διακελεύεται. Ὅθεν καὶ τὸ ἀνάπτειν φῶτα ἐν τάφοις νεκρῶν, καὶ ἔλαιον προσάγειν ὑπὲρ αὐτῶν μετὰ ἱερωτάτων εὐχῶν, οὐ κωλυτέον· ὅτι καὶ κηροὺς ἀνάπτοντες, καὶ θυμιάματα φέροντες, ὑπὲρ αὐτῶν Θεῷ προσευχόμεθα· καὶ ἔθος τῇ Ἐκκλησίᾳ. Ὅμως τὰ περὶ τοῦ εὐχελαίου κατίδωμεν.

A mortem infirmitas eis est, ex hoc oleo quoddam servatur, et postquam dormierunt, præsentes eos ungunt in sigillum augustissimum sanctarum obeuntis reliquiarum, honoremque et sanctificationem; nam digni sunt in agone luctati qui sacris unctionibus honorentur, et signari oportet signo crucis eos qui secundum Christum vixerunt. Insuper eisdem sepultis oleum infundunt, divinam invocantes misericordiam. Hic est finis olei quod viventibus datur, ut vivant et maneant purgati, sed vivis nequaquam confertur ut moriantur, nec sanationem exspectare possint, quoniam potius ad hoc fuit institutum ut unctos alleviet Dominus, et peccata ipsis dimittantur. Quod jugiter, et non semel, erit, quemadmodum et illud: « Confitemini alter- B utrum, inquit, peccata vestra, » scilicet semper, minime autem semel: « Orate pro invicem ut salvemini », non semel tantum, sed continuo adimplendum est, quoniam singulis diebus offendimus. Semel autem fit posterior hæc unctio ex lampade in templo ardente, in sigillum et sanctificationem reliquiarum illius qui vita discessit, utpote Christi mysteriis purgatarum et baptismo unguentoque et tremenda communione sanctificatarum. Nunc vero quidam sacramentum olei conficiunt super eos qui in Christo dormierunt, quod nonnulli ex pontificibus ne fiat prohibent, cum in Scriptura traditum non sit; nonnulli tamen non prohibent, cum pro animis fiat. Ego igitur, oc- C casione data, de hac re interrogatus inveni illud fieri bonum esse, et eos qui facere volunt non esse prohibendos. Attamen non adhibeatur oleum a Salvatore et apostolis traditum, de quo Evangelium quod retulimus dicit: « et ungebant oleo multos ægros, et sanabant, » de quo etiam Dei frater plura in catholica sua scribit epistola. Unum enim est istud, et non plura, unumque sacramentum, et unum ex septem mysteriis, sed pro dormientibus adhibetur oleum in cultum et honorem Dei, in miserationem et clementiam defunctis conciliandam, quemadmodum cerei, thus et cætera pro ipsis in templo vel etiam in monumentis eorum oblata, quibus ut donis propositis, nos pro defunctis deprecamur, et illi divinam consequuntur misericordiam, prout D hæc operata docet Ecclesia, et omnes fere Patres scribunt, et ante omnes vere magnus sanctusque Athanasius, de cereis et oleo scribens, quoniam, dum ista offeruntur pro mortuis, etsi in cinerem et in aera igne resolvantur, aliud quidem velut in holocaustum, aliud vero tanquam in sacrificium pro illis offertur Deo, et illa præcipit offerre. Unde non prohibendum est ne accendantur lumina in sepulcris mortuorum, oleumque pro ipsis cum sanctissimis precibus offeratur, quoniam et accendendo cereos, et thura ferendo, pro ipsis Deum exoramus, et iste est mos Ecclesiæ. Ritus autem de Euchelæo similiter inspiciamus.

—

CAPUT CCLXXXVIII.

De sacro euchelæi ritu.

Congregantur ergo, ut diximus, septem presbyteri, quibus stola sacra indutis, quo significatur in ipsis habitans gratia Spiritus, postquam primus eorum benedixerit gestans imaginem Christi qui est omnium caput, nocturnus canon dicitur pro eo cui sanctum confertur oleum. Quo finito acrius instans fit oratio, et datur absolutio, postquam ille ter procumbens ab omnibus veniam poscit, in confessionem Trinitatis a qua omne donum perfectum, et ad confirmandam veniam in pœnitentia obtentam, quoniam omnia confirmat Trinitas; terque illi a sacerdotibus dimittitur. Deinde benedictione rursus data a primo sacerdote, pax dicitur, quæ in omnibus cæremoniis proclamatur, utpote omnia continens de quibus oportet orare, et illius etiam quod conficitur mysterii meminit, pacemque Dei flagitat et ejus misericordiam. Et data pace, factaque misericordis benedictione, quibusdam dictis versibus ad movendam Dei clementiam, a primo sacerdote et cæteris vicissim, dicitur olei oratio, oleumque in urceo vel alio quodam vase immittitur. Simul septem accenduntur lumina, juxta numerum sacerdotum, et ad exprimenda Spiritus charismata, necnon ut fax divina fit per sanctum oleum, et quasi holocaustum mundaque hostia Deo offertur, ut consequamur ejus misericordiam. Oratio autem sic ait: « Domine, in pietate tua et tuis miserationibus sanans vulnera nostra, » refert enim in nobis saucii illius sanationem, quem ex Samaria suscipiens Jesus Mariæ Virginis filius vino et oleo sanavit, nempe proprio sanguine suisque miserationibus. Unde nonnulli in vasculum ante oleum infundunt vinum. Postea deprecantur ut benedicatur oleum, unctisque fiat in sanationem, in liberationem ab omni damno, a morbo corporis, a pollutione carnis et spiritus, necnon ab omni malo, scilicet ab omni peccato et malitia, ut in eo glorificetur nomen ejus qui est in Trinitate Deus. Finitis precibus, omnibusque orationem prosecutis, primus iterum ex sacerdotibus stat, et secundam, qua conficitur sacramentum, orationem pronuntiat.

A

ΚΕΦΑΛ. ΣΠΗ'.

Περὶ τῆς τελετῆς τοῦ εὐχελαίου.

Συνάγονται τοίνυν οἱ ἑπτὰ, καθὼς ἔφημεν, πρεσβύτεροι· καὶ ἐνδυσαμένων τὰς ἱερὰς τούτων στολὰς, τὴν ἐν αὐτοῖς δηλούντων χάριν τοῦ Πνεύματος, τοῦ πρώτου αὐτῶν εὐλογήσαντος, τύπον ἐπέχοντος τοῦ Χριστοῦ, ὅς κεφαλὴ πάντων ἐστὶ, παννυχὶς λέγεται κανόνος, ὑπὲρ τοῦ ποιουμένου τὸ ἅγιον Ἔλαιον. Καὶ μετὰ τὸ τέλος ἐκτενὴ ὑπὲρ αὐτοῦ, καὶ ἀπόλυσις. Μεθ' ἣν οὗτος προσπίπτων τρὶς, παρὰ πάντων αἰτεῖται συγχώρησιν εἰς ἀνακήρυξιν τῆς Τριάδος, παρ' ἧς ἅπαν δώρημα τέλειον, καὶ εἰς βεβαίωσιν τῆς διὰ μετανοίας συγχωρήσεως· ὅτι πάντα ἡ Τριὰς βεβαιοῖ· καὶ τρὶς παρὰ τῶν ἱερέων συγχωρεῖται. Εἶτα πάλιν

B

εὐλογοῦντος τοῦ πρώτου ἱερέως, τὰ εἰρηνικὰ λέγεται. Ἃ ἐπὶ πάσῃ ἐκφωνεῖται τελετῇ, ὡς περιέχοντα πάντα, ὑπὲρ ὧν δεῖ προσεύχεσθαι, καὶ αὐτῆς τῆς ἐνεργουμένης τελετῆς μεμνημένα, καὶ τὴν εἰρήνην τοῦ Θεοῦ ἐξαιτούμενα καὶ τὸν ἔλεον. Καὶ μετὰ τὴν ἐκφώνησιν καὶ δοξολογίαν τοῦ ἐλεήμονος, τροπαρίων τινῶν εἰς Θεοῦ λεγομένων ἱλέωσιν, παρὰ τοῦ πρώτου τῶν πρεσβυτέρων καὶ τῶν λοιπῶν καθεξῆς, ἡ τοῦ ἐλαίου εὐχὴ ἐπιλέγεται· καὶ Ἔλαιον ἐν φανταγωγῷ ἐπιβάλλεται, ἢ ἐν σκεύει ἄλλῳ τινί. Ἐν ᾧ καὶ ἑπτὰ ἀνάπτεται φῶτα, κατ' ἀριθμὸν τῶν ἱερέων, καὶ εἰς τύπον τῶν χαρισμάτων τοῦ Πνεύματος· καὶ ὅτι ὡς λυχνία θεία διὰ τοῦ ἁγίου ἐλαίου γίνεται· καὶ ὡς ὁλοκάρπωσις καὶ θυσία καθαρὰ Θεῷ ἀνα-

C

φέρεται, ἵνα τύχοιμεν ἐλέους αὐτοῦ· καὶ ἡ εὐχὴ τοῦτό φησι, «Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος τὰ συντρίμματα ἡμῶν.» Ὑπεμφαίνει γὰρ καὶ ἐν ἡμῖν τὴν τοῦ μωλωπισθέντος ἐκείνου ἴασιν, ὃν ἐκ Σαμαρείας ἀναλαβόμενος Ἰησοῦς ὁ ἀπὸ τῆς Μαρίας Παρθένου, οἴνῳ καὶ ἐλαίῳ αὐτὸν ἐθεράπευσε τῷ αἵματι ἑαυτοῦ καὶ τοῖς οἰκτιρμοῖς. Ὅθεν καὶ ἐν τῷ σκεύει πρὸ τοῦ ἐλαίου καὶ οἶνόν τινες ἐπιβάλλουσι. Καὶ ἐπεύχεται εὐλογηθῆναι τὸ Ἔλαιον, ὥστε γενέσθαι τοῖς χριομένοις εἰς θεραπείαν, εἰς πάθους παντὸς ἀπαλλαγὴν, καὶ νόσου σώματος, καὶ μολυσμοῦ σαρκός τε καὶ Πνεύματος, καὶ παντὸς κακοῦ, ἤτοι πάσης ἁμαρτίας καὶ πονηρίας, ἵνα καὶ ἐπ' αὐτῷ δοξασθῇ αὐτοῦ τὸ ὄνομα τοῦ ἐν Τριάδι Θεοῦ. Καὶ τῶν τροπαρίων τελεσθέντων, καὶ πάντων εἰρηκότων τὴν εὐχὴν, πάλιν ὁ πρῶτος τῶν ἱερέων ἵσταται, καὶ τὴν δευτέραν τελεστικὴν εὐχὴν ἐπιλέγει.

CAPUT CCLXXXIX.

Quare in omnibus sacramentis duplices adhibeantur preces.

Duæ enim hic sunt orationes sacramentum conficientes, quemadmodum in omnibus mysteriis, et duplicis naturæ Jesum significant, qui cum incomprehensibilis esset et incorporeus ac ineffabilis, corpus propter nos accepit, et comprehensibilis apparuit, atque inter homines conversatus est, permanens Deus immutabilis, ut nos duplici ratione sanaret, nempe secundum invisibile et visibile, animam dico et corpus.

D

ΚΕΦΑΛ. ΣΠΘ'.

Διατί διτταὶ εὐχαὶ ἐν πᾶσι τοῖς μυστηρίοις.

Δύο γὰρ καὶ ἐνταῦθα εὐχαί εἰσι τελεστικαὶ ὡς καὶ ἐν πᾶσι τοῖς μυστηρίοις, καὶ τὸν διφυῆ σημαίνουσιν Ἰησοῦν. Ὃς ἄληπτος ὢν, ἀσώματός τε καὶ ἄφραστος, καὶ σῶμα ἔλαβε δι' ἡμᾶς, καὶ περιληπτὸς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, μένων ἀναλλοιώτως Θεὸς, ἵνα καὶ ἡμᾶς διπλῶς κατά τε τὸ ἀόρατον καὶ ὁρατὸν ἁγιάσῃ· τὴν ψυχὴν λέγω καὶ τὸ σῶμα.

A

ΚΕΦΑΛ. Σϟʹ.

Ὅτι διπλᾶ τὰ μυστήριά ἐξ ὕλης καὶ πνεύματος δι' ἡμᾶς διπλοῦς ὄντας.

Καὶ τὰ μυστήρια δέδωκε διπλᾶ, ὁρατὰ μὲν ὄντα καὶ ἐκ στοιχείων διὰ τὸ σῶμα ἡμῶν, νοητὰ δὲ καὶ μυστικὰ καὶ πλήρη χάριτος ἀοράτου διὰ τὸ πνεῦμα ἡμῶν· ὅτι τοῖς μυστηρίοις τούτοις, καὶ σώματι καὶ ψυχαῖς ἀνακαθαιρόμεθά τε καὶ φωτιζόμεθα, καὶ ἰάσεως ἅμα μετέχομεν καὶ ἁγιασμοῦ. Διὸ καὶ ὡς ἐν τῷ ἁγίῳ βαπτίσματι τῷ ἁγιασμῷ τοῦ ὕδατος καὶ τῷ μύρῳ διτταὶ εὐχαὶ, καὶ ἐν ταῖς χειροτονίαις διτταὶ, καὶ ἐν τῷ μοναχικῷ σχήματι αἱ πρῶται τελεστικαὶ διτταὶ, οὕτω δὴ καὶ ἐν τῷ ἁγίῳ ἐλαίῳ, καὶ τῆς πρώτης ῥηθείσης παρὰ πάντων, καὶ σφραγῖδος σταυροῦ θείας τελεσθείσης, ἡ δευτέρα παρὰ τοῦ πρώτου τῶν ἱερέων γίνεται, ἐν τῷ σφραγίζειν αὐτὸν, σφραγιζόντων ὁμοῦ καὶ πάντων τὸ ἔλαιον, ἢ καὶ οὕτω φησίν· « Ἄναρχε, ἀδιάδοχε, ἅγιε ἁγίων. » Θαυμαστὸν τὸ προοίμιον. « Σὺ ὁ ἀπαρχῆς καὶ ἀεὶ ἐλεήμων, καὶ ὁ μὴ διαδοχὴν ἔχων. Ὁ αὐτὸς γὰρ εἶ σὺν τῷ Υἱῷ σου καὶ Πνεύματι, ἀεὶ Πατὴρ ἀναλλοίωτος, καὶ ἅγιος τῶν ἁγίων, τουτέστι μόνος ἅγιος, καὶ τῶν ἁγιαζομένων ἁγιασμός, ἡμεῖς δὲ ἁμαρτωλοὶ καὶ πλήρεις παντὸς ῥύπου, καὶ ὡς ἀρξάμενοι ἀλλοιούμενοι. Διὸ σὺ ὁ ἐξαποστείλας ἐν ἐλέει τὸν μονογενῆ σου Υἱὸν, ἰώμενον πάσας τὰς νόσους καὶ τὰ πάθη ἡμῶν, ἐξαπόστειλον τὸ ἅγιόν σου Πνεῦμα, καὶ ἁγίασον τὸ ἔλαιον τοῦτο. » Καὶ εὐθὺς σφραγίζει αὐτὸ ὅ τε πρῶτος ἱερεὺς, καὶ ἅμα πάντες· καὶ ἐπάγει, « Ποίησον αὐτὸ γενέσθαι χριομένῳ τῷδε τῷ δούλῳ σου εἰς τελείαν ἀπολύτρωσιν τῶν αὐτοῦ πλημμελημάτων. » Μεγίστη ὄντως ἡ δωρεά. « Εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος. » Ἰδοὺ καὶ δευτέρα μεγίστη χάρις. « Εἰς βασιλείας οὐρανῶν κληρονομίαν. » Ἰδοὺ καὶ τὸ τέλειον δώρημα, ἡ σωτηρία ἡμῶν, καὶ ἡ κληρονομία τῆς τοῦ Θεοῦ βασιλείας καὶ δόξης. Καὶ τοῦτο πόθεν ἡμῖν τὸ ἀγαθόν; « Ὅτι Θεὸς ἐλέους καὶ φιλανθρωπίας ὑπάρχεις, » φησί. Καὶ δοξολογεῖ τοῦτον ἐκφώνως, τὸν Πατέρα σὺν τῷ Υἱῷ καὶ τῷ Πνεύματι. Καὶ οὕτως ἤδη ἡγιασμένον ἐστὶ τὸ ἔλαιον, καὶ δύναμιν πλουτεῖ θείαν, καὶ πάντα παρέχει τὰ τῆς εὐχῆς τοῖς μετὰ πίστεως χριομένοις. Τὰ γὰρ τῆς εὐχῆς ἐνεργὰ πάντα ῥήματα, διὰ τοῦ ἱερέως λεγόμενα, χάριν ἔχοντος τῇ χειροτονίᾳ Θεοῦ. Μετὰ τὴν εὐχὴν δὲ εὐθὺς τὰ τοῦ Ἀδελφοθέου ἀναγινώσκεται ἀποστολικὰ ῥήματα, σαφῶς ἡμῖν μαρτυροῦντα, ὅθεν ἡμεῖς τὴν παράδοσιν ταύτην ἐλάβομεν. Εἶτα τὸ Ἀλληλούϊα ψάλλεται, ὅτι τε ἐπιδημία γέγονε θείας χάριτος, καὶ ὅτι ὁ Κύριος διὰ τοῦ Εὐαγγελίου ἔρχεται. Διὸ καὶ εἰς δόξαν αὐτοῦ καὶ ἁγιασμὸν ἡμῶν θυμίαμα προσκομίζεται εἰς ὀσμὴν εὐωδίας καὶ μετάδοσιν θείας χάριτος. Καὶ τὸ Εὐαγγέλιον εὐθὺς ἀναγινώσκεται ἐπὶ τῆς κεφαλῆς τοῦ ἐκτελοῦντος τὴν τελετὴν παρὰ τοῦ πρώτου ἱερέως εἰς ἀποτροπὴν ἐξ αὐτοῦ παντὸς ἐναντίου, εἰς εὐλογίαν αὐτοῦ, εἰς κάθαρσιν τοῦ νοὸς καὶ τῶν αἰσθήσεων ἁπασῶν. Καὶ μετὰ τὸ Εὐαγγέλιον εὐχὴ δεήσεως ὑπὲρ ἀφέσεως ἁμαρτιῶν αὐτοῦ λέγεται, καὶ ἰατρείας χάριν σωματικῆς τε καὶ ψυχικῆς· ἡ

CAPUT CCXC.

Sacramenta ex duplici re constare, materiali et spirituali, quoniam et nos ex duplici substantia sumus.

Qui insuper duplicia dedit mysteria, visibilia quidem ex elementis constantia propter corpus nostrum, spiritalia autem et mystica atque invisibilis gratiæ plena propter animam nostram, quoniam his mysteriis, et corpore et spiritu mundamur atque illuminamur, simulque sanationis et sanctificationis fimus participes. Quapropter sicut in divino baptismate ad sanctificandum aquam et unguentum duæ sunt orationes, duæ in ordinationibus, duæ etiam principales in conferendo habitu monastico, ita et in sancto oleo; et priore dicta ab omnibus, factoque divinæ crucis signo, posterior fit a primo B sacerdote, qui cum signat, omnes simul oleum signant, et sic ait: « O tu cui nec initium est neque finis erit, sancte sanctorum; » admirabile principium! « tu qui ab initio et semper es misericors, qui successorem non habes, nam idem es cum Filio tuo et Spiritu, semper Pater immutabilis, et Sanctus sanctorum, id est, solus sanctus, et sanctificatorum sanctificatio, nos autem peccatores et pleni omnis spurcitiæ, et quia initium habemus instabiles: tu ideo qui misisti in misericordia tua Filium unigenitum sanantem omnes morbos nostros vitiaque nostra universa, emitte sanctum Spiritum tuum, et sanctifica oleum istud. » Et statim illud signat primus sacerdos, simulque universi, et addit: « Fac ut istud sit huic servo tuo in perfectam redemptio- C nem a peccatis ejus (donum vere magnum), in sanctificationem animæ et corporis (en secunda maxima gratia), in hæreditatem regni cœlorum. » Ecce donum perfectum, scilicet salus nostra et hæreditas regni et gloriæ Dei. Et unde nobis hoc bonum? « Quoniam tu es, inquit, Deus misericordiæ et benignitatis. » Et illum clara voce glorificat Patrem cum Filio et Spiritu. Sic jam sanctificatum est oleum, divinaque virtute gaudet, et omnia in oratione declarata fidelibus in fide unctis impertitur, nam omnia orationis verba sunt operatoria a sacerdote prolata qui per ordinationem Dei gratiam induit. Verum post orationem apostolica fratris Dei verba recitantur recte nobis testantia unde nos D istam acceperimus traditionem. Deinde cantatur alleluia, quoniam factus est divinæ gratiæ adventus, et quia Dominus per evangelium venit. Ideo in gloriam ejus et sanctificationem nostram thus affertur in odorem suavitatis, et communicationem divinæ gratiæ, et Evangelium illico recitatur super caput ejus qui sacramentum suscipit a primo sacerdote, ad avertendum ab eo omnem inimicum, in benedictionem illius, in purgationem mentis et sensuum omnium. Sed post Evangelium oratio deprecationis pro remissione peccatorum ejus, atque gratia sanationis tam corporalis quam spiritalis; quæ prima est, et ita ut audiatur dicitur, cum cæteri sacerdotes etiam deprecentur. Post eam secunda secreto dicitur alia secundum figuram suam

dictam, quæ et ipsa fit sanitatis gratia et redemptionis a peccatis, Patrem sanctum invocans animarum medicum atque corporum, qui misit Filium suum unigenitum in mundum, sanantem omnem morbum et a morte redimentem, ut medeatur lapso ejus servo ab omnimodo quo conficitur morbo, per gratiam Christi ejus, illiumque vivificet, intercedente Deipara et sanctis ipsius universis. Hanc igitur dixit, dextera capiti pœnitentis imposita, ostendens se ad imitationem Domini sanationem facere, qui manum infirmis imponebat, tactu sanabat, necnon se vi divinæ gratiæ operari, cum sit manuum impositione sanctificatus, tactuque manus purificans et sanctificans. Verum in fine orationis, oleo ungit, in formam crucis, frontem ejus propter internas cogitationes sensus liniens in facie, et denique ungit manus, a cogitatis operibusque perversis eum emundans et corroborans oleo sancto signoque crucis, ac prorsus sanctificans dicens quoties signat: « Adiutorium nostrum in nomine Domini, » testans a nullo alio nisi a solo misericorde Deo adesse adjutorium. Et ita eum manu signans, recedit, illo manum sanctificam deosculato. Cæteri vero sacerdotes eadem ordine faciunt. Duæ ergo primæ orationes institutæ sunt ad conficiendum et consecrandum oleum. Aliæ vero duæ miserationem uncto concilliant, et pro salute tam animæ illius quam corporis Deo nuncupantur; prior quidem clara voce, altera vero oratio ab alio sacerdote dicitur, quemadmodum apostolici et evangelici versiculi, omnes autem ad opus accommodantur. At posterior: Pater sancte, eadem ab omnibus secreto, prout dictum est, recitata, omnes in precatione concordes ostendit, sanctosque universos in adjutorium operis invocat cum communi advocata, nempe sanctissima Deipara. Denique conclamant ad perfectionem operis, et ex vera causa dicentes: « Tu es fons medicaminum, Deus noster. » Ita ergo in fronte, prout dictum est, inunctus ab omnibus presbyteris mente sanctificatur. Deinde in formam crucis in facie sensuum gratia delinitur, et tandem manus purificant sacerdotes per sanctum oleum in Christo misericorde, coinquinatas sensationes animasque precibus emundantes, et absolutam sanctificationem exhibentes signo et gratia. Quapropter singuli sacerdotes totum ordinem, quemadmodum diximus, efficiunt, diacono quidem vel lectore Apostolum legente, sacerdote vero Evangelium, prioremque sacram orationem ita ut audiatur, et posteriorem secreto, dum ungit, pronuntiante. Tandem inunctum dextera signantes, infirmo post benedictionem manum osculato, recedunt. Postquam omnia universi de more adimpleverunt, sollicita oratione facta, iterum primus sacerdotum ultimam orationem indulgentiæ in capite ejus qui sacramentum recepit, pronuntiat, universis sacerdotibus cum manibus tangentibus, utpote simul operantibus simulque deprecantibus; ideo eorum tanquam ministerii et presbyteratus comparticipum in oratione meminit. Demum alta voce Deum pœni-

A καὶ πρώτη ἐστὶ, καὶ εἰς ἐπήκοον λέγεται, ὡς καὶ τῶν λοιπῶν ἱερέων συνευχομένων. Καὶ μετ' αὐτὴν δευτέρα μυστικῶς ἄλλη λέγεται κατὰ τὸν προῤῥηθέντα τύπον ὑπὲρ ὑγείας καὶ αὕτη καὶ ἁμαρτιῶν ἀπολυτρώσεως, τὸν Πατέρα τὸν ἅγιον ἐπικαλουμένη τῶν ψυχῶν καὶ τῶν σωμάτων τὸν ἰατρὸν, τὸν καὶ πέμψαντα τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον, πᾶσαν νόσον ἰώμενον καὶ ἐκ θανάτου λυτρούμενον, ἰάσασθαι καὶ τὸν ὑποπίπτοντα δοῦλον αὐτοῦ, ἐκ τῆς περιεχούσης αὐτὸν παντοίας νόσου, διὰ τῆς χάριτος τοῦ Χριστοῦ αὐτοῦ, καὶ ζωοποιῆσαι αὐτὸν μεσιτείαις τῆς Θεομήτορος, καὶ πάντων τῶν ἁγίων αὐτοῦ. Ταύτην οὖν **204** ἐπιθεὶς τὴν χεῖρα τῇ κεφαλῇ τοῦ μετανοοῦντος λέγει, δεικνὺς ὅτι κατὰ μίμησιν τοῦ Δεσπότου τὴν ἰατρείαν ποιεῖται, χεῖρα τοῖς ἀρ-B ῥώστοις ἐπιτιθέντος καὶ τῇ ἁφῇ ἐξιωμένου. Καὶ ὡς ἀπὸ τῆς χάριτος τῆς θείας ἐνεργεῖ, ἡγιασμένος ὢν τῇ χειροτονίᾳ, καὶ τῇ ἁφῇ τῆς χειρὸς καθαίρων καὶ ἁγιάζων. Ἐν τῷ τῆς εὐχῆς δὲ τέλει ἀλείφει καὶ τῷ ἐλαίῳ σταυροειδῶς αὐτοῦ τό τε μέτωπον διὰ τοὺς ἐντὸς λογισμοὺς καὶ τὰ αἰσθητήρια χρίων, ἐν τῷ προσώπῳ, καὶ τελευταῖον τὰς χεῖρας, ἐκ τῶν διανοημάτων καὶ πράξεων πονηρῶν ἀνακαθαίρων αὐτὸν, καὶ τειχίζων τῷ ἁγίῳ ἐλαίῳ καὶ τῷ σημείῳ τοῦ σταυροῦ, καὶ ἁγιάζων ὁλοτελῶς, τὸ, « Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, » ἐν ἑκάστῃ λέγων σφραγῖδι· μαρτυρῶν, ὡς παρ' οὐδενὸς ἑτέρου, ἀλλὰ παρὰ τοῦ ἐλεήμονος μόνου Θεοῦ ἡ βοήθεια. Καὶ οὕτω τῇ χειρὶ σφραγίζων αὐτὸν, ἀπέρχεται, ἀσπαζομένου C ἐκείνου τὴν ἁγιάσασαν χεῖρα. Καὶ καθεξῆς ὁμοίως οἱ λοιποὶ ποιοῦσιν ἱερεῖς. Αἱ μὲν οὖν πρῶται δύο εὐχαὶ, διὰ τὸ τελεσθῆναι καὶ ἁγιασθῆναι τὸ ἔλαιον. Αὗται δὲ αἱ δύο ἱλαστικαὶ ὑπὲρ τοῦ χριομένου εἰσὶ, καὶ ὑπὲρ θεραπείας ψυχικῆς αὐτοῦ καὶ σωματικῆς πρὸς Θεὸν ἀναφερόμεναι. Καὶ ἡ πρώτη μὲν ἐκφώνως, καὶ ἄλλη παρ' ἄλλου εὐχὴ λέγεται ἱερέως, ὥσπερ καὶ αἱ ἀποστολικαὶ καὶ τοῦ Εὐαγγελίου περικοπαί· πᾶσαι δὲ πρὸς τὸ ἔργον ἁρμόδιαι. Ἡ δ' ὑστέρα δὲ τὸ, « Πάτερ ἅγιε, » ἡ αὐτὴ καὶ παρὰ πάντων μυστικῶς, ὡς εἴρηται, λεγομένη, τὸ ὁμόφωνον πάντων ἐπιμαρτυροῦσα τῆς ἱκεσίας, καὶ πάντας συνεργοὺς τοῦ ἔργου τοὺς ἁγίους μετὰ τῆς κοινῆς μεσίτιδος τῆς παναγίας ἐπικαλουμένη Θεοτόκου, καὶ τελευταίαν ἐκφώνησιν εἰς τελείωσιν τοῦ ἔργου καὶ D αἰτίαν ἀληθῆ τὸ, « Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, ὁ Θεὸς ἡμῶν, » ἔχουσα. Οὕτω μὲν οὖν τῷ μετώπῳ, ὡς εἴρηται, παρὰ τῶν ἱερέων πάντων χριόμενος, τὸν νοῦν ἁγιάζεται. Εἶτα σταυροειδῶς τῷ προσώπῳ διὰ τὰ αἰσθητήρια· καὶ τελευταῖον τὰς χεῖρας καθαιρόντων τῶν ἱερέων διὰ τοῦ ἁγίου ἐλαίου ἐν Χριστῷ τῷ οἰκτίρμονι, τὰς μολυνθείσας αἰσθήσεις καὶ τὰς ψυχὰς ταῖς εὐχαῖς, καὶ ἁγιασμὸν παρέχοντων ὁλοτελῆ, τῇ σφραγῖδί τε καὶ τῇ χάριτι. Ἕκαστος οὖν ποιεῖται ἱερεὺς πᾶσαν τὴν τάξιν, ὡς ἔφημεν, τοῦ διακόνου μὲν τὸν ἀπόστολον λέγοντος ἢ ἀναγνώστου, τοῦ ἱερέως δὲ τό τε Εὐαγγέλιον, τὴν ἱερὰν πρώτην εὐχὴν εἰς ἐπήκοον, καὶ τὴν δευτέραν μυστικῶς ἐν τῷ ἀλείφειν. Καὶ τέλος σφραγίζοντες τὸν χρισθέντα τῇ δεξιᾷ, ἀσπαζομένου αὐτὴν τοῦ εὐλο-

γημένου, ἀπέρχονται. Μετὰ τὸ τελέσαι δὲ πάντας τὰ εἰθισμένα, ἐκτενοῦς δεήσεως γινομένης, πάλιν ὁ πρῶτος τῶν ἱερέων τελευταίαν εὐχὴν συγχωρήσεως ἐπὶ τῆς κεφαλῆς ἀναγινώσκει τοῦ δεχομένου τὴν τελετὴν, πάντων τῶν ἱερέων ἐφαπτομένων αὐτοῦ ταῖς χερσὶν ὡς συνεργῶν καὶ συνευχομένων. Διὸ καὶ τούτων ὡς συλλειτουργῶν καὶ συμπρεσβυτέρων ἐν τῇ εὐχῇ μέμνηται. Καὶ τέλος Θεὸν τῶν μετανοούντων ἐκφώνως αὐτὸν ἀνυμνῶν, καὶ ἐπὶ ταῖς κακίαις ἡμῶν μετανοοῦντα, καὶ δοξολογήσας ὡς χρεὼν, τὴν εὐχὴν ποιεῖται τῆς ἀπολύσεως. Καὶ οὕτως ὁ συγκαλέσας αὐτοὺς, καὶ τὰ τῆς τελετῆς ποιησάμενος, τελευταῖον πάλιν ὑποπίπτει τοῖς ἱερεῦσι, καὶ συγχώρησιν ἐξαιτεῖται παρ' αὐτῶν τρίς· καὶ παρὰ πάντων λαμβάνει, καὶ πεπληροφορημένος ἐστὶν, ὡς τὴν ἄφεσιν εἴληφεν. Ὅμως ὕστερον καὶ παρὰ τοῦ πρώτου τῶν ἱερέων κατήχησιν δέχεται· ὡς ἐπειδὴ τὴν συγχώρησιν εὗρε, προσοχὴν ἔχειν ὀφείλει, καὶ μὴ εἰς τὸ ἑξῆς ἁμαρτάνειν. Τοῦτο δὲ παράγγελμα τοῦ Σωτῆρος πρὸς τὸν πρότερον παραλελυμένον. Διὸ καὶ αὐτὸς ὑποκλίνων τὴν κεφαλὴν ὡς τὴν διδασκαλίαν δεχόμενος, εὐλογεῖται παρὰ πάντων· καὶ ἀναχωροῦσιν οἱ ἱερεῖς. Τοῦτο καὶ περὶ τοῦ ἁγίου ἐλαίου.

A tentium affatus quem de malitiis nostris pœnitet, eoque ut oportet glorificato, orationem absolutionis peragit. Sicque qui eos convocavit et sacramentum suscepit rursus postremo coram sacerdotibus pro volutus, ter ab eis veniam flagitat, et ab omnibus accipit, et certus fit de accepta peccatorum remissione. Verum posterius a primo sacerdotum instruitur, quoniam, accepta venia, vigilare debet ne in posterum delinquat. Hoc autem est Salvatoris monitum ad priorem paralyticum. Ideo et ille caput inclinans tanquam doctrinam accipiens, ab omnibus benedicitur, et revertuntur sacerdotes. Hæc igitur de sancto oleo.

ΚΕΦΑΛ. ΣϞΑ'.

Ὅσα ἐνεργ[illegible] ἅγιον ἔλαιον.

Ὃ δὴ καὶ πάντα Χριστιανὸν σπουδάζειν χρὴ ἐκτελεῖν, καὶ συγκαλεῖν [illegible]ους τοῦ Θεοῦ ἱερεῖς, **205** καὶ ὑπὲρ αὐτοῦ εὐχ[illegible] ἐξαιτεῖσθαι, καὶ τούτῳ χρίειν αὐτόν. Ἔγνωτε γὰρ ὅσων θείων χαρισμάτων μεγίστων τυγχάνει παρεκτικὸν, ἀπαλλαγῆς ἀῤῥωστημάτων, ἀφέσεως ἁμαρτημάτων, ἁγιασμοῦ χορηγὸν, ἐνισχύσεως θείας, καὶ τέλος βασιλείας τῶν οὐρανῶν πρόξενον. Καὶ μή τις εἴποι τῶν δυσφημούντων, Ἔλαιόν ἐστι, καὶ τί ἂν ἐξισχύσῃ τὸ ἐκ φυτοῦ ἐλαίας; Ἔλαιον μὲν ἔστιν, ἀλλὰ κεχαριτωμένον ἀπὸ τῆς θείας ὀνομασίας. Ὅπου γὰρ Θεοῦ κλῆσις, θεῖα πάντα καὶ δύναμιν Θεοῦ ἔχοντα· καὶ μᾶλλον ὅπου καὶ παρὰ θείων ἡ τοῦ Θεοῦ γένηται κλῆσις. Θεῖοι δὲ C οἱ ἱερεῖς οἱ τῇ χειροτονίᾳ τὴν τοῦ Θεοῦ πλουτήσαντες δύναμιν. Διὸ θεῖον τὸ ἔλαιον ὡς παρὰ τῶν ἱερέων εὐλογηθὲν ἐν ἐπικλήσει Θεοῦ· καὶ ἅγιον, καὶ θείας χάριτος τοῦ ἁγίου Πνεύματος πλῆρες, ὡς καὶ τὸ τοῦ βαπτίσματος ὕδωρ, καὶ ὕδωρ ὂν, καὶ πλῆρες τοῦ Πνεύματος, καὶ ἀνακαθαῖρον ψυχὰς, καὶ ἀναπλάττον τὸν ἄνθρωπον, καὶ υἱοποιοῦν τῷ Θεῷ καὶ ἀναμάρτητον ἐργαζόμενον. Τοῦ ὕδατος μὲν οὖν μόνου κατὰ φύσιν ἐστὶ τὸ καθαίρειν τὸν τοῦ σώματος ῥύπον, καὶ δίψος καταπαύειν· τοῦ ἁγίου δὲ ὕδατος, τὸ ἐκπλύνειν ἄμφω σὺν τῷ σώματι τὴν ψυχὴν, καὶ ἁγιάζειν, καὶ ἀναπλάττειν, καὶ δροσίζειν πνευματικῶς καὶ υἱοποιεῖν τῷ Θεῷ. Ὡς καὶ πᾶν μὲν ἁπλῶς μύρον εὐωδιάζει καὶ κατευφραίνει μόνην τὴν αἴσθησιν χριόμενον ἢ κρατούμενον· τὸ μύρον δέ γε τὸ D ἅγιον ζωὴν ἐμπνέει θείαν· μᾶλλον δὲ ἀναζωοῖ καὶ ἀνακαινίζει ἐν Πνεύματι, καὶ τῶν χαρίτων τούτου τῆς εὐωδίας ἡμᾶς ἐμπίπλησι, καὶ τὴν σφραγῖδα καὶ τὴν ἔμπνευσιν ἐν Χριστῷ τῷ ζῶντι μύρῳ παρέχει τῆς χάριτος· οὐ καθὸ μύρον μόνον, ἀλλὰ καθὸ τῇ τελετῇ μύρον ἅγιον, τὴν χάριν ἔχον τοῦ Πνεύματος. Οὕτω τοίνυν καὶ ἔλαιον μὲν τοῦτο, ἀλλ' ἔλαιον ἅγιον τῇ ἱερᾷ τελετῇ, καὶ πεπληρωμένον θείας δυνάμεως, καὶ μετὰ τοῦ ἱλαρύνειν αἰσθητῶς, καὶ τὰς ψυχὰς λαμπρύνειν καὶ ἁγιάζειν ὁμοῦ, σώματά τε ἰσχύον

CAPUT CCXCI.

Quæ et quanta sacrum oleum operetur.

Cui sibi conficiendo omnem Christianum studere oportet, et proinde sacerdotes Dei convocare qui pro eo orent et deprecentur cumque isto oleo inungant. Nam scitis quot sancta et maxima Dei charismata impertiatur: ab infirmitatibus allevia[t], peccata dimittit, sanctitatem largitur, divinum robur et denique regnum cœlorum præbet. Neque quis ex blasphemantibus dicat: « Oleum est, et quid valet quod ex planta olea exprimitur? » Oleum quidem est, sed gratia plenum divini nominis invocatione. Nam ubi est Dei invocatio; divina sunt omnia, Deique virtutem habent, et præsertim ubi a divinis viris Dei fit invocatio; divini vero sunt sacerdotes qui in impositione manuum divinæ virtutis abundantiam consecuti sunt. Ideo divinum est istud oleum utpote a presbyteris benedictum in invocatione Dei, sanctumque et gratia sancti Spiritus plenum, quemadmodum aqua baptismi, etsi mera sit aqua, repletur Spiritu, et purgat animas, et recreat hominem, et filium Deo efficit, et a peccato liberum reddit. Solius quidem est aquæ ut corporis sordes emundet sitimque restinguat, sanctæ autem est aquæ animam simul cum corpore abluere, et sanctificare, et recreare, et spiritali rore levare, et filios Deo facere. Quemadmodum quodlibet merum unguentum suavi odore recreat et solum oblectat sensum sive effundatur sive in vasculo possideatur, sanctum autem unguentum vitam inspirat divinam, vel potius iterum vivificat et in Spiritu renovat, et bono gratiarum hujus odore replet, ac characterem et inspirationem gratiæ in Christo viventi unguento impertit; ita ergo istud quidem merum est oleum, sed oleum sanctum per sacram sanctificationem, et repletum divina virtute; et dum sensibiliter delectat, potest simul animas illuminare et sanctificare corpus quoque et spiritum, et vulnera adimere, necnon infirmitates sanare et a luto peccatorum emundare, Dei

que misericordiam ac jucunditatem nobis comparare.

CAPUT CCXCII.

Oportere asservari quod ex unctione sacri olei reliquum manet.

Ideo quod ex oleo superest servandum est et in honore habendum, nec quidquam hujus negligendum. Novi enim de hac re, sicut et de divinissima baptismatis aqua quosdam esse qui, nescientes mysterium vel illud respuentes, eo utcunque ceciderit utuntur, et sæpe ubi non oporteret, mittitur, vel ab animalibus consumitur, neque cura est multis de illo. Sciant autem negligentes gravem eis propter hoc imminere damnationem. Insuper de hac re ratiocinentur. Si aqua sanctificata regenerat et reformat hominem, nec absque ea quisquam est Christianus; oleum vero sanat, et peccatorum remissionem impertit, utque in ipsis propter me superveniat non dedignatur Spiritus sanctus, ei autem placet adunari aquæ et oleo cæterisque creaturis ac elementis propter meam sanationem et correctionem, quomodo damnatione non esset dignus vir audax qui illa effunderet et pedibus conculcaret? vel qui contemnens sineret ea ubicunque projici et corrumpi? qui in honore non haberet ea quibus Dei virtus adumbratur? et in quibus invocatum est nomen ejus, illiusque signum per manum sacerdotis factum est? Scito ergo, o negligens, quoniam condemnaberis, atque cum illis audies: « Videte, contemptores, et admiramini, et disperdimini, » dicit Dominus. Verum ut istud non accidat, sed potius Deum glorificantes propter hoc a Deo glorificemini quem glorificant cœli et terra, et plena sunt omnia gloria ejus, ut canunt angeli, atque pietatis nostræ nostrique honoris erga res divinas mercedem abundanter participemus, hæc ut sancta honoremus, et ut oportet accurate servemus, utque in proprio sacroque loco deponantur studeamus, quoniam erit, inquit, honor requies ejus, piosque facite filios vestros, eisque qui res divinas ac domus ejus rerumque in ea positarum decorum diligunt, orat Ecclesia ut in mercedem virtute et gloria Dei glorificentur.

Clericus. Admodum est necessarium, sancte domine, et perutile ac obligatorium nobis, prout docuisti, res sacras divinasque ac sanctificatas honorare, atque gravissimum divina pariter et sacra negligere.

Pontifex. Valde necessarium, frater, quemadmodum nos diximus vobisque mandamus. Sed injuria ejus qui adversus sancta progreditur, frequens est negligentia, acerba vero damnatio. Imo non in istis tantum plerorumque invenitur negligentia, sed etiam in decentia templi et sanctuarii, in tremendo altari, in sacris vasibus, et in ipsis, proh dolor! mysteriis maxime metuendis. Nam tempore sanctæ

A καὶ πνεύματα, καὶ ἀπαλείφειν τραύματα, καὶ ἁρμοστήματα θραύειν, καὶ βορβόρου καθαίρειν ἁμαρτιῶν, καὶ ἐλέους Θεοῦ χορηγὸν ἡμῖν εἶναι, δύναμιν ἔχον καὶ ἱλαρότητος.

ΚΕΦΑΛ. ΣϞΒʹ.

Ὅτι χρὴ συντηρεῖσθαι τὸ καταλειφθὲν μετὰ τὴν χρίσιν τοῦ ἁγίου ἐλαίου.

Διὸ καὶ φυλακτέον τοῦτο, καὶ τιμητέον, καὶ μὴ ἀμελητέον ὅλως αὐτοῦ. Ἔγνων γὰρ καὶ περὶ τούτου, ὡς καὶ περὶ τοῦ θειοτάτου ὕδατος τοῦ βαπτίσματος, ὅπως ἀγνοοῦντές τινες τὸ μυστήριον, ἢ καὶ καταμελοῦντες, ὡς ἔτυχε τούτοις χρῶνται· καὶ πολλάκις ὡς μὴ ὤφελε ῥίπτεται, ἢ καὶ ἀναλίσκεται ὑπὸ ζώων· καὶ οὐ φροντὶς περὶ τούτου τοῖς πολλοῖς. Ἀλλὰ γνωστὸν ἔστω τοῖς ἀμελοῦσιν, ὡς B βαρὺ τὸ περὶ τούτου κατάκριμα. Ἐπεὶ καὶ τὸ περὶ τούτου συλλογιζέσθωσαν. Εἰ τὸ ὕδωρ ἁγιασθὲν ἀναγεννᾷ καὶ ἀναμορφοῖ τὸν ἄνθρωπον, καὶ χωρὶς τούτου οὐκ ἔστι Χριστιανὸς, καὶ τὸ ἔλαιον δὲ θεραπεύει, καὶ ἁμαρτιῶν παρέχεται ἄφεσιν, καὶ ἐν αὐτοῖς δι' ἐμὲ ἐπιφοιτᾷν οὐκ ἀπαξιοῖ τὸ Πνεῦμα τὸ ἅγιον· εὐδοκεῖ δὲ ἑνοῦσθαι τοῖς ὕδασι καὶ τῷ ἐλαίῳ, καὶ λοιποῖς ἄλλοις κτίσμασι καὶ στοιχείοις, πρὸς τὴν ἐμὴν ἰατρείαν τε καὶ ἀνόρθωσιν· πῶς οὐ τολμηρίας καὶ κατακρίσεως ἄξιος ὁ ἐκχέων τε καὶ καταπατῶν; ἢ περιφρονητὴς ὢν, καὶ καταμελῶν ὡς ἔτυχε ταῦτα χυθῆναί τε καὶ φθαρῆναι, καὶ μὴ τιμῶν, ἐφ' οἷς Θεοῦ δύναμις ἐπεσκίασε; καὶ κλῆσις αὐτοῦ ἐν αὐτοῖς ὠνομάσθη; καὶ σφραγὶς αὐτοῦ C διὰ τοῦ σταυροῦ τῇ ἱερατικῇ χειρὶ γέγονε; Γινώσκων ἔσο, ὁ ἀμελῶν, ὡς κατακριθήσῃ, καὶ μετ' ἐκείνων ἀκούσῃ τὸ, « Ἴδετε, οἱ καταφρονηταὶ, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, » λέγει Κύριος. Ἀλλ' ἵνα μὴ τοῦτο εἴη, ὡς δὲ δοξάζοντες μᾶλλον Θεὸν, διὰ τοῦ αὐτοῦ ἀντιδοξασθῶμεν παρὰ Θεοῦ, ὃν δοξάζει ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πλήρη αὐτοῦ τῆς δόξης πάντα, ὡς ὑμνοῦσιν οἱ ἄγγελοι, καὶ τοῦ ὑπὲρ τῆς εὐλαβείας καὶ τῆς εἰς τὰ θεῖα **206** τιμῆς μισθοῦ δαψιλῶς μετάσχωμεν, τιμῶμεν ταῦτα ὡς ἅγια, καὶ περιστέλλωμεν δεόντως, καὶ ἐν ἰδιάζοντι καὶ ἱερῷ κατατιθέναι χώρῳ σπουδάζωμεν. Ὅτι καὶ ἔσται, φησὶν, ἀνάπαυσις αὐτοῦ τιμή· καὶ εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς ὑμῶν, καὶ τοῖς ἀγαπῶσι τὰ θεῖα καὶ τοῦ θείου οἴκου καὶ τῶν ἐν αὐτῷ τὴν εὐπρέπειαν D τὸ ἀντιδοξασθῆναι θείᾳ δυνάμει καὶ δόξῃ ἡ Ἐκκλησία εὔχεται.

Κληρικός. Ἀναγκαιότατον, ἅγιε δέσποτα, καὶ ἐπωφελὲς καὶ κεχρεωστημένον ἡμῖν, ὡς ἐδίδαξας, τὰ ἱερὰ καὶ θεῖα καὶ ἡγιασμένα τιμᾷν· καὶ βαρύτατον τὸ τῶν οὕτω θείων καὶ ἱερῶν ἀμελεῖν.

Ἀρχιερεύς. Ἀναγκαιότατον, ἀδελφὲ, ὡς καὶ ἡμεῖς ἔφημεν, καὶ ὑμᾶς παραγγέλλομεν. Ἀλλ' ἐπηρείᾳ τοῦ κατὰ τῶν ἁγίων χωροῦντος πλείστη ἐστὶν ἡ ἀμέλεια, καὶ ἡ κατάκρισις δὲ χαλεπή. Καὶ οὐ μόνον ἐν τούτοις τῶν πολλῶν ἐστιν ἀμέλεια, ἀλλὰ κἂν τῇ εὐκοσμίᾳ τοῦ ναοῦ καὶ τοῦ βήματος, καὶ τῷ φρικτῷ θυσιαστηρίῳ, καὶ τοῖς ἱεροῖς σκεύεσι, καὶ αὐτοῖς, οἴμοι! τοῖς φρικτοτάτοις μυστη-

ῥῖψις. Καὶ γὰρ ἔν τε τῷ καιρῷ τῆς ἱερᾶς μεταλήψεως, μὴ τὸν νοῦν ἔχοντες ἐν ἑαυτοῖς, ὅτι πολλοὶ, μηδὲ λογιζόμενοι, ὡς ἔοικε, τίνα εἰσὶ τὰ θειότατα, ὡς ἔτυχε διοικοῦσι, καὶ μερίδας καὶ σταγόνας ἐξ αὐτῶν ἀπεριμερίμνως τοῖς ἱεροῖς σκεύεσιν ἀφιᾶσιν, ἢ καὶ ἀποῤῥίπτουσι μὴ προσέχοντες. Καὶ αὐτὰ δὲ πάλιν προηγιασμένα ὄντα, καὶ ὑπὲρ τῶν πιστῶν κατ' ἀνάγκην φυλαττόμενα, καὶ θείαν παρακαταθήκην ταῦτα καλούμενα, καὶ ὄντως τὴν ἀληθῆ καὶ ζῶσαν καὶ μόνην παρακαταθήκην τελοῦντα, οὐχ ὡς τοιαύτην Θεοῦ παρακαταθήκην ζῶσάν τε καὶ ἀπαιτουμένην τιμῶσιν ἢ διοικοῦσιν, ἢ κατὰ δύναμιν συντηροῦσιν, ἀλλ' εἰ καὶ φρικτὸν τὸ γινόμενον, λεκτέον ὅμως προσοχῆς χάριν, φθείρεσθαι ἀφιᾶσιν, καὶ ὡς ἔτυχε τούτων ἅπτονται, καὶ τιθέασιν ἔνθα οὐ δεῖ· καὶ οὐ πολὺς ὁ περὶ τούτου λόγος πολλοῖς, καὶ μόλις τινὲς φροντίζουσιν.

Κληρικός. Ἰδοὺ δειλιῶμεν ἐν τούτῳ, δέσποτα· καὶ τί ἂν γένοιτο, εἰ παρὰ γνώμην τι τῶν ἀδοκήτων συμβαίη;

ΚΕΦΑΛ. ΣϞΓ'.

Ὅτι τὰ τῶν ἱερέων σφάλματα ὑπὸ ἀρχιερέων δεῖ κανονίζεσθαι.

Ἀρχιερεύς. Καὶ τὸ ἐπὶ τούτοις συμβῆναί τι τῶν μὴ δεόντων πρὸς τὸν ὑπηρετοῦντα Θεοῦ ἐγκατάλειψις. Ὅμως εἰ τὰ κατὰ δύναμιν ἐκτετέλεκε, καὶ τὰ τῆς προσοχῆς εἶχεν ἐν ἑαυτῷ καὶ τῆς φυλακῆς, ἀπροσδοκήτως δέ τι συνήντησε, κἀν τούτῳ μετανοεῖν χρὴ καὶ ἐξομολογεῖσθαι ἀρχιερεῖ· ἴδια γὰρ τὰ τῶν ἱερέων, καὶ ὑπὸ ἀρχιερέων δεῖ κανονίζεσθαι. Ὅμως συγγνώμη τις ἔσται τούτῳ, διὰ τὸ μὴ ἀμελῆσαι μηδὲ παριδεῖν ὅλως, ἀλλ' ἀπροσδοκήτως καὶ ἐπηρείᾳ ἐπισυμβῆναι τὸ γεγονός. Εἰ δ' ἀμελείᾳ καὶ παροράσει γέγονε καὶ τῷ μὴ πολὺν ποιεῖσθαι περὶ τούτου τὸν λόγον, μηδέ γε μεριμνᾷν ὅλως, πολὺ τὸ κατάκριμα· καὶ ἐν μεγίστῳ ἔσται ὁ σφαλεὶς διορθούμενος τῷ κανόνι, εἴ γε καὶ ἀξίως μετανοεῖ, καὶ κατὰ τὸ σφάλμα πενθεῖ. Ἀλλ' ἴωμεν ἤδη καὶ πρὸς τὰς ἱερὰς προσευχὰς, ὡς ἂν καὶ τὰ περὶ τῶν ζητουμένων εἰς τέλος ἀγάγωμεν.

Κληρικός. Περὶ τούτου λείπεται ἔτι, ἅγιε δέσποτα, τοῦ γνῶναι ἡμᾶς τόν τε ἀριθμὸν καὶ σκοπὸν τῶν παραδεδομένων ἱερῶν προσευχῶν, καὶ τὴν περὶ αὐτῶν ἡμῖν καλὴν ἐπιθυμίαν ἐκπλήρωσον.

207 *Ἀρχιερεύς*. Καλὴ μὲν ὑμῶν ἡ ἐπιθυμία καὶ ζήτησις, καὶ τὸ ἔργον, ὑπὲρ πᾶν ἔργον ἀγαθὸν, ἐπεὶ καὶ περὶ ἀγαθοῦ· ἀλλ' ὑπὲρ ἐμὲ, καθὼς πολλάκις εἰρήκειν· καὶ κατατολμῶν τῶν ὑπὲρ ἐμὲ δι' ὑμᾶς ἐν ἀγάπῃ, πτοοῦμαι μήποτε καὶ ὑπὲρ ἐμὲ φρονεῖν δόξω, καὶ τῶν μὴ ἀνηκόντων ἐφάπτεσθαι, καὶ ἐγχειρεῖν τοῖς ὑπὲρ ἐμέ. Ἀλλ' ὅμως ἐπεὶ δι' ἀγάπην ταῦτα, τὰ κατὰ τὴν ἐμὴν εὐτελῆ γνῶσιν καὶ διάνοιαν ἀμυδρὰν οὐκ ὀκνήσω πρὸς ὑμᾶς ἐρωτῶντας λέγειν, εἰ καὶ παρὰ τὸ δέον τισὶ καὶ ἀγνώστως ἴσως δόξαιμεν λέγειν· ὅτι θεῖον ἅπαν τὸ δι' ἀγάπην Χριστοῦ καὶ τῶν ἀδελφῶν. Ἐγὼ δὲ καὶ τοῦτο πάντας ὑπὲρ τούτου τοὺς ἐντυγχάνοντας ἐν ἀγάπῃ παρακαλῶ, ὡς εἰ μὲν τὰ γεγραμμένα ἐπωφελῆ κατά τι φανεῖεν, καὶ κατὰ τοὺς θείους εἴη

A communionis, mentem non habentes in semetipsis, quam plurimi nequaquam perpendentes quænam sint divinissima mysteria, ea tractant utcunque ceciderit, et eorum particulas guttasque in vasibus sacris absque ulla cura dimittunt, et minime attendentes labi patiuntur. Eadem insuper præsanctificata et pro fidelibus, si necesse fuerit, asservata, divinumque depositum appellata, cum reipsa verum vivum ac solum sint depositum, neutiquam velut tantum Dei depositum vivens ac exigendum honorant vel tractant aut pro viribus custodiunt, sed, etsi istud sit tremendum dignumque ut quam maxima adhibeatur diligentia, corrumpi patiuntur, et prout acciderit, ea tangunt, ac ubi non oportet

B ponunt, neque multa est multis de ista re ratio, vixque quidam curant.

Clericus. Ecce pavemus in hac re, domine, et quid fieri oporteret si quid inopinatum contra propositum ceciderit?

CAPUT CCXCIII.

Sacerdotum delicta ab episcopis corrigi et castigari debere.

Pontifex. Si quid ita ex iis quæ non oportet ceciderit, Deus ministranti dimittet. Attamen si omnia quæ potuerit, fecit, et attentionem habuerit in semetipso atque cautus fuerit, si quid tamen inconsulte acciderit, oportet de hoc pœnitere et Pontifici istud confiteri, nam singularia sunt sacerdotum opera,

C et a pontificibus corrigi debent. Sed quædam indulgentia erit huic, quoniam non negligenter egit nec omnino despexit, sed inconsulte et vi quadam accidit quod factum est. Si vero negligentia et contemptu factum esset, vel quoniam non multam hujus rationem fecerit, neque prorsus fuerit sollicitus, gravis erit damnatio, et in maximo Canone delinquens corrigetur, si digne pœniteat, et secundum suum delictum doleat. Sed jam eamus ad preces sacras, ut verba de postulatis ad finem adducamus.

Clericus. Hac de re, sancte domine, nobis adhuc superest nosse numerum et finem sacrarum precum quæ nobis traditæ sunt, bonum ergo de his desiderium nostrum adimple.

D *Pontifex*. Bonum quidem vestrum desiderium, bonaque postulatio, et opus super omne opus bonum, cum de bono agatur, sed vires meas exsuperat, quemadmodum sæpius dixi, et dum propter vos in charitate audeo res quæ supra me sunt, vereor ne fortasse super me sentire videar, necnon opera viribus meis minime consentientia aggredi ac ea quæ supra me sunt attentare. Verumtamen cum ista amoris gratia dicta sint, secundum levem meam cognitionem modicamque scientiam vobis sciscitantibus respondere me non pigebit, etsi forte quibusdam videar aliter ac oportet et de ignotis loqui, quoniam divinum est omne quod ob amorem Christi et fratrum efficitur. Ego vero omnes qui adsunt ad hoc hortor in charitate ut, si scripta quidem

quodam modo utilia videantur, et secundum divinos Ecclesiæ doctores dicantur, illa in charitate suscipiant, fratribusque legenda permittant; si autem aliquid videatur bonum non esse, precor ut qui bene scit quod oportet fraterno animo nos corrigere; cupimus enim corrigi, hocque acriter postulamus, quoniam volumus esse subditi Matri nostræ Ecclesiæ, patribusque nostris et fratribus in Christo; neque nos tales æstimamus quales correctione non indigeamus, nec, quasi scientiæ apicem consecuti, hæc cœpta aggredimur, minime, sed propter fratres in necessitate interrogantes, ut debitum habentes loquendi ex maxima Spiritus gratia nobis supra nos data, cum ad hunc finem divina miseratione ab Ecclesia Christi constituti sumus, ut de sacris doctrinis et dogmatibus ex sermonibus Spiritus loquamur, ut de sacerrimis Ecclesiæ disciplinis cogitemus, et istas pari ratione impleamus et perpendamus, fratribusque ad interrogandum accedentibus ex Scripturis respondeamus, ac salutaria consulamus. Igitur hujus gratia ista quoque ex sanctissimis Scripturis audemus dicere. Sed si quibusdam fratribus perspicacioribus hæc videantur indigere correctione, hoc desideramus, Ecclesiæ Christi ardenti animo subditi, et quærentes in charitate obsecramus. Loqui ergo incipiendum est de divinis Ecclesiæ precibus secundum vestram sciscitationem.

A λεχθέντα διδασκάλους τῆς Ἐκκλησίας, ἀποδέξασθαι δι' ἀγάπην, καὶ ἀναγινώσκειν ἀφιέναι τοὺς ἀδελφούς· εἰ δὲ κατά τι δόξειε μὴ καλῶς ἔχειν, τὸν καλῶς τὸ δέον εἰδότα ἀδελφικῶς διορθώσασθαι. Ποθοῦμεν γὰρ διορθοῦσθαι, καὶ ζητοῦμεν τοῦτο θερμῶς, ὑποτάσσεσθαι θέλοντες τῇ τε μητρὶ ἡμῶν Ἐκκλησίᾳ, καὶ τοῖς Πατράσιν ἡμῶν καὶ ἀδελφοῖς ἐν Χριστῷ· καὶ οὐδὲ τοιούτους ἑαυτοὺς λογιζόμεθα, ὡς μὴ χρῄζοντας διορθώσεως. Ἀλλ' οὐδ' ὡς ἄκροι τὴν γνῶσιν τοῖς τοιούτοις ἐγχειροῦμεν ἡμεῖς, οὐδαμῶς· διὰ δὲ τοὺς ἀδελφοὺς κατ' ἀνάγκην ζητοῦντας, ὡς τὴν ὀφειλὴν ἔχοντες λαλεῖν διὰ τὴν ἐν ἡμῖν ὑπὲρ ἡμᾶς μεγίστην χάριν τοῦ Πνεύματος· ἐπεὶ καὶ εἰς τοῦτο θείῳ ἐλέει κατέστημεν ὑπὸ τῆς Ἐκκλησίας Χριστοῦ, περί τε τῶν ἱερῶν διδαγμάB των τε καὶ δογμάτων ἐκ τῶν λογίων λέγειν τοῦ Πνεύματος, καὶ τῶν ἱερωτάτων φροντίζειν τῆς Ἐκκλησίας εὐταξιῶν, κατὰ λόγον τε ταύτας διενεργεῖν τε καὶ νοεῖν, καὶ τοῖς προσιοῦσι τῶν ἀδελφῶν ἐν ἐρωτήσεως τάξει ἀπὸ τῶν Γραφῶν ἀποκρίνεσθαι, καὶ τὰ σωτήρια παραινεῖν. Τούτου οὖν χάριν καὶ ἡμεῖς ταῦτα τολμῶμεν λέγειν ἐκ τῶν ἁγιωτάτων Γραφῶν. Εἰ δὲ δόξειέ τισιν ἀκριβεστέροις τῶν ἀδελφῶν ταῦτα διορθώσεως δεῖσθαι, ποθοῦμεν τοῦτο, τῇ Ἐκκλησίᾳ Χριστοῦ θερμῶς ἐν ταπεινώσει ὑποτασσόμενοι, καὶ ζητοῦντες ἐν ἀγάπῃ παρακαλοῦμεν. Ἀρκτέον τοίνυν λέγειν καὶ περὶ τῶν θείων τῆς Ἐκκλησίας προσευχῶν κατὰ τὴν ὑμετέραν ἐρώτησιν.

ΠΕΡΙ

ΤΗΣ ΘΕΙΑΣ ΠΡΟΣΕΥΧΗΣ.

DE SACRA PRECATIONE.

C Sermo de oratione, fratres, multus est et maximus, atque, ut vere dicam, hoc est opus a Deo nobis commissum, et cujuslibet alterius caput. Oratio autem est cum Deo fieri, semper esse cum Deo, eique conglutinatam (ut dixit David) et inseparabilem habere animam, mentemque ita conjunctam ut avelli nequeat. Ait enim: « Conglutinata est anima mea post te; » et: « Sitivit anima mea; » et: « Sicut cervus desiderat ad fontes aquarum, ita desiderat anima mea ad te, Deus, » et: « Diligam te, Domine, fortitudo mea, » et: « Anima mea in manibus tuis semper, » id est tecum. Ideo dixit etiam: « Benedicam Dominum in omni tempore, et semper laus ejus in ore meo. » Hoc vero fit cum ipsis angelis, cum ipsis adunetur homo bona dilectione bonoque desiderio, et ait: « Laudate Dominum de cœlis, laudate eum in excelsis; laudate eum omnes

Ὁ περὶ τῆς προσευχῆς λόγος, ἀδελφοί, πολύς τε καὶ μέγιστος, καί, ὡς ἀληθῶς εἰπεῖν, τοῦτο ἡμῖν τὸ παραδεδομένον ἔργον ἀπὸ Θεοῦ, καὶ παντὸς ἄλλου κεφάλαιον. Ἔστι δὲ προσευχὴ τὸ μετὰ Θεοῦ γενέσθαι, καὶ ἀεὶ συνεῖναι Θεῷ, καὶ κεκολλημένην (ὥς φησιν ὁ Δαβὶδ) ἔχειν αὐτῷ καὶ ἀδιάσπαστον τὴν ψυχήν, καὶ τὸν νοῦν ἀναπόσπαστον. *Ἐκολλήθη* γάρ, φησίν, *ἡ ψυχή μου ὀπίσω σου*, καί, *Ἐδίψησέ σε ἡ ψυχή μου*, καί, *Ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός*· καί, *Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου*, καί, *Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός*, ἀντὶ τοῦ, μετὰ σοῦ. Διὰ τοῦτο καί, *Εὐλογήσω*, φησί, *τὸν Κύριον ἐν παντὶ καιρῷ*, καί, *Διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί*
D *μου*. Καὶ μετὰ τῶν ἀγγέλων δὲ γίνεται, ἑνούμενος αὐτοῖς τῷ καλῷ ἔρωτι καὶ πόθῳ. Καί, *Αἰνεῖτε*,

φησὶ, *τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις·* οὐχ ὅτι ὡς μὴ αἰνοῦντας παρακινῶν, ἀλλ' ὡς μᾶλλον ἴδιον ἔργον τοῦτο τοὺς ἀγγέλους κεκτημένους καὶ ἀκατάπαυστον τῷ πρὸς Θεὸν πόθῳ, οἷον ἐπαινῶν αὐτοὺς καὶ ἐρεθίζων, καὶ ἑνῶν ἑαυτὸν αὐτοῖς· ὅτι καὶ ἔργον ἀσίγητόν τε καὶ ἄληκτον ἡ προσευχὴ, καὶ ὁ τοῦ Θεοῦ αἶνος. Πρὸς τοῦτο δὲ ὁ καλὸς καὶ ἀγγελικὸς ὑμνῳδὸς οὗτος Δαβὶδ καὶ τὴν οἰκουμένην ἅπασαν ἐκκαλεῖται, προφαίνων, οἶμαι, τὴν σωτήριον ἐπιφάνειαν, καὶ τὴν διὰ ταύτην ἐπίγνωσιν τῆς Τριάδος τῶν ἐθνῶν **208** καὶ δοξολογίαν ἀνελλειπῆ. Καὶ, *Αἰνεῖτε*, φησὶ, *τὸν Κύριον, πάντα τὰ ἔθνη· ἐπαινέσατε αὐτὸν, πάντες οἱ λαοί.* Ὅτι δὲ ἀσίγητος ὕμνος Θεῷ παρὰ τῶν ἀγγέλων ἐστὶ, καὶ ὁ Ἡσαΐας διδάσκει, ἰδὼν τὴν δόξαν Θεοῦ, καὶ ἀκαταπαύστως τοὺς ἀγγέλους τὸν Τρισάγιον ᾄδοντας· καὶ ὁ Ἰεζεκιὴλ δὲ ὁμοίως· ὃ δὴ ἔργον καὶ τῶν πρώτων τυγχάνει τάξεων, τῶν Σεραφὶμ τε καὶ Χερουβίμ. Καὶ τὰ μὲν αὐτῶν ἔμπυρα διὰ τὸν πόθον τε καὶ τὸν ἐν ζήλῳ ὕμνον, καὶ ἔνθερμα καλοῦνται· τοῦτο γὰρ τὸ Σεραφίμ· τὰ δὲ χύσις διὰ τὸ πλάτος τῆς γνώσεώς τε καὶ τῆς αἰνέσεως· καὶ τοῦτο δηλοῖ τὸ Χερουβίμ. Ἃ καὶ πολυόμματα, διὰ τὸ πολὺ καὶ λεπτὸν καὶ διορατικὸν τῆς θεωρίας τε καὶ δοξολογίας καὶ ἀκατάπαυστον. Διὸ καὶ ἔνθερμοι παρ' ἡμῖν ἄνδρες ὅσιοι, καὶ ἔμπυροι τῇ ἀγάπῃ τε καὶ τῷ ζήλῳ καὶ τῇ ἐγκαρδίῳ προσευχῇ, κατὰ τὸ εἰρημένον, *Ἐξεκαύθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ*, καὶ, *Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν;* καὶ, *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;* καὶ τῷ Πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες, ταῖς προσευχαῖς προσκαρτεροῦντες. Καὶ πολλοὶ παρ' ἡμῖν χύσιν Θεοῦ γνώσεως ἔχοντες, καὶ ὡς ὕδωρ πολὺ πρὸς τὸν θεῖον ἐκχεόμενοι πόθον, κατὰ τὸ, *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου·* καὶ, *Ἐπλάτυνας τὴν καρδίαν μου·* καὶ, *Ἔκχεον τὸ ἔλεός σου ἐφ' ἡμᾶς*, καὶ ὅλον ὀφθαλμοὶ ὡς Θεὸν ὁρῶντες, κατὰ τὸ γεγραμμένον, *Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον*, καὶ, *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς*, οἳ καὶ ὡς καθαροὶ τὴν καρδίαν, ὁρῶσι τὸν Κύριον. Καὶ ἔτι τὴν τρίτην τάξιν τῶν θρόνων καὶ ἐν ἡμῖν τινες ἐκμιμοῦνται. Καὶ ὡς ἐν αὐτοῖς Θεὸς ἀναπαύεται, ἀνάπαυσις γὰρ καὶ καθέδρα ὁ θρόνος, οὕτω δὴ καὶ ἐν τούτοις, τὸν Θεὸν τιμῶσιν ἐννοίαις καὶ ὕμνοις καὶ λόγοις καὶ πράγμασιν, οὗπερ ἡ ἀνάπαυσίς ἐστι τιμὴ, κατ' ἐκεῖνόν τε ζῶσι, τὸν λέγοντα, *Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου*, καὶ, *Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.* Οἷς καὶ ὁ Θεὸς ἀρεσκόμενος, *Ἐνοικήσω ἐν αὐτοῖς*, φησὶ, *καὶ ἐμπεριπατήσω*, καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, καὶ, *Οὐκ οἴδατε ὅτι Χριστὸς οἰκεῖ ἐν ἡμῖν;* εἰ μή τι ἄρα ἀδόκιμοί ἐστε. Τοῦτο οὖν τὸ τὸν Χριστὸν ἔχειν, τὸ περιφέρειν αὐτὸν ἐν τῇ καρδίᾳ καὶ τῷ νοΐ, καὶ ἀδιαλείπτως αὐτοῦ μεμνῆσθαι,

angeli ejus; laudate eum, omnes virtutes, » non perinde quasi non laudantes incitaret, sed, potius quam istud sit opus angelis proprium et nunquam intermissum ex eorum erga Deum dilectione, quasi eos laudaret et hortaretur et seipsum eis adjungeret, quoniam opus est neque requiem nec intermissionem habens oratio Deique laudatio. Insuper egregius et angelicus psaltes iste David terram universam convocat, prænuntians, me judice, salutiferam manifestationem et per istam Trinitatis cognitionem gentibus dandam earumque perennem Dei glorificationem. « Laudate, inquit, Dominum, omnes gentes; laudate eum, omnes populi. » Hunc hymnum Deo sine intermissione ab angelis cantari ipse etiam Isaias docet, dum videt gloriam Dei et
B angelos sine fine concinentes: Sanctus, sanctus, sanctus. Similiter et Ezechiel. Quod opus est primorum ordinum, nempe Seraphim et Cherubim. Alii enim ex ipsis igniti propter eorum amorem hymnoque studio vehementes et fervidi vocantur, hoc enim sonat vox Seraphim; alii vero effusio dicuntur propter amplitudinem scientiæ et laudationis, et istud ostendit vox Cherubim. Qui etiam multo oculei appellantur propter multitudinem, subtilitatem ac perspicacitatem atque perennitatem eorum contemplationis et glorificationis. Propterea fervidi quoque apud nos dicuntur viri sancti et igniti charitate, studio et oratione quæ ex corde procedit, prout dictum est: « Incaluit cor meum intra me
C et in meditatione mea exardescet ignis; » et: « Nonne cor nostrum ardens erat in nobis? » et: « Quis nos separabit a charitate Christi? » et: « Spiritu ferventes, Domino servientes, orationi instantes. » Multi etiam sunt apud nos diffusam habentes Dei notitiam, et velut aqua copiosa in divinum desiderium effusi secundum illud: « Diffusa est gratia in labiis tuis; » et: « Dilatasti cor meum; » et: « Effunde misericordiam tuam super nos, » ac velut oculi in Deum aspicientes, quemadmodum scriptum est: « Oculi mei semper ad Dominum; » et: « Prævidebam Dominum in conspectu meo semper, » qui utpote mundo corde Dominum vident. Tertium insuper Thronorum ordinem in nobis quidam imitantur, et Deus in eis requiescere vide-
D tur, thronus enim sedes est et cathedra; ita et in illis, qui Deum cogitationibus, hymnis, verbis et operibus honorant, cujus requies est honor, qui vivunt eodem more ac dicens: « Surge, Domine, in requiem tuam; » et: « Thronus tuus, Deus, in sæculum sæculi », in quibus sibi complacet Deus. « Inhabitabo, inquit, in eis et inambulabo; » et: « Ego et Pater veniemus, et mansionem apud eum faciemus; » et: « An nescitis quoniam Christus habitat in nobis? » nisi sitis tamen indigni. Illud ergo: Christum habere, eum in corde circumferre et in mente, ejus sine intermissione recordari, in eo meditari et ardere ejus desiderio more Seraphim, eum semper videre ut Cherubim, in corde eum habere requiescentem velut Throni, hoc est opus

orationis. Quamobrem oratio opus est præcipuum servis Christi super omnia; alia enim ministerii sunt et secunda. Unde cæteris angelis qui divinorum ministeriorum cognomine gaudent: « Benedicite Dominum, ait David, omnes angeli ejus, potentes virtute, facientes verbum illius ad audiendam vocem sermonum ejus. » Nam, licet tales sint studio et ferventes in adimplendis mandatis, hocque sit opus veræ obedientiæ et humilitatis, attamen, « Benedicite, inquit, et glorificate eum in sæcula, » nequaquam ista dicens quasi eos compelleret, sed ut illud cum aliis muneribus sine fine agentes honorans et semetipsum eis omnesque conjungens, quoniam hoc solum Deo offertur. Etenim ministeria propter nos, quoniam nos quidem indigemus, Deo autem nulla re opus est, nisi ut hymnis celebretur tanquam propter beneficia dignus, quod etiam fit eorum gratia quibus benefacit. Unde post tres excelsissimos ordines, cæteri ministratria habent cognomina: alii quidem Virtutes dicuntur et sunt, quoniam virtutem accipiunt a Deo et ordinibus sibi superioribus et inferioribus virtutem communicant; alii autem Potestates, quoniam potestatem pariter consequuntur a Deo et primis ordinibus et inferioribus potestatem impertiunt. Similiter et Dominationes, quibus Deus et primi dominantur angeli, ille quidem natura, hi vero dignitate et scientia et quæ ordinibus humilioribus dominantur. Pari ratione hic ordo tertius est et medius, et præstantia gaudet erga ultimum, quoniam refertur ad Deum qui potentes facit et principes ac dominos, et insuper desiderio ditescit ac laude quæ non deficit. Rursus autem Principatus appellantur quibus movendo principatur primus solusque principatus principalissimæ Trinitatis, et quæ subditis principantur; Archangeli vero utpote primi voluntatum Dei hujusque sermonum nuntii et inferioris ordinis principes. Omnium ultimi sunt angeli, ita appellati quoniam ad salutem nostram missi divinas voluntates annuntiant. Igitur hi omnes Dei quidem sunt administratorii in ministerium missi propter eos qui hæreditatem capient salutis; sed insuper perpetuæ orationis operæ incumbunt. Ideo dum nobis apparent ad ministranda salutaria, nunquam absque hymnis et oratione conspiciuntur, auctorem nostrum nobis annuntiantes Deum, eumque solum hymnis celebrare præcipientes. Quamobrem Moysi angelus apparens: « Solve, inquit, calceamentum de pedibus tuis, » in honorem Dei. Isaias concinentes audivit, necnon Ezechiel et Daniel; pastores vero, nato Christo, multitudinem militiæ cœlestis conspexerunt angelorum laudantium Deum et dicentium: « Gloria in altissimis: » et in Apocalypsi Joannes alios quidem cantantes audivit ac viginti quatuor signatosque propter Agnum qui est vivus Dei agnus Jesus Christus, necnon angelum qui ei Apocalypsis arcana revelavit et dixit: « Noli me adorare, conservus tuus sum, Deum adora. » Vide quoniam omnes Deo honorem

A καὶ ἐν αὐτῷ μελετᾷν καὶ θερμαίνεσθαι τούτου τῷ πόθῳ κατὰ τὰ Σεραφίμ, καὶ ὁρᾷν αὐτὸν ἀεὶ ὡς τὰ Χερουβίμ, καὶ ἐν καρδίᾳ τοῦτον ἔχειν ἀναπαυόμενον ὡς οἱ Θρόνοι, τῆς προσευχῆς ἐστιν ἔργον. Διὸ καὶ ἔργον ἐξαίρετον τοῖς Χριστοῦ δούλοις ἡ προσευχὴ παρὰ πάντα· τὰ γὰρ ἄλλα διακονίας εἰσὶ καὶ δεύτερα. Ὅθεν καὶ τοῖς ἄλλοις ἀγγέλοις τοῖς διακονιῶν θείων ἐπωνυμίας κεκτημένοις, *Εὐλογεῖτε τὸν Κύριον*, φησὶν ὁ Δαβὶδ, *πάντες ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τοὺς λόγους αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.* Εἰ γὰρ καὶ τοιοῦτοι τῷ ζήλῳ καὶ τῷ ἐκτελέσαι τὰ προστεταγμένα θερμοὶ, καὶ τοῦτο τὸ ἔργον τῆς ὄντως ὑπακοῆς τε καὶ ταπεινώσεως, ἀλλ' ὅμως καὶ B εὐλογεῖτε καὶ δοξολογεῖτε αὐτὸν πάντοτε· οὐχ ὡς προτρέπων αὐτοὺς τοῦτο λέγων, ἀλλ' ὡς ποιοῦντας ἀπαύστως τοῦτο, καὶ μετὰ τῆς ἄλλης λειτουργίας τιμῶν, καὶ συνάπτων αὐτοῖς ἑαυτὸν καὶ πάντας· ὅτι τοῦτο καὶ μόνον πρὸς Θεὸν ἀναφέρεται· αἱ διακονίαι γὰρ δι' ἡμᾶς, ὅτι ἡμεῖς μὲν χρείαν ἔχομεν, ἀνενδεὴς δὲ ὁ Θεὸς, καὶ μόνον ὑμνεῖσθαι ὡς εὐεργέτης ἄξιος, καὶ τοῦτο διὰ τοὺς εὐεργετουμένους. Ὅθεν μετὰ τὰς τρεῖς ἀνωτάτω τάξεις, αἱ λοιπαὶ τάξεις λειτουργικὰς ὀνομασίας κέκτηνται. Καὶ αἱ μὲν Δυνάμεις εἰσὶ καὶ καλοῦνται, διὰ τὸ ἐνισχύεσθαί τε παρὰ Θεοῦ καὶ τῶν ὑπὲρ αὐτὰς οὐσῶν τάξεων, καὶ ἐνισχύειν τὰς ὑποδεεστέρας· αἱ δὲ Ἐξουσίαι, διὰ τὸ ἐξουσιάζεσθαι, ὁμοίως ἐκ Θεοῦ καὶ τῶν πρώτων, καὶ ἐξουσιάζειν τῶν ὑφ' αὐτάς. C Καὶ αἱ Κυριότητες ὁμοίως, παρὰ Θεοῦ τε καὶ τῶν προτέρων κυριευόμεναι, τοῦ μὲν φύσει, τῶν δὲ τῇ ἀξίᾳ καὶ γνώσει, καὶ τῶν ἄλλων κυριεύουσαι τῶν ὑποδεεστέρων αὐταῖς. Ὁμοίως δὲ τρίτη τάξις αὕτη καὶ μέση ἐστὶ, καὶ τὸ ὑπεροχικὸν **209** ἔχουσα πρὸς τὴν τελευταίαν, ὅτι πρὸς τὸν δυνατοὺς ποιοῦντα Θεὸν καὶ ἐξουσιαστὰς καὶ κυρίους ἀνάγεται, καὶ δευτέρως καὶ τὸν πόθον καὶ τὴν αἴνεσιν ἀδιάλειπτον πλουτεῖ. Αὖθις δὲ ἀρχαὶ καλοῦνται, ἀπὸ τῆς πρώτης μιᾶς ἀρχῆς τῆς ἀρχικωτάτης Τριάδος ἀρχόμεναί τε καὶ κινούμεναι, καὶ ἄρχουσαι τῶν ὑφειμένων· καὶ Ἀρχάγγελοι δὲ, ὡς τῶν θείων θελημάτων καὶ λόγων ἐξαγγελτικοὶ πρῶτοι καὶ τῶν ὑπ' αὐτοὺς ἔξαρχοι. Οἱ δὲ τελευταῖοι D τῶν ἄλλων ἄγγελοι, ὡς πρὸς σωτηρίαν ἡμῶν ἀποστελλόμενοί τε καὶ τὰ θεῖα θελήματα ἀναγγέλλοντες. Οὗτοι οὖν ἅπαντες μὲν λειτουργοὶ Θεοῦ καὶ διάκονοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· πλὴν καὶ τὴν προσευχὴν ἀκατάπαυστον ἔργον κέκτηνται· ὅθεν καὶ ἡμῖν τὰ σωτηριώδη διακονοῦντές τε καὶ ἐμφανιζόμενοι, οὐ χωρὶς ὕμνων καὶ προσευχῆς ἐμφανίζονται, τὸν αἴτιον ἡμῶν Θεὸν ἡμῖν καταγγέλλοντες, καὶ τοῦτον μόνον ὑμνεῖν ἐγκελευόμενοι. Διὸ καὶ Μωϋσῇ ἄγγελος ὀφθεὶς, « Λῦσον, φησὶ, τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου εἰς τιμὴν τοῦ Θεοῦ. » Καὶ ὁ Ἡσαΐας ὑμνούντων ἤκουσε, καὶ Ἰεζεκιὴλ καὶ Δανιήλ. Καὶ οἱ ποιμένες δὲ, Χριστοῦ γεννηθέντος, πλῆθος στρατιᾶς εἶδον ἀγγέλων αἰνούντων τὸν Θεὸν, καὶ τὸ, « Δόξα ἐν ὑψίστοις, » λεγόντων. Καὶ ἐν τῇ

A Ἀποκαλύψει δὲ Ἰωάννης καὶ ἄλλων μὲν ᾀδόντων ἤκουσε, καὶ τῶν εἰκοσιτεσσάρων δὲ πρεσβυτέρων καὶ τῶν σφαγέντων διὰ τὸ ἀρνίον, ὅς ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ ζῶν Ἰησοῦς Χριστός· καὶ ἔτι τοῦ μυοῦντος αὐτὸν τὰ τῆς Ἀποκαλύψεως, λέγοντος αὐτῷ, « Μή ἐμὲ προσκύνει· σύνδουλός σού εἰμι· Θεῷ προσκύνησον. » Ὁρᾷς, ὅτι πάντες Θεῷ τὴν τιμὴν ἀπονέμουσι; καὶ μετὰ τῆς διακονίας αὐτὸν ἐξαιρέτως πάντοτε ἀνυμνοῦσι; Διὰ τοῦτο καὶ πρὸς ἡμᾶς ὁ θεηγόρος Παῦλός φησιν, ὁ ἀγγελικὸς, ὁ σεραφικὸς, ὡς εἰς τρίτον ἀναβὰς πόλον, *Ἀδιαλείπτως προσεύχεσθε*. Καὶ τοῦτο μανθάνει ἀπὸ τοῦ Δεσπότου τῶν ὅλων, διδάσκοντος, *Γρηγορεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι*, καὶ, *Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται*, καὶ, *Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν*, καὶ, *Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις ἐκδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτόν*. Ταῦτα περὶ τῆς ἔνδον προσευχῆς, καὶ τῆς τοῦ ναοῦ φυλακῆς, καὶ τῆς ἀδιαλείπτου προσευχῆς ἐκδιδάσκει. Καὶ ἐπιφέρει, ὅτι *Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτω*. Καὶ ἐπιφέρει τὰς διὰ τὴν γρήγορσιν καὶ τὰς προσευχὰς δωρεὰς, τὸ, *Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ καταστήσει αὐτοὺς*, θεοὺς ἀποδείξει, καὶ βασιλεῖς οὐρανίους, καὶ ὑπὲρ τὸν ἥλιον λάμποντας, καὶ ὡς αὐτὸς ὑπηρετήσει αὐτοῖς. *Περιζώσεται* γὰρ, φησὶ, *καὶ ἀνακλινεῖ αὐτούς· καὶ παρελθὼν διακονήσει αὐτοῖς*, τουτέστι πάντων τῶν αὐτοῦ μεταδώσει. Ὁρᾷς τὰς εὐεργεσίας ἐκ Θεοῦ τῶν γρηγόρως προσευχομένων; ὧν καὶ ἡμεῖς ἀξιωθείημεν, γρηγοροῦντες ἀεὶ, καὶ ἀδιαλείπτως προσευχόμενοι, ὡς ἐδιδάχθημεν.

tribuunt, et inter ministrandum principali munere eum semper hymnis celebrant? Cujus gratia nobis dixit Paulus ille theologus, ille angelicus, ille seraphicus, utpote qui in tertium cœlum ascendit: « Sine intermissione orate. » Quod ipse didicit a Domino universorum qui docet: « Vigilate itaque omni tempore orantes; » et: « Vigilate ergo quia nescitis qua hora Dominus vester venturus sit; » et: « Vigilate et orate, ut non intretis in tentationem; » et: « Sint lumbi vestri præcincti, et lucernæ ardentes, et vos similes hominibus exspectantibus dominum suum quando revertatur a nuptiis, ut cum venerit et pulsaverit, confestim aperiant ei. » Quæ de interna vigilantia de templi custodia, de oratione non intermissa edocet, et addit: « Beatus ille servus quem, B cum venerit dominus ejus, invenerit sic facientem. » Et adjicit mercedem vigilantibus et orantibus dandam: « Super omnia bona sua constituet eos, » deos ostendet et reges cœlestes supra solem fulgentes, et ipse eis quodam modo ministrabit: « Præcinget se, inquit, et faciet illos discumbere, et transiens ministrabit eis, » id est, omnia bona sua communicabit eis. Viden' quantum Deus vigilantibus et orantibus benefaciat? quibus utinam nos quoque digni inveniamur, semper orantes et sine intermissione obsecrantes, prout didicimus.

C

ΚΕΦΑΛ. ΣϞΔ'.

Περὶ τῆς σωτηριώδους ὀνομασίας καὶ ἐπικλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τῆς ἱερᾶς ὄντως καὶ θεοποιοῦ προσευχῆς.

Εἰσὶ μὲν οὖν πλεῖσται προσευχαὶ, περὶ ὧν καὶ κατὰ μέρος ἐροῦμεν, ὡς ἐξισχύσομεν· ἐξαίρετος δὲ πάντων ἐστὶ καὶ ἡ παρὰ τοῦ Σωτῆρος ἡμῖν ἐν Εὐαγγελίοις δοθεῖσα, πᾶσαν περιέχουσα ἐν βραχεῖ τὴν εὐαγγελικὴν γνῶσίν τε καὶ δύναμιν, καὶ ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ σωτηριώδης ἐπίκλησις, περὶ ἧς μὲν καὶ πολλοῖς ἄλλοις πεπόνηται τῶν ὁσίων ἡμῶν Πατέρων, τῷ τε χρυσοῤῥήμονι Πατρὶ ἐν τρισὶ λόγοις περὶ τῆς θείας ταύτης προσευχῆς διδάξαντι, καὶ τῷ τῆς Κλίμακος θεοφόρῳ, καὶ Νικηφόρῳ ἀσκητῇ, καὶ **210** Διαδόχῳ D τῷ ἐν ἁγίοις Φωτικῆς ἐπισκόπῳ, καὶ Συμεὼν ὁσίῳ τῷ νέῳ θεολόγῳ, καὶ λοιποῖς ἄλλοις, ἀξίως τοῦ ἐν αὐτοῖς Θεοῦ Πνεύματος· ἐπεὶ καὶ ἡ προσευχὴ αὕτη ἐν ἁγίῳ λέγεται Πνεύματι, ὡς καὶ ὁ Παῦλός φησιν, « Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. » Καὶ ἐκ τοῦ Θεοῦ ἐστιν ὁ λέγων αὐτήν. « Πᾶν γὰρ, φησὶ, πνεῦμα, ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν. »

CAPUT CCXCIV.

De salvifica appellatione et invocatione Domini nostri Jesu Christi, quæ vere sancta ac divina est precatio.

Sunt quidem plures orationes de quibus singulatim dicemus, prout poterimus; omnium autem præcipua est ea quæ a Salvatore nostro in Evangeliis tradita fuit, totam in paucis amplectens Evangelii notitiam ac virtutem, et Domini nostri Jesu Christi Filii Dei salutaris invocatio cui multi alii sanctorum Patrum nostrorum dederunt operam, nempe chrysologus Pater qui de hac oratione in tribus sermonibus verba fecit, necnon divus scalarius (Joannes Climacus) et asceta Nicephorus et Diadochus in sancta Photicæ sede episcopus, ac sanctus Simeon novus theologus aliique cæteri; digne locuti divino in eis habitante Spiritu, quoniam divina oratio dicitur in divino Spiritu, quemadmodum dixit Paulus: « Nemo potest dicere Jesum Christum, nisi in Spiritu sancto. » Et ex Deo est qui dicit eam. Ait enim: « Omnis spiritus qui confitetur Dominum Jesum Christum in carne venisse, ex Deo est. »

CAPUT CCXCV.

De sanctis Patribus nostris Callisto patriarcha CPol. et Ignatio.

Potissimum vero hac nostra ætate de vita monastica conscripserunt, Spiritu tanquam qui et ipsi ex Deo cum sint, Deiloqui et Deiferi, et Christiferi, et a Deo afflati vere existant, sanctus Pater noster Callistus, qui Regiæ urbis novæ Romæ ex Deo fuit patriarcha, et qui una cum ipso spirabat et exercitabatur confessor Ignatius, et libro peculiari ab illis composito, spiritualiter, divine, et excelse nimis philosophati sunt, centum capitibus, numero perfecto, perfectam de ea cognitionem tradentes. Qui urbis hujus aliarum reginæ surculi, omnibus simul derelictis, in virginitate et monastica vita ac in obedientia prius conversati, vitaque ascetica et cœlesti inseparabiliter posterius peracta, et unitate in Christo, quod ipse Christus a Patre propter nos omnes postulavit inter se egregie custodita, tanquam astra in mundo, ut secundum Paulum loquar, verbum vitæ habentes visi sunt. Nam fortasse supra multos sanctorum unitatem in Christo et dilectionem coluerunt, ita ut cogitari nequiverit unquam ullum discrimen exstitisse vel in ipso sensu et moribus, aut aliquam tristitiam etiam ad unum temporis punctum, quod in hominibus fere est impossibile et facti hac agendi ratione angeli, pace Dei quam flagitavit in ipsis servata et comparata, quæ est Christus Jesus pax nostra, ait Paulus, qui fecit utraque unum, cujus pax exsuperat omnem sensum pacifice defuncti, nunc in altissimis perfruuntur tranquillitate, et puriorem adhuc Jesum conspiciunt quem vere quæsiverunt, et unum sunt cum eo divinaque ejus ac suavissimæ lucis sine fastidio consortes cujus arrhas his in terris acceperunt, facti tam mente quam operibus mundi, et divinam illuminationem quemadmodum in monte apostoli consecuti sunt, vultuque, quod multis in testimonium clare monstratum est, fulgentes et secundum Stephanum conspicui, gratia non solum in corde, sed et in facie eorum diffusa. Ideo secundum magnum illum Moysen visi sunt, ut testati sunt qui viderunt, in modum solis vultu fulgentes; qui utpote beatam hanc affectionem feliciter passi et experientia cognoscentes clari et sancti testes proponuntur de divino lumine naturalis Dei operationis et gratiæ ac de sacra oratione.

ΚΕΦΑΛ. ΣϞΕ.

Περὶ τῶν μακαρίων ἡμῶν Πατέρων Καλλίστου πατριάρχου καὶ Ἰγνατίου.

Ἐξαιρέτως δὲ ἐν ταῖς ἡμέραις ἡμῶν ταύταις περὶ αὐτῆς συνεγράψαντο Πνεύματι, ὡς καὶ αὐτοὶ ὄντες ἐκ Θεοῦ, οἱ θεηγόροι καὶ θεοφόροι καὶ χριστοφόροι, καὶ ἔνθεοι ὄντως ἀληθῶς, ὅ τε ἐν ἁγίοις Πατὴρ ἡμῶν Κάλλιστος ὁ τῆς βασιλευούσης γεγονὼς νέας Ῥώμης ἐκ Θεοῦ πατριάρχης, καὶ ὁ σύμπνους αὐτῷ καὶ συνασκητὴς ὅσιος Ἰγνάτιος· καὶ βίβλῳ οἰκείᾳ συντεθείσῃ παρ' αὐτῶν πνευματικῶς τε καὶ θεοφρόνως καὶ λίαν ὑψηλῶς ἐφιλοσόφησαν ἐν ἑκατὸν κεφαλαίοις, τῷ ἐντελεῖ ἀριθμῷ τελείαν τὴν περὶ ταύτης γνῶσιν ἐκθέμενοι. Οἳ καὶ τῆς βασιλίδος ταύτης πόλεως τελοῦντες βλαστοὶ, πάντα ὁμοῦ καταλιπόντες, καὶ παρθενικῶς καὶ μοναχικῶς ἐν ὑποταγῇ πρὶν πολιτευσάμενοι, καὶ ἀσκητικῶς ὁμοῦ καὶ οὐρανίως ὕστερον καὶ ἀδιαιρέτως ζήσαντες, καὶ τὸ ἓν ἐν Χριστῷ, ὅπερ αὐτὸς Χριστὸς πρὸς τὸν Πατέρα περὶ ἡμῶν πάντων ηὔξατο, ἐν ἑαυτοῖς ἐξαιρέτως διαφυλάξαντες, ὡς φωστῆρες, κατὰ Παῦλον, ἐν κόσμῳ, ζωῆς ἐπέχοντες λόγον ὤφθησαν. Σχεδὸν γὰρ ὑπὲρ πολλοὺς τῶν ἡγιασμένων τὸ τῆς ἑνώσεως ἐν Χριστῷ καὶ ἀγάπης κατώρθωσαν, ὡς μηδὲ ὑπονοηθῆναί ποτε διαφοράν τινα ἄχρι καὶ νεύματος καὶ ἤθους ἐν τούτοις, ἢ πρὸς στιγμήν τινα λύπην· ὅπερ ἐν ἀνθρώποις σχεδὸν ἀμήχανον· καὶ διὰ τοῦτο ἀγγελικοὶ γεγονότες, καὶ τὴν τοῦ Θεοῦ εἰρήνην ὡς ηὔξατο συντηρήσαντες καὶ κτησάμενοι ἐν αὐτοῖς, ἥτις ἐστὶν Ἰησοῦς Χριστὸς ἡ εἰρήνη ἡμῶν, Παῦλος ἔφη, « Ὁ ποιήσας τὰ ἀμφότερα ἕν, οὗ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει, » καταστάντες εἰρηνικῶς, νῦν τῆς ἀνωτάτω κατατρυφῶσι γαλήνης, καὶ καθαρώτερον ἄρτι τὸν Ἰησοῦν βλέπουσιν, ὅνπερ ἐκ ψυχῆς ἠγάπησαν, καὶ ὃν ἀληθῶς ἐζήτησαν· καὶ ἕν εἰσι μετ' αὐτοῦ, καὶ τοῦ φωτὸς αὐτοῦ τοῦ γλυκυτάτου καὶ θείου ἀκορέστως μετέχουσιν· οὗ καὶ τοὺς ἀῤῥαβῶνας ἔλαβον ἀπὸ τῶν ἐντεῦθεν, κεκαθαρμένοι γεγονότες θεωρίᾳ καὶ πράξεσι· καὶ τῆς θείας ἐλλάμψεως τῆς ἐν τῷ ὄρει, ὡς καὶ οἱ ἀπόστολοι τετυχήκασι. Καὶ δέδεικται τοῦτο πολλοῖς ἐναργῶς εἰς μαρτύριον τὴν ὄψιν ἀστράπτοντες κατὰ τὸν Στέφανον ὁραθέντες, ὡς οὐ τῇ καρδίᾳ μόνον, ἀλλὰ καὶ τῇ ὄψει τούτων ἐκχυθείσης τῆς χάριτος· διὸ καὶ κατὰ τὸν μέγαν ἐκεῖνον Μωϋσῆν ὤφθησαν, ὡς μεμαρτυρήκασιν οἱ ἰδόντες, ἀστράψαντες ἡλιοειδῶς τῇ μορφῇ· οἳ καὶ ὡς τὸ μακάριον τοῦτο καλῶς πεπονθότες πάθος, καὶ πείρᾳ γινώσκοντες, τρανῶς δηλοῦσι καὶ περὶ τοῦ θείου φωτὸς τῆς φυσικῆς τοῦ Θεοῦ ἐνεργείας καὶ χάριτος. Καὶ μάρτυρας παράγουσι τοὺς ἁγίους, ὡς καὶ περὶ τῆς ἱερᾶς προσευχῆς.

CAPUT CCXCVI.

Quibus verbis sacra precatio contineatur.

Ita ne divina hæc oratio, nempe Salvatoris nostri invocatio : Domine Jesu Christe Fili Dei, miserere mei, oratio est et votum, ac insuper fidei confessio, Spiritus sancti largitor, divinorum munerum dator, cordis emundatio, dæmonum propulsio, Jesu Christi inhabitatio, fons spiritualium cogitationum et divinorum consiliorum, redemptio

ΚΕΦΑΛ. ΣϞϚ'.

Ὅσα ἐστὶν ἡ ἱερὰ προσευχή.

Αὕτη οὖν ἡ θεία προσευχὴ, ἡ τοῦ Σωτῆρος ἡμῶν ἐπίκλησις, τὸ, « Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, » καὶ προσευχή ἐστι καὶ εὐχὴ, καὶ ὁμολογία τῆς πίστεως, καὶ Πνεύματος ἁγίου παρεκτικὴ, καὶ δωρεῶν θείων χορηγὸς, καὶ κάθαρσις καρδίας, καὶ δίωξις δαιμόνων, καὶ ἐνοίκησις Ἰησοῦ Χριστοῦ, καὶ πνευματικῶν ἐννοιῶν καὶ λογισμῶν θείων πηγὴ,

A καὶ ἁμαρτιῶν ἀπολύτρωσις, καὶ ψυχῶν καὶ σωμάτων θεραπευτήριον, καὶ φωτισμοῦ θείου χορηγὸς, καὶ ἐλέους Θεοῦ βρύσις, καὶ ἀποκαλύψεων καὶ μυήσεων θείων ἐν ταπεινώσει βραβευτὴς, καὶ τὸ μόνον σωτήριον, ἐπεὶ καὶ τὸ σωτήριον φέρει ἐν αὐτῇ τοῦ Θεοῦ ἡμῶν ὄνομα· ὃ δὴ τὸ μόνον **211** ὄνομά ἐστι τὸ ἐπικληθὲν εἰς ἡμᾶς, Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καὶ οὐκ ἔστιν ἐν οὐδενὶ ἄλλῳ σωθῆναι ἡμᾶς, ὥς φησιν ὁ Ἀπόστολος. Διὸ καὶ προσευχή ἐστιν, ὅτι ἐν αὐτῇ τὸν θεῖον ἐπιζητοῦμεν ἔλεον· καὶ εὐχὴ, ὅτι παρέχομεν ἑαυτοὺς Χριστῷ διὰ τῆς αὐτοῦ ἐπικλήσεως· καὶ ὁμολογία, ὅτι τοῦτο ὁμολογήσας ὁ Πέτρος, μεμακάρισται· καὶ Πνεύματος παρεκτικὴ, ὅτι « Οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ· » καὶ δωρεῶν θείων χορηγὸς, ὅτι « Διὰ ταύτην δώσω σοι, τῷ Πέτρῳ φησὶν ὁ Χριστὸς, τὰς κλεῖς τῆς B βασιλείας τῶν οὐρανῶν· » καὶ κάθαρσις καρδίας, ὅτι τὸν Θεὸν ὁρᾷ καὶ καλεῖ καὶ καθαίρει τὸν βλέποντα· καὶ δίωξις δαιμόνων, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐδιώχθησαν καὶ διώκονται πάντες οἱ δαίμονες· καὶ ἐνοίκησις Χριστοῦ, ὅτι τῇ αὐτοῦ μνήμῃ ὁ Χριστός ἐστιν ἐν ἡμῖν, καὶ διὰ τῆς μνήμης ἐνοικεῖ, καὶ εὐφροσύνης πληροῖ. « Ἐμνήσθην γὰρ, φησὶ, τοῦ Θεοῦ καὶ εὐφράνθην. » Καὶ πνευματικῶν ἐννοιῶν καὶ λογισμῶν ἐστι πηγὴ, ὅτι Χριστός ἐστιν ὁ θησαυρὸς πάσης σοφίας καὶ γνώσεως, καὶ οἷς ἐνοικεῖ ταῦτα χορηγεῖ· καὶ ἁμαρτιῶν ἀπολύτρωσις, ὅτι δι' αὐτὴν, « Ὅσα λύσεις, φησὶν, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ· » καὶ ψυχῶν καὶ σωμάτων θεραπευτήριον, ὅτι, « Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει, » C φησί· καὶ, « Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· » καὶ φωτισμοῦ θείου χορηγὸς, ὅτι Χριστὸς τὸ φῶς τὸ ἀληθινόν ἐστι, καὶ τῆς λαμπρότητος αὐτοῦ καὶ χάριτος μεταδίδωσι τοῖς αὐτὸν ἐπικαλουμένοις. « Καὶ ἔστω, φησὶν, ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· » καὶ, « Ὁ ἀκολουθῶν ἐμοὶ ἕξει τὸ φῶς τῆς ζωῆς, » καὶ ἐλέους θείου βρύσις, ὅτι τὸν ἔλεον ζητοῦμεν· καὶ ἐλεήμων ὁ Κύριος, καὶ οἰκτείρει πάντας τοὺς ἐπικαλουμένους αὐτόν· καὶ ποιεῖ τὴν ἐκδίκησιν ἐν τάχει τῶν βοώντων πρὸς αὐτόν· καὶ ἀποκαλύψεων καὶ μυήσεων θείων βραβευτὴς τοῖς ταπεινοῖς, ὅτι καὶ τῷ ἁλιεῖ Πέτρῳ αὕτη δέδοται δι' ἀποκαλύψεως τοῦ ἐν οὐρανοῖς Πατρός. Καὶ Παῦλος ἡρπάγη ἐν Χριστῷ, καὶ ἀποκαλύψεων ἤκουσε· καὶ πάντοτε D τοῦτο ἐνεργεῖ· καὶ τὸ μόνον σωτήριον, ὅτι ἐν οὐδενὶ ἄλλῳ, φησὶν ὁ Ἀπόστολος, ἔστι σωθῆναι ἡμᾶς. Καὶ οὗτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός. Διὸ καὶ τοῦτο ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ πᾶσα γλῶσσα ἐξομολογήσεται καὶ ἀνυμνήσει ἑκοῦσα καὶ ἄκουσα, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός. Καὶ τοῦτο τὸ σημεῖον ἡμῶν τῆς πίστεως, ἐπεὶ καὶ Χριστιανοί ἐσμεν καὶ καλούμεθα, καὶ ἡ μαρτυρία ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν. Πᾶν γὰρ πνεῦμα ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστὸν, ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι, φησὶν, ὡς προέφημεν· καὶ τὸ μὴ ὁμολογοῦν οὐκ ἐκ τοῦ Θεοῦ. Καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου, τὸ μὴ ὁμολογοῦν Ἰησοῦν Χριστόν. Διὸ χρὴ πάντας τοῦτο πιστοὺς τὸ ὄνομα ἀδιαλείπτως ὁμολογεῖν, καὶ διὰ τὴν ἀνακήρυξιν τῆς πίστεως, καὶ διὰ

A a peccatis, animarum et corporum medicina, divini luminis largitor, misericordiæ Dei scaturigo, arcanorum mysteriorumque revelatio divinorum, solum salutare, quoniam in se continet salutare nomen Dei nostri, quod solum nomen est super nos invocatum Jesu Christi Filii Dei, et non est aliud nomen in quo oporteat nos salvos fieri, perinde ac dixit Apostolus. Ideo est oratio, quoniam in ea divinam imploramus misericordiam, est votum, quoniam per invocationem ejus Deo nosmetipsos mancipamus; est confessio, quoniam Petrus hoc confessus beatus declaratus est; est Spiritus largitor, quoniam nemo potest dicere Dominum Jesum nisi in Spiritu sancto; est divinorum munerum dator, quoniam propter eam, « Dabo tibi, ait B Christus Petro, claves regni cœlorum; » est emundatio cordis, quoniam Deum videt et invocat qui spectantem purgat; est dæmonum propulsio, quoniam in nomine Jesu Christi propulsantur et arcentur dæmones universi; est inhabitatio Christi, quoniam per ejus memoriam Christus est in nobis et in nobis habitat ac lætitia replet; ait enim: « Recordatus sum Dei et lætatus sum; » fons est cogitationum et consiliorum spiritalium, quoniam Christus thesaurus est omnis sapientiæ et scientiæ quas eis in quibus habitat impertit; est redemptio a peccatis, quoniam, propter eam, « Quæcunque solveris, inquit, solventur in cœlis; » est animarum et corporum medicina, quoniam dixit: « In nomine C Jesu Christi surge et ambula; » et: « Ænea, sanat te Dominus Jesus Christus; » est divini luminis effusio, quoniam Christus est lux vera, suamque lucem et gratiam communicat invocantibus eum. « Et sit, inquit, splendor Domini Dei nostri super nos; » et: « Qui sequitur me non ambulat in tenebris, sed habebit lumen vitæ; » est divinæ misericordiæ scaturigo, quoniam flagitamus misericordiam, et misericors est Dominus, et miseretur omnium qui invocant eum, et cito faciet judicium clamantium ad eum; arcana et mysteria divina humilibus revelat, quoniam ipsa data est piscatori Petro ex revelatione Patris qui in cœlis est, et Paulus raptus est in Christo arcanaque verba audivit, ac semper hoc operatur; est solum salutare, quoniam D non est aliud nomen, ait Apostolus, in quo oporteat nos salvos fieri, et hic est Salvator mundi Christus; ideo in ultima die omnis lingua illud confitebitur et prædicabit libens vel invita, quia Dominus Christus Jesus, in gloriam Patris. Et hoc est signum fidei nostræ, quoniam Christiani sumus et appellamur, et testimonium quo patet nos ex Deo esse: nam omnis spiritus qui confitetur Dominum Jesum Christum in carne venisse ex Deo est, ait Joannes, quemadmodum supra diximus, et qui non confitetur non est ex Deo, et hoc est Antichristi non confiteri Dominum Jesum. Quapropter oportet fideles universos nomen istud sine intermissione confiteri et propter prædicationem fidei, et propter charitatem a qua nihil

prorsus nos liberabit unquam, et propter gratiam et indulgentiam, redemptionem ac sanitatem ex hoc nomine derivatam, indeque ortam sanctificationem et illuminationem ac ante omnia salutem; in hoc enim divino nomine mirabilia fecerunt apostoli et docuerunt. Divus autem ait evangelista: « Hæc scripta sunt ut credatis quoniam Christus est Jesus Filius Dei « ecce fides, » et ut credentes vitam habeatis in nomine ejus; » en salus et vita.

CAPUT CCXCVII.

Quod omnes Christiani, sacerdotes, monachi et laici, debent statis, quantum possunt, temporibus in nomine Christi orare.

Hoc igitur nomen, hanc orationem omnis vir religiosus jugiter dicat, hanc in mente et in ore habeat et stando, et iter faciendo, et sedendo, et mensæ discumbendo, omnia denique dicendo et faciendo, ad id semetipsum accingat, et maximam inveniet tranquillitatem atque lætitiam, quemadmodum experientia noverunt qui de ea curam habent. Verum cum opus istud vires nostras quandiu in hac vita erimus exsuperet et ipsorum qui in medio tumultu degunt monachorum, oportet singulos tempus habere ad hoc constitutum, omnesque exemplar habere hujus orationis pro viribus adimplendæ et sacerdotes et monachos et laicos. Monachi quidem utpote ad hoc ordinati et urgens de ea officium habentes, etsi in tumultu sint ministeriorum, semper tamen conentur hoc orationis debitum persolvere, et Dominum orare sine intermissione, licet quadam molestia angantur aut confusione, illa etiam quæ mentis appellatur vel vera captivitate, caveant ne negligendo ab inimico seducantur, sed ad orationem redeant, et redientes gaudeant. Sacerdotes vero huic operi indulgeant tanquam apostolico sicut et divinæ prædicationi, quoniam divinas adimplet operationes, et charitatem Christi producit. In mundo autem viventes tanquam sigillum suumque fidei notam, ut custodiam et sanctificationem omnisque tentationis fugam pro viribus hanc operam perficiant. Unde universos sacerdotes laicosque et monachos e somno excitatos Christum cogitare primum oportet, Christique primum meminisse, et istas omnis consilii primitias hostiamve Christo offerre, quia Christi qui nos salvavit et tantum amavit ante quamcunque cogitationem recordari debemus qui Christiani sumus et appellamur, qui eum in divino baptismate induimus, qui unguento ejus signati sumus, sanctamque illius carnem et sanguinem participavimus et participamus, qui membra et templum ejus sumus, qui eum induimus in nobis manentem; propterea diligere eum illiusque semper meminisse debemus. Unde constitutum tempus habeant singuli pro sua facultate et quamdam mensuram orationis peragendæ et haud secus ac

A τὴν ἀγάπην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἧς οὐδὲν ἡμᾶς ὅλως χωρίσαι δεῖ ποτε, καὶ διὰ τὴν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ χάριν καὶ ἄφεσιν καὶ ἀπολύτρωσιν καὶ θεραπείαν, ἁγιασμόν τε καὶ φωτισμὸν καὶ πρὸ πάντων τὴν σωτηρίαν. Ἐν τούτῳ γὰρ τῷ θείῳ ὀνόματι καὶ θαυμαστὰ ἐποίησαν οἱ ἀπόστολοι καὶ ἐδίδαξαν. Καὶ ὁ θεῖος δέ φησιν Εὐαγγελιστής, «Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ· » ἰδοὺ ἡ πίστις· « καὶ ἵνα πιστεύοντες, ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ· » ἰδοὺ ἡ σωτηρία καὶ ἡ ζωή.

ΚΕΦΑΛ. ΣϞΖ'.

Ὅτι πάντες Χριστιανοὶ ἱερωμένοι, μοναχοὶ καὶ λαϊκοὶ, ὀφείλουσι κἂν ὡρισμένως ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ κατὰ δύναμιν προσ-
B *εύχεσθαι.*

Ταύτην οὖν τὴν ὀνομασίαν ὡς προσευχὴν πᾶς εὐσεβὴς λεγέτω διαπαντὸς καὶ τῷ ἑαυτοῦ νοῒ καὶ τῇ γλώσσῃ, καὶ στήκων, καὶ ὁδεύων, καὶ καθεζόμενος καὶ ἀνακλινόμενος, καὶ πάντα λέγων καὶ ἐνεργῶν, καὶ πρὸς τοῦτο ἑαυτὸν ἀεὶ παραβιαζέσθω· καὶ μεγίστην εὑρήσει **212** γαλήνην τε καὶ χαρὰν, ὡς καὶ πείρᾳ εἰδότες εἰσὶν οἱ περὶ αὐτῆς μεριμνῶντες. Ἐπεὶ δὲ τοῦτο τὸ ἔργον ὑπὲρ τοὺς ὄντας ἐστὶ τῷ βίῳ, καὶ αὐτοὺς τοὺς ἐν μέσῳ ὄντας θορύβων μοναχοὺς, κἂν ὡρισμένον εἶναι δεῖ ἐν ἑκάστῳ τὸ περὶ τούτου, καὶ πάντας ὑποτύπωσιν ἔχειν ταύτην τὴν προσευχὴν ἐνεργεῖν κατὰ δύναμιν, καὶ ἱερωμένους, μονάζοντάς τε καὶ λαϊκούς. Οἱ μὲν οὖν μονάζοντες, ὡς εἰς τοῦτο τεταγμένοι, καὶ ὀφειλὴν ἀπαραίτητον περὶ ταύτης
C ἔχοντες, εἰ καὶ ἐν θορύβῳ εἰσὶ διακονημάτων, ὅμως πάντοτε βιαζέσθωσαν ταύτην ἐνεργεῖν ὀφείλοντες τὴν εὐχὴν, καὶ προσεύχεσθαι τῷ Κυρίῳ ἀδιαλείπτως, κἂν μετὰ ῥεμβασμοῦ καὶ συγχύσεως ὦσι, καὶ τῆς καλουμένης τοῦ νοὸς καὶ οὔσης αἰχμαλωσίας, καὶ μὴ διὰ τὸ κλέπτεσθαι ὑπὸ τοῦ ἐχθροῦ ἀμελεῖν, ἀλλ' ἐπανέρχεσθαι πρὸς τὴν προσευχὴν, καὶ χαίρειν ἐπανερχομένους· οἱ ἱερωμένοι δὲ ὡς ἀποστολικοῦ τούτου ἐπιμελείσθωσαν ἔργου καὶ ὡς θείου κηρύγματος, καὶ ὡς θεῖα ἐνεργήματα ἐκτελοῦντος, καὶ ὡς τὴν ἀγάπην παριστῶντος τοῦ Χριστοῦ. Οἱ ἐν τῷ κόσμῳ δὲ, ὡς σφραγίδα ταύτην ἑαυτῶν καὶ σημεῖον τῆς πίστεως, καὶ φυλακὴν καὶ ἁγιασμὸν, καὶ πειρασμοῦ παντὸς διωκτήριον, κατὰ δύναμιν ἐνεργείτωσαν.
D Ὅθεν πάντας ἱερωμένους, λαϊκούς τε καὶ μοναχοὺς, ἐξαναστάντας τοῦ ὕπνου, Χριστὸν ἐννοῆσαι πρῶτον χρὴ, καὶ Χριστοῦ μνησθῆναι πρῶτον, καὶ τοῦτο πάσης ἐννοίας ἀπαρχὴν καὶ θυσίαν προσαγαγεῖν τῷ Χριστῷ· ὅτι καὶ Χριστοῦ τοῦ σώσαντος ἡμᾶς καὶ τοσοῦτον ἀγαπήσαντος πρὸ πάσης ἐννοίας μνησθῆναι δεῖ, ἐπεὶ καὶ Χριστιανοί ἐσμεν καὶ καλούμεθα, καὶ ἐνεδυσάμεθα τοῦτον τῷ θείῳ βαπτίσματι, καὶ ἐσφραγίσθημεν τούτου τῷ μύρῳ, καὶ τῆς ἁγίας αὐτοῦ σαρκὸς καὶ τοῦ αἵματος μετεσχήκαμεν καὶ μετέχομεν, καὶ μέλη αὐτοῦ ἐσμεν, καὶ ναὸς, καὶ τοῦτον ἐνδεδύμεθα, καὶ ἐνοικεῖ ἐν ἡμῖν, καὶ διὰ τοῦτο ἀγαπᾷν αὐτὸν, καὶ ἀεὶ τούτου μεμνῆσθαι ὀφείλομεν. Ὅθεν καὶ ὡρισμένον ἐχέτω πᾶς καιρὸν κατὰ δύναμιν καὶ ἀριθμόν τινα τῆς προσευχῆς ταύτης εἰς ὀφει-

λήν. Καὶ τὰ μὲν περὶ τούτου ἀρκείτω· ἐπεὶ καὶ τοῖς περὶ τούτου ζητοῦσι πλεῖστα εἰς διδασκαλίαν ἐστίν. Ἀρκτέον δὲ ἤδη, ὡς προετέθη περὶ τῶν θείων προσευχῶν τῆς Ἐκκλησίας, αἳ κατὰ τάξιν ἐκτε-λοῦνται, εἰπεῖν, ὅτι καὶ περὶ τούτων ἡ ζήτησις. Καὶ δὴ κατὰ δύναμιν ἴδωμεν. Πρῶτον μὲν οὖν λέγομεν, ὡς ἀγγέλων τοῦτο τὸ ἔργον, ὡς προειρήκαμεν· καὶ πρὸς τοῦτο ὡς θειότατον ὂν καὶ ἡ Ἐκκλησία τὴν σπουδὴν ἔχει. Καὶ γὰρ πᾶν μὲν ἔργον ἄλλο, ἐλεημοσύνη δηλαδὴ καὶ διακονία ἀδελφῶν, καὶ ἐπίσκεψις ἀσθενῶν, καὶ τῶν ἐν φυλακῇ πρόνοια, καὶ αἰχμαλώτων ἀνάῤῥυσις, καὶ τὰ ὅμοια, ὑπὲρ τῆς ἀγάπης τελοῦσι τῶν ἀδελφῶν· καὶ δι' αὐτῶν εἰς Θεὸν ἀναφέρεται. Καὶ ἀκτημοσύνη δὲ καὶ νηστεία, καὶ χαμευνία, καὶ γονυκλισία, καὶ ἀγρυπνία, καὶ τὰ λοιπὰ εἰς τῆξιν τοῦ σώματος ὄντα, διὰ τὴν καθαρότητα, B καὶ τὸ πλησιάσαι Θεῷ, καὶ φίλον γενέσθαι, καλὰ καὶ ὡς θυσία Θεῷ, πλὴν οὐκ ἀμέσως παριστῶσιν αὐτῷ. Ἡ δέ γε προσευχὴ αὐτῷ παρίστησι τῷ Θεῷ, καὶ ἑνοῖ αὐτῷ, καὶ τὰ τοῦ φίλου ποιεῖ, καὶ ὁμιλεῖ, καὶ θαῤῥεῖ, καὶ αἰτεῖται, καὶ ἓν ποιεῖ μετ' αὐτοῦ. Ὤφειλεν οὖν ἀσίγητός τε καὶ ἄπαυστος εἶναι ὥσπερ καὶ τοῖς ἀγγέλοις. Ἐπεὶ καὶ τοῦτο μόνον ζητεῖ Θεὸς παρ' ἡμῶν, τὸ μεμνῆσθαι αὐτοῦ, καὶ σὺν αὐτῷ εἶναι, καὶ αὐτὸν μόνον ζητεῖν καὶ ἀγαπᾷν καὶ ὁρᾷν, ὡς ἂν καὶ τὰ αὐτοῦ καθαρῶς λαμβάνωμεν καὶ ἀμέσως. Ἀλλ' ἐπειδὴ τοῦτο ἡμῖν διὰ τὸ κάλυμμα τῆς σαρκὸς καὶ τὰς ἀνάγκας ἀδύνατον, μόλις δέ τισι σπανίως Θεοῦ δωρεὰ ἐξεγένετο ἰσαγγέλοις, κατ' ἀνάγκην τεταγμένους καιροὺς καὶ ὡρισμένους ἀπαραιτήτους εἰς C προσευχὰς ἐτάξατο ἡ Ἐκκλησία, καὶ ὀφειλὴν ἐν τούτοις ἅπας ἔχει πιστός.

ΚΕΦΑΛ. ΣϞΗ'.

Ὅτι ἑπτὰ αἱ τοῦ ἡμερονυχθίου, πλὴν τῆς ἱερουργίας, αἰνέσεις τῆς Ἐκκλησίας.

Οἱ δὲ καιροὶ καὶ αἱ προσευχαὶ ἑπτὰ τελοῦσι τὸν ἀριθμὸν, κατὰ τὸν ἀριθμὸν τῶν χαρισμάτων τοῦ Πνεύματος. Ἐπεὶ καὶ διὰ τοῦ Πνεύματος αἱ ἱεραὶ προσευχαὶ, καί εἰσιν αὗται, **213** οὕτω καλούμεναι· Μεσονυκτικὸν, Ὄρθρος συναπτῶς μετὰ τῆς Πρώτης ὥρας, Τρίτη ὥρα, Ἕκτη τε καὶ Ἐννάτη, Ἑσπερινὸς καὶ Ἀπόδειπνον. Περὶ ὧν δὴ καὶ ὁ προφήτης λέγει Δαβίδ· « Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε· » καὶ περὶ ἑκάστου μέμνηται καιροῦ· D « Μεσονύκτιον ἐξεγειρόμην, » καὶ· « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, » καὶ· « Τῷ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τῷ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με. » Καὶ διὰ τὴν Τρίτην, καὶ Ἕκτην, καὶ τὴν Ἑσπέραν, οὕτω φησίν· « Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. » Περὶ δέ γε τῶν Ἀποδείπνων, « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. »

ΚΕΦΑΛ. ΣϞΘ'.

Δι' ἣν αἰτίαν αἱ ἑπτὰ αἰνέσεις.

Αἰτία δὲ ἑκάστου καιροῦ τοιαύτη· Μεσονυκτίου μὲν, διὰ τὸ ἄγρυπνον τῶν ἀγγέλων καὶ τὴν ἀσίγητον αἴνεσιν, καὶ διὰ τὸ ἡσύχιον καὶ εἰρηνικὸν τοῦ

A debitum persolvendæ. Quæ quidem de hac materia sufficiant, cum de ea sciscitantes plura inde hauriant documenta. Jam vero incipiendum est, prout præmissum est, de divinis Ecclesiæ precibus quæ secundum ordinem fiunt dicere, quoniam de his quoque versatur interrogatio; itaque pro viribus videamus. Primum quidem dicimus istud esse opus angelorum, prout supra diximus, cui utpote divinissimo Ecclesia studiose incumbit. Nam quodlibet aliud opus, scilicet miseratio et ministerium fratrum, ægrotantium visitatio, providentia detentorum in carcere, captivorum redemptio et similia, fiunt propter amorem fratrum, et per eos ad Deum appropinquatur; paupertas vero, jejunium, humi cubare, genuflexio, vigilia et cætera quæ ad debilitandum corpus ordinata sunt castitatis gratia, vel B ad appropinquandum Deo ad amicitiam ejus comparandam, egregia sunt ut sacrificium Deo oblatum, sed tamen non sine medio ad eum introducunt. Oratio autem ad Deum adducit, et ipsi adjungit, et partes amici adimplet, cum eo colloquitur, eidem confidit, ab eo postulat, et unum facit cum eo. Debuit ergo esse perpetua et absque intermissione, cum hoc solum Deus a nobis poscat ut ejus recordemur, et cum eo simus, et ipsum quæramus solum, amemus ac videamus, ut ejus bona pura mente et absque medio suscipiamus; sed cum istud nobis sit propter carnis integumentum et necessitates vitæ impossibile, et vix quibusdam perquam paucis ab angelis non dissimilibus hoc Dei do- C num fuerit impertitum, necessario præstitutas signatasque horas quibus urgeat orationis officium, constituit Ecclesia, in his pensum quilibet fidelis habet.

CAPUT CCXCVIII.

Quod intra diei et noctis spatium septem celebrentur laudationes, præter sacram Missam.

Horæ autem et preces septenum conficiunt numerum, secundum numerum charismatum Spiritus, quoniam per Spiritum sacræ fiunt preces; istæ vero ita sunt appellatæ: Nocturnum, Laudes, Matutinæ conjunctæ cum hora Prima, Tertia, Sexta, Nona, Vesperæ et Completorium. De quibus propheta dicit David: « Septies in die laudem dixi tibi; » insuper de singulis meminit horis: « Media D nocte surgebam; » et: « Deus, Deus meus, ad te de luce vigilo; » et: « Mane exaudies vocem meam, mane astabo tibi, et inspicies me. » De Tertia, de Sexta et Vesperis sic ait: « Vespere et mane et meridie narrabo et annuntiabo, et exaudiet vocem meam. » Verum de Completorio: « Lavabo per singulas noctes lectum meum, in lacrymis meis stratum meum rigavi. »

CAPUT CCXCIX.

Quam ob causam septem laudationes sint.

Causa vero cujusque horæ hæc est: Nocturni quidem propter vigilantiam angelorum eorumque laudem nunquam silentem et propter tranquillita-

lem paremque mentis quæ circa divinam laudationem versatur, necnon resurrectionis gratia; nam valde mane una Sabbatorum surrexit Dominus; vel etiam propter secundum ejus adventum quem fideles exspectamus omnes, quando velut e somno nos excitabit a morte, et ipse animarum sponsus, sicut dixit, veniet media nocte, itaque nos oportet vigilare; Laudum vero matutinarum, quoniam advenit dies, ad gratias ei qui lucem adducit agendas, propter eum qui solvit noctem erroris et pietatis lumen nobis impertivit. Ideo hora prima cum laudibus conjungitur, quoniam hæc est ipsa diei primitiæ, ac velut donum laudisque sacrificium cum matutina laudatione Deo offertur, et quoniam omnes apparuerunt creaturæ luce collustratæ. Quapropter ad glorificandum cum angelis Dei istæ nos convocant. Hora autem tertia hymnos canimus in honorem Trinitatis, et quoniam e mundo quatuor elementis coagmentato quarta pars diei transiit, necnon propter adventum in hora tertia sanctissimi Spiritus. Similiter et in hora sexta, in gloriam Trinitatis omnia producentis, et quia e mundo quatuor principiis constanti alia transiit pars quarta trium horarum spatium, et jam adest meridies, in eadem hora sexta Deus pro nobis incarnatus crucifixus est propter nos. In nona Deum celebramus quoniam tres post sextam elapsæ sunt horæ, in honorem Trinitatis. Similiter autem dicuntur Vesperæ in hora duodecima, tribus horis a Nona elapsis. Præsertim vero Tertiæ instituta est oratio propter sanctam, sicut diximus, Trinitatem, Deum universorum solumque Deum nostrum, et quoniam in hac hora lata est contra Salvatorem sententia, ac in eadem in apostolos descendit Spiritus sanctus in quo fideles universæ terræ illuminati sumus. Sextæ autem gratiarum fit actio et propter meridiem, et quia crucifixus est in ea Dominus, et tenebræ factæ sunt super omnem terram, cum Salvator pro nobis carne pateretur. Nonæ vero hymnus ordinatus est et quoniam ad finem venit dies, et propter Trinitatem quam nonus numerus ter prædicat, et præcipue quoniam ipsa hac hora Salvator noster exclamavit et commendavit Patri divinam animam suam, ac consummatum pro nobis factum est sacrificium, anima et corpore pro omnibus Deo et Patri oblatus, quando terra mota est, et petræ scissæ sunt, et monumentis apertis in procemium communis resurrectionis, multa corpora sanctorum qui dormierant surrexerunt, quoniam morte Domini mors mortua est, et qui erant in inferno liberati sunt. Nam propter sanctam ejus animam Deo commendatam corpusque ejus libenter in sacrificium per crucem datum, animæ nostræ e manibus diaboli fuerunt erutæ, et corpora nostra, ipso resurgente, immortalitatem acceperunt. Igitur gratias agimus ei qui carne pro nobis mortuus est animasque nostras per suam sanctam animam in manus Patris commendavit et per mortem ejus nos vivificavit. Hymnus autem vespertinus ostendit nos

A νοὸς περὶ τὴν θείαν δοξολογίαν, καὶ τὴν ἀνάστασιν· Ὀψὲ γὰρ Σαββάτων ἐξηγέρθη ὁ Κύριος· καὶ διὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ἣν πιστοὶ πάντες ἀπεκδεχόμεθα, ὅτε ὡς ἐξ ὕπνου ἡμᾶς ἐξεγερεῖ τοῦ θανάτου, καὶ αὐτὸς δὲ τῶν ψυχῶν ὁ νυμφίος, ὡς ἔφη, ἐλεύσεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ δεῖ γρηγορεῖν ἡμᾶς· Ὄρθρου δὲ, διὰ τὸ ἔρχεσθαι τὴν ἡμέραν, εἰς εὐχαριστίαν τοῦ παραγαγόντος τὸ φῶς, καὶ διὰ τὸν λύσαντα τὸ σκότος τῆς πλάνης, καὶ τὸ τῆς εὐσεβείας φῶς ἡμῖν χορηγήσαντα. Διὸ καὶ ἡ τῆς πρώτης ὥρας μετὰ τοῦ Ὄρθρου δοξολογία συνάπτεται, διὰ τὸ ἀπαρχὴν εἶναι τῆς ἡμέρας καὶ αὐτὴν, ὡς δῶρόν τε μετὰ τοῦ Ὄρθρου καὶ θυσίαν αἰνέσεως προσφέρεσθαι τῷ Θεῷ, καὶ ὅτι πάντα τῷ φωτὶ φωτισθέντα ἐδείχθη τὰ κτίσματα. Διὸ καὶ εἰς αἶνον B ταῦτα σὺν τοῖς ἀγγέλοις προσκαλούμεθα τοῦ Θεοῦ. Τῇ τρίτῃ δὲ ὥρᾳ ὑμνοῦμεν εἰς τιμὴν τῆς Τριάδος, καὶ ὅτι παρῆλθε τοῦ ἐκ τεσσάρων στοιχείων κόσμου τῆς ἡμέρας τὸ τέταρτον, καὶ διὰ τὴν ἐπιδημίαν ἐν τῇ τρίτῃ ὥρᾳ τοῦ παναγίου Πνεύματος. Ὁμοίως δὲ καὶ ἐν τῇ Ἕκτῃ, εἰς δόξαν τῆς Τριάδος τῆς παραγαγούσης τὸ πᾶν, καὶ ὅτι ἄλλο παρῆλθε τέταρτον τῆς ἡμέρας τοῦ τετραμεροῦς κόσμου τριῶν ὡρῶν διάστημα, καὶ τὸ μεσαίτατόν ἐστι ταύτης. Ἐν αὐτῇ δὲ τῇ Ἕκτῃ καὶ ὁ σαρκωθεὶς ὑπὲρ ἡμῶν ἐσταύρωται δι' ἡμᾶς. Καὶ ἡ τῆς Ἐννάτης δοξολογία διὰ τοῦτο, ὅτι τρεῖς μετὰ τὴν ἕκτην ὧραι παρῆλθον, εἰς τιμὴν τῆς Τριάδος. Καὶ τοῦ Ἑσπερινοῦ ὁμοίως, ἐν τῇ δωδεκάτῃ ὥρᾳ, τριῶν ὡρῶν παρελθουσῶν μετὰ C τὴν Ἐννάτην. Ἐξαιρέτως δὲ ἡ μὲν τῆς Τρίτης δοξολογία, διὰ τὴν ἁγίαν, ὡς ἔφημεν, Τριάδα, τὸν τῶν ὅλων Θεὸν καὶ μόνον Θεὸν ἡμῶν, καὶ ὅτι ἐν αὐτῇ ἡ κατὰ τοῦ Σωτῆρος ἀπόφασις γέγονε, καὶ ἐν αὐτῇ τῇ ὥρᾳ εἰς τοὺς ἀποστόλους κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ οἱ τῇ οἰκουμένῃ πιστοὶ ἐφωτίσθημεν. Ἡ δὲ τῆς Ἕκτης εὐχαριστία, καὶ διὰ τὸ μεσαίτατον τῆς ἡμέρας, καὶ διὰ τὸ σταυρωθῆναι ἐν αὐτῇ τὸν Κύριον, καὶ τὸ γενέσθαι σκότος ἐπὶ πᾶσαν τὴν γῆν, ὡς τοῦ Σωτῆρος ὑπὲρ ἡμῶν σαρκὶ πάσχοντος. Ὁ τῆς Ἐννάτης δὲ ὕμνος, καὶ διὰ τὸ πρὸς τὸ τέλος ἔρχεσθαι τὴν ἡμέραν, καὶ διὰ τὴν Τριάδα τῶν ἐννέα τρισσῶς αὐτὴν κηρυττόντων, καὶ ἐξαιρέτως διὰ τὸ ἐν τῇ αὐτῇ τῇ ὥρᾳ τὸν Σωτῆρα ἡμῶν ἐκφωνῆσαι, καὶ D παραδοῦναι τῷ Πατρὶ τὴν θείαν αὐτοῦ ψυχὴν, καὶ τελείαν ὑπὲρ ἡμῶν τὴν θυσίαν γενέσθαι, καὶ ἀνενεχθῆναι ὑπὲρ ἁπάντων ψυχῇ τε καὶ σώματι τῷ Θεῷ καὶ Πατρὶ, ὅτε καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τῶν μνημείων ἀνεῳχθέντων εἰς προοίμιον τῆς κοινῆς ἀναστάσεως, πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἐγήγερται, ὅτι τῷ θανάτῳ τοῦ Κυρίου ὁ θάνατος νενέκρωται, καὶ οἱ ἐν ᾅδου ἠλευθερώθησαν. Διὰ γὰρ τῆς ἁγίας αὐτοῦ ψυχῆς, τῷ Πατρὶ παρατεθείσης, καὶ τῆς σαρκὸς ἑκουσίως εἰς θυσίαν διὰ σταυροῦ δοθείσης, αἱ ψυχαὶ ἡμῶν τῶν διαβόλου χειρῶν ἐῤῥύσθησαν, καὶ τὰ σώματα ἡμῶν,
214 ἀναστάντος αὐτοῦ, ἀθανασίαν εἰλήφασιν. Εὐχαριστοῦμεν οὖν τῷ ἀποθανόντι σαρκὶ δι' ἡμᾶς, καὶ εἰς τὰς τοῦ Πατρὸς χεῖρας διὰ τῆς ἁγίας αὐτοῦ

A ψυχῆς ἡμῶν τὰς ψυχὰς παραθεμένῳ, καὶ τῷ θανάτῳ αὐτοῦ ἡμᾶς ἀναζήσαντι. Ὁ δέ γε ἑσπερινὸς ὕμνος αὐτὸ τοῦτο δηλοῖ, τὸ δοξολογεῖν ἡμᾶς τὸν κτίστην ἡμῶν, ὅτι ἤλθομεν εἰς τὸ τῆς ἕω ἤτοι τῆς ἡμέρας πέρας, καὶ ἀνατιθέαμεν τὸ πᾶν αὐτῆς τῷ Θεῷ· καὶ ὑπὲρ τούτων εὐχαριστοῦμεν, ὑπὲρ τῆς ζωῆς ἡμῶν καὶ τροφῆς καὶ τῶν ἐννοιῶν καὶ λόγων καὶ πράξεων· αἰτούμεθα δὲ καὶ τὴν νύκτα εἰρηνικὴν καὶ ἀναμάρτητον καὶ ἀσκανδάλιστον διελθεῖν. Ὁ καὶ ὡς προοίμιον τοῦ τέλους τῆς ζωῆς ἡμῶν ἐστιν· ὡς γὰρ νὺξ ὁ θάνατος ἡμῖν ἔρχεται.

Creatorem nostrum glorificare, quoniam sive in ortum sive in occasum diei appropinquemus, eam totam Deo offerimus, et de his gratias agimus de vita nostra et esca, de cogitationibus verbisque et operibus; oramus vero noctem in pace sine peccato et absque scandalo transigere. Quod est velut proœmium finis vitæ nostræ; nam sicut nox, ita mors venit.

ΚΕΦΑΛ. Τ'.

Διατί ἀπὸ τῆς ἑσπέρας τῶν εἰς τοὺς ἁγίους ὕμνων ἀρχόμεθα, καὶ τὰς ἱερὰς ἑορτάς.

Διὸ καὶ ἀπὸ τῶν ἑσπερινῶν ὕμνων τῶν ἐγκωμίων τῶν ἁγίων ἀρχόμεθα· ὅτι ἐν ἡμέρᾳ οὗτοι ζήσαντες B τῷ φωτὶ τοῦ Θεοῦ τῆς χάριτος, καὶ ὡς ἐν ἡμέρᾳ τῷ βίῳ τούτῳ τελέσαντες τὴν ζωὴν, ταῖς μὲν ψυχαῖς ἐν τῷ ἀδύτῳ φωτί εἰσι, τοῖς σώμασι δὲ ἔτι κατέχονται τῷ θανάτῳ, τὴν τελευταίαν ἡμέραν τὴν ἀνέσπερον ἀναμένοντες, ὅτε καὶ κομισάμενοι τὴν ἐπαγγελίαν, ἐξαναστάντες μεθ' ἡμῶν, καὶ τῇ σαρκὶ μεθ' ἡμῶν τελειωθῶσιν ἐκεῖσε. Τὸ δέ γε ἀπόδειπνον εὐχαριστία ἐστὶν ὑπὲρ τῆς νυκτὸς διὰ τὴν ἀπὸ τῶν πόνων ἀνάπαυσιν καὶ διὰ τὴν ὑπόμνησιν τοῦ θανάτου, ὃς ἀκολούθως ἡμῖν ἐπέρχεται, καὶ ὡς ἀπαρχὴ τῆς νυκτός· ἐπεὶ καὶ αὕτη δῶρον Θεοῦ, καὶ τῶν κτισμάτων αὐτοῦ ἓν ὑπὲρ ἡμῶν καὶ τῆς λοιπῆς κτίσεως· καὶ ἵνα ταύτην ἀνεπηρεάστως διέλθωμεν, ἀπὸ τῶν ἐπηρεαστικῶν καὶ φθονερῶν καὶ σκοτεινῶν καὶ ζοφωδεστάτων δαιμόνων· ὧν Χριστὸς ὁ Θεὸς C ἡμῶν ἡμᾶς ῥύσαιτο. Καὶ αὗται μὲν αἱ τῶν ὕμνων τάξεις, αἳ καὶ αἰνέσεις ἑπτὰ παρὰ τῷ Δαβὶδ λέγονται. Γίνεται δὲ ἡ τούτων εὐταξία καὶ διατύπωσις καὶ ἡ ἑκάστου ἀκολουθία, ὡς ἐν τῷ τῆς Ἐκκλησίας Τυπικῷ γέγραπται. Τυπικὰ δέ εἰσι διπλᾶ· καὶ τὸ μὲν ἔστι τῆς καθολικῆς Ἐκκλησίας, ὃ δὴ καὶ κατὰ μόνην ὡς ἐξετέθη τηρεῖται τὴν τάξιν τῆς ἱερᾶς λειτουργίας.

CAPUT CCC.

Quare vesperi hymnos in sanctos et sancta festa inchoamus.

Idcirco a vesperis sanctos laudare et celebrare incipimus, quoniam isti postquam vixerunt in die luminis divinæ gratiæ et velut in die ex hoc mundo vita functi sunt, anima quidem sunt in luce inaccessa, corpore autem adhuc morte possidentur, diem ultimam quæ vesperam nescit exspectantes, quando, jussu accepto, nobiscum resurgentes, ibi nobiscum carne consummabuntur. Completorium autem est gratiarum actio pro nocte per cessationem a laboribus et mortis memoriam quæ simul ad nos appropεrat; hoc est mortis initium, quum ipsa sit donum Dei una ex ejus creaturis pro nobis et pro reliqua creatione facta, utque eam sine offensa transigamus ab infestis et mortiferis necnon tenebrosis et valde atris dæmonibus, e quibus Christus Deus noster nos eruit. Hæc autem precum dispositio imago est et analogia cujuscumque, ut in typo Ecclesiæ scriptum est. Nam duo sunt typi; alius quidem Ecclesiæ catholicæ, qui in solo divini sacrificii ordine sicut institutus est, servatur.

ΚΕΦΑΛ. ΤΑ'.

Ὅτι ἡ θεία λειτουργία μόνη καὶ παρὰ τοῦ Σωτῆρος ἔργον τῶν ἱερέων, καὶ οὐ μετὰ τῶν ἄλλων συναπτομένη ἢ ἀριθμουμένη προσευχῶν.

Αὕτη δὲ ἡ θεία καὶ ἱερωτάτη τῶν τελετῶν τελετὴ οὐ τῶν ἑπτὰ δοξολογιῶν ἐστιν, ἀλλ' ἰδία, καὶ τοῦ Ἰησοῦ μόνου, καὶ ἔργον ἱερέων. Διὸ οὐδὲ περὶ ταύτης ἡμεῖς ἐν ταῖς δοξολογίαις ἐμνήσθημεν· ὅτι οὐδὲ σὺν αὐταῖς ἀριθμεῖται. Καὶ γὰρ ἐξαίρετόν τι D τοῦτο, καὶ μόνον ἔργον Θεοῦ, καὶ ὑπὸ τῶν ἱερέων αὐτοῦ καὶ οὐ τινος ἄλλου τελούμενον. Αἱ λοιπαὶ δὲ ἄλλαι ἀκολουθίαι τοῦ τῆς μεγάλης Ἐκκλησίας Τυπικοῦ ἐν τῷ παρόντι καιρῷ κατὰ μὲν τὰς ἄλλας ἐκκλησίας οὐκ ἐνεργοῦνται, οὐδ' ἐν αὐτῇ τῇ φιλοχρίστῳ καὶ βασιλίδι πόλει, διὰ τὸ καὶ αὐτὴν ποτε ὑπὸ τῶν Λατίνων ἁλῶναι, καὶ τὰ τοῦ καλοῦ ἀπολέσαι καὶ ἀρχαιοτάτου ἔθους αὐτῆς· οἶμαι δὲ καὶ διὰ τὸ χρείαν ἔχειν ἱερέων πλειόνων τε καὶ ψαλτῶν. Ὅμως ἐκτελεῖ ταύτην τῇ ἑορτῇ τῆς ὑψώσεως, εἴγε ᾀσματικὴν τελέσει ἀκολουθίαν, καὶ ἐν τῇ κοιμήσει τῆς Θεομήτορος, καὶ τῇ τοῦ Χρυσοῤῥήμονος μνήμῃ. Πλὴν αἱ τοῦ λυχνικοῦ εὐχαὶ καὶ τοῦ ὄρθρου, αἳ καὶ ἑωθιναὶ λέγονται, μαρτυροῦσιν αὐτὴν, σωζόμεναι

CAPUT CCCI.

Quod sacræ cœnæ liturgia sola et a Salvatore tradita sacerdotibus proprium opus sit, nec cum aliis censeatur vel computetur precationibus.

Ipsa autem divina et sacerrima mysteriorum oblatio non censetur inter septem laudationes, sed singularis est soliusque opus Jesu et sacerdotum; propterea nequaquam de ea in laudationibus meminimus, quoniam minime cum eis annumeratur; nam hoc est aliquid eximium et solum opus Dei a sacerdotibus ejus peractum, non autem a quovis alio. Cæteri vero divini officii ordines magnæ Ecclesiæ Typici in hoc tempore in aliis quidem fiunt ecclesiis, minime autem in ipsa civitate illa Christo dilecta et aliarum regina, quoniam a Latinis quondam oppugnata fuit, et bonos suos ac antiquissimos usus amisit, vel etiam, me judice, quoniam pluribus indiget sacerdotibus et cantatoribus. Verum hoc simul operatur in festo Exaltationis, si canticorum ordinem perficiat, et in dormitione Deiparæ atque in commemoratione Chrysostomi. Cæterum diluculi et auroræ preces, quæ matutinæ dicuntur hanc litationem testantur custoditæ et

secundum veterem ordinem ordinatæ sicut et illæ quæ per nocturnas vigilias recitantur, necnon et ipsa vespertina oratio quæ ex illo ordine constat; illa enim offerunt preces per sacerdotem Deo quæ cantores concinunt, quod monstrat quoque quinquagesimi psalmi et laudum oratio. Ipse vero cantionum ordo desiit in aliis urbibus, quæ admodum egregie disponuntur, Deoque per psalmos et hymnos offeruntur, in hac autem sola piissima civitate nostra Thessalonica secundum magnam Ecclesiam, quemadmodum vides, frater, conservatur, et permanet secundum veterem et optimam magnarum illarum Ecclesiarum consuetudinem, scilicet Antiochiæ et multarum aliarum.

CAPITA CCCII, CCCIII.

Quod retinendus sit ordo cantionum in Ecclesia, et de Typico Hierosolymitano.

Deprecor vos in Christo, ut ordinem hunc in perpetuum conservetis, et veluti scintilla quædam divina traditio Patrum perseveret: quam cum et ipsi velimus ut incorrupta conservetur, et veluti condimentum quod dulcedinem conciliat, persistat, illi et canones subjunximus, ne quis circa bona murmurator, et ordinis ignarus, quin imo piger ac segnis, nonnullis adinventis prætextibus illius destructionem machinetur; non solitos inquiens, et qui ab omnibus canuntur canones audiri. Nunc enim et hi additi sunt. At his qui attentius animum applicant, alacrioresque sunt, ordinatior, et suavior eo, qui in monasteriis et aliis fere omnibus ecclesiis fit, qui ex Hierosolymitano Typico monasterii Sancti Sabæ ordo præscribitur, accedit, quod scilicet ab uno eoque solo perfici potest, quando a monachis dispositum est, et absque cantu sæpissime in cœnobiis absolvatur. Et hæc quidem constitutio, quam maxime necessaria, et Patribus convenientissima est. Etenim sanctus Pater noster Saba eam præscripsit a sanctis Euthymio et Theoctisto acceptam: hi porro a majoribus, et homologeta Charitone desumpserunt. Sacri vero Sabæ constitutionem, ut audivimus, locis illis irruptione Barbarorum vastatis, deperditam, sanctus Pater noster Sophronius, sanctæ civitatis patriarcha, studio laboreque restituit; et post eum rursus divinus et rebus theologicis pertractandis acerrimus Joannes Damascenus renovavit, scriptoque demandatam tradidit.

Hanc igitur subsecutæ sacræ omnes monasticæ societates ac ecclesiæ, præter quasdam proprias institutiones secundum tempora statutas magnæ Constantinopolis Ecclesiæ ex antiquo ordine, et quæ in mundo sunt Ecclesiis; quoniam illi qui in mundo sunt omnia nequeunt peragere; non enim dicunt Psalterium nisi in sancta solaque magna Quadragesima, sacra ita faciunt universa monasteria.

A καὶ κατὰ τὸν πάλαι τύπον συγκείμεναι, ὡ καὶ αἱ τῆς παννυχίδος λεγόμεναι· καὶ αὐτὴ δὲ ἡ τοῦ ἑσπερινοῦ εὐχὴ ἐκ τῆς ἀκολουθίας ἐκείνης οὖσα. Ἐκεῖνα γὰρ ἀναφέρουσιν αἱ εὐχαὶ διὰ τοῦ ἱερέως τῷ Θεῷ, ἃ οἱ ψάλλοντες ᾄδουσι. Καὶ ἡ τοῦ πεντηκοστοῦ δὲ εὐχὴ τοῦτο δείκνυσι, καὶ ἡ τῶν αἴνων. Ἀλλ' ἡ μὲν ᾀσματικὴ αὕτη ἀκολουθία πέπαυται ἐν πόλεσιν ἄλλαις, καλῶς οὖσα συντεθειμένη, καὶ διὰ ψαλμῶν **215** καὶ ἐφυμνίων Θεῷ ἀναφερομένη· ἐν μόνῃ δὲ τῇ ἡμετέρᾳ ταύτῃ εὐσεβεστάτῃ πόλει Θεσσαλονίκῃ κατὰ τὴν μεγάλην αὐτῆς Ἐκκλησίαν, καθὼς ὁρᾷς, ἀδελφὲ, συντετήρηται καὶ μένει, κατὰ τὸ πάλαι κάλλιστον τῶν μεγάλων ἐκκλησιῶν ἐκείνων ἔθος, τῆς βασιλευούσης φημὶ καὶ Ἀντιοχείας, καὶ πλείστων ἄλλων.

B

ΚΕΦΑΛ. ΤΒ', ΤΓ'.

Περὶ τοῦ τηρεῖσθαι τὴν ᾀσματικὴν λεγομένην ἀκολουθίαν, καὶ περὶ τοῦ Ἱεροσολυμητικοῦ Τυπικοῦ.

Καὶ δέομαι ὑμῶν ἐν Χριστῷ συντηρεῖσθαι ταύτην τὴν τάξιν μέχρι παντὸς καὶ ὡς σπινθῆρά τινα θεῖον μένειν ἐν ἡμῖν τὴν παράδοσιν τῶν Πατέρων. Ἣν δὴ καὶ ἡμεῖς βουλόμενοι ἀσινῆ τηρεῖσθαι καὶ μένειν ὥσπερ ἥδυσμά τι καὶ ἄρτυμα γλυκαῖνον, συνηρμόσαμεν αὐτῇ καὶ τὰ τῶν κανόνων, ἵνα μή τις γογγυστὴς περὶ τὰ καλὰ καὶ μὴ γνῶσιν ἔχων τῆς τάξεως, ἀκηδιαστὴς δὲ μᾶλλον καὶ ῥᾴθυμος ὢν, προφάσεις εὕροι τινὰς, καὶ χωρήσῃ πρὸς τὴν ταύτης κατάλυσιν, λέγων, ὡς οὐ τοὺς συνήθεις καὶ C παρὰ πάντων ᾀδομένους ἀκούομεν κανόνας. Νῦν γὰρ καὶ οὗτοι συνήφθησαν, καὶ τοῖς προσέχουσι καὶ προθυμουμένοις εὐτακτοτέρα μᾶλλον καὶ ἡδυτέρα αὕτη τῶν ἐν ταῖς μοναῖς ἀκολουθιῶν γινομένων. Ἐν ταύταις δὲ ταῖς μοναῖς καὶ σχεδὸν πάσαις ταῖς ἐκκλησίαις ἡ τοῦ ἀπὸ τῶν Ἱεροσολύμων Τυπικοῦ τῆς μονῆς τοῦ ἁγίου Σάββα τελεῖται τάξις. Ὅτι δὴ καὶ παρὰ μόνου τινὸς δυνατόν ἐστι ταύτην γίνεσθαι, ἐπεὶ καὶ παρὰ μοναχῶν ἐξετέθη, καὶ χωρὶς ᾀσμάτων πολλάκις ἐν κοινοβίοις ἐκτελεῖται. Καὶ ἡ τοιαύτη δὲ διάταξις ἀναγκαιοτάτη καὶ πατρική. Καὶ γὰρ ὁ θεῖος Πατὴρ ἡμῶν Σάββας ταύτην διετυπώσατο, παραλαβὼν αὐτὴν ἀπὸ τοῦ ἐν ἁγίοις Εὐθυμίου καὶ Θεοκτίστου. Οὗτοι δέ γε ἀπὸ D τῶν πρὸ αὐτῶν, καὶ τοῦ ὁμολογητοῦ Χαρίτωνος παρειλήφασι. Τὴν δὲ τοῦ ἱεροῦ Σάββα διατύπωσιν, ὡς ἐμάθομεν, καταφθαρέντος τοῦ τόπου ὑπὸ βαρβάρων ἀφανισθεῖσαν, ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Σωφρόνιος ὁ τῆς ἁγίας πόλεως πατριάρχης, φιλοπονήσας ἐξέθετο· καὶ μετ' αὐτὸν πάλιν ὁ θεῖος ἡμῶν καὶ θεολογικὸς Πατὴρ ὁ Δαμασκηνὸς Ἰωάννης ἀνενεώσατο, καὶ γράψας παρέδωκε.

Ταύτῃ οὖν ἐπακολουθοῦσαι πᾶσαι ἱεραί τε μοναὶ καὶ ἐκκλησίαι, πλὴν τινων ἰδίᾳ τεταγμένων κατὰ καιροὺς, τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως ἀπὸ τῆς πάλαι τάξεως, καὶ ταῖς κοσμικαῖς ἐκκλησίαις, διὰ τὸ μὴ ἰσχύειν τελεῖν πάντα τοὺς ἐν τῷ κόσμῳ, οὐ γὰρ Ψαλτήριον λέγουσι, πλὴν τῆς ἁγίας καὶ μόνης μεγάλης Τεσσαρακοστῆς, αἱ ἱεραὶ πᾶσαι μοναὶ ποιοῦσιν οὕτω.

ΚΕΦΑΛ. ΤΔ'.

Περὶ τοῦ μεσονυκτικοῦ· καὶ τί τὸ κροῦσαι τὸ ξύλον.

Κατὰ τὸ μεσονύκτιον ἢ μετ' ὀλίγον, τοῦ ξύλου κρούσαντος, εἰς τύπον τῆς τελευταίας ἐκείνης ὑπὸ ἀγγέλου σάλπιγγος, πάντες ἐκ τοῦ ὕπνου ὡς ἐκ θανάτου ἐγείρονται, καὶ πρὸ τοῦ ναοῦ ἐν τῷ νάρθηκι ὡς ἐν γῇ πρὸ τοῦ οὐρανοῦ, τοῦ ἱερέως εὐλογήσαντος, ὃς δὴ τυποῖ τὸν Χριστὸν, οὗ καὶ τὴν ἱερωσύνην ἔχων ἐστί· τὸν ἱερέα γὰρ δεῖ τῶν εὐχῶν ἀπάρχεσθαι, καὶ τοῦτον δὲ καὶ πάντας ἀπὸ Θεοῦ ἄρχεσθαι χρὴ, οἱ ἀδελφοὶ ὁμοῦ πάντες, τὸ «Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, » λέγοντες, τὰ συνήθη ἐπιλέγουσι. Πρῶτον γὰρ δεῖ δόξαν ἀναπέμψαι Θεῷ, καὶ οὕτω λέγειν τὰ καθεξῆς.

ΚΕΦΑΛ. ΤΕ'.

Τί τὸ, «δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, » εἰς τὰς ἀρχὰς λεγόμενον, ἀπόντος ἱερέως.

Εἰ δὲ μή ἐστιν ἱερεὺς, ὁ πρῶτος τῶν ἄλλων ἀπάρχεται, ἢ καὶ μόνος τις, καὶ οὐκ εὐλογεῖ, **216** ὅτι οὐ τὴν χάριν ἔχει· ἀλλὰ διὰ τῶν εὐχῶν τῶν Πατέρων τὸν Χριστὸν ἐλεῆσαι ἐπικαλεῖται, ταπεινούμενος ἐν Χριστῷ καὶ μὴ θαῤῥῶν ἑαυτῷ, ἀλλὰ τὰς εὐχὰς τῶν Πατέρων ἐπικαλούμενος ἐν οἷς εἰσιν ἀρχιερεῖς τε καὶ ἱερεῖς, ἀλλὰ καὶ ὁ τῶν ἁγίων ἅπας χορὸς, οὓς καὶ Πατέρας κατονομάζει. Εἶτα τὸ Πνεῦμα ἐπικαλοῦνται τὸ ἅγιον, τὸ τελειοῦν τὰς προσευχὰς, ἐλθεῖν καὶ ἐνσκηνῶσαι, καὶ καθᾶραι, καὶ σῶσαι ἡμᾶς. Τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ, οὐκ οἴδαμεν, ἐὰν μὴ ὁδηγηθῶμεν ὑπὸ τοῦ θείου Πνεύματος, ἐπεὶ καὶ δι' αὐτοῦ ζῶμεν, καὶ δι' αὐτοῦ προσευχόμεθα, Παῦλός φησι· καὶ ἐν αὐτῷ κράζομεν, «Ἀββᾶ ὁ Πατήρ.» Καὶ τὸν Τρισάγιον εὐθὺς τοὺς ἀγγέλους μιμούμενοι, καὶ τὸ, «Παναγία Τριὰς, » διὰ τὸν ἀπὸ τῆς Τριάδος ἔλεον, καὶ τὴν ἴσην αἴνεσιν τῶν ἀγγέλων καὶ τὴν ὁμολογίαν τοῦ ἐν Τριάδι μόνου Θεοῦ. Εἶτα καὶ τὴν παραδοθεῖσαν προσευχὴν ὑπὸ τοῦ Κυρίου, ἧς ἐν ἑτέρῳ τόπῳ κατὰ δύναμιν ἐροῦμεν τὴν ἑρμηνείαν. Μᾶλλον δὲ πολλοὶ τὴν περὶ ταύτης θείαν γνῶσιν ἡρμήνευσαν, καὶ ἐξαιρέτως ὁ Νυσσαέων θεῖος Γρηγόριος. Καὶ τοῦ ἱερέως τὸ τελευταῖον τῆς εὐχῆς εἰς δοξολογίαν εἰρηκότος, τὸ, «Κύριε, ἐλέησον» δωδεκάκις λέγεται, διὰ τὸ δωδεκάωρον τῆς νυκτὸς ὡς καὶ τῇ ἡμέρᾳ, διὰ τὸ αὐτῆς δωδεκάωρον, καὶ τρὶς εἰπόντες, «Δεῦτε, τῷ βασιλεῖ ἡμῶν Θεῷ προσκυνήσωμεν, » ὡς ψάλλει Δαβὶδ, καὶ Ἀθανάσιος ὁ μέγας φησὶν ἐν προοιμίοις τοῦτο τῶν εὐχῶν ἡμῶν λέγεσθαι, διὰ τὸ εἶναι βασιλέα μόνον αἰώνιον ἡμῶν τὸν Χριστὸν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ προσκυνοῦντες, τὴν δουλείαν δεικνύντες, τοὺς κατὰ τύπον ψαλμοὺς λέγομεν.

ΚΕΦΑΛ. ΤϚ'.

Περὶ τοῦ πεντηκοστοῦ ψαλμοῦ.

Καὶ πρῶτον μὲν τὸν πεντηκοστὸν, ὃς δὴ ἐξομολογήσεως καὶ ἱλεώσεως τυγχάνει ψαλμὸς, καὶ συγχώρησιν ἁμαρτήσαντος ἐξαιτεῖται, καὶ μὴ ἀποστῆναι αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐγκαινισθῆναι μᾶλλον ἐν αὐτῷ διὰ τῆς ταπεινώσεως καὶ συντριβῆς καὶ καρδίας. Ὃν δὴ ψαλμὸν καὶ ἐξαρχῆς ἐν τοῖς

A

CAPUT CCCIV.

De officio quod media nocte peragitur, et quid denotet ligni pulsatio.

Media nocte vel paulo post, ligno crepitante, in figuram ultimæ illius tubæ qua personabit angelus, omnes e somno velut a morte excitantur, et omnibus ante templum in narthece velut in terra ante cœlum astantibus, benedicit sacerdos qui Christum refert cujus gerit sacerdotium, unde oportet sacerdotem preces inchoare, hic et omnes a Deo incipere debent, fratresque universi simul dicentes: « Gloria tibi, Deus noster, gloria tibi, » solita persolvunt. Nam primum oportet gloriam Deo reddere, et ita quæ sequuntur dicere.

B

CAPUT CCCV.

Quid significet, quod absente sacerdote initium precum faciunt a formulis SS. Patrum nostrorum.

Verum si non adsit sacerdos, qui aliis præcellit, incipit vel simplex monachus, et non benedicit, quoniam non habet gratiam, sed per preces Patrum Christi misericordiam invocat, semetipsum humilians in Christo, neque sibi confidens, sed preces Patrum adhibens inter quos sunt pontifices et sacerdotes, sed et omnis sanctorum chorus quos Patres appellat. Postea sanctum invocat Spiritum qui preces sanctificat, ut veniat et commoretur nosque purget et salvos faciat; nam quid oremus sicut oportet nescimus, nisi instituamur a divino C Spiritu, quoniam per eum vivimus, et per eum oramus, ait Paulus, et in eo clamamus: « Abba Pater; » et statim angelos imitantur dicentes trisagion ac istud: « Sanctissima Trinitas », quia a Trinitate venit misericordia, et propter parem angelorum laudem soliusque in Trinitate Dei confessionem. Deinceps traditam a Domino recitant orationem, cujus in alio loco pro viribus dicemus interpretationem, aut potius cujus divinam sententiam multi interpretati sunt, et præcipue Gregorius divus Nyssenus episcopus. Et postquam sacerdos orationis finem in modum doxologiæ dixerit, Kyrie eleison duodecies profertur, propter duodecim noctis sicut et diei horas, et ter dicentes: Venite, Regem nostrum Deum adoremus, quemadmodum D psallit David, et Athanasius magnus declaravit hoc dicendum esse in initio precum nostrarum, quoniam solus rex noster æternus est Christus cum Patre et Spiritu, et adorantes quo servitutem testamur, psalmos secundum exemplar dicimus.

CAPUT CCCVI.

De psalmo quinquagesimo.

Primum quidem psalmum quinquagesimum recitamus, qui psalmus est confessionis et propitiationis, veniam peccatoris deprecatur, et flagitat ne auferatur ab eo Spiritus sanctus, sed potius renovetur in eo per humilitatem et cordis contritionem; quem psalmum in principio dicimus in hymnis ple-

risque, quoniam peccata Adam totiusque generis nostri et Ecclesiæ quæ est ex gentibus enarrat, illius quidem per voluptatem et inobedientiam mortui, hujus autem, utpote prius infidelis, adulterium operatæ, necnon animæ necem et mortem utpote a Deo distantis, nunc vero misericordia Dei revocatæ ut Spiritus sanctus abundanter in se renovetur obsecrantis.

CAPUT CCCVII.

De psalmo CXVIII qui incipit : Μακάριοι οἱ ἄμωμοι.

Verum post hunc, psalmos : « Beati immaculati, » secundum ordinem pronuntiamus, quibus in memoriam referuntur Dei regnum et judicia et justificationes, et testimonia verbaque et mandata. Quos psalmos dicimus etiam in commemorationibus sanctorum et in sepultura fidelium defunctorum, recordati sanctorum et viæ Salvatoris ; hic enim solus est immaculatus in via, necnon illi qui eum imitati sunt, et inde, Deo sibi propitiato, sancti evaserunt.

CAPUT CCCVIII.

Quamobrem mane ac vespere recitatur Symbolum fidei.

At statim istos post psalmos, confessionem fidei dicimus secundum traditionem paternam, dicentibus sanctis Patribus nostris : « Surge et Deum glorifica, deinde fidem annuntia ; » hæc autem fides sacrum est Symbolum. Alius vero sanctorum dixit oportere fidem nuntiari mane et vespere, ita ut si mors superveniat, nos inveniat in confessione. Rursum post fidem dicitur oratio Trisagii et « Pater noster ; » nam in principio et in medio et in fine Trinitatem oportet celebrare, quoniam ipsa est omnium causa, et per eam facimus omnia, et in omnibus emundati sanctificamur. Postea dicitur : « Ecce Sponsus venit, » quo patefaciunt scopum nocturnæ laudationis, et quadragies : « Kyrie, eleison, » perinde ac si decimas dierum horarumque nostrarum Deo in sacrificium offeramus ; quod facimus in omnibus orationibus misericordiam a Deo super omnia invocantes, quoniam ipse solus potest nos salvare, et quia miseratione digni sumus qui deliquimus, necnon quia non possumus aliunde salvari, nisi sola Dei misericordia, nullam a nobis habentes propitiationem, sed potius habentes unde irascatur Deus propter ea quæ perpetramus, loquimur ac cogitamus, quorum causa indigni sumus qui gratias agamus laudemusque ac deprecemur, nisi hoc solummodo dicamus : « Kyrie, eleison, » et in solum misericordem Deum speremus. Verum dicto Kyrie, eleison, invocationem Deiparæ utpote vere Seraphim honorabilioris facimus, quoniam adhuc ipsa pro omnibus intercedit. Et statim fit sacerdotis oratio velut sigillum : « Deus misereatur nostri », quam orationem Moyses Aaroni dicere a Deo præcipit. Hanc autem docte scripsit David Dei proavus in psalmo ; et post eam alia oratio Trinitati ab omnibus nuncupatur, quæ confessionis speciem exprimit, quam

A πλείοσι λέγομεν ὕμνοις. Ἐπεὶ καὶ ὥσπερ οὗτος τὰ τοῦ Ἀδὰμ καὶ τὰ τοῦ ἡμετέρου παντὸς γένους, καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας διαγορεύει, τοῦ μὲν θανατωθέντος δι' ἡδονῆς τῆς παρακοῆς, τῆς δὲ πρότερον ὡς ἀπίστου, μοιχείαν ἐργαζομένης, ὡς ἀποστάσης ἀπὸ Θεοῦ, καὶ φόνον ψυχῆς καὶ νέκρωσιν, ἐλέει δὲ Θεοῦ ἐπανακληθείσης, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν αὐτῇ δαψιλῶς ἐγκαινισθὲν δεξαμένης.

ΚΕΦΑΛ. ΤΖʹ.

Περὶ τῶν ψαλμῶν τοῦ ἀμώμου.

Μετὰ τοῦτον δὲ τοὺς τοῦ ἀμώμου ψαλμοὺς κατὰ στίχον, τὴν τοῦ Θεοῦ βασιλείαν, καὶ τὰ κρίματα, καὶ τὰ δικαιώματα, καὶ τὰ μαρτύρια, καὶ τὰ λόγια, καὶ τοὺς νόμους, εἰς μνήμην φέροντας. Οὓς δὴ ψαλ- B μοὺς καὶ ἐν ταῖς μνήμαις λέγομεν τῶν ἁγίων. Καὶ ἐν τοῖς ἀπελθοῦσι πιστοῖς, εἰς μνήμην τῶν ἁγίων ἀγόμενοι καὶ τῆς ὁδοῦ τοῦ Σωτῆρος. Οὗτος γὰρ ὁ μόνος ἄμωμος ἐν ὁδῷ, καὶ οἱ αὐτὸν μιμησάμενοι, καὶ διὰ τούτων ἱλεούμενοι τὸν Θεὸν καὶ ἁγιαζόμενοι.

ΚΕΦΑΛ. ΤΗʹ.

Διατί πρωῒ καὶ ἑσπέρας τὸ τῆς πίστεως λέγεται Σύμβολον.

Μετὰ τούτους δὲ εὐθὺς τὴν ὁμολογίαν τῆς πίστεως λέγομεν κατὰ παράδοσιν πατρικήν, λεγόντων τῶν ὁσίων ἡμῶν Πατέρων, ὡς « Ἀναστὰς δοξολόγησον τὸν Θεόν, εἶτα τὴν πίστιν ἀνάγγειλον, » καὶ ἔστιν αὕτη ἡ πίστις τὸ ἱερὸν Σύμβολον. Ἕτερος δέ τις τῶν ὁσίων φησίν, ὡς δεῖ τὴν πίστιν ἀναγγέλλειν πρωῒ καὶ ἑσπέρας, ἵνα ἐὰν ἐπέλθῃ θάνατος, ἡμᾶς C εὕροι ἐν τῇ ὁμολογίᾳ. Μετὰ δὲ τὴν πίστιν αὖθις ἡ τοῦ Τρισαγίου, καὶ τοῦ « Πάτερ ἡμῶν, » προσευχή. Ἐν ἀρχῇ γὰρ καὶ μέσῃ καὶ ἐν τῷ τέλει τὴν Τριάδα δεῖ ἀνυμνεῖν, ὅτι πάντων αὕτη αἰτία, καὶ δι' αὐτῆς ἐνεργοῦμεν ἅπαντα, καὶ ἐν ἅπασι τελούμεθά τε καὶ **217** καθαιρόμεθα. Εἶτα ὅτι ἔρχεται ὁ Νυμφίος, σημαίνοντες τὸν σκοπὸν τῆς μεσονυκτίου δοξολογίας. Καὶ τό, « Κύριε, ἐλέησον, » τεσσαράκοντα, ὡς θυσίαν ἀποδεκατώσεως τῶν ἡμερῶν ἡμῶν καὶ ὡρῶν τῷ Θεῷ προσκομίζομεν. Καὶ τοῦτο ποιοῦμεν ἐν πάσαις ταῖς προσευχαῖς, τὸν ἐκ Θεοῦ ὑπὲρ πάντα ἐπικαλούμενοι ἔλεον· ὅτι οὗτος ἰσχύει μόνος σῶσαι ἡμᾶς· καὶ ὅτι ἐλέους ἄξιοι πεπλημμεληκότες· καὶ ὅτι οὐχ ἱκανοὶ ἄλλοθεν σωθῆναι, εἰ μὴ ἐλέει μόνῳ D Θεοῦ, οὐδὲν ἀφ' ἑαυτῶν ἔχοντες ἐξίλασμα· εἰ μὴ τὸ παροργίζεσθαι μᾶλλον τὸν Θεὸν δι' ὧν ἐνεργοῦμεν, λαλοῦμέν τε καὶ διανοούμεθα, δι' ἃ οὐδ' εὐχαριστεῖν ἄξιοι, ἢ δοξολογεῖν, ἢ αἰτεῖσθαι· εἰ μὴ τοῦτο μόνον λαλεῖν, τό, « Κύριε, ἐλέησον, » καὶ εἰς τὸν ἐλεήμονα μόνον ἐλπίζειν Θεόν. Μετὰ δὲ τό, « Κύριε, ἐλέησον, » τὴν ἐπίκλησιν τῆς Θεομήτορος ὡς τιμιωτέρας τῶν Σεραφὶμ ἀληθῶς ποιούμεθα, ἐπεὶ καὶ πρὸ πάντων αὕτη μεσῖτις. Καὶ ἡ τοῦ ἱερέως εὐχὴ ὡς σφραγὶς εὐθύς, τό, « Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· » ἥνπερ δὴ εὐχήν, καὶ Μωϋσῆς τῷ Ἀαρὼν λέγειν ἀπὸ Θεοῦ ἐπιτίθεται. Ταύτην δὲ σαφέστερον ἔγραψεν ὁ Θεοπάτωρ Δαβὶδ ἐν τῷ ψαλμῷ. Καὶ μετ' αὐτὴν ἑτέρα εὐχὴ ἀναφέρεται παρὰ πάντων εἰς τὴν Τριάδα, ἥτις καὶ ὡς ὁμολογία ἐστί· καὶ ταύτην τρὶς τὴν

ἡμέραν λέγομεν ἐνταῦθά τε, καὶ τῇ τρίτῃ ὥρᾳ, A καὶ τῇ τῶν ἀποδείπνων δοξολογίᾳ, ἥτις καὶ παρὰ τοῖς παλαιοῖς ᾀδομένη εὑρίσκεται, ὡς καὶ ἐν τῇ ἀθλήσει τοῦ μεγαλομάρτυρος Εὐστρατίου τὸ, « Δέσποτα Θεὲ Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, » καὶ τὰ ἑξῆς. Ταύτης τελεσθείσης, καὶ τὸ ὥσπερ μεσώριον λέγεται τοῦ μεσονυκτικοῦ, καθά τινες ποιοῦσι καὶ ἐν ταῖς τῶν ὡρῶν ἀκολουθίαις. Ἀλλ' ἐκεῖνοι μὲν ὡς θελητὸν αὐτοῖς ὡς καὶ ἄλλας ἀκολουθίας προθυμίᾳ ἑαυτῶν καὶ διακρίσει Πατέρων διενεργείτωσαν· τὰ νενομισμένα δέ εἰσι ταῦτα. Ἐγὼ δὲ τοῦτο εὐχὴν ὑπὲρ τῶν ἐν Χριστῷ ἀπελθόντων νομίζω συντεθεῖσθαι. Διὸ, « Δεῦτε, προσκυνήσωμεν, » αὖθις λέγομεν μετὰ τὴν εὐχὴν, B καὶ δύο ψαλμοὺς, καὶ Τρισαγίου εὐχὴν, καὶ εὐθὺς ὑπὲρ τῶν κεκοιμημένων τροπάρια, τὸ, « Κύριε, ἐλέησον, » δωδεκάκις, καὶ τὴν ὑπὲρ αὐτῶν εὐχὴν, τὸ, « Μνήσθητι, Κύριε, » καὶ οὕτως ἀπόλυσις γίνεται. Ἀναγκαῖον γὰρ καὶ ὑπὲρ τῶν τεθνεώτων μεμνῆσθαι, ὅτι καὶ ἡμεῖς τεθνηξόμεθα, καὶ μάλιστα κατὰ τὸ μεσονύκτιον ἐλπιζομένης τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ ὑπὲρ τῶν κατὰ σάρκα δὲ οἰκείων καὶ πάντων ἀπελθόντων εὔχεσθαι ἀναγκαίως· ἀγάπη γάρ. Εἶτα ἡ ὑπὲρ πάντων κοινὴ εὐχή τε καὶ δέησις γίνεται, τοῦ ἱερέως ἀρχομένου, πάντων δὲ συνευχομένων ὑπὲρ τῶν πιστῶν βασιλέων, τῶν ὀρθοδόξων ἀρχιερέων, τοῦ καθηγουμένου Πατρὸς, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος καὶ λοιπῶν ἄλλων Χριστιανῶν, καὶ τῶν ὀρθοδόξως κεκοιμημένων C πάλιν Πατέρων καὶ ἀδελφῶν ἡμῶν, χρειωδέστατον γὰρ ἐν τῷ τῶν εὐχῶν τέλει ὑπὲρ ἁπάντων μεμνῆσθαι. Ὅτι τοῦτο ποιοῦντες ἅπαντες ἁπανταχοῦ, ὑπὲρ ἀλλήλων εὐχόμεθα, καὶ οὕτω κατὰ τὸν Θεάδελφον ἔσται ἰαθῆναι ἡμᾶς καὶ σωθῆναι καὶ ἑκόντας καὶ ἄκοντας. Τὰς κοινὰς δὲ εὐχὰς καὶ ὁ πρῶτος ἐπισφραγίζει, διὰ τῶν εὐχῶν τῶν ἁγίων ἡμῶν Πατέρων Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς ἔλεον ἐκκαλούμενος.

ΚΕΦΑΛ. ΤΘ'.

Περὶ τῆς τοῦ ὄρθρου ἀκολουθίας, καὶ πρῶτον τί τὸ ἀνοίγεσθαι τῶν πυλῶν τοῦ ναοῦ τὰ βηλόθυρα, καὶ εἰσέρχεσθαι ἔνδον, καὶ τὸ θυμίαμα.

Καὶ οὕτως ὁ μὲν μεσονυκτικὸς ὕμνος τετέλεσται. Αἱ πύλαι δὲ τοῦ ναοῦ ἀνοίγονται ὡς ὁ οὐρανὸς, καὶ ὡς ἀπὸ τῆς γῆς εἰς αὐτὸν εἰσερχόμεθα. Καθὰ δὴ καὶ D τότε ἁρπαγήσονται οἱ τοῦ Χριστοῦ ἐν νεφέλαις. Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα· καὶ ὡς νεφέλη δὲ τὸ θυμίαμα, τὸ Πνεῦμα τὸ ἅγιον ἐκτυποῦν· ἀλλὰ καὶ τὸ μεταδοτικὸν τῆς θείας αὐτοῦ χάριτός τε καὶ εὐωδίας. Εὐθὺς γὰρ εἰσελθόντων ἁπάντων, τοῦ μὲν καθηγουμένου διὰ τῆς βασιλικῆς **218** Πύλης ὡς τοῦ Χριστοῦ τοῦ διὰ πύλης εἰσελθόντος ἐν ἡμῖν κεκλεισμένης, τῆς Θεοτόκου, καὶ τῶν οὐρανῶν ἡμῖν τὰς πύλας ἀνοίξαντος, τῶν δὲ λοιπῶν ἐκ πλαγίου, ὡς ὑπὸ τὰς πτέρυγας ὄντων αὐτοῦ καὶ δούλων αὐτοῦ, ὁ ἱερεὺς ἀπὸ τοῦ θυσιαστηρίου εὐλογεῖ, ὡς τοῦ Χριστοῦ ὑπουργὸς, αὐτὸν εὐλογῶν μετὰ Πατρός τε καὶ Πνεύματος ἐνώπιον τοῦ θρόνου καὶ τῶν ἁγίων αὐτοῦ. Καὶ οἱ μὲν πάντες ᾄδουσι τὸν Τρισάγιον, καὶ

ter in die recitamus: nunc quidem ac in hora tertia atque in officio Completorii quod post cœnam peragitur, quæ etiam ab antiquis cantata fuisse invenitur, sicut et in agone magni martyris Eustratii qui dicebat: « Domine Deus Pater omnipotens, Domine Fili unigenite Jesu Christe, et sancte Spiritus, una Deitas, una virtus, » et cætera. Qua finita, media dicitur officii nocturni deprecatio; quemadmodum faciunt quidam in ordinibus horarum, sed isti quidem libenter illud sicut et alios ordines pro suæ pietatis ardore et Patrum judicio observant; hæc autem ista sunt præcepta. Ego vero hanc orationem censeo pro fidelibus in Christo defunctis peragi. Ideo rursum post orationem dicimus: Venite adoremus, atque duos psalmos et precationem Trisagii, statimque pro dormientibus versiculos recitamus, « Kyrie, eleison » duodecies, et orationem pro ipsis: « Memento, Domine » et ita absolvitur. Nam necessarium est meminisse etiam mortuorum quoniam nos quoque moriemur, et præcipue media nocte sperata mortuorum resurrectione, et necesse est pro propinquis secundum carnem ac pro omnibus defunctis exorare; hoc enim est charitas. Deinde fit communis pro omnibus oratio et postulatio, incipiente sacerdote et omnibus simul deprecantibus pro regibus fidelibus, pro orthodoxis pontificibus, pro patre præside, pro universa nostrorum in Christo fratrum familia cæterorumque Christianorum, atque pro patribus et fratribus nostris qui olim in fide dormierunt; quippe perutile est in fine precum de omnibus memoriam facere, quoniam ita faciendo omnes in omni loco pro invicem oramus, et sic, secundum fratrem Domini, sanabimur omnes et salvi erimus libentes et inviti. Communes autem preces superior perficit precibus sanctorum nostrorum Patrum Christi Dei nostri misericordiam flagitando.

CAPUT CCIX.

De ordine matutini officii, et primum quid significet vela portarum templi aperiri, atque per illas introire, et suffitus.

Et sic nocturnum perficitur officium. Portæ vero templi aperiuntur tanquam cœlum, et velut a terra in illud ingredimur, quemadmodum et tunc qui sunt Christi rapientur in nubibus, et sic semper cum Domino erimus; suffitus autem quasi nubes quo Spiritus sanctus exprimitur, necnon divinæ ejus gratiæ bonique odoris communicatio. Omnibus enim ingressis, præside quidem per portam regalem, velut Christo per portam intrante in nobis clausam, scilicet Deiparæ, cœlorumque nobis januas adaperiente, cæteris vero a latere quasi essent sub alis ejus et illius servi, sacerdos ab altari benedicit utpote Christi minister, eum benedicens cum Patre et Spiritu in conspectu throni et sanctorum ejus. Et omnes cantant Trisagion ac Pater noster, Trinitatem celebrantes cum angelis, et traditam dicentes orationem. De qua Trisagii oratione dignum

est in memoriam velut summatim dicere quia antiqua est oratio ex antiquis Patribus composita. Ideo Trisagion continuo cantat Ecclesia, et in divina sacrificii oblatione et in fine precum, et veteres quosdam hæreticos Trisagio quidquam adjicientes anathemati subjecit, utque a cœlo acceptum ope pueri inde erepti cœleste hoc carmen concinit. Hoc autem Trisagion et omnis sequens oratio ad Trinitatem solum Deum nostrum dirigitur. Trisagion quidem ex hymno angelico atque ex Davide venit; ex angelis quidem cantantibus: « Sanctus, sanctus, sanctus » ex Davide vero dicente: « Sitivit anima mea ad Deum fortem vivum, » qui etiam: « Miserere mei, » clamat in psalmo quinquagesimo. Igitur Trinitatem personarum et unitatem naturæ ac virtutis Trinitatis hic hymnus sine intermissione prædicat. Similiter et illud: « Sanctissima Trinitas, miserere nobis, » trinitatem et unitatem edocet. Insuper istud quoque: « Domine, propitius esto, » ad Patrem spectat; illud vero: « Parce, Domine, » ad Filium; hoc autem: « Sancte, oculos in nos dimitte, » ad Spiritum sanctum, et eorum indivisibilitas liquet dum dicitur: « Propter nomen tuum. » Et jure Patri quidem dicimus: « Propitius esto, » per Filium ejus reconciliati, Filio autem: « Parce, » utpote secundum nos nato, et pro nobis passo, atque ab hominibus offenso, necnon a nobis ipsis qui eum in baptismo et unguento induimus eique per communionem et cæteris mysteriis conjungimur, ad iracundiam incenso et lacessito, necnon quoniam potestatem ipse dedit solvendi atque ligandi, aliisque parcere nos jussit, verum Spiritui sancto recte dicimus: « Oculos in nos demitte, » quoniam vivificat nos et exhilarat atque corroborat, et absque ejus potestate ac dono, nihil est in nobis. Hoc vero: « Domine, miserere, » Trinitatem prædicat; unus enim Dominus Trinitas. Quod ter repetitum eam rursum annuntiat, utque misereatur nostri invocat. Istud autem, « Gloria Patri et Filio et Spiritui sancto, » et cætera, patet esse velut confessionem unius Trinitatis, ejusque glorificationem, in æternum ipsi decantatum. Ideo semper illud dicimus in initio et in fine precum; oratio autem: Pater noster, etsi ad Patrem dirigatur et a Filio fuerit instituta, cum tamen indivisibilis sit Trinitas, unumque nomen Patris et Filii et Spiritus sancti, Deusque sit Pater luminum nempe Filii et Spiritus, et Pater sit in Filio et Spiritu, Filiusque et Spiritus in Patre, illa quoque ad Trinitatem fertur, et dum dicitur: Pater, Filii quoque et Spiritus recordatur; quod Ecclesia testatur dicens: « Tuum est regnum Patris et Filii et Spiritus sancti. »

A τὰ τοῦ, « Πάτερ ἡμῶν, » τὴν Τριάδα ἀνυμνοῦντες σὺν τοῖς ἀγγέλοις, καὶ τὴν παραδεδομένην προσευχὴν λέγοντες. Περὶ ἧς προσευχῆς τοῦ Τρισαγίου ἄξιον πρὸς ὑπόμνησιν ὡς ἐν συνόψει εἰπεῖν, ὅτι ἀρχαία αὕτη ἡ προσευχὴ, καὶ ἐκ τῶν ἀρχαίων Πατέρων συντεθειμένη. Διὸ καὶ τὸν Τρισάγιον ᾄδει ἡ Ἐκκλησία διηνεκῶς ἔν τε τῇ θείᾳ ἱερουργίᾳ, καὶ ἐν τῷ τέλει τῶν προσευχῶν· καὶ παλαιούς τινας αἱρετίζοντας, προσθέντας τι τῷ Τρισαγίῳ, καθυποβάλλει τῷ ἀναθέματι· καὶ ὡς ἀπ' οὐρανοῦ λαβοῦσα διὰ τοῦ ἁρπαγέντος παιδὸς, τὸ οὐράνιον τοῦτο προσᾴδει μέλος. Ἔστι δὲ τοῦτο δὴ τὸ Τρισάγιον, καὶ ἡ σὺν αὐτῷ πᾶσα προσευχὴ, εἰς τὴν Τριάδα τὸν μόνον B Θεὸν ἡμῶν ἀναφερομένη. Καὶ τὸ μὲν Τρισάγιον ἐκ τοῦ ἀγγελικοῦ ὕμνου καὶ τοῦ Δαβὶδ ἐστι, τῶν μὲν ἀγγέλων ᾀδόντων, « Ἅγιος, ἅγιος, ἅγιος, » τοῦ δὲ Δαβὶδ, « Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα, » ὃς καὶ τὸ, « Ἐλέησόν με, » ἐν τῷ πεντηκοστῷ ἀνακράζει. Τὸ τρισσὸν οὖν τῶν ὑποστάσεων, καὶ τὸ ἑνιαῖον τῆς φύσεως καὶ δυνάμεως τῆς Τριάδος, οὗτος ὁ ὕμνος ἐν ἐκτενείᾳ κηρύττει. Ὁμοίως δὲ καὶ τὸ, « Παναγία Τριὰς, ἐλέησον ἡμᾶς, » τὸ τρισσὸν καὶ ἓν ἐκδιδάσκει· καὶ τὸ « Κύριε, ἱλάσθητι, » τὸν Πατέρα, τὸ, « Δέσποτα, συγχώρησον, » τὸν Υἱὸν, καὶ τὸ, « Ἅγιε, ἐπίσκεψαι, » τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὸ ἀδιαίρετον αὐτῶν, ἐν τῷ λέγειν, « Ἕνεκεν τοῦ ὀνόματός σου. » Καὶ καλῶς C πρὸς μὲν τὸν Πατέρα, « Ἱλάσθητι, » διὰ τοῦ Υἱοῦ διαλλαττόμενοι λέγομεν· πρὸς δὲ τὸν Υἱὸν, « Συγχώρησον, » ὡς γεγονότα καθ' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν πεπονθότα, καὶ παρ' ἀνθρώπων παθόντα, καὶ ὡς παρ' ἡμῶν τῶν ἐνδυσαμένων αὐτὸν τῷ βαπτίσματι καὶ τῷ μύρῳ, καὶ ἑνουμένων τῇ κοινωνίᾳ καὶ τοῖς λοιποῖς, παροργιζόμενον καὶ θλιβόμενον, καὶ ὅτι τὴν ἐξουσίαν δέδωκεν οὗτος τοῦ λύειν τε καὶ δεσμεῖν, καὶ τὸ συγχωρεῖν νενομοθέτηκε· πρὸς δὲ τὸ ἅγιον Πνεῦμα τὸ, « Ἐπίσκεψαι, » ὅτι ζωοποιεῖ, καὶ ἱλαρύνει, καὶ ἐνισχύει ἡμᾶς, καὶ χωρὶς τῆς δυνάμεως αὐτοῦ καὶ δωρεᾶς οὐδὲν ἐν ἡμῖν. Καὶ τὸ, « Κύριε, ἐλέησον, » τὴν Τριάδα κηρύττει· εἷς Κύριος γὰρ ἡ Τριάς. Καὶ τρὶς λεγόμενον αὐτὴν καταγγέλλει πάλιν, καὶ εἰς ἔλεον ἡμῶν ἐκκαλεῖται. Καὶ τὸ, D « Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, » καὶ τὰ ἑξῆς, πρόδηλον ὡς ὁμολογία τῆς μιᾶς Τριάδος καὶ δοξολογία ἐστὶν, αἰωνίως αὐτῇ προσᾳδομένη. Διὸ καὶ συνεχῶς τοῦτο καὶ ἐν τῷ τέλει τῶν ὕμνων καὶ ἐν ταῖς ἀρχαῖς λέγομεν· καὶ τὸ, « Πάτερ ἡμῶν, » εἰ καὶ εἰς τὸν Πατέρα ἀναφέρεται, καὶ παρὰ τοῦ Υἱοῦ δέδοται, ἀλλ' ἐπεὶ ἀδιαίρετος ἡ Τριὰς, καὶ ἓν ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ὁ Θεὸς Πατὴρ τῶν φώτων ἐστὶ, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ τῷ Πνεύματι, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐν τῷ Πατρὶ, καὶ ἡ προσευχὴ αὕτη εἰς τὴν Τριάδα ἀνάγεται· καὶ ἐν τῷ, *Πάτερ*, εἰπεῖν, καὶ Υἱοῦ καὶ Πνεύματος μνημονεύει. Καὶ ἡ Ἐκκλησία μαρτυρεῖ τοῦτο λέγουσα, Ὅτι, « Σοῦ ἐστιν ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. »

Porro sacerdos altare incensat templumque et omnes, quoniam omnia sunt sanctificata, alia quidem honorans ut divina, adstantes vero sanctifi-

Ὁ ἱερεὺς δὲ τό τε θυσιαστήριον θυμιᾷ, τὸν ναὸν, καὶ ἅπαντας, ἐπεὶ καὶ πάντα ἡγιασμένα, τὰ μὲν τιμῶν ὡς θεῖα, τοὺς παρεστῶτας δὲ ἁγιάζων. Διὸ

καὶ ἀπὸ τοῦ Ἁγίου τῶν ἁγίων τοῦ θυσιαστηρίου ἀρχόμενος, ἅπαντα κατὰ τάξιν θυμιᾷ, οὐχ ἁπλῶς ποιῶν τὸ θυμίαμα, ἀλλὰ σφραγίζων, καὶ ἁγιάζων, καὶ τῷ Χριστῷ δι' εὐχῆς ἀνατιθεὶς καὶ προσφέρων, καὶ προσδεχθῆναι ἄνω ζητῶν, καὶ καταπεμφθῆναι ἡμῖν τὴν χάριν τοῦ παναγίου Πνεύματος· ὥστε διὰ τοῦ θυμιάματος τὴν χάριν λαμβάνομεν· καὶ μηδεὶς ἀμελείτω τοῦ θυμιᾷν. Ὅλον οὖν διελθὼν ταχύτερον τὸν ναὸν, καὶ τὰ
219 ἔξω, περὶ τὸ τέλος τῆς προσευχῆς τοῦ, « Πάτερ ἡμῶν, » εἰσέρχεται τὰς πύλας, καὶ σταυρὸν τυπῶν διὰ τοῦ θυμιατηρίου, φησὶν, « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, » ἐπισφραγίζων τὴν εὐχὴν, ὡς ἔφη Χριστὸς, καὶ τὴν Τριάδα δοξολογῶν. Εἶτα τὸν καθηγούμενον θυμιᾷ ἐκ δευτέρου, τιμὴν διδοὺς ὡς τῷ Χριστῷ, καὶ τὰς ἐν μέσῳ ἱερὰς ὁμοίως εἰκόνας, καὶ τὸ θυσιαστήριον εἰσελθὼν, ἔμπροσθεν τῆς ἁγίας τραπέζης στὰς, ὡς ἐπὶ τοῦ θείου θρόνου καὶ τοῦ ἱεροῦ Χριστοῦ μνήματος, τοῦ, « Εὐλόγησον, Πάτερ, παρὰ τῶν ἔξω λεγομένου, ἐκφωνεῖ μετ' εὐλαβείας καὶ πόθου, « Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ καὶ παντοδυνάμῳ Τριάδι πάντοτε, » τὸν αἴτιον πάντων καὶ Δεσπότην, τὸν μόνον τῶν ὅλων ἐν Τριάδι Θεὸν πρὸ πάσης ᾠδῆς θεολογῶν, καὶ δοξολογῶν, καὶ ἀρχὴν τῶν ὕμνων τιθέμενος, καὶ ὡς ἀρχὴν ὄντα πάντων καὶ τέλος. Καὶ οὕτω τοῦ Ἀμὴν λεγομένου, ὅπερ ἐστὶ βεβαιωτικὸν καὶ ἀντὶ τοῦ Ναὶ, πάντων σιγώντων, τὴν ἔνθεον σημαινόντων ἀφθεγξίαν τῶν ἀγγέλων ἐν τοῖς τοῦ Θεοῦ φρικτοῖς καὶ εὐλάβειαν, εἷς τῶν ἱσταμένων ἐκεῖσε καὶ τεταγμένων, τύπον ἀγγέλου φέρων ἀποσταλέντος παρὰ Θεοῦ, τὰ τῶν ἀγγέλων προοιμιάζεται, τὰ ἀνυμνηθέντα ἐν τῇ τοῦ Κυρίου γεννήσει, ἅπερ εἷς μὲν πρότερον ἄγγελος τοῖς ποιμέσι φανεὶς προῇδεν. Εὐθὺς δὲ πλῆθος στρατιᾶς οὐρανίου ὀφθὲν, ἀνύμνησε τὸ, « Δόξα ἐν ὑψίστοις Θεῷ, » ὃ καὶ ἀπαρχὴ δοξολογίας ἐστὶ καὶ τοῖς ἀγγέλοις ἐπὶ τῇ ἡμῶν σωτηρίᾳ. Διὸ καὶ ὧδε εἷς προοιμιάζεται τοῦτο, καί φησι τρὶς εἰς δόξαν τῆς ὑπερενδόξου Τριάδος, « Δόξα ἐν ὑψίστοις Θεῷ: » Καὶ δὶς εἰπὼν αὖθις τὸ, « Κύριε, τὰ χείλη μου ἀνοίξεις, » τὸ τρίτον πάλιν φησὶν, εἰς τιμὴν καὶ τοῦτο τῆς Τριάδος, « Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με, » καὶ καθεξῆς λέγει τοὺς ἐξ τοῦ ὄρθρου ψαλμοὺς, καθ' ἑκάστην Τριάδα ψαλμῶν δοξολογίαν ποιῶν, εἰς ἀνύμνησιν τῆς Τριάδος, ὅτε καὶ ὁ ἱερεὺς τὰς ἑωθινὰς εὐχὰς καθ' ἑαυτὸν τῷ Θεῷ ἀναφέρει, μεσίτης ἐπὶ τοῖς λεγομένοις δεικνύμενος, καὶ ἐνεργᾷ τελῶν τὰ ᾀδόμενα, τῇ ἱερωσύνῃ γὰρ ἅπαντα τελειοῦται. Ὅθεν καὶ ὁ ἱερεὺς ἄρχεται, καὶ ὁ ἱερεὺς τελειοῖ. Εὐθὺς οὖν ὁ μὲν ποιῶν τὰς ἑωθινὰς εὐχὰς τοῦ Θεοῦ ἐνώπιον, τὰ εἰρηνικὰ μετὰ τὸ τέλος τοῦ ἑξαψάλμου λέγει, πάντων ὑπερευχόμενος· καὶ πάντα ἀνάπτεται τὰ φῶτα, διὰ τὸ, « Δόξα Κυρίου περιέλαμψεν αὐτούς. » Καὶ τὸ « Θεὸς Κύριος, » μετὰ μέλους ἐκφώνως ᾄδεται κατὰ μίμησιν τῶν δοξολογούντων ἀγγέλων. Καὶ οἰκειότατον τὸ λεγόμενον, « Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, ὁ τοῦ Θεοῦ Λόγος σαρκωθείς. Εὐλογημένος ὁ ἐρχόμενος, αὐτὸς ὡς Θεὸς διὰ σαρκὸς, « Ἐν ὀνόματι Κυρίου, » τοῦ Πατρὸς αὐτοῦ καὶ ἑαυτοῦ.

A cans. Quapropter a Sancto sanctorum, scilicet altari incipiens, omnia secundum ordinem incensat, non solum suffitum faciens, sed et signans et sanctificans, Christoque per orationem adhibens et offerens, ac deprecans ut cœlitus accipiatur et desuper nobis gratia sanctissimi Spiritus demittatur, ita ut per incensum gratiam accipiamus; nemo igitur suffimentum negligat. Itaque toto templo velocius permeato, et foras egressus, circa finem orationis: Pater noster, portas intrat, et crucem effingens in incensando dicit: « Tuum est regnum, » obsignans orationem quam Christus docuit, et Trinitatem glorificans. Deinde præsidem rursum incensat, honorem tribuens Christo, necnon pariter
B sacras imagines in medio positas; deinde ad altare progressus, stansque in conspectu mensæ sacræ, tanquam ante thronum Dei et sacrum Christi monumentum, cæteris qui foris sunt prolocutis: « Benedicite, Pater, » exclamat cum pietate et amore: « Gloria sanctæ et consubstantiali et vivificæ, et indivisibili atque omnipotenti Trinitati sit semper, » omnium auctorem ac Dominum solum universorum in Trinitate Deum ante quodlibet carmen prædicans et glorificans, eumque hymnorum principium ponens utpote principium finemque universorum. Sicque dicto « Amen, » quod est affirmativum et loco vocis: « Etiam » positum, omnibus silentibus, quo sacrum significatur angelorum silentium eorumque pietas inter tremenda Dei mysteria unus
C ex stantibus ibique in ordine assistentibus, imaginem ferens angeli a Deo missi, angelicum inchoat canticum in nativitate Domini cantatum, quod angelus unus apparens pastoribus prius quidem præcinit, statim vero multitudo cœlestis exercitus visa est concinens: « Gloria in excelsis Deo, » quod est initium laudationis ab ipsis angelis propter salutem nostram peractæ. Propterea tunc unus illud inchoat, et ter dicit in gloriam ejus quæ est super omnem gloriam Trinitatis: « Gloria in excelsis Deo, » bisque rursum dicens: Domine, labia mea aperies, » tertio dicit iterum, et hoc quoque in honorem Trinitatis: « Domine, quid multiplicati sunt qui tribulant me? » cæterosque
D recitat psalmos ex officio diluculi, secundum singulos tres psalmos doxologiam faciens, in laudem Trinitatis, quando sacerdos matutinas preces seorsim Deo nuncupat, in dictis mediator apparens et opere cantata perficiens; nam omnia sacerdotio sunt sanctificata. Unde sacerdos incipit, et sacerdos perficit. Statim ergo qui preces matutinas facit in conspectu Dei, finitis sex psalmis, verba pacis facit pro omnibus deprecans, et omnia accenduntur lumina propter illud: « Gloria Domini circumfulsit eos. » Deinde illud: « Deus Dominus » cum cantu voce alta dicitur ad instar laudantium angelorum; et convenientissimum est quod cantatur: « Deus Dominus illuxit nobis, » nempe Verbum Dei incarnatum: « Benedictus qui venit, » ipse scilicet Deus per carnem; « In nomine Domini, » nempe sui Pa-

tris suaque nomine. Et ita si festum quidem fuerit, hæc de festo cantantur; si vero sancti cujusdam fiat memoria, de sancto concinuntur, quoniam per incarnatum natura fuit sanctificata. Et merito mysteria Nativitatis et Epiphaniæ Salvatoris per carnem in nocte apparentis repræsentantur, quoniam in nocte istud factum est; ait enim Isaias: « In tenebris et in umbra ignorantiæ nobis sedentibus lux magna apparuit. » Ideo et nos qui in nocte hujus mundi degimus, media nocte venturum exspectamus dilectum animarum nostrarum sponsum amatoremque nostrum. Sicque deinde Psalterii recitatio conficitur, et post singulos tres psalmos, dicto « Alleluia, » fit doxologia: Trinitatis quidem quæ per has voces: « Gloria Patri et Filio et Spiritui sancto, » celebratur, Verbi vero incarnationis per illud « Alleluia » quod Deus venit interpretatur; quod ejus in terram adventum significat, tum priorem per carnem in paupertate factum, tum posteriorem quem in gloria faciendum a cœlo exspectamus. Postea lectiones sacrorum sermonum ponuntur, in institutionem mysterii et encomium sanctorum quorum solemnia celebrantur, quoniam in illo futuri sæculi panegyrico et mysteria Dei, ac præsertim incarnationis celebrabuntur, et cum eis agones eorum qui pro illo certaverunt, quemadmodum in epiniciis regis et illi qui pro eo pugnaverunt commemorati coronantur, ut sæpius dixit Chrysologus. Verum post lectionem cantatur hymnus ab his incipiens: « Multum misericors, » qui est velut quoddam epinicion Dei mirabilia enarrans, et in primis animarum nostrarum ex Ægypto nempe peccato et errore ad fidem Christi transitum, liberationem nostram a Pharaone et Ægyptiis, diabolo scilicet et dæmonibus, iter expeditum ex mari tentationum vitæ quod in sicco, forti vita nullisque fluctibus agitata in virtute Dei et patientia tribulationum velut virga crucis virtute in baptismo roborati facimus, liberationem a deserto peccati in quo versabamur propter nostram in adimplendis præceptis ignaviam, nostrasque adversus Deum laborum causa murmurationes, qui tamen nutriti eramus verbo vitæ multo manna præstantiori et pótati fluento sanguinis ex latere Christi manantis, tanquam ex hac vita solutionem, Ecclesiæ redemptionem ab Amalec, Seon et Og hisque similibus, Diocletiano, Maximino, Apostata (Juliano) cæterisque tyrannis impiissimis, utpote destructo illorum infidelium regno, ita et tyrannide dæmonum quibus tribulationes accidunt sanctis in hac vita et variæ tentationes, necnon mansionem in terra promissionis, et hæreditatem cœlestem per Jesum Filium Dei vivi qui est pars et hæreditas nostra, qui nos ab infidelibus segregatos ad cœlestem Hierosolymam perducit, sacerdotii et sacrificii viventis dona tanquam magnus pontifex largitus, et tanquam solus rex per naturam regnum futurum nobis largiturus, et regni ejus non erit finis. At post hos cantus, electi alii psalmi et hymni

A Καὶ οὕτως εἰ μὲν ἑορτή, τὰ περὶ τῆς ἑορτῆς ᾄδεται· εἰ δ' ἁγίου μνήμη τινός, τὰ τοῦ ἁγίου. Ἐπεὶ διὰ τοῦ σαρκωθέντος ἡ φύσις ἡγίασται. Καὶ εἰκότως τὰ τῆς γεννήσεως καὶ ἐπιφανείας τοῦ Σωτῆρος τὸ κατὰ σάρκα ἐν τῇ νυκτὶ ἐκτυποῦται· ἐπεὶ καὶ ἐν νυκτὶ γεγέννηται· ὅτι καὶ τοῖς ἐν σκότει καὶ σκιᾷ τῆς ἀγνωσίας καθημένοις ἡμῖν φῶς τὸ μέγα ἐπέφανεν, ὁ Ἡσαΐας φησί. Διὸ καὶ οἱ ὡς ἐν νυκτὶ τῷ βίῳ τούτῳ, ἐν τῷ μέσῳ τῆς νυκτὸς ἐλθεῖν τὸν ἐρώμενον ἡμῖν τῶν ψυχῶν νυμφίον καὶ ἡμῶν ἐρῶντα ἀπεκδεχόμεθα. Καὶ οὕτω καθεξῆς ἥ τε τοῦ ψαλτῆρος στιχολογία τελεῖται, κατὰ τρεῖς τε ψαλμοὺς δοξολογία μετὰ τὸ Ἀλληλούϊα γίνεται, τῆς Τριάδος μὲν διὰ τοῦ Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι δοξολογουμένης, τῆς σαρκώσεως δὲ τοῦ Λό-

B γου διὰ τοῦ Ἀλληλούϊα, ὁ Θεὸς ἔρχεται ἑρμηνευομένου, ὃ τὴν ἐπὶ γῆς αὐτοῦ παρουσίαν σημαίνει, τήν τε πρότερον διὰ σαρκὸς ἐν πτωχείᾳ γεγενημένην, καὶ τὴν ὕστερον πάλιν μετὰ δόξης ἀπ' οὐρανοῦ ὑφ' ἡμῶν ἀπεκδεχομένην. Καὶ ἀναγνώσεις ἱερῶν λόγων τίθενται, εἰς διδασκαλίαν τοῦ μυστηρίου, καὶ ἐγκώμιον τῶν ἀνυμνουμένων ἁγίων· ἐπεὶ καὶ ἐν τῇ πανηγύρει ἐκείνῃ τοῦ μέλλοντος ἢ τὰ μυστήρια ἔσονται δοξολογούμενα τοῦ Θεοῦ καὶ τὰ τῆς ἐνανθρωπήσεως μᾶλλον, ἢ σὺν αὐτοῖς καὶ τὰ ἆθλα τῶν ἀγωνισαμένων ὑπὲρ αὐτοῦ, **220** ὡς καὶ ἐν τοῖς ἐπινικίοις τοῦ βασιλέως, καὶ οἱ δι' αὐτὸν ἐναθλήσαντες ἀναγορευόμενοι στεφανοῦνται, ὡς πολλάκις ὁ Χρυσοῤῥήμων φησί. Μετὰ τὴν ἀνάγνω-

C σιν δὲ καὶ ὁ τοῦ πολυελέου ᾄδεται ὕμνος, ἐπινίκιός τις ὤν, καὶ τὰ τοῦ Θεοῦ θαυμάσια διηγούμενος, καὶ μάλιστα τὴν ἐξ Αἰγύπτου τῆς ἁμαρτίας δηλονότι καὶ πλάνης τῶν ψυχῶν ἡμῶν πρὸς τὴν τοῦ Χριστοῦ πίστιν διάβασιν, καὶ τὴν ἐκ τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων, τοῦ διαβόλου δηλαδὴ καὶ τῶν δαιμόνων, ἐλευθερίαν ἡμῶν, καὶ τὴν ἐκ τῆς θαλάσσης τῶν πειρασμῶν τοῦ βίου, διὰ ξηρᾶς, τῆς ἰσχυρᾶς καὶ ἀκυμάντου ζωῆς ἐν ἰσχύϊ Θεοῦ τῇ καρτερίᾳ τῶν θλίψεων εὐσταλῆ πορείαν, ὡς ῥάβδῳ τοῦ σταυροῦ τῇ δυνάμει ἐνισχυθέντας ἐν τῷ βαπτίσματι, καὶ τὴν ἀπὸ τῆς ἐρημικῆς κακώσεως διὰ τὴν ἐν ἡμῖν ῥᾳθυμίαν ἐν τῇ ἐκπληρώσει τῶν ἐντολῶν, καὶ τὸν εἰς Θεὸν γογγυσμὸν διὰ τοὺς πόνους, καίτοι γε τρεφομένων ἡμῶν τῷ ζωῆς ἄρτῳ ὑπὲρ τὸ μάννα.

D Καὶ ποτιζομένων τῷ νάματι τοῦ ἐκ τῆς πλευρᾶς Χριστοῦ αἵματος, ὡς ἀπὸ τοῦ βίου τούτου ἐλευθερίαν, καὶ τὴν ἐκ τοῦ Ἀμαλὴκ καὶ Σηὼν καὶ Ὢγ καὶ τῶν ὁμοίων ἐκείνοις, Διοκλητιανοῦ τε καὶ Μαξιμίνου καὶ ἀποστάτου καὶ τῶν λοιπῶν δυσσεβεστάτων τυράννων, τῆς Ἐκκλησίας ἀπολύτρωσιν ὡς τῆς βασιλείας ἐκείνων τῶν ἀπίστων καταπεσούσης, ἅμα τῇ τυραννίδι τῶν δαιμόνων, δι' ὧν αἱ θλίψεις τοῖς ἁγίοις ἐν τῷδε τῷ βίῳ καὶ τὰ ποικίλα τῶν πειρασμῶν, καὶ τὴν ἐκ τῶν πειρασμῶν τε καὶ πόνων, εἰς τὴν γῆν τῆς ἐπαγγελίας κατασκήνωσιν καὶ κληρονομίαν τὸν οὐρανὸν διὰ Ἰησοῦ τοῦ Υἱοῦ τοῦ ζῶντος Θεοῦ. Ὃς καὶ κληροδότης ἔσται, καὶ κληρονομία ἡμῖν, καὶ χωρίζων ἡμᾶς τῶν ἀπίστων, καὶ εἰς τὴν Ἱερουσαλὴμ ἐμβιβάζων τὴν ἐπουράνιον, καὶ τὰ τῆς

ἱερωσύνης καὶ θυσίας τῆς ζώσης ὡς μέγας ἱεράρχης διδούς, καὶ ὡς μόνος βασιλεὺς κατὰ φύσιν διαθεῖναι μέλλων τὴν βασιλείαν τὴν μέλλουσαν. Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Μετὰ δὲ τὰ ᾄσματα ταῦτα, καὶ ἐκλογαὶ ἕτεραι ὕμνων ψαλμικῶν ἁρμόζουσαι ταῖς ἑορταῖς ἢ τοῖς ἁγίοις ἐπᾴδονται, προκηρύγματα οὖσαι τῶν θαυμασίων τοῦ Θεοῦ. Καὶ οὕτω τὸ πάντα σφραγίζον καὶ τελειοῦν καὶ τὰ μυστήρια παριστῶν κηρύττεται Εὐαγγέλιον. Δι' αὐτοῦ δὲ τοῦ μυστηρίου φανερωθέντος ἡ χορεία συνίσταται, καὶ διὰ τῶν κανόνων τὰ ἐπινίκια ᾄδεται.

festis accommodati vel sanctis modulantur qui sunt prædicationes mirabilium Dei. Sicque prædicatur Evangelium quod omnia obsignat et perficit ac mysteria profert; per ipsum quod celebratur mysterium chorea agitur et per canones cantantur epinicia.

ΚΕΦΑΛ. ΤΙ'.

Περὶ τῶν ἐν τοῖς κανόσιν ᾀδομένων ᾠδῶν ἐννέα.

Διὸ καὶ πᾶσαι παρὰ τῶν ἁγίων προφητῶν μελῳδηθεῖσαι πρότερον ἀναμέλπονται ᾠδαί· καὶ πρώτη μὲν ἡ τῆς Μαριὰμ τοῦ Μωϋσέως ἐπὶ τῇ διαβάσει τοῦ Ἰσραήλ· δευτέρα δὲ ἡ τοῦ Μωϋσέως μετὰ τὴν τῆς ἐρήμου διάβασιν· τρίτη ἡ τῆς Ἄννης μετὰ τῆς στειρώσεως λύσιν καὶ τὸν ἱερὸν καρπὸν τοῦ Σαμουὴλ εὐχαριστήριος προσευχὴ εἰς προτύπωσιν τῆς στειρευούσης πρότερον Ἐκκλησίας. Καὶ γεωργησάσης κατ' ἐπαγγελίαν, καὶ τεκούσης ὕστερον ἱερεῖς τε ὡς τὸν Σαμουήλ, καὶ διὰ ἱερέων βασιλεῖς ὡς τὸν Δαβίδ, καὶ τοὺς ἐξ αὐτοῦ, τοὺς ἀποστόλους καὶ ἱεράρχας, καὶ δι' αὐτῶν τοὺς Χριστιανῶν βασιλεῖς· τετάρτη τε ἡ τοῦ Ἀββακούμ, ὃς τὸν Θεὸν ἐκ Θαιμὰν εἶδεν ἐξ ὄρους ἐρχόμενον κατασκίου, ἤτοι ἐξ Ἀνατολῶν τὸν ἄδυτον Ἥλιον Χριστὸν ἐκ Παρθένου· πέμπτη ἡ τοῦ Ἡσαΐου, ὃς τὸ τέρας προήγγειλεν, ὡς « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τὸν Ἐμμανουὴλ τέξεται, » καὶ τὰ λοιπὰ προήγγειλε τοῦ ἀγαπητοῦ, καὶ τὴν τῶν νεκρῶν ἐξανάστασιν· ἕκτη δὲ ἡ τοῦ Ἰωνᾶ ᾠδή, ὃς τὸν τριημέρως ταφέντα καὶ ἀναστάντα διὰ τοῦ κήτους προέγραψε· καὶ ἡ τῶν τριῶν παίδων ἑβδόμη πρὸς Θεὸν μελῳδία, ἐν τῇ καμίνῳ μὴ φλεγομένων, εἰς τύπον τῆς θείας σαρκώσεως· καὶ ἡ δοξολογία αὐτῶν ὀγδόη, ἣν μετὰ πάσης ἐποιοῦντο τῆς κτίσεως, τὴν τῆς οἰκουμένης ἁπάσης σαφῶς δηλοῦντες ἐπίγνωσιν εἰς τὸν συγκαταβάντα Θεόν, καὶ ἐν τῇ καμίνῳ τούτους δροσίσαντα, κατὰ τύπον τοῦ ἱερωτάτου βαπτίσματος· καὶ ἐννάτη δὲ ἡ τοῦ Ζαχαρίου ἐπὶ τῷ υἱῷ προφητεία ἐν τῇ γεννήσει τοῦ υἱοῦ αὐτοῦ τοῦ Βαπτιστοῦ, ὃς κατὰ τὴν κλῆσιν προοίμιον καὶ πρόδρομος 221 ἦν τῆς χάριτος· καὶ σὺν αὐτῇ καὶ πρὸ ταύτης καὶ πασῶν ἐξαιρέτως, τῆς ἐξαιρέτως καὶ μόνης παναμώμου καὶ ὑπεραγίας ἁγνῆς ᾠδὴ τῆς Θεοτόκου καὶ ὑπερενδόξου Μαρίας, προφητική τε καὶ θεολογικὴ καὶ ἡγιασμένη καὶ μακαρία τελοῦσα παρὰ πάσας, ὡς ἐπὶ τῷ ἀπειράνδρῳ τόκῳ αὐτῆς ῥηθεῖσα. Ἐν ᾧ ἡμῶν τοῦ νέου Ἰσραὴλ ὁ ἐξ αὐτῆς σαρκωθείς, ὡς ἐπηγγείλατο τῷ Ἀβραάμ, ἀντελάβετο. Ταύτας τοίνυν τὰς ἐννέα ᾠδάς, εἰς τρισσὸν τύπον τῆς ὑπερθέου Τριάδος, ἡ Ἐκκλησία καθ' ἑκάστην ὡς ἐπινίκιά τε καὶ χαριστήρια διὰ τῶν κανόνων μελῳδεῖ. Καὶ τρεῖς ἐν τούτοις ποιεῖται στάσεις, κἀν τούτῳ τὴν Τριάδα τιμῶσα, μίαν μὲν κατὰ τὸ τέλος τῆς τρίτης ᾠδῆς, τοῦ ἱερέως δοξολογοῦντος.

CAPUT CCCX.

De novem hymnis Biblicis qui ex Canonum præscripto canuntur.

Idcirco prius cantantur cantica a sanctis prophetis modulata; primum quidem Mariæ sororis Moysis, dum Israel mare transiret, secundum vero Moysis post transitum; tertium Annæ post solutam sterilitatem productumque sanctum fructum, nempe Samuelem gratiarum actionis oratio, in figuram Ecclesiæ prius sterilis posterius autem parturientis et filiorum lætantis, nempe sacerdotum Samuelis instar, et per sacerdotes regum ut David, et seminis ejus, apostolorumque et pontificum, et per eos regum Christianorum. Quartum est Habacuc, qui vidit Deum ex Thæman venientem, de monte obumbrato procedentem. Solem scilicet qui nescit occasum ex Oriente de Virgine Christum progredientem. Quintum Isaiæ qui signum annuntiavit dicens: « Ecce Virgo concipiet in utero, et pariet Emmanuel; cæteraque de desiderato prædixit ac mortuorum resurrectionem. Sextum Jonæ qui per triduum sepultus in ceto resurrectionem præfiguravit. Septimum est trium puerorum ad Deum canticum in fornace nequaquam adustorum, in figuram divinæ incarnationis. Octavum est eorum glorificatio quam cum tota creatione fecerunt, recte patefacientes cognitionem universæ terræ Dei qui cum eis perambulabat, eosque in camino rore spargebat. Nonum denique est Zachariæ de filio prophetantis, in nativitate Filii ejus Baptistæ, qui secundum vocationem erat procemium et præcursor gratiæ, necnon cum illo et ante illud et super omnia, canticum ejus quæ eximie et sola est prorsus intemerata ac sanctissima, castæ scilicet Deiparæ Mariæ omni honore dignissimæ, quod est propheticum simulque theologicum sanctumque et præ omnibus prosperum, utpote de conceptu ejus sine semine effecto pronuntiatum, in quo nos novum Israel Deus ex ea incarnatus, quemadmodum Abraham promissum fuerat, suscepit. Hæc igitur novem cantica, in triplex signum divinissimæ Trinitatis, Ecclesia, singulis diebus, velut epinicia et gratiarum actiones, ex præcepto canonum modulatur; tresque in eis stationes facit, quo etiam Trinitatem honorat, quarum unam agit in fine tertii cantici, sacerdote doxologiam dicente.

ΚΕΦΑΛ. ΤΙΑ'.

Περὶ καθισμάτων.

Εἶτα καθημένων καὶ ἀνυμνούντων, τὸ μὲν καὶ διὰ

CAPUT CCCXI.

De Psalmis canticisque quæ a sedentibus concinuntur.

Deinde sedentibus simulque laudantibus, illud

quidem propter modicam corporis requiem, istud A vero quoniam et sedentes et stantes oportet Deum laudare, e sanctorum scriptis argumenta de festo in communem doctrinam leguntur.

μικρὰν τῆς σαρκὸς ἀνάπαυσιν, τὸ δὲ ὅτι καὶ καθημένους καὶ ἱσταμένους δεῖ τὸν Θεὸν ἀνυμνεῖν, ὅτε καὶ τὰ περὶ τῆς ἑορτῆς εἰς διδασκαλίαν κοινὴν ἐκ τῶν ἁγίων ἀναγινώσκεται.

CAPUT CCCXII.

De brevi et diffusiore (in sanctum vel festum aliquod) hymno.

Finito sexto cantico fit similiter, sacerdote doxologiam dicente, et dicitur lectio brevis quæ est velut laus festi in versiculo contracta, et lectio quoque appellata οἶκος seu domus, utpote complectens in semetipsa totam festi materiam, vel vitam cujusque sanctorum, et in fine lectionis brevis mora interponitur per brevem melodiam quod fit etiam quando legitur hymnus cui nomen συναξάριον, in quo summatim dicuntur quæ ad festum B spectant vel Acta sanctorum quorum in die agitur festivitas, simulque comprehenduntur ut in compendio agones ejus qui celebratur et cæterorum, ac in iambico carmine singuli eorum laudibus exornantur. At post octavum canticum nono incipiente, magnificat sacerdos præstantiorem omnibus sanctis Deiparam, cui Deus vere fecit magna et mirabilia, utpote ex ea incarnatus, et quam Seraphim ac Cherubim præcellentem manifestavit, cujus gratia divinum ejus canticum modulatur. Deinceps in fine noni cantici Trinitatem laudat cum angelis sacerdos.

ΚΕΦΑΛ. ΤΙΒ'.

Περὶ κοντακίου καὶ οἴκου.

Καὶ μετὰ τὴν ἕκτην ὡσαύτως, τοῦ ἱερέως δοξολογοῦντος, τὸ κοντάκιον λέγεται, ὡς συνεπτυγμένη ἐν τροπαρίῳ εὐφημία τῆς ἑορτῆς· καὶ ὁ λεγόμενος οἶκος, ὡς περιέχων ἐν ἑαυτῷ πάντας τοὺς λόγους τῆς ἑορτῆς, ἢ τὴν βιοτὴν τῶν ἁγίων ἑκάστου, καὶ εἰς τὸ τέλος λήγων τοῦ κοντακίου, ἐν μικρῷ μελῳδήματι· ὅτε καὶ τὸ λεγόμενον ἀναγινώσκεται Συναξάριον, ὡς ἢ τὰ περὶ τῆς ἑορτῆς ἐν συνόψει λέγων, ἢ τὰ περὶ τῶν τελειωθέντων ἐν τῇ ἡμέρᾳ ἁγίων, ἅμα καὶ τοῦ ἑορταζομένου καὶ τῶν λοιπῶν ἐν ἐπιτομῇ περιέχον τὰ σκάμματα, καὶ ἐν ἰάμβοις ἕκαστον αὐτῶν ἀνυμνῶν. Μετὰ δὲ τὴν ὀγδόην ἐν τῇ τῆς ἐννάτης ἀρχῇ μεγαλύνει τὴν ὑπὲρ τοὺς ἁγίους ἅπαντας Θεοτόκον. Ἧ μεγαλεῖα θαυμαστὰ ὁ Θεὸς ἐποίησεν ἀληθῶς, ὡς ἐξ αὐτῆς σαρκωθεὶς, καὶ τῶν Σεραφὶμ καὶ Χερουβὶμ ἀνέδειξεν ὑπερτέραν, ἐν ᾗ καὶ μέλπει τὰ τῆς θείας ᾠδῆς αὐτῆς. Ἐν τῷ τέλει δὲ τῆς ἐννάτης αἰνεῖ τὴν Τριάδα μετὰ τῶν ἀγγέλων ὁ ἱερεύς.

CAPUT CCCXIII.

De hymno in quo vox ἐξαπόστειλον frequentatur, et de laudibus et de magna doxologia.

Deinceps dicitur hymnus nomine emissarius propter illud: « Emitte lumen tuum, » quasi lucem C infundens dictus ante psalmos laudativos. Qui laudum psalmi totam convocant et adducunt creationem, angelos scilicet aliasque creaturas ad laudandum eum qui fecit ea, cum universa Dei opera testentur se in Verbo et Spiritu esse creata. Dixit enim, et facta sunt, inquit; ipse mandavit, et creata sunt; dixit, propter Verbum, mandavit propter operationem Spiritus. Et post tres accommodatos laudum psalmos, rursum dicitur gloria in honorem Trinitatis, seu magna conficitur doxologia. Hæc est quæ ab initio jam dicta est in prooemio operis: « Gloria in altissimis Deo; » nunc vero integra cum cantu ab omnibus simul dicitur, cum mysterium in toto mundo fuerit manifestatum non pastoribus tantum, sed et gentibus universis. Ideo dicitur: D « Laudamus te, benedicimus te, adoramus te, glorificamus te, gratias agimus tibi propter magnam gloriam tuam; » pleni enim sunt cœli et terra gloria ejus. Cujus? Dei scilicet in Trinitate: quapropter de divinis loquitur Ecclesia clamans: « Domine, rex cœlestis, Deus Pater omnipotens; Domine, Fili unigenite Jesu Christe, et sancte Spiritus. » En tres personas prædicavit hymnus in una Deitate, nam dicendo: « In altissimis Deo, et laudamus te, » patefecit unitatem, numero autem personas proclamavit. Deinde Dei Verbi incarnationem claris verbis celebrat clamans: « Domine Deus, agnus Dei, » quod ab Isaia et præcursore

ΚΕΦΑΛ. ΤΙΓ'.

Περὶ ἐξαποστειλαρίου, καὶ τῶν αἴνων, καὶ τῆς μεγάλης δοξολογίας.

Καὶ τὸ ἐξαποστειλάριον λέγεται διὰ τὸ « Ἐξαπόστειλον τὸ φῶς σου, » ὡς φωταγωγικὸν πρὸ τῶν αἴνων λεγόμενον. Καὶ οὕτω τὰ τῶν αἴνων ἐπάγεται πᾶσαν συγκαλουμένων τὴν κτίσιν, ἀγγέλους ἅμα καὶ πάντα τὰ κτίσματα, εἰς τὴν αἴνεσιν τοῦ πεποιηκότος αὐτὰ, καὶ πάντα ἔργα Θεοῦ μαρτυρούντων ἐν Λόγῳ καὶ Πνεύματι γεγονότα. « Αὐτὸς γὰρ εἶπε, καὶ ἐγενήθησαν, φησὶν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν, » τὸ, *Εἶπε*, διὰ τὸν λόγον, τὸ *Ἐνετείλατο* διὰ τὴν ἐνέργειαν τοῦ Πνεύματος. Καὶ μετὰ τοὺς ἁρμοδίους ὕμνους τῶν αἴνων, καὶ τὸ, « *Δόξα καὶ νῦν*, » εἰς τιμὴν τῆς Τριάδος, ἡ μεγάλη δοξολογία τελεῖται. Αὕτη δ' ἐστὶν ἡ καὶ ἐξαρχῆς ῥηθεῖσα ἐν προοιμίοις, τὸ, « Δόξα ἐν ὑψίστοις Θεῷ, » νῦν δὲ τελεωτέρως καὶ μετὰ μέλους καὶ παρὰ πάντων ᾀδομένη ὁμοῦ, ὡς τοῦ μυστηρίου ἐν ὅλῳ φανερωθέντος τῷ κόσμῳ, καὶ οὐ τοῖς ποιμέσι μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι. Διὸ καὶ, « Ὑμνοῦμέν σε, » φησὶν, « εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν. » Πλήρης γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ γέγονε τῆς δόξης αὐτοῦ. Τίνος; Τοῦ ἐν Τριάδι Θεοῦ. Διὸ καὶ θεολογεῖ ἡ Ἐκκλησία, βοῶσα, « Κύριε βασιλεῦ ἐπουράνιε, Θεὲ Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα. » Ἰδοὺ τὰς τρεῖς ἐκήρυξεν ὑποστάσεις ἐν μιᾷ Θεότητι. Τῷ γὰρ, « Ἐν ὑψίστοις Θεῷ, » λέγειν καὶ, « Ὑμνοῦμέν σε, » τὸ ἑνιαῖον ἐδήλωσε. **222** Τῷ δὲ ἀριθμῷ, τὰς ὑποστάσεις κατήγγειλεν. Εἶτα καὶ τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν ἀνυμνεῖ λαμπρῶς, ἐκβοῶσα, « Κύριε ὁ

Θεὸς ὁ ἀμνὸς τοῦ Θεοῦ, » ἀπὸ τοῦ Ἡσαΐου καὶ τοῦ A Προδρόμου λαβοῦσα, διὰ τὸ πάθος καὶ τὴν σφαγήν, « Ὁ Υἱὸς τοῦ Πατρὸς, » ἀπὸ τοῦ Εὐαγγελίου πλουτοῦσα, « Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς. » « Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν, » ἀπὸ τοῦ Ἡσαΐου ἔχουσα. « Ὁ καθήμενος ἐκ δεξιῶν τοῦ Πατρὸς, ἐλέησον ἡμᾶς, » ἀπὸ τοῦ Εὐαγγελίου · » τὸ δὲ, *Πρόσδεξαι*, καὶ τὸ, *Ἐλέησον*, ἀπὸ τοῦ Δαβίδ. « Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦ Χριστὲ, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν · » ἀπὸ τοῦ Παύλου · « Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος · » ἀπὸ τοῦ θείου Δαβίδ · τὰ λοιπὰ δὲ εὐχῆς καὶ δεήσεως, καὶ προφητικά.

B

ΚΕΦΑΛ. ΤΙΔ'.

Περὶ τοῦ τρισαγίου ὕμνου.

Καὶ τελευταῖον ὁ ἀγγελικὸς ὕμνος, ὃς δὴ καὶ παντὸς ὕμνου σφραγίς · ὅτι καὶ εἰς τὸν μόνον Θεὸν ἀναφέρεται τὴν ἁγίαν Τριάδα. « Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. » Οὗτος δὲ ὁ ὕμνος, ὡς καὶ προειρήκαμεν, ἄνωθεν συντεθειμένος ἐστὶν ἀπὸ τῶν Πατέρων καὶ μεγάλη δοξολογία, ὡς ἔφημεν, λέγεται · καὶ πάντα πιστὸν δεῖ μελετᾷν καὶ γινώσκειν αὐτὴν, καὶ καθ' ἑκάστην ἡμέραν πρωΐ τε καὶ ἑσπέρας τῷ Θεῷ ἀναπέμπειν, ὅτι καὶ ὁμολογία καὶ δοξολογία τῆς ἁγίας Τριάδος ἐστὶ τοῦ μόνου Θεοῦ, καὶ τῆς σαρκώσεως καὶ οἰκονομίας, σταυρώσεώς τε καὶ ἀνυψώσεως τοῦ ἑνὸς τῆς Τριάδος τοῦ Θεοῦ Λόγου ἀνύμνησις, καὶ ἱκεσία εὐχάριστος, ἐν C ἡμέρᾳ τε καὶ νυκτὶ πάσῃ ἐξαιτουμένη ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς, καὶ τὸ ἔλεος τοῦ Θεοῦ (ὡς ἐλπίζομεν) ἐν ἡμῖν γενέσθαι, καὶ καταφυγὴν ἡμῶν γεγονότα τὸν Κύριον διὰ τῆς ἐνανθρωπήσεως, ἐλεῆσαι ἡμᾶς, τὸ « Ἐλέησον, » μετὰ τοῦ Δαβὶδ ἐκβοῶντας, καὶ « ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. » Ἰδοὺ ταῦτα ἐξομολόγησις · καὶ ὅτι « Πρὸς σὲ κατέφυγον τὴν τῶν ὅλων καταφυγήν · » καὶ, « Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου · ὅτι σὺ εἶ ὁ Θεός μου, ὁ Πατὴρ σὺν τῷ Υἱῷ καὶ τῷ Πνεύματι. » Διὸ καὶ ἐπάγει, « Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, » τὸ Πνεῦμα τὸ ἅγιον. « Ἐν τῷ φωτί σου, » τῷ Πνεύματι τούτῳ, « ὀψόμεθα φῶς, » τὸν Υἱόν. « Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, τὸν ἀληθινὸν Θεὸν καὶ Πατέρα σὺν τῷ Λόγῳ σου καὶ τῷ Πνεύματι διὰ τῆς τοῦ Υἱοῦ D σου σαρκώσεως. » Διὸ καὶ εὐθὺς ἐπάγει τὸν Τρισάγιον ὕμνον.

ΚΕΦΑΛ. ΤΙΕ'.

Ὅρα τίς ἡ γνῶσις τοῦ Τρισαγίου, « Ἅγιος, ἅγιος, ἅγιος, » καὶ τὰ ἑξῆς.

Ἀλλὰ παρὰ μὲν τῶν ἀγγέλων ὁ ὕμνος, ὡς παρὰ τοῦ Ἡσαΐου ἔγνωμεν, οὕτως ᾄδεται · « Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ. Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. » Τούτου δὲ ἡ γνῶσις αὕτη, ὡς παρ' Ἀθανασίου καὶ τῶν λοιπῶν Πατέρων ἐμάθομεν · « Ἅγιος ὁ Πατὴρ, ἅγιος ὁ Υἱὸς, ἅγιος τὸ Πνεῦμα τὸ ἅγιον. » Ἰδοὺ αἱ τρεῖς ὑποστάσεις. « Κύριος Σαβαώθ. » Ἰδοὺ τὸ ἓν τῆς Θεότητος, καὶ τῆς φύσεως τὸ μοναδικὸν, καὶ ἑνιαῖον τῆς δόξης.

accipit propter passionem et occisionem; « Filius Patris » ex Evangelio locupletatus. « Qui tollis peccata mundi, miserere nobis; qui tollis peccata mundi suscipe deprecationem nostram, » quod sumit ab Isaia. « Qui sedes ad dexteram Patris, miserere nobis, » hoc ab Evangelio sumitur; illa vero: Suscipe et miserere, a Davide. « Quoniam tu solus sanctus, tu solus Dominus, Jesu Christe, in gloria Dei Patris. Amen, » quod a Paulo accipitur. « Per singulos dies benedicam tibi, et laudabo nomen tuum in sæculum et in sæculum sæculi » a divino Davide mutuatur. Cætera autem ad orationis et deprecationis modum referunt et ad prophetiam spectant.

CAPUT CCCXIV.

De hymno trisagio.

Postremo cantatur hymnus angelicus qui est cujuslibet hymni sigillum, quoniam Deo solo sanctæ Trinitati exhibetur: « Sanctus Deus, sanctus fortis, sanctus immortalis, miserere nobis. » Atqui hymnus iste, prout jam supra diximus, compositus est ex verbis Patrum, et magna dicitur doxologia, quemadmodum locuti sumus, fidelemque omnem oportet eam meditari ac cognoscere, diebusque singulis mane et vespere eam Deo conservare, quoniam confessio est et glorificatio sanctæ Trinitatis solius Dei, necnon incarnationis, œconomiæ, crucifixionis et ascensionis unius e Trinitate personæ, Dei Verbi laudatio; et invocatio cum gratiarum actione, qua omni die ac nocte obsecramus ut sine peccato custodiamur, utque misericordia Dei (sicut speramus) fiat super nos, et Dominus refugium nostrum per incarnationem factus misereatur nostri, clamantes post Davidem, « Miserere mei et sana animam meam, quia peccavi tibi. » Ecce in his confessio, et insuper; Ad te confugi, qui es universorum refugium, et doce me facere voluntatem tuam, quoniam Deus meus es tu, Pater cum Filio et Spiritu. » Ideo pergit dicendo: « Apud te est fons vitæ, Spiritus sanctus. In lumine tuo, nempe, isto Spiritu, videbimus lumen, Filium. Extende misericordiam tuam eis qui cognoscunt te verum Deum et Patrem cum Verbo tuo et Spiritu per incarnationem Filii tui; quapropter statim quoque addit hymnum Trisagion.

CAPUT CCCXV.

Quænam sententia Trisagii, « Sanctus, sanctus, sanctus, » etc.

Tum hymnus ab angelis quidem, prout ab Isaia didicimus, sic cantatur; « Sanctus, sanctus, sanctus Dominus Sabaoth; pleni sunt cœli et terra gloria ejus; » ejus autem hæc est notio quam ab Athanasio cæterisque Patribus accepimus: « Sanctus Pater, sanctus Filius, sanctus Spiritus sanctus. » En tres personas. « Dominus Sabaoth, » ecce unitas Deitatis, unitas naturæ, unitas gloriæ. Ideo ter dicit, sanctus, propter tres personas, et semel Do-

minus propter unam Divinitatem, atque pleni sunt cœli et terra gloria ejus, propter cognitionem ter sancti Dei, sanctissimæ Trinitatis, gentibus datam ope divinæ dispensationis per angeli et Christi apostolos, in qua instaurata sunt omnia quæ in cœlis et quæ in terra sunt. Gloria ejus, inquit, quoniam una est Trinitatis gloria, una virtus et voluntas, et volitio et operatio, unusque in Trinitate Deus.

CAPUT CCCXVI.

Quæ sententia Trisagii hymni, «Sancte Deus, sancte fortis, sancte immortalis, miserere nostri.»

Itaque Patres antiqui ex angelis quidem hoc accipientes: « Sanctus, sanctus, sanctus; » verum a Davide laudante Deum in Trinitate, et dicente; « Sitivit anima mea ad Deum fortem vivum; » hymnum Trisagion egregie composuerunt, ex ipso Davide iterum sumentes ad deprecandum; « Miserere nobis. » Ideo dixerunt; Sanctus Deus, vocem *sanctus* ab angelis, et *Deus* a Davide excipientes; similiter sanctus Fortis, hoc quidem *sanctus*, ab angelis, istud autem *Fortis*, a Davide sumentes; et tertio, Sanctus Immortalis, *sanctus* etiam ab angelis, vocem vero *Immortalis* pro voce *virus* a Davide, a quo etiam hæc verba, Miserere nobis, excipientes. Hic enim ipse quoque locutus est in sancto Spiritu, quod Salvator testatur dicens: « Dixit David in spiritu. » Consequenter de Patre locutus est dicens: Deus, quoniam ille est fons radixque Deitatis, Filiique ac Spiritus principium; de Filio autem hac voce Fortis, quoniam brachium est Patris virtusque substantialis; « Christus enim Dei virtus et Dei sapientia; » ait Paulus; Spiritum vero per hanc vocem indicavit; « Immortalis, » quoniam Spiritus est vita; Spiritus est qui vivificat omnia, inquit, et quia Dei fortis est fortitudo, et semper viventis vita est immortalis.

CAPUT CCCXVII.

Contra Petrum Fullonem.

In eo quod attinet ad hunc hymnum Trisagion quam stultissima facta est hæreticorum propositio a nefario quodam Petro Fullone qui volebat huic hymno Trinitatis ad quam passio accedere non potest, sequentia addere: « Crucifixus propter nos. » Quod erat immanis blasphemia; passionis enim est immunis atque incomprehensibilis et incorporea Trinitas, Deus vero Verbum solum incarnatum, una scilicet indivisibilis Trinitatis persona, minime divinitate passum est, sed carne, divinitate ejus impassibili permanente; nec ullo modo cruci affixa, quemadmodum cum tunditur patiturque ferrum ardens, non patitur ignis cum eo, neque mutatur neque ullo modo afficitur, sed magis fulgidum et ignitum facit, prout divus dixit Basilius. Illa autem hæresis, postquam æstuantia tentamina per longum tempus in Ecclesia succendisset, ipsa quoque

A Διὸ καὶ τρὶς τὸ *Ἅγιος* φησὶ, διὰ τὰς τρεῖς ὑποστάσεις, καὶ ἅπαξ τὸ *Κύριος*, διὰ τὴν μίαν Θεότητα. Καὶ, « Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, » διὰ τὴν ἐπίγνωσιν τοῦ τρισαγίου Θεοῦ τῆς παναγίας Τριάδος τοῖς ἔθνεσι δωρηθεῖσαν ἐκ τῆς θείας οἰκονομίας διὰ τῶν ἀγγέλων καὶ ἀποστόλων τοῦ Χριστοῦ, καὶ τὰ ἄνω πληρωσάσης καὶ τὰ ἐν γῇ. Καὶ, « Τῆς δόξης αὐτοῦ, » φησὶν, ὅτι μία δόξα τῆς Τριάδος, καὶ μία δύναμις καὶ βουλὴ καὶ κίνησις καὶ ἐνέργεια, καὶ εἷς Θεὸς ἐν Τριάδι.

223 ΚΕΦΑΛ. ΤΙϚ'.

Τίς ὁ λόγος τοῦ Τρισαγίου, « Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. »

B Διὰ τοῦτο καὶ οἱ Πατέρες ἄνωθεν, ἐκ μὲν τῶν ἀγγέλων λαβόντες τὸ « Ἅγιος, ἅγιος, ἅγιος, » ἐκ δὲ τοῦ Δαβὶδ, ὑμνοῦντος τὸν ἐν Τριάδι Θεὸν, καὶ λέγοντος, « Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα, » τὸν Τρισάγιον ὕμνον καλῶς συντεθείκασι, καὶ τὸ, « Ἐλέησον ἡμᾶς, » εἰς ἱκεσίαν ἐξ αὐτοῦ πάλιν τοῦ Δαβὶδ προσελάβοντο. Διὸ καὶ φασιν, « Ἅγιος ὁ Θεὸς, » τὸ *Ἅγιος* ἀπὸ τῶν ἀγγέλων, τὸ *ὁ Θεὸς* ἀπὸ τοῦ Δαβίδ. Ὁμοίως, « Ἅγιος ἰσχυρὸς, » τὸ *Ἅγιος* ἀπὸ τῶν ἀγγέλων, τὸ *ἰσχυρὸς* ἀπὸ τοῦ Δαβίδ. Καὶ τρίτον, « Ἅγιος ἀθάνατος, » τὸ *Ἅγιος* ἀπὸ τῶν ἀγγέλων, τὸ *ἀθάνατος* ἀντὶ τοῦ ζῶντος λαβόντες ἀπὸ τοῦ Δαβὶδ, καὶ τὸ, « Ἐλέησον ἡμᾶς, » ἐξ αὐτοῦ. Καὶ οὗτος γὰρ ἐν ἁγίῳ ἐλάλησε Πνεύματι. Καὶ ὁ Σωτὴρ αὐτῷ C μαρτυρεῖ, « Εἶπε Δαβὶδ, λέγων, ἐν πνεύματι· » καὶ ἀκολούθως ἐπὶ μὲν τοῦ Πατρὸς τὸ *ὁ Θεὸς*, ἐπεὶ « Οὗτος πηγὴ καὶ ῥίζα Θεότητος, καὶ Υἱοῦ καὶ Πνεύματος αἴτιος, ἐπὶ δὲ τοῦ Υἱοῦ τὸ *ἰσχυρὸς*, ὅτι καὶ βραχίων τοῦ Πατρὸς καὶ ἰσχὺς ἐνυπόστατος· « Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, » Παῦλός φησιν· ἐπὶ δὲ τοῦ ἁγίου Πνεύματος τὸ *ἀθάνατος*, ὅτι τοῦ Πνεύματος ἡ ζωὴ τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, φησὶ, καὶ ὅτι τοῦ Θεοῦ ἰσχυροῦ ὄντος ἰσχυρὰ ἡ ἰσχύς. Καὶ ζῶντος ἀεὶ, Ἀθάνατος ἡ ζωή.

ΚΕΦΑΛ. ΤΙΖ'.

Κατὰ τοῦ Κναφέως Πέτρου.

Εἰς δὲ τὸν Τρισάγιον τοῦτον ὕμνον καὶ πλείστη γέγονεν ἐπίθεσις τῶν αἱρετιζόντων ἀφρονεστάτη D διά τινος δυσφήμου Πέτρου Κναφέως προστιθέναι βουλομένου ἐν τῷ τῆς Τριάδος ὕμνῳ τῆς ἀπαθοῦς, τὸ, « Ὁ σταυρωθεὶς δι' ἡμᾶς· » ὃ βλασφημότατον ἦν. Ἀπαθὴς γὰρ καὶ ἀπερίληπτος καὶ ἀσώματος ἡ Τριάς· καὶ ὁ Θεὸς δὲ Λόγος μόνος σαρκωθεὶς, ὁ εἷς τῆς ἀχωρίστου Τριάδος, οὐ πέπονθε τῇ θεότητι, ἀλλὰ τῇ σαρκὶ, τῆς θεότητος αὐτοῦ ἀπαθοῦς καὶ ἀσταυρώτου μενούσης, ὡς καὶ τοῦ σιδήρου τυπτομένου καὶ πάσχοντος ἐμπύρου ὄντος, οὐ πάσχει τὸ πῦρ σὺν αὐτῷ, οὐδ' ἀλλοιοῦται, καὶ μεταβάλλεται· μᾶλλον δὲ λαμπρύνει καὶ ἐκπυροῖ τὸν σίδηρον, ὡς ὁ θεῖος φησι Βασίλειος. Ὅμως δὲ ἡ αἵρεσις αὕτη, ἐπὶ πολὺν ἤδη χρόνον πειρασμοὺς φλογώδεις ἀνάψασα τῇ Ἐκκλησίᾳ κατεσβέσθη πάλιν Θεοῦ δυνάμει, τέρας ἐκτελέσαντος θαυμαστὸν ἐν τῇ Κωνσταν-

A τίου τῇ φιλοχρίστῳ, Θεοδοσίου τοῦ Νέου τὰ τῆς βασιλείας διέποντος, λιτανευούσης τῆς Ἐκκλησίας, παιδὸς ἁρπαγέντος εἰς τὸν ἀέρα ἐκ μέσου, καὶ πάλιν κατελθόντος, καὶ οὕτω βοῶντος ψάλλεσθαι ὑπὸ τῶν ἀγγέλων, « Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, » καὶ ἐν τῷ λέγειν καὶ κατελθεῖν τελευτήσαντος. Ἰδοὺ οὖν καὶ ἡ Ἐκκλησία οὐκ ἀπὸ τῶν προφητῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν τέκνων αὐτῆς ἐν Πνεύματι ἁγίῳ, τὸ Τρισάγιον τοῦτο ἔλαβε μέλος. Καὶ ἡ Τριὰς ὁ Θεὸς, ἀγγέλων ὕμνον αὐτῇ Τριάδι ἀσιγήτως ᾀδόμενον θεοδότως ἐπεμαρτύρησεν. Ὅθεν ἔκτοτε τοῦτο μᾶλλον ἡ Ἐκκλησία παραλαβοῦσα ἐκ τοῦ Θεοῦ, τοῦ καὶ τὸν γινόμενον τῆς γῆς κλόνον τότε παρευθὺς τῇ ὀρθοτομίᾳ τοῦ ὕμνου στήσαντος, πάντοτε ᾄδει σὺν τοῖς ἀγγέλοις ἐν πᾶσι καιροῖς προσευχῶν, ἐξαιρέτως δὲ μετὰ B ἐνθέου μέλους, κατά τε τὴν μεγάλην δοξολογίαν ἐν τῷ τέλει τοῦ ὄρθρου, καὶ ἐν τῇ ἱερᾷ λειτουργίᾳ. Ἡ μὲν οὖν μεγάλη δοξολογία, οὕτω καθημέραν ᾄδεται ἔν τε ἑορταῖς καὶ μνήμαις ἑορταζομένων ἁγίων· ἐν ἄλλαις δὲ ἡμέραις κατὰ τὴν τάξιν τοῦ Τυπικοῦ ὡς καὶ ἐν κατανύξει ὑφ' ἑνὸς αὕτη λέγεται, καὶ προσευχὴ ὕστερον τοῦ Τρισαγίου, περὶ ἧς καὶ ἐν συνόψει ἐρεῖν ἀναγκαῖον δι' ὑμᾶς ἐρωτῶντας.

fuit exstincta Dei virtute, qui mirabile fecit signum in Constantini civitate Christo amica, Theodosio juniore regnum agente, et Ecclesia supplicante, cum infans e medio in aerem raptus et inde descendens clamavit cantari ab angelis : « Sanctus Deus, sanctus Fortis, sanctus Immortalis, miserere nobis, » et dum descendens loqueretur occubuit. En igitur Ecclesia non a prophetis tantum, sed a pueris suis spiritualibus Trisagion hoc carmen accepit, et Trinitas Deus angelorum hymnum ipsi Trinitati sine fine cantatum divinitus institutum esse comprobavit. Ideo ex hac hora Ecclesia hunc hymnum a Deo acceptum qui insuper ejus gratia motum terræ compressit, semper cantat cum angelis in omnibus precum temporibus, præcipue autem cum sacro cantu in magna doxologia in fine officii matutini et in sancta sacrificii oblatione. Magna ergo doxologia ita per singulos dies cantatur in festis et commemorationibus sanctorum quorum solemnia celebrantur, in aliis vero diebus secundum ordinem Typici et in compunctione seorsim dicitur; postea autem fit oratio Trisagii, de qua vel breviter dicere necessarium est propter vestras interrogationes.

224 ΚΕΦΑΛ. ΤΙΗ'.

Περὶ τοῦ Τρισαγίου, καὶ τῆς τοῦ, « Πάτερ ἡμῶν, » προσευχῆς ἑρμηνεία δευτέρα.

Αὕτη γὰρ ἡ προσευχὴ, καὶ ἐν προοιμίοις, καὶ κατὰ μέσην λέγεται καιροῦ ἑκάστου ἀκολουθίαν, καὶ ἐν τῷ τέλει πολλάκις· ὅτι εἰς τὸν ἐν Τριάδι C μόνον Θεὸν ἡμῶν αὕτη ἅπασα ἀναφέρεται· καὶ τὰς ἀρχὰς ἐκ τοῦ ἀγγελικοῦ φέρει ὕμνου, καὶ τέλος τὴν ὑπὸ τοῦ Σωτῆρος προσευχήν. Τὴν μὲν οὖν τάξιν τῆς προσευχῆς οἴδατε· ἔννοιαν δὲ τοιαύτην αὕτη δὴ περιέχει. Τρὶς λέγεται τὸ Τρισάγιον, εἰς τὸ τρισσῶς ἀνυμνεῖσθαι τὴν ἁγίαν Τριάδα, καθάπερ εἰρήκαμεν.

CAPUT CCCXVIII.

De Trisagio hymno et oratione « Pater noster, » iterata expositio.

Ista enim oratio et in initio et in medio cujusque horæ et sæpe in fine dicitur, quoniam ad solum in Trinitate Deum nostrum tota dirigitur, incipit ab oratione Salvatoris. Ordinem quidem orationis cognoscitis, similem vero habet interpretationem. Ter dicitur Trisagion, ut ter laudetur sancta Trinitas, quemadmodum diximus.

ΚΕΦΑΛ. ΤΙΘ'.

Περὶ τοῦ, « Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· » καὶ ὑπὸ τίνων συνετέθη.

Εἶτα ἕτερος ὕμνος ὑπὸ τῶν Πατέρων συντεθεὶς εἰς δόξαν αὐτῆς τῆς ἁγίας Τριάδος, ὥς φασί τινες, ὑπὸ Μελετίου καὶ Φλαβιανοῦ τῶν ἐν ἁγίοις Ἀντιοχείας πατριαρχῶν, « Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. » Τοῦτο κατὰ Ἀρείου καὶ Σαβελλίου εὐσεβῶς συνθεμένων. Καὶ τὸ μὲν « Δόξα » κατὰ D Ἀρειανῶν, ὅτι μία ἡ δόξα τῆς ἁγίας Τριάδος, ὅτι καὶ ὁμοούσιος ἡ Τριὰς, τὸ δὲ « Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, » κατὰ Σαβελλίου, ἓν πρόσωπον τὴν ἁγίαν Τριάδα βλασφήμως λέγοντος, τὸ δὲ, « Καὶ νῦν καὶ ἀεὶ » καὶ τὰ λοιπὰ, ὅτι ἡ αὐτή ἐστι, καὶ ἀεί ἐστι, καὶ ἀναλλοίωτός ἐστιν ἡ Τριὰς, καὶ ἡ δόξα τῆς Τριάδος καὶ νῦν καὶ ἀεί ἐστι, καὶ πάντοτε ἔσται. Εἶτα τὸ, « Παναγία Τριὰς, ἐλέησον ἡμᾶς. » Καὶ τοῦτο δὲ προσευχὴ παρὰ τῶν Πατέρων. Καὶ πρῶτον μὲν τὰ τρία πρόσωπα ἅμα, ὅτι μία θεότης αὐτοῖς καὶ οὐσία καὶ δύναμις καὶ ἀδιαίρετος ἡ Τριάς· εἶτα ὁ ἀριθμὸς τῶν προσώπων διὰ τὰς ἰδιότητας, τοῦ Πατρὸς, « Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις

CAPUT CCCXIX.

De doxologia « Gloria Patri et Filio et Spiritui sancto, » et a quibus composita fuerit.

Deinde alius dicitur hymnus a Patribus compositus in gloriam ejusdem sanctæ Trinitatis, ut dicunt quidam, a Meletio et Flaviano e sanctis Antiochiæ patriarchis : « Gloria Patri et Filio et Spiritui sancto, et nunc et semper, et in sæcula sæculorum. Amen. » Quæ adversus Sabellium et Arium pie sunt composita. Hoc quidem : Gloria adversus Arianos, quoniam una est gloria sanctæ Trinitatis, et consubstantialis est Trinitas; ista vero : Patri et Filio et Spiritui sancto, contra Sabellium unam personam sanctam esse Trinitatem ore blasphemo asserentem; his autem verbis : et nunc et semper, et cætera, ostenditur eamdem esse, et semper esse, et immutabilem esse Trinitatem, necnon Trinitatis gloriam et nunc et semper esse, et in sæcula futuram esse. Deinde dicitur : « Sanctissima Trinitas, miserere nobis. » Quæ oratio a Patribus accepta est, ac primum in ea invenire est tres personas simul, quoniam una est eis divinitas et essentia et virtus, ac indivisibilis trinitas,

secundo personarum numerum propter proprietates, Patris scilicet : « Domine, propitius esto peccatis nostris; » Filii : « Domine, ignosce peccatis nostris; » sancti autem Spiritus : « Sancte, inspice et sana infirmitates nostras; » et tertio trium personarum unitatem ex his : « Propter nomen tuum, » Dominus quidem Pater, quoniam Dominus Filius, Dominus Spiritus sanctus propter consubstantialem naturam; una enim trium est dominatio et unus solusque Deus est Trinitas; Dominus etiam Filius, quoniam Pater omnibus dominatur, necnon Spiritus sanctus; sanctus autem Spiritus, quoniam sancti sunt Pater et Filius. Istud quidem : « Domine, miserere nobis, » ex David sumitur, illud vero : « Propitius esto peccatis nostris, » vox est publicani ex divino Evangelio accepta; verba autem : « Parce peccatis nostris, » tam ex evangelio dicente : « Dimitte nobis, » quam de prophetis et Patribus excerpuntur; at illa : « Inspice et sana infirmitates nostras tum ab Evangelio, tum a psalmis colligitur; ex psalmis vero istud, propter nomen tuum. Deinceps ter recitatur : « Domine, miserere, » propter sanctam Trinitatem. Unus enim Dominus Trinitas, quoniam vero Sanctus, sanctus, sanctus Dominus, ter dicitur gratia sanctæ Trinitatis. Et rursus statim Gloria Patri, et cætera, propter communem Trinitatis gloriam. Denique fit Salvatoris oratio, cujus sententiam, quantum in nobis erit, vel brevissimam jamjam explicaturi sumus.

A ἡμῶν, » τοῦ Υἱοῦ, « Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν, » τοῦ ἁγίου Πνεύματος, « Ἅγιε, ἐπίσκεψαι, καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν· » καὶ πάλιν αὖθις τὸ ἑνιαῖον τῶν τριῶν, « Ἕνεκεν τοῦ ὀνόματός σου. » Καὶ ὁ μὲν Πατὴρ Κύριος, ὅτι καὶ Κύριος ὁ Υἱὸς, καὶ Κύριος τὸ Πνεῦμα, διὰ τὸ ὁμοούσιον, ἐπεὶ μία κυριότης τῶν τριῶν, καὶ εἷς ἐστι Κύριος ἡ Τριὰς μόνος· ὁ δὲ Υἱὸς Δεσπότης, ὅτι καὶ ὁ Πατὴρ δεσπόζει πάντων, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ἅγιον τὸ Πνεῦμα, ὅτι καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἅγιος. Καὶ τὸ μὲν, « Κύριε, ἐλέησον ἡμᾶς, » ἀπὸ τοῦ Δαβὶδ, καὶ τὸ, « Ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, » τελώνου φωνὴ ἐκ τοῦ θείου Εὐαγγελίου· τὸ δὲ « Συγχώρησον τὰς ἀνομίας ἡμῖν, » καὶ εὐαγγελικὸν ἐκ τοῦ « Ἄφες ἡμῖν, » καὶ προφητικὸν, καὶ
B τῶν Πατέρων· τὸ δὲ, « Ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, » τοῦ Εὐαγγελίου καὶ ψαλμικόν· καὶ τὸ, Ἕνεκεν τοῦ ὀνόματός σου, ψαλμικόν. Εἶτα τὸ, « Κύριε, ἐλέησον, » τρίς· τοῦτο δὲ εἰς τὴν ἁγίαν Τριάδα· εἷς γὰρ Κύριος ἡ Τριάς. Ἐπεὶ καὶ, Ἅγιος, ἅγιος, ἅγιος Κύριος· καὶ τρὶς λέγεται διὰ τὴν ἁγίαν Τριάδα. Καὶ εὐθὺς αὖθις τὸ, « Δόξα Πατρὶ, » καὶ τὰ ἑξῆς, διὰ τὸ ὁμόδοξον τῆς Τριάδος. Καὶ τὸ τελευταῖον ἡ παρὰ τοῦ Σωτῆρος προσευχή, ἧς καὶ τὴν ἔννοιαν ὡς δυνατὸν ἡμῖν συνοπτικώτερον ἐροῦμεν.

CAPUT CCCXX.

Succincta interpretatio sanctissimæ orationis, « Pater noster. »

« Pater noster, » tum quia noster est conditor, qui nos ex nihilo plasmavit, tum quia secundum gratiam Pater per Filium ejus qui secundum naturam factus est nobis similis. « Qui es in cœlis; » nam in sanctis requiescit qui sanctus est, prout scriptum est, nobis autem sanctitate præstant qui in cœlo sunt angeli, terraque purius est cœlum; ideo in cœlis potius est Deus. « Sanctificetur nomen tuum; » quoniam sanctus es, in nobis etiam nomen tuum sanctifica; nos quoque sanctifica, ut tui facti, nomen tuum sanctificemus, et tanquam sanctum prædicetur, et a nobis glorificetur, neque per nos blasphemetur. « Adveniat regnum tuum; » esto rex super nos per bona opera, minime vero inimicus infensissimus propter opera nequitiæ. « Adveniat regnum tuum, » ultima nempe dies, quoniam super omnes et in ipsos inimicos regnabis, et regnum tuum erit æternum, sicuti est; illud autem adveniet sanctis et ad hanc hæreditatem paratis. « Fiat voluntas tua sicut in cœlo et in terra; » velut angelos nos constitue, ut quemadmodum in eis, ita et in nobis ac per nos voluntas tua adimpleatur, vel etiam ne prava humanaque voluntas nostra, sed tua fiat pura ac sancta, ut perinde ac terrena cœlestibus adunati, sic et in nobis qui in terra sumus cœlestia conjungas. « Panem nostrum supersubstantialem da nobis hodie; » etsi cœleste opus petierimus, mortales tamen sumus, panemque

ΚΕΦΑΛ. ΤΚ'.

C *Συνεκτικὴ ἑρμηνεία τῆς τοῦ « Πάτερ ἡμῶν, ἱερωτάτης προσευχῆς.*

« Πάτερ ἡμῶν. » Ὅτι δημιουργὸς ἡμῶν, ἐκ τοῦ μὴ ὄντος ἡμᾶς ποιήσας, καὶ ὅτι κατὰ χάριν Πατὴρ διὰ τοῦ κατὰ φύσιν Υἱοῦ καθ' ἡμᾶς γεγονότος. « Ὁ ἐν τοῖς οὐρανοῖς. » Καὶ γὰρ ἐν τοῖς ἁγίοις ἐπαναπαυόμενός ἐστιν, ἅγιος ὢν, ὡς γέγραπται, ἁγιώτεροι δὲ ἡμῶν οἱ ἐν οὐρανῷ ἄγγελοι, καὶ καθαρώτερος τῆς γῆς ὁ οὐρανός. Διὸ καὶ ἐν τοῖς οὐρανοῖς ὁ Θεὸς μᾶλλον. « Ἁγιασθήτω τὸ ὄνομά σου. » Ἐπείπερ ἅγιος εἶ, καὶ ἐν ἡμῖν τὸ ὄνομά σου ἁγίασον καὶ ἡμᾶς ἁγίασον, ὡς ἂν ἴδιοί σου τελοῦντες, τὸ ὄνομά σου ἁγιάζωμεν, καὶ ὡς ἅγιον κηρυττόμενον, εἴη **225** καὶ δοξαζόμενον καὶ δι' ἡμῶν, καὶ μὴ βλασφημῆται δι' ἡμᾶς. « Ἐλθέτω ἡ βασιλεία σου. » Σὺ
D βασιλεὺς ἔσο ἐφ' ἡμᾶς διὰ τῶν ἀγαθῶν ἔργων, καὶ μὴ ἐχθρὸς ὁ σὸς διὰ τῶν ἔργων τῆς πονηρίας. « Καὶ ἐλθέτω ἡ βασιλεία σου, » ἡ τελευταία ἡμέρα, ὅτι πάντων βασιλεύσεις, καὶ τῶν ἐχθρῶν, καὶ ἡ βασιλεία σου ἔσται αἰώνιος, ὡς ἔστι. Τοῦτο δὲ τοῖς ἀξίοις καὶ πρὸς τὸν καιρὸν ἐκεῖνον ἑτοίμοις. « Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. » Ὡς τοὺς ἀγγέλους ἡμᾶς κατάστησον, ἵνα ὡς ἐν ἐκείνοις, καὶ ἐν ἡμῖν τὸ θέλημά σου, καὶ παρ' ἡμῶν ἐνεργῆται· καὶ ὅτι μὴ τὸ ἡμῶν θέλημα τὸ ἐμπαθὲς καὶ ἀνθρώπινον, ἀλλὰ τὸ σὸν γενέσθω τὸ ἀπαθές τε καὶ ἅγιον· καὶ ἐπειδὴ ἥνωσας τὰ ἐν τῇ γῇ τοῖς οὐρανίοις, καὶ ἐν τοῖς ἐν γῇ ἡμῖν οὖσι τὰ ἐπουράνια γενέσθω, « Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. » Εἰ καὶ τὸ οὐράνιον ἔργον ᾐτήσαμεν, ἀλλ'

ὅμως θνητοί· καὶ τὸν ἐπὶ τῇ συστάσει τῆς οὐσίας A ἡμῶν ἄρτον αἰτοῦμεν ὡς ἄνθρωποι, εἰδότες ὅτι καὶ οὗτος παρὰ σοῦ, καὶ σὺ μόνος ἀνενδεής, ἡμεῖς δὲ ἐπιδεεῖς. Καὶ ἐν σοὶ θαῤῥοῦντές ἐσμεν. Πλὴν ζητοῦντες τὸν ἄρτον, οὐ περιττὰ ζητοῦμεν, ἀλλὰ τὸν εἰς χρείαν ἡμῶν σήμερον· ἐπεὶ καὶ περὶ τῆς αὔριον μὴ μεριμνῆσαι ἐδιδάχθημεν· καὶ ὅτι σὺ εἶ ὁ καὶ σήμερον κηδεμὼν καὶ αὔριον καὶ ἀεὶ ἐσόμενος. Καὶ ἔτι τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, τὸν ζῶντα ἄρτον τὸν ἐπουράνιον, τοῦ ζῶντος Λόγου τὸ πανάγιον σῶμα, ὅπερ ὁ μὴ φαγὼν οὐ ζήσεται ὅλως ποτέ. Καὶ ἐπιούσιος οὗτος, ὡς τὴν ψυχὴν καὶ τὸ σῶμα στηρίζων καὶ ἁγιάζων, καὶ ὅτι « Ὁ μὴ φαγὼν αὐτὸν οὐκ ἔχει ζωὴν ἐν αὐτῷ· ὁ δὲ τρώγων αὐτὸν ζήσεται εἰς τὸν αἰῶνα. » Καὶ ἄφες ἡμῖν τὰ B ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Τοῦτο ἡ τοῦ θείου Εὐαγγελίου πᾶσα γνῶσις καὶ δύναμις. Διὰ γὰρ τὸ ἀφιέναι τὰς ἀνομίας ἡμῶν καὶ ἁμαρτίας ὁ τοῦ Θεοῦ Λόγος εἰς τὸν κόσμον ἐλήλυθε, καὶ σαρκωθείς, πάντα ἔπραξε, καὶ τέλος τὸ αἷμα ἐξέχεε· καὶ διὰ τοῦτο τὰ μυστήρια δέδωκεν εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ τοῦτο ἐδίδαξε καὶ νενομοθέτηκεν. « Ἐὰν ἀφῆτε, καὶ ἀφεθήσεσθε, » φησί. Καὶ τῷ Πέτρῳ ποσάκις ἐρωτήσαντι, « Ἀφήσω τῷ ἁμαρτήσαντι τῆς ἡμέρας, » Ἕως ἑβδομηκοντάκις, ἔφησεν ἑπτά· ἀντὶ τοῦ ἀπαύστως· καὶ κριτὴν τὸν προσευχόμενον καθιστᾷ· ὡς εἰ καταλλαγείη καταλλαγήσεται. Καὶ εἰ ἀφῆκεν, ἀφεθήσεται αὐτῷ· καὶ ὡς ἀφῆκεν ἀφεθήσεται. Καὶ τὰ εἰς τὸν ἀδελφὸν καὶ εἰς τὸν πεποιηκότα ἀνάγεται, τοῦτο θελήσαντος C τοῦ Δεσπότου. Πάντες γὰρ ἴσοι τῇ φύσει καὶ ὁμοῦ δοῦλοι πάντες, καὶ πάντες σφαλλόμενοι, καὶ ὀλίγα ἀφιέντες, πλεῖστα λαμβάνοντες, καὶ ἀνθρώποις συγχώρησιν νέμοντες, ἐκ Θεοῦ συγχωρούμενοι. « Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. » Ὅτι οἱ ἐπηρεασταὶ πλεῖστοι, καὶ φθόνου πλήρεις, καὶ ἀεὶ ἐχθροί, καὶ πολλοὶ οἱ πειρασμοί, ἐκ δαιμόνων, ἐξ ἀνθρώπων, ἐκ σώματος, ἐξ ἀπροσεξίας ψυχῆς· καὶ ἐν πᾶσιν οὗτοι ἀγωνιζομένοις τε καὶ ῥᾳθύμοις, εἰ καὶ ἔμμισθοι μᾶλλον οἱ τῶν δικαίων πρὸς δοκιμὴν καὶ ἀνάβασιν· καὶ οὗτοι μᾶλλον ὑπομονῆς χρείαν ἔχοντες· ὅτι καί, « Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. » Ἀλλὰ καὶ ἕτεροι πειρασμοί, εἰ περιίδῃς τὸν ἀδελφόν, εἰ ἐπηρεάσεις, εἰ θλίψεις, καὶ τὸ καταφρονῆσαι τῶν θείων καὶ ἀμελῆσαι. Διὸ κἂν ὁπόσα D πταίωμεν εἰς Θεὸν καὶ τὸν ἀδελφόν, ἐλεηθῆναι ζητοῦμεν, ἐκ τοῦ ἐλεῆσαι καὶ ἀφιέναι· καὶ μὴ εἰσελθεῖν εἰς πειρασμόν. Εἰ δὲ καὶ δίκαιός τις οὐ χρὴ θαῤῥεῖν ἑαυτῷ, ὅτι καὶ ἐκ τοῦ ταπεινοῦσθαι καὶ ἐλεεῖν καὶ ἀφιέναι ἔσται τὸ δίκαιον εἶναι. « Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. » Ὅτι καὶ σὸς ἐχθρὸς καὶ ἡμῶν, καὶ ἄσπονδος καὶ ἀκάματος, καὶ μανίᾳ φερόμενος· καὶ ἀσθενεῖς ἡμεῖς πρὸς αὐτόν, ὅτι λεπτοτέρας καὶ ἀγρύπνου οὗτος τῆς φύσεως, καὶ πονηρός, μυρία ἐφευρίσκων καὶ πλέκων, καὶ δεινὰ καθ' ἡμῶν ἀεὶ μηχανώμενος. Καὶ εἰ μὴ σὺ ἐξαρπάσεις ὁ πάντων, καὶ αὐτοῦ τοῦ πονηροῦ διαβόλου καὶ τῶν σὺν αὐτῷ δημιουργὸς καὶ Δεσπότης, ὡς καὶ τῶν ἀγγέλων καὶ ἡμῶν, τίς ἐξισχύσειε ῥύσασθαι; οὐ γὰρ δυνάμεθα

vitæ nostræ servandæ necessarium petimus ut homines quos non latet illum a te donari; tu enim solus dives es, nos autem inopes, et in te confidimus. Insuper dum panem poscimus, non superflua petimus, sed panem nobis hodie necessarium, quoniam de crastino ne solliciti simus didicimus, et quia tu es protector noster, qui cras et semper eris. Insuper panem nostrum supersubstantialem da nobis hodie, videlicet vivum panem cœli, viventis Verbi corpus sanctissimum, quod qui non manducaverit, non vivet unquam; et hic est panis supersubstantialis, utpote animam et corpus sustinens ac sanctificans, et qui non manducat eum non habet vitam in semetipso; qui vero eum manducat, vivet in sæcula. « Et dimitte nobis debita nostra, B sicut et nos dimittimus debitoribus nostris. » Hæc est divini Evangelii doctrina atque potentia. Nam ut dimittantur delicta et peccata nostra Verbum Dei in hunc mundum venit, et incarnatum omnia fecit, ac denique sanguinem effudit, et propterea mysteria dedit in remissionem peccatorum, quod docuit ac mandavit dicens: Si dimiseritis, dimittetur vobis, et Petro sciscitanti quoties offendenti dimittam in die, Usque ad septuagies septies, inquit, id est semper, et precatorem constituit judicem ut si ignoverit, ipsi quoque ignoscatur, et si dimiserit, ipsi etiam dimittatur, et sicut dimiserit, ita et dimittatur ei; et simul offensiones erga fratrem ac Creatorem adducit, quod voluit Dominus; omnes C enim sumus natura pares, servique omnes, omnes erramus, et pauca dimittentes ac plura accipientes, hominibus ignoscentes et a Deo indulgentiam consequentes. « Et ne nos inducas in tentationem, » quoniam aggressores multi sunt pleni invidiæ semperque inimici, et tentationes multæ e dæmonibus, ex hominibus, e corpore, et ex imprudentia animæ, quæ omnibus accidunt tam fortiter certantibus quam ignavis, nisi quod justi potius mercedem accipient ob superatam probationem, hi vero magis indigent constantia quoniam « spiritus promptus est, caro autem infirma. » Insuper sunt aliæ tentationes, nempe si fratrem despicias, si aggrediaris, si conteras, si divina contemnas et negligas. Ideo quæcunque offendimus in Deum et D fratrem, dimitti poscimus ex eo quod nos ignoscimus ac dimittimus, et non intrare in tentationem. Verum si quis justus fuerit, non debet sibimetipsi confidere, quoniam justus non est nisi qui se humiliat, qui misericordiam facit ac dimittit. « Sed libera nos a malo, » quoniam tuus ac noster est inimicus infensissimus, infatigabilis, furore accensus, nos autem præ illo infirmi, quoniam subtilioris ac vigilis est naturæ, necnon ille est perversus sexcenta moliens et struens, damnaque adversum nos semper machinans, a quo si tu nos non erueris qui omnium es et ipsius diaboli nequam ejusque consciorum creator et Dominus, sicut et angelorum ac hominum, quis nos eruere poterit? Non enim colluctari possumus contra adversarium

incorporeum ita invidum ac dolosum semperque A insidiosum. Ipse igitur nos ab eo libera, quoniam tuum est regnum et virtus et gloria in sæcula. Amen. Et quis insultans conteret eos qui a te regnantur omnium Deo ac Domino, qui ipsis angelis dominaris? vel quæ potestas resistet tibi? nulla, quoniam omnes fecisti ac conservas. Vel quis adversus gloriam tuam contradicet? aut quis huic prorsus repugnabit quæ omnes fines transcendit, quoniam pleni illa cœli et terra, ipsaque ante cœlos et angelos exstitit, quoniam tu solus semper es et æternus, et gloria tua nempe Patris et Filii et Spiritus sancti, regnumque et virtus in sæcula. Amen. Quod idem sonat ac si dixeris: vere et ex confesso et firmiter es tu rex et potens in sæcula glorificatus. Hæc est succincte dicta Trisagii virtus B sanctæque orationis *Pater noster*. Quam totam novisse sine ulla controversia oportet omnem Christianum recte sentientem, eamque a somno surgentem Deo offerre, necnon domo egredientem, in sanctum Dei templum intrantem, ante cibum, post cibum, ac vespere, dumque ad dormiendum pergit; nam universa in se continet Trisagii et *Pater noster* oratio; professionem Dei ejusque glorificationem, humilitatem, peccatorum confessionem, veniæ petitionem, futurorum spem, necessariorum postulationem, superfluorum contemptum, spem in Deum, orationem ne tentetur sed a malo liberetur, voluntatis Dei expletionem, divinam adoptionem, regnique ejus dignationem. Propterea hanc orationem C plerumque facit Ecclesia die ac nocte. Itaque ecce de ea ex parte locuti sumus, pro nostra facultate, finem vero matutinis precibus in Christo imponemus.

ἡμῖν ἀντιπαλαίειν **226** δόλῳ, καὶ οὕτω φθονερῷ τε καὶ δολερῷ καὶ ἐπιβούλῳ ἀεί. Ῥῦσαι οὖν αὐτὸς ἡμᾶς ἐξ αὐτοῦ. « Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. » Καὶ τίς ἐπηρεάσει καὶ θλίψει τοὺς ὑπὸ σοῦ τοῦ τῶν ὅλων Θεοῦ βασιλευομένους καὶ Δεσπότου; τοῦ καὶ τῶν ἀγγέλων δεσπόζοντο; ἢ τίς τῇ δυνάμει σου ἀντιστήσεται; Οὐδείς. Ἐπεὶ καὶ πάντας πεποίηκάς τε καὶ συντηρεῖς. Ἢ τίς πρὸς τὴν δόξαν σου ἀντερεῖ; ἢ ὅλως κατατολμήσει; ἢ περιέχει τὰ πέρατα, πλήρης γὰρ αὐτῆς ἐστιν ὁ οὐρανὸς καὶ ἡ γῆ· καὶ πρὸ τῶν οὐρανίων αὕτη καὶ τῶν ἀγγέλων· ὅτι σὺ μόνος ἀεὶ ὢν καὶ αἰώνιος, καὶ ἡ δόξα σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ἡ βασιλεία καὶ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν. Τουτέστιν ἀληθῶς καὶ ὁμολογουμένως καὶ βεβαίως σὺ βασιλεὺς καὶ δυνατὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Αὕτη ὡς ἐν συνόψει καὶ ἡ δύναμις τοῦ Τρισαγίου, καὶ τῆς τοῦ, « Πάτερ ἡμῶν, » ἱερᾶς προσευχῆς. Καὶ ταύτην πᾶσαν εἰδέναι χρὴ δίχα προφάσεως πάσης τὸν ὀρθῶς φρονοῦντα πάντα Χριστιανόν. Καὶ ἐξαναστάντα τοῦ ὕπνου πρὸ Θεὸν ἀναφέρειν, καὶ ἐξερχόμενον τῆς οἰκίας, καὶ ἀπερχόμενον εἰς ναὸν ἅγιον Θεοῦ. Καὶ πρὸ τῆς τροφῆς, καὶ μετὰ τὴν τροφὴν, καὶ ἑσπέρας, καὶ εἰς τὸ ὑπνῶσαι πορευόμενον. Πάντα γὰρ ἡ τοῦ Τρισαγίου αὕτη καὶ τοῦ, « Πάτερ ἡμῶν, » προσευχὴ συνέχει ἐν ἑαυτῇ καὶ ὁμολογίαν Θεοῦ, καὶ δοξολογίαν, καὶ ταπεινοφροσύνην, καὶ ἐξαγόρευσιν ἁμαρτιῶν, καὶ ἀφέσεως αἴτησιν, καὶ ἐλπίδα τῶν μελλόντων, καὶ αἴτησιν τῆς χρείας, καὶ παραίτησιν τῶν περιττῶν, καὶ τὸ εἰς Θεὸν ἐλπίζειν, καὶ τὸ εὔχεσθαι μὴ πειρασθῆναι, καὶ λυτρωθῆναι τοῦ πονηροῦ, καὶ τὸ θέλημα ποιεῖν τοῦ Θεοῦ, καὶ υἱὸν αὐτοῦ εἶναι, καὶ τῆς βασιλείας αὐτοῦ ἀξιωθῆναι. Καὶ διὰ τοῦτο τὴν προσευχὴν ταύτην ἡ Ἐκκλησία πλειστάκις τῆς ἡμέρας καὶ τῆς νυκτὸς ποιεῖται. Ἰδοὺ οὖν καὶ περὶ ταύτης εἰρήκαμεν ἐκ μέρους κατὰ τὴν ἡμετέραν ἰσχύν. Ἐπιθήσομεν δὲ ἐν Χριστῷ καὶ τὸ τέλος τῷ ὄρθρῳ.

CAPUT CCCXXI.

Quare misericordiam in omnibus precationibus et ante quaslibet precationes exposcimus.

Post magnam doxologiam, vel hujus loco in diebus communibus post Trisagion et Salvatoris orationem, continens fit a sacerdote deprecatio, in qua primum misericordiam flagitamus a Deo misericorde, dicendo: « Miserere mei, Deus, secundum magnam misericordiam tuam; » et cætera, quo- D niam nihil aliud poscimus, nisi ut misereatur nostri; nobis enim non est fiducia vel libertas deprecandi, quasi aliquid nostrum producamus, vel cogitandi nos non peccavisse; unde utpote prævaricati et condemnati nihil aliud possumus vel audemus dicere nisi, Miserere, ad misericordem Dominum nostrum, quem tantum contristavimus et contristamus semper, ut nihil aliud habeamus sive sacerdos seu populus nisi clamare: Miserere. Ille quidem dicit: « Miserere nostri, Deus, secundum magnam misericordiam tuam; deprecamur te, exaudi nos, et miserere ». Quid hoc: « Deprecamur te, exaudi et miserere? » Non sumus digni qui exaudiamur, et propterea clamamus ut misericor-

ΚΕΦΑΛ. ΤΚΑ'.

Διατί τὸν ἔλεον ἐν πάσαις προσευχαῖς καὶ πρὸ πάσης εὐχῆς ἐξαιτούμεθα.

Μετὰ τὴν μεγάλην δοξολογίαν, ἢ ἀντὶ ταύτης ἐν ἡμέραις κοιναῖς τὴν τοῦ Τρισαγίου καὶ τὴν ὑπὸ τοῦ Σωτῆρος προσευχὴν ἡ ἐκτενὴς δέησις παρὰ τοῦ ἱερέως τελεῖται, ἐν ᾗ πρῶτον μὲν τὸν ἔλεον εἰς ἡμᾶς ἐξαιτεῖται παρὰ τοῦ ἐλεήμονος Θεοῦ, « Ἐλέησον ἡμᾶς, » λέγων, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου· καὶ τὰ λοιπά. Ἐπεὶ καὶ οὐ δεῖ ἄλλο τι αἰτεῖσθαι, ἀλλ' ἢ τὸ ἐλεηθῆναι, ὅτι οὐδὲ θάῤῥος ἡμῖν ἢ παῤῥησία, ὥς ἡμέτερόν τι προσαγαγεῖν, καὶ αἰτεῖσθαι, ἢ λογίζεσθαι μὴ ἡμαρτηκέναι. Ὅθεν ὡς ἡμαρτηκότας καὶ κατακεκριμένους μηδὲν ἄλλο ἰσχύειν ἢ τολμᾷν λέγειν ἢ τὸ *Ἐλέησον* πρὸς τὸν οἰκτίρμονα δεσπότην ἡμῶν, ὃν κατὰ τοσοῦτον παρελυπήσαμεν καὶ παραλυποῦμεν ἀεὶ, ὥστε μηδὲν ἔχειν, ἢ τὸ *Ἐλέησον* μόνον βοᾷν καὶ τὸν ἱερέα καὶ τὸν λαόν. Καὶ ὁ μὲν φησιν, « Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. » Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, καὶ ἐλέησον. » Τί ἐστι τὸ, « Δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον; » οὐδέ γε ἄξιοί ἐσμεν εἰσακουσθῆναι καὶ ἐλεηθῆναι βοῶντες. Δεόμεθά σου οὖν

ἐπάκουσον ἐλεῆσαι. Καὶ ὡς μεσίτης μὲν ὁ ἱερεὺς A ἵσταται, τὸ, *Δεόμεθά σου* λέγων καὶ τὸ, *Ἐπάκουσον*. Ὁ δέ γε λαὸς τὴν δέησιν ἐπιφέρει, τὸ, « Κύριε ἐλέησον. » Τοῦτο γὰρ ἡ μεγίστη σου φιλανθρωπία, τὸ ἐλεεῖν, καὶ ἡμῶν ἀξία δέησις καὶ παράκλησις τὸ *Ἐλέησον*. Τούτου χάριν καὶ πρὸ πάσης ἄλλης εὐχῆς ὁ μὲν ἱερεύς φησι, « Τοῦ Κυρίου δεηθῶμεν, » οἱ δὲ παρεστῶτες, δεικνύντες ὡς τοῦτο ἡ δέησις, « Κύριε, ἐλέησον, » ἀνακράζουσιν, ἅμα δὲ καὶ συνεργοῦντες τοῖς ἱερεῦσιν, ἐπεὶ « πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. » Ὁρᾷς τὴν ἐν ταπεινώσει γνῶσιν καὶ τάξιν τῆς Ἐκκλησίας; καὶ ὅπως ῥυθμίζει καὶ ἑνὶ Θεῷ διὰ τῆς μετανοίας καὶ ταπεινώσεως τὰ τέκνα αὐτῆς; Ἀλλ' οὐ νοοῦμεν, ἀδελφοί, οὐδὲ τῶν λεγομένων αἰσθανόμεθα, ἀπὸ συνηθείας δὲ χείλεσι μόνοις λαλοῦμεν, καὶ σπεύδομεν ὡς βάρος τι ἀφ' ἡμῶν B τὰ τῆς προσευχῆς **227** ἀποτινάξασθαι. Ἕτεροι δὲ ῥαθυμοῦντες, οὐδὲ λαλοῦμεν *Ἐλέησον*, οὐδὲ τὸν νοῦν ἔχομεν λεγομένου, καὶ οὐδ' ἐλέους ἐπιτυγχάνομεν. Ἀλλ' ἴδε τὸν σκοπὸν τῆς Ἐκκλησίας, καὶ πρόσσχες, ἀδελφὲ, σὺ καὶ πᾶς εὐσεβής.

Κληρικός. Καταμανθάνω, δέσποτα ἅγιε, καὶ θαυμάζων ἐπὶ τοῖς λεγομένοις, λίαν συστέλλομαι· ὅτι τηλικούτων ἠξιωμένοι δώρων ὑπὲρ ἡμᾶς, οὐδ' αἴσθησιν ἔχομεν ἐν τούτοις ὅλως.

Ἀρχιερεύς. Ἀλλὰ συνετίσαι Κύριος ἡμᾶς, ὁ διδοὺς ἀνθρώπῳ γνῶσιν, καὶ ἐνισχύσαι ἡμᾶς, καὶ οἰκτειρῆσαι. Πλὴν καταμάνθανε ὅπως ἔν τε ἑσπεριναῖς προσευχαῖς, καὶ τῇ ἱερᾷ λειτουργίᾳ, οὐδὲ διδασκαλίας τούτου χάριν καὶ διεγέρσεως ἡ Ἐκκλησία C ἀφίσταται· ἀλλ', « Εἴπωμεν πάντες, φησὶ, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν· » καὶ τότε τὰ λοιπὰ ἐπιφέρει.

ΚΕΦΑΛ. ΤΚΒʹ.

Τί τὸ « Σοφία, » καὶ τὸ, « Πρόσσχωμεν, » καὶ τὸ, « Σοφία ὀρθοί. »

Τὸ γὰρ, « Εἴπωμεν πάντα, » καὶ τὰ ἑξῆς ὑπομνήσεώς ἐστι καὶ διδασκαλίας, ὡς καὶ τὸ *Σοφία*, καὶ τὸ *Πρόσσχωμεν*, καὶ τὸ *Σοφία ὀρθοί*· οἷον, Ἐν σοφίᾳ ἵστασθε πάντες· ὅτι καὶ σοφία Θεοῦ τὰ λεγόμενα καὶ γινόμενα, καὶ τῆς τοῦ Θεοῦ ζώσης σοφίας. Ἐπεὶ δὲ ἀρχὴ σοφίας ὁ φόβος τοῦ Θεοῦ, καὶ μετὰ σοφίας ἐσόμεθα καὶ εὐλαβείας ὁρῶντες καὶ ἀκροώμενοι· καὶ προσέχομεν ἑαυτοῖς ἐν φόβῳ Θεοῦ, καὶ ὀρθοὶ D μετὰ σοφίας καὶ συνέσεως καὶ σώμασιν ἱστάμεθα καὶ ψυχαῖς, καὶ ὀρθοὶ τῇ πίστει καὶ τῷ φρονήματι. Κατανοεῖς καὶ τὰ μικρὰ δοκοῦντα τῆς Ἐκκλησίας;

Κληρικός. Κατανοῶ καὶ θαυμάζω, δέσποτα.

Ἀρχιερεύς. Ἀλλὰ μὴ θαύμαζε· τῆς τοῦ Θεοῦ γὰρ σοφίας τῆς ἐνυποστάτου καὶ ζώσης ἐστὶν ἡ Ἐκκλησία, ἥτις καὶ ναὸν ἑαυτῇ διὰ τοῦτο τὸ θεῖον αὐτῆς ᾠκοδόμησε σῶμα, καὶ τοὺς ἄφρονας πρὸς γνῶσιν ἐκάλεσεν· ὅθεν καὶ τὰ μικρὰ δοκοῦντα ταύτης πλήρη σοφίας εἰσί· καὶ ὅσῳ μικρά τισι νομιζόμενα, μᾶλλον μείζονος γνώσεως· ὅτι καὶ τὸ τοῦ Θεοῦ μωρὸν δοκοῦν τοῖς ἀνθρώποις σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς, ἰσχυρότερον· καὶ ὅτι μία μὲν καὶ

diam consequamur, te ergo deprecamur ut miserearis, exaudi nos. Et tanquam mediator stat sacerdos dicens: « Te deprecamur, » et, « Exaudi. » Populus autem orationem adjicit: « Kyrie, eleison. » hoc enim est maxima benignitas tua, videlicet misereri, dignaque deprecatio et postulatio nostra: « Miserere; » hujus gratia ante quamcunque precationem sacerdos quidem dicit: « Oremus Dominum, » præsentes vero ostendentes in hoc esse orationem clamant: « Kyrie eleison, » simul cum sacerdotibus deprecantes; « multum enim valet deprecatio justi assidua. » Viden humilem scientiam et ordinem Ecclesiæ? et quomodo uni Deo per pœnitentiam et humilitatem liberos suos informat? Sed non meditamur, fratres, non sentimus quæ dicimus, sed præ consuetudine labiis tantum loquimur, satagimus ut tanquam pondus quoddam a nobis orationis officium amoveamus; alii vero ignavi neque dicimus *miserere*, neque dicto mentem intendimus, ideo misericordiam non consequimur, sed vide finem Ecclesiæ, eique stude, frater, tu omnisque vir religiosus.

Clericus. Intelligo, domine sancte, et de dictis stupens angor nimis, quoniam tantis dignati donis quæ super nos sunt, nec in eis omnino mentem advertamus.

Pontifex. Sed instruat nos Dominus qui dat homini scientiam, et confirmet nos et misereatur nostri. Insuper disce quomodo in vespertinis precibus et in sacra corporis oblatione, Ecclesia nequaquam hujus gratia a docendo et excitando desistat, sed, « Dicamus omnes, inquit, et ex tota mente nostra dicamus, » et tunc cætera adjicit.

CAPUT CCCXXII.

Quid designent acclamationes in precationibus, « Sapientia, » et, « Attendamus, » et, « Sapientia erecti. »

Illud enim: « Dicamus omnia, » et cætera, hortationem et doctrinam continet, quemadmodum istud: « Sapientia, » et, « Attendamus, » et, « Sapientia erecti, » quasi diceret: In sapientia state omnes, quoniam sapientia Dei sunt dicta et facta vivæque Dei sapientiæ. Verum quoniam initium sapientiæ timor Dei, atque cum sapientia et pietate erimus videntes et audientes, nobismetipsis attendamus in timore Dei, et erecti cum sapientia ac intelligentia stabimus mente et corpore, necnon erecti fide ac sensu. Num percipis hos usus Ecclesiæ qui videntur parvi?

Clericus. Percipio mirorque, domine.

Pontifex. Noli mirari; Dei enim sapientiæ consubstantialis et viventis est Ecclesia, quæ templum sibi per hoc divinum ejus corpus ædificavit, stultosque ad sensum vocavit, unde ea quæ in ea parva videntur plena sunt sapientia, et quanto minora a quibusdam censentur, tanto majorem sensum continent, quoniam quod stultum Dei videtur hominibus, sapientius est hominibus, et quod infirmum judicatur fortius est, et quoniam

una quidem est simplexque Dei vivens sapientia, A sed in ipsa sunt omnes thesauri sapientiæ et scientiæ. At post continentem deprecationem, fiunt petitiones ac capitis inclinatio, omnibus capita inclinantibus et cum silentio stantibus, quod eximie debitam ad Deum pietatem et servitutem manifestat. Sacerdos igitur a solo sanctoque Domino qui in cœlis quidem per gloriam suam inhabitat, cuncta autem prospicit, cui animam cum corpore inclinamus, benedictionem divinam et peccatorum quibus voluntas consensit vel etiam et a quibus abfuit veniam, bonorum tam eorum quæ in mundo quam quæ super mundum sunt largitionem deprecatus, exsurgit velut a Deo corroboratus, et erectus cum populo gratias agens clamat: « Tuum est enim misereri et parcere. » Tunc facit B dimissionis ritum. Et iterum clamat: *Sapientia*, propter additam orationem, ut audiamus. Sed quæ est ista? « Qui es benedictus Deus noster in sæcula, » quod ex libro Moysis sumitur, æternitatem et immutabilitatem Dei significans, ab ipso Deo dictum: « Ego sum qui sum, » et: « Qui est misit me. » Deinde angelis venerabiliorem Deiparam invocant omnes, utpote quæ est super omnes pro nobis mediatrix, sacerdote dicente: « Sanctissima Deipara, succurre nobis. » Et denique: « Gloria Patri et Filio et Spiritui sancto, » in ultimam laudationem sanctæ Trinitatis clamant stantes. Sacerdos finem imponit per orationem, quod dimissio appellatur, quoniam nulli licet, relictis hymnis divinis exire, sed data sacerdotis licentia. C Quamobrem quemadmodum iste hymnos incepit, ita idem et finem facit precesque obsignat.

CAPUT CCCXXIII.

De precatione in fine sive dimissione officii ecclesiastici.

Et nullum est aliud sigillum nisi qui propter nos ad nos venit per carnem. Ipso igitur Christo vero Deo, ut dixit discipulus ejus Joannes: « Hic est verus Deus et vita æterna, » invocato per intercessionem sanctæ ejus Matris, ex qua incarnatus est, omniumque sanctorum ejus; nam ad ostendendam summam benignitatem suam homo factus est, et matrem habuit chorumque sanctorum D qui ei placuerunt: « Miserere nostr. et salvos fac, » inquit; nihil enim a nobis habemus nisi quod ipse propter suam bonitatem factus est homo, et Mater sanctique illius a nobis sunt. Et ita statim preces pro defunctis persolvimus tum proceribus ac patribus, tum secundum carnem conjunctis, et eis quibus debitores sumus. Porro necessarium est horum meminisse, quoniam nos ex ipsis et cum ipsis collocabimur, Dominusque, sicut pro vivis, ita et pro mortuis passus est ac mortuus, atque ex hoc multa est utilitas tum eis quorum recordatur, tum ipsis recordantibus. Quæ commemoratio fit quoque post hymnum primæ horæ.

ἁπλῆ ἡ τοῦ Θεοῦ ζῶσα σοφία, ἐν αὐτῇ δὲ οἱ θησαυροὶ τῆς σοφίας εἰσὶ καὶ τῆς γνώσεως. Μετὰ δὲ τὴν ἐκτενῆ δέησιν αἱ αἰτήσεις, καὶ ἡ τῆς κεφαλοκλισίας, κλινόντων πάντων τὰς κεφαλὰς, καὶ μετὰ σιγῆς ἱσταμένων· ὃ δὴ τὴν καθ' ὑπερβολὴν σημαίνει πρὸς τὸν Θεὸν ὀφειλομένην εὐλάβειαν, καὶ τὴν ἔνδειξιν τῆς δουλείας. Αἰτησάμενος οὖν παρὰ τοῦ μόνου Κυρίου καὶ ἁγίου ὁ ἱερεὺς, τοῦ ἐν ὑψηλοῖς μὲν κατοικοῦντος τῇς αὐτοῦ δόξῃς, πάντα δὲ ἐφορῶντος, ῷ καὶ τὰς ψυχὰς σὺν τοῖς σώμασιν ὑπεκλίναμεν, εὐλογίαν θείαν καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων συγχώρησιν, καὶ τὴν τῶν ἐγκοσμίων ἀγαθῶν καὶ τῶν ὑπερκοσμίων χορηγίαν, ἐξανίσταται ὡς ἐνισχυθεὶς παρὰ Θεοῦ, καὶ ἀνεγερθεὶς μετὰ τοῦ λαοῦ καὶ εὐχαριστῶν ἐκφωνεῖ, « Σὸν γάρ ἐστι B τὸ ἐλεεῖν καὶ σώζειν. » Καὶ τότε ποιεῖται τὰ τῆς ἀπολύσεως. Καὶ τὸ *Σοφία* πάλιν ἐκβοᾷ διὰ τὴν ἐπαγομένην εὐχὴν, ἵνα ἀκροασώμεθα. Τίς δὲ αὕτη; « Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν πάντοτε. » Τοῦτο ἐκ τῆς βίβλου τοῦ Μωϋσέως ἐστὶ, τὸ ἀεὶ ὂν καὶ ἀναλλοίωτον τοῦ Θεοῦ σημαῖνον, παρ' αὐτοῦ λεχθὲν τοῦ Θεοῦ· « Ἐγώ εἰμι ὁ ὢν, » καὶ, « Ὁ ὢν ἀπέσταλκέ με. » Εἶτα τὴν τῶν ἀγγέλων τιμιωτέραν Θεοτόκον ἐπικαλοῦνται πάντες ὡς ὑπὲρ πάντας μεσῖτιν οὖσαν ὑπὲρ ἡμῶν, τοῦ ἱερέως, « Ὑπεραγία Θεοτόκε, βοήθει ἡμῖν, » λέγοντος· Καὶ τελευταῖον τὸ, « Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, » εἰς **228** δοξολογίαν τελευταίαν τῆς ἁγίας Τριάδος ἀναφωνησάντων τῶν ἱσταμένων, ὁ ἱερεὺς τὸ τέλος ἐπάγει δι' εὐχῆς, ὃ καὶ ἀπόλυσις λέγεται· ἐπειδήπερ οὐκ ἔστιν ἐξουσία C τινὶ τοὺς θείους ὕμνους καταλιπόντι πορεύεσθαι, ἀλλ' ἐνδόσει τοῦ ἱερέως. Διὰ τοῦτο ὥσπερ τῶν ὕμνων οὗτος ἀπήρξατο, καὶ τὸ τέλος οὗτός ἐστιν ὁ ἀποδιδοὺς, καὶ ἐπισφραγίζων τὰ τῶν εὐχῶν.

ΚΕΦΑΛ. ΤΚΓ'.

Περὶ τῆς εὐχῆς τῆς ἀπολύσεως.

Καὶ ἡ σφραγὶς οὐδὲν ἄλλο εἰ μὴ ὁ ὑπὲρ ἡμῶν ἐλθὼν πρὸς ἡμᾶς διὰ σαρκός. Αὐτὸν οὖν τὸν Χριστὸν τὸν ἀληθινὸν Θεὸν, ὥς φησιν ὁ μαθητὴς αὐτοῦ Ἰωάννης, « Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος, » ἐπικαλεσάμενος διὰ τῶν πρεσβειῶν τῆς ἁγίας αὐτοῦ Μητρὸς, ἐξ ἧς ἐσαρκώθη, καὶ πάντων τῶν ἁγίων αὐτοῦ· καὶ γὰρ δεῖγμα τῆς ἄκρας χρηστότητος αὐτοῦ τὸ ἐνανθρωπῆσαι, καὶ μητέρα κτή- D σασθαι, καὶ χορὸν ἁγίων εὐαρεστησάντων αὐτῷ, « Ἐλεῆσαι ἡμᾶς καὶ σῶσαι, » φησίν. Οὐ γὰρ ἀφ' ἑαυτῶν τι κεκτήμεθα, ἢ τὸ γενέσθαι αὐτὸν δι' ἀγαθότητα ἄνθρωπον, καὶ τὴν Μητέρα αὐτοῦ ἐξ ἡμῶν οὖσαν, καὶ τοὺς ἁγίους αὐτοῦ. Καὶ οὕτως εὐθὺς τὰ ὑπὲρ τῶν ἀπελθόντων ἐπιτελοῦμεν, κτιτόρων τε καὶ πατέρων ἡμῶν, καὶ τῶν κατὰ σάρκα οἰκείων, καὶ ὧν ὀφείλομεν. Ἀναγκαῖον δὲ τὸ μεμνῆσθαι τούτων, ὅτι καὶ ἐξ αὐτῶν ἡμεῖς, καὶ σὺν αὐτοῖς ταχθησόμεθα· καὶ ὁ Σωτὴρ ὥσπερ ὑπὲρ ζώντων, καὶ ὑπὲρ τεθνεώτων πέπονθε καὶ τέθνηκε· καὶ τοῖς μνημονευομένοις πλείστη ἐκ τούτου ἡ ὠφέλεια, καὶ τοῖς μνημονεύουσιν ἡμῖν. Αὕτη δὲ ἡ μνήμη καὶ μετὰ τὸν ὕμνον τῆς πρώτης γίνεται ὥρας.

ΚΕΦΑΛ. ΤΚΔ'.

Περὶ τῆς πρώτης ὥρας.

Ἡ δέ γε δοξολογία τῆς πρώτης ὥρας τελεῖται ἢ μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου εὐθὺς, ἑορτῆς οὔσης, ἢ συναπτῶς τῷ ὄρθρῳ, ὕστερον τῆς ἀπολύσεως γινομένης, ἐπειδήπερ, ὡς προειρήκαμεν, μία σὺν τῷ ὄρθρῳ ὑμνολογία ἐστί. Λέγομεν οὖν τὸ, « Δεῦτε, προσκυνήσωμεν τῷ βασιλεῖ ἡμῶν Χριστῷ τῷ Θεῷ, » τρὶς, ὅτι οὗτος ἡμῖν μόνος βασιλεὺς καὶ αἰώνιος, ὡς καὶ φύσει Δεσπότης σὺν Πατρὶ καὶ Πνεύματι μόνος, καὶ τὸ κράτος τοῦ διαβόλου καὶ τὴν τυραννίδα καταβαλὼν, καὶ ἐλευθερώσας ἡμᾶς τοῦ σκότους καὶ τοῦ θανάτου. Εἶτα καὶ ψαλμοὶ λέγονται τρεῖς εἰς τιμὴν τῆς Τριάδος, κατὰ τὸ πρωῒ λεχθέντες ποτὲ τῷ Δαβὶδ, εὐχαριστίαν Θεοῦ περιέχοντες, καὶ τὸ ἐλθεῖν ἐφ' ἡμᾶς αὐτοῦ τὴν θείαν λαμπρότητα, καὶ τὰ ἔργα ἡμῶν κατευθυνθῆναι, καὶ πονηρὸν μὲν ἅπαν ἀποστῆναι ἡμῶν, ἀγαθοῦ δὲ παντὸς ἡμᾶς πληρωθῆναι. Μετὰ τοὺς ψαλμοὺς δὲ τροπάρια τῆς αὐτῆς ἐννοίας, καὶ ἕτερον εἰς τὴν Θεομήτορα, κεχαριτωμένην αὐτὴν μετὰ τοῦ ἀγγέλου κηρύττον, καὶ οὐρανὸν, ὡς τὸν τῆς δικαιοσύνης ἥλιον ἀνατείλασαν, καὶ παράδεισον ὡς τὸ ξύλον τῆς ζωῆς Χριστὸν τετοκυῖαν, καὶ Παρθένον, ὡς ἀειπάρθενον μένουσαν. Οἰκείως δὲ τοῦτο λέγεται τότε, διὰ τὴν αἰσθητὴν τοῦ ἡλίου ἀνατολὴν, καὶ τὸ τὸν παράδεισον κατὰ ἀνατολὰς εἶναι. Εἶτα ἡ τοῦ Τρισαγίου καὶ τοῦ « Πάτερ ἡμῶν » προσευχὴ, ὅτι οὐ δυνατὸν ἐν παντὶ καιρῷ μὴ μνησθῆναι ταύτης.

CAPUT CCCXXIV.

De prima hora.

Sed enim horæ primæ doxologia perficitur vel statim post finem seu dimissionem matutini officii, vel conjuncte cum hoc officio, dilata dimissione, quoniam, prout diximus, una cum matutinis precibus est laudatio. Ter ergo dicimus: « Venite, adoremus regem nostrum Christum Deum, » quoniam hic nobis solus rex et æternus, utpote solus cum Patre et Spiritu Dominus, qui imperium et tyrannidem diaboli confregit, nosque a tenebris et morte liberavit. Deinceps tres dicuntur psalmi in honorem Trinitatis a David olim mane dicti, quibus gratiæ aguntur Deo, et obsecratur ut super nos veniat divinus splendor ejus, et opera nostra dirigantur, ac omne quidem a nobis malum arceatur, omni autem bono repleamur. Verum post psalmos dicuntur versiculi ejusdem sententiæ, et alius in honorem Dei Genitricis quam cum angelo prædicat gratia plenam cœlumque, utpote ex qua ortus est sol justitiæ, atque paradisum tanquam quæ lignum vitæ Christum genuit, necnon virginem, ut quæ semper virgo permansit. Apte vero istud tunc dicitur, ob sensibilem solis ortum et quia paradisus ad orientem versus exstitit. Deinde dicitur Trisagion ac oratio, « Pater noster, » quoniam ejus in omni tempore non meminisse non possumus.

ΚΕΦΑΛ. ΤΚΕ'.

Διατί ἐν ἑκάστῃ ὥρᾳ καὶ ταῖς λοιπαῖς ἀκολουθίαις τὸ, « Κύριε, ἐλέησον, » τεσσαράκοντα.

Καὶ τὸ, « Κύριε, ἐλέησον, » τεσσαράκοντα, εἰς ἁγιασμὸν τοῦ καιροῦ παντὸς τῆς ζωῆς ἡμῶν. Τῶν γὰρ τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν ἀποδεκάτωσις, ὥς φασί τινες, αἱ τεσσαράκοντα, ἐν αἷς ἡ μεγάλη νηστεία, καὶ ἐν ἑκάστῳ καιρῷ προσευχῆς, τὸ, « Κύριε, ἐλέησον, » τεσσαράκοντα, εἰς ἐξάλειψιν τῶν ἐν πάσῃ ἡμέρᾳ καὶ ὥρᾳ ἀμυθήτων ἡμῶν ἁμαρτιῶν. Διὸ καὶ μετὰ τὸ, « Κύριε, ἐλέησον, » τὴν ἀναγκαιοτάτην λέγομεν πάντοτε εὐχὴν, τὸ **229** « Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, » πάντα περιέχουσαν, καὶ ὑπὲρ πάντων οὖσαν τῶν ἡμετέρων καὶ ψυχῶν καὶ σωμάτων, καὶ λογισμῶν καὶ ἐννοιῶν καὶ ἔργων, ἅπαντα αἰτουμένη καθαγιάζεσθαι, καὶ παντὸς λυτροῦσθαι πειρασμοῦ, καὶ ὑπὸ τῶν ἁγίων ἀγγέλων τειχίζεσθαι καὶ φυλάττεσθαι, καὶ ἐν ἐπιγνώσει γίνεσθαι τῆς τοῦ Θεοῦ δόξης, ἤτοι κατ' ἐνέργειαν ἀπολαύειν τῆς τοῦ Θεοῦ ἀπροσίτου φωτοχυσίας καὶ χάριτος, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Εἶτα τὴν Θεοτόκον ὡς τιμιωτέραν τῶν Σεραφὶμ ἀνυμνοῦμεν· καὶ παρὰ τοῦ ἱερέως ἡ τῷ Ἀαρὼν δοθεῖσα ὑπὲρ τοῦ λαοῦ προσευχὴ λέγεται, ἡ καὶ παρὰ τοῦ Δαβὶδ ἐκτεθεῖσα, τὸ, « Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. » Καὶ εὐθὺς ἡ εὐχὴ ἁρμοδία τῇ πρώτῃ ὥρᾳ, « Χριστὲ τὸ φῶς τὸ ἀληθινόν· » καὶ οὕτω παρὰ τοῦ ἱερέως ἀπόλυσις.

CAPUT CCCXXV.

Quare hora qualibet, et in cæteris ordinibus officii ecclesiastici, oramus, « Domine miserere, » quadraginta (dies).

Postea quadragies dicitur: « Kyrie eleison, » ad sanctificandum totum tempus vitæ nostræ; nam trecentorum et sexaginta quinque dierum decima pars, ut quidam aiunt, quadraginta constat, in quibus magnum jejunium, et in singulis precum hor s, « Kyrie eleison, » quadragies recitatur in deletionem peccatorum quæ sine numero in omni die ac hora perpetramus. Quamobrem post, « Kyrie eleison, » valde necessariam semper dicimus orationem, nempe, « Qui in omni tempore omnique hora, » quæ omnia complectitur et de omnibus nostris versatur animisve et corporibus et consiliis et cogitationibus atque operibus, deprecans ut omnia sanctificentur, et ab omni tentatione liberemur, atque a sanctis angelis muniti custodiamur, necnon in scientia gloriæ Dei instruamur, id est, abundanter potiamur inaccesso Dei lumine ac gratia, qui est benedictus in sæcula. Dein Dei Genitricem utpote Seraphim majore dignam honore celebramus; et a sacerdote dicitur oratio Aaron data pro populo, et deprecatio a David instituta: « Deus misereatur nostri. » Et statim fit oratio horæ primæ accommodata: « Christe, lux vera, » et ita a sacerdote absolvitur.

CAPUT CCCXXVI.

De cæteris horis, tertia, sexta et nona : ac simul de prima.

Itaque ille est ordo horæ primæ; ad tertiam et sextam similiter psallitur per diversos, sed his horis consuetos psalmos et versiculos, Trisagion vero tantum ad tertiam, postquam benedixerit sacerdos, dicitur, et duodecies : « Kyrie eleison, » qui ritus etiam in hora nona, in Completorio et in Matutinis precibus in honorem sanctæ Trinitatis servatur, prout seorsum dictum est de simili oratione Trisagii. Dicitur autem, « Kyrie eleison, » duodecies propter duodecim diei et duodecim noctis horas, in sanctificationem nostram et ad expiandas offensas in eis commissas, quemadmodum quadragies dicitur, « Kyrie eleison, » ob eas quas retulimus causas.

CAPUT CCCXXVII.

De Psalmis horæ tertiæ, sextæ et nonæ.

Igitur in horis singulis, prima, tertia, sexta et nona istud : Venite, adoremus, sequuntur propter sanctam Trinitatem tres psalmi ad horam accommodati in honorem Trinitatis et scientiam mysterii quod in hac hora recolitur; et quemadmodum hora prima psalmos habet matutinum tempus memorantes divinumque splendorem indicantes propter radiationem solis, ita et tertiæ psalmi narrant dolos Judæorum malaque eorum in Christum consilia; ultimus vero utpote quinquagesimus divini Spiritus adventum significat. Psalmi autem sextæ horæ Judæos ostendunt irruentes et quærentes animam Domini, eumque occidentes, quoniam circa horam sextam crucifixerunt eum, necnon cum afficientes conviciis et injuriis ac in ira grassantes, terram quoque commotam et tenebris opertam, ac cætera. Ultimus autem auxilium a Patre dum tribularetur præstitum exhibet; ait enim : « Qui habitat in adjutorio Altissimi, » et victoriam ex inferno reportatam in his : « Super aspidem et basiliscum ambulabis, » et cætera. Porro nonæ psalmi salutem nostram patefaciunt per mortem Christi et interfectionem sancti ejus tabernaculi comparatam, et quoniam Deus vivit, etsi carne propter nos mortuus fuerit, et altare pro nobis factus est, et adjutorium tam vivis quam in inferno in loco fletuum gementibus, necnon bona factus est in terra exspectatio; et captivitatem nostram convertit, scilicet animas nostras, et peccata nostra remisit; et conversus vivificavit nos, et plebs ejus lætata est in eo, nempe in resurrectione ejus; et pacem locutus est, necnon misericordia et pax osculatæ sunt, et justitia de cœlo prospexit, quoniam per mortem Christus mortem interfecit; et terra dabit fructum suum, videlicet Dominum carne resurgentem. Ultimus autem psalmus : « Inclina, Domine, » hæc omnia significat, et quoniam justus est et absque peccato qui pro nobis crucifixus est et mortuus, et miserator et multum misericors et verax, et dedit nobis fortitudinem ac sibimetipsi

ΚΕΦΑΛ. ΤΚϚ'.

Περὶ τῶν λοιπῶν ὡρῶν, τρίτης, ἕκτης καὶ ἐννάτης, μετὰ τῆς πρώτης ὁμοῦ.

Αὕτη οὖν ἡ τῆς πρώτης ὥρας ἀκολουθία, καὶ κατὰ τὴν τρίτην ὥραν καὶ ἕκτην ὁμοίως ψάλλεται μετὰ διαφόρων ψαλμῶν τῶν συνήθων καὶ τροπαρίων, Τρισαγίου μόνον πρὸ τῆς τρίτης ὥρας μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα λεγομένου, καὶ τοῦ, « Κύριε, ἐλέησον, » δώδεκα· ὃ καὶ ἐν τῇ ἐννάτῃ ὥρᾳ καὶ τοῖς ἀποδείπνοις καὶ τῷ ὄρθρῳ ἔθος ἐστὶν ὡς εἰς τὴν ἁγίαν Τριάδα, ὡς εἴρηται, ἰδίᾳ τῆς τοιαύτης τοῦ Τρισαγίου ἀναφερομένης προσευχῆς. Καὶ τὸ, « Κύριε, ἐλέησον, » δωδεκάκις λέγεται διὰ τὸ δωδεκάωρον τῆς ἡμέρας, καὶ τὸ δωδεκάωρον τῆς νυκτὸς, εἰς ἁγιασμὸν ἡμῶν καὶ κάθαρσιν ἀπὸ των ἐν ταύταις πταισμάτων, ὡς καὶ τεσσαράκοντα τὸ, « Κύριε, ἐλέησον, » ἐν ἑκάστῃ ὥρᾳ δι' ἃς εἴπομεν αἰτίας.

ΚΕΦΑΛ. ΤΚΖ'.

Περὶ τῶν Ψαλμῶν τῆς τρίτης, ἕκτης καὶ ἐννάτης.

Ἐν ἑκάστῃ οὖν ὥρᾳ πρώτῃ, τρίτῃ, ἕκτῃ καὶ ἐννάτῃ τὸ, « Δεῦτε προσκυνήσωμεν, » ἔχει τρὶς διὰ τὴν ἁγίαν Τριάδα ψαλμοὺς τρεῖς καὶ ἁρμοδίους πρὸς τὴν ὥραν, διὰ τιμὴν τῆς Τριάδος καὶ τὴν γνῶσιν τοῦ ἐν τῇ ὥρᾳ μυστηρίου, καὶ ὡς ἡ πρώτη ὥρα τοὺς μεμνημένους τοῦ πρωῒ ψαλμοὺς καὶ τῆς θείας λαμπρότητος ἀπὸ τῆς ἀναλάμψεως τῆς ἡλιακῆς, οὕτως οἱ τῆς τρίτης, τὰ περὶ τοῦ δόλου τῶν Ἰουδαίων καὶ τῆς ἐπιβουλῆς τῆς εἰς Χριστόν. Ὁ δὲ τελευταῖος ὁ πεντηκοστὸς ὢν, τὰ περὶ τῆς ἐπιδημίας τοῦ θείου Πνεύματος. Οἱ δὲ τῆς ἕκτης ὥρας τὴν ἐπανάστασιν δηλοῦσι τῶν Ἰουδαίων, καὶ τὸ ζητῆσαι τὴν ψυχὴν τοῦ Κυρίου, καὶ θανατῶσαι αὐτὸν, ἐπεὶ αὐτὸν κατὰ τὴν ἕκτην ἐσταύρωσαν ὥραν, καὶ τὸ λυπεῖν αὐτὸν ἐν τοῖς χλευασμοῖς καὶ ταῖς ὕβρεσι, καὶ ἐν ὀργῇ ἐγκοτεῖν, καὶ τὸ τρόμον γενέσθαι ἐν τῇ γῇ, καὶ σκότος αὐτὴν καλύψαι, καὶ τὰ λοιπά. Ὁ δὲ τελευταῖος τὴν ἀπὸ τοῦ Πατρὸς ἐν τῷ θλίβεσθαι βοήθειαν, « Ὁ κατοικῶν γὰρ, φησὶν, ἐν βοηθείᾳ τοῦ Ὑψίστου, » καὶ τὴν κατὰ τοῦ ᾅδου νίκην, ὡς « Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσεται, » καὶ τὰ ἑξῆς. Τῆς ἐννάτης δὲ οἱ ψαλμοὶ, τὴν διὰ θανάτου Χριστοῦ καὶ τῆς νεκρώσεως τοῦ ἁγίου σκηνώματος αὐτοῦ ἡμῶν σωτηρίαν· καὶ ὅτι Θεὸς ζῶν ἐστιν, εἰ καὶ τέθνηκε σαρκὶ δι' ἡμᾶς· καὶ θυσιαστήριον γέγονεν ὑπὲρ ἡμῶν καὶ ἀντίληψις τοῖς τε ζῶσι καὶ ἐν τῷ ᾅδῃ εἰς τὸν τόπον οὖσι τοῦ κλαυθμῶνος· καὶ εὐδοκία γέγονεν ἐν τῇ γῇ· καὶ τὴν αἰχμαλωσίαν ἡμῶν ἀπέστρεψε, τὰς ἡμετέρας ψυχάς· καὶ τὰς ἀνομίας ἡμῶν ἀφῆκε· καὶ ἐπιστρέψας ἐζώωσεν ἡμᾶς, καὶ ηὔφρανε τὸν λαὸν αὐτοῦ τῇ ἀναστάσει αὐτοῦ· καὶ τὴν εἰρήνην ἐλάλησε, καὶ ἔλεος καὶ ἀλήθεια συνήντησε· καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν, ἐπεὶ διὰ θανάτου Χριστὸς τὸν θάνατον ἔλυσε· καὶ ἡ γῆ δώσει τὸν καρπὸν αὐτῆς, τὸν σαρκὶ ἀναστάντα. Καὶ ὁ τελευταῖος δὲ τὸ, « Κλῖνον, Κύριε, » πάντα ταῦτα σημαίνει, καὶ ὅτι ὅσιος καὶ ἀναμάρτητος ὁ ὑπὲρ ἡμῶν σταυρωθεὶς καὶ ἀποθανὼν, καὶ οἰκτίρμων, καὶ πολυέλεος, καὶ ἀληθινός· καὶ ἔδωκεν ἡμῖν κράτος· καὶ ἑαυτῷ, υἱῷ τῆς παιδίσκης αὐτοῦ γε-

νομένῳ τῆς Θεομήτορος, καὶ σημεῖον εἰς ἀγαθὸν, A τὸν σταυρὸν αὐτοῦ καὶ τὴν ἔγερσιν, δι' οὗ καὶ κατῃσχύνθησαν οἱ ἐχθροὶ αὐτοῦ. Εἶτα καὶ τροπάρια, καὶ τὰ καθεξῆς· καὶ τελευταῖον τὰς εὐχὰς, ὡς εἰρήκαμεν, κατὰ τὴν ὥραν ἁρμοδίους. Ὁ δέ γε ἑσπερινὸς γίνεται οὕτω· μᾶλλον δὲ πρότερον μὲν ἅμα τῇ τριθέκτῃ τὰ λεγόμενα τυπικὰ ψάλλεται. Καὶ ὅρα εὐταξίαν καὶ γνῶσιν εὐσεβῆ καὶ μεγίστην τῆς Ἐκκλησίας. Ἐπειδὴ γὰρ τὸ συνεχῶς κατὰ διαστήματα καὶ διακοπὴν ὡρῶν τοὺς ὕμνους ἀναφέρειν, ὥς τινα ῥᾳθυμίαν τίκτει καὶ ἀκηδίαν, καὶ μάλιστα ταῖς τῶν ἀτελεστέρων ψυχαῖς, οἱ θεῖοι Πατέρες ἡμῶν, θείῳ κινούμενοι Πνεύματι, καλῶς τὸ ῥηθησόμενον ἐπενόησαν, ἅμα μὲν καὶ πάσας κατὰ διαδοχὴν γίνεσθαι τὰς δοξολογίας προμηθούμενοι, ἅμα δὲ καὶ ἀκηδίας καὶ ἀμελείας σοφῶς διορθούμενοι. B

filio puellæ suæ facto Deiparæ, signumque præbuit in bonum, crucem suam et resurrectionem, quibus confusione operti sunt inimici ejus. Postea fiunt versiculi et cætera, ac tandem preces, ut diximus, horis accommodatæ. Similiter aguntur vesperæ, dicta autem typica præsertim in tertia sextaque hora cantantur. Vide egregium ordinem piamque et eximiam Ecclesiæ scientiam; nam quia continuo secundum intervalla et discrimen horarum hymnos psallere quamdam generat segnitiem et vecordiam, et præcipue in imperfectorum animis divi Patres nostri divino moti Spiritu recte dicenda invenerunt, simul quidem curantes ut omnes laudationes vicissim fiant, simulque vecordiæ et negligentiæ prudenter occurrentes.

ΚΕΦΑΛ. ΤΚΗ'.

Ὅτι πᾶσαι αἱ ἀκολουθίαι ἐν τρισὶ καιροῖς καλῶς τελεῖσθαι ἐτάχθησαν, διά τε τιμὴν τῆς Τριάδος, καὶ τὸ μὴ ῥᾳθυμεῖν ἡμᾶς.

Διὸ καὶ ἐν καιροῖς τρισὶν ἀπαραιτήτοις καὶ ἀναγκαιοτέροις εἰς δόξαν καὶ τιμὴν τοῦ Θεοῦ ἡμῶν τῆς ὑπερουσίου Τριάδος πάσας διετάξαντο γίνεσθαι. Καὶ πρῶτον μὲν τὸν μετὰ τὸ μεσονύκτιον ἄχρι πρωΐας καιρὸν, καὶ τρεῖς λέγειν ἀκολουθίας, καὶ τοῦτο εἰς ἀνακήρυξιν τῆς Τριάδος καὶ δόξαν. Αὗται δέ εἰσιν ἡ τοῦ μεσονυκτικοῦ, ἡ τοῦ ὄρθρου, καὶ ἡ τῆς πρώτης ὥρας, καθ' ἑαυτὴν μὲν οὖσα, ἑνουμένη δέ γε τῷ ὄρθρῳ, καὶ μὴ εἰς τὰς ἑπτὰ αἰνέσεις ἀριθμουμένη. Μετὰ δὲ τὴν τρίτην τῆς ἡμέρας ὥραν C αὐτὴ δὴ ἡ τῆς τρίτης ὥρας ἀκολουθία, καὶ ἡ τῆς ἕκτης μετὰ καὶ τῆς ἀκολουθίας τῶν τυπικῶν ἐν τούτῳ τῷ καιρῷ ψάλλονται, τριάδα δοξολογιῶν καὶ αὗται πληροῦσαι εἰς τιμὴν τῆς Τριάδος, εἰ καὶ ἡ τῶν τυπικῶν τάξις ταῖς ἑπτὰ αἰνέσεσιν οὐ συνάπτεται σὺν τῇ ἕκτῃ ἢ τῇ ἐννάτῃ πάντοτε ψαλλομένη· καίτοιγε ἰδία ἐστὶ καὶ καθ' ἑαυτὴν καὶ αὐτὴ, περὶ ἧς καὶ πρὸς ὀλίγον ἐροῦμεν. Περὶ δὲ τὸ τέλος τῆς ἡμέρας ἡ τῆς ἐννάτης ὥρας, ἡ τοῦ ἑσπερινοῦ καὶ τῶν ἀποδείπνων, συναπτῶς εἰς τρία διῃρημένη καὶ αὐτὴ, καὶ ἀλλεπαλλήλως ἐν ἑνὶ καιρῷ ψαλλομένη, τὴν Τριάδα καὶ αὐτὴ σημαίνουσα, καὶ τρεῖς μὲν οἱ τοῦ ἡμερονυκτίου καιροὶ, τρεῖς δὲ ἐν ἑκάστῳ καιρῷ καὶ οἱ ὕμνοι ὡς κατὰ μὲν τοὺς τρεῖς καιροὺς μιμεῖσθαι τὴν Ἐκκλησίαν τὸν μέγιστον Δανιὴλ, τρὶς D καθεκάστην τῷ Θεῷ προσευχόμενον, ὡς ἐν ταῖς ὁράσεσι γέγραπται· κατὰ δὲ τὸ τελεῖν τρεῖς ἀκολουθίας ἐν ἑκάστῳ καιρῷ τῶν τριῶν, τὰ ἐννέα μιμεῖσθαι τάγματα, εἰς τρεῖς τριάδας ὄντα τῷ ἀριθμῷ, καὶ ἀσιγήτως Θεὸν ἀναμέλποντα.

CAPUT CCCXXVIII.

Quod universi sacrorum agendorum ordines tribus temporibus obeundi bene constituti sunt propter honorem SS. Trinitatis, ac ne otiosi negligentes simus.

Ideo in tribus temporibus ineluctabilibus valdeque necessariis in gloriam et honorem Dei nostri supersubstantialis Trinitatis omnes fieri laudes disposuerunt; primum quidem a media nocte usque ad mane tres dicuntur agendorum ordines ad prædicandam et glorificandam Trinitatem; quæ sunt nocturnæ et matutinæ laudes atque prima hora quæ per se quidem est, sed matutinis laudibus jungitur neque inter septem horas annumeratur. Verum post tertiam diei horam, ipse fit horæ tertiæ ordo atque sextæ cum ordine typicorum quæ in hoc tempore psalluntur; ipsa quidem trinis constant doxologiis et adimplentur in honorem Trinitatis, etsi typicorum ordo septem laudationibus non numero conjungatur, semper cum sexta nonaque hora decantatus, licet ipse proprius sit ordo per se constans, de quo mox dicemus. Porro circa finem diei dicitur ordo nonæ horæ, Vesperarum et Completorii, ipse quoque in tres partes continuas distinctus ac sine intermissione in uno tempore celebratus, ipse etiam Trinitatem ostendens, quemadmodum tria nocturni officii tempora tresque hymni in quolibet tempore cantati; ita ut per tria tempora magnum Danielem imitetur Ecclesia qui ter in die precabatur, prout in visionibus scriptum est. At dum tres ordines persolvit in singulis trium temporibus, novem imitatur angelorum ordines qui in tres triades numero distincti Deum sine fine concelebrant.

ΚΕΦΑΛ. ΤΚΘ'.

Περὶ τῆς ἀκολουθίας τῶν λεγομένων τυπικῶν.

Ἡ δέ γε τῶν τυπικῶν ἀκολουθία τόνδε τὸν τύπον ἔχει, εἰς εἰκόνα τινὰ τῆς ἱερᾶς λειτουργίας, ὅτε ψάλλεται χωρὶς λειτουργίας· εἰ δέ γε τελεῖται καὶ ἐν τῇ λειτουργίᾳ, ταῦτα προλέγεται. Ψάλλονται γὰρ ἐξαρχῆς μὲν δύο ψαλμοὶ δοξολογίαν πρὸς Θεὸν ἔχοντες, καὶ τῶν ἀγαθῶν αὐτοῦ μεμνημένοι τῶν

CAPUT CCCXXIX.

De ordine typicorum.

Iste vero typicorum ordo hoc typi nomine gaudet, quoniam quamdam habet imaginem sancti sacrificii, quando cantantur extra sacrificium, quod si in sacrificio perficiuntur, tunc prius præcinuntur. Nam ab initio duo psalluntur psalmi doxologiam habentes ad Deum, et beneficiorum ejus ad

nos recordantes præsertim per incarnationem Verbi: « Benedic, anima mea, Dominum; » et: « Lauda, anima mea, Dominum. » Deinde incarnationis hymnus: « Unigenitus Filius. »

CAPUT CCCXXX.

De beatitudinibus Salvatoris, earumque succincta expositio.

Et dicuntur beatitudines a Salvatore institutæ quæ ipsum nobis solum beatum exhibent Dominum. Hic enim propter nos vere pauper, mitis et humilis corde apparuit, justusque solus, justitiam esuriens et sitiens atque adimplens, necnon misericors et miserator, solusque mundo corde et sanctus et immaculatus, pacis auctor et princeps, ac ipse pax ipsa, qui convicia et persecutiones et iniqua subiit opprobria, atque passus est propter gloriam Patris ejus nostramque salutem; qui etiam gaudium ineffabile et exsultationem habuit; insuper illæ beatitudines felicitate ab eo donandos testantur ejus imitatores, qui secundum ordinem progrediuntur: postquam pauperes facti sunt Christi gratia, mansueti conspiciuntur; dum autem vitio immunes visi sunt, justitiam esuriunt, et a justitia procedunt in misericordiam, a misericordia ad munditiam animæ, et ex ista ad amorem proximi et ad procurationem pacis illius; deinde ad perfectiorem Dei charitatem adducuntur et pro veritate ac justitia ejus persecutiones patiuntur, vel adhuc graviora sufferunt, et conviciis propter pietatem atque fidem et persecutionibus et calumniis amore illius afficiuntur. Ideo patiendo lætantur et lætabuntur, tuncque exsultabunt, quoniam merces sua magna est in cœlis. Has ergo beatitudines et velut doctrinam Salvatoris et velut Evangelium dicunt loco lectionis apostolicæ epistolæ divinique sacrificii. Dein confessionem latronis quam in cruce confessus est ejusque deprecationem recitant per quam paradisum invenit, quam ter cantant, iterata repetitione vocem illius confirmantes et paradisum deposcentes. Postea dicunt carmina foris ab omnibus in sacrificio dicta, hymnum angelicum: « Sanctus, Sanctus, Sanctus, » quam fidei professionem ter faciunt, remittenda nobis flagitant peccata omnia, Salvatoris quoque proferunt orationem, cujus in fine addunt versiculos ad diem accommodatos, « Kyrie eleison, » quadragies secundum horarum ordinem. Et illico adjiciuntur psalmi ad gratias Deo agendas pro omnibus Dei beneficiis ciboque in usum impertito, nempe: « Benedicam Dominum, » et, « Exaltabo te, Deus meus. » Dataque eleemosyna in sanctificationem nostram, sic absolvitur.

A πρὸς ἡμᾶς, καὶ μάλιστα τῶν διὰ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως· « Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον· » καὶ, « Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον. » Εἶτα ὁ τῆς σαρκώσεως ὕμνος, « Ὁ μονογενὴς Υἱός. »

ΚΕΦΑΛ. ΤΛ'.

Περὶ τῶν μακαρισμῶν τοῦ Σωτῆρος κατὰ σύνοψιν ἑρμηνεία.

Καὶ οἱ παρὰ τοῦ Σωτῆρος μακαρισμοὶ, αὐτόν τε ἡμῖν παριστῶντες τὸν Κύριον τὸν μόνον μακάριον, καὶ πτωχεύσαντα ὑπὲρ ἡμῶν ἀληθῶς, καὶ πραῢν ὀφθέντα καὶ ταπεινὸν τῇ καρδίᾳ, καὶ δίκαιον μόνον, καὶ τὴν δικαιοσύνην πεινῶντα καὶ διψῶντα καὶ
231 ἐνεργήσαντα, καὶ ἐλεήμονα ὄντα καὶ οἰκτίρμονα, καὶ καθαρὸν τῇ καρδίᾳ μόνον, καὶ ὅσιον καὶ ἀμίαντον,
B καὶ εἰρηνοποιὸν καὶ εἰρηνάρχην καὶ εἰρήνην, καὶ Υἱὸν Θεοῦ φύσει, καὶ δεδιωγμένον ἀληθῶς δικαιοσύνης ἕνεκεν, καὶ ὀνειδισθέντα καὶ διωχθέντα καὶ ὑβρισθέντα ψευδῶς, καὶ παθόντα ὑπὲρ ἡμῶν ἕνεκεν τῆς δόξης τοῦ Πατρὸς αὐτοῦ, καὶ τῆς σωτηρίας ἡμῶν, καὶ τὴν χαρὰν τὴν ἀνέκφραστον καὶ ἀγαλλίασιν ἔχοντα, καὶ τοὺς μιμησαμένους αὐτὸν μαρτυροῦντες μεμακαρισμένους ὑπ' αὐτοῦ, οἳ καὶ κατὰ τάξιν προκόπτουσι. Καὶ ἀπὸ μὲν τοῦ πτωχοὶ γενέσθαι διὰ Χριστὸν καὶ πραεῖς ἀποδείκνυνται· ἀπαθεῖς δὲ ὀφθέντες, τὴν δικαιοσύνην πεινῶσι, καὶ ἀπὸ δικαιοσύνης προβαίνουσιν εἰς τὸν ἔλεον· ἐκ τοῦ ἐλέου δὲ εἰς τὴν καθαρότητα τῆς ψυχῆς· καὶ ἐκ τούτου εἰς τὸ ἀγαπᾷν τὸν πλησίον καὶ φροντίζειν ὑπὲρ τῆς εἰρήνης αὐτοῦ. Εἶτα καὶ εἰς τὴν τελεωτέραν Θεοῦ ἀγάπην
C ἀνάγονται· καὶ ὑπὲρ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης αὐτοῦ ζηλοῦντες διώκονται, καὶ ἔτι πάσχουσι μείζω· καὶ ὀνειδίζονται ὑπὲρ εὐσεβείας καὶ πίστεως, καὶ διώκονται, καὶ συκοφαντούμενοι φέρουσιν ἕνεκεν αὐτοῦ. Διὸ καὶ πάσχοντες χαίρουσι· καὶ χαρήσονται καὶ ἀγαλλιάσονται τότε, ὅτε ὁ μισθὸς αὐτῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Τούτους τοίνυν τοὺς μακαρισμοὺς καὶ ὡς διδασκαλίαν τοῦ Σωτῆρος, καὶ ὡς Εὐαγγέλιον λέγουσι, καὶ ἀντὶ περικοπῆς ἀποστολικῆς καὶ τοῦ θείου Εὐαγγελίου. Εἶτα τὴν τοῦ λῃστοῦ θεολογίαν τὴν ἐπὶ τῷ σταυρῷ καὶ δέησιν, δι' ἧς τὸν παράδεισον εὗρεν, ᾄδουσι τρὶς, βεβαιοῦντες ἐν τῇ τριάδι τὴν παρ' ἐκείνου φωνὴν, καὶ τὴν παράδεισον ἐξαιτούμενοι. Εἶτα καὶ τὰ ἐν τῇ ἱερουργίᾳ ἔξωθεν
D παρὰ πάντων λεγόμενα λέγουσι, τὰ παρὰ τῶν ἀγγέλων, « Ἅγιος, ἅγιος, ἅγιος, » τρὶς, τὴν ὁμολογίαν τῆς πίστεως· τὸ ἀφεθῆναι ἡμῖν πάντα τὰ ἁμαρτήματα· καὶ τὴν παρὰ τοῦ Σωτῆρος προσευχὴν, ἧς ἐν τῷ τέλει τὰ πρὸς τὴν ἡμέραν τροπάρια ἁρμοδίως· τὸ, « Κύριε, ἐλέησον, » τεσσαράκοντα, κατὰ τὴν τάξιν τῶν ἀκολουθιῶν. Καὶ εὐθὺς ἐπάγονται οἱ ψαλμοὶ, εἰς εὐχαριστίαν τῶν παρὰ Θεοῦ πάντων καὶ τῶν εἰς χρείαν τροφῆς, τὸ, « Εὐλογήσω τὸν Κύριον, » καὶ « Ὑψώσω σε, ὁ Θεός μου. » Καὶ διαδιδομένου τοῦ ἀντιδώρου εἰς ἁγιασμὸν ἡμῶν, ἡ ἀπόλυσις γίνεται.

CAPUT CCCXXXI.

De vespertino officio, et quod tria præcipua officia ab altari initium capiunt, et in eo desinunt, matutinum, sacra corporis et sanguinis Christi liturgia et vespertinum.

Vespertinus autem hymnus perficitur, sicut et matutinus, majori solemnitate atque diligentia,

ΚΕΦΑΛ. ΤΛΑ'.

Περὶ τοῦ ἑσπερινοῦ, καὶ ὅτι τρεῖς ἐξαιρέτως τελεταὶ ἀπὸ τοῦ θυσιαστηρίου ἄρχονται, καὶ εἰς αὐτὸ τελευτῶσιν, ὁ ὄρθρος, ἡ θεία λειτουργία καὶ ὁ ἑσπερινός.

Ὁ ἑσπερινὸς δὲ τελεῖται ὕμνος ὡς καὶ ὁ ὄρθρος λαμπρότερόν τε καὶ σπουδαιότερον· ἐπεὶ καὶ αὖθις

εἰπεῖν, τρὶς τῆς ἡμέρας τῇ ἁγίᾳ Τριάδι δοξολογίαι τρεῖς εἰς ὁμολογίαν αὐτῆς καὶ δόξαν προσάγονται, ἀπὸ τοῦ θυσιαστηρίου ἐξαιρέτως ἀρχόμεναι, καὶ εἰς τὸ θυσιαστήριον δι' ἱερέως τελευτῶσαι· ὁ ὄρθρος δηλαδὴ, ἡ τῶν τελετῶν τελετὴ, ἡ ἱερὰ λειτουργία, καὶ ὁ ἑσπερινός· ἃς δὴ δοξολογίας καὶ ἅπας τῶν πιστῶν καὶ λαϊκὸς ἀκούειν ἀπαραιτήτως καθ' ἡμέραν ὀφείλει, καὶ περὶ τῶν ἄλλων φροντίζειν ὁπόση δύναμις. Τοῦ ἱερέως τοίνυν εὐλογήσαντος ἐν τῷ θυσιαστηρίῳ ὡς ἐν οὐρανῷ ἐνώπιον τοῦ Θεοῦ, τὸ, « Δεῦτε προσκυνήσωμεν, » τρὶς παρ' ἑνὸς διὰ τὴν εὐλάβειαν καὶ τὴν τῶν λεγομένων σύνεσιν λέγεται. Καὶ εἰ μὲν ἡ ἡμέρα κοινὴ, ὁ ψαλμὸς ἅπας λέγεται, ὁ τὸν Κύριον εὐλογῶν, καὶ τὴν δημιουργίαν αὐτοῦ ἅπασαν διηγούμενος, καὶ ἐπὶ πᾶσιν εὐχαριστῶν· ἐπεὶ καὶ τελευτώσης τῆς ἡμέρας, δέον ὑπὲρ ἁπάντων εὐχαριστεῖν· εἰ δὲ ἡμέρα ἑόρτιος, ἄχρι τοῦ, « Ἀνοίξαντός σου τὴν χεῖρα· » καὶ τότε παρὰ πάντων λαμπρότερον ᾄδεται, ἑκάστῳ στίχῳ τὴν Τριάδα πάντων δοξολογούντων, ἥτις τῶν ὅλων δημιουργός. Τοῦ ἱερέως δὲ τὰ εἰρηνικὰ εὐξαμένου, καὶ ἐκφώνως δοξολογήσαντος, καὶ οἱ ἕτεροι ἐπάγονται ψαλμοὶ τοῦ **232** Ψαλτῆρος, ὡς καὶ οἱ ἐν τῷ ὄρθρῳ τετυπωμένοι, εἴπερ ἡμέρα κοινὴ, ὡς ἂν ἡ τοῦ Ψαλτῆρος βίβλος εἰς ὕμνους Θεοῦ ἀποτεταγμένη τελεσθείη πάσῃ τῇ ἑβδομάδι· τῇ δέ γε τεσσαρακοστῇ δὶς, εἰς πλείω κόπον ἡμῶν, δόξαν τε τοῦ Θεοῦ καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἐξιλέωσιν.

ΚΕΦΑΛ. ΤΛΒ'.

Ὅτι οἱ τρεῖς πρῶτοι τοῦ Ψαλτῆρος ψαλμοὶ ἐξαιρέτως εἰς τὸν Κύριον ἀναφέρονται.

Εἰ δέ γε ἡμέρα ἑορτῆς, μετὰ τὰ τριαδικὰ καὶ τὴν συναπτὴν οἱ τρεῖς πρῶτοι τοῦ Ψαλτῆρος ᾄδονται ψαλμοὶ, οἳ καὶ εἰς τὸν Κύριον ἀναφέρονται ἐξαιρέτως. Ἐνανθρωπήσας γὰρ ὁ τοῦ Θεοῦ Λόγος, αὐτὸς ὄντως μόνος μακάριος ἀνὴρ γέγονε, καὶ ἁμαρτίαν οὐκ ἐποίησε, καὶ ξύλον ζωῆς ἐστι, καὶ καρπὸν πολὺν ἡμᾶς τοὺς εἰς αὐτὸν πιστεύσαντας, δέδωκε· καὶ ζῇ, μὴ ξηρανθεὶς, ὢν ἀθάνατος· οὐδὲ ἀποῤῥέει ἡμᾶς, ὡς φύλλον αὐτοῦ ἀειθαλὲς καὶ καρπόν. Τοὺς δὲ ἀσεβεῖς ὡς χοῦν καὶ τοὺς δαίμονας ἐκλικμήσει. Καὶ ἐφρυάξαντο κατ' αὐτοῦ βασιλεῖς καὶ ἄρχοντες, οὓς ἐμυκτήρισε μὲν νικήσας, αὐτὸς δὲ βασιλεὺς κατέστη τῆς Ἐκκλησίας αὐτοῦ. Καὶ Υἱὸς Θεοῦ ἐστι, καὶ τὰ ἔθνη ἔσχε κληρονομίαν, καὶ τὰ πέρατα κατέσχε τῆς γῆς, καὶ ποιμήν ἐστιν ἰσχυρός. Καὶ ἐπληθύνθησαν μὲν οἱ θλίβοντες αὐτὸν, καὶ διαλοιδορούμενοι καὶ διώκοντες, οἳ καὶ σταυρῷ αὐτὸν ἐθανάτωσαν· αὐτὸς δὲ καὶ μετὰ τοῦ Πατρὸς ἦν πάσχων σαρκὶ, ἀπαθὴς ὢν τῇ θεότητι, καὶ ἀντιλήπτωρ ὤφθη ἡμῶν καὶ δόξα. Καὶ εἰ ἐκοιμήθη θανὼν, ἀλλ' ὡς ὑπνῶν ἐξεγήγερται. Διὸ καὶ, « Ἀνάστα, » φησὶ, καὶ, « Σῶσόν με, ὁ Θεός· ὅτι σὺ πάντας ἐχθροὺς συνέτριψας· » καὶ, « Παρὰ τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου τὸν πιστὸν ἡμᾶς ἡ διὰ τοῦ σταυροῦ εὐλογία σου. » Μετὰ τοὺς ψαλμοὺς δὲ τοῦ ἱερέως συνήθως εὐχαριστήσαντος, καὶ τὴν μεγάλην εἰρηκότος συναπτὴν, ἤτοι τὰ εἰρηνικὰ, καὶ ἐκφώνως τὴν Τριάδα δοξολογήσαντος, τὸ, « Κύριε, ἐνέκραξα, » ᾄδεται σὺν τοῖς σὺν αὐτῷ ψαλμοῖς, ὡς πρὸς ἑσπέραν συντεθειμένοι, καὶ ὡς θυ-

A quoniam, ut rursus dicam, ter in die sanctæ Trinitatis tres laudationes in confessionem et gloriam illius adhibentur, ab altari insigniter incipientes et in eo per sacerdotem desinentes, videlicet matutinum, sacra corporis et sanguinis Christi liturgia et vespertinum officium, quas laudationes singuli fideles et etiam laici quotidie debent audire, aliis vero interesse quantum potuerint. Igitur data in altari velut in cœlo in conspectu Dei benedictione sacerdotis, illud « Venite adoremus » ter ab uno ad pietatem et dictorum intelligentiam dicitur, et si dies quidem communis fuerit, totus psalmus recitatur quo benedicitur Dominus, universa ejus creatio enarratur, gratiæque aguntur de omnibus, quoniam die vesperascente, oportet pro omnibus B gratias agere. Verum si dies festivus fuerit, dicitur usque ad hunc locum: « Aperiente te manum, » et tunc ab omnibus clariori voce cantatur singulis versibus Trinitatem celebrantibus universis, quæ est omnium creatrix. Sacerdote autem pacifica deprecato, altaque voce dicta ab eo doxologia, alii producuntur psalmi psalterii, quales in matutino officio, si dies communis fuerit, designati sunt, ita ut liber psalterii ad Deum laudandum dispositus in hebdomade absolvatur, bis vero in quadragesima ad majorem laborem nobis Deique gloriam ejusque pro nobis ipsis propitiationem comparandum.

CAPUT CCCXXXII.

Tres primores Psalmos peculiariter ad Christum Dominum referri.

C Cæterum post Trinitatis hymnum et orationem subsequentem, si dies festivus sit, tres primi psalterii cantantur psalmi qui peculiariter ad Dominum referuntur. Nam incarnatum Dei Verbum, ipsum vere solum vir beatus factum est. Qui Deus Homo peccatum non fecit, et est lignum vitæ, fructumque multum, nos scilicet in eum credentes, produxit, et vivit, utpote nequaquam siccatus, cum sit immortalis; nos vero non defluet qui folium ejus jugiter viride et fructus sumus, impios autem ut pulverem dæmonesque ventilabit. Et fremuerunt adversus eum reges et principes quos quidem subsannavit devictos, ipse vero constitutus est rex Ecclesiæ D suæ, et Filius Dei est, gentesque habuit hæreditatem et possessionem suam terminos terræ, atque est pastor fortis. Et multiplicati quidem sunt qui tribulant eum conviciis afficientes et persequentes, qui eum etiam crucifigendo interfecerunt; ipse autem cum Patre erat carne patiens, at divinitate non patiens, protectorque noster et gloria apparuit; et si dormivit mortuus, quasi et somno excitatus est; ideo inquit: « Exsurge et salvum me fac, Deus, quoniam tu omnes inimicos percussisti; » et: « Domini est salus, et super populum tuum fidelem, nos scilicet, tua per crucem benedictio. » Porro post psalmos, gratiis illico a sacerdote peractis, magnaque dicta oratione subsequenti seu pacificis, necnon ab eodem facta voce alta Trinitatis glorificatione, psalmus: « Domine, clamavi, » cantatur,

cum aliis sequentibus, tanquam ad vesperam compositi et velut incensum spiritale directi, dum sensibile incensum Deo offertur ab altari incipiens, totumque templum implens in gloriam Domini et nobis datum in sanctificationem, necnon quoniam ex hymno cantato divina nobis datur gratia. Cum de his agatur, oportet etiam pro facultate loqui de precibus nomine pacificorum dictis seu de majore ac minore subsequenti dicta deprecatione, de continenti supplicatione et de ultimis orationibus. Etenim cum in quolibet officii tempore et in sacra mysteriorum liturgia hæc a sacerdotibus et diaconis legantur, necessarium est nos de eis quam poterimus habere scientiam, non vero de eis utcunque evenerit versari. Primum quidem aperimus quare dicantur pacifica et conjuncta deprecatio; primo quoniam a Deo pacem inter utrosque flagitant, et deinde quoniam pro omnibus simul conjuncte deprecationem faciunt. Nam facta a sacerdote Dei benedictione prout oportet eum primum prædicare, et celebrare velut omnium auctorem et boni universi largitorem, statim inquit: « In pace Domini deprecemur, » quo docemur pacem nostram cum Deo fieri in recta fide mundaque conscientia; in hoc enim consiat pax cum Deo; docemur etiam pacem cum omnibus habere, absque ira et contentionibus stare, quemadmodum ait Paulus, « levantes manus puras, » et quemadmodum dixit Salvator: « Cum steteritis ad deprecandum, dimittite si quid habeatis adversus aliquem, » ac per hæc verba: « Pacem relinquo vobis; » et: « Pax vobis, » quæ ante omnia in nobis debet esse, necnon quoniam in pace necesse est nos deprecari, ideó ab initio dixit; « In pace Domini deprecemur, » quoniam, « Nisi vos ipsi dimiseritis, inquit, neque Pater noster dimittet peccata vestra: » verum cum Deo pax vera qui reconciliationem nobis et salutem per suam misericordiam largitus est, addit: « Pro superna pace et salute animarum nostrarum. » Nam si Deus nos clementer prospiciat et reconcilietur nobis, nostra erit salus. Deinde pro communi pace obsecrat dicens: « Pro pace mundi universi, » utpote hac a Deo impertita nobisque ad eam prorsus præparatis; vides quantum sit bonum pacis, ejus gratia Deus descendit: « Pro felici statu sanctarum Dei Ecclesiarum, » quod continget per pacem in fide vitamque ecclesiasticam; similiter et quod sequitur: « Et pro omnium unitate; » nempe in recta fide et charitate Deoque grata conversatione. Postea sanctæ domus meminit et intrantium in eam, petens ut bonum ordinem decoremque diligamus Dei domus, ac in ea in una mente pioque animo conveniamus. Postea meminit pontificis ut fontis sacerdotii omnisque Christianismi; presbyterii, ut cooperantis sacris mysteriis; diaconatus Christiani ut mysterio ministrantis; cleri universi ut hymnis ac reliquo cultui inservientis, atque plebis ut fidelis et sacerdotibus vita fideque adunatæ necnon per eos sanctificatæ. Viden' quare conjuncta dicatur

A μίαμα νοητὸν προσαγόμενοι· ὅτε δὴ καὶ αἰσθητῶς θυμίαμα τῷ Θεῷ προσκομίζεται ἀπὸ τοῦ θυσιαστηρίου ἀρχόμενον, καὶ τὸν ναὸν πάντα πληροῦν εἰς δόξαν Θεοῦ, καὶ ἡμῖν εἰς ἁγιασμὸν χορηγούμενον. Καὶ ὅτι παρὰ τοῦ ὑμνουμένου ἡ θεία ἡμῖν δωρεῖται χάρις. Ἐνταῦθα δὲ ἡμῶν γεγονότων, καὶ περὶ τῶν λεγομένων εἰρηνικῶν ῥητέον τὸ κατὰ δύναμιν, ἤτοι τῆς μεγάλης συναπτῆς καὶ μικρᾶς λεγομένης, καὶ τῆς ἐκτενοῦς ἱκεσίας, καὶ τῶν τελευταίων αἰτήσεων. Ἐπεὶ γὰρ ἐν παντὶ καιρῷ τελετῆς καὶ τῇ ἱερᾷ λειτουργίᾳ παρὰ τῶν ἱερέων ταῦτα καὶ διακόνων λέγεται, δέον καὶ τὴν τούτων γνῶσιν ἔχειν ἡμᾶς ὡς ἐγχωρεῖ, καὶ μὴ ὡς ἔτυχε περὶ αὐτῶν διακεῖσθαι. Καὶ πρῶτον μὲν φαμὲν, διατί εἰρηνικὰ καὶ συναπτὴ λέγεται. Ὅτι πρῶτον μὲν τὴν ἀπὸ τοῦ Θεοῦ καὶ ἐν
B ἀλλήλοις ἐξαιτοῦνται εἰρήνην· ἔπειτα καὶ ὑπὲρ ἁπάντων ὁμοῦ συναπτῶς ποιοῦνται τὴν δέησιν. Εὐλογήσαντος γὰρ τοῦ ἱερέως τὸν Θεὸν, ὡς δέον ἐστὶ πρῶτον αὐτὸν κηρῦξαι καὶ ἀνυμνῆσαι ὡς πάντων αἴτιον καὶ χορηγὸν παντὸς ἀγαθοῦ, εὐθὺς, « Ἐν εἰρήνῃ, φησὶ, τοῦ Κυρίου δεηθῶμεν. » Τοῦτο δὲ τὴν μετὰ Θεοῦ εἰρήνην ἡμῶν διδάσκει γενομένην ἐν ὀρθῇ πίστει καὶ συνειδήσει. Τοῦτο γὰρ εἰρήνη μετὰ Θεοῦ. Καὶ τὸ εἰρηνεύειν μετὰ πάντων, καὶ χωρὶς ὀργῆς καὶ διαλογισμῶν ἵστασθαι, ὥς φησι Παῦλος, « χεῖρας ὁσίας αἴροντας. » καὶ ὡς ὁ Σωτὴρ ἔφη, « Ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος· » καὶ διὰ τὸ, « Εἰρήνην ἀφίημι ὑμῖν· » καὶ, « Εἰρήνη ὑμῖν· » ἣ καὶ πρὸ παντὸς ἐν ἡμῖν ὀφείλει εἶναι· καὶ ὅτι μετὰ
C τῆς εἰρήνης ἡμᾶς χρὴ προσεύχεσθαι· διὸ καὶ, « Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν ἐξ ἀρχῆς, » εὐθύς φησιν· ἐπεὶ, « Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, φησὶν, οὐδὲ ὁ Πατὴρ ἡμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. » Ὅτι δὲ ἀπὸ τοῦ Θεοῦ ἡ ἀληθὴς εἰρήνη, καταλλασσομένου ἡμῖν καὶ χορηγοῦντος ἐλέῳ τὴν σωτηρίαν, ἐπάγει ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν. Εἰ γὰρ ὁ Θεὸς εὐμενῶς ἴδοι καὶ καταλλαγείη **233** ἡμῖν, καὶ ἡ σωτηρία ἔσται. Εἶτα ὑπὲρ τῆς κοινῆς δυσωπεῖ εἰρήνης, λέγων, « Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, » ὡς ἐκ τοῦ Θεοῦ χορηγουμένης, καὶ ἡμῶν πρὸς ταύτην ὁλικῶς ἑτοιμαζομένων. Ὁρᾷς ὅσον τὸ τῆς εἰρήνης χρῆμα; διὰ ταύτην ὁ Θεὸς κατελήλυθεν, ὑπὲρ εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· καὶ τοῦτο διὰ τὴν ἐν τῇ
D πίστει εἰρήνην, καὶ ἐκκλησιαστικὴν βιοτὴν, καὶ τὸ ἑπόμενον ὅμοιον, καὶ τῆς τῶν πάντων ἑνώσεως, ἐν ὀρθῇ πίστει καὶ ἀγάπῃ καὶ θεοφιλεῖ πολιτείᾳ. Εἶτα τοῦ ἁγίου μέμνηται οἴκου, καὶ τῶν εἰσιόντων ἐν αὐτῷ, διά τε τὴν εὐταξίαν, καὶ τὸ ἀγαπᾷν εὐπρέπειαν οἴκου Θεοῦ, καὶ τὴν ἐν ὁμονοίᾳ καὶ εὐλαβείᾳ συνάθροισιν, καὶ τὸ προσάγειν ἐξ ὧν λαμβάνομεν ἀπὸ τοῦ Θεοῦ. Εἶτα μέμνηται τοῦ ἀρχιερέως, ὡς πηγῆς ὄντος τῆς ἱερωσύνης, καὶ παντὸς Χριστιανισμοῦ, τοῦ πρεσβυτερίου, ὡς συνεργοῦ τῶν ἱερῶν τελετῶν, τῆς ἐν Χριστῷ διακονίας, ὡς λειτουργοῦ τοῦ μυστηρίου, παντὸς τοῦ κλήρου ὡς ὑπηρέτου τῶν ὕμνων καὶ τῆς λοιπῆς εὐταξίας, καὶ τοῦ λαοῦ, ὡς πιστοῦ καὶ ἡνωμένου τοῖς ἱερωμένοις τῇ πίστει καὶ τῷ βίῳ, καὶ δι' αὐτῶν ἁγιαζομένου. Ὁρᾷς ὅπως

συναπτὴ λέγεται; Ἅπαντας συνάγει εἰς ἕν, καθάπερ ὁ Σωτὴρ ηὔξατο. Μετὰ τοῦ λαοῦ μὲν οὖν καὶ τοὺς βασιλεῖς συνῆψε καὶ ἄρχοντας καὶ στρατόν. Ἀλλ' ἐπεὶ ὑπὲρ τοῦ κοινοῦ ἀγωνιζόμενοί εἰσιν οὗτοι, καὶ ἰδίᾳ τούτων μέμνηται, εὐσεβῶν μόνον τυγχανόντων. Πλὴν ὅρα ὡς καὶ ἐνταῦθα καὶ ἐν ταῖς μυστικαῖς εὐχαῖς τῆς ἱερουργίας, καὶ ἐν τοῖς διπτύχοις, καὶ ἐν τῇ τελευταίᾳ εὐχῇ, ἥτις ὀπισθάμβωνος λέγεται, προτίθησιν ἡ Ἐκκλησία τοὺς ἀρχιερεῖς τε καὶ ἱερεῖς, καὶ πάντα τὸν κλῆρον. Εἶτα ἐπιφέρει τοὺς βασιλεῖς, καὶ τοῦτο νόμιμον θεῖον ἄνωθεν. Ὁ γὰρ χορηγῶν τὰ τοῦ ἁγιασμοῦ προτιμότερος τῶν ἁγιαζομένων ἐστί· τὸ ἔλαττον γὰρ ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ἀλλ' οὐκ οἶδ' ὅπως ἔν τισι τὰ τῆς τάξεως πάντη ἠλλοιώθη, καὶ τῶν κοσμικῶν οἱ ἱερωμένοι ἐν ἐλάττονι πολλάκις δείκνυνται τάξει, οὐχ ὑφειμένης τάξεως ὄντες, ἀλλὰ καταδυναστευόμενοι, ὡς καὶ ἐν ἄλλοις κἀνταῦθα περὶ τὰ θεῖά τινων περιφρονήσει χρωμένων. Εὔχεται οὖν ἡ Ἐκκλησία, καλῶς τὸν τοῦ Παύλου νόμον τηροῦσα, ὑπέρ τε τῶν βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ, καὶ μάλιστα νῦν, τελούντων τούτων πιστῶν, καὶ ὑπὲρ τοῦ συμπολεμεῖν αὐτοῖς τὸν Θεόν, ὑποτάττειν τε αὐτοῖς τοὺς πολεμίους, ἵνα καὶ ἡμεῖς ἤρεμον καὶ ἡσύχιον βίον ἄγωμεν, τὰ τῆς εὐσεβείας ἐν σεμνότητι συντηροῦντες. Ἐπεὶ δὲ καὶ φρουρίου χρεία ἡμῖν, ὡς καὶ τῶν φρουρούντων ἀρχόντων, καὶ τῆς φρουρούσης ὑπερευχόμεθα πόλεως, καὶ διὰ τὴν ἀγάπην, καὶ λοιπῆς πάσης πόλεως· ἔτι δὲ χώρας ἁπάσης, ὅτι οὐκ ἐν πόλεσι μόνον, ἀλλὰ καὶ ἐν κώμαις οἰκοῦμεν. Ἐπεὶ δὲ σκοπὸς τοῦ τὰς πόλεις μένειν διὰ τοὺς ἐνοικοῦντας, καὶ τῶν πίστει φησὶν οἰκούντων ἐν αὐταῖς, ὅτι οὐκ ἐξὸν ἀσεβῶν ὑπερεύχεσθαι. Ἐπεὶ δέ γε πάλιν τῶν συνιστώντων τὰ σώματα χρήζομεν, ταῦτα δὲ ὡς καὶ ἡμεῖς ἐκ Θεοῦ, ὑπὲρ εὐκρασίας ἀέρων, φησὶ, διὰ τὸ ὑγιεινὸν τῶν σωμάτων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, διὰ τὸ τῆς τροφῆς χρειῶδες, καὶ καιρῶν εἰρηνικῶν, διὰ τὸ συστατικοὺς τούτους τῆς ζωῆς εἶναι, καὶ τῆς χρείας ἡμῶν καὶ πολιτείας· στενώσεως γὰρ καὶ φθορᾶς αἱ ταραχαὶ πρόξενοι. Ὅτι δὲ πάλιν πλεῖστα τὰ συμβαίνοντα ἐν τοῖς ζῶσι, καὶ διάφορος μὲν ἡ βιοτὴ καὶ τὸ ἐπιτήδευμα, καὶ τὰ συμβαίνοντα δὲ διάφορα, ὑπὲρ ἁπάντων ὁμοῦ κοινῶς εὐχομένη φησὶν, ὑπὲρ πλεόντων, διὰ τοὺς ἐν θαλάσσῃ, ὁδοιπορούντων, διὰ τοὺς ἀποδημοῦντας διὰ ξηρᾶς, νοσούντων, οἵαν τις νοσεῖ νόσον, καμνόντων καὶ τῶν κοπιώντων, καὶ τῶν περιστατουμένων αἰχμαλώτων, τῶν ἐν δουλείαις ὄντων, καὶ πάντας συναγαγοῦσα, τῆς σωτηρίας αὐτῶν ὑπερεύχεται. Ὁρᾷς τὴν Ἐκκλησίαν τὸν Θεὸν μιμουμένην καὶ προνοουμένην ἁπάντων; Μανθάνεις δὲ καὶ ὅπως πάντας συνάπτει, καὶ ὑπὲρ ἁπάντων εὔχεται; Διὰ τοῦτο ἄρα συναπτὴ αὕτη ἡ εὐχὴ λέγεται.

Εἶτα μετὰ τὸ **234** καλέσαι πάντας εἰς τὴν ὑπὲρ πάντων εὐχὴν, καὶ δεηθῆναι ὑπὲρ ἀλλήλων κελεῦσαι, κατὰ τὴν ἀποστολικὴν ἐντολὴν, πρὸς τὸν δυνάμενον δοῦναι πάντα στρέφεται καὶ ἀνατείνεται Κύριον· καί φησιν, « Ἀντιλαβοῦ· » ὅτι σὺ μόνος ἀντίληψις τῶν ἀσθενῶν καὶ ἀπολλυμένων

A hæc oratio? Universos conjungit in unum, prout precatus est Salvator. Igitur cum plebe quidem reges conjunxit principesque et exercitum, sed cum isti pro communi bono luctentur, peculiarem horum mentionem facit, eorum autem tantum qui pie vivunt. Cæterum aspice quomodo hic et in mysticis sancti sacrificii orationibus, in diptychis et in ultima deprecatione quæ ex cathedra dicitur, præponit Ecclesiæ pontifices et sacerdotes omnemque clerum, deinde adjungit reges. Hoc enim justum est et divinitus institutum; nam qui tribuit ea quæ sanctitatem conferunt sanctificatis est honorabilior; quod enim minus est a majore benedicitur. Sed nescio quare quibusdam in locis hic ordo mutatus omnino fuerit, et sæpenumero sacerdotes in mi-
B nori ordine quam laici videntur, minime quia inferioris sint ordinis, sed quia deprimuntur, nonnullis sicut in aliis casibus, ita et in istis quemdam circa divina contemptum ostentantibus. Orat igitur Ecclesia, recte servata Pauli lege, pro regibus et omnibus qui in sublimitate sunt, et nunc præsertim cum isti fideles sint, ut Deus cum eis pugnet, et inimicos eis subjiciat, ut nos quoque quietam et tranquillam vitam agamus, pietatem et castitatem servantes. Insuper cum custodia indigeamus, etiam pro custodientibus principibus et pro custodientibus civibus obsecramus, ad hoc enim charitas invitat, necnon pro reliqua civitate, imo et pro regione universa, quoniam non in urbibus tantum,
C sed in vicis quoque habitamus; verum cum urbes non maneant nisi propter incolas, precamur etiam « pro fidelibus, inquit, habitantibus in eis, » quia non licet pro infidelibus deprecari. Et rursus, quoniam his indigemus quibus sustentatur corpus, hæc autem sicut et nos sint a Deo, oramus « pro temperie aeris, inquit, pro sanitate corporum, pro copia fructuum terræ; » propter utilitatem ciborum, necnon « pro tranquillitate temporum, » cum ista vitam sustineant ususque nostros et conversationem; angustias enim mortemque generant tumultus. Verum quoniam multa sunt quæ viventibus accidunt, et diversa quidem vita moresque diversi, diversa etiam ea quæ accidunt, « pro universis simul in communi deprecemur, » inquit, pro navi-
D gantibus, eorum gratia qui in mari sunt, pro viatoribus, eorum gratia qui in terra peregrinantur, pro ægrotantibus, quocunque morbo ægrotet aliquis, pro laborantibus et fatigatis, pro captivis et pro servis; quæ oratio omnes complexa pro eorum salute deprecatur. Videsne Ecclesiam Deum imitantem et omnibus providentem? Discisne etiam quomodo omnes conjungit et pro omnibus orat? Ideo igitur conjuncta vocatur hæc oratio.

At postquam omnes vocaverit ad orandum pro omnibus, et jusserit pro invicem deprecari, secundum mandatum Apostoli, ad eum qui omnia dare potest Dominum convertitur et intendit, dicens: « Adjuva, » quoniam tu solus nobis adjutor es infirmis et pereuntibus; « salva, » quoniam tu solus peri-

clitantium et desperatorum Salvator; « miserere, » quoniam nihil habes a nobis, nisi misertus fueris, qui misericors es, «et custodi,» quoniam multi sunt irruentes et tribulantes multi, solusque nos potes custodire, Deus, in gratia tua, minime ex operibus nostris, nec ex deprecatione nostra; nam immundi sumus, nostraque sunt immunda, sed in tua tantum gratia; præcipuum autem donum Unigeniti incarnatio quæ et gratia appellatur. His Dominum misericordiarum obsecrat sacerdos; at si diaconus ea pronuntiat, eadem per secretam orationem intus deprecatus sacerdos nos hortatur ut erga Deum commendationis ritu fungamur. Disce vero salutare et mirabile. « Sanctissimæ, ait, et immaculatæ, » et cætera, præconia admodum laudabilis Deiparæ, prout decet, adjiciens. Postquam omnes sanctos memoraverimus, videlicet ducem sanctorum et auctorem sanctificationis, necnon communem mediatricem divinumque instrumentum per quod salvati sumus atque omnium per eam sanctificatorum, cum ex nostra sint natura ac de salute nostra solliciti nobis succurrere possint qui pro gloria Dei certaverunt, hos, inquit, postquam memoraverimus, loco vocis: ad auxiliandum advocaverimus, seu recordati eorum ut bene de nobis recordentur, nosmetipsos, quia nos Deo debemus totos, proximosque, quia nos invicem diligere jussi sumus, omnemque vitam nostram, utpote cui Deus providet, et pariter nostras in ea cogitationes, sermones et opera, animasque ac corpora Christo Deo commendemus, pro nobis immolato nos ipsos hostiam viventem offeramus ei qui nobis semetipsum dedit nos totos exhibeamus, committamus nos ei qui animam suam pro nobis posuit, et in cibum semetipsum donavit; qui nobis providet nosque diligit semper sollicitus semperque salvans et solus Salvator, quoniam absque illo non possumus esse, nec vivere, nec cogitare nec quidquam prorsus cogitare, ei autem commendata nemo potest eripere de manibus Patris ejus; manus vero sunt ipsum brachium ejus et sanctus Spiritus; en intelligentibus maximi omnibusque præstantes fructus. Quapropter in aliis officiis astantes solummodo clamant: « Kyrie eleison, » divinam implorantes misericordiam; hic autem: « Tibi, Domine, » inquiunt, id est: Tibi nos ipsos commendamus, Christe Deus. Hæc est commendatio maxime necessario verbis profitenda; nam rectam in Christum fidem nostram acceptamque efficit oblationem ei ex fide factam, nos Deo adunat, opem ejus consequitur, sanctissimæ Verbi Genitrici sanctisque conjungit, intercessionem eorum efficacem facit pro nobis. Hanc etiam maxime necessario debemus operibus perficere; operibus autem perficiemus si recte credamus, si Christiane vivamus in puritate, in veritate et justitia; si orationi vacemus, quoniam Deo devoti sumus, mysteriis sanctificati, confessione illius consecrati, et cum Christo traditi simus atque ab eo empti, nihil aliud nisi quæ sunt Christi operari

A ἡμῶν. « Σῶσον, » ὅτι σὺ μόνος τῶν κινδυνευόντων καὶ ἀπηλπισμένων Σωτήρ· « Ἐλέησον, » ὅτι οὐδὲν ἔχεις ἀφ' ἡμῶν, εἰ μὴ ἐλεήσεις ὁ ἐλεήμων. « Καὶ διαφύλαξον· » ὅτι πολλοὶ οἱ ἐπεμβαίνοντές τε καὶ θλίβοντες, καὶ μόνος δύνασαι φυλάττειν ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι· οὐκ ἐκ τῶν ἡμετέρων ἔργων, οὐδ' ἐκ τῆς ἡμῶν ἱκεσίας, ἀκάθαρτοι γὰρ, καὶ ἀκάθαρτα τὰ ἡμῶν, ἀλλὰ τῇ σῇ μόνῃ χάριτι. Ἐξαίρετος δὲ δωρεὰ ἡ τοῦ Μονογενοῦς ἐνανθρώπησις, ἥτις καὶ χάρις καλεῖται. Ἐν τούτοις οἷον ἵλεων θέμενος ὁ ἱερεὺς τὸν Θεὸν, εἰ δὲ διάκονός ἐστι τοῦτο λέγων, διὰ τούτου τε καὶ τῆς μυστικῆς ἔνδον εὐχῆς ὁ ἱερεὺς, τὰ τῆς παραθήκης πρὸς Θεὸν ἡμᾶς ποιῆσαι διακελεύεται. Καὶ μάνθανε σωτηριῶδες καὶ θαυμαστόν. « Τῆς Παναγίας ἀχράντου, » φησὶ, καὶ B τὰ ἑξῆς, ἐπιφέρων τὰ τῶν ἐγκωμίων τῆς πανυμνήτου Θεοτόκου ὡς ἐγχωρεῖ. « Μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες. »· Ἰδοὺ τῆς ἀρχηγοῦ τῶν ἁγίων, καὶ τῆς χορηγοῦ τοῦ ἁγιασμοῦ, καὶ τῆς κοινῆς μεσίτιδος, καὶ τοῦ θείου ὀργάνου δι' οὗ σεσώσμεθα, μετὰ τῶν ἡγιασμένων δι' αὐτῆς πάντων, ὡς ἐκ τῆς ἡμῶν ὄντων φύσεως, καὶ κηδομένων ἡμῶν καὶ δυναμένων ὡς ἠγωνισμένων ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, φησὶ, μνημονεύσαντες, ἀντὶ τοῦ, ἐπικαλεσάμενοι, ἢ καὶ ὡς ἀγαθῶς μεμνημένων ἡμῶν μνησθέντες, ἑαυτοὺς, ὡς ὀφείλοντες ἡμᾶς αὐτοὺς τῷ Θεῷ, καὶ ἀλλήλους, ὡς καὶ ἀγαπᾷν ἀλλήλους λαβόντες ἐντολὴν, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, ὡς χορηγουμένην παρὰ Θεοῦ, καὶ οἷον τὰ ἐν ταύτῃ διανοή- C ματα καὶ ῥήματα ἡμῶν καὶ τὰς πράξεις καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, Χριστῷ τῷ Θεῷ παραθώμεθα, τῷ τυθέντι ὑπὲρ ἡμῶν ἑαυτοὺς θυσίαν ζῶσαν προσάξωμεν. Τῷ δόντι ἡμῖν ἑαυτὸν, καὶ αὐτοὺς ἡμεῖς ὁλικῶς προσκομίσωμεν. Καὶ θαῤῥήσωμεν ἡμᾶς αὐτῷ τῷ τὴν ψυχὴν ὑπὲρ ἡμῶν τεθεικότι, καὶ εἰς τροφὴν ἑαυτὸν δεδωκότι, καὶ προνοουμένῳ ἡμῶν καὶ φιλοῦντι, καὶ ἀεὶ κηδομένῳ καὶ σώζοντι καὶ μόνῳ ὄντι Σωτῆρι· ὅτι καὶ χωρὶς αὐτοῦ οὐ δυνατὸν εἶναι ἢ ζῆν, ἢ νοεῖν, ἢ ὅλως τι ἐνεργεῖν· οὐδὲ τὸν παρατεθέντα αὐτῷ δύναταί τις ἁρπάζειν ἐκ τῶν χειρῶν τοῦ Πατρὸς αὐτοῦ. Χεῖρες δὲ αὐτὸς ὁ βραχίων, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἰδοὺ τοῖς συνιοῦσι μέγιστα τὰ ἐκ ταύτης τῆς προσευχῆς, καὶ τὰ τελεώτατα πάντων. Διὸ καὶ ἐν μὲν τοῖς ἄλλοις οἱ D παρεστῶτες τὸ, « Κύριε, ἐλέησον, » μόνον κράζουσι, τὸν θεῖον ἐπικαλούμενοι ἔλεον, ἐνταῦθα δὲ, « Σοὶ, Κύριε, » φασίν· ἤτοι, σοὶ ἑαυτοὺς, Χριστὲ ὁ Θεὸς, παρατίθεμεν. Αὕτη ἡ παράθεσις ἀναγκαιοτάτη καὶ λόγοις ὁμολογεῖσθαι. Τὴν γὰρ πρὸς Χριστὸν ὀρθὴν πίστιν καὶ τὴν εἰς αὐτὸν ἡμετέραν ἐκ πίστεως ποιεῖται ἀνάθεσιν· καὶ ἑνοῖ τῷ Θεῷ ἡμᾶς, καὶ τὴν αὐτοῦ ἐπισπᾶται βοήθειαν, καὶ τῇ τοῦ Λόγου ὑπεραγίᾳ Μητρὶ καὶ τοῖς ἁγίοις συνάπτει, καὶ τὴν μεσιτείαν αὐτῶν ἐνεργὸν ποιεῖται ὑπὲρ ἡμῶν. Καὶ ἔργοις δὲ ἐκτελεῖσθαι αὕτη παρ' ἡμῶν τὸ ἀναγκαιότατον χρῆμα. Τὸ δὲ δι' ἔργων ἐστὶν ὀρθῶς πιστεύειν, καὶ χριστιανικῶς ἐν καθαρότητι ζῆν ἀληθείᾳ τε καὶ δικαιοσύνῃ, καὶ σχολάζειν ταῖς προσευχαῖς· ὅτι ἀνατεθειμένοι Θεῷ τελοῦμεν ἡμεῖς,

καὶ τοῖς μυστηρίοις ἡγιασμένοι, καὶ τῇ ὁμολογίᾳ A αὐτῷ ἀφιερωμένοι, καὶ ὡς παραδεδομένοι Χριστῷ, καὶ ἠγορασμένοι ὑπ' αὐτοῦ, μηδὲν ἄλλο ἢ τὰ τοῦ Χριστοῦ ὀφείλοντες ἐνεργεῖν. Περὶ ταύτης τῆς παραθήκης πάντες οἱ ἅγιοι μέμνηνται, καὶ ὁ Σωτήρ· καὶ τὴν παραθήκην πρῶτος πεποίηκεν αὐτὸς ἐν τῷ μέλλειν πάσχειν, παραθέμενος ἡμᾶς τῷ Πατρί, «Φύλαξον αὐτούς, εἰπών, ἐν τῷ ὀνόματί σου, καὶ ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου,» καὶ τὰ ἑξῆς· ἀλήθεια δὲ αὐτός. Ταῦτα τελέσας, ἐπισφραγίζει τῇ ἐκφωνήσει ὁ ἱερεὺς τὴν δοξολογίαν τῆς Τριάδος, τὸ, «Ὅτι πρέπει σοι,» εἰρηκώς, τῇ θεολογίᾳ καὶ δοξολογίᾳ ὁμοῦ βεβαιῶν τὰ προειρημένα, καὶ μαρτυρῶν ὡς ταῦτα ἔσται ἡμῖν ἀπὸ τοῦ Θεοῦ. Τῶν δὲ ὕμνων ἐν τροπαρίοις ἢ ἰδιομέλοις ἅμα **235** λεγομένων τοῖς στίχοις, τῇ μὲν Κυριακῇ ἱσταμένων εἰς B δέκα στίχους, διὰ τὸ τοῦ ἀριθμοῦ τέλειον, ἐν δὲ ἑορτῇ τινος τῶν ἁγίων εἰς στίχους ὀκτώ, διὰ τὴν ὀγδόην καὶ ἀκατάπαυστον ἡμέραν, ἐν ᾗ ἔσονται οἱ τοῦ Θεοῦ πάντοτε, καὶ νῦν εἰσι τοῖς πνεύμασι σὺν Χριστῷ· εἰς ἓξ δὲ καθ' ἡμέραν διὰ τὸ ὑπὲρ τὴν αἴσθησιν εἶναι πενταδικὴν οὖσαν τοὺς ἁγίους νῦν, καὶ δὶς τὴν Τριάδα σημαίνειν τὰ ἕξ, ἑκατέρωθεν οὗτοι οἱ ὕμνοι ψάλλονται, εἴτε περὶ τῆς ἀναστάσεως ὄντες, εἴτε περὶ ἑτέρας προκειμένης ἑορτῆς ἢ ἁγίου. Τῷ τελευταίῳ δὲ στίχῳ οἱ χοροὶ συνέρχονται, τὴν συμφωνίαν δηλοῦντες, καὶ τὴν διὰ τοῦ Σωτῆρος τοῦ κόσμου παντὸς ἕνωσιν. Ὅθεν ὁμοῦ πρὸς τὸ θυσιαστήριον κλίνοντες ἐκβοῶσιν, «Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς·» τὴν ἐν Χριστῷ τῶν ἐθνῶν δηλοῦντες σωτηρίαν· καὶ C ὅτι ἐν ἐλέει αὐτοῦ ὑπὲρ ἡμῶν παθών, καὶ τῷ σταυρῷ αὐτοῦ κράτος στησάμενος καὶ νικήσας, ἡμᾶς ἐν ἑαυτῷ συνηγάγετο. Καὶ ὁμοῦ πάλιν τὸ, «Δόξα καὶ νῦν,» ᾄδουσι, δοξολογοῦντες ἀδιαιρέτως τὴν Τριάδα τὴν ἀδιαίρετον· ἔτι δὲ καὶ τὴν Θεομήτορα κόρην ἐν τῷ τέλει, διὰ τὴν ὁμολογίαν τῆς σαρκώσεως τοῦ ἐξ αὐτῆς σαρκωθέντος, καὶ τὴν αὐτῆς πολλὴν καὶ δυνατὴν μεσιτείαν.

debemus. De hac commendatione omnes meminerunt sancti, ipseque Salvator qui commendationem primus fecit jamjam passurus; nos enim Patri commendavit dicens: « Serva eos in nomine tuo, et sanctifica eos in veritate tua, » ipse autem est veritas. Quibus jussis, clamans obsignat sacerdos doxologiam Trinitatis: « Te decet, » dicens, Dei confessione et glorificatione simul confirmans prius dicta, testansque ista a Deo nobis fore. Porro dictis hymnis in versiculos strophasque distinctis quæ Dominica quidem decem strophis constant propter numeri perfectionem, festo autem sanctorum in octo strophas distinguitur propter octavam et indeficientem diem, in qua erunt semper qui Dei sunt, et nunc versantur animæ cum Christo, singulis vero diebus in sex strophas, quoniam modo sunt sancti supra quinque sensus, bisque Trinitatem significat sextus numerus; qui hymni utrinque psalluntur, sive in resurrectione, sive in alia solemnitate, vel in festo alicujus sancti. At in ultima stropha chori conveniunt, symphoniam ostendentes totumque mundum per Salvatorem adunatum. Unde simul altare versus inclinantes clamant: « Quoniam confirmata est super nos misericordia ejus, » gentium in Christo salutem significantes, quoniam in misericordia sua pro nobis passus, virtute in cruce confirmata, victor nos in semetipso congregavit. Et iterum simul modo etiam cantant, « Gloria, » sine temporis intermissione seu divisione indivisam laudantes Trinitatem, ac insuper Deiparam virginem in fine glorificantes, inde confitendo incarnationem ejus qui ex ea incarnatus est magnamque et præpotentem ejus intercessionem.

ΚΕΦΑΛ ΤΛΓ'.

Τί σημαίνει ἡ τοῦ ἑσπερινοῦ εἴσοδος· καὶ τί τὸ κλίνειν τὸν ἱερέα καὶ ἀνίστασθαι, καὶ ἀναβαίνειν εἰς τὸ θυσιαστήριον, καὶ εἰσέρχεσθαι.

Ἔνθα δὴ καὶ ὁ ἱερεὺς ποιεῖται τὴν εἴσοδον, ἀπὸ τοῦ θυσιαστηρίου ἀσκεπὴς ἐξερχόμενος μετὰ θυμιατοῦ τε καὶ θυμιάματος, καὶ μέσον τοῦ ναοῦ κλίνων καὶ εὐχόμενος, καὶ ἀνιστάμενος καὶ σφραγίζων τῇ D χειρὶ καὶ τῷ θυμιάματι, καὶ εἰς τὸ θυσιαστήριον ἐπανερχόμενος αὖθις. Τί τούτῳ δηλῶν; Ὅτι καὶ ὁ τοῦ Θεοῦ Μονογενὴς μέχρις ἡμῶν ἀπὸ τῶν οὐρανίων κατελθὼν ἀψίδων, πάλιν εἰς τὸν οὐρανὸν ἀνελήλυθε καὶ ἡμᾶς ἐπανήγαγεν. Ὅθεν καὶ τῇ ἐξελεύσει ταύτῃ, καὶ τῇ κλίσει τῆς κεφαλῆς καὶ ἀνορθώσει, καὶ τῷ ἐκβοῆσαι, «Σοφία ὀρθοί,» καὶ σφραγίσαι τῷ θυμιατηρίῳ, ἢ ἀνυψῶσαι τὸ Εὐαγγέλιον, εἰ Εὐαγγελίου εἴσοδός ἐστι, καὶ εἰς τὸ βῆμα ἐπανελθεῖν, πάντα τὰ τῆς οἰκονομίας δηλοῖ· τὸ ἐξελθεῖν μὲν καὶ κατέρχεσθαι τὴν κατάβασιν Χριστοῦ καὶ ταπείνωσιν· τὸ ἐνδεδυμένον δὲ εἶναι τὰ ἱερατικά, τὴν σάρκωσιν· τὸ μέσον τε πάντα κλῖναι τὴν κεφαλήν, τὸ μέσον τῆς γῆς σταυρωθῆναι ὑπὲρ ἡμῶν καὶ ἀποθανεῖν, καὶ

CAPUT CCCXXXIII.

Quid significent vespertini ingressus, et cur inclinat se sacerdos, et iterum surgit, ascenditque ad altare et ingreditur.

Deinde sacerdos ingressum facit, ex altari nudo capite egrediens, cum thuribulo et thure, et in medio templi sese inclinans, ac surgens, signansque manu et thuribulo, rursumque ad altare revertens. Quid his significat? Quod unigenitus Dei Filius usque ad nos e cœlestibus sedibus descendit, et rursus in cœlum ascendit nosque ibi adduxit. Ideo dum ita egreditur et caput inclinat ac erigit, et clamat: « Sapientia erecti, » signatque thuribulo, vel Evangelium extollit, si ingressus fuerit Evangelii, atque ad gradus revertitur, omnia œconomiæ mysteria ostendit. Nam egrediendo quidem et descendendo descensum Christi hujusque humilitatem patefacit; dum sacris induitur vestibus incarnationem indicat; dum in medio caput inclinat, Salvatorem pro nobis in medio terræ crucifixum et mortuum atque in infernum descendentem declarat. Ideo in silentio caputque inclinans deprecatur,

quoniam Christus postquam semetipsum Patri obtulerit et in infernum descenderit, nos inde eruit; ideo etiam incensum quo significantur sancta illius anima atque vita in acceptissimum odorem Deo oblatæ, offert sacerdos, vel exhibet Evangelium velut ipsum Dominum, atque cum eo inclinatur, quoniam ipse ad nos descendit; et erigitur quoniam ipse surrexit Christus nosque congregavit, quod prædicat et demonstrat sive crucem faciens cum thuribulo, sive dicens, «Sapientia erecti,» seu Evangelium extollens. Dum autem iterum ascendit et ingreditur ad altare, manifestat Christum a terra assumptum in eamdem quam susceperat carnem reversum esse, semetipso pro nobis in hostiam oblato, nobisque per eum exaltatis et sanctificatis. Hoc quidem totus significat ingressus; hoc valde necessario ante omnia ac per omnia a nobis discendum, hujus semper meminisse oportet, nempe in hoc nos esse salvatos, quia Deus ad nos descendit.

CAPUT CCCXXXIV.

Quare in vespera diei sabbati splendidior ingressus et in cæteris Dominicis sanctorumque festis.

Vespertini officii ingressus significat in ultimis sæculis fieri Dei descensum. Ideo hoc præsertim in sabbatis propter descensum Christi in inferos ejusdemque resurrectionem facimus, necnon in festis, quoniam qui descendit celebratum instituit mysterium, et in sanctorum commemorationibus, quoniam ipse qui in cœlum ascendit animas eorum ibi adduxit quas secum acceptas habet, et corpora eorum resuscitabit, ut eos secum totos habeat semper.

CAPUT CCCXXXV.

Quid significet ingressus in officio matutino.

Matutinus autem in magna Ecclesia ingressus eadem significat, videlicet præcipue in infernum anima Christum descendisse, et carne resurrexisse, atque ab angelis prædicatam fuisse illius resurrectionem. Quamobrem circa diluculum et in suggesto, velut in lapide, tanquam angelus vel potius reipsa angelus sacerdos resurrectionis mysterium annuntiat.

CAPUT CCCXXXVI.

Quod in monasteriis quoque die Dominica in matutino ingressus fit ad resurrectionis significationem.

Iste autem ingressus in monasteriis fit antequam cantentur canones, divino lecto Evangelio, quod matutinum dicitur, quoniam ea quæ circa diluculum, appropinquante aurora seu die in resurrectione Domini contigerunt edocet, egreditur sacerdos tanquam e monumento, e tremendo scilicet altari atque e tumulo mensæ sacræ, habens Evangelium, quasi angelus Christum ostendens quem prædicavit. Et omnes accedentes adorant, more discipulorum mulierumque unguenta portantium, osculantur Evangelium et sequentem concinunt hymnum:

A εἰς ᾅδου κατελθεῖν τὸν Σωτῆρα. Ὅθεν καὶ ἐν σιγῇ καὶ κλίνων προσεύχεται, ὅτι τῷ Πατρὶ δοὺς ἑαυτὸν, κατελθὼν εἰς τὸν ᾅδην, ἡμᾶς ἐκεῖθεν ἐῤῥύσατο. Διὸ καὶ ἡ θυμίαμα, τὴν ἁγίαν αὐτοῦ ψυχὴν καὶ ζωὴν τυποῦν τὰ εὐωδέστατα ὄντως προσάγει ὁ ἱερεὺς, ἢ κατέχει τὸ Εὐαγγέλιον ὡς αὐτὸν τὸν Κύριον· καὶ σὺν αὐτῷ κλίνεται· ἐπεὶ αὐτὸς ἡμῖν συγκατέβη· καὶ ἀνορθοῦται, ὅτι ἀνέστη Χριστὸς αὐτὸς καὶ ἡμᾶς συνήγειρε. Καὶ τοῦτο κηρύσσει καὶ δείκνυσιν, ἢ σταυρὸν ποιῶν τῷ θυμιατηρίῳ καὶ τὸ, «Σοφία, λέγων, ὀρθοί», ἢ τὸ Εὐαγγέλιον ἀνυψῶν. Τὸ ἀνέρχεσθαι δὲ πάλιν, καὶ εἰσιέναι εἰς τὸ θυσιαστήριον, ὅτι ἀπὸ τῆς γῆς ἀνελήφθη, καὶ ἔνθα ἦν ἐπανῆλθε, μεθ' ἧς προσείληφε σαρκὸς, τὴν ὑπὲρ ἡμῶν ἀνενέγκας θυσίαν, δι' ἑαυτοῦ καὶ ἡμᾶς ἀνυψώσας καὶ
B ἁγιάσας. Καὶ πᾶσα μὲν εἴσοδος τοῦτο σημαίνει. Καὶ τοῦτο ἀναγκαιότατον πρὸ παντὸς καὶ διαπαντὸς ἡμᾶς ἐκδιδάσκεσθαι· καὶ τούτου ἀεὶ μνημονεύειν χρή· ὅτι καὶ διὰ τούτου ἐσώθημεν, τοῦ καταβῆναι τὸν Θεὸν πρὸς ἡμᾶς.

ΚΕΦΑΛ. ΤΛΔ'.

Διατί μᾶλλον τῷ Σαββάτῳ ἑσπέρας λαμπροτέρα ἡ εἴσοδος καὶ ἐν ταῖς λοιπαῖς ἑορταῖς Δεσποτικαῖς τε καὶ τῶν ἁγίων.

Ἡ τοῦ ἑσπερινοῦ δὲ εἴσοδος, καὶ τὸ ἐπ' ἐσχάτων τῶν αἰώνων γενέσθαι σημαίνει τὴν τοῦ Θεοῦ 236 συγκατάβασιν. Διὸ καὶ τοῦτο μᾶλλον ἐν Σάββασι διὰ τὴν εἰς ᾅδου κάθοδον καὶ ἀνάστασιν ποιοῦμεν, καὶ ἐν ἑορταῖς, ὅτι ὁ καταβὰς τὸ ἑορταζόμενον μυστήριον ἐκτετέλεκε, καὶ ἐν μνήμαις ἁγίων, ὅτι καὶ αὐτοὺς
C ταῖς ψυχαῖς εἰς τοὺς οὐρανοὺς ἀναβὰς ἀνεβίβασε, καὶ μεθ' ἑαυτοῦ λαβὼν ἔχει, καὶ ἀναστήσει τοῖς σώμασιν, ὡς ἂν καὶ ὁλοτελεῖς πάντοτε ἔχῃ μεθ' ἑαυτοῦ.

ΚΕΦΑΛ. ΤΛΕ'.

Τί σημαίνει ἡ ἐν τῷ ὄρθρῳ εἴσοδος.

Ἡ ἑωθινὴ δὲ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ εἴσοδος καὶ ταῦτα σημαίνει, καὶ αὐτὸ ἐξαιρέτως τὸ εἰς τὸν ᾅδην κατελθεῖν τὸν Χριστὸν τῇ ψυχῇ, καὶ ἀναστῆναι τῇ σαρκὶ, καὶ ὑπὸ τῶν ἀγγέλων κηρυχθῆναι αὐτοῦ τὴν ἀνάστασιν. Διὸ περὶ τὸν ὄρθρον καὶ ἐπάνω τοῦ ἄμβωνος ὡς ἐπὶ τοῦ λίθου, οἷάπερ ἄγγελος, μᾶλλον δὲ ὢν ἄγγελος ὁ ἱερεὺς, τὰ τῆς ἀναστάσεως καταγγέλλει.

D

ΚΕΦΑΛ. ΤΛϚ'.

Ὅτι καὶ ἐν τοῖς μοναστηρίοις κατὰ Κυριακὴν εἴσοδος ἐν τῷ ὄρθρῳ γίνεται, εἰς τύπον τῆς ἀναστάσεως.

Αὕτη δὲ ἡ εἴσοδος καὶ ἐν ταῖς μοναῖς γίνεται πρὸ τῶν ᾀδομένων κανόνων, τοῦ θείου Εὐαγγελίου ἀναγνωσθέντος, τοῦ λεγομένου ἑωθινοῦ, ὡς τὰ περὶ τὸν ὄρθρον καὶ τῆς ἕω ἐγγὺς, ἤτοι τῆς ἡμέρας ἐν τῇ ἀναστάσει τοῦ Κυρίου πραχθέντα διδάσκοντος, ἐξέρχεται ὁ ἱερεὺς ὥσπερ ἀπὸ τοῦ μνήματος, τοῦ φρικτοῦ θυσιαστηρίου, καὶ ἀπὸ τοῦ τάφου τῆς ἁγίας τραπέζης, κατέχων τὸ Εὐαγγέλιον ὡς ἄγγελος, δεικνὺς τὸν Χριστὸν, ὃν δὴ καὶ ἐκήρυξε. Καὶ προσερχόμενοι πάντες, προσκυνοῦσί τε ὡς οἱ μαθηταὶ καὶ αἱ μυροφόροι γυναῖκες· καὶ τοῦτο ἀσπάζονται,

καὶ ἀκόλουθον ᾄδουσιν ᾠδὴν, τὸ, «Ἀνάστασιν Χριστοῦ θεασάμενοι.» Ταῦτα μὲν οὖν ἐν τῷ ὄρθρῳ γίνεται, εἰ καὶ ὧδε κατὰ χρείαν λέγοντες περὶ τῆς εἰσόδου, καὶ τῶν εἰρημένων ἐμνήσθημεν. Ἐν τῷ ἑσπερινῷ δὲ τῆς εἰσόδου τελεσθείσης, καὶ ὕμνου ἱεροῦ λεχθέντος, ἀρχαίου τε καὶ ἁρμοδίου πρὸς τὴν ἑσπέραν ἐν τῷ εἰσοδεύειν, ὃν λέγουσί τινες παρὰ τοῦ θείου ἱερομάρτυρος Ἀθηνογένους συντεθῆναι, καλῶς καὶ τὴν Τριάδα καὶ τὴν σάρκωσιν τοῦ Λόγου κηρύττοντα, τοῦ, «Φῶς ἱλαρὸν, Σοφία,» φησὶν ὁ διάκονος. Καὶ ὁ ἀρχιερεὺς καθήμενος, δίδωσι τὴν εἰρήνην· ὅτι καὶ αὐτὴν Χριστὸς ἡμῖν καὶ πρὸ τοῦ πάθους ἀφῆκε, καὶ ἀναστὰς, δέδωκε, καὶ εἰς τοὺς οὐρανοὺς ἀναβὰς, παρέχει διηνεκῶς.

ΚΕΦΑΛ. ΤΛΖ΄.

Περὶ τῶν καθ' ἡμέραν προκειμένων, τί ταῦτα σημαίνουσιν.

Καὶ εὐθὺς λαμπρῶς τὸ προκείμενον ᾄδεται. Τοῦτο δέ ἐστιν ἡ περὶ τῆς ἑορτῆς προφητεία τὰ περὶ τῆς ἡμέρας ἐκδιδάσκον ψαλμικόν. Καὶ τῷ μὲν Σαββάτῳ ἑσπέρας τὰ περὶ τῆς ἀναστάσεως μαρτυρεῖ· διὸ τότε μὲν ψάλλεται, «Ὁ Κύριος ἐβασίλευσε·» νενίκηκε γὰρ καὶ ἐβασίλευσε κατὰ τοῦ θανάτου ὁ ἀναστὰς, καὶ εὐπρέπειαν τὴν ἀφθαρσίαν τῆς φύσεως ἡμῶν ἐνεδύσατο, καὶ τὴν οἰκουμένην ἀναστὰς ἐστερέωσε, πιστεύσασαν εἰς αὐτόν· ἑσπέρας δὲ τῇ Κυριακῇ, «Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον·» διά τε τοὺς εὐλογοῦντας αὐτὸν ἀπαύστως ἀγγέλους, καὶ τὰς ψυχὰς τῶν δούλων αὐτοῦ· τῇ δὲ δευτέρᾳ ἑσπέρας, διὰ τοὺς βοῶντας πιστοὺς, ἐν μετανοίᾳ, καὶ τὸν αὐτῆς κήρυκα Πρόδρομον, «Κύριος εἰσακούσεταί μου,» φησὶν, «ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν·» Τῇ τρίτῃ δὲ ἑσπέρας, διὰ τὴν ἀπὸ τοῦ σωτηρίου πάθους βοήθειαν, καὶ τὸ ἐν ἡμῖν ἔλεος διὰ τοῦ σταυροῦ, «Τὸ ἔλεός σου, Κύριε, καταδιώξαι με, λέγει, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου·» τῇ τῆς τετράδος δὲ ἑσπέρᾳ τὰ τῶν Ἀποστόλων, «Ὁ Θεὸς, λέγοντες, ἐν τῷ ὀνόματί σου σῶσόν με.» Καὶ χάριτι αὐτῶν ἐν ὀνόματι Κυρίου σεσώσμεθα, καταγγειλάντων 237
καὶ κηρύκων θείων ἀποδειχθέντων, τοῦ Θεοῦ συνεργοῦντος σωσάντων ἡμᾶς, καὶ τὸν λόγον βεβαιοῦντος, ὡς γέγραπται. Κατὰ δὲ τὴν πέμπτην ἑσπέρας, τὴν μεγάλην προανυμνοῦμεν βοήθειαν τοῦ σταυροῦ. Αὐτὸς γὰρ ἡμῖν ἐβοήθησε σαρκὶ σταυρωθεὶς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἑσπέρας δὲ τῇ Παρασκευῇ, «Ὁ Θεὸς, ἀντιλήπτωρ μου εἶ,» βοῶμεν, διὰ τὴν πληθὺν τῶν ἁγίων, τῇ ἀντιλήψει τοῦ θανόντος ὑπὲρ ἡμῶν συνηγμένην καὶ ἐγερθέντος, καὶ τὰς ψυχὰς τῶν προαπελθόντων πιστῶν· ὅτι καὶ τοῖς ἁγίοις ὁ Θεὸς ἀντίληψις γέγονε, καὶ τοῖς ἀπελθοῦσι δὲ αὐτός ἐστιν ἔλεος, προφθάνων εἰς σωτηρίαν. Ἐν δὲ ταῖς ἡμέραις τῶν νηστειῶν Ἀλληλούϊα ἀντὶ προκειμένου πρόκειται· ὃ δὴ αἴνεσιν σημαίνει Θεοῦ καὶ ἐπιδημίαν Θεοῦ· καὶ τὸ, «Ὁ Κύριος ἔρχεται·» κηρύττον μὲν τήν τε πρώτην καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, προσημαῖνον δὲ καὶ τὰ περὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἐγέρσεως. Οἷον ὡς ἔρχεται παθεῖν καὶ ἀναστῆναι ὑπὲρ ἡμῶν ὁ Κύριος· καὶ ἔρχεται πάλιν ἐπ' ἐσχάτων τοῦ κρῖναι πᾶσαν τὴν γῆν,

«Resurrectionem Christi intuiti.» Hæc igitur fiunt in officio matutino. At dictis, prout opus erat, quæ ad ingressum spectant, ad proposita memores redeamus. Facto quidem ingressu in vespertino officio, dictoque hymno sacro vetere et ad vesperas dum intratur accommodato, quem nonnulli autumant a divo sanctoque martyre Athenogene compositum fuisse, quo Trinitas et incarnatio Verbi egregie prædicantur, videlicet: «Lux læta,» diaconus dicit, «Sapientia,» et pontifex sedens dat pacem, quoniam Christus eam ante passionem reliquit, et redivivus dedit, ac in cœlum assumptus continuo impertit.

CAPUT CCCXXXVII.

De præviis quæ quotidie proponuntur, et quid hæc significant.

Et protinus clara voce cantantur prævia. Hæc autem nihil aliud sunt quam quædam de festo prophetia, psalmus res diei edocens. Equidem in vesperis Sabbati mysteria resurrectionis testantur, ideoque tunc psallitur: «Dominus regnavit;» vicit enim et in mortem regnavit resurgendo, et decorem, nempe incorruptibilitatem naturæ nostræ induit, terramque resurgendo formavit in ipsum credentem. Verum in vesperis Dominicæ: «Ecce nunc benedicite Dominum,» propter angelos et animas servorum ejus eum sine fine benedicentes. At vesperis secundæ feriæ propter fideles in pœnitentia clamantes hujusque præconem præcursorem: «Dominus exaudiet me, inquit, cum clamavero ad eum.» Feriæ tertiæ vesperis, propter auxilium a salutari passione atque misericordiam nobis per crucem comparata, illud dicitur: «Misericordia tua, Domine, subsequetur me omnibus diebus vitæ meæ.» Sed quartæ feriæ vesperis, celebrantur Apostoli dicendo: «Deus, in nomine tuo salvum me fac,» nam per eos in nomine Domini salvi sumus facti, qui nuntiaverunt et prædicaverunt Dei doctrinas, Domino salvantibus nos cooperante et sermonem eorum confirmante, sicut scriptum est. Quintæ vero feriæ vesperis, magnum crucis adjutorium laudibus ornamus; ipse enim nos adjuvit carne crucifixus qui fecit cœlum et terram. Vesperis autem Parasceves: «Deus, susceptor meus es,» clamamus propter multitudinem sanctorum susceptione illius pro nobis mortui et redivivi congregatam et animas fidelium defunctorum, quoniam sanctis Deus susceptor factus est, et misericordia ejus qui prius in salutem mortuus est defunctis impertitur. Sed in diebus jejuniorum loco præviorum cantatur «Alleluia,» quod Dei laudem significat Deique adventum, et idem sonat ac «Dominus venit,» tum priorem tum posteriorem ejus adventum prædicans, necnon passionis et resurrectionis ejus mysteria præsignificans; quasi diceretur: Venit passurus et resurrecturus pro nobis Dominus, et veniet etiam in consummatione sæculi terram judicaturus universam, ut de

nobis solliciti ac de peccatis nostris anxii et Dominum exspectantes emundemur, studeamusque non concilia et festa agere, sed in dolore ad Deum clamare, eumque laudare ac invocare et adventum ejus opperiri. Prævia autem ita appellantur, quoniam sunt festorum dierumque sequentium velut prooemia.

CAPUT CCCXXXVIII.

De continenti supplicatione, et de precibus, quod omnino sint necessariæ.

Post hæc continens fit oratio, et petitiones a sacerdote complentur. Ad hoc quidem spectat continens oratio, ut fiat misericordia super omnes, tum reges fideles, tum loci pontificem, monasterii præsidem, vel provisores templi adstantesque orthodoxos et omnes undequaque fideles. Preces vero fiunt ut vesperam noctemque totam transigamus absque peccato ac in pace, aut diem, quando eas in matutino dicimus officio, necnon ut angelum pacis custodem habeamus animæ et corporis, et indulgentiam remissionemque peccatorum inveniamus; insuper ut optima secundaque nobis et pax mundo impartiantur, vitamque reliquam in pœnitentia et pace absolvamus, atque ut Christianos decet, in fide sanctus tranquillusque fiat vitæ nostræ finis, et irreprehensibiles inveniamur adveniente Christo. Insuper per Deiparam cui omnia sunt possibilia et per omnes sanctos utpote laboribus et certaminibus liberos, et nosmetipsos, cum a Deo facti nos ei debemus, et alios quoniam proximis prodesse tenemur, ait enim: « Diliges Deum et proximum tuum sicut te ipsum, » totam quoque vitam nostram ut a Deo datam Christo Deo commendamus, quod tunc illico facimus verbis: «Tibi, Domine,» dicentes, nos videlicet ipsos committimus, quod debemus etiam operibus facere; nam qui se commisit, debet esse sub potentia ejus cui se commisit ut ejus custodia fruatur et providentia illius gaudeat. Vide quanta bona preces istæ nobis poscant, quantaque intelligentibus impertiant. Novimus quidem sanctos quosdam viros in his velut extra se raptos et tota mente deprecantes, Deoque semetipsos commendantes; sed et alios novimus minime dictis intendentes ex animæ imprudentia. Postea de more clamans doxologiam facit sacerdos pacemque omnibus deprecatus, jussuque dato inclinandi capita in signum servitutis et deprecationis. Primus ipse caput inclinat, humilem servum semetipsum confitens, et precatur propter sacerdotium, non enim sibi confidit, et ipsi opus est misericordia. Ideo pie deprecatur cum silentio contractus et anxius dum Deum alloquitur et intercedit dicens: « Domine Deus, qui cœlos inclinans in salutem hominum descendisti, non nostra producimus, sed opus charitatis tuæ et humilitatis, aspice super hæreditatem tuam, quoniam non hominibus sed tibi inclinaverunt capita, suam a te salutem deposcentes, quos in omni tem-

A ὡς ἂν περὶ ἡμῶν ἔχοντες τὴν φροντίδα καὶ τῶν ἁμαρτιῶν ἡμῶν μεριμνῶντες καὶ τὸν Κύριον ἀπεκδεχόμενοι, καθαιρώμεθα, καὶ μὴ σπεύδωμεν πανηγυρίζειν ἢ ἑορτάζειν, ἀλλ' ἐν πένθει βοᾷν πρὸς Θεὸν καὶ τοῦτον αἰνεῖν καὶ ἐπικαλεῖσθαι, καὶ τὴν ἐπιδημίαν τούτου ἐκδέχεσθαι. Προκείμενα δὲ λέγεται, ὡς τῶν ἑορτῶν καὶ τῶν ἐπερχομένων ἡμερῶν προοίμια.

ΚΕΦΑΛ. ΤΛΗ'.

Περὶ τῆς ἐκτενοῦς ἱκεσίας καὶ περὶ τῶν αἰτήσεων, ὅτι ἀναγκαιότατα πάντως.

Μετὰ ταῦτα δὲ ἡ ἐκτενὴς δέησις, καὶ αἱ αἰτήσεις παρὰ τοῦ ἱερέως τελοῦνται· ἡ ἐκτενὴς μὲν ὑπὲρ ἐλέους πάντων, τῶν τε πιστῶν βασιλέων, καὶ τοῦ κατὰ τόπον ἱεράρχου, τοῦ κατὰ τὴν μονὴν προεστῶ- B τος, ἢ τῶν τοῦ θείου προνοουμένων ναοῦ, τῶν περιεστώτων ὀρθοδόξων, καὶ τῶν ἁπανταχοῦ πιστῶν· αἱ αἰτήσεις δὲ, ὥστε τὴν ἑσπέραν καὶ τὴν νύκτα πᾶσαν διελθεῖν ἡμᾶς ἀναμάρτητον καὶ εἰρηνικήν· ἢ τὴν ἡμέραν, ὡς ἐν τῷ ὄρθρῳ λέγομεν, καὶ ἄγγελον εἰρήνης, φύλακα ψυχῆς καὶ σώματος ἔχειν, καὶ συγγνώμην καὶ ἄφεσιν εὑρεῖν τῶν ἁμαρτημάτων, καὶ τὰ κάλλιστα καὶ συμφέροντα ἡμῖν, καὶ τὴν εἰρήνην τῷ κόσμῳ δωρηθῆναι, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς ἐν μετανοίᾳ τε καὶ εἰρηνικῶς ἐκτελέσαι, καὶ ὡς πρέπει Χριστιανοῖς, πιστά τε καὶ ἅγια τὰ τέλη ἡμῶν εἶναι τῆς ζωῆς καὶ εἰρηνικὰ, καὶ ἀναπολογήτους εὑρεθῆναι παραγενομένου Χριστοῦ· καὶ ἐπὶ τούτοις διὰ τῆς Θεοτόκου τῆς πάντα δυναμένης, καὶ C πάντων τῶν ἁγίων, ὡς παῤῥησίαν τοῖς πόνοις καὶ ἄθλοις ἐσχηκότων, καὶ ἑαυτούς· ἐπεὶ ὀφείλομεν ἡμᾶς ἑαυτοὺς τῷ Θεῷ παρ' αὐτοῦ γεγονότες, καὶ ἀλλήλους, ὡς καὶ τοὺς πλησίον ὠφελεῖν ὀφείλοντες, « Ἀγαπήσεις γὰρ, φησὶ, τὸν Θεὸν καὶ τὸν πλησίον σου ὡς ἑαυτὸν, » καὶ τὴν ζωὴν ἡμῶν πᾶσαν ὡς παρὰ Θεοῦ δεδομένην, Χριστῷ τῷ Θεῷ παραθεῖναι. Ὃ καὶ ποιοῦμεν εὐθὺς τότε τοῖς ῥήμασι, « Σοὶ, Κύριε, » λέγοντες· ἑαυτοὺς δηλονότι παρατιθέμεθα, ὀφείλοντες καὶ τοῖς ἔργοις τοῦτο ποιεῖν. Ὁ γὰρ παρατιθεὶς ἑαυτὸν ὑπὸ τὴν ἐξουσίαν ὀφείλει εἶναι ἐκείνου, ᾧ παρατίθεται, ὡς ἂν καὶ τὴν αὐτοῦ πλουτῇ φυλακὴν, καὶ τῆς αὐτοῦ ἀπολαύῃ προνοίας. Ὅρα δὲ ὅτι τὰ μέγιστα ἐξαιτοῦνται ἡμῖν αἱ αἰτήσεις αὗται, καὶ μεγάλα τοῖς νοοῦσι παρέχουσι. Καὶ εἴδομεν τινας D θείους ἄνδρας οἷον ἐν τούτοις ἐξισταμένους, καὶ ὁλοψύχως αἰτουμένους, καὶ τῷ Θεῷ παρατιθεμένους ἑαυτοὺς, ὡς καὶ ἑτέρους μηδὲ αἰσθανομένους τῶν λεγομένων δι' ἀναισθησίαν ψυχῆς. Εἶτα συνήθως ἐν ἐκφωνήσει δοξολογεῖ ὁ ἱερεὺς, καὶ τὴν εἰρήνην ἐπευξάμενος πᾶσι καὶ κλῖναι βοήσας τὰς κεφαλὰς εἰς σχῆμα δουλείας καὶ ἱκεσίας, πρῶτος αὐτὸς κλίνεται, δοῦλον ταπεινὸν ὁμολογῶν ἑαυτόν· καὶ ἐπεύχεται διὰ τὴν ἱερωσύνην. Οὐ γὰρ ἑαυτῷ θαῤῥεῖ, καὶ αὐτὸς χρῄζων ἐλέους. **238** Διὸ καὶ ἐπεύχεται εὐλαβῶς καὶ μετὰ σιγῆς συστελλόμενος καὶ ἀγωνιῶν ἐν τῷ πρὸς Θεὸν ὁμιλεῖν τε καὶ μεσιτεύειν· καὶ τοῦτό φησι· « Κύριε ὁ Θεὸς, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, οὐ τὰ ἡμέτερα προβαλλόμεθα, ἀλλὰ τὸ τῆς σῆς ἀγάπης ἔργον καὶ ταπεινώσεως, σὺ ἔπιδε

ἐπὶ τὴν κληρονομίαν σου, ὅτι οὐκ ἀνθρώποις, ἀλλὰ σοὶ τὰς κεφαλὰς ἔκλιναν, τὴν παρὰ σοῦ αἰτούμενοι σωτηρίαν· οὓς καὶ ἐν παντὶ καιρῷ διαφύλαξον, καὶ ἐν τῷ παρόντι ἀπὸ παντὸς ἐναντίου νοουμένου καὶ αἰσθητοῦ. » Καὶ θαῤῥήσας ὡς ἐπιτεύξεται, ἀνίσταται · καὶ ἐκφωνήσας ἀνυμνεῖ, « Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον, » καὶ τὰ λοιπά · οἷον, Σὺ βασιλεὺς μόνος δεδοξασμένος τε καὶ εὐλογημένος, καὶ πάντα δύνασαι · καὶ εὐθὺς ἐκτελεῖται τὰ τῆς λιτῆς.

A pore custodire dignare, et in hac hora ab omni adversario sive spirituali sive sensibili. » Et fiducialiter sperans se petita consecuturum, surgit, et clamans cantat : « Sit fortitudo regni tui benedicta, » et cætera, quasi diceret : Tu solus es rex glorificatus et benedictus, et omnia potes; et statim processionem peragit.

ΚΕΦΑΛ. ΤΛΘ'.

Περὶ τῆς ἐν τῷ νάρθηκι λιτῆς, καὶ τῶν λοιπῶν ἔξωθεν τοῦ ναοῦ λιτανειῶν.

Αὕτη δὲ ἔξωθεν ἐν τῷ νάρθηκι κατά τε Σάββατον γίνεται, καὶ ἐν ἑορταῖς, καὶ ἐν καιρῷ δὲ πληγῆς τινος ἐπελθούσης ἢ περιστάσεως πλειόνων ἀθροισθέντων διὰ μέσου τῆς πόλεως, ἢ καὶ ἔξωθεν αὐτῆς, ἢ περὶ τὰ τείχη. Λιτανεία δέ ἐστι παράκλησις πρὸς Θεὸν καὶ ἱκεσία κοινὴ καὶ δι' ὀργὴν ἐπιφερομένην, καὶ χάριν εὐχαριστίας ὑπὲρ ἀγαθῶν δωρηθέντων. Τὸ οὖν ἔξωθεν ἡμᾶς τοῦ ναοῦ γίνεσθαι, τὴν ἔκπτωσιν τοῦ παραδείσου δηλοῖ, καὶ τὸ κλεισθῆναι αὐτὸν ἡμῖν καὶ τὸν οὐρανόν. Τὸ δὲ μέσον τῆς πόλεως διέρχεσθαί τε καὶ πενθικῶς ἐκβοᾷν τὸ καταχρᾶναι δηλοῖ τὴν πόλιν ταῖς ἁμαρτίαις ἡμᾶς καὶ πάντα τὰ ἐν αὐτῇ. Καὶ τὸ ἔξωθεν δὲ βοᾷν καὶ λιτανεύειν τὸ ταπεινοῦσθαι σημαίνει, καὶ ἀναξίους κρίνειν ἡμᾶς ἀπὸ τῆς πόλεως ἐκβοᾷν, ἣν κατοικοῦντες κατεμολύναμεν, καὶ ὡς τῆς πατρίδος τῆς θείας διὰ παραβάσεως μετῳκίσθημεν, καὶ ἐν αὐτῇ ἢ ἐπλάσθημεν πόλει, μᾶλλον δὲ ἀνεπλάσθημεν καὶ τῶν τοῦ Θεοῦ ἠξιώμεθα, ὑπὸ τοῦ ὄφεως πλανηθέντες, ἀφρόνως διεφθάρημέν τε καὶ ἐβδελύχθημεν · καὶ τὸν ἱερὸν χῶρον κατεῤῥυπώσαμεν · καὶ ἐν ἐρημίαις ἐπισκοπῆς Θεοῦ αὐλιζόμεθα · καὶ ἐν ἀφυλάκτοις διοδεύομεν τόποις. Τότε μὲν οὖν ἐν τῷ νάρθηκι ποιούμεθα τὰς λιτάς, ὅτι κάτω καὶ εἰς τὴν ἡμῶν ἐσχατιὰν ἐλήλυθεν ὁ Σωτήρ, ἵνα καὶ ἐν τούτῳ αὐτὸν ἱλεώμεθα. Καὶ ὡς πρὸ τῶν οὐρανίων πυλῶν τῶν τοῦ ἱεροῦ ναοῦ ἑστῶτες καθικετεύομεν. Οὐ γὰρ ἄξιοι ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, εἰ μὴ ἐπανελθόντες βοήσωμεν τὸ *ἡμάρτομεν* · ὅτε καὶ αὐτὸς ἐξελθὼν πρὸς ἡμᾶς καὶ προαπαντήσας εὐσπλάγχνως ἐπαγκαλίσεται. Τοῦτο οὖν τὸ πρὸ τῶν πυλῶν ἱκετεύειν, καὶ τὸν ἱερέα προσεύχεσθαι, τὸ τὴν Ἐδὲμ ἡμῖν καὶ τὸν οὐρανὸν ἐκδυσωπεῖν ἀνοιγῆναι σημαίνει · μᾶλλον δὲ τὰ θεῖα σπλάγχνα, ἃ δεινῶς ἡμεῖς καθ' ἡμῶν ἀπεκλείσαμεν. Ἱσταμένων οὖν ἡμῶν ἔξωθεν, ψάλλονται τὰ συνήθη. Καὶ ὁ ἱερεὺς τὰς εἰθισμένας ποιεῖται εὐχὰς ὑπέρ τε τοῦ λαοῦ παντὸς καὶ τῆς τοῦ Θεοῦ κληρονομίας, τοῦ σωθῆναι αὐτήν, καὶ τῶν Χριστιανῶν ἡμῶν ὑψωθῆναι τὸ κέρας, « Σῶσον, Κύριε, ἐκβοῶν, τὸν λαόν σου, » καὶ τὰ ἑξῆς · καὶ τῆς κοινῆς προσευχῆς τοῦ, « Κύριε, ἐλέησον, » ᾀδομένου, καὶ ὑπὲρ τῶν βασιλέων αὖθις αἰτεῖται, ὡς προϊσταμένων τῶν εὐσεβῶν, καὶ ὑπὲρ τῆς πίστεως ἀγωνιζομένων, καὶ τοῦ κατὰ τόπον ἀρχιερέως τε ἢ Πατρός, καὶ ψυχῆς Χριστιανικῆς ἁπάσης, καὶ τῶν Ἐκκλησιῶν τῆς εἰρήνης, καὶ ὑπὲρ τῶν προκεκοιμημένων πιστῶν, ἀναῤῥύσεώς τε τῶν αἰχμαλώτων, καὶ ἀναῤῥώσεως ἀσθενούντων, καὶ τῶν κοπιώντων ἐν Χρι-

CAPUT CCCXXXIX.

De processione in Narthece, et cæteris extra templum precibus ac litaniis.

Hæc vero foras fit in narthece per sabbatum, et in festis processio, necnon quando aliqua supervenit plaga, vel multi coeunt homines in medio urbis aut extra illam seu circa muros tumultuantes. B Sunt autem litaniæ obsecratio et deprecatio communis ad Deum factæ ad avertendam ejus iram, et agendas gratias pro impertitis ejus beneficiis. Igitur dum extra narthecem procedimus manifestamus nos a paradiso excidisse, illumque ac cœlum nobis esse clausum. Cum mediam urbem permeamus in dolore clamantes, ostendimus nos civitatem et omnia quæ in ea sunt peccatis contaminasse. At dum extra urbem clamamus et litanias agimus, nos humiliari significamus, nosque peccatores confitemur clamantes extra urbem quam inhabitantes polluimus, et insuper migravisse in pœnam transgressionis a divina patria, et in ea civitate in qua creati sumus vel potius recreati factique Deo digni, a serpente delusi stulte corrupti sumus at- C que deformati, et locum sanctum fœdavimus, ac in desertis habitamus procul a secunda Dei providentia, atque in regionibus male custoditis iter facimus. Litanias quidem in narthece facimus, quoniam deorsum ad extrema nostra descendit Salvator, ut in hoc eum propitiemus. Tanquam ante januas cœli pro foribus templi sancti deprecamur ; non enim sumus digni qui in altitudinem templi suspiciamus, nisi reversi illud clamemus : Peccavimus, quoniam ipse ad nos egressus in visceribus misericordiæ nos occurrens amplexus est. Itaque in hoc quod ante fores deprecatur et obsecrat sacerdos, nos ut Eden nobis et paradisus patefiat flagitare significatur, seu potius ut divina D aperiantur viscera quæ damnose nos contra nos conclusimus. Nobis ergo foris stantibus, consueta psalluntur, et sacerdos constitutas preces facit pro cuncto populo, pro hæreditate Dei ut salva fiat, ut nobis Christianis exaltetur cornu nostrum, clamans : « Salva, Domine, populum tuum, » et cætera. Et communi oratione dicta, nempe Kyrie eleison, pro regibus etiam precatur ut viris piis præpositis nobis, pro certantibus in gratiam fidei, pro pontifice, seu patre loci, pro omni anima Christiana, pro Ecclesiis pacis, pro fidelibus dormientibus, pro liberatione captivorum, pro sanitate ægrotantium, pro laborantibus in Christo et pro omnibus simul fratribus. Et rursum fit continens vehemensque oratio, scilicet Kyrie eleison, prout

sæpius ordinatum est, quæ ter dicitur in gloriam Trinitatis, cui ista offertur deprecatio.

CAPUT CCCXL.

De postremis in processione precibus.

Sacerdos bonum benignumque Deum precatur ut omnes exaudiat, omnibusque fiat propitius et clemens ac demittat misericordiam suam. Deinde capita jubet in humilitate et servitute inclinare. Et conversus ad occasum, ad flagitanda sese inclinantibus Dei beneficia multum misericordem Dominum ac Deum nostrum advocat Christum; et in intercessum producto sanctæ Virginis Matris ejus Deiparæ patrocinio, necnon angelorum et apostolorum, martyrum et pontificum atque justorum B sanctorumque simul universorum, propter eos et non propter nos poscit ut acceptabilis deprecatio nostra, peccatorumque detur remissio et nos sub alis ejus protegamur, ac longe fiant a nobis inimici nostri, vitaque nostra in pace agatur, mundusque et nos misericordiam consequamur et ab ipso salvemur humani generis amatore benigno, utpote qui propter bonitatem solam incarnatus est solusque est plenus misericordia.

CAPUT CCCXLI.

Quare semper lampades præferantur.

Quibus absolutis, ipse quidem per portam regalem ingressus, præcedentibus luminariis quæ prius præferuntur, quemadmodum fit in quolibet in- C gressu, in signum divini luminis et sanctorum, et Patre cum ipso præeunte, velut in cœlum intrat; sequuntur autem cæteri cum præside qui viam aperit tanquam cum Jesu Christo ingredientes. Et choris utrinque concinentibus, ac in medio stantibus, quasi cœlum nobis panderetur, et angeli per Christum nobiscum conjungerentur, psalluntur responsaria versusque cum eis cantantur festo accommodati. Quippe si fuerit quidem Dominica, dicuntur versus resurrectionis, Dominus regnavit. At si quid aliud festum fuerit, rursum psalluntur versus accommodati propriaque ipsi carmina. Si vero aliquis celebretur sanctus, dicuntur versus e psalmis electi, festo sive pontificis sive mar- D tyris sive justi consentanei, atque modi ad id festum accommodati. Ideo modi dicuntur, psalluntur enim foris in processione absque versibus, unde et responsaria appellantur. Deinde gloria, et iterum propria dicuntur carmina, aliud quidem ratione festi vel cujusdam sancti, aliud autem in honorem Dei Genitricis propter utilissimam ejus pro nobis deprecationem. Et protinus, «Nunc dimittis,» ab uno pie dicitur, quod est Simeonis oratio Deum glorificantis. Hic quidem dimissionem poscit animæ a corpore, viso Dei salutari, nos vero flagitamus dimissionem animæ a vitiis, a tentationibus quibus nos urget inimicus, atque a duplici morbo, animæ scilicet et corporis, etsi etiam mirum non sit nos

A στῷ, καὶ πάντων ὁμοῦ τῶν ἀδελφῶν, καὶ τοῦ, «Κύριε, ἐλέησον,» τῆς εὐκατανύκτου καὶ ἰσχυρᾶς δεήσεως λεγομένου ὡς ἡ τάξις πλειστάκις, καὶ τρὶς ὕστερον λεγομένου διὰ τὴν δόξαν τῆς Τριάδος, καὶ ὅτι πρὸς αὐτὴν ἡ δέησις ἀναφέρεται.

ΚΕΦΑΛ. ΤΜ'.

Περὶ τῆς τελευταίας εὐχῆς τῆς ἐν τῇ Λιτῇ.

Ὁ ἱερεὺς ἐπακοῦσαι πάντων τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ὑπερεύχεται, καὶ 239 πᾶσι γενέσθαι ἱλεών τε καὶ εὐμενῆ, καὶ τὸν ἔλεον αὐτοῦ καταπέμψαι. Εἶτα κλῖναί φησιν ἐν ταπεινώσει τε καὶ δουλείᾳ τὰς κεφαλάς. Καὶ στρεφόμενος πρὸς δυσμάς, ὡς ἐκ Θεοῦ τοῖς κλινομένοις τὰ ἀγαθὰ ἐπευχόμενος, τὸν πολυέλεον Δεσπότην καὶ Θεὸν ἡμῶν ἐπικαλεῖται Χριστόν. Καὶ τὰς τῆς ἁγίας Παρθένου Μητρὸς αὐτοῦ πρεσβείας τῆς Θεοτόκου, εἰς μεσιτείαν προθεὶς, B ἔτι δὲ καὶ τῶν ἀγγέλων καὶ ἀποστόλων, μαρτύρων τε ἱεραρχῶν καὶ ὁσίων, καὶ τῶν ἁγίων πάντων ὁμοῦ, δι' αὐτοὺς καὶ οὐ δι' ἡμᾶς, εὐπρόσδεκτον γενέσθαι ἐξαιτεῖται τὴν δέησιν, καὶ τῶν ἡμαρτημένων δοθῆναι τὴν ἄφεσιν, καὶ σκεπασθῆναι ἡμᾶς ὑπὸ ταῖς αὐτοῦ πτέρυξι, καὶ μακρὰν γενέσθαι ἀφ' ἡμῶν τοὺς ἐχθροὺς ἡμῶν, καὶ τὴν ζωὴν ἡμῶν εἰρηνεῦσαι, καὶ ἐλεηθῆναι τὸν κόσμον καὶ ἡμᾶς, καὶ σωθῆναι παρ' αὐτοῦ τοῦ φιλανθρώπου καὶ ἀγαθοῦ, ὡς δι' ἀγαθότητα μόνην ἐνανθρωπήσαντος, καὶ μόνου ἐλεήμονος.

ΚΕΦΑΛ. ΤΜΑ'.

Διατί λαμπάδες ἀεὶ προπορεύονται.

Ταῦτα τελέσας, αὐτὸς μὲν διὰ τῆς βασιλικῆς πύλης προπορευομένων λαμπάδων εἰσιὼν ὡς καὶ προηγουμένων πρότερον, καθὰ καὶ ἐν πάσῃ εἰσόδῳ, εἰς τύπον C τοῦ θείου φωτὸς καὶ τῶν ἁγίων, καὶ σὺν αὐτῷ τοῦ καθηγουμένου Πατρὸς, ὥσπερ εἰς τὸν οὐρανὸν εἴσεισιν. Ἕπονται δὲ οἱ λοιποὶ, ὁδηγοῦντος τοῦ προεστῶτος συνεισερχόμενοι, ὡς τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ τῶν χορῶν ἑκατέρωθεν συμφωνούντων, καὶ μέσον ἱσταμένων, ὡς τοῦ οὐρανοῦ ἡμῖν ἀνοιγέντος, καὶ τῆς ἑνώσεως μεθ' ἡμῶν διὰ τοῦ Χριστοῦ τῶν ἀγγέλων γεγενημένης, τὰ ἀποστίχου ψάλλεται, καὶ οἱ σὺν αὐτοῖς ψαλλόμενοι στίχοι, ἁρμόδιοι τῇ ἑορτῇ. Εἰ μὲν γὰρ Κυριακὴ, οἱ τῆς ἀναστάσεως στίχοι, τὸ, Ὁ Κύριος ἐβασίλευσεν. Εἰ δ' ἄλλη τις ἑορτὴ, ἁρμόδιοι στίχοι πάλιν καὶ τὰ αὐτῆς ἰδιόμελα· εἰ δέ τις τῶν ἁγίων, οἱ κατὰ τάξιν αὐτοῦ ἱεράρχου τυχὸν ἢ μάρτυρος D ἢ ὁσίου ψαλμικοὶ στίχοι, καὶ τὰ αὐτοῦ στιχηρά· διὸ καὶ στιχηρὰ λέγονται· τὰ γὰρ ἔξωθεν ἐν τῇ λιτῇ δίχα στίχων, ὅθεν καὶ ἀποστίχου ταῦτά φασιν. Εἶτα δόξα καὶ νῦν ἰδιόμελα λέγονται· τὸ μὲν ἐκ τῶν τῆς ἑορτῆς ἢ τινος τῶν ἁγίων, τὸ δὲ τῆς Θεοτόκου διὰ τὴν ἀνυτιμωτάτην αὐτῆς ἱκεσίαν ὑπὲρ ἡμῶν· καὶ εὐθὺς τὸ, «Νῦν ἀπολύεις,» μετ' εὐλαβείας παρ' ἑνὸς, ὃ δὴ τοῦ Συμεών ἐστι προσευχὴ τοῦ τὸν Θεὸν δεξαμένου. Καὶ ἐκεῖνος μὲν ἀπόλυσιν αἰτεῖται τῆς ψυχῆς ἀπὸ τῆς σαρκὸς, ἰδὼν Θεοῦ τὸ σωτήριον· ἡμεῖς δὲ ἀπόλυσιν τῆς ψυχῆς ἀπὸ τῶν παθῶν, καὶ τῶν παρὰ τοῦ ἐχθροῦ πειρασμῶν, καὶ τῶν διπλῶν νοσημάτων ψυχῆς ὁμοῦ τε καὶ σώματος. Εἰ δὲ καὶ τὴν ἐκ τῆς σαρκὸς ἀνάλυσιν, οὐ θαυμαστὸν, εἰρηνικὴν

παρὰ Θεοῦ καὶ σωτήριον δεδομένην, ὅτε αὐτῷ βουλητόν. Προσημαίνει δὲ τοῦτο καὶ τὴν τοῦ ἔργου τῶν ὕμνων τελείωσιν, ὡς τὸ φῶς τῆς χάριτος παρέχον ἡμῖν καὶ σωτηρίαν καὶ δόξαν. Μετ' αὐτὸ δὲ καὶ ἡ τοῦ Τρισαγίου καὶ τοῦ, « Πάτερ ἡμῶν, » προσευχὴ, ὡς θεία σφραγίς. Καὶ τοῦ ἱερέως ἀνυμνήσαντος τὴν τοῦ Θεοῦ βασιλείαν, τὸ τῆς ἑορτῆς τροπάριον ᾄδεται· καὶ τὸ, « Θεοτόκε Παρθένε, χαῖρε, κεχαριτωμένη Μαρία, » μετὰ μέλους γεγωνοτέρου. Τοῦτο δὲ τοῦ ἀρχαγγέλου ἐστὶ φωνὴ ἐπὶ τῇ τῆς Παρθένου θείᾳ συλλήψει. Ἐπεὶ οὖν ἀρχὴ αὕτη τῆς σωτηρίου οἰκονομίας καὶ ἐν Κυριακῇ γεγενημένη ὡς καὶ ἡ Ἀνάστασις λέγεται, διὰ τοῦτο μάλιστα καὶ ἐν ταῖς τῶν Κυριακῶν λέγεται ἀγρυπνίαις, καὶ ἐν ταῖς ἑορταῖς τῶν ἁγίων, χωρὶς τῶν δεσποτικῶν μόνων ἑορτῶν· ὅτι καὶ τῶν ἁγίων ἁπάντων αὕτη ἡ ἔξαρχος καὶ ἡ ἁγιωσύνη τοῖς ἁγίοις ἐκ τοῦ παρθενικοῦ αὐτῆς τόκου.

A deprecari dimissionem a corpore, nempe ut tranquilla et salutaris a Deo donetur quando voluerit. Hoc quoque significat jamjam finiendum opus laudum, quod ut lumen gratiæ salutem nobis et gloriam impertit. Porro post hæc Trisagii et « Pater noster » oratio divini more sigilli. Et postquam Dei regnum celebraverit sacerdos, dicitur festi troparium, atque : « Ave Dei genitrix Virgo, gratia plena Maria, » voce clariore, quæ est archangeli salutatio in divina Virginis conceptione. Igitur cum hoc salutiferæ dispensationis initium die Dominica factum esse dicatur sicut et resurrectio, propterea præsertim in vigiliis Dominicarum illud recitatur, et in festis sanctorum, tantummodo extra festivitates Domini, quoniam ipsa est sanctorum omnium B Regina, et sanctificatio per virginalem ejus partum sanctis impertitur.

ΚΕΦΑΛ. ΤΜΒ'.

Περὶ τῆς λεγομένης ἀρτοκλασίας.

Τότε οὖν καὶ τελετὴ ἄλλη γίνεται ἄνωθεν παραδεδομένη ἐκ τοῦ Σωτῆρος αὐτοῦ. Ἐν τραπέζῃ τινὶ ἄρτοι προτίθενται πέντε, καὶ ἐν σκεύεσιν ἁρμοδίοις σῖτος ὀλίγος, **240** οἶνος, καὶ ἔλαιον, ἃ καὶ θυμιῶν ὁ ἱερεὺς κύκλωθεν ἐν σταυρικῷ τύπῳ, ἐν τῷ ψάλλεσθαι τὸ, « Θεοτόκε Παρθένε, » οὐχ ὡς ἅγια, ἀλλ' ὡς ἁγιασθῆναι μέλλοντα, μᾶλλον δὲ ὡς προαγιάζων αὐτὰ τῷ σταυρῷ καὶ τῷ θυμιάματι, ὅθεν οὐδὲ θυμιῶν τὴν κεφαλὴν ὑποκλίνει, δοὺς τὸ θυμιατὸν, ἵσταται. C Καὶ μιμούμενος τὸν Σωτῆρα, ἐπεὶ καὶ τοῦτον ἐκτυποῖ, καὶ ἐπικαλούμενος αὐτὸν, τὸν ἕνα λαμβάνει τῶν ἄρτων. Καὶ τοῦ διακόνου τοῦ, « Κυρίου δεηθῶμεν, » λέγοντος, ἐκφωνεῖ ὁ ἱερεὺς, « Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους, καὶ πεντακισχιλίους χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, » καὶ ἐν τῷ λέγειν, ποιεῖ διὰ τοῦ ἑνὸς ἄρτου ἐπάνω τῶν ἄλλων τεσσάρων τύπον σταυροῦ, δεικνὺς ὡς ὁ Χριστὸς τοῦτο ἔπραξεν εἰς τὰς ἑαυτοῦ χεῖρας ἄρτους ὁμοίως πέντε λαβών. Καὶ θεὶς τὸν ἄρτον, εὐλογεῖ αὐτοὺς σταυροειδῶς τῇ χειρὶ, μαρτυρῶν, ὡς ὁ Χριστὸς αὐτοὺς εὐλογεῖ, καὶ ἐπάγει τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον, σφραγίζων καὶ αὐτὰ, καὶ, « Πλήθυνον αὐτὰ, φησὶν, ἐν D τῇ ἁγίᾳ μονῇ ταύτῃ καὶ εἰς τὸν κόσμον σου πάντοτε· ὅτι καὶ αὐτὸς ἀνοίγων τὴν χεῖρα ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας, » ὡς γέγραπται. Καὶ τὴν δοξολογίαν ἁρμόδιον ἐπιλέγει· « Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, » καὶ τὸν ἄρτον τῆς ζωῆς μετὰ τοῦ Πατρὸς δοξάζει καὶ Πνεύματος. Καὶ οὕτως ἡ παρὰ πάντων εὐχαριστία λέγεται, ἥτις ἐλέχθη καὶ τῷ Ἰὼβ· « Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· » καὶ τὸ, « Εὐλογήσω τὸν Κύριον· » ὅπερ ἐστὶν ἁρμοδιώτατος ψαλμὸς, ὑπὲρ τῆς χορηγίας τῶν χρειῶν τῷ Δαβὶδ εἰρημένος. Καὶ οὕτω σφραγίζων ὁ ἱερεὺς ἅπαντας, καὶ τὴν τοῦ Θεοῦ εὐλογίαν πᾶσιν ἐξαιτησάμενος, ὅτι αὕτη ἡ ὄντως τροφή τε καὶ πόσις, βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ, καὶ ὅτι αὐτὸς

CAPUT CCCXLII.

De fractione panis.

Tum igitur alia quoque fit cæremonia divinitus ab ipso Salvatore instituta. In quadam mensa quinque proponuntur panes, et in vasis congruis parum frumenti, vini et olei quæ sacerdos incensat orbiculatim in modum crucis, dum cantatur : « Dei genitrix Virgo, » nequaquam ut sancta, sed ut jamjam sanctificanda, seu potius ut ipso crucis signo et suffitu sanctificata, unde minime incensat inclinato capite, erectus autem suffitum agit. Et Salvatorem imitans, cujus figuram gerit, ipsumque invocans, panem unum accipit. Et diacono dicente : « Dominum oremus, » vocem elevat sacerdos dicens : « Domine Jesu Christe Deus noster, qui benedixisti quinque panes et quinque millia satiasti, ipse benedic etiam panes istos, » et dum dicit, facit cum uno pane super quatuor alios signum crucis, ostendens Christum hoc fecisse, et in manus suas panes quinque similiter accipiens. Et posito pane, benedicit eos manu in formam crucis, testans quoniam Christus eos benedicit, et pergit frumentum, vinum et oleum benedicendo, eaque signando, et ait : « Hæc multiplica in hoc sancto monasterio et in toto orbe tuo, quoniam D ipse es qui aperis manum tuam et imples omne animal benedictione, » sicut scriptum est. Et accommodatam adjicit doxologiam : « quoniam tu es qui benedicis et sanctificas universa, » et panem vitæ glorificat cum Patre et Spiritu. Et ita ab omnibus dicitur gratiarum actio, qualis a Job dicta est : « Sit nomen Domini benedictum, » et : « Benedicam Dominum, » qui psalmus est omnino consentaneus pro datis vitæ necessariis a Davide dictus. Signatis similiter universis, petitaque pro omnibus Dei benedictione, quoniam ipsa est vere cibus et potus, esca autem nequaquam nos Deo gratos facit, et quoniam ipse est omnis boni largitor, sacerdos quidem non absolvens recedit, facta enim lectione, matutinum dicitur officium. Panes vero

et vinum utpote sanctificata benedictione præsen- A tibus dividuntur, quæ cum fide sumentibus impertiunt charismata sanationesque et alia bona multa. Igitur ista quidem fiunt si vigilia fuerit; verum si non fuerit, post inclinationem capitis neque fit processio, neque panum benedictio. Sed tantum psalluntur responsoria, et, «Nunc absolvis» dicitur, et precatio Trisagii, et absolutio. At nonnulli istorum studiosi, non facta vigilia ob infirmitatem forsan et paucitatem fratrum, processionem tamen faciunt in vesperis, deinde responsoria, et statim absolvitur. Panum autem benedictionem non faciunt, quoniam ista præsertim ob laborem vigiliæ fuit instituta, ut fratres accepta Christi benedictione parvaque ob laborem refectione, orationem propter communio- B nem tremendorum mysteriorum producant, et præcipue sacerdotes. Ecce vespertinum vos docuimus officium; superest ut de completorio dicamus; de quo etiam breviter disseremus.

ἐστιν ὁ χορηγὸς παντὸς ἀγαθοῦ, ὁ μὲν ἱερεὺς μὴ ἀπολύων ἄπεισι· τεθείσης γὰρ ἀναγνώσεως, συνεπτῶς λέγεται καὶ ὁ ὄρθρος. Οἱ ἄρτοι δὲ καὶ ὁ οἶνος ὡς ἡγιασμένοι τῇ εὐλογίᾳ μεταδίδονται τοῖς παροῦσιν, ἅπερ καὶ τοῖς λαμβάνουσι μετὰ πίστεως, μεταδοτικά εἰσι χαρισμάτων, ἰάσεών τε καὶ ἄλλων δώρων πολλῶν. Ταῦτα μὲν οὖν τελεῖται εἰ ἔστιν ἀγρυπνία· εἰ οὐκ ἔστι δὲ, μετὰ τὴν κεφαλοκλισίαν οὔτε λιτὴ γίνεται, οὔτε εὐλόγησις τῶν ἄρτων. Τὰ ἀποστίχου δὲ μόνον ψάλλεται, καὶ τὸ, «Νῦν ἀπολύεις,» λέγεται, καὶ ἡ τοῦ Τρισαγίου προσευχὴ, καὶ ἀπόλυσις. Τισὶ δὲ πρὸς ταῦτα σπουδαίοις, καὶ μὴ γινομένης ἀγρυπνίας δι' ἀσθένειαν ἴσως καὶ σπάνιν ἀδελφῶν, τὰ τῆς λιτῆς ἐν τῷ ἑσπερινῷ γίνεται· εἶτα τὰ ἀποστίχου, καὶ εὐθὺς ἡ ἀπόλυσις. Τὴν τῶν ἄρτων δὲ εὐλόγησιν οὐ ποιοῦσιν· ὅτι αὕτη ἐξαιρέτως διὰ τὸν κόπον διετυπώθη τῆς ἀγρυπνίας, ἵνα καὶ εὐλογίας Χριστοῦ, καὶ μικρᾶς παρακλήσεως οἱ ἀδελφοὶ διὰ τὸν κόπον τυχόντες, ἔκτοτε προσευχὴν διὰ τὴν κοινωνίαν τῶν φρικτῶν μυστηρίων ἔχωσι, καὶ μάλιστα οἱ ἱερωμένοι. Ἰδοὺ καὶ τὰ τοῦ ἑσπερινοῦ ὑμῖν ἀποδέδοται. Λείπεται περὶ τῶν ἀποδείπνων εἰπεῖν. Περὶ ὧν καὶ ἐν συνόψει ἐροῦμεν.

Clericus. Adimple, sancte domine, in hoc quoque mercedem tuam, ut tota nobis perficiatur doctrinæ materia.

Κληρικός. Πλήρωσον, ἅγιε Δέσποτα, καὶ τὸν περὶ τούτου μισθόν σου, ἵνα καὶ τὰ τῆς διδασκαλίας ἡμῖν εἴη πάντα τετελεσμένα.

CAPUT CCCXLIII.

De ordine completorii officii quod post cœnam decantatur.

Pontifex. In maximis quidem monasteriis completorium, ut diximus, simul cum vesperis cantatur ante januas templi, quemadmodum preces commu- C nes. In cœnobiis autem et a singulis monachis sæcularibusque sacerdotibus et laicis religiosis recitatur post cœnam vespere sumptam; sed in sancta Quadragesima et in magnis monasteriis et in omnibus locis peculiariter fit post vespertinum officium et cœnam quæ tunc semel sumitur. Igitur magnum quidem est, et vocatur sanctæ Quadragesimæ completorium, ac in tres partes dividitur in figuram sanctæ Trinitatis et propitiationem nobis comparandam. Quod manifestant Typic.; nec oportet fusius disserere, cum explicaverimus quæ ad preces fere universas pertinent. Psalmi precesque Completorii compunctione et confessione refertæ sunt, ad veniam et propitiationem consequendam D idonea; precamur ut noctem in pace, sine phantasmate, absque pollutione et in securitate transigamus; necnon ut pie surgamus tempore nocturnæ et matutinæ orationis in compunctione et pietate. Parvum autem dictum quia brevius est, unoque constat ordine, nec in tres dividitur partes, quotidie dicitur, cujus psalmi eadem possunt et ex magno eliguntur hi qui sunt maxime accommodi. Tres sunt propter Trinitatem, et additur sanctissimum fidei Symbolum propter confessionem religionis; diciturque: «Dignum est» propter incarnationem Verbi et Dei genitricis intercessionem. Porro post Symbolum, prout a patribus nostris accepimus, eam angelosque et sanctos ad intercedendum pro nobis

ΚΕΦΑΛ. ΤΜΓ'.

Περὶ τῆς ἀκολουθίας τῶν ἀποδείπνων.

Ἀρχιερεύς. Τὰ ἀπόδειπνα ψάλλονται ἐν μὲν ταῖς μεγίσταις μοναῖς, ὡς εἰρήκαμεν, ἅμα τῷ ἑσπερινῷ, πρὸ τῶν πυλῶν τοῦ ναοῦ, ὡς κοιναὶ δεήσεις· ἐν τοῖς κοινοβίοις δὲ καὶ ἐν ἑκάστῳ τῶν μοναχῶν, καὶ τῶν κοσμικῶν ἱερέων, καὶ τῶν εὐλαβῶν λαϊκῶν, μετὰ τὴν ἐν ἑσπέρᾳ τροφήν· τῇ ἁγίᾳ δὲ Τεσσαρακοστῇ, καὶ ἐν ταῖς μεγάλαις μοναῖς καὶ πᾶσιν, ἰδίᾳ μετὰ τὸν ἑσπερινὸν καὶ τὴν τροφὴν, ἅπαξ γινομένην τότε. Τὰ μὲν οὖν ἀπόδειπνα τῆς ἁγίας Τεσσαρακοστῆς μεγάλα καὶ οὕτω καλούμενα **241** καὶ εἰς τρεῖς διαιροῦνται μοίρας, εἰς τύπον τῆς ἁγίας Τριάδος, καὶ τὴν ὑπὲρ ἡμῶν ἐξιλέωσιν. Καὶ δηλοῦσι περὶ τούτου τὰ Τυπικά· καὶ οὐ χρὴ πλατύτερον λέγειν, ἐπείπερ καὶ τὰ περὶ τῶν εὐχῶν σχεδὸν ἁπασῶν ἡρμηνεύσαμεν. Καὶ οἱ ἐν τοῖς ἀποδείπνοις ψαλμοὶ καὶ αἱ εὐχαὶ κατανύξεως καὶ ἐξομολογήσεως, καὶ περὶ ἀφέσεως καὶ αἰτήσεως ἱλασμοῦ, καὶ τὸ διελθεῖν τὴν νύκτα εἰρηνικῶς ἀφαντάστως, ἀμολύντως τε καὶ ἀνενοχλήτως· καὶ διαναστῆναι καλῶς ἐν τῷ καιρῷ τῆς τοῦ μεσονυκτίου καὶ τοῦ ὄρθρου προσευχῆς ἐν κατανύξει καὶ προθυμίᾳ. Τὸ δὲ μικρὸν λεγόμενον διὰ τὸ συνοπτικώτερον εἶναι, καὶ μίαν εἶναι ἀκολουθίαν, καὶ μὴ εἰς τρεῖς διαιρεῖσθαι, καθ' ἡμέραν ἐστὶ λεγόμενον, καὶ οἱ ψαλμοὶ τούτου τὰ αὐτὰ δυνάμενοι, καὶ οἱ καιριώτατοι τοῦ μεγάλου. Τρεῖς δὲ οὗτοι διὰ τὴν Τριάδα εἰσί· καὶ τὸ τῆς πίστεως ἁγιώτατον Σύμβολον διὰ τὴν ὁμολογίαν τῆς εὐσεβείας· καὶ τὸ, «Ἄξιόν ἐστι,» διὰ τὴν τοῦ Λόγου σάρκωσιν, καὶ τὴν τῆς Θεομήτορος μεσιτείαν. Μετὰ τὸ Σύμβολον δὲ, ὡς παρὰ τῶν Πατέρων ἡμῶν ἐλάβομεν, εἰς πρεσβείαν αὐτὴν, ὑπὲρ ἡμῶν καὶ τοὺς

A ἀγγέλους καὶ τοὺς ἁγίους ἐπικαλούμεθα, ὡς καὶ ἐν τοῖς μεγάλοις ἀποδείπνοις· ὅπερ καὶ λίαν ἀναγκαῖόν ἐστι, τὸ τοὺς ἐγγίζοντας Θεῷ μεσίτας ἐπικαλεῖσθαι καὶ βοηθούς. Εἶτα ἡ προσευχὴ τοῦ Τρισαγίου ὡς καὶ ἀρχὴ καὶ μέση τῶν ὕμνων καὶ τελείωσις οὖσα· τὸ, « Κύριε, ἐλέησον, » τεσσαράκοντα, διὰ τὴν ἀφιέρωσιν τῶν ὡρῶν ἡμῶν τῆς ζωῆς καὶ τῶν ἡμερῶν. Ἡ πρὸς τὴν Θεοτόκον τὴν ἄσπιλον καὶ ἀμόλυντον κεχαριτωμένη εὐχὴ, ὑπὲρ ἁπάντων αἰτοῦσα, τῶν τε ἐν τῷ παρόντι, καὶ τῷ τῆς ζωῆς ἡμῶν τέλει, καὶ τῶν ἐν τῷ μέλλοντι ἀγαθῶν· καὶ πάλιν εὐθὺς κατὰ τὸ ἔθος ἡ ταύτης ἐπίκλησις, τῆς τιμιωτέρας τῶν Χερουβὶμ, ἵνα τῇ τῶν πτερύγων σκέπῃ ταύτης φρουρώμεθα. Καὶ ἡ παρὰ τοῦ ἱερέως κατ' ἔθος εὐχὴ, τὸ οἰκτειρηθῆναι ἡμᾶς παρὰ Θεοῦ. B Καὶ οὕτως ἐπάγεται ἡ τελευταία εὐχὴ, τὸ, « Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσι. » Μᾶλλον δὲ μετὰ τὸ, « Κύριε, ἐλέησον, » τὸ, « Ὁ ἐν παντὶ καιρῷ, ἡ τιμιωτέρα, καὶ ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. » Ὕστερον δὲ ἡ εἰς τὴν Θεοτόκον εὐχὴ, τὸ, « Ἄσπιλε, » καὶ σὺν αὐτῇ τὸ, « Καὶ δὸς ἡμῖν, Δέσποτα, » ὃ καὶ σύνηθες καὶ τετυπωμένον πᾶσίν ἐστι.

ΚΕΦΑΛ. ΤΜΔ'.

Ὅτι χρὴ τὰ κοινῇ τετυπωμένα τηρεῖσθαι.

Τισὶ δὲ πρὸς τὴν προθυμίαν καὶ ἕτερά τινα ψάλλεται· πλὴν οὐκ ἐν τῷ κοινῷ, ἀλλ' ἰδίᾳ· ὅτι κατ' ἀνάγκην τὰ κοινῶς τετυπωμένα τηρεῖσθαι δεῖ διὰ τὴν τάξιν καὶ τὸ ἀθόρυβον, καὶ ἔτι τὸ ἀσκανδάλιστον. Ἰδίᾳ δὲ κανόνι τινὶ πατρικῷ τὸν προθυμούμενόν ψάλλειν κεκτῆσθαι τὴν ἄδειαν κελλικῶς· ἢ καὶ C μετὰ μαθητῶν οἰκείων τινὰ ἰδίως, ἢ καὶ μετὰ ἀδελφῶν συμπροθυμουμένων τινί. Καὶ τοῦτο μετὰ δοκιμασίας τῶν Πατέρων τε καὶ βουλῆς· ὅτι σωτηρία ὑπάρχει ἐν πολλῇ βουλῇ, καθάπερ ἐμάθομεν. Ὅτι δὲ κατανύξεως χάριν καὶ κανόνες ἐν ἀποδείπνοις ψάλλονται, οἴδατε, ὡς καὶ ὁ μέγας κανών. Καὶ καθ' ἑσπέραν δέ τινες ψάλλουσιν ἐν μοναῖς ἱεραῖς τῆς Θεοτόκου κανόνας, καὶ τὴν τῆς ἀκαθίστου ἀκολουθίαν, πλεῖστοι ἐν ἑκάστῃ ἑσπέρᾳ Παρασκευῆς· καὶ πᾶς ὁ προθυμούμενός τε καὶ κοπιῶν, καὶ μείζονα τὸν μισθὸν ἕξει, καὶ κατὰ τὸν κόπον αὐτοῦ. Ἀλλ' ἐκεῖνα μὲν τῇ προαιρέσει ἑκάστου καὶ προθυμίᾳ κεῖται· ταῦτα δὲ τὰ ἐν τῷ φανερῷ τυπωθέντα οὐ χρὴ παραβαίνειν τινὰ δίχα πολλῆς ἀνάγ- D κης καὶ ἀσθενείας. Ἀλλὰ καὶ τοῖς ἀσθενοῦσιν ἐστιν ἡ κατὰ νοῦν προσευχὴ, ἡ καὶ πασῶν ἀναγκαιοτάτη· καὶ τοῖς ἐν περιστάσει δὲ καὶ ἀνάγκῃ χρήσιμος μᾶλλον ἡ πρὸς Θεὸν καταφυγή τε καὶ προσευχή· ὅτι, « Τίς ἡμᾶς πλὴν Θεοῦ ῥύσεται ἐκ θλίψεως; » καὶ ματαία πᾶσα σωτηρία ἀνθρώπου. Καὶ, « Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν. » Καὶ, « Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· » καὶ τὰ ὅμοιά φησιν. Εἰσὶ δὲ οἱ μετὰ τῶν τυπωμένων πλεῖστα καὶ κατ' ἰδίαν
242 ποιοῦσι, καὶ τῇ ψυχῇ μὲν ἀεὶ κεκόλληνται τῷ Θεῷ· τὸ σῶμα δὲ ἐγκρατείαις καὶ νηστείαις, ἀγρυπνίαις τε καὶ χαμευνίαις καὶ γυμνότησι, καὶ κακουχίαις ἄλλαις συντρίβουσι, καὶ γονυκλισίαις πολλαῖς· οἳ καὶ μετὰ μαρτύρων ταχθήσονται, καὶ δέον

A deprecamur, velut in majore completorio, quod est valde necessarium, nempe appropinquantes Deo ad deprecandum et auxiliandum advocare. Deinceps oratio Trisagii tanquam initium mediumque et finis laudum, atque «Kyrie eleison» quadragies ad horas diesque vitæ nostræ sanctificandum. Et iterum ad immaculatam et intemeratam Dei genitricem gratia plena salutatio pro universis deprecatoria tam in præsenti sæculo degentibus quam nobis in fine vitæ constitutis ac bonis in futuro sæculo lætantibus; et rursus secundum consuetudinem ejusdem invocatio Cherubim magis prædicandæ, ut alarum suarum tegumento nos tueatur. Fit etiam de more sacerdotis oratio deprecantis ut Deus misereatur nostri. Et ita additur ultima oratio: « Da B nobis, Domine, ad dormiendum recedentibus. » Vel potius post «Kyrie eleison » dicitur: « Qui in omni tempore... virgo laude dignissima... et Deus, miserere nostri. » Ac posterius oratio ad Deiparam ita incipiens: « O Immaculata », et cum ea: « Da nobis, Domine », quæ est consueta oratio et universim instituta.

CAPUT CCXLIV.

Quod oporteat servare quæ communiter designata sunt.

Quidam vero, præ pietatis ardore, alia adhuc cantant, non tamen in commune, sed seorsum, quoniam necessario servanda sunt quæ communiter designata sunt ordinis gratia bonæque disposi- C sitionis, atque ut vitetur scandalum. Seorsum vero ex regula a patribus accepta, vir fervens facultatem habet psallendi vel solus, vel cum propriis discipulis, vel etiam cum fratribus æque ferventibus, idque fit plaudentibus et consulentibus patribus, quoniam salus versatur in multo consilio, prout didicimus. Canones etiam compunctionis gratia in completorio cantari nostis, sicut et canon magnus. Et vespere nonnulli cantant in sacris monasteriis canones Dei Genitricis, ordinemque ἀκαθίστου multi psallunt in vesperis parasceves; omnisque vir fervens et laborans majorem habebit mercedem labori suo consentientem. Sed illa quidem cujuslibet electioni et religioni subjacent; ista vero aperte instituta transgredi non oportet D nisi magnæ causa necessitatis et infirmitatis. Sed et infirmis superest quæ in mente fit oratio omnium quam maxime necessaria; virisque in necessitate et instantia constitutis perutile est ad Deum confugere eumque obsecrare, quoniam: « Quis nos, inquit, præter Deum eruet a tribulatione? » et « Vana omnis salus hominis, » et: « In Deo faciemus virtutem, » et: « Clamabit ad me, et ego exaudiam eum » ac similia. Sunt autem qui cum institutis multa seorsim faciunt, quorum anima quidem semper cum Deo conglutinata est, corpus vero austeritatibus, jejuniis, vigiliis, humi cubationibus, nuditate, aliisque afflictionibus conteritur, et multis genuflexionibus qui cum martyribus collocabuntur, quos oportet pro viribus et facultate imitari, ut nos quoque cum

eis propter aliquem parvum laborem per misericordiam Dei collocemur. Nisi enim totum perficere poterimus, sed super pauca et parva in omnibus eos imitati fuerimus, aut nos ferventes ad totum confortabit Deus; nam ipsis quoque a Deo virtus, aut parvi operis propter infirmitatem nostram miserebitur, donabitque ut cum eis collocemur. Talis enim Dominus, qui utpote bonus, parvam causam a nobis exquirat, ipseque totum adimplens nos faciat salvos, et cum servis suis ut optimus collocet. Typicum quidem Hierosolymitanum in his absolvimus.

CAPUT CCCXLV.

Principium institutionum, præceptionumque et ordinis cantionum.

Videamus autem expressius mysteria œconomiæ Christi in eo qui jure dicitur cantionum ordine repræsentata, qui a patribus nostris desuper datus est, prout didicimus. Hunc omnes Ecclesiæ catholicæ quæ sunt super terram cum melodia ab initio peragebant, nihil absque cantu dicentes nisi solas sacerdotum preces et diaconorum postulationes, in primis vero maximæ Constantinopolis, Antiochiæ et Thessalonicæ Ecclesiæ; nunc autem in hac tantum et in sola divina Sanctæ Dei Sapientiæ sede adhuc perficitur. Porro ille sic se habet, ut etiam de illo demus mentionem.

CAPUT CCCXLVI.

De vespertina cantione.

Prius quidem in vesperis solebant ministri templum incenso ante ordinem implere in gloriam Dei et in signum divinæ Dei gloriæ, quæ implevit olim tabernaculum, et non poterant Moyses Aaronque ingredi in tabernaculum priusquam assurgeret; similiter et in templo Salomonis, quo gloria impleto, non poterant sacerdotes stare et ministrare in conspectu Domini, antequam nubes illa evanesceret; et pariter in matutino officio prius fumo ex thure surgente templum implebant.

CAPUT CCCXLVII.

Quid suffitus qui tacite fieri solet ante vespertinum et matutinum officium.

Nunc autem illud non fit, nisi quod in missa tantum diaconus aut sacerdos post offertorium in figuram illius gloriæ incensat altare in silentio, vel totum templum. Quod fit etiam in monasteriis ante solemnes vesperas, sacerdote divinam gloriam et gratiam ab angelo datam significante, et quoniam plena est gloria domus Domini. Itaque in vespertina cantione stans sacerdos ante sacram mensam velut in cœlo ante thronum Dei, benedicit eum qui est in Trinitate Deum, nequaquam dicendo: « Benedictus Deus, » hoc enim est insolitum in ordine

A αὐτοὺς ὡς δυνατὸν καὶ ἐγχωροῦν ἐστιν ἐκμιμεῖσθαι, ὡς ἂν καὶ αὐτοῖς διὰ μικροῦ τινος πόνου ἐλέῳ Θεοῦ καὶ ἡμεῖς συνταχθείημεν. Εἰ γὰρ μὴ τὸ πᾶν ἐξισχύσομεν ἐκτελέσαι, ἐν ὀλίγῳ δὲ καὶ βραχυτάτῳ ἀπὸ πάντων ἐκμιμησόμεθα, ἢ καὶ εἰς τὸ πᾶν ἐξισχύσει προθυμουμένους ὁ Θεὸς ὡς κἀκείνους· καὶ τούτοις γὰρ ἡ ἰσχὺς παρὰ τοῦ Θεοῦ, ἢ τῷ μικρῷ ἔργῳ διὰ τὴν ἀσθένειαν οἰκτειρήσει· καὶ τὸ σὺν ἐκείνοις ταχθῆναι χαρίσεται. Τοιοῦτος γὰρ ὁ Δεσπότης· ἀφορμήν τινα μόνον ζητεῖ παρ' ἡμῶν, ἀγαθὸς ὤν, καὶ αὐτὸς τὸ πᾶν ἐκπληρῶν, ἡμᾶς σώζει, καὶ τοῖς αὐτοῦ συντάττει δούλοις ὡς ὑπεράγαθος. Καὶ τὰ μὲν τοῦ Ἱεροσολυμητικοῦ τυπικοῦ ἐν τούτοις.

ΚΕΦΑΛ. ΤΜΕ'.

B *Ἀρχὴ τῶν ὑποτυπώσεών τε καὶ διατάξεων, καὶ τῆς ᾀσματικῆς λεγομένης ἀκολουθίας.*

Ἴδωμεν δὲ ἐμφαντικώτερον τὰ τῆς οἰκονομίας Χριστοῦ τυπούμενα μᾶλλον καὶ ἐν τῇ ᾀσματικῇ καλῶς λεγομένῃ ἀκολουθίᾳ, ἥτις παρὰ τῶν Πατέρων ἡμῶν ἄνωθεν δέδοται, καθάπερ εἰρήκαμεν. Καὶ αἱ καθολικαὶ δὲ ἐκκλησίαι πᾶσαι ἀνὰ τὴν οἰκουμένην ἀπαρχῆς ταύτην ἐτέλουν μελῳδικῶς, μηδὲν χωρὶς λέγουσαι μέλους, εἰ μὴ τὰς τῶν ἱερέων μόνον εὐχὰς, καὶ τὰς τῶν διακόνων αἰτήσεις· ἐξαιρέτως δὲ αἱ μέγισται Ἐκκλησίαι, τῆς Κωνσταντίνου καὶ Ἀντιοχείας ποτὲ, καὶ Θεσσαλονίκης· εἰς ἣν ἄρτι καὶ μόνον ἐν μόνῳ τῷ τῆς τοῦ Θεοῦ Ἁγίας Σοφίας θείῳ ναῷ ἐνεργεῖσθαι ὑπολέλειπται. Ἔχει δὲ οὕτως, ἵνα καὶ τὴν περὶ τούτων δῶμεν ὑπόμνη-

C σιν.

ΚΕΦΑΛ. ΤΜϚ'.

Περὶ τοῦ ᾀσματικοῦ ἑσπερινοῦ.

Ἐν μὲν τῷ ἑσπερινῷ, πρότερον μὲν ἦν ἔθος θυμιάματος πρὸ τῆς ἀκολουθίας πληροῦν τὸν ναὸν τοὺς ὑπηρέτας, εἰς δόξαν Θεοῦ, καὶ τύπον τῆς τοῦ Θεοῦ θείας δόξης, ἥτις ἐπλήρωσέ ποτε τὴν σκηνὴν, καὶ οὐχ ἠδύνατο Μωϋσῆς τε καὶ Ἀαρὼν εἰσελθεῖν εἰς τὴν σκηνὴν, ἕως οὗ ἐπήρθη· ὁμοίως καὶ ἐν τῷ τοῦ Σολομῶντος ναῷ, ὅτε πληρωθέντος τῆς δόξης αὐτοῦ τοῦ ναοῦ, οὐχ ἠδύναντο οἱ ἱερεῖς στῆναι καὶ λειτουργεῖν ἐνώπιον Κυρίου, ἕως οὗ ἐγένετο ἀφανὴς ἡ νεφέλη ἐκείνη. Καὶ ἐν τῷ ὄρθρῳ δὲ ὁμοίως ἐπλήρουν πρότερον τὸν ναὸν καπνοῦ ἐκ τοῦ θυμιά-

D ματος.

ΚΕΦΑΛ. ΤΜΖ'.

Τί τὸ θυμίαμα ἐν σιγῇ πρὸ τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου.

Νῦν δὲ τοῦτο οὐ γίνεται, εἰ μὴ κατὰ τὴν λειτουργίαν καὶ μόνον ὁ διάκονος ἢ ὁ ἱερεὺς, μετὰ τὴν προσκομιδὴν εἰς τύπον ἐκείνης τῆς δόξης, θυμιᾷ τὸ θυσιαστήριον ἐν σιγῇ, ἢ καὶ τὸν ναὸν ἅπαντα. Τοῦτο δὲ γίνεται καὶ ἐν μοναστηρίοις πρὸ τοῦ μεγάλου ἑσπερινοῦ, τὴν θείαν δόξαν καὶ χάριν δι' ἀγγέλου χορηγουμένην τοῦ ἱερέως σημαίνοντος· καὶ ὅτι πλήρης δόξης ὁ οἶκος Κυρίου. Ἐν τῷ ᾀσματικῷ ἑσπερινῷ τοίνυν στὰς ὁ ἱερεὺς πρὸ τῆς ἁγίας τραπέζης ὡς ἐν οὐρανῷ πρὸ τοῦ θρόνου τοῦ Θεοῦ εὐλογεῖ τὸν ἐν Τριάδι Θεὸν, οὐ λέγων, « Εὐλογητὸς ὁ

Θεός· » οὐ γὰρ ἔθος τοῦτο ἐν τῇ τάξει τοῦ ᾄσματος· ὅτι τῆς Παλαιᾶς Γραφῆς τοῦτο μόνης. Ἀλλ' ὥσπερ ἐν τῇ ἱερᾷ λειτουργίᾳ, « Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος πάντοτε· » τὸ ἑνιαῖον τῆς βασιλείας καὶ φύσεως, καὶ τὸ τριαδικὸν θεολογῶν τοῦ Θεοῦ, ὃ τῆς χάριτός ἐστι κήρυγμα, ἡ ἐπίγνωσις καὶ ὁμολογία **243** τοῦ μόνου ἐν Τριάδι Θεοῦ. Καὶ εὐθὺς τὰ εἰρηνικὰ, τὴν εἰρήνην πρῶτον ἀπὸ τοῦ Κυρίου διδοὺς, καὶ διδάσκων πάντας αἰτεῖσθαι ὁ ἱερεύς. Ἰστέον οὖν, ὅτι ἡ τῆς λειτουργίας ἀκολουθία μόνη ὑπολέλειπται κατὰ τὴν ἀρχαίαν γίνεσθαι τάξιν· διὸ καὶ οὕτως εὐλογεῖ τὸν Θεὸν ὁ ἱερεὺς, καὶ οὕτως εὐθὺς τὰ εἰρηνικὰ λέγει, καὶ τὰ τρία ἀντίφωνα εἰς τύπον τῆς Τριάδος ᾄδονται, ἅπερ τῆς ἀρχαίας τοῦ ᾄσματος ἀκολουθίας εἰσί. Καὶ μὴ εἰδότες τοῦτό τινες ἐν τῷ ᾀσματικῷ ἑσπερινῷ λεγομένων τῶν τριῶν ἀντιφώνων, ὕστερον δὲ καὶ τοῦ Τρισαγίου, ὡς λειτουργίαν τοῦτο κατονομάζουσι. Καὶ μᾶλλον οἱ ἐσχηκότες ἀρχῆθεν ταύτην δὴ τὴν ἀκολουθίαν οἱ Κωνσταντινουπολῖται τοῦτο ἄρτι θαυμάζουσι, μὴ εἰδότες ὡς ταῦτα διωγμῷ Λατίνων τὰ κάλλιστα κατέλιπον ἔθη· ὡς καὶ ἐν ταῖς νηστείαις τὴν τῆς τριτοέκτης ἱερὰν καὶ ἀρχαίαν ὑπηρεσίαν τε καὶ διάταξιν καὶ τὴν τῆς λεγομένης παννυχίδος· κατὰ πᾶσαν ἑσπέραν γινομένην ποτὲ, καὶ μάλιστα κατὰ τὴν ἁγίαν μεγάλην Τεσσαρακοστὴν, καὶ ἐν τῇ πρώτῃ ταύτης, καὶ τῇ μεγάλῃ ἑβδομάδι, ὧν καὶ εὐχαί εἰσιν ἀναγκαῖαι αἱ κατὰ τὴν παννυχίδα ἐπιγραφόμεναι· καὶ αἱ τῆς τριτοέκτης κατὰ παράδοσιν ἀρχαίαν, τύπον τῶν ὡρῶν ἐχούσης, καὶ τοῦτο καλουμένης ἐκ τοῦ ὀνόματος, καὶ τῆς ἱερᾶς λειτουργίας, περὶ ὧν καὶ ἐροῦμεν ὡς ἐν βραχεῖ μετ' ὀλίγον. Νῦν δὲ περὶ τοῦ ἑσπερινοῦ λέγομεν, ὡς τοῦ ἱερέως εὐλογήσαντος, καὶ τὰ εἰρηνικὰ εἰρηκότος πάντα, καὶ τὸ, « Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, » οἱ ψάλται εὐθὺς, « καὶ Ἐπάκουσόν μου, δόξα σοι, ὁ Θεός, » ᾄδουσι. Καὶ ἀναγκαῖον τὸ μελῳδούμενον, ἱκεσίαν ἅμα καὶ δοξολογίαν περιέχον Θεοῦ· καὶ τὸ μὲν ἀπὸ τοῦ Ψαλμοῦ, « Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου· » τὸ δὲ ἀπὸ τῶν ἀγγέλων, « Δόξα ἐν ὑψίστοις Θεῷ· καὶ, » Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· καὶ, « Εὐλογημένη ἡ δόξα Κυρίου. » Εἶτά φησιν ὁ ἱερεὺς, « Τῆς Παναγίας ἀχράντου· » καὶ ἐκφώνως ἀνυμνεῖ τὸν ἐν Τριάδι Θεὸν, « Ὅτι πρέπει σοι, λέγων, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις. » Καὶ οὕτω πᾶς ὁ Ψαλμὸς λέγεται μετὰ τοῦ, « Δόξα σοι, ὁ Θεός. » Τὸ Ἐπάκουσόν μου οὖν, τοῦ ἐπαγομένου ψαλμοῦ τυγχάνον, ὡς εἴρηται. Τοῦτο ἔθος καὶ ἐν ταῖς ἄλλαις ἀκολουθίαις ἐστὶν ἐν τῷ ᾄσματι· προλέγουσι γάρ τι στίχου μέρος ἀεὶ τοῦ ἐπιφερομένου ψαλμοῦ, ἢ μετὰ τοῦ Ἀλληλούϊα, ἢ τοῦ, « Δόξα σοι, ὁ Θεός, » ἤ τινος ὑποψάλματος προοιμιαζόμενοι· ὑπόψαλμα δὲ λέγεται διὰ τὸ μετὰ τοῦ ψαλμοῦ κατὰ στίχον ᾄδεσθαι. Καὶ πρῶτον μὲν τὸν στίχον, ἔπειτα δὲ τοῦτο λέγεσθαι· οἷον, « Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου. Δόξα σοι, ὁ Θεός· » καὶ ἐν τοῖς λοιποῖς ὁμοίως. Ἐν τοῖς ἑσπερινοῖς οὖν ἅπασι τὸ, « Κλῖνον, Κύριε, τὸ οὖς σου, » ψάλλεται.

A cantionum, quoniam ad vetus Testamentum solummodo pertinet. Sed quemadmodum in missa: « Benedictum regnum Patris et Filii et Spiritus sancti semper », unitatem imperii et naturæ Deique trinitatem prædicans, quod est gratiæ prædicatio et agnitio necnon confessio solius in Trinitate Dei. Et statim pacifica verba, pacem enim a Domino primum dat sacerdos et omnes ad orandum invitat. Igitur scire oportet, quoniam solus ordo missæ superest secundum antiquam institutionem servandus. Quamobrem ita benedicit sacerdos, et ita protinus pacem dicit, tresque antiphonæ in typum Trinitatis cantantur, quæ ad antiquum cantionis ordinem pertinent. Quod nescientes quidam in vespertina cantione dictarum trium antiphonarum
B et deinde Trisagii, missæ nomine hoc appellant. Et præsertim qui a principio istum habuerunt ordinem Constantinopolitani istud modo mirantur ignorantes se pulcherrimos hos ritus persecutione Latinorum amisisse, sicut et in jejuniis sacrum antiquumque tertiæ et sextæ horæ ministerium ac institutum atque præceptionem Παννυχὶς dictam, quia per totam noctem durabat, quæ quondam singulis vesperis fiebat, in primis per magnam Quadragesimam, et in prima magnaque hujus hebdomade, ex quibus preces sunt necessariæ, quæ tota nocte dicebantur, necnon preces inter tertiam sextamque horam secundum antiquam traditionem, quæ cantio horas repræsentat, et ideo hoc nomine
C vocatur; insuper preces sanctæ missæ de quibus vel breviter mox disseremus. Nunc vero de vesperis dicimus. Postquam ergo benedixerit sacerdos et pacem dixerit, necnon: « Suscipe salva, miserere. » cantores illico psallunt: « Et exaudi me, gloria tibi, Deus » quod mens est necessarium, deprecationem simulque glorificationem Dei continens. Cantant etiam illud e psalmo: « Inclina, Domine, aurem tuam, et exaudi me, » angelicumque canticum: « Gloria in altissimis Deo, » et, « Pleni sunt cœli et terra gloria ejus, » et; « Benedicta gloria Domini. » Deinceps sacerdos ait: « Sanctissimæ et immaculatæ », altaque voce Deum in Trinitate celebrat dicens: « Quoniam te decet omnis gloria, honor et adoratio. » Et ita totus dicitur psalmus cum his vo-
D cibus: « Gloria tibi, Deus, » et; « Me igitur exaudi. » quæ in psalmo dum continuatur interponuntur, sicut dictum est. Hæc est enim in cantione etiam in aliis ordinibus consuetudo; prius partem versus dicunt, et singulis psalmi continuati versibus præludunt dicentes Alleluia, vel: « Gloria tibi, Deus » vel alium intercalarem versiculum, qui hoc vocatur nomine quia cum psalmo inter versus cantatur. Primus quidem dicitur versus, et deinde ille versiculus, exempli gratia: « Inclina, Domine, aurem tuam et exaudi me; Gloria tibi Deus », et similiter in cæteris. Igitur in vespertina cantione tota cantatur: « Inclina, Domine, aurem tuam », quoniam sol justitiæ inclinavit cœlos et descendit licet occasum nesciens, tunc vero sensibilis inclinans sol occidit:

Hic tamen et inclinando et occidendo et oriendo solem illum occasus nescium annuntiat qui per carnem nobis apparuit; videlicet ostendit ipsum quoque Deum Dei Verbum descendisse a cœlo in terram, fulsisse nobis diem prioris ejus adventus, et usque ad inferos sub terram eumdem descendisse, rursusque surrexisse et ascendisse, et iterum de cœlo ortum modo visum esse, diem absque vespere fecisse et mundum illuminasse universum. Ideo totus iste psalmus per versus dicitur ex utroque choro, et illud: «Gloria tibi, Deus,» in singulis versibus. Antiquum esse hunc ordinis ritum ex precibus patet; ea enim quæ lampadum dicitur precum prima in semetipsa continet totius psalmi sententiam, verbaque ex eo habet: «Domine miserator et misericors», cæterasque antiphonas eamdem ac psalmi sententiam et verba ex ipsis habere invenies, quod recte etiam demonstrat vespertini ingressus oratio sic incipiens: «Vespere et mane et meridie.» Quoniam ad hunc psalmum versumque illum: «Domine, clamavi» fit ingressus, dictaque oratio verba et sententias e psalmo cantato continet, ita ut omnia per sacerdotem Deo offerantur; verbi gratia: «Dirige orationem nostram sicut incensum in conspectu tuo,» et: «Non declines cor nostrum in verba malitiæ,» et: «Quoniam ad te Domine, Domine oculi nostri», quia ad hunc versum sacerdos invitatus in ingressu ascendit; hoc autem, me judice, monstrat deprecationem prophetarum eorumque prophetiam de venturo et incarnando Domino, atque per passionem et resurrectionem nos ab inferno ac corruptione salvaturo. Ideo cantorum primus sacerdotem invitat, sicut et David: Domine, inclina cœlos et descende,» et, «Emitte fortitudinem tuam et veni ad salvandum nos;» et velut ex inferno clamat: «Ad te, Domine, oculi mei; in te speravi, ne perdas animam meam.» Ideo et sacerdos ad hunc versum ascendit Christi ad nos et usque ad infernum descensum manifestans, ejusque resurrectionem, per quam ab inferis liberati sumus, et iterum in cœlum ejus ascensum. Vesperis quidem nuper dicebatur psalterium, sicut et nunc in officio matutino; quod imitata monasteria dimidium psalterii vesperis, et in officio matutino sine intermissione duo dicunt. Nunc autem in cantione vespertina propter infirmitatem et negligentiam non dicitur antiphona psalterii, nisi in sancta tantum Quadragesima et in vesperis cujuslibet Sabbati in sola sancta Sapientia, ubi, propter conquestus quorumdam ignarorum, solum psalmum «Beatus vir» cum melodia et cantu dicere præcepimus, in sancta autem rursus dicuntur secundum consuetudinem sex antiphonæ et unum tantummodo psalmi dimidium. Psalmus vero: «Inclina, Domine, aurem tuam,» deprecationem comprehendit Deique glorificationem, passumque pro nobis celebrat Dominum Jesum Christum quem miseratorem dicit et multæ misericordiæ atque veracem, oratque ut detur nobis signum in bonum, crucem

A ὅτι καὶ ὁ τῆς δικαιοσύνης Ἥλιος ἔκλινεν οὐρανοὺς καὶ κατέβη ἄδυτος μένων, καὶ ὁ αἰσθητὸς κλίνων δύνει ἥλιος. Πλὴν καὶ αὐτὸς κλίνων καὶ δύνων καὶ ἀνατέλλων, τὸν ἀνέσπερον ἐκεῖνον ἥλιον καταγγέλλει, διὰ σαρκὸς ἐπιφανέντα ἡμῖν· οἷον τὸ κατελθεῖν αὐτὸν τὸν τοῦ Θεοῦ Θεὸν Λόγον ἐκ τῶν οὐρανῶν ἐπὶ γῆς, καὶ λάμψαι ἡμῖν τὴν ἡμέραν τῆς πρώτης αὐτοῦ παρουσίας, καὶ μέχρις ᾅδου ὑπὸ γῆν καταβῆναι, καὶ αὖθις ἀναστῆναι καὶ ἀνελθεῖν, καὶ πάλιν ἐξ οὐρανοῦ φανῆναι τότε καὶ ἀνατεῖλαι, καὶ τὴν ἀνέσπερον ἡμέραν τελέσαι, καὶ τὸν κόσμον καταυγάσαι πάντα σημαίνει. Διὸ καὶ πᾶς ὁ ψαλμὸς οὗτος, τὸ, «Κλῖνον, Κύριε,» κατὰ στίχον λέγεται ἐξ ἑκατέρου χοροῦ, καὶ τὸ, «Δόξα σοι, ὁ Θεὸς,» ἐν ἑκάστῳ στίχῳ. Ὅτι δὲ ἀρχαῖον τοῦτο τῆς ἀκολουθίας τὸ

B ἔθος, καὶ ἀπὸ τῶν εὐχῶν δῆλον. Ἡ τῶν λυχνικῶν γὰρ λεγομένων εὐχῶν πρώτη ἐν ἑαυτῇ περιέχει τὴν τοῦ Ψαλμοῦ παντὸς ἔννοιαν, καὶ ῥήματα ἐξ αὐτοῦ· «Κύριε οἰκτίρμων καὶ ἐλεήμων·» καὶ τὰς λοιπὰς δὲ ὁμοίως πρὸς τοὺς ψαλμοὺς τῶν ἀντιφώνων καὶ τὰς ἐννοίας ἐχούσας καὶ ῥήματα εὑρήσεις ἐξ αὐτῶν· ὡς καὶ ἡ τῆς εἰσόδου τοῦ ἑσπερινοῦ σαφῶς δείκνυσιν, ἧς ἀρχὴ τὸ, «Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας.» Ἐπεὶ γὰρ εἰς τὸ, «Κύριε, ἐκέκραξα,» καὶ τοὺς αὐτοῦ στίχους ἡ εἴσοδος γίνεται, καὶ ἡ εὐχὴ λέγεται, καὶ ῥήματα ψαλμικὰ ἐκ τῶν ᾀδομένων καὶ ἐννοίας περιέχει, ὡς ἂν ἀναφέρωνται πάντα 244 διὰ τοῦ ἱερέως πρὸς τὸν Θεόν· οἷον, «Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου·» καὶ, «Μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους πονη-

C ρίας,» καὶ, «Ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν.» Ἐπεὶ καὶ εἰς τοῦτον τὸν στίχον ὁ ἱερεὺς καλούμενος ἐν τῇ εἰσόδῳ ἀνέρχεται. Τοῦτο δὲ δηλοῖ, οἶμαι, τὴν διὰ τῶν προφητῶν ἱκεσίαν ἅμα καὶ προφητείαν, περὶ τοῦ παραγενέσθαι καὶ ἐνανθρωπῆσαι τὸν Κύριον, καὶ διὰ τοῦ πάθους καὶ τῆς ἐγέρσεως σῶσαι τοῦ ᾅδου ἡμᾶς καὶ τῆς φθορᾶς. Διὸ καὶ ὁ τῶν ψαλμῳδῶν πρῶτος τὸν ἱερέα καλεῖ· ὡς καὶ ὁ Δαβὶδ, «Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι·» καὶ, «Ἐξαπόστειλον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.» Καὶ ὡς ἐκ τοῦ ᾅδου βοᾷ, «Ὅτι πρὸς σὲ, Κύριε, οἱ ὀφθαλμοί μου. Ἐπὶ σοὶ ἤλπισα. Μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Διὸ καὶ ὁ ἱερεὺς τότε ἐν τῷ στίχῳ τούτῳ ἀνέρχεται, τὴν κατάβασιν εἰς ἡμᾶς Χριστοῦ ἄχρι καὶ τοῦ ᾅδου

D δηλῶν, καὶ τὴν ἔγερσιν αὐτοῦ, δι' ἧς τοῦ ᾅδου ἐῤῥύσθημεν, καὶ πάλιν εἰς οὐρανοὺς ἀνάβασιν. Καθ' ἑσπέραν μὲν οὖν καὶ πρώην ἐλέγετο τὸ Ψαλτήριον, ὡς καὶ ἐν τῷ ὄρθρῳ νῦν. Ὃ δὴ καὶ αἱ μοναὶ ἐκμιμούμεναι, κάθισμα Ψαλτῆρος ἑσπέρας, καὶ ἐν τῷ ὄρθρῳ δύο διηνεκῶς λέγουσι. Νῦν δὲ ἐν τῷ ᾀσματικῷ ἑσπερινῷ δι' ἀσθένειαν καὶ ἀμέλειαν ἀντίφωνα Ψαλτῆρος οὐ λέγεται, εἰ μὴ ἐν τῇ ἁγίᾳ καὶ μόνον Τεσσαρακοστῇ, καὶ παντὶ Σαββάτῳ ἑσπέρας ἐν μόνῃ τῇ Ἁγίᾳ Σοφίᾳ· ὅπου καὶ διὰ τὸ γογγύζειν τινὰς ῥαθυμοῦντας, μόνον τὸ, «Μακάριος ἀνὴρ,» τὸν ἕνα ψαλμὸν μετὰ μέλους κατὰ τὸν ἦχον λέγειν διετυπώσαμεν. Ἐν δὲ τῇ ἁγίᾳ Τεσσαρακοστῇ, πάλιν λέγεσθαι κατὰ τὸ ἔθος τὰ ἓξ ἀντίφωνα, ἢ τὸ

ἐν κάθισμα μόνον. Τὸ δὲ, « Κλῖνον, Κύριε, τὸ οὖς A σου, » ὁ ψαλμὸς, καὶ ἱκεσίαν περιέχει καὶ δοξολογίαν πρὸς Θεόν. Καὶ τὸν παθόντα ὑπὲρ ἡμῶν ἀνυμνεῖ Κύριον Ἰησοῦν Χριστὸν, καὶ οἰκτίρμονά φησι καὶ πολυέλεον καὶ ἀληθινόν. Καὶ δοῦναι ἡμῖν σημεῖον εἰς ἀγαθὸν ἐξαιτεῖται, τὸν σταυρὸν δηλονότι, ᾧ πρὸς ἑσπέραν προσηλωμένος σαρκὶ ὁ Σωτὴρ τέθνηκε· καὶ κράτος δοθῆναι ἡμῖν ζητεῖ· καὶ σωθῆναι ἡμᾶς. Εἶτα, « Δόξα, » μέλπουσι, καὶ ὁ χορὸς ἄλλος, « Καὶ νῦν μετὰ τοῦ, Δόξα σοι, ὁ Θεός. » Καὶ πάλιν ὁ ἱερεὺς μικρὰν συναπτὴν, « Ἔτι καὶ ἔτι, » καὶ τὸ, « Ἀντιλαβοῦ· » καὶ ὁ ψάλτης μετ' ᾠδῆς, « Τὴν οἰκουμένην, Ἀλληλούϊα. » Ἐπεὶ γὰρ εἶπεν ὁ ἱερεὺς πρὸς τὸν Θεὸν, « Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι, » ἐπάγει ὁ ψάλτης, B « Ὅτι τὴν οἰκουμένην, ὁ Θεὸς, ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον τῇ ἐπιδημίᾳ σου. » Ὃ δηλοῖ τὸ Ἀλληλούϊα. Ἐπιδημία γὰρ Θεοῦ, καὶ ἔλευσις καὶ ἐμφάνεια Θεοῦ ἑρμηνεύεται τὸ Ἀλληλούϊα, καὶ τῆς οἰκονομίας τοῦτό ἐστιν ἐξαίρετος αἶνος. Διὸ καὶ συνεχῶς τοῦτο παρ' ἡμῶν ψάλλεται, καὶ πρὸ τοῦ Εὐαγγελίου λέγεται, ὡς τὴν παρουσίαν Χριστοῦ δηλοῦν τὸ Ἀλληλούϊα. « Ἔρχεται γὰρ, φησὶν, ὁ Θεός· ὃς καὶ ἦλθε, καὶ ἐξ οὐρανῶν πάλιν ἐλεύσεται. » Καὶ ὁ ἱερεὺς, « Τῆς Παναγίας ἀχράντου, » εἰπὼν, καὶ παραδοὺς πάντας τῷ Θεῷ διὰ πάντων τῶν ἁγίων, ἐκφωνεῖ, « Ὅτι σὸν τὸ κράτος, » δοξολογῶν τὸν ἐν Τριάδι μόνον Θεόν. Καὶ εὐθὺς ὁ ψάλλων τὸ κατὰ τὴν ἡμέραν ᾄδει προκείμενον. Ὃ καὶ τελευταῖον ἀντίφωνον λέγεται διὰ τὰ ἕτερα ἀντίφωνα, C λεγόμενα μὲν πρώην, ἀφεθέντα δὲ νῦν. Τῷ Σαββάτῳ οὖν ἑσπέρας, « Ἀναστήτω ὁ Θεὸς, » λέγεται στίχος εἷς, καὶ δόξα καὶ νῦν, » καὶ συναπτῶς τῷ, « Κύριε, ἐκέκραξα, » μετὰ τοῦ ὑποψάλμου, « Τὴν ζωηφόρον σου ἔγερσιν, Κύριε, δοξάζομεν· ὃ λέγεται τῇ μιᾷ Κυριακῇ. Τῇ δὲ ἑτέρᾳ, « Τὴν σωτήριόν σου ἔγερσιν, Κύριε, δοξάζομεν, » καὶ τῶν ἑξῆς οὕτω λεγομένων στίχων, ὁ ἱερεὺς ποιεῖται τὴν εἴσοδον, ἢ καὶ πλείονες σὺν αὐτῷ καὶ διάκονοι, καθάπερ ἔθος ἐστὶ, φώτων προηγουμένων, καὶ θυμιατοῦ ὄντος μετὰ θυμιαμάτων, εἰς τύπον τῆς ἄνωθεν τάξεως, καὶ μετάδοσιν ἀπὸ τοῦ θυσιαστηρίου τῆς τοῦ Θεοῦ χάριτος, καὶ εἰς τὸ ἀναθεῖναι τὴν προσευχὴν ἡμῶν ἄνω ὡς εὔοσμον καὶ ἁγνὸν θυμίαμα, καθὰ καὶ ὁ ᾀδόμενος λέγει ψαλμὸς, καὶ ἡ εὐχὴ, κλινόντων τῶν D ἱερέων λεγομένη, τὸ, « Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας, » ὡς εἴρηται, ἁρμοδίως πρὸς τὰ ψαλλόμενα ἔχουσα. « Κατεύθυνον γὰρ, φησὶ, τὴν προσευχὴν **245** ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, » καὶ, « Μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς, » καὶ ὅτι « Πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, » καὶ, « Μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. » Καὶ ἡ ἐκφώνησις. Ἀνισταμένων δὲ τῶν ἱερέων, σφραγὶς γίνεται σταυρική. Καὶ, « Εὐλογημένη, φησὶν, ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, » καὶ τὸ, « Σοφία ὀρθοὶ, » λέγεται μετὰ σταυρικοῦ σημείου διὰ τοῦ θυμιατηρίου. Ἃ πάντα δηλοῦσι τὴν ἐπ' ἐσχάτων αἰώνων καὶ πρὸς δυσμὰς τοῦ βίου τούτου κατάβασιν

scilicet, cui vespertino tempore affixus carne mortuus est Salvator, et precatur ut det nobis fortitudinem, salvosque nos faciat. Deinde modulantur « Gloria, » aliusque chorus cantat : « Et nunc, » cum hac laude: « Gloria tibi, Deus. » Et iterum sacerdos parvam dicit Conjunctam (orationem): « Et nunc quoque, » et « Suscipe ; » et chorista cantat : « Terram, Alleluia. » Nam postquam dixit ad Deum sacerdos: « Suscipe, salva, miserere, et custodi nos, Deus, in tua gratia, » pergit cantor dicendo : « Terram Deus suscipe, salva, misericordia prosequere, et custodi in adventu tuo, » quod demonstrat illud Alleluia; nam adventum Dei accessum et manifestationem Dei sonat vox Alleluia, et in hoc constat Dominicæ dispensationis laus eximia. Propterea illud conjuncte a nobis psallitur et ante Evangelium dicitur, quoniam Christi adventum significat Alleluia; ait enim. « Venit Deus, qui jam venit, atque ex cœlo veniet. » Et sacerdos dicta oratione : « Sanctissimæ et immaculatæ, » omnibus Deo per omnes sanctos commendatis, exclamat : « Quoniam tuum est imperium, » solum in Trinitate Deum glorificans. Et statim chorista diei propria cantat, quod etiam ultima dicitur antiphona propter alias antiphonas olim dictas, nunc vero omissas. Itaque vesperis Sabbati dicitur versus unus e psalmo : « Exsurgat Deus, et, Gloria, et, Nunc, » simulque psalmus : « Domine, clamavi » cum intercalari versiculo : « Vivificam resurrectionem tuam, Domine, glorificamus », quod prima dicitur Dominica. Alia vero : « Salutarem tuam resurrectionem, Domine, glorificamus », et sequentibus, similiter dictis versibus, sacerdos facit ingressum, vel plures cum eo et diaconi, prout est consuetudo, luminariis præcedentibus, thuriferario incensum portante in signum ordinis desuper accepti, in communicandam ab altari Dei gratiam, utque supra dirigatur oratio nostra ut purum bonique odoris incensum quemadmodum cantatus ait psalmus ; et dicitur oratio, sacerdotibus caput inclinantibus : « Vespere et mane et meridie », prout dictum est, cantatis omnino consentiens. Ait enim : « Dirigatur oratio nostra sicut incensum in conspectu tuo, » et : « Ne declines cor nostrum in verba malitiæ, » et, « Erue nos ab omnibus qui persequuntur animas; » et, « Ad te Domine, Domine oculi nostri ; » et, « Ne confundas nos, Deus noster. » Surgentibus autem sacerdotibus, crucis fit signum, et ait : « Benedictus ingressus sanctorum tuorum, Domine, » et dicitur, « Sapientia erecti, » cum signo crucis per thuribulum ; quæ omnia demonstrant in consummatione sæculorum et ad occasum hujus vitæ faciendum Salvatoris a cœlo descensum, vitamque ejus sicut incensum sanctificatam, animarumque nostrarum ad Patrem per sanctissimum ejus corpus admissionem, quam fecit humiliatus usque ad crucem et mortem, et ad inferos descendit, et victor per crucem resurrexit, et ascendit ad Sancta sanctorum in cœlestia nobis patefacto ingressu. Propter quod cantor ad hunc versum, « quoniam ad te, Domine, Domine, »

convertitur ad occasum, et adorans invitat sacerdotem qui Dominum repræsentat, et cantando clamat : «Quoniam ad te, Domine, Domine, oculi mei, in te speravi, ne perdas animam meam.» Quæ ostendunt spem in Domino et ab eo dandam animarum nostrarum liberationem atque salutem, quemadmodum supra dictum est. Sicque sacerdos ascendens altare ingreditur sicut Salvator in cœlum; hymni vero resurrectionis cantantur in ambone vel suggestu in figuram angelorum Salvatoris resurrectionem celebrantium, et apostolorum eam mundo prædicantium. Dum hæc cantantur, fit suffitus a sacerdote aut a diacono, quoniam a redivivo et assumpto Christo emissa est nobis gratia Spiritus. Et post «Gloria, et Nunc,» cantantur prævia, nempe : «Dominus regnavit, morte diaboloque cum omnibus dæmonibus devictis, et decorem indutus est immortalitatem carnis et incorruptionem, et terram fide sua firmavit.» Et protinus a sacerdote vel a diacono continens fit deprecatio pro omnibus fidelibus et regibus et sacerdotibus, factaque oratione cantatur : «Quoniam tu misericors es,» est enim plenus misericordiæ, et ut omnium misereatur, nemo enim habet a semetipso unde mereatur ut Deus ejus misereatur. Porro post continentem deprecationem, illico parva fit conjuncta oratio; et cantatur : «Tuum enim est misereri.»

ἀπ' οὐρανοῦ τοῦ Σωτῆρος, καὶ τὴν ἡγιασμένην αὐτοῦ ὡς θυμίαμα ζωὴν, καὶ προσαγωγὴν ἡμῶν διὰ τοῦ παναγίου σώματος αὐτοῦ τῷ Πατρὶ, ἣν ταπεινωθεὶς ἐποίησεν ἄχρι σταυροῦ καὶ θανάτου, καὶ εἰς τὸν ᾅδην κατῆλθε, καὶ ἀνέστη νικήσας τῷ σταυρῷ, καὶ ἀνῆλθεν εἰς τὰ Ἅγια τῶν ἁγίων τὰ ἐπουράνια ἡμῖν ποιήσας τὴν εἴσοδον. Διὸ καὶ ὁ ψάλτης εἰς τόνδε τὸν στίχον, «Ὅτι πρὸς σὲ, Κύριε, Κύριε,» στρέφεται πρὸς δυσμάς· καὶ προσκυνῶν καλεῖ τὸν ἱερέα, τυποῦντα τὸν Κύριον, καὶ ἐκφωνεῖ ψάλλων, «Ὅτι πρὸς σὲ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα· μὴ ἀντανέλῃς τὴν ψυχήν μου.» Ταῦτα δὲ τὴν ἐπὶ τῷ Κυρίῳ δηλοῖ ἐλπίδα, καὶ τὴν παρ' αὐτοῦ ἐλευθερίαν τῶν ψυχῶν ἡμῶν καὶ σωτηρίαν, ὡς προείρηται. Καὶ οὕτως ὁ μὲν ἱερεὺς ἀνερχόμενος τὸ θυσιαστήριον εἰσέρχεται ὡς ὁ Σωτὴρ εἰς τοὺς οὐρανούς· οἱ δὲ ὕμνοι τῆς ἀναστάσεως ᾄδονται ἐν τῷ ἄμβωνι κατὰ τὸν τύπον τῶν ἀγγέλων ὑμνησάντων τὴν ἔγερσιν τοῦ Σωτῆρος, καὶ τῶν ἀποστόλων τῷ κόσμῳ κηρυξάντων. Καὶ ἐν τῷ ὑμνεῖν ταῦτα τὸ θυμίαμα παρὰ τοῦ ἱερέως ἢ διακόνου γίνεται· ὅτι παρὰ τοῦ ἀναστάντος καὶ ἀνελθόντος Χριστοῦ ἡ χάρις ἡμῖν ἐξαπεστάλη τοῦ Πνεύματος. Καὶ μετὰ τὸ, «Δόξα καὶ νῦν,» τὸ προκείμενον ᾄδεται, ὅτι ὁ Κύριος ἐβασίλευσε, νικήσας τὸν θάνατον καὶ τὸν διάβολον σὺν πᾶσι τοῖς δαίμοσι. Καὶ εὐπρέπειαν ἐνεδύσατο τὴν ἀθανασίαν καὶ ἀφθαρσίαν τῆς σαρκὸς, καὶ τὴν οἰκουμένην τῇ πίστει αὐτοῦ ἐστερέωσε. Καὶ εὐθὺς παρὰ τοῦ ἱερέως ἢ διακόνου ἡ ἐκτενὴς δέησις ὑπὲρ πάντων τῶν πιστῶν καὶ βασιλέων καὶ ἱερέων, καὶ μετὰ τὴν εὐχὴν ἡ ἐκφώνησις, «Ὅτι ἐλεήμων ὑπάρχεις·» καὶ γὰρ ἐλεήμων ἐστί· καὶ ἵνα πάντας ἐλεήσῃ, οὐ γὰρ ἔχει τίς τι δίκαιον ἐλεηθῆναι ἀφ' ἑαυτοῦ. Μετὰ τὴν ἐκτενῆ δὲ, εὐθὺς μικρὰ συναπτὴ καὶ ἐκφώνησις, «Σὸν γάρ ἐστι τὸ ἐλεεῖν.»

CAPUT CCXLVIII.

De tribus parvis antiphonis in cantione vespertina.

Et prima dicitur earum quæ parvæ appellantur antiphonarum, quoniam non psalmos integros habent, sed solummodo quatuor singulorum versus electos, quibus additur «Gloria et Nunc.» Porro tres sunt in honorem sanctæ Trinitatis; prima quidem : «Dilexi, quoniam exaudiet Dominus;» Dei Genitricem invocat dicens : «Intercessione Deiparæ, Salvator, salva nos.» Ipsa enim quum super omnem rationabilem creaturam dilexisset Deum, hunc inhabitantem habuit merito humilitatis et eximiæ puritatis suæ digna apparens, et per se nos Deo et Patri, dilecto Filio ex suis visceribus nato, reconciliavit. Et post versus ab utroque choro recitatos, atque «Gloria et Nunc,» rursum parva dicitur conjuncta, et cantatur : «Beneplacito et bonitate» nam beneplacuit unigenito Filio ut usque ad nos descenderet. Secunda vero antiphona : «Credidi, propter quod locutus sum,» Dominum invocat incarnatum; et ait : «Salva nos, Fili Dei, qui a mortuis surrexisti canentes tibi,» vel in festo vel in commemoratione alicujus inter sanctos mirabilis, si non fuerit Dominica aut festivitas. Illud : «Credidi propter quod locutus sum,» fidem apostolorum patefacit atque sanctorum, qua omnes gentes ex infidelitate ad fidem adductæ sunt : et verba :

ΚΕΦΑΛ. ΤΜΗ'.

Περὶ τῶν τριῶν μικρῶν ἀντιφώνων τῶν ἐν τῷ ᾀσματικῷ ἑσπερινῷ.

Καὶ τὸ πρῶτον ψάλλεται τῶν τριῶν ἀντιφώνων τῶν λεγομένων μικρῶν, ὡς μὴ ψαλμοὺς τελείους ἐχόντων, ἀλλὰ στίχους ἑκάστου τέσσαρας κατ' ἐκλογὴν, καὶ «Δόξα καὶ νῦν.» Τρία δὲ εἰς τύπον καὶ τιμὴν τῆς ἁγίας Τριάδος. Καὶ τὸ πρῶτον μὲν, «Ἠγάπησα ὅτι εἰσακούσεται Κύριος·» καὶ τὴν Θεοτόκον ἐπικαλεῖται, «Ταῖς πρεσβείαις τῆς Θεοτόκου, λέγων, Σῶτερ, σῶσον ἡμᾶς.» Αὕτη γὰρ ὑπὲρ πᾶσαν λογικὴν κτίσιν ἀγαπήσασα τὸν Θεὸν, τοῦτον ἔνοικον ἔσχε τῇ ταπεινώσει καὶ ὑπερτάτῃ ἁγνείᾳ αὐτῆς, ἱκανὴ δεδειγμένη, καὶ δι' ἑαυτῆς ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ τὸν ἀγαπητὸν Υἱὸν σαρκώσασα ᾠκειώσατο. Καὶ μετὰ τοὺς στίχους παρ' ἑκατέρου λεγομένους χοροῦ καὶ τὸ, «Δόξα καὶ νῦν,» αὖθις μικρὰ συναπτὴ, καὶ ἐκφώνησις, «Εὐδοκίᾳ καὶ ἀγαθότητι.» Εὐδόκησε γὰρ ὁ μονογενὴς Υἱὸς κατελθεῖν μέχρις ἡμῶν. Τὸ δεύτερον δὲ ἀντίφωνον, «Ἐπίστευσα διὸ ἐλάλησα·» καὶ τὸν Κύριον ἐπικαλεῖται σεσαρκωμένον· καί φησι, «Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι.» Ἢ πρὸς τὴν ἑορτὴν, ἢ τὸ, «Ὁ ἐν ἁγίοις θαυμαστὸς,» εἰ οὐκ ἔστι Κυριακὴ ἢ ἑορτὴ, ἀλλ' ἁγίου μνήμη τινός. Τὸ, «Ἐπίστευσα, διὸ ἐλάλησα,» τὴν πίστιν δηλοῖ τῶν ἀποστόλων τε καὶ ἁγίων, δι' ἧς τὰ ἔθνη πάντα ἐκ τῆς ἀπιστίας εἰς πίστιν ἀνείλκυσαν. Καὶ

τὸ, « Ποτήριον δὲ σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι, » τὴν κοινωνίαν Χριστοῦ δηλοῖ, καὶ τὴν σωτηρίαν διὰ τοῦ αἵματος, οὗ Χριστοῦ κοινωνήσαντες **246** διὰ μαρτυρίου καὶ τῶν ἀγώνων οἱ ἅγιοι σεσωσμένοι, σώζουσιν ἡμᾶς, καὶ δι' αὐτῶν τῷ Κυρίῳ ἑνούμεθα. Διὸ καὶ εἰς τὸ, « Δόξα, » τὸ, « Ὁ Μονογενὴς, λέγομεν, Υἱὸς, » τὴν κοινωνίαν αὐτοῦ μεθ' ἡμῶν δεικνύντες. Τοῦτο δὲ παρὰ τοῦ θείου Κυρίλλου ἐκτέθειται. Εἰς δὲ τὸ, « Καὶ νῦν, » τὴν ὑπερένδοξον τοῦ Θεοῦ λέγομεν Μητέρα· ἐπεὶ δι' αὐτῆς ἡμῖν ὁ Μονογενὴς ἥνωται. Καὶ αὕτη τῶν ἁγίων ἁπάντων ἀγγέλων τε καὶ βροτῶν ὑπερτέρα τε καὶ ἁγιασμός. Καὶ μετὰ τοὺς στίχους καὶ τὸ, « Δόξα καὶ νῦν, » πάλιν μικρὰ συναπτὴ καὶ ἐκφώνησις, « Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν· » καὶ ὁ ψάλτης αὖθις τὸ τρίτον ἀντίφωνον. Τοῦτο δὲ, « Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη· » συγκαλοῦν ἅπαντα τὸν κόσμον εἰς τὴν δόξαν τῆς Τριάδος τὸν ἀγγελικὸν ὕμνον. Καὶ ἐπιφέρει τὸ, « Ἅγιος ὁ Θεός. » Καὶ λεγομένων τῶν στίχων παρ' ἑκατέρου χοροῦ, καὶ τοῦ, « Δόξα καὶ νῦν, » ἡ περισσὴ λέγεται, τουτέστι μετὰ τὸ, « Δόξα καὶ νῦν, » τὸ τελευταῖον. Καὶ ὁ Τρισάγιος ἐκφώνως ᾄδεται ὕμνος, πάντων ἱσταμένων ἀσκεπῶν, ὡς τὸν Θεὸν ἀνυμνούντων. Ὅρα οὖν ἐν τοῖς τρισὶ τούτοις τὴν εὐταξίαν τῶν ὕμνων τῆς Ἐκκλησίας· ἐν μὲν γὰρ τῷ πρώτῳ ἀντιφώνῳ τὴν πρεσβείαν ἐπικαλεῖται τῆς Θεομήτορος· ἐν δὲ τῷ δευτέρῳ ἀναγομένη, τὸν ἐξ αὐτῆς σαρκωθέντα ἵλεων γενέσθαι ζητεῖ τῇ μεσιτείᾳ τῶν ἁγίων· τῷ τρίτῳ δὲ καὶ τελευταίῳ αὐτὸν ἀνυμνεῖ τὸν Τρισάγιον μετὰ τῶν ἀγγέλων Θεὸν, τὸν ἔλεον ἐξαιτοῦσα, κατὰ βαθμὸν πρὸς τὰ ὑψηλότερα ἀνιοῦσα· ἐν τῷ τέλει δὲ τούτου σφραγίζει τρὶς ὁ ἀρχιερεὺς ἀπὸ τοῦ θρόνου αὐτοῦ, ἤτοι τοῦ στασιδίου, τὸν Κύριον ἐκτυπῶν ἐκ τοῦ οὐρανοῦ εὐλογοῦντα. Εἶτα ἡ μεγάλη ἐκτενὴς, αἱ αἰτήσεις, τὸ, « Πληρώσωμεν τὴν δέησιν » παρὰ τοῦ διακόνου, ἡ εἰρήνη τε, καὶ ἡ τῆς κεφαλοκλισίας εὐχὴ παρὰ τοῦ ἱερέως· ὃ δηλοῖ τὴν δουλείαν ἡμῶν πρὸς Θεὸν καὶ ταπείνωσιν, καὶ τὴν μέχρι δούλου μορφῆς ταπείνωσιν τοῦ Θεοῦ. Καὶ ἀνισταμένου τοῦ ἱερέως καὶ ἐκφωνοῦντος τὴν ἀπὸ τοῦ πτώματος ἡμῶν καὶ τοῦ θανάτου δηλοῦντος ἀνέγερσιν καὶ εὐχαριστοῦντος τῷ σεσωκότι, καὶ, « Εἴη τὸ κράτος τῆς βασιλείας σου, » ἐκφώνως καὶ ὁλοψύχως λέγοντος, εὐθὺς τὰ τῆς λιτῆς ὄπισθεν τοῦ ἄμβωνος γίνεται, εἰς ἱλέωσιν Θεοῦ ὑπὲρ ἁπάντων πιστῶν. Καὶ τῶν Ἀναστασίμων ψαλλομένων τῶν ἀποστίχου, καὶ τοῦ, « Δόξα καὶ νῦν, » παρὰ τοῦ ἱερέως ἐκτενὴς γίνεται δέησις, καὶ τὸ, « Κύριε, ἐλέησον, » καθάπερ ἔθος, ὡς κατενώπιον τοῦ τάφου Χριστοῦ. Καὶ μετὰ τὸ, « Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς, » τὰ ἀπολυτίκια, καὶ ἡ ἀπόλυσις. Εἰ δὲ κοινή ἐστιν ἡμέρα, λιτὴ οὐ γίνεται. Τὸ ἀπολυτίκιον δὲ λέγεται, κατερχομένου τοῦ ἱερέως εἰς τύπον λιτῆς ὄπισθεν τοῦ ἄμβωνος, ψαλλομένου τοῦ, « Θεοτόκε Παρθένε. » Καὶ μετὰ τοῦτο ἐκφωνεῖ ὁ ἱερεὺς, « Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, » τουτέστι, Σὺ δέδωκας ἡμῖν τὸ φῶς τὸ αἰσθητόν τε καὶ νοητὸν, καὶ τὸν

A «Calicem salutaris accipiam, et nomen Domini invocabo,» communionem Christi manifestant salutemque per sanguinem, cui Christo communicantes per martyrium et agones sancti salutem adepti nos salvos faciunt, et per eos Christo conjungimur. Ideo ad «Gloria» dicunt: «Unigenitus Filius,» communicationem ejus nobiscum ostendentes, quod a divo Cyrillo fuit institutum; et ad verba: «Et nunc,» dicimus «Gloriosissimam Dei Matrem,» quoniam ex ea Unigenitus nobis fuit adunatus: et ipsa est sanctorum omnium angelorum et hominum regina atque sanctificatio. Et dictis versibus ac «Gloria et Nunc,» rursum parva fit conjuncta et cantatur: «Quoniam sanctus es Deus noster.» Et iterum cantor tertiam modulatur antiphonam; hæc est:

B «Laudate Dominum, omnes gentes,» mundum universum convocans ad laudem Trinitatis, et addit hymnum angelicum atque: «Sanctus Deus;» dictisque versibus ab utroque choro, et «Gloria et Nunc,» quarta dicitur, videlicet post «Gloria et Nunc,» postremum dicitur. Deinde Trisagion cantatur hymnus, omnibus nudato capite stantibus, quoniam Deum laudibus efferunt. Vide igitur in his tribus egregium ordinem hymnorum Ecclesiæ. Nam in prima quidem antiphona intercessionem invocat Dei Genitricis. In secunda autem Ecclesia incarnatum ex illa obsecrat per intercessionem sanctorum ut misericordem se præbeat. Verum in tertia et in ultima ipsum ter Sanctum cum angelis

C celebrat Deum, misericordiam deprecans, per gradus ad sublimiora ascendens. Porro in hujus fine ter signat pontifex ex throno seu peculiari sedili suo, Dominum exprimens e cœlo benedicentem. Postea magna continens oratio, preces, diacono dicente: «Impleamus orationem,» pax, oratio capitis inclinationis a sacerdote dicta, quod ostendit nostram ad Deum servitutem et humiliationem Deique usque ad formam servi humiliationem; et erecto ac clamante sacerdote, nostram a lapsu morteque resurrectionem significante et gratias Salvatori agente, atque dicente alta voce totaque anima: «Sit fortitudo regni tui...» statim retro post suggestum fit processio, ad propiationenem Dei super omnes fideles assequendam, cantatisque de resur-

D rectione responsoriis, dictoque «Gloria et Nunc,» a sacerdote fit continens oratio, et de more «Kyrie eleison» velut ante tumulum Christi; et post voces: «Exaudi nos, Deus,» dimissoria dicuntur verba, et fit absolutio. Verum si dies communis fuerit, non fit processio, neque dicuntur verba dimissoria, sed descendente sacerdote ad instar processionis post ambonem cantatur: «Dei Genitrix Virgo,» et post hæc clamat sacerdos: «Dominum deprecemur, quoniam tu es lux nostra, Christe Deus noster, et tibi gloriam mittimus,» id est: Tu dedisti nobis lumen sensibile et spiritale, solemque facis occidere et oriri, et tu es lux vera, qui nobis ortus surrexisti, iterum veniens nos illuminabis; et ita absolvitur. Porro precum omnium ultima est

capitis inclinationis et absolutionis oratio, pariter- A que in officio matutino. Itaque ex dictis patet cantionum ordinem aliis præstare et honore et antiquitate, unde principatum habet. At vide ordinem ex quo post preces rursum ostenditur, servitus et inclinatur caput, sicque finis precibus imponitur; oportet enim in omnibus humiliari et adorare Dominum et servitutem fateri. Si vero occurrat festum vel commemoratio festi, cujus agatur festivitas, post jussam capitis inclinationem, secundum institutiones dicuntur lectiones, quoniam ab ipsis et a priscis sanctis festum prædicatur ac testimonium accipit. Quapropter in hymnis primum David dicuntur psalmi aliorumque prophetarum, quoniam isti præiverunt; deinde cum eis gratiæ cantantur præconia. B Tunc vero finitis omnibus hymnis, testimonia dicuntur festorum celebratorum, sicque vespertinum fit officium. Matutinum autem ipsum quoque spiritalibus et consentaneis constat institutis. Intellige quam mirabili modo universam creationis, legis, prophetarum ac Salvatoris dispensationem exprimat atque describat, hymnisque ac operibus salutis nostræ mysteria tradat ac edoceat, et quoniam per Salvatorem nostrum in cœlum ingressum aditumque inveniamus.

ἥλιον δύνειν καὶ ἀνατέλλειν ποιεῖς· καὶ σὺ εἶ τὸ φῶς τὸ ἀληθινόν, καὶ ἐπιφανεὶς ἡμῖν καὶ ἀναληφθείς, πάλιν ἀναλάμψεις ἡμᾶς ἐρχόμενος.» Καὶ οὕτως ἡ ἀπόλυσις γίνεται. Τελευταία δὲ εὐχὴ πασῶν ἡ τῆς κεφαλοκλισίας τε καὶ ἀπολύσεως· καὶ ἐν τῷ ὄρθρῳ ὁμοίως, καὶ ἐν πάσῃ ἄλλῃ προσευχῇ. Ἐκ τῶν εἰρημένων οὖν δῆλον, ὡς ἡ τοῦ ᾄσματος ἀκολουθία προτιμοτέρα τῆς ἄλλης, καὶ προγενεστέρα ἐστί· καὶ ἐκεῖθεν αὕτη τὰς ἀρχὰς ἔχει. Ὅρα δὲ καὶ τὴν τάξιν· ὅτι μετὰ τὰς προσευχὰς ὕστερον, τὸ δεῖξαι τὴν δουλείαν καὶ κλῖναι ποιεῖ τὰς κεφαλάς· καὶ οὕτω τὸ τέλος τῶν προσευχῶν ἐπάγει. Δεῖ γὰρ ἐπὶ πᾶσι ταπεινοῦσθαι καὶ προσκυνεῖν τῷ Δεσπότῃ, καὶ τὴν δουλείαν ὁμολογεῖν. Εἰ τύχοι δὲ ἑορτή, ἢ μνήμη ἑορταζομένου ἁγίου, μετὰ τὴν τῆς κεφαλοκλισίας ἐκφώνησιν, τὰ κατὰ τύπον ἀναγνώσματα λέγεται, ὡς δι' αὐτῶν τῶν τῆς ἑορτῆς καὶ παρὰ τῶν πάλαι ἁγίων κηρυττομένων τε καὶ μαρτυρουμένων. Διὸ καὶ ἐν μὲν τοῖς ὕμνοις πρῶτον οἱ ψαλμοὶ τοῦ Δαβὶδ λέγονται καὶ τῶν ἄλλων ἁγίων προφητῶν, ὅτι προέλαβον οὗτοι· εἶτα σὺν αὐτοῖς τὰ τῆς χάριτος ἐφύμνια ᾄδεται. Ἐνταῦθα δὲ μετὰ τὸ τελεσθῆναι τοὺς ὕμνους ἅπαντας, καὶ αἱ μαρτυρίαι τῶν τελουμένων ἑορτῶν ἀναγινώσκονται. Καὶ ὁ μὲν ἑσπερινὸς 247
οὕτω γίνεται· ὁ δέ γε ὄρθρος, καὶ οὗτος πνευματικῶς τε καὶ ἁρμοδίως. Κατανόησον γὰρ ὡς θαυμαστῶς τὰ ἀπαρχῆς τῆς κτίσεως ἅπαντα τά τε τοῦ νόμου τῶν προφητῶν, καὶ τὰ τῆς τοῦ Σωτῆρος οἰκονομίας ἐκτυποῖ τε καὶ διαγράφει, καὶ ὕμνοις καὶ πράγμασι τὰ τῆς σωτηρίας ἡμῶν παραδίδωσί τε καὶ ἐκδιδάσκει· καὶ ὅτι διὰ τοῦ Σωτῆρος ἡμῶν τὴν εἰς τὸν οὐρανὸν εἴσοδον καὶ ἄνοδον εὕρομεν.

C

CAPUT CCCXLIX.

De cantione matutina.

Porro exponam matutinum Dominicæ officium, cujus ad instar alia singulis diebus sunt disposita; et hic quoque erit ordo manifestus. Clausis regalibus templi foribus, quo repræsentatur tum antiquus paradisus, tum cœlum, seu potius quod vere est paradisus et cœlum; nam tanquam paradisus in medio sanctuarii, sacro scilicet altari, lignum vitæ habet nempe Christum qui sacrificatur, crucemque ejus sanctissimam, verum sicut cœlum ipsam habet sacram mensam ut thronum in quo rex gloriæ Christus per mysteria et evangelium sedet, virtutesque angelicas his invigilantes, sacerdotales ordines, sanctum chrisma, sacras martyrum reliquias, D animarum apostolorum et prophetarum turbam quæ sæpius emissæ sacris præsunt, et adhuc ibi adsunt per sanctissima eorum scripta, angelos quoque vere accedentes ut nobis ministrantibus cooperentur et eumdem hymnum psallendo qui tam ab ipsis quam a nobis cantatur, et idem ministerium tam supra quam infra adimplendo. Hujus ergo divinissimi templi novi paradisi ac cœli januis clausis, quoniam et paradisum et cœlum nos nobis peccato occlusimus, et continuo occludimus, stat sacerdos ante portas velut mediator, velut etiam angeli gerens imaginem et benedicit Deum in Trinitate unum, dicendo: «Benedictum sit regnum Patris et Filii et Spiritus sancti;» et statim omnia pacis verba adjicit, et: «Suscipe, salva, miserere.»

ΚΕΦΑΛ. ΤΜΘ'.

Περὶ τοῦ ᾀσματικοῦ ὄρθρου.

Ἐκθήσομαι δὲ καὶ τὸν ὄρθρον τῆς Κυριακῆς, οὗ κατὰ μίμησιν εἰσι καὶ οἱ καθ' ἡμέραν ὄρθροι· καὶ ἐντεῦθεν ἔσται ἡ τάξις δήλη. Κλειομένων τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ, ὃς τὸν πάλαι παράδεισον καὶ τὸν οὐρανὸν ἐκτυποῖ· μᾶλλον δὲ ἀληθῶς ἐστι παράδεισός τε καὶ οὐρανός· καὶ γὰρ ὡς μὲν παράδεισος ἐν μέσῳ τοῦ βήματος, τῷ ἱερῷ θυσιαστηρίῳ, τὸ τῆς ζωῆς ξύλον κέκτηται ἱερουργούμενον τὸν Χριστόν, καὶ τὸν σταυρὸν αὐτοῦ τὸν πανάγιον, ὡς δὲ οὐρανός, αὐτὴν δὴ τὴν ἱερὰν τράπεζαν, ὡς θρόνον, καὶ τὸν βασιλέα τῆς δόξης Χριστὸν διὰ τῶν μυστηρίων καὶ τοῦ Εὐαγγελίου ἐπικαθήμενον, καὶ ἀγγελικὰς περὶ τούτων οὔσας δυνάμεις, καὶ τὰς ἱερατικὰς τάξεις, καὶ τὸ χρίσμα τὸ ἅγιον, καὶ τὰ τῶν μαρτύρων ἱερὰ λείψανα, καὶ τὸν ὅμιλον τῶν ἀποστολικῶν καὶ προφητικῶν ψυχῶν ἀποστελλομένων καὶ ἐφισταμένων πολλάκις, καὶ ἔτι παρόντων αὐτῶν διὰ τῶν ἱερωτάτων Γραφῶν αὐτῶν, καὶ τῶν ἀγγέλων δὲ ἐπιδημούντων ἀληθῶς ὡς συνυπουργούντων ἡμῖν, καὶ διὰ τοῦ ἴσου ὕμνου, ὡς παρ' αὐτοῦ καὶ παρ' ἡμῶν ᾀδομένου, καὶ τῆς αὐτῆς καὶ μιᾶς ἄνω τε καὶ κάτω λειτουργίας ἐκτελουμένης. Τούτου τοίνυν τοῦ θειοτάτου ναοῦ τοῦ νέου παραδείσου καὶ οὐρανοῦ τῶν πυλῶν κλειομένων, ἐπεὶ καὶ τὸν παράδεισον ἡμεῖς καὶ τὸν οὐρανὸν τῇ παραβάσει καθ' ἡμῶν ἀπεκλείσαμεν, καὶ διηνεκῶς ἀποκλείομεν, ἵσταται ἔμπροσθεν τῶν πυλῶν ὁ ἱερεὺς ὡς μεσίτης, καὶ ὡς ἀγγέλου τύπον ἐπέχων, καὶ

εὐλογεῖ τὸν Θεὸν, τὸν μόνον ἐν Τριάδι, «Εὐλογημένη ἡ βασιλεία, λέγων, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.» Καὶ εὐθὺς τὰ εἰρηνικὰ πάντα ἐπάγει, καὶ τὸ, «Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.» Καὶ ὁ ψάλτης εὐθέως μέρος ᾄδει τοῦ μέλλοντος ᾄδεσθαι ψαλμοῦ κατὰ λόγον θεῖον· «Καὶ ὕπνωσα· δόξα σοι, ὁ Θεός.» Καὶ τοῦ ἱερέως, «Τῆς Παναγίας ἀχράντου,» εἰπόντος, καὶ παραθεμένου πάντας τῷ Θεῷ, καὶ ἐκφώνως τὸν Θεὸν δοξολογήσαντος, τὸ, «Ὅτι πρέπει σοι πᾶσα δόξα,» εἰρηκότος, μετὰ μέλους, φησὶν ὁ ψάλτης, «Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· Δόξα σοι, ὁ Θεός.» Καὶ οὕτως ἀρξάμενος τοῦ ψαλμοῦ τοῦ, «Κύριε, τί ἐπληθύνθησαν,» μετὰ τῶν λοιπῶν κατὰ στίχον πάντα τελειοῖ ψαλμῶν, ἑκατέρου χοροῦ λέγοντος τὸ, «Δόξα σοι, ὁ Θεός.» Τρεῖς δὲ λέγονται ὁμοῦ ψαλμοὶ εἰς τύπον καὶ τιμὴν τῆς Παναγίας Τριάδος. Αὐτὸς δὲ τὸ, «Κύριε τί ἐπληθύνθησαν·» τὸ, «Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω,» καὶ τὸ, «Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον.» Ἐν τούτοις τοῖς τρισὶν εἰς τὰς ἑορτὰς καὶ τριαδικὰ ψάλλονται, ἤτοι τὸ, «Δόξα σοι, Πάτερ, δόξα σοι, Υἱὲ, δόξα σοι, τὸ Πνεῦμα τὸ ἅγιον·» καὶ τὰ ὅμοια. Ταῖς δὲ κοιναῖς ἡμέραις καὶ ταῖς Κυριακαῖς, πλὴν τῆς τῶν προπατόρων τε καὶ Πατέρων, μόνον τὸ, «Δόξα σοι, ὁ Θεός.» Εἶτα, «Δόξα,» πάλιν, τὸ, «Δόξα σοι, ὁ Θεός.» Καὶ νῦν τὸ αὐτό· καὶ περισσὴν αὖθις γεγωνότερον τοῦτο. Καὶ ὁ ἱερεὺς, «Ἔτι καὶ ἔτι,» καὶ τὸ, «Ἀντιλαβοῦ·» καὶ ὁ ψάλτης, «Τὴν οἰκουμένην, Ἀλληλούϊα.» Καὶ ὁ ἱερεὺς, «Τῆς Παναγίας,» καὶ τὴν ἐκφώνησιν. Καὶ εὐθὺς ὁ ψάλτης, «Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ,» καὶ τὸ λοιπὸν τοῦ στίχου, καὶ, «Ἀλληλούϊα.» Καὶ οὕτω παρ' ἑκατέρων ψάλλονται αὖθις οἱ στίχοι τῶν χορῶν μετὰ τοῦ Ἀλληλούϊα, τῆς πρώτης στάσεως ὅλης πληρουμένης. Εἶτα, «Δόξα καὶ νῦν,» καὶ περισσή. «Ἀλληλούϊα.» Καὶ ὁ ἱερεὺς μικρὰν αὖθις συναπτήν. Ὁ ψάλτης, «Συνέτισόν με, Κύριε.» Ὁ ἱερεὺς, «Τῆς Παναγίας 248 ἀχράντου,» καὶ ἐκφώνησιν· καὶ ὁ ψάλτης, «Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με·» καὶ τὸ λοιπὸν τοῦ στίχου σὺν τῷ ὑποψάλμῳ, «Συνέτισόν με, Κύριε.» Καὶ οἱ λοιποὶ στίχοι παρὰ τῶν δύο χορῶν μετὰ τοῦ «Συνέτισόν με, Κύριε. Δόξα καὶ νῦν.» Καὶ περισσὴ τὸ αὐτὸ, «Συνέτισόν με, Κύριε.» Εἶτα πάλιν ὁ ἱερεὺς μικρὰν συναπτήν. Ὁ ψάλτης, «Τὴν οἰκουμένην, Ἀλληλούϊα.» Ὁ ἱερεὺς, «Τῆς Παναγίας,» καὶ ἐκφώνησιν. Ὁ ψάλτης, «Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με, Ἀλληλούϊα.» Καὶ εὐθὺς τὴν μίαν ἀνοίγει τοῦ ναοῦ πύλην, δεικνὺς, ὡς διηνοίγη ἡμῖν ὁ οὐρανὸς εὐθὺς τῇ τοῦ Κυρίου σαρκώσει, ἐπιβλέψαντος ἐξ οὐρανοῦ ἐφ' ἡμᾶς, καὶ ἐνανθρωπήσαντος ἐκ τῆς ἐπουρανίου καὶ ζώσης πύλης τῆς Θεοτόκου. Ὃς καὶ πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως διήνοιγεν ἡμῖν τὰ οὐράνια, ὡς καὶ ἐν τῷ βαπτίσματι τούτου γέγραπται, ὡς εἶδε σχιζομένους τοὺς οὐρανοὺς, δι' ἡμᾶς πάντως τοὺς πρὶν αὐτοὺς ἀποκλείσαντας. Ὕστερον δὲ αὐτὸς ἀναβὰς, ἡμᾶς ἐκεῖσε εἰσήγαγεν.» Οἱ στίχοι οὖν λέγονται παρ' ἑκατέρων τῶν χορῶν, ἄχρι τοῦ, «Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε.» Τότε

Et cantor illico partem cantat psalmi jamjam psallendi secundum Dei Verbum: «Et soporatus sum. Gloria tibi, Deus.» Et postquam sacerdos dixit: «Sanctissimæ et immaculatæ,» Deoque omnes commendavit, et alta voce Deum glorificavit, dicens: «Te decet omnis gloria,» cum cantu chorista dicit: «Ego dormivi et soporatus sum; Gloria tibi, Deus.» Tres vero simul dicuntur psalmi in similitudinem et honorem sanctissimæ Trinitatis, videlicet: «Domine, quid multiplicati sunt; Deus Deus meus, ad te de luce vigilo, et: Ecce nunc benedicite Dominum.» In his tribus, si festum fuerit, cantatur hymnus Trinitatis, id est: «Gloria tibi Pater, gloria tibi, Fili, gloria tibi, Spiritus sancte,» et similia. Diebus autem communibus et Dominicis, nisi in Dominica protoparentum et patrum, dicitur tantum: «Gloria tibi, Deus.» Deinde Gloria, et rursus: «Gloria tibi, Deus, et Nunc.....» et idem. Iterum repetitur «Eximiam» clariori voce. Et sacerdos dicit: «Et nunc quoque, et suscipe,» cantor autem; «Terram Alleluia,» sacerdos iterum: «Sanctissimæ,» et statim cantor: «Immaculati in via Alleluia. Beati immaculati in via» ac reliquum versus, et Alleluia. Et sic psalluntur versus ab utroque choro cum Alleluia, prima statione prorsus impleta. Deinde «Gloria et Nunc,» et «Eximiam, Alleluia.» Tunc sacerdos parvam rursus dicit conjunctam, cantor autem: «Da mihi intellectum, Domine.» Sacerdos clamat: «Sanctissimæ et immaculatæ,» cantor vero, «Manus tuæ fecerunt me et plasmaverunt me,» ac reliquum versus cum intercalari versiculo: «Da mihi intellectum, Domine,» et cæteri versus ab utroque choro psalluntur cum verbis: «Da mihi intellectum Domine, Gloria et nunc,» et iterum: «Da mihi intellectum, Domine.» Deinceps sacerdos rursus parvam dicit conjunctam (orationem), cantor autem: «Terram, Alleluia;» sacerdos iterum: «Sanctissimæ.» cantor vero. «Aspice in me et miserere mei, Alleluia.» Et protinus unam aperit templi januam, ostendens cœlum nobis apertum esse statim per incarnationem Domini qui de cœlo in nos aspexit, et incarnatus est ex cœlesti vivaque porta, Dei scilicet Genitrice; qui etiam ante passionem et resurrectionem cœlum nobis aperuit, quemadmodum de ejus baptismo scriptum est, quando vidit cœlos apertos qui prius propter nos erant prorsus clausi; ipse vero posterius ascendens nos illuc introduxit. Versus igitur dicuntur ab utroque choro usque ad illud: «Intret postulatio mea in conspectu tuo, Domine.» Tunc vero veluti jam facta Dominica dispensatione, passoque Salvatore, hostia per crucem oblata, omnibus resurrectione Domini redemptis tam qui in inferno quam qui in terra erant, ejusque resurrectione in cœlum ingressis, januæ a sacerdote aperiuntur. Et clarius cantatur introitus cum Alleluia, universis introrsum intrantibus tanquam in cœlum, sacerdote præcedente et crucem portante, quo refert Dominum Salvatorem nostrum per crucem factum. Porro in cruce figuntur tres cerei lucem trisolarem ostenu-

dentes, et quoniam per crucem cognitio sanctæ A Trinitatis ejusque gloria manifestata est et effulsit. Et ingressus statim caput inclinat sacerdos gratias agens Domino. Si adsit pontifex ipse, etiam cum sacerdote caput inclinat, et orationem introitus dicunt, signatque pontifex dicens : «Benedictus ingressus sanctorum tuorum, Domine.» Solus ergo pontifex magnam portam intrat, præcedente sacerdote et diacono, in figuram divinorum angelorum, Christum, prout dictum est, exprimens, qui paradisi cœlique januas nobis aperuit ; et ingressus hunc laudat eique gratias agit, quoniam per crucem nobis patefecit cœlestia, solusque dux noster nos dirigit ut rex et Deus, ac per portam quæ spectat ad orientem, nempe per matrem ejus semper virginem solus in mundum intravit, et per eam cœlestem portam nobis reseravit. Cæteri vero foribus lateralibus ingrediuntur, vel retro omnes incedunt, quoniam per eum omnes sequuntur Christum in cœlum ingredientem, et reliqua psalmi ab utroque choro cantantur quæ resurrectionem Christi vitamque et salutem nostram edocent ; illi autem stant in medio templi. «Fiat manus tua ut salvet me, vivet anima mea et laudabit te ; erravi sicut ovis quæ periit quære servum tuum.» Deinde «Gloria Patri, et Nunc...» rursumque dicto Alleluia voce clariori in laudem ejus qui resurrexit nosque congregavit, statim psalmus : « Benedicite omnia opera Domini, Dominum, laudate et superexaltate eum in sæcula;» psallitur cum numeroso cantu; quo cantato ascendunt, sacerdote quidem crucem ferente, velut angelo, pontifice autem Dominum exprimente. Ascendunt autem aliis sequentibus universis, ad altare, tanquam ad ipsum Dei thronum. Et pontifex quidem in thronum suum ascendit Salvatorem in cœlum ascendentem ibique sedentem manifestans ; thronum autem appello proprium ei sedile. Crux vero infigitur in ambone ex adverso altaris, mortem et resurrectionem Salvatoris omnibus testans, et Trinitatem prædicans per tria lumina in ea accensa. Et integrum canticum sanctorum trium puerorum cum Benedicite modulato canore psallitur, qui et ipsi Trinitatem in camino numero expresserant simulque glorificaverunt atque Verbi incarnationem, necnon «Benedicimus Patrem et D Filium et Spiritum sanctum, Dominum, et nunc et semper.» Denique laus egregia, Laudamus, Benedicimus, Glorificamus, Adoramus Dominum, quia a solo Deo sanctissima Trinitate et ab œconomia Verbi unius e Trinitate personæ, omnia nobis facta sunt bona, et a gravi lapsu erecti surreximus, et illuminati sumus vero lumine, et in cœlum introducti. Ideo statim causam incarnationis Verbi celebramus Deiparam dicentes : «Te murum inexpugnabilem salutis turrim..... »

δὲ, ὡς ἤδη τῆς οἰκονομίας τετελεσμένης, καὶ τοῦ Σωτῆρος παθόντος, καὶ τῆς θυσίας διὰ σταυροῦ προσενεχθείσης καὶ τῇ τοῦ Κυρίου ἐγέρσει πάντων λελυτρωμένων, καὶ τῶν ἐν τῷ ᾅδῃ, καὶ τῶν ἐν γῇ, καὶ τῇ ἀναλήψει αὐτοῦ εἰς τὸν οὐρανὸν εἰσελθόντων, αἱ πύλαι παρὰ τοῦ ἱερέως ἀνοίγονται. Καὶ γεγωνότερον ψάλλεται τὸ εἰσοδικὸν λεγόμενον μετὰ τοῦ Ἀλληλούϊα, πάντων εἰσερχομένων ἐντός· ὡς εἰς αὐτὸν τὸν οὐρανὸν, τοῦ ἱερέως προπορευομένου καὶ κατέχοντος τὸν σταυρὸν, τὸν Κύριον ἐκτυποῦντος διὰ σταυροῦ ἡμᾶς σώσαντα. Ἐν δὲ τῷ σταυρῷ καὶ τρεῖς κηροὶ πεπηγμένοι, τὸ τρισήλιον φῶς σημαίνοντες. Ἐπεὶ καὶ διὰ τοῦ σταυροῦ ἡ γνῶσις τῆς ἁγίας Τριάδος καὶ δόξα πεφανέρωταί τε καὶ ἐξέλαμψε. Καὶ εὐθὺς εἰσελθὼν κλίνει ὁ ἱερεὺς τὴν κεφαλὴν B εὐχαριστῶν τῷ Δεσπότῃ. Εἰ δὲ καὶ ὁ ἀρχιερεὺς πάρεστι, κλίνει καὶ αὐτὸς σὺν τῷ ἱερεῖ· καὶ τὴν εὐχὴν λέγουσι τῆς εἰσόδου. Καὶ σφραγίζει ὁ ἀρχιερεὺς, λέγων, « Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε. » Μόνος οὖν ὁ ἀρχιερεὺς τὴν μεγάλην πύλην εἰσέρχεται, τοῦ ἱερέως προηγουμένου αὐτοῦ καὶ διακόνου, εἰς τύπον θείων ἀγγέλων, τὸν Χριστὸν, ὡς εἴρηται, ἐκτυπῶν, τὸν τὰς πύλας ἡμῖν τοῦ παραδείσου καὶ οὐρανοῦ ἀνεῴξαντα. Καὶ εἰσελθὼν, ἐκεῖνον αἰνεῖ καὶ εὐχαριστεῖ τὸν διὰ σταυροῦ ἡμῖν τὰ ἄνω ἀνοίξαντα, καὶ μόνον ἡγούμενον ὄντα ὡς βασιλέα καὶ Θεὸν, καὶ διὰ τῆς βλεπούσης πύλης κατὰ ἀνατολὰς μόνον εἰσελθόντα ἐν κόσμῳ· τῆς ἀειπαρθένου αὐτοῦ Μητρὸς, καὶ δι' αὐτῆς τὴν ἄνω C εἴσοδον ἡμῖν ἐγκαινίσαντα. Οἱ λοιποὶ δὲ ἐκ τῶν πλαγίων εἰσέρχονται, ἢ ὄπισθεν ἅπαντες, ὅτι δι' αὐτοῦ πάντες τούτῳ ἑπόμενοι, τὸν οὐρανὸν εἰσερχόμεθα· καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ ἑκατέρωθεν ᾄδουσιν οἱ χοροὶ, τὴν ἀνάστασιν τοῦ Χριστοῦ καὶ τὴν ζωὴν καὶ σωτηρίαν ἡμῶν ἐκδιδάσκοντα, μέσον ἱστάμενοι τοῦ ναοῦ. « Γενέσθω ἡ χείρ σου, φησὶ, τοῦ σῶσαί με· » καὶ, « Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε· » καὶ, « Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου. » Εἶτα τὸ, « Δόξα καὶ νῦν. » Καὶ τοῦ Ἀλληλούϊα γεγωνότερον αὖθις ᾀδομένου εἰς δοξολογίαν τοῦ ἀναστάντος καὶ ἡμᾶς συνεγείραντος, εὐθὺς τὸ, « Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, » ψάλλεται μετὰ ᾄσματος ἐμμε- D λοῦς. Οὗ ψαλλομένου, ἀνέρχονται, τοῦ ἱερέως μὲν τὸν σταυρὸν κατέχοντος ὡς ἀγγέλου, τοῦ δὲ ἀρχιερέως τυποῦντος τὸν Κύριον. Ἀνέρχονται δὲ ὡς πρὸς τὸ θυσιαστήριον ἑπομένων ἁπάντων, ὡς εἰς αὐτὸν τὸν θρόνον τοῦ Θεοῦ. Καὶ ὁ μὲν ἀρχιερεὺς ἄνεισιν εἰς τὸν αὐτοῦ θρόνον, τὴν ἐν τῷ οὐρανῷ τοῦ Σωτῆρος ἄνοδον καὶ καθέδραν δηλῶν· θρόνον δὲ λέγω τὸ στασίδιον. Ὁ σταυρὸς δὲ πήγνυται ἐν τῷ ἄμβωνι ἀντικρὺ τοῦ θυσιαστηρίου, τὸν θάνατον καὶ τὴν ἔγερσιν πᾶσι μαρτυρῶν τοῦ Σωτῆρος, καὶ τὸ τῆς Τριάδος κήρυγμα διὰ τῶν ἀναπτομένων ἐν αὐτῷ τριῶν φώτων. Καὶ ἡ ᾠδὴ πᾶσα τῶν ἁγίων τριῶν παίδων μετὰ τοῦ, «Εὐλογεῖτε,» 249 ἐμμελῶς καὶ ἐκφώνως ᾄδεται, καὶ αὐτῶν τὴν Τριάδα ἐν τῇ καμίνῳ ἐκτυπωσάντων ἅμα, καὶ δοξολογησάντων, καὶ τοῦ Λόγου τὴν ἐνανθρώπησιν· καὶ τὸ, « Εὐλογοῦμεν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον, καὶ νῦν καὶ ἀεί.» Καὶ τελευταῖον περισσῇ, « Αἰνοῦμεν, εὐλογοῦμεν, ὑμνοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύ-

ριον· » ἐπειδὴ παρὰ τοῦ μόνου Θεοῦ τῆς παναγίας Τριάδος καὶ τῆς τοῦ Λόγου τοῦ ἐν ς τῆς Τριάδος οἰκονομίας πάντα ἡμῖν τὰ ἀγαθὰ γέγονε, καὶ ἀνεκλήθημεν τοῦ μεγάλου πτώματος, καὶ ἀνέστημεν καὶ κατηυγάσθημεν ἐκ τοῦ ἀληθινοῦ φωτὸς, καὶ εἰς τοὺς οὐρανοὺς ἀνηνέχθημεν. Διὸ καὶ εὐθὺς τὴν αἰτίαν τῆς τοῦ Λόγου σαρκώσεως ἀνυμνοῦμεν τὴν Θεομήτορα, « Σὲ τὸ ἀπόρθητον τεῖχος τὸ τῆς σωτηρίας ὀχύρωμα, » λέγοντες.

A

ΚΕΦΑΛ. ΤΝ'.

Περὶ τῶν ἐν τῷ νάρθηκι λεγομένων εὐχῶν, καὶ τοῦ γινομένου ἐκεῖσε θυμιάματος, καὶ τῆς εἰσόδου. Καὶ τί ταῦτα σημαίνει.

Ἰστέον οὖν, ὅτι ἐν μὲν τοῖς πρώτοις τρισὶ ψαλμοῖς τὰς ἑωθινὰς εὐχὰς πρὸς τὸν Θεὸν ἀναφέρει ὁ ἱερεύς· εἶτα τοῦ ἀμώμου ἀρξαμένου, λαμβάνει θυμιατήριον. Καὶ θυμίαμα βαλὼν καὶ σφραγίσας, εἰ δ' ἔστιν ἀρχιερεὺς σφραγίζοντος αὐτοῦ τὸ θυμίαμα, ἄρχεται ὁ ἱερεὺς ἀπὸ τοῦ δεξιοῦ μέρους τοῦ νάρθηκος, ἔνθα ἐστὶ τοῦ ἀρχαγγέλου ἐν τῷ τοίχῳ ἁγία εἰκών· καὶ θυμιᾷ κύκλῳ τὸν νάρθηκα περὶ τοὺς θεμελίους τοῦ ναοῦ καὶ τοὺς τοίχους, ἀφισταμένων ἐκ τῶν τοίχων τῶν ἱσταμένων, καὶ πάλιν ἱσταμένων. Καὶ ἐπανελθὼν ὅθεν ἤρξατο, σταυροῦ τύπον ποιεῖ μετὰ τοῦ θυμιατοῦ, λέγων, « Σοφία ὀρθοί, » μιᾶς λαμπάδος προηγουμένης ἐν μόναις ταῖς ἑορταῖς, καὶ ἐν τῷ νάρθηκι μικρῶν καὶ ὀλίγων ἀναπτομένων φώτων. Ὁ δέ γε ψάλτης καλῶν αὐτὸν, ἐκφωνεῖ τὸ, « Εὐλογητὸς εἶ, Κύριε. » Ἔθος γὰρ εἰς τοῦτον εἶναι τὸν στίχον τῷ τέλει τοῦ θυμιάματος. Καὶ ὁ ἱερεὺς ἠρεμαίᾳ φησὶ φωνῇ τὸ, « Σοφία ὀρθοί, » καὶ εὐθὺς ἐλθὼν θυμιᾷ τὸν ἀρχιερέα, καὶ καθεξῆς τοὺς λοιποὺς ἅπαντας. Εἶτα εἰσελθὼν ἐκ τῆς πλαγίας εἰς τὸν ναὸν ἐν σιγῇ θυμιᾷ πάντα τὸν ναὸν, κεκλεισμένον ὄντα, ὡς εἴρηται. Καὶ τὸ θυσιαστήριον εἰσελθὼν, κἀκεῖ θυμιάσας, καὶ ἀποθέμενος τὸ θυμιατήριον, λαμβάνει τὸν τίμιον σταυρὸν, ὄπισθεν ἱστάμενον τοῦ ἱεροῦ θυσιαστηρίου, μὴ προηγουμένων τινῶν, μὴ φώτων ὄντων, ἀλλὰ μόνου αὐτοῦ ἢ διακόνου. Καὶ ἐξερχόμενος C ἐκ τῆς ἑτέρας πλαγίας, ὑποκλίνων τὴν κεφαλὴν τῷ ἀρχιερεῖ, φέρων ἵστησι τὸν σταυρὸν ἐκ δεξιῶν, πλησίον τῶν μεγάλων πυλῶν τοῦ θείου ναοῦ. Ἔνθα δὴ καὶ ἵσταται ἄχρι καὶ συμπληρώσεως τῶν ψαλμῶν. Τότε δὲ τῶν τριῶν κηρῶν ἐν τούτῳ ἀναπτομένων, καὶ ἀνοιγομένων τῶν πυλῶν, μετὰ λαμπρότητος ἤδη ἡ εἴσοδος γίνεται. Ταῦτα δὲ οὐκ ἀλόγως ἐνεργεῖται, ἀλλὰ θαυμασίᾳ καὶ ὑψηλοτάτῃ ἐννοίᾳ τῶν ἐκθεμένων ἁγίων, ἐν γνώσει θείᾳ καὶ θεωρίᾳ καλῶς πάντα διατυπωσαμένων. Διὸ καὶ ἐπαναλαβόντες αὖθις αὐτὰ τρανότερον θεωρήσωμεν. Τὸ ἔξωθεν ἑστηκέναι καὶ ψάλλειν τὴν ἐκ τοῦ παραδείσου ἔξωσιν ἡμῶν, ὡς εἰρήκαμεν, ὑπεμφαίνει, καὶ τὸ κεκλεισμένον ἡμῖν γενέσθαι τὸν οὐρανὸν, καὶ τοὺς ἀποθνήσκοντας πάντας καὶ τοὺς δικαίους ὑπὸ τὸν ᾅδην ταῖς ψυχαῖς εἶναι. D Διὸ καὶ πρὸς δυσμὰς ἱστάμεθα τοῦ ναοῦ, ὡς πρὸς τὸ ζοφῶδες ὄντες τοῦ ᾅδου καὶ τῆς φθορᾶς, καὶ ὑπ' ἀγνωσίας κρατούμενοι τῆς πλάνης. Καὶ οὐ μέγιστα ἀνάπτομεν φῶτα· ἐπεὶ καὶ μερικός τις ἦν ἐν ἡμῖν τότε φωτισμὸς, ὅ τε φυσικὸς διὰ τῆς γνώσεως τῶν δικαίων, καὶ ὁ τῶν προφητῶν καὶ τοῦ νόμου, καὶ οὐ φωτίζειν καθόλου δυνάμενος. Οὐ γὰρ ἔλαμψεν ἡμῖν ἔτι τὸ μέγα καὶ ἄδυτον φῶς, ὁ ἥλιος τῆς δικαιοσύνης· οὐδὲ ἡ χάρις ἡμῖν ἐπεφάνη τοῦ Θεοῦ ἡ

CAPUT CCCL.

De precibus quæ in narthece ecclesiæ recitantur, et de suffitu qui ibi fit, et de ingressu in templum et quid per hæc significetur.

Itaque sciendum est sacerdotem in primis tribus psalmis matutinas preces ad Deum exhibere. Deinde, incipiente psalmo: «Beati immaculati,» thuribulum accipit, incensoque imposito et signato, et si adsit pontifex, incenso ab hoc signato, incipit sacerdos a dextra parte narthecis ubi est in muro sancta archangeli imago, et circulatim incensat narthecem circa fundamenta et muros templi, aliis a muro recedentibus et iterum propius accedentibus. Et reversus quo incepit, crucis signum facit cum thuribulo dicens: «Sapientia erecti;» una præeunte B lampade in solis festis, et in narthece parvis ac paucis luminibus accensis. Cantor autem eum invitans clamat: «Benedictus es, Domine.» Nam solet hic versus occurrere in fine suffitus. Et sacerdos tranquilla voce: «Sapientia erecti,» inquit. Statimque ingressus incensat pontificem, et deinde omnes alios. Postea a latere intrans in templum incensat in silentio totum templum quod clausum est, prout diximus. Et altare ingressus, postquam ibi incensavit, deposito thuribulo venerandam accipit crucem post sacrum altare positam, nemine præcedente et absque luminibus, sed illo progrediente solo vel comitante diacono. Et egressus ab alio latere, caput inclinans pontifici stat a dextris crucem portans prope magnas divini templi januas. Manet ibi usquedum compleantur psalmi. Tunc vero tribus accensis cereis apertisque foribus, solemnis fit ingressus. Hæc autem non sine ratione fiunt, sed mira valdeque sublimi sententia sancti ea composuerunt, et in divina cognitione ac scientia egregie omnia instituerunt. Quapropter iterum ea repetendo clarius explicabimus. Foris stare et psallere, nos a paradiso repulsos esse, prout dictum est, significat, cœlumque nobis esse clausum, mortuos esse omnes, et justorum animas in inferis esse. Ideo ad partem templi occidentalem stamus, velut in caligine inferni et corruptionis degentes et in ignorantia erroris provoluti. Neque tunc maxima accendimus lumina, quoniam etsi aliqualis fuerit lux in nobis tum naturalis per notitiam juris, tum a prophetis et a lege accepta, non poterat nos omnino illuminare, nondum enim nobis illuxerat lux magna et inaccessibilis sol justitiæ, nec adhuc manifestata nobis fuerat salutaris Dei gratia, sed tenuis erat et caliginosa, tanquam exiguus radius in carcere a foramine per membranulam descendens, quam ostendit suffitus circa narthecem tantum factus, legale et tenebrosum significans ministerium, quod tunc uni tantum solique Judæorum

generi admodum modico præ omnibus fere gentibus datum est. Porro circa muros et fundamenta fit ab initio suffitus, quoniam super fundamentum apostolorum et prophetarum fundata est Ecclesia, et lex quidem incepit, veritas autem perfecta est, et quia sicut tabernaculum in Spiritu sancto a Moyse et Beseleel fuit ædificatum, quanto magis divina gratia templum Christi ædificatum fuit et fundatum, quod sanctissimum exprimit corpus ejus in Virgine ex purissimo divinoque ejus sanguine coalescens virtute Spiritus sancti. Quapropter dum adstantes a muris templi recedunt, incensante fundamenta sacerdote, et iterum accedunt, Dominum ostenditur primo conceptum in Virgine et incarnatum, posterius vero nos longe ab eo distantes illi fuisse adunatos, et ex eo sanctificatos, et insuper primo templum sanctificari, et deinde nos per illud, prout in tabernaculo factum est atque in vetere templo quæ Dominum figurabant. Deinceps templum ingreditur sacerdos incensando, Deum in hoc honorans, illumque antiquum imitans suffitum qui in Sancta sanctorum fiebat, sed sacerdote legali longe honorabilior, utpote magni soliusque Pontificis gratia ditatus illius qui sacerdos est secundum ordinem Melchisedech. Sed et sicut angelus Dei omnipotentis, sicut scriptum est, sacerdos per incensum Deum placat quemadmodum populus per psalmos, qui Deo gratias agunt eumque propitium efficiunt, obsecrantes etiam ut ad nos veniat et manifestetur, ac ipsius Salvatoris nostri conversationem præsignificantes et præsertim immaculatam illius vitam agendi rationem, quod recte demonstrat psalmus tunc cantatus: «Beati immaculati,» et insuper sanctorum ejus vitam, necnon Salvatoris passionem et resurrectionem. Ideo iste psalmus præcipue in Dominicis psallitur sæpiusque in sanctorum commemorationibus, primus quoque cum secundo et tertio: «Beatus vir:» solus enim est Salvator beatus vir, et immaculatus in via; ejus autem per gratiam, ejusdem sancti. Igitur ingressus sacerdos intus cum thuribulo velut in Sancta sanctorum, seu potius in loca illis multo digniora, in hoc testatus et imitatus suffimentum Zachariæ qui solus in adytis incensans præconem gratiæ in donum habuit Joannem qui et prædicatione et baptismo, et vita et passione præcursor fuit Salvatoris nostri et Dei, crucem accipit, et absque lampade, sed in silentio egreditur, quia Jesus Deus noster, impletis legalibus, illiusque cruce prædicata per documenta et prædicationes prophetarum, ipse cum humilitate et sine ostentatione ad nos venit, vitamque ostendit crucifixam et sancte conversatus est, istamque cum cruce vitam appropinquare monstravit ad cœlestem portam et ad angelicam conversationem. Quapropter impletis omnibus a prophetis prædicatis, crucifixus est, necnon mortuus, redivivus, misit qui prædicarent et baptizarent in nomine Patris et Filii et Spiritus sancti. Et quoniam crucifixus nobis

A σωτήριος, ἀλλ' ἀμυδρὰ καὶ σκιώδης οἷον ἐν εἱρκτῇ ἐξ ὀπῆς δι' ὑμένος αὐγὴ βραχεῖα, ἣν δηλοῖ τὸ θυμίαμα περὶ τὸν νάρθηκα μόνον γινόμενον, τὴν νομικὴν καὶ σκιώδη δηλοῦν λατρείαν, ἥτις καὶ εἰς ἓν τότε δέδοται γένος καὶ μόνον τῶν **250** Ἰουδαίων, καὶ αὐτὸ μικρὸν τελοῦν παρὰ πάντα σχεδὸν τὰ ἔθνη. Περὶ τοὺς τοίχους δὲ καὶ τοὺς θεμελίους ἐξ ἀρχῆς τὸ θυμίαμα, ὅτι ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ᾠκοδόμηται ἡ Ἐκκλησία. Καὶ ἤρξατο μὲν ὁ νόμος· τετέλεκε δὲ ἡ ἀλήθεια· καὶ ὅτι ὥσπερ ἡ σκηνὴ Πνεύματι ἁγίῳ ὑπὸ Μωϋσέως καὶ Βεσελεὴλ ἐτελέσθη, πολλῷ μᾶλλον χάριτι θείᾳ ὁ τοῦ Χριστοῦ ναὸς τετέλεσται καὶ τεθεμελίωται, ὃς τὸ πανάγιον αὐτοῦ τυποῖ σῶμα, συστὰν ἐν τῇ Παρθένῳ ἐκ τῶν ἁγνῶν καὶ θείων αἱμάτων αὐτῆς Πνεύματος ἁγίου
B δυνάμει. Διὸ καὶ τὸ ἀφίστασθαι τῶν τοῦ ναοῦ τοίχων τοὺς ἱσταμένους θυμιῶντος τοῦ ἱερέως τοὺς θεμελίους, καὶ πάλιν ἵστασθαι, τὸ πρῶτον συλληφθῆναι τὸν Κύριον ἐν τῇ Παρθένῳ καὶ ἐνανθρωπῆσαι δηλοῖ, ὕστερον δὲ ἡμᾶς μακρὰν ὄντας αὐτῷ ἑνωθῆναι, καὶ ἐξ αὐτοῦ ἁγιασθῆναι, ἀλλὰ καὶ τὸ πρῶτον ἁγιάζεσθαι τὸν ναὸν, εἶτα ἡμᾶς δι' αὐτοῦ, ὡς καὶ ἐν τῇ σκηνῇ γέγονε, καὶ τῷ πάλαι ναῷ, ἃ ἐτύπουν τὸν Κύριον. Εἶτα τὸν ναὸν εἰσέρχεται ὁ ἱερεὺς θυμιῶν, τιμῶν ἐν τούτῳ τὸν Θεὸν, καὶ τὸ πάλαι θυμίαμα ἐκμιμούμενος τὸ εἰς τὰ Ἅγια τῶν ἁγίων, τιμιώτερος ὢν ἐκείνου τοῦ ἱερέως, ὡς τὴν χάριν τοῦ μεγάλου καὶ μόνου ἀρχιερέως πλουτῶν, τοῦ κατὰ τὸν τύπον Μελχισεδέκ. Ἀλλὰ καὶ ὡς ἄγγελος Θεοῦ παντοκράτορος ὁ ἱερεὺς, καθὰ γέγραπται, διὰ τοῦ θυμιά-
C ματος τὸν Θεὸν ἱλασκόμενος, ὥσπερ καὶ ὁ λαὸς διὰ τῶν ψαλμῶν, οἵτινες καὶ εὐχαριστήριοι καὶ ἱλαστήριοί εἰσι πρὸς Θεὸν, καὶ πρὸς τὸ ἐλθεῖν πρὸς ἡμᾶς καὶ ἐμφανισθῆναι παρακαλοῦντες, καὶ τὴν πολιτείαν αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν προεμφαίνοντες, καὶ μάλιστα τὴν ἄμωμον αὐτοῦ ζωήν τε καὶ πολιτείαν· ὅπερ σαφῶς καὶ ὁ λεγόμενος Ἄμωμος ἐκδιδάσκει· καὶ ἔτι τὴν τῶν ἁγίων αὐτοῦ βιοτήν· ἀλλὰ καὶ τὰ πάθη τοῦ Σωτῆρος καὶ τὴν ἀνάστασιν. Διὸ καὶ οὗτος ἐξαιρέτως ἔν τε Κυριακαῖς ψάλλεται, καὶ ἐν ταῖς τῶν ἁγίων μνήμαις πολλάκις. Καὶ ὁ πρῶτος δὲ ψαλμὸς σὺν τῷ δευτέρῳ καὶ τρίτῳ, τὸ «Μακάριος ἀνήρ·» μακάριος γὰρ ἀνὴρ καὶ ἄμωμος ἐν ὁδῷ μόνος ὁ Σωτήρ ἐστι· κατὰ χάριν δὲ τούτου καὶ
D οἱ ἅγιοι αὐτοῦ. Εἰσελθὼν οὖν ὁ ἱερεὺς ἔνδον τῷ θυμιάματι ὡς εἰς τὰ Ἅγια τῶν ἁγίων, μᾶλλον δὲ τὰ τούτων ἐπέκεινα, κἀν τούτῳ μαρτυρῶν τὸ θυμίαμα Ζαχαρίου καὶ ἐκμιμούμενος, ὃς θυμιῶν ἐν ἀδύτοις μόνος, τὸν κήρυκα τῆς χάριτος δῶρον ἔσχε τὸν Ἰωάννην, ὃς Πρόδρομος ἦν τῷ κηρύγματι καὶ βαπτίσματι καὶ τῇ ζωῇ καὶ τῷ πάθει, τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ, τὸν σταυρὸν λαμβάνει. Καὶ οὐ μετὰ λαμπροφορίας, ἀλλ' ἐν σιγῇ ἐξέρχεται· ὅτι καὶ Ἰησοῦς ὁ Θεὸς ἡμῶν τῶν νομικῶν τελουμένων, καὶ τοῦ σταυροῦ αὐτοῦ προκηρυττομένου διὰ τῶν παθημάτων καὶ κηρυγμάτων τῶν προφητῶν, αὐτὸς μετὰ ταπεινώσεως καὶ οὐ φαντασίας πρὸς ἡμᾶς ἦλθε, καὶ ὑπέδειξε τὴν ἐσταυρωμένην ζωὴν, καὶ ἁγίως ἐπολιτεύσατο, καὶ ἐγγίζουσαν ἔδειξε τῇ οὐρανίῳ πύλῃ

καὶ ἀγγελικῇ πολιτείᾳ τὴν μετὰ σταυροῦ ταύτην ζωήν. Διὸ καὶ μετὰ τὸ τελέσαι πάντα τὰ διὰ τῶν προφητῶν κηρυχθέντα, ἐσταύρωται, καὶ ἀποθανὼν καὶ ἀναστὰς, ἀπέστειλε κηρύττειν καὶ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ διὰ τοῦτο τρία ἀνάπτεται φῶτα τῷ τιμίῳ σταυρῷ. Καὶ ἐπειδὴ ἀναστὰς ἡμῖν ἐσταυρωμένος διὰ τῶν ὠτειλῶν ὤφθη, καὶ εἰς τὸν οὐρανὸν ἀνελήλυθε, καὶ ἡμᾶς συνεισήγαγε, τοῦ σταυροῦ αὐτοῦ τοῦτο δηλοῦντος μετὰ τοῦ ἀρχιερέως, τοῦ ἱερέως αὐτὸν τὸν σταυρὸν κατέχοντος, καὶ ἅπαντες συνεισέρχονται· ὅτι αὐτὸς ἡμῖν ἐνεκαίνισεν ὁδὸν πρόσφατον διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ, καὶ δι' αὐτοῦ εὕρομεν τὴν εἴσοδον εἰς τὰ ἅγια· καὶ αὐτὸς εἰσῆλθε μέγιστος ὢν ἀρχιερεὺς ἅπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος ἡμῖν ὁ Λυτρωτής. Οὕτω μὲν οὖν εἰσερχόμεθα σὺν αὐτῷ, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες, ὃν ἔπαθεν ὑπὲρ ἡμῶν αὐτὸς τῆς Ἱερουσαλὴμ ἔξωθεν. Διὰ τοῦτο καὶ ἔξωθεν τοῦ ναοῦ ὁ σταυρὸς αὐτοῦ φέρεται· ἵνα ὡς παθόντος αὐτοῦ καὶ θλιβέντος ἔξωθεν διὰ τὸν ἔσωθεν τῆς Ἐδὲμ πειρασθέντα τε καὶ νενικημένον καὶ τεθανατωμένον Ἀδὰμ **251** καὶ ἐξωθέντα αὐτῆς, ἡμεῖς ἔνδον εἰσέλθωμεν διὰ τοῦ παθόντος ἔξωθεν τῆς Ἱερουσαλὴμ Ἰησοῦ, καὶ σὺν αὐτῷ ὡς βασιλεῖ τῶν οὐρανῶν εἰς τὸν οὐρανὸν συνανέλθωμεν. Τοιαῦτα καὶ τὰ τοῦ ὄρθρου. Ἀναγνώσεως δὲ τ.θείσης, καὶ μάλιστα τοῦ συναξαρίου, τὰ τῶν παθόντων ὑπὲρ Χριστοῦ δηλοῦντος, ἢ τὰ περὶ τῆς ἐνισταμένης ἑορτῆς, ἢ τὰ τῶν τελειωθέντων ὁσίως διὰ Χριστὸν, οἱ τὸν ἀποθανόντα καὶ ἀναστάντα Χριστὸν ἐμιμήσαντο, πάλιν ἡ ἐκτενὴς γίνεται δέησις· καὶ τὸ, « Ἐλέησόν με, ὁ Θεὸς, » μετὰ ἁρμοδίου ὑποψάλμου ᾄδεται, ὃ πεντηκοστάριον λέγεται.

A post resurrectionem cum vulneribus apparuit, et in cœlum ascendit, nosque congregavit, cruce ejus tum hoc significante cum pontifice, sacerdote crucem illam portante, omnes ingrediuntur, quoniam ipse nobis aperuit viam novam per velamen carnis suæ, et per eum invenimus ingressum in sancta, et ipse maximus vere pontifex introivit semel in sancta redemptor, æterna nobis redemptione inventa. Igitur ita quidem ingredimur cum eo, improperium ejus portantes quod pro nobis passus est extra, Jerusalem. Ideo etiam extra templum crux ejus fertur, ut quum ille passus est et contritus extra propter Adam intra Edem tentatum, et victum atque interfectum ac inde expulsum, nos intus introeamus per Jesum extra Jerusalem passum, B necnon cum eo utpote cœlorum rege in cœlum congregemur. Tales sunt officii matutini ritus. Facta autem lectione et præsertim lectiuncula manifestante agones eorum qui pro Christo passi sunt, vel ea quæ ad festum occurrens spectant, vel acta eorum qui sancte in Christo dormierunt ejus mortem et resurrectionem imitati, rursum fit continens oratio, et psalmus «Miserere mei, Deus :» cum versiculo intercalari et modulato psallitur; quod πεντηκοστάριον dicitur.

ΚΕΦΑΛ. ΤΝΑ'.

Περὶ τοῦ πεντηκοστοῦ ψαλμοῦ.

Πεντηκοστάριον δὲ, ὅτι καὶ ὁ ψαλμὸς πεντηκοστός. Καὶ οὗτος ὡς ἐπὶ τῷ φόνου ἐγκλήματι τοῦ Δαβὶδ καὶ τῇ μοιχείᾳ ῥηθεὶς, ἁρμόδιος πρὸς πάντας βροτοὺς εὐσεβεῖς, ὡς μετανοίας ψαλμός· καὶ μᾶλλον τῷ ἀρχηγῷ τοῦ γένους Ἀδὰμ, πεφονευκότι ἑαυτόν τε καὶ πάντας γηγενεῖς, καὶ μοιχείαν τετελεκότι, ὡς τὸ μὴ δεδομένον εἰς τροφὴν αὐτῷ ξύλον φαγόντι, καὶ ἰσοθεΐαν νοσήσαντι, ἣν οὐκ εἶχε κατὰ φύσιν. Οὐ γὰρ Θεὸς ἦν, ἀλλὰ κτίσμα, καὶ πᾶσιν ἀνθρώποις ὁμοίως πταίουσι προσήκων ἐστί. Διὸ καὶ οὗτος ὁ ψαλμὸς πρὸ παντὸς ᾄδεται ἐν τῇ Ἐκκλησίᾳ, τὸν ἔλεον Θεοῦ ἐκκαλούμενος, καὶ ἄφεσιν ἁμαρτιῶν, καὶ καρδίαν καθαρὰν ἐξαιτούμενος κτήσασθαι· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐγκαινισθῆναι ἡμῖν, ὅπερ ἀπωλέσαμεν μολυνθέντες, καὶ μὴ ἀποστῆναι ἡμῶν τοῦτο δυσωπεῖ· καὶ Πνεῦμα συντετριμμένον ὡς θυσίαν προσάγει, δηλαδὴ τὴν μετάνοιαν, ἀντὶ τῆς παλαιᾶς ἐξ ἀλόγων θυσίας· ἐνταῦθα τὰ τοῦ Εὐαγγελίου προσημαίνων καὶ ἀναιρῶν τὰ νομικὰ, ὡς σκιώδη τελοῦντα καὶ ἀτελῆ. Οὐ γὰρ διὰ ζώου ἀλόγου προσαγωγῆς δυνατὸν σωθῆναι τὸν λογικῇ ψυχῇ χρώμενον, εἰ μὴ διὰ ταύτης ἐπανορθωθείη πάλιν τῆς ψυχῆς. Ὅπερ ἐστὶ μετανοῆσαι ὁλοσχερῶς, καὶ θυσίαν ἀνθ' ἑαυτοῦ προσαγαγεῖν ἄνθρωπον ἀναμάρτητον, ὅς ἐστιν Ἰησοῦς Χριστὸς ὁ τοῦ Θεοῦ Υἱὸς ὑπὲρ ἡμῶν ἐνανθρωπήσας, καὶ θυσίαν ἑαυτὸν οἰκειοτάτην ὑπὲρ ἁπάντων διδοὺς,

C

CAPUT CCCLI.

De psalmo quinquagesimo.

Porro πεντηκοστάριον appellatur, quia psalmus est quinquagesimus; qui utpote de reatu homicidii David ejusque adulterio pronuntiatus recte omnibus piis hominibus ut pœnitentiæ psalmus convenit, et in primis capiti generis Adam qui sibi et omnibus posteris ejus mortem intulit, et adulterium perpetravit manducando de ligno quod ei in escam datum non fuerat, atque Dei similitudinis desiderio ægrotavit quam secundum naturam non habuit, quum Deus non esset, sed creatura; qua ægritudine laborant omnes similiter delinquentes. Ideo psalmus iste ante quemcumque in Ecclesia cantatur Dei invocans misericordiam et remissionem peccatorum, oransque ut cor mundum creetur, sanctusque D Spiritus renovetur in nobis, quem peccato maculati amiseramus; et obsecrat ut ille a nobis non auferatur; spiritum autem contritum offert in sacrificium, videlicet pœnitentiam loco veteris irrationabilium sacrificii, inde evangelica præsignificans et legalia auferens utpote caliginosa et imperfecta : non enim possibile est per animal irrationale salvum fieri rationalem animam habentem, nisi rursus per hanc animam corrigatur, quod est perfectam facere pœnitentiam, et in sacrificium pro semetipso offerre hominem a peccato immunem, nempe Jesum Christum Dei Filium pro nobis incarnatum, qui semetipsum hostiam peculiarissimam

pro universis dedit; necnon sperat ædificandam novam Jerusalem, scilicet Ecclesiam, quando et offerendum prædicit laudis sacrificium, confessionem Christi, saginatumque vitulum ipsum Dominum. Igitur convenienter tunc per versus dicitur psalmus quinquagesimus ab utroque choro, necnon diei aut festi sive sancti absolutio. Festis quidem Dominicis post «Gloria et Nunc» dicitur festi absolutio; singulis autem diebus absolutio diei propria; necnon ad versum: «Ne projicias me a facie tua,» dicunt: «Auxilium Christianorum;» verum ad «Gloria, Unigenitus,» et ad verba: «Et nunc» dicunt: «Gloriosissimam.» Et statim recitantur canones festi vel sancti quos instituimus ad decorem et bonum Ecclesiæ ordinem, necnon ad gloriam Dei ejusque sanctorum. In octo quidem partes psalluntur, si duo sunt; in sex vero si dicitur canon Magnus sanctus, aut in quatuor, si festum non sit. Quod fit ad utilitatem incitamentumque et perseverantiam justorum, utpote canonibus consuetorum. Etenim prius quidem canones in cantione non psallebantur, sed post quinquagesimum psalmum, facta conjuncta, protinus dicebantur psalmi «Laudate.» Nunc vero post canones dicuntur ἐξαποστελλάρια seu hymnus «Emitte.» Deinde parva conjuncta, et illico psalmi «Laudate.» Cantor primi chori: «Laudate, inquit, Dominum de cœlis, te decet hymnus Deum,» et alius ad alium versum idem dicit, aliosque versus sex similiter recitant. Unde patet monachos a cantione originem ducere, quum et ipsi ab initio dicant: «Te decet hymnus Deum.» Porro ad illud: «Laudate Dominum de terra,» dicitur: «Date gloriam Deo,» et similiter ad sex versus sequentes. Sed ad hæc: «Exaltatum est nomen ejus,» dicunt: «Ipsum decet laudatio,» et ita ad sequentes versus; ad versum autem: «Laudent nomen ejus; Gloria tibi Pater,» itemque ad sequentem. Ad hunc: «Exaltationes Dei, Fili Dei, miserere nobis,» itemque ad alium versum. Sed ad istud: «Ad alligandos reges eorum in compedibus,» fit: «Parce nobis, Domine, propter Spiritum sanctum, «Dominus, ait Paulus, Spiritus est», ut celebretur Trinitas, et similiter fit ad cæteros. Ad hoc autem: «Laudate Dominum in sanctis ejus, Fili Dei, miserere nobis,» rursum propter incarnationem, et pariter ad versus sequentes. Verum ad hunc: «Laudate eum in cymbalis bene sonantibus, Gloria tibi, qui lumen ostendisti,» itemque ad ultimum post eum. Deinde, «Benedictus Dominus Deus Israel, quia visitavit et fecit redemptionem plebis suæ,» quod dicunt ad omnes versus, quoniam in his verbis prophetia est et canticum incarnationis Verbi, necnon ejusdem prooemium et gratiarum actio Præcursore et Baptista nuper parto pronuntiata, quod canticum ut gratias agens solemniter cantat Ecclesia. Porro ad «Gloria» dicunt: «Benedictus Dominus Jesus rex, quia visitans,» et reliqua clarius psalluntur, necnon ad verba: «Et nunc,» idem repetitur. Insuper dicunt: «Egregiam, Dei Matrem celebremus omnes, per quam consecuti sumus

A καὶ οἰκοδομηθῆναι τὴν νέαν Ἱερουσαλὴμ, ἤτοι τὴν Ἐκκλησίαν ἐλπίζει· ὅτε καὶ θυσίαν αἰνέσεως προσαχθῆναι προλέγει, τὴν ὁμολογίαν Χριστοῦ, καὶ τὸν σιτευτὸν μόσχον, αὐτὸν τὸν Κύριον. Πεντηκοστάριον οὖν ἁρμοδίως ἐν τούτῳ λέγεται κατὰ στίχον ἐν ἑκατέρῳ χορῷ, ἢ τὸ τῆς ἡμέρας ἢ τὸ τῆς ἑορτῆς ἢ τὸ τοῦ ἁγίου ἀπολυτίκιον. Καὶ εἰς μὲν τὰς δεσποτικὰς ἑορτὰς, «Δόξα καὶ νῦν,» τὸ τῆς ἑορτῆς· καθ' ἡμέραν δὲ τὸ τῆς ἡμέρας. Καὶ εἰς τὸ, «Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου,» τὸ, «Προστασία τῶν Χριστιανῶν·» εἰς δὲ τὸ, «Δόξα,» τὸ, «Ὁ μονογενής·» καὶ εἰς τὸ, «Καὶ νῦν «Τὴν ὑπερένδοξον·» καὶ εὐθὺς οἱ κανόνες τῆς ἑορτῆς, ἢ τοῦ ἁγίου, οὓς προσεθήκαμεν δι' εὐκοσμίαν ἡμεῖς καὶ εὐταξίαν τῆς Ἐκκλησίας, δόξαν τε Θεοῦ καὶ τῶν
B ἁγίων αὐτοῦ. Εἰς ὀκτὼ μὲν ψάλλονται εἰ δύο εἰσίν· εἰς ἓξ δὲ, εἰ μέγας ἅγιος· ἢ εἰς τέσσαρα, εἰ μὴ ἑορταζόμενός ἐστι· καὶ διὰ τὴν ὠφέλειαν δὲ, παράκλησίν τε καὶ προσμονὴν τῶν εὐσεβῶν, ὡς εἰθισμένων ἐν τοῖς κανόσι. Πρότερον μὲν γὰρ κανόνες ἐν τῷ ᾀσματικῷ οὐκ ἐψάλλοντο· ἀλλὰ μετὰ τὸν Πεντηκοστὸν, γινομένης συναπτῆς, εὐθὺς ἐλέγοντο οἱ «Αἰνεῖτε·» νῦν δὲ μετὰ τοὺς κανόνας τὰ ἐξαποστειλάρια λέγονται. Εἶτα μικρὰ συναπτή. Καὶ εὐθὺς τὸ, «Αἰνεῖτε.» Ὁ ψάλτης τοῦ πρώτου χοροῦ, «Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· σοὶ πρέπει ὕμνος τῷ Θεῷ,» καὶ ὁ ἕτερος εἰς τὸν ἕτερον στίχον τὸ αὐτό· καὶ τοὺς λοιποὺς ἓξ ὁμοίως λέγουσι στίχους. Ἐντεῦθεν οὖν δῆλον, ὡς καὶ τὰ μοναστήρια ἐκ τοῦ ᾀσματικοῦ ἔχουσι τὰς ἀφορμὰς, ὁμοίως ἐν
C ταῖς ἀρχαῖς καὶ αὐτοὶ λέγοντες, «Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.» Εἰς δὲ τὸ, «Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, Δότε δόξαν τῷ Θεῷ,» καὶ εἰς τοὺς λοιποὺς στίχους ἕξ. Εἰς δὲ τὸ, «Ὑψώθη τὸ ὄνομα αὐτοῦ, αὐτῷ πρέπει αἴνεσις·» καὶ τοὺς ἑξῆς. Εἰς τὸ, «Αἰνεσάτωσαν δὲ τὸ ὄνομα αὐτοῦ, Δόξα σοι, ἅγιε Πάτερ·» καὶ εἰς τὸν ἕτερον, εἰς τὸ, «**252** Αἱ ὑψώσεις δὲ τοῦ Θεοῦ, Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς,» καὶ εἰς τὸν ἕτερον στίχον. Καὶ εἰς τὸ, «Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, Φεῖσαι ἡμῶν, Κύριε, διὰ τὸ Πνεῦμα τὸ ἅγιον.» Ὁ δὲ Κύριος, Παῦλός φησι, τὸ Πνεῦμά ἐστιν, ἵνα ἀνυμνηθῇ ἡ Τριάς· καὶ ὁμοίως εἰς τοὺς λοιπούς. Εἰς τὸ, «Αἰνεῖτε δὲ τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς·» διὰ
D τὴν σάρκωσιν πάλιν, καὶ τοὺς ἐφεξῆς ὁμοίως. Εἰς δὲ τὸ, «Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, Δόξα σοι τῷ δείξαντι τὸ φῶς·» καὶ εἰς τὸν λοιπὸν μετ' αὐτόν. Εἶτα, «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.» Καὶ τοῦτο εἰς πάντας λέγουσι τοὺς στίχους· ὅτι προφητεία ἡ ᾠδὴ αὕτη τῆς τοῦ Λόγου σαρκώσεως καὶ προοίμιον αὐτῆς καὶ εὐχαριστία, καὶ ἐγγὺς ἐν τῷ τόκῳ ῥηθεῖσα τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, καὶ ὡς εὐχάριστον ταύτην, λαμπρῶς ᾄδει ἡ Ἐκκλησία. Εἰς δὲ τὸ, «Δόξα, Εὐλογητὸς Κύριος Ἰησοῦς ὁ βασιλεὺς, ὅτι ἐπεσκέψατο,» καὶ τὸ ἑξῆς γεγωνότερον. Καὶ νῦν τὸ αὐτό. Καὶ περισσὴν, «Τοῦ Θεοῦ τὴν Μητέρα ἀνυμνήσωμεν πάντες,» δι' ἧς κομιζόμεθα πταισμάτων συγχώρησιν, καὶ

ἀντίληψιν ταῖς ψυχαῖς ἡμῶν. » Ταῦτα δὲ τὴν οἰκονομίαν προκηρυχθεῖσαν Χριστοῦ μεγαλύνουσι, καὶ μάλιστα διὰ τοῦ τόκου τοῦ Βαπτιστοῦ, ὡς προέφημεν. Καὶ εὐθὺς ἐν τῷ ἄμβωνι παρὰ ἀναγνώστου τὸ, « Δόξα ἐν ὑψίστοις Θεῷ, » λαμβάνοντος τὸν σταυρὸν ταῖς χερσὶ, καὶ ἐν τῷ ἄμβωνι ἱσταμένου, καὶ ἐπισυνάπτεται παρὰ τῶν ψαλτῶν ἡ μεγάλη δοξολογία. Τοῦτο δὲ γίνεται καθ' ἑκάστην. Τῇ δέ γε Κυριακῇ κατὰ τὸν ἦχον οἱ « Αἰνεῖτε » λέγονται μετὰ τῶν ὑποψάλμων. Καὶ εἰς τὸ τέλος ἀναστάσιμα στιχηρὰ ἢ τῆς ἑορτῆς, ἢ μεγάλου ἁγίου, εἰ ἔστι μνήμη αὐτοῦ, Δόξα τὸ ἑωθινόν. Ἐν ᾧ εἴσοδος τῶν ἱερέων μετὰ τοῦ σταυροῦ καὶ τοῦ θείου Εὐαγγελίου, τὴν τοῦ Σωτῆρος ἀνάστασιν ταύτης τῆς εἰσόδου σημαινούσης περὶ τὸν ὄρθρον γεγενημένης. Διὸ τῶν ἱερέων τὴν εὐχὴν κλινομένων λεγόντων τῆς εἰσόδου ἐν τῷ ἑωθινῷ, ὃ δηλοῖ τὴν εἰς ἡμᾶς καὶ ἄχρι τοῦ ᾅδου ταπείνωσιν καὶ κατάβασιν τοῦ Κυρίου, καὶ ἐγειρομένων τὴν ἔγερσιν, ὡς πολλάκις εἰρήκαμεν, τὸ Εὐαγγέλιον ἀνυψοῦται, κηρύττον καὶ αὐτὸ τὴν ἀνάστασιν καὶ τὸ, « Σοφία ὀρθοί, » λέγεται, εἰς κήρυγμα καὶ τοῦτο τῆς ἀναστάσεως, καὶ ψαλλομένου εἰς τὸ, « Καὶ νῦν καὶ ἀεὶ, ὑπερευλογημένη ὑπάρχεις· » ἐπειδὴ διὰ τῆς Θεοτόκου ἡ σωτηρία ἡμῖν δέδοται, καὶ ἡ κατάρα τῆς Εὔας λέλυται. Εἰσελθόντων ἔνδον τῶν ἱερέων, πρῶτον μὲν ὑπ' ἀναγνώστου ἐν τῷ ἄμβωνι τὸν σταυρὸν κατέχοντος τὸ, « Δόξα ἐν ὑψίστοις Θεῷ, » λέγεται, ἔπειτα δὲ ὑπὸ τῶν ψαλτῶν ᾀσματικῶς ᾄδεται. Εἶτα ἐντὸς τοῦ ἱεροῦ βήματος παρὰ τῶν ἱερέων ὁμοῦ ἅπαν λέγεται, ἀπὸ τοῦ, « Ἐν ἀνθρώποις εὐδοκία, » συμφώνου τῆς δοξολογίας ἔξωθέν τε καὶ ἔσωθεν γινομένης· ὅτι καὶ μία Ἐκκλησία διὰ τοῦ Χριστοῦ ἄνω τε καὶ κάτω γεγόναμεν· καὶ τοῦτο εἰς κήρυγμα καὶ δόξαν τῆς Χριστοῦ ἀναστάσεως. Διὸ καὶ τροπάριον ἀναστάσιμον τὸ, « Σήμερον σωτηρία, » ἐν μιᾷ Κυριακῇ· καὶ τὸ, « Ἀναστὰς ἐκ τοῦ μνήματος ἐν ἑτέρᾳ, » τρὶς ἡδυμελῶς, ἐκτός τε παρὰ τῶν ψαλτῶν, καὶ ἐντὸς παρὰ τῶν ἱερέων ψάλλεται, τῆς τοιαύτης τάξεως σαφῶς παριστώσης τὴν ἀνάστασιν τοῦ Σωτῆρος. Διὸ καὶ εὐθὺς τὸ, « Ἀνάστηθι, Κύριε, » ψάλλεται· καὶ τὸ ἑωθινὸν ἐπ' ἄμβωνος ἀναγινώσκεται Εὐαγγέλιον παρὰ πρεσβυτέρου, τὴν τελεωτέραν τάξιν τῶν ἀγγέλων ἐμφαίνοντος. Καὶ μετὰ τοῦτο ἡ ἐκτενὴς δέησις, αἱ μεγάλαι αἰτήσεις, ἡ κεφαλοκλισία, καὶ ἡ ἀπόλυσις. Οὕτω μὲν οὖν καὶ τὰ τοῦ ὄρθρου τετέλεσται. Τὰ δὲ τῆς τελείας λειτουργίας προεγράφησαν ἐν ἑτέροις.

offensarum remissionem et adjutorium animabus nostris. Ista vero prædicatam Christi œconomiam magnificant et præsertim per partum Baptistæ, prout prædiximus. Et statim in suggesto inchoatur: «Gloria in excelsis Deo,» a lectore qui in manibus crucem accipit stans in suggesto, et a cantoribus continuatur magna doxologia. Hoc autem fit diebus singulis. Dominica vero cantantur psalmi: «Laudate» cum intercalari versiculo, et in fine de resurrectione versiculi, vel festi vel magni cujusdam sancti, si fiat ejus commemoratio, Gloria et matutinum Evangelium. In isto fit ingressus sacerdotum cum cruce divinoque Evangelio; qui ingressus circa diluculum factus Salvatoris resurrectionem significat. Ideo sacerdotibus capite inclinato dicentibus orationem ingressus in matutino factus officio, quod ostendit ad nos et usque ad infernum humiliationem et descensum Domini mortuorumque resurrectionem, sicut sæpe supra diximus, elevatur Evangelium quod ipsum resurrectionem prædicat, et dicitur: «Sapientia erecti,» pariter in prædicationem resurrectionis, et psallitur ad verba: «Et nunc et semper, super omnes benedicta es,» quoniam per Deiparam salus nobis data est, solutaque Evæ maledictio. Ingressis intus sacerdotibus, primum quidem a lectore crucem tenente in suggesto dicitur: «Gloria in excelsis Deo,» et deinde a cantoribus modulate psallitur. Postea intra sacrum sanctuarium a sacerdotibus simul totum dicitur ab his: «Et in hominibus bona voluntas,» ita ut tam extra quam intra concorditer fiat doxologia, quoniam per Christum una Ecclesia supra et infra facti sumus; quod etiam fit ad prædicandam et glorificandam Christi resurrectionem. Ideo et versiculus resurrectionis: «Hodie salus,» in una Dominica, iste vero resurgens ex monumento, in altera ter foris a cantoribus intusque a sacerdotibus suaviter psallitur. Hic ordo mirabiliter resurrectionem Salvatoris exhibet. Quapropter illico psallitur: «Exsurge, Domine,» et matutinum Evangelium in ambone legitur a sacerdote qui perfectiorem angelorum ordinem exprimit, et post hoc continens deprecatio, magnæ preces, capitis inclinatio, et absolutio. Ita quidem matutinum perficitur officium; ritus vero sanctissimæ liturgiæ aliis in locis explicati sunt.

ΚΕΦΑΛ. ΤΝΒ'.

Περὶ τῆς τριτοέκτης ἐν ταῖς νηστείαις, καὶ τῆς προηγιασμένης λειτουργίας.

Νῦν δὲ περὶ τῆς ἐν ταῖς νηστείαις τριτοέκτης ἐροῦμεν ἥτις ἀναγκαιοτάτως ἡνωμένη ἐστὶ τῇ λειτουργίᾳ κατὰ τὴν ἁγίαν Τεσσαρακοστὴν γινομένῃ ἐν ταῖς καθολικαῖς ἐκκλησίαις παρὰ τῶν κοσμικῶν ἱερέων· ἢ καὶ τὸν τύπον ἀποσώζει τῆς καθολικῆς μεγάλης **253** ἱερᾶς λειτουργίας ἄχρι καὶ τῆς μεγάλης εἰσόδου. Τοῦτο δὲ ἐπενοήθη τοῖς ἀρχαίοις Πατράσι διὰ τὸ μὴ τελείαν λειτουργίαν ἐν τῇ ἁγίᾳ γίνεσθαι

CAPUT CCCLII.

De cantico inter tertiam et sextam horam in jejuniis, et de missa Præsanctificatorum.

Nunc de cantione quæ fit in jejuniis tertiam inter et sextam horam disserimus, quæ prorsus necessario Missæ adunata per sanctam Quadragesimam in universis Ecclesiis fit a sæcularibus sacerdotibus, in qua catholicæ magnæ et sanctæ missæ servatur ordo usque ad magnum ingressum. Hoc autem a priscis patribus inventum est, quoniam Missa non perficitur in sancta Quadragesima.

Illud autem canticum hoc modo adimpletur. Tempore opportuno diaconus dicit: «Benedic, Domine.» sacerdos vero: «Benedictum regnum;» diaconus pacifica addit, sacerdos autem primæ antiphonæ orationem: «Deus, qui sedes super Cherubim,» et exclamat: «Quoniam tu es Deus noster, Deus misericordiæ.» Et cantores psalmum integrum dicunt: «Ad te, Domine, levavi animam meam,» per versus singulos cantantes: «Intercessione Dei Genitricis:» itemque «Gloria et nunc.» Diaconus iterum: «Et nunc quoque,» et sacerdos secreto dicit orationem secundæ antiphonæ: «Deprecamur te, Domine Deus noster,» et exclamat: «Quoniam glorificatum est sanctissimum nomen tuum.» Et cantores secundam antiphonam psallunt, psalmum integrum: «Dominus illuminatio mea et salus mea, » duobus choris per singulos versus dicentibus; «Salva nos, Fili Dei, tibi psallentes Alleluia;» et idem «Gloria et nunc.»

Rursusque diaconus: «Et nunc quoque.» Sacerdos vero tertiam secreto orationem dicit: «Domine Deus omnipotens,» et exclamat, «Quoniam bonus.» Et tertia psallitur antiphona, utroque choro singulis versibus addente duplex alleluia. Porro ad versum, «Qui ambulat in via immaculata,» usque ad finem psalmi, velut in uno versu a sanctuario in σωλέα(1) ingrediuntur diaconus et sacerdos, absque luminibus nec incenso, Dominum in crucem circa horam sextam sublatum ostendentes. Ideo istud inter tertiam sextamque horam, diacono quidem dicente Benedic, Domine, sanctum introitum, sacerdote autem dicente orationem, «Benedictus ingressus sanctorum tuorum, Domine, in perpetuum et nunc et semper.» Iste vero ingressus, ut dictum est, in cruce suspendium ostendit Salvatoris circa horam sextam sublati et crucifixi, quando et latronem simul crucifixum propter pauca pœnitentiæ verba in cœlum introduxit. Quamobrem purpura induti sunt diaconus et sacerdos hinc Domini passionem et mortem significantes. Verum facto ingressu, diaconus iterum pacifica dicit, orationem autem sacerdos, «Domine Deus patrum nostrorum,» quæ est horæ sextæ oratio, et precatur ut custodiamur a sagitta volante in die, a negotio perambulante in tenebris, ab incursu et dæmonio meridiano, aliaque multa a Deo efflagitat. Et exclamat, «Quoniam te decet,» statimque cantores prophetiæ versiculum modulantur, et lector in ambone legit prophetiam; qua dicta, diaconus ait, «Dicamus omnes.» Sacerdos vero orationem continentis deprecationis secreto recitat, et exclamat, «Quoniam misericors.» Cæteraque fiunt secundum ordinem Missæ post Evangelium. Nam in figuram Apostoli simul et Evangelii legitur lectio libri Isaiæ, acta Salvatoris evidentius aliis prædicantis et præsertim passionis ejus circumstantias. Hanc fuisse antiquam a Patribus consuetudinem patet ex eo quod in ipsis mo-

A Τεσσαρακοστῇ. Τελεῖται δὲ ἡ τριτοέκτη οὕτω. Λαβὼν καιρὸν ὁ διάκονος λέγει, «Εὐλόγησον, δέσποτα.» Ὁ ἱερεὺς, «Εὐλογημένη ἡ βασιλεία.» Ὁ διάκονος τὰ εἰρηνικά. Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ πρώτου ἀντιφώνου, «Ὁ Θεὸς ὁ ἐπὶ τῶν Χερουβὶμ καθεζόμενος.» Καὶ ἐκφωνεῖ, «Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν.» Καὶ οἱ ψάλται τὸν Ψαλμὸν ἅπαντα λέγουσι, «Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου,» κατὰ στίχον ᾄδοντες, «Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Δόξα καὶ νῦν τὸ αὐτό.» Ὁ διάκονος πάλιν, «Ἔτι καὶ ἔτι.» Ὁ ἱερεὺς μυστικῶς τὴν εὐχὴν τοῦ δευτέρου ἀντιφώνου, «Δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν·» καὶ ἐκφωνεῖ, «Ὅτι δεδόξασταί σου τὸ πανάγιον ὄνομα.» Καὶ οἱ ψάλται τὸ δεύτερον ἀντίφωνον, τὸν Ψαλμὸν ἅπαντα, «Κύριος φωτισμός μου καὶ Σω- B τήρ μου,» καὶ στίχον λέγοντες οἱ δύο χοροὶ, «Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ψάλλοντάς σοι Ἀλληλούϊα. Δόξα καὶ νῦν τὸ αὐτό.» Καὶ αὖθις ὁ διάκονος, «Ἔτι καὶ ἔτι.» Ὁ ἱερεὺς μυστικῶς τὴν τρίτην εὐχὴν, «Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ,» καὶ ἐκφωνεῖ, «Ὅτι ἀγαθός.» Καὶ ψάλλεται τὸ τρίτον ἀντίφωνον κατὰ στίχον λεγόντων Ἀλληλούϊα διπλοῦν. Εἰς δὲ τὸν στίχον, «Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ.» ἄχρι τέλους τοῦ Ψαλμοῦ ὡς ἐν ἑνὶ στίχω γίνεται εἴσοδος εἰς τὸν σωλέα ἐκ τοῦ βήματος διακόνου καὶ ἱερέως δίχα φώτων καὶ θυμιατοῦ τὴν πρὸς τὸν σταυρὸν ἀπαγωγὴν δηλούντων τοῦ Κυρίου, κατὰ τὴν ἕκτην ὥραν γεγενημένην. Διὸ καὶ αὕτη ἐν τῇ τριτοέκτῃ τελεῖται, τοῦ διακόνου μὲν λέγοντος, C «Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον,» τοῦ ἱερέως δὲ τὴν εὐχὴν τοῦ, «Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε νῦν καὶ ἀεί.» Αὕτη ἡ εἴσοδος, ὡς εἴρηται, τὸν εἰς τὸν σταυρὸν ἑλκυσμὸν δηλοῖ τοῦ Σωτῆρος, κατὰ τὴν ἕκτην ὥραν γεγενημένον ἀπαχθέντος καὶ σταυρωθέντος· ὅτε καὶ τὸν συσταυρωθέντα λῃστὴν εἰσῆξεν ἐν ὀλίγοις ῥήμασι μετανοίας εἰς τὸν παράδεισον. Διὸ καὶ πορφυρᾷ περιβεβλημένοι εἰσὶν ὅ τε διάκονος καὶ ὁ ἱερεὺς, τὸ πάθος ἐκ τούτου καὶ τὸν θάνατον σημαίνοντες τοῦ Κυρίου. Μετὰ δὲ τὴν εἴσοδον ὁ μὲν διάκονος πάλιν τὰ εἰρηνικὰ, ὁ δὲ ἱερεὺς τὴν εὐχὴν λέγει, «Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν,» ἣ τῆς ἕκτης ὥρας ἐστὶ, καὶ εὔχεται διαφυλαχθῆναι ἡμᾶς «ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπο- D ρευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ,» καὶ ἕτερα ἐξαιτεῖται πλεῖστα παρὰ Θεοῦ. Καὶ ἐκφωνεῖ, «Ὅτι πρέπει σοι.» Καὶ εὐθὺς οἱ ψάλται τὸ τροπάριον μέλπουσι τῆς προφητείας. Καὶ ὁ ἀναγνώστης ἐπ' ἄμβωνος ἀναγινώσκει τὴν προφητείαν. Καὶ μετ' αὐτὴν ὁ διάκονος τὸ, «Εἴπωμεν πάντες,» φησίν. Ὁ δὲ ἱερεὺς καθ' ἑαυτὸν τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας. Καὶ ἐκφωνεῖ, «Ὅτι ἐλεήμων.» Καὶ τὰ λοιπὰ γίνεται κατὰ τὸν τύπον τῆς ἱερᾶς λειτουργίας μετὰ τὸ Εὐαγγέλιον. Εἰς τύπον γὰρ τοῦ Ἀποστόλου ἅμα καὶ τοῦ Εὐαγγελίου τὸ τοῦ Ἡσαΐου ἀνάγνωσμα λέγεται, τὰ περὶ τοῦ Σωτῆρος

(1) Meursio *solium* sive *thronus*; Gretsero in Codinum, *locus ad orientem solem, contiguum bemati sive tabernaculo*. Vide Suicerum in *Thesauro*, p. 1209.

ἐμφανέστερον τῶν ἄλλων κηρύττοντος, καὶ τὰ περὶ A τοῦ πάθους μᾶλλον αὐτοῦ. Ὅτι δὲ τοῦτο ἔθος ἀρχαῖον ἐκ τῶν Πατέρων, δῆλον ὡς καὶ ἐν τοῖς μοναστηρίοις, κατὰ τὴν ἕκτην ἡ προφητεία τοῦ Ἡσαΐου ἀναγινώσκεται ἐν ὅλῃ τῇ Τεσσαρακοστῇ. Ἡ τοῦ Ἰεζεκιὴλ δὲ ἐν τῇ μεγίστῃ ἑβδομάδι, ὡς καὶ αὐτοῦ τὰ πάθη τοῦ Σωτῆρος καὶ τὴν ἔγερσιν προαγορεύοντος. Καὶ ὁ μὲν διάκονος, « Εὔξασθε, οἱ κατηχούμενοι, » φησίν· ὁ δὲ ἱερεὺς εὐχὴν ὑπὲρ τῶν κατηχουμένων ποιεῖται. Καὶ ἀπὸ τῆς μεσονηστίμου τετράδος ὁ μὲν διάκονος τὰς αἰτήσεις ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων· ὁ δὲ ἱερεὺς εὐχὴν ὑπὲρ αὐτῶν, « Κύριε ὁ Θεὸς ἡμῶν, ἐπίφανον τοὺς οἰκτιρμούς σου, » καὶ ἐκφώνησιν, « Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν. » Ὁ διάκονος πάλιν τὰ συνήθη, B « Ὅσοι κατηχούμενοι. » Ὁ ἱερεὺς εὐχὴν πιστῶν πρώτην, « Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς πολυθέου πλάνης. » Ὁ διάκονος, « Σοφία **254** ὀρθοί. » Ὁ ἱερεὺς, « Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. » Ὁ διάκονος τὰ εἰρηνικά. Ὁ ἱερεὺς εὐχὴν πιστῶν δευτέραν, « Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν ὀλίγῳ χρόνῳ. » Ὁ διάκονος, « Σοφία. » Ὁ ἱερεὺς ἐκφωνεῖ, « Ὅτι εὐλόγηται καὶ δεδόξασται. » Ὁ διάκονος, « Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, » καὶ τὰ λοιπά. Ὁ ἱερεὺς τὴν μεγάλην εὐχήν· « Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος· » ἐν ᾗ καὶ τῆς σταυρώσεως μέμνηται τοῦ Σωτῆρος, καὶ τῆς ἐγέρσεως αὐτοῦ, καὶ τῆς ἀναλήψεως· καὶ ἐξαιτεῖται ἐλθεῖν τὴν χάριν τοῦ Θεοῦ ἐφ' ἡμᾶς, καὶ ἐνδυναμῶσαι ἡμᾶς καὶ φωτίσαι, καὶ ἕτερα πλεῖστα· καὶ παρὰ C Θεοῦ εὔχεται τὰ ἀναγκαῖά τε καὶ συμφέροντα· καὶ τέλος, ἵνα ἡ χάρις καὶ τὸ ἔλεος τοῦ Θεοῦ εἴη μεθ' ἡμῶν πάντοτε, καὶ ἐκφωνεῖ, « Ὅτι σὸν τὸ κράτος. » Εἶτα τὸ, « Εἰρήνη πᾶσι, » λέγει. Καὶ ὁ διάκονος αὖθις, « Τὰς κεφαλὰς ἡμῶν. » Καὶ ὁ ἱερεὺς εὐχὴν κεφαλοκλισίας· « Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ θρόνου δόξης. » Καὶ ἐκφωνεῖ, « Εἴη τὸ πανάγιον ὄνομα τῆς φιλανθρωπίας σου εὐλογημένον καὶ δεδοξασμένον. » Ὁ διάκονος, « Ἐν εἰρήνῃ προέλθωμεν. » Καὶ ἐξελθόντος τοῦ ἱερέως, ἅμα πορεύονται ὄπισθεν τοῦ ἄμβωνος, ἵνα μέσον ἁπάντων δοξολογήσωσι τὸν Θεὸν, καὶ τοῦ ἑσπερινοῦ ἄρξωνται. Τοῦ διακόνου οὖν εἰπόντος, « Τοῦ Κυρίου δεηθῶμεν, » ὁ ἱερεὺς βλέπων κατὰ ἀνατολὰς, ἐκφωνεῖ, « Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου τοῦ ἁγίου αὐτοῦ D πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. » Τοῦτο οὖν εἰς μὲν τὰς λιτανείας, ἀρχὴ τῶν λιτανειῶν ἐστι, λέγοντος τουτο τοῦ ἀρχιερέως τοῦ ἄμβωνος ὄπισθεν· ἐνταῦθα δὲ ἀρχὴ τοῦ λυχνικοῦ. Καὶ εὐθὺς ἐν τῇ πλαγίᾳ ψάλλεται τοῦ ναοῦ ὡς παράκλησις ὁ ἑσπερινὸς παρὰ τῶν ψαλτῶν. Ἔνθα καὶ τὸ ψαλτήριον λέγεται, καὶ τὰ στιχηρὰ τοῦ τριῳδίου καὶ τοῦ μηναίου, κατὰ τὸν τύπον τῶν μοναστηρίων, καὶ τὸ, « Φῶς ἱλαρὸν, » καὶ τὸ, « Καταξίωσον, » ὡς κατανύξεως ἀκολουθία καὶ οἷον μοναχική, καὶ ἀπόστιχον τὸ Ἰδιόμελον, καὶ, « Νῦν ἀπολύεις, » καὶ τὸ Τρισάγιον, καὶ τὸ, « Θεοτόκε Παρθένε· » *Κύριε δὲ ἐλέησον* οὐ λέγεται· οὐδὲ μετάνοιαι γίνονται· οὐδ' ἀπόλυσις· οὐδὲ φῶτα ἀνάπτονται, ἄχρι καὶ τῆς παροιμίας ἐν τῇ προηγιασμένῃ λειτουργίᾳ. Μετὰ γὰρ τὸ, « Θεοτόκε Παρθένε, » καὶ τὰ λοιπὰ συνήθη, ἔρχονται πάντες εἰς τοὺς τόπους αὐτῶν.

nasteriis hora sexta legitur lectio libri Isaiæ in tota quadragesima, at in magna hebdomade legitur lectio libri Ezechiel, qui ipse quoque passionem Salvatoris et resurrectionem prædixit. Et diaconus quidem, « Orate, ait, catechumeni, » sacerdos vero orationem facit pro catechumenis. Verum a quatriduo mediæ quadragesimæ, diaconus quidem preces facit pro præparatis ad sanctam illuminationem, sacerdos autem orationem pro ipsis : « Domine Deus, ostende misericordias tuas, » et exclamat, « Quoniam tu es illuminatio nostra. » Diaconus iterum consueta dicit : « Quicunque catechumeni. » et sacerdos primam fidelium orationem : « Domine Deus noster qui paganorum erroris. » Diaconus, « Sapientia erecti ; » sacerdos, « Quoniam tu es Deus noster; diaconus pacifica dicit, sacerdos secundam fidelium orationem, « Domine Deus noster, qui in brevi tempore ; » diaconus, « Sapientia, » inquit; sacerdos clamat, « Quoniam benedicitur et glorificatur. » Diaconus, « Adimpleamus orationem Domino, » et reliqua. Sacerdos magnam facit orationem, « Domine Deus noster, solus bonus et hominum amator, » in qua de crucifixione Salvatoris recordatur ejusque resurrectione et ascensione, precaturque ut veniat gratia Dei super nos nosque confirmet et illuminet, aliaque multa deposcit, necnon a Deo flagitat necessaria et utilia, ac denique ut gratia et misericordia Dei sit semper nobiscum, et clamat, « Tua est fortitudo. » Deinde, « Pax omnibus, » inquit, et diaconus iterum : « Capita nostra ; » et sacerdos capitis inclinationis orationem facit : « Domine Deus noster qui sedes super thronum gloriæ, » et exclamat, « Sit sanctissimum benignitatis tuæ nomen benedictum et glorificatum. » Diaconus : « Procedamus in pace. » Et egresso sacerdote simul procedunt post ambonem ut in medio omnium glorificent Deum, ac vespertinum incipiant officium. Itaque diacono dicente : « Dominum deprecemur, » sacerdos ad orientem spectans exclamat : « Benedicta gloria Domini in loco sancto ejus ubique nunc et semper et in sæcula sæculorum. » Quod ergo ad litanias attinet, litaniarum hoc est initium, pontifice illud post ambonem dicente; hic vero initium est lampadum hymni. Et statim in latere templi a cantoribus psallitur vespertinum officium more invitatorii. Tum dicitur psalterium versiculi tertii hymni et mensis secundum ordinem monasteriorum, « Lux jucunda, dignare, » quasi ordo pœnitentiæ et monastica institutio. Deinde proprium responsorii melos, « Nunc dimittis, » Trisagion, « Dei Genitrix Virgo ; » sed *Kyrie eleison* non dicitur, neque fiunt pœnitentiæ nec absolutio, nec accenduntur lampades usque ad Proverbiorum lectionem in missa Præsanctificatorum ; nam post voces : « Dei Genitrix Virgo, » consueta dicuntur, et omnes in suos locos recedunt.

CAPUT CCCLIII.

Quare litaniæ extra ecclesiam fiant, et quare cruces in illis circumferamus sacrasque imagines.

Scire vero oportet litanias omnes foris in narthece vel circa monasteria aut civitates factas in memoriam fieri lapsus nostri, cujus causa ex eadem extranei facti sumus, ut humiliemur et cogitemus nos esse indignos sanctis locis, et a paradiso ac cœlo excidisse. Et publicanum imitari debemus longe stantem præ magno religionis sensu, Adamque putare distantem prodigumque filium in terram alienam procul peregrinatum. Circa bivia et trivia viasque preces facimus, ut hæc loca peccatis nostris fœdata emundentur. Sacras autem imagines
B a templo efferentes circumferimus, necnon venerandas cruces ac sacerrimas sanctorum reliquias sæpenumero, ut cum hominibus res quoque eorum usibus inservientes sanctificent, nempe domus, vias, aquas, aerem, terram pollutam, utpote nobis subjectam, civitatem quam inhabitamus et regionem, divinamque participent gratiam, et quidquid in eis contagiosum est aut pestiferum exuant, nobis vero propitius fiat qui pro nobis incarnatus est, formam servi accipiens, quam exprimunt ac referunt divinæ imagines necnon sanctorum ejus simulacra pure in terris conversatorum, et quoniam qui ambulavit in terra propter nos in carne Deus et pro nobis crucifixus, salvat nos confitentes sum-
C mæ bonitatis ejus et charitatis opus, scilicet illum effudisse in cruce sanguinem et mortuum esse pro nobis, ac propterea habentes ac ostendentes ipsa passionis illius signa, venerandam crucis figuram per quam eum qui nos interfecit in ligno destruxit inimicum atque a morte nos eruit. Porro diacono tempore opportuno dicente: «Benedic, domine,» sacerdos, «Benedictum, inquit, regnum Patris.» Et diaconus dicit pacifica, et cantio vespertina psallitur, nempe post exclamationem: «Incline, Domine,» usque ad finem. In qua cantione lampadum preces dicit sacerdos. Deinde circa finem diei: «Domine, clamavi,» versus de more dicuntur, et fit ingressus diaconi et sacerdotis vel sacerdotis tantum sine luminibus intrantis, priorem Christi adventum in
D silentio factum significantis dum in tenebris sederemus. Ad illud: «Quoniam ad te, Domine,» invitat eum cantor, et in sacrum sanctuarium ingreditur; versusque complentur cum versiculo interposito ad verba, «Voce mea ad Dominum clamavi.» Deinde «Gloria et nunc,» et intercalaris versiculus. Statimque omnibus sedentibus, legitur liber Genesis in ambone; qua lectione facta, paratis in sanctuario duobus; vel si adsit pontifex, pluribus candelabris ac thuribulo, si diaconus quidem cum sacerdote ministrat, solus ipse intrat diaconus ferens incensum ac lampadem ardentem. Lectores autem cum candelabris præcedunt. Si vero non adsit diaconus, sacerdos intrat solus, portans lampadem et thuribulum, atque præeuntibus lectoribus, per

A

ΚΕΦΑΛ ΤΝΓ'.

Διατί αἱ λιτανεῖαι ἔξωθεν γίνονται, καὶ σταυροὺς ἐν αὐταῖς περιφέρομεν, καὶ ἁγίας εἰκόνας.

Ἰστέον δὲ ὡς αἱ λιτανεῖαι πᾶσαι ἔξωθεν ἢ εἰς τὸν νάρθηκα, ἢ περικύκλῳ τῶν μονῶν ἢ τῶν πόλεων γινόμεναι, διὰ τὴν ἀνάμνησιν τῆς ἐκπτώσεως ἡμῶν γίνονται, ὅπως ἔξωθεν γεγόναμεν τῆς Ἐδὲμ εἰς τὸ ταπεινοῦσθαι καὶ φρονεῖν, ὅτι ἀνάξιοι τῶν ἁγίων τόπων ἐσμὲν, καὶ τοῦ παραδείσου καὶ τοῦ οὐρανοῦ ἔκπτωτοι· καὶ τὸν τελώνην μιμεῖσθαι ὀφείλομεν, μακρόθεν ἑστῶτα διὰ πολλὴν τὴν εὐλάβειαν· καὶ τὸν Ἀδὰμ ἐννοεῖν ἀπῳκισθέντα, καὶ τὸν ἄσωτον υἱὸν εἰς ἀλλοδαπὴν μακρυνθέντα. Περὶ τὰς ἀμφόδους δὲ καὶ τριόδους, καὶ τὰς ὁδοὺς τὰς δεήσεις ποιούμεθα,
B ὡς ἂν μολυνθέντα ταῦτα ταῖς ἡμῶν ἁμαρτίαις καθαρισθῇ. Καὶ τὰς ἱερὰς δὲ εἰκόνας ἐξάγοντες τῶν ναῶν περιφέρομεν, καὶ τοὺς τιμίους σταυροὺς καὶ ἁγίων ἱερώτατα λείψανα πολλάκις, ὡς ἂν μετὰ τῶν ἀνθρώπων καὶ τὰ εἰς χρῆσιν αὐτῶν ἁγιασθῶσιν, οἰκίαι τε καὶ ὁδοὶ καὶ ὕδατα καὶ ἀὴρ καὶ γῆ ῥυπουμένη, ὡς ὑφ' ἡμῶν πατουμένη, καὶ πόλις κατοικουμένη καὶ χώρα, καὶ θείας μετάσχωσι χάριτος, καὶ τὸ λοιμαντικὸν καὶ φθοροποιὸν ἀποβάλωνται, γένηται δὲ ἵλεως ἡμῖν ὁ σαρκωθεὶς ὑπὲρ ἡμῶν, καὶ μορφὴν δούλου λαβὼν, ἣν εἰκονίζουσί τε καὶ φέρουσιν αἱ θεῖαι εἰκόνες, καὶ τῶν ἁγίων αὐτοῦ τὰ μορφώματα, τῶν καθαρῶς ἐμπολιτευσαμένων τῇ γῇ· καὶ ὅτι ὁ ἐμπεριπατήσας τῇ γῇ δι' ἡμᾶς ἐν σαρκὶ Θεὸς,
C καὶ ὑπὲρ ἡμῶν σταυρωθεὶς, σώσει ἡμᾶς ὁμολογοῦντας αὐτοῦ τὸ τῆς ἄκρας ἀγαθότητος ἔργον καὶ τῆς
255 ἀγάπης, τὸ ἐγχέαι διὰ σταυροῦ τὸ αἷμα, καὶ ἀποθανεῖν αὐτὸν ὑπὲρ ἡμῶν, καὶ διὰ τοῦτο κατέχοντας καὶ δεικνύντας αὐτὰ τὰ τοῦ πάθους αὐτοῦ σημεῖα, τοὺς τιμίους τοῦ σταυροῦ τύπους, δι' οὗ τὸν θανατώσαντα ἡμᾶς ἐν ξύλῳ καθεῖλεν ἐχθρὸν, καὶ τοῦ θανάτου ἐῤῥύσατο. Τοῦ δὲ διακόνου λαβόντος καιρὸν, καὶ εἰπόντος, « Εὐλόγησον, δέσποτα, » ὁ ἱερεὺς, « Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, » φησί· καὶ ὁ διάκονος τὰ εἰρηνικά. Καὶ ὁ ᾀσματικὸς ἑσπερινὸς ψάλλεται· οἷον μετὰ τὴν ἐκφώνησιν τὸ, « Κλῖνον, Κύριε, » ἄχρι τέλους. Ἐν ᾧ τὰς λυχνικὰς εὐχὰς λέγει ὁ ἱερεύς. Εἶτα τὸ τελευταῖον τῆς ἡμέρας τὸ, « Κύριε, ἐκέκραξα· » οἱ στίχοι ὡς
D ἔθος, καὶ ἡ εἴσοδος τοῦ διακόνου καὶ ἱερέως· ἢ καὶ ἱερέως μόνον εἰσοδεύοντος χωρὶς φώτων, τὴν ἐν σιγῇ σημαίνοντος ἐπιδημίαν αὐτοῦ πρώτην, καθημένων ἡμῶν ἐν σκότει. Καὶ εἰς τὸ, « Ὅτι πρὸς σὲ, Κύριε, » καλεῖ αὐτὸν ὁ ψάλτης, καὶ εἰς τὸ ἅγιον βῆμα εἰσέρχεται. Καὶ οἱ στίχοι πληροῦνται μετὰ τοῦ ὑποψάλματος, εἰς τὸ, « Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα. » Εἶτα, « Δόξα καὶ νῦν, » καὶ περισσὴ τὸ ὑπόψαλμον. Καὶ εὐθὺς καθημένων πάντων, ἀναγινώσκεται ἡ Γένεσις ἐν τῷ ἄμβωνι· αὐτῆς δὲ ἀναγινωσκομένης, ἐν τῷ βήματι εὐτρεπισθέντων μανουαλίων δύο, εἰ δὲ ἀρχιερεὺς εἴη, καὶ πλειόνων, καὶ τοῦ θυμιατηρίου, εἰ μὲν λειτουργεῖ καὶ διάκονος σὺν τῷ ἱερεῖ, αὐτὸς ἐξέρχεται μόνος ὁ διάκονος, κρατῶν τὸν θυμιατὸν καὶ λαμπάδα ἡμμένην.

Οἱ δὲ ἀναγνῶσται προπορεύονται μετὰ μανουαλίων. Εἰ δ' οὐκ ἔστι διάκονος, ἐξέρχεται μόνος ὁ ἱερεὺς, κρατῶν τὴν λαμπάδα καὶ τὸ θυμιατήριον καὶ προπορευομένων τῶν ἀναγνωστῶν, διέρχεται τὴν πλαγίαν, καὶ εἰς τὸ τέλος τοῦ ναοῦ ἔρχεται.

A lateralem januam pergit et ad finem templi procedit.

ΚΕΦΑΛ. ΤΝΔ'.

Διατί ἐν τῷ ἑσπερινῷ καὶ τῇ Παροιμίᾳ τὰ φῶτα· καὶ τί τὸ, «Φῶς Χριστοῦ φαίνει πᾶσι.»

Καὶ πληρωθείσης τῆς Γενέσεως, φαίνεται εὐθὺς μετὰ τῶν φώτων, τὰς βασιλικὰς πύλας εἰσιὼν, ἀνισταμένων ἁπάντων. Ὃς καὶ εἰς τὸ μέσον στὰς τοῦ ναοῦ, ποιεῖται σταυροῦ τύπον τῷ θυμιατηρίῳ ἐκφώνως λέγων, «Σοφία ὀρθοί, φῶς Χριστοῦ φαίνει πᾶσι.» Καὶ εἰς τὸ ἅγιον βῆμα ἀνέρχεται. Τότε τοίνυν ὁ μὲν ἐν τῷ ἄμβωνι ἀναγνώστης ἀναγινώσκει τὴν Παροιμίαν· τὰ δὲ ἐν τῷ ναῷ συνήθη φῶτα ἀνάπτεται. Τοῦτο δὲ δηλοῖ, ὡς πρὸς τῷ τέλει τῶν αἰώνων τὸ φῶς τὸ ἀληθινὸν ἡμῖν τοῖς ἐν σκότει καθημένοις διὰ σαρκὸς ἔλαμψεν Ἰησοῦς Χριστὸς, καὶ τοῦ φωτὸς τῆς χάριτος αὐτοῦ τὴν οἰκουμένην ἐπλήρωσε. Διὸ καὶ ἐπὶ τέλει παντὸς ἑσπερινοῦ τοῦτο λέγεται, «Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, Χριστὲ, ὁ Θεὸς ἡμῶν.» Γίνεται δὲ τοῦτο μετὰ τὴν Γένεσιν ἀρχομένης τῆς Παροιμίας. Ὅτι ἡ μὲν Γένεσις τὰ ἀπαρχῆς διηγεῖται, τὴν δημιουργίαν τῶν ὄντων, καὶ τὴν ἔκπτωσιν τοῦ Ἀδάμ· ἡ Παροιμία δὲ αἰνιγματωδῶς τὰ περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκδιδάσκει, καὶ τοῖς δι' αὐτοῦ υἱοθετηθεῖσι παραινεῖ ὥσπερ υἱοῖς, καὶ Σοφίαν αὐτὸν τὸν Υἱὸν ὀνομάζει, καὶ οἶκον οἰκοδομῆσαι ἑαυτῇ λέγει, τὸ πανάγιον αὐτοῦ σῶμα, ἐν ᾧ καὶ ἑπτὰ στύλους τὰ τοῦ Πνεύματος πάντα χαρίσματα, ὡς καὶ τῷ οἰκείῳ ἄρτῳ τοῦ σώματος καὶ τῷ κρατῆρι τοῦ αἵματος, τρέφει τε καὶ ποτίζει πάντας· καὶ φῶς ἐστι τὰ ἄνω καὶ τὰ κάτω φωτίζων. Ὁ Θεὸς γὰρ τῇ Σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς, φησὶν, ἐν φρονήσει· ὡς καὶ ὁ Δαβὶδ, «Πάντα ἐν Σοφίᾳ ἐποίησας,» ἀνυμνεῖ. Ὅτι δὲ τύπον τοῦ ἀληθινοῦ φωτὸς Ἰησοῦ Χριστοῦ σημαίνει τοῦτο τὸ φῶς, δῆλον· ὡς διακόνου συλλειτουργοῦντος ἱερεῖ, προσέρχεται αὐτῷ οὗτος ἢ τῷ ἀρχιερεῖ λειτουργοῦντι. Καὶ λαμπάδα ἀνάπτων, πρὸ τοῦ ἐξελθεῖν, φησίν· «Εὐλόγησον, δέσποτα, τὸ φῶς.» Καὶ ὁ ἀρχιερεὺς ἢ ὁ ἱερεὺς, εὐλογῶν τὸ φῶς, φησίν· «Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, πάντοτε.» Καὶ οὕτω πρὸ τῆς Παροιμίας ἐξέρχεται ὁ διάκονος. Μετὰ τὴν **256** Παροιμίαν δὲ εὐθὺς ψάλλεταί τὸ, «Κατευθυνθήτω.» Καὶ ἡ λοιπὴ γίνεται συνήθως ἀκολουθία τῶν προηγιασμένων.

CAPUT CCCLIV.

Quare in vespertino officio et dum caput ex Proverbiis legitur, lumina accendantur, et de illo: «Lux Christi omnibus apparet.»

Impleta autem libri Genesis lectione, illico apparet cum luminibus, per regales januas intrans, stantibus universis, qui stans in medio templo signum crucis facit cum thuribulo, alta voce dicens: B «Sapientia erecti, lux Christi omnibus apparet,» et ad sacrum sanctuarium ascendit. Tum igitur lector quidem in ambone caput legit ex Proverbiis; consueta autem in templo accenduntur lumina. Hoc vero ostendit in fine sæculorum lumen verum nobis in tenebris sedentibus per carnem illuxisse Jesum Christum, terramque luce gratiæ suæ implevisse. Ideo legitur istud in fine vespertini totius officii: «Quoniam tu es illuminatio nostra, Christe Deus noster.» Illud autem fit post lectionem libri Genesis, incepto Proverbiorum capite, quoniam Genesis quidem quæ facta sunt ab initio enarrat rerum creationem et Adam lapsum; Proverbia vero in ænigmate docent quæ ad Filium Dei pertinent, atque per eum adoptatos tanquam filios hor- C tantur, ipsumque Filium sapientiam appellant, quam dicunt ædificavisse sibi domum, nempe sanctissimum corpus suum, in quo septem excidit columnas, omnia scilicet Spiritus charismata, necnon proprio corporis pane et sanguinis calice omnes nutrire omnibusque propinare, et lumen esse quod cœlestia et terrestria illuminat. Deus enim sapientia fundavit terram, inquit, cœlos vero stabilivit prudentia, quemadmodum et David cecinit: «Omnia in sapientia fecisti.» Porro, quoniam typum veri luminis Jesu Christi significat lux ista, liquet ex eo quod, diacono cum sacerdote simul ministrante, hic ad eum vel ad pontificem ministrantem accedit, et accendens lampadem, priusquam exeat, di- D cit: «Benedic, domine, lucem.» Et pontifex vel sacerdos lucem benedicens ait: «Quoniam tu es illuminatio nostra, Christe Deus noster in omni tempore.» Et sic ante lectionem Proverbiorum egreditur diaconus; qua lectione facta, protinus cantant: «Dirigatur.» Et reliquus de more fit ordo Præsanctificatorum.

ΚΕΦΑΛ. ΤΝΕ'.

Ὅτι δεῖ ὑποκλίνειν πλέον ἡμᾶς ἐν τῇ τῶν προηγιασμένων εἰσόδῳ.

Ὅτε καὶ ἐν τῇ τῶν ἁγίων εἰσόδῳ δεῖ ἡμᾶς μᾶλλον ὑποπίπτειν, ὡς τετελεσμένων ὄντων τῶν θείων δώρων, καὶ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν ἀληθῶς ὄντος. Αὐτὸ γάρ ἐστι τὸ κατεχόμενον ἐν τῷ δίσκῳ, τὸ πανάγιον αὐτοῦ σῶμα μετὰ τοῦ θειοτάτου αἵματος. Ἐν

CAPUT CCCLV.

Quod dum præsanctificata inferuntur, amplius etiam procidere nos oportet.

Porro dum præsanctificata inferuntur, amplius etiam nos oportet procidere, quoniam consecrata sunt Dei dona, ipseque vere adest Salvator noster; nam quod in patena infertur nihil est aliud quam sanctissimum ejus corpus cum divinissimo sanguine.

Verum in fine Missæ fit oratio dicta post ambonem, utpote quæ misericordiam invocat, finemque precibus imponit, obsecrans ut videamus resurrectionem, hicque et ibi congaudeamus. Fit autem in medio templi post ambonem ut omnes audiant simulque deprecentur, atque velut in conspectu Dei pro omni populo. Et sic impleta missa, fit vigilia. Porro vide etiam ordinem vigiliæ.

CAPUT CCLVI.

De vigilia in prima hebdomada sacræ quadragesimæ.

Oratione post ambonem facta in prima hebdomada, benedicit cantorem sacerdos aut pontifex si adsit; et statim psallit cantor: «Qui habitat in adjutorio.» Sacerdos vero, oratione dicta, in tabernaculo sancta reponit; verum ad «Gloria et nunc» facit conjunctam, et clamat: «Quoniam te decet,» cantorque primam dicit antiphonam: «Ad Dominum, cum tribularer, clamavi,» cum interposito versiculo: «Misericors, Domine.» Et cum eo psalluntur versus ab utroque choro qui diei conveniunt. Sacerdos autem dicit orationem primæ antiphonæ. At post «Gloria et nunc,» ac «Egregiam,» iterum sacerdos parvam facit conjunctam, et exclamat: «Quoniam sanctificatur et glorificatur.» Et sinister chorus secundam cantat antiphonam: «Ad te, Domine, levavi animam meam,» cum versu interpolato: «Miserationum portam.» Dictis autem cum eo versibus, sacerdos orationem dicit secundæ antiphonæ: «Te, lux æterna ac sine vespere,» alias vero duas adjungit orationes: «Qui vigilem et indeficientem doxologiam,» et; «Domine omnipotens incomprehensibilis.» Hæ sunt præsertim mirabiles vigiliæ preces. Porro post «Gloria et nunc,» et «Egregiam,» sacerdos facit parvam conjunctam. Et clamat: «Quoniam bonus;» et tertio psallitur antiphona: «Lætatus sum in his quæ dicta sunt mihi,» cum his: «Miserere nostri, Domine, miserere nostri.» Quando sacerdos portat lampadem accensam et thuribulum, primo incensat altare, deinde foris templum et populum secundum antiquam consuetudinem. Sed si diaconus adsit, ipse sumens lampadem sacerdoti præit. Verum post «Gloria et nunc,» non dicitur «Egregia,» sed tantum finis versiculi: «Domine, miserere nostri.» Et statim cantor addit psalmum quinquagesimum: «Miserere mei, Deus,» per singulos versus dicens; «Miserator Domine, miserere nostri,» et psallitur ab utroque choro psalmu totus «Gloria et nunc,» et «Egregia.» Cense igitur psalmos cantatos atque cum eis versiculos, et tres esse invenies, tres enim sunt antiphonæ, tresque versiculi propter adorandam Trinitatem cui offeruntur. Deinde comperies in his abundare humilitatem, necnon confessionem et compunctionem, et denique ultimum psalmum, nempe quinquagesimum cum versiculo: «Domine, miserere,» in compunctione Deum ad misericordiam provocare. Postea diaconus: «Dominum deprecemur;» sacerdos vero: «Quoniam sanctus es;» et cantatur:

A τῷ τέλει δὲ τῆς λειτουργίας ἡ ὀπισθάμβωνος εὐχὴ, ὡς ἱλαστική τε καὶ ἀπολυτικὴ καὶ δεήσεως, εὐχομένη ἡμᾶς ἰδεῖν τὴν ἀνάστασιν ἐνταῦθα πανηγυρίσαι κἀκεῖ· ὄπισθεν δὲ τοῦ ἄμβωνος μέσον τοῦ ναοῦ, ὡς ἀκροᾶσθαι πάντας καὶ τούτῳ συνεύχεσθαι, καὶ ὡς ἐνώπιον τοῦ Θεοῦ ὑπὲρ παντὸς τοῦ λαοῦ. Καὶ οὕτω τῆς λειτουργίας τελεσθείσης, ἡ παννυχὶς γίνεται. Ὅρα δὲ καὶ τὴν τάξιν τῆς παννυχίδος.

ΚΕΦΑΛ. ΤΝϚʹ.

Περι της παννυχίδος κατὰ τὴν πρώτην ἑβδομάδα τῆς ἁγίας Τεσσαρακοστῆς.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν κατὰ τὴν πρώτην ἑβδομάδα εὐλογεῖ τὸν ψάλτην ὁ ἱερεύς. Εἰ δὲ πάρεστιν ὁ ἀρχιερεὺς, αὐτός. Καὶ ψάλλει ὁ ψάλτης εὐ-
B θὺς τὸ, «Ὁ κατοικῶν ἐν βοηθείᾳ.» Ὁ δὲ ἱερεὺς εἰπὼν τὴν εὐχὴν, ἐν τῷ σκευοφυλακίῳ συστέλλει τὰ Ἅγια. Εἰς δὲ τὸ, «Δόξα καὶ νῦν,» ποιεῖται συναπτήν. Καὶ ἐκφωνεῖ, «Ὅτι πρέπει σοι,» καὶ ὁ ψάλτης τὸ πρῶτον ἀντίφωνον, «Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με,» μετὰ ὑποψάλμου, «Ὡς οἰκτίρμων Κύριε.» Καὶ ψάλλονται οἱ στίχοι σὺν τούτῳ ἐξ ἑκατέρου χοροῦ, οἱ κατὰ τὸν καιρὸν τῆς ἡμέρας. Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ πρώτου ἀντιφώνου. Μετὰ δὲ τὸ, «Δόξα καὶ νῦν,» καὶ τὴν περισσὴν, πάλιν ὁ ἱερεὺς μικρὰν ποιεῖ συναπτὴν, καὶ ἐκφωνεῖ, «Ὅτι ἡγίασται καὶ δεδόξασται.» Καὶ ὁ ἀριστερὸς χορὸς τὸ δεύτερον ἀντίφωνον, «Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου,» μετὰ ὑποψάλμου,
C «Τῆς εὐσπλαγχνίας τὴν πύλην.» Λεγομένων δὲ τῶν στίχων σὺν τούτῳ, ὁ ἱερεὺς τὴν εὐχὴν λέγει τοῦ δευτέρου ἀντιφώνου, «Σὲ τὸ ἀΐδιον καὶ ἀνέσπερον φῶς.» Ἐπισυνάπτει δὲ καὶ τὰς ἄλλας δύο εὐχὰς, «Ὁ τὴν ἄϋπνον καὶ ἄπαυστον δοξολογίαν,» καὶ τὸ, «Δέσποτα παντοκράτορ ἀκατάληπτε.» Αὗται δὲ θαυμάσιαί τινές εἰσιν ἐξαιρέτως αἱ τῆς παννυχίδος εὐχαί. Μετὰ δὲ τὸ, «Δόξα καὶ νῦν,» καὶ τὴν περισσὴν, ὁ ἱερεὺς ποιεῖται μικρὰν συναπτήν. Καὶ ἐκφωνεῖ, «Ὅτι ἀγαθός.» Καὶ τὸ τρίτον ἀντίφωνον ψάλλεται, «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι,» μετὰ τοῦ, «Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.» Ὅτε καὶ ὁ ἱερεὺς κρατῶν ἡμμένην λαμπάδα καὶ θυμιατήριον, θυμιᾷ πρῶτον τὸ θυσιαστήριον· ἔπειτα ἔξω τὸν ναὸν καὶ τὸν λαὸν ὡς
D ἔθος ἀρχαῖον. Εἰ δὲ διάκονός ἐστιν, αὐτὸς κατέχων τὴν λαμπάδα, τοῦ ἱερέως προπορεύεται. Μετὰ δὲ τὸ, «Δόξα καὶ νῦν,» περισσὴ οὐ λέγεται, ἀλλὰ τὸ τέλος τοῦ τροπαρίου μόνον, «Κύριε, ἐλέησον ἡμᾶς.» Καὶ εὐθὺς ὁ ψάλτης ἐπιφέρει τὸν πεντηκοστὸν Ψαλμὸν, τὸ, «Ἐλέησόν με, ὁ Θεὸς,» κατὰ στίχον λέγων, «Ἐλεήμων Κύριε, ἐλέησον ἡμᾶς,» καὶ ψάλλεται παρ' ἑκατέρων τῶν χορῶν ὁ Ψαλμὸς ἅπας, «Δόξα καὶ νῦν,» καὶ περισσή. Κατανόησον τοίνυν τούς τε ᾀδομένους Ψαλμοὺς, καὶ σὺν αὐτοῖς τὰ τροπάρια· καὶ εὑρήσεις μὲν τρισσῶς κείμενα, τρία γάρ εἰσιν ἀντίφωνα, καὶ τρία τροπάρια, διὰ τὴν τιμὴν τῆς Τριάδος, καὶ ὡς πρὸς ταύτην ἀναφερόμενα. Εἶτα καὶ πλήρη ταπεινώσεως ἐξομολογήσεώς τε καὶ κατανύξεως. Καὶ τὸν τελευταῖον δὲ πάλιν

A Ψαλμὸν τὸν πεντηκοστὸν, μετὰ τοῦ, « Κύριε, ἐλέησον, » ἐν κατανύξει τὸν Θεὸν πρὸς ἔλεον ἐκκαλούμενον. Εἶτα ὁ διάκονος, « Τοῦ Κυρίου δεηθῶμεν. » Ὁ ἱερεὺς, « Ὅτι ἅγιος εἶ. » Καὶ ψάλλεται τὸ, « Πᾶσα πνοή. » Καὶ τὸ Εὐαγγέλιον ἀναγινώσκει ὁ πρῶτος τῶν ἱερέων **257** ἐν τῷ ἄμβωνι. Καὶ εὐθὺς ψάλλεται τὸ, « Ἡ ἀσώματος φύσις » ὅπερ ἐκ στίχων συγκείμενον, καὶ τὴν Τριάδα θεολογεῖ, καὶ τοὺς χοροὺς εἰς μεσιτείαν ἅπαντας συγκαλεῖται τῶν ἁγίων· καὶ συναπτῶς καὶ ἐκφώνως ὁ ψάλτης τὸ, « Κύριε, ἐλέησον, » ἐκφωνεῖ τρίς· καὶ πάντες ψάλλουσι τοῦτο συναπτῶς ἐκτόν. Ὁ δὲ ἱερεὺς λέγει μυστικῶς τὴν τῆς κεφαλοκλισίας εὐχὴν, « Κύριε ὁ Θεὸς ἡμῶν, κλῖνον τὰς καρδίας ἡμῶν. » Εἰς τὸ τέλος δὲ τοῦ, « Κύριε, ἐλέησον, » ὁ διάκονος, « Ἔτι δεόμεθα ὑπὲρ τοῦ B εἰσακοῦσαι. » Καὶ πάλιν τρὶς τὸ, « Κύριε, ἐλέησον. » Καὶ ὁ ἱερεὺς τὸ, « Ἐπάκουσον ἡμῶν. » Ὁρᾷς τὸ θαυμαστὸν τῆς τάξεως, ὅτι διὰ μεσίτου τοῦ ἱερέως μυστικῶς ἔνδον εὐχομένου, τὰ τῶν δεήσεων τοῦ λαοῦ πρὸς Θεὸν ἀναφέρονται; Εἶτα τὸ, « Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, » ἐπεὶ καὶ πρὸς τὴν σωματικὴν χρείαν ἐρχόμεθα, τὸ τραφῆναι. Καὶ τοῦτο δὲ οὐ χωρὶς ἁγιασμοῦ· ἀπαρχὴν γὰρ λαμβάνομεν ἡγιασμένην τροφήν· τοῦ, « Εὐλογήσω γὰρ τὸν Κύριον, » λεγομένου, ἡ διάδοσις τοῦ ἀντιδώρου γίνεται, καὶ ἀπόλυσις. Αὕτη καὶ τοῦ ᾄσματος ἡ ἀκολουθία, ἀναγκαιοτάτη τε οὖσα καὶ ἀρχαιοτάτη, καὶ μετὰ ἱερέως ἐνεργουμένη, ὃς μεσίτης καθίσταται τὰ πρὸς τὸν Θεὸν εἰς τύπον Ἰησοῦ, ὡς πολλάκις εἰρήκαμεν, καὶ τὴν ἰσχὺν ἔχει μεσιτεύειν τῇ χάριτι τοῦ Θεοῦ ἀπὸ C τῆς χειροτονίας. Ἀλλὰ καὶ τὴν ἑπτάκις αἴνεσιν ἀποσώζει αὕτη ἡ τάξις· καὶ τὰ μὲν ἐν τῷ νάρθηκι τάξιν ἐπέχουσι μεσονυκτικοῦ· τὰ ἐντὸς δὲ τοῦ ὄρθρου ἐστὶν ἡ τάξις. Ἡ τριτοέκτη δὲ, αὐτὸ δὴ τοῦτο τὴν τρίτην πληροῖ καὶ τὴν ἕκτην ὥραν ὁμοῦ· τὰ τοῦ λυχνικοῦ δὲ τὰ τῆς ἐννάτης τυποῖ· τὰ δὲ τοῦ ᾀσματικοῦ ἑσπερινοῦ αὐτὸν τὸν ἑσπερινόν· καὶ τὰ τῆς παννυχίδος δὲ τὰ τῶν ἀποδείπνων. Ἀλλὰ νῦν διὰ ῥᾳθυμίαν ἀφείθη, ἣν ἔδει τηρεῖσθαι ταῖς καθολικαῖς κἂν ἐκκλησίαις, ἢ πάντοτε ἢ κατὰ καιρὸν, εἰς τὸ μένειν τὴν ἀρχαίαν παράδοσιν ἀκατάλυτον· ἐν ταῖς μοναῖς δὲ γίνεσθαι καὶ τοῖς λοιποῖς ναοῖς τὴν μοναχικὴν ἀκολουθίαν ὡς καὶ δι' ἑνὸς ψαλλομένην. Ἀλλ' ὅμως ἡμεῖς καὶ τὰ περὶ αὐτῆς ἐξεθήκαμεν πρὸς ὑμᾶς τοὺς αὐτὴν ἔτι χάριτι Θεοῦ ἐνεργοῦντάς τε καὶ τηροῦντας· καὶ ἐν συνόψει τὰ περὶ ταύτης ἐθεωρήσαμεν εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

«Omnis spiritus.» Et Evangelium dicit primus sacerdotum in ambone; statimque psallitur hymnus: «Incorporalis natura,» qui versibus constans Trinitatem celebrat, omnesque sanctorum choros ad intercedendum invitat, simulque alta voce cantor ter clamat: «Kyrie eleison,» quod omnes simul toties repetunt. Sacerdos autem secreto dicit orationem inclinationis capitis: «Domine Deus noster, inclina corda nostra.» Finito autem «Kyrie eleison,» diaconus dicit: «Precamur adhuc ut nos exaudiat, et ter iterum: «Kyrie eleison;» et sacerdos: «Exaudi nos.» Viden' quam mirabilis sit hic ordo, quoniam per mediationem sacerdotis intus secreto deprecantis orationes populi Deo offeruntur? Deinde: «Sit nomen Domini benedictum,» quoniam ad corporis necessitatem, scilicet ad manducandum procedimus; hoc autem nequaquam sine sanctificatione, cibum enim sumimus prius sanctificatum; nam dicto: «Benedicam Dominum,» fit traditio panis præsanctificati et dimissio. Hic est cantionum ordo valde necessarius et antiquissimus, et cum sacerdote impletus qui mediator constituitur in his quæ Dei sunt, Jesu instar, prout sæpe diximus, et potestatem habet in medio standi gratia Dei ex manuum impositione. Sed et septenam laudationem salvat ordo iste, nam quæ fiunt in narthece nocturni officii sequuntur ordinem; verum quæ intus, ad ordinem matutini spectant officii; canticum vero inter tertiam et sextam horam has duas horas adimplet; lampadum preces ad nonam referuntur, cantio vespertina ad ipsas vesperas, vigilia autem ad completorium. Nunc vero præ ignavia obsolevit hic ordo quem oportebat conservare in universis ecclesiis, vel semper, vel secundum tempus, ut jugiter maneat antiqua traditio, sed in monasteriis cæterisque templis fieri oportebat ordinem monasticum seu solitarium utpote ab uno solo decantatum, quem nos vobis explicavimus eum adhuc gratia Dei implentibus atque custodientibus, et breviter quæ ad eum spectant perlustravimus in gloriam Domini nostri Jesu Christi.

D

ΚΕΦΑΛ. ΤΝΖ'.

Περὶ τοῦ ἀνυψουμένου ἱεροῦ ἄρτου τῆς Παναγίας.

Ἐπεὶ δὲ ὧδε τῷ λόγῳ ἥκομεν, καὶ περὶ τοῦ ἀνυψουμένου ἱεροῦ ἄρτου τῆς Παναγίας μικρά τινα ὑπομνήσομεν, καὶ τελευταῖον ἐπὶ πᾶσι τὰ περὶ τοῦ τέλους ἡμῶν ἐκθήσομεν ὡς ἂν καὶ ἐν τοῖς περὶ τοῦ τέλους ἡμῶν τὸν λόγον τελέσωμεν. Ὁ τῇ ἐπικλήσει τοίνυν τῆς Παναγίας μου ἀνυψούμενος ἄρτος τέτακται μὲν ἐξαιρέτως ὑψοῦσθαι ἐν τῷ τέλει τῆς τραπέζης τῶν ἀδελφῶν, εἰς ἁγιασμὸν αὐτῶν, καὶ ἧς μετέλαβον τροφῆς εἰς σφραγῖδα· ἀλλὰ καὶ εἰς δόξαν ἐξαιρέτως τῆς Θεομήτορος, ἣ καὶ τὸν οὐράνιον ἡμῖν ἀπέτεκεν ἄρτον, τὸν ζῶντα καὶ μένοντα, καὶ τὰς

CAPUT CCCLVII.

De pane sacro sanctissimæ Virginis qui in altum attollitur.

Porro cum ad hæc disserendo venerimus, de sacro etiam sanctissimæ Virginis pane qui in altum attollitur pauca memorabimus, et tandem omnia quæ in fine vitæ nostræ aguntur explanabimus, ita ut per hæc sermonem adimpleamus. Igitur in eo quod attinet ad panem qui invocatione Sanctissimæ meæ exaltatur, præceptum est ut præcipue in altum attollatur in fine mensæ fratrum in sanctificationem eorum, necnon ad obsignandam quam sumpserunt escam, sed et præsertim ad gloriam Dei Genitricis, quæ cœlestem nobis peperit panem vivum

et manentem animasque nostras semper nutrientem. Sed attollitur in quolibet alio tempore, cui opus fuerit, id adjutorium nostrum; sæpiusque in ipsa Missa, quibusdam petentibus, attollitur, etsi de more sanctificetur pluribus ministris desiderantibus invocare et celebrare Virginem omnino celebrandam, præsertim et quando mysteria Filii ejus Deique nostri litantur, ut majus ab ea obtineamus auxilium. Tunc vero attollitur, quando in divina liturgia de ea fit memoria, velut quando dicimus; «In primis sanctissimæ,» verum in omnibus necessitatibus et adjunctis eam adjutricem et certissimam auxiliatricem invocamus, et multam opem ex exaltato ejus pane consequimur, quemadmodum et nos experientia sæpe novimus, et a multis aliis fide dignis didicimus; non enim sunt tantummodo quædam dicta in hac panis exaltatione, sed et universorum solus in Trinitate Deus noster invocatus multoque clamore obsecratus, Deique Genitricis reipsa sanctissimæ invocatio, illius adjutorii postulatio, in quibus ponitur mysterium fidei nostræ. Itaque in mensa fratrum (quoniam nec ipsa est sine benedictione, sine ratione, sine ordine, quomodo enim sic esset? quæ divini Verbi servorum mensa accipit solum purum sanctumque et vivum panem qui secundum rationem omnia fecit et facit, utpote qui est sola vivens Dei sapientia) fit quidem primo gratiarum actio, et oratio «Pater noster» propter panem supersubstantialem; qua dicta, e loco proposito tripartitus omni modo effertur panis, Trinitatem ejusque unitatem ex omni parte exprimens, angulis quidem et partibus trinitatem personarum, superno autem uno aculeo eorumdem unitatem. Ideo quoque illum vertes panem, tres quidem habet angulos, in unum vero desinit aculeum. Igitur istam panis cæsuram apostolica traditione a Patribus ex initio sine Scripturarum testimonio acceptam et quotidie de more factam soli in Trinitate Deo nostro in nomine Dei Genitricis offerimus, quia per divinum ejus partum Trinitatem cognovimus, et quia unam Trinitatis personam ipsa peperit incarnatam, vere domina valdeque prædicanda Deipara; ipsa nobis viventis Manna auctor divinique potus Mater.

A ψυχὰς ἡμῶν ἀεὶ διατρέφοντα. Ἀνυψοῦται δὲ καὶ ἐν παντὶ καιρῷ ἄλλῳ, ὅτε τις χρείαν ἔχει, εἰς ἡμετέραν βοήθειαν· καὶ ἐν αὐτῇ δὲ τῇ ἱερᾷ λειτουργίᾳ πολλάκις αἰτουμένων τινῶν ὑψοῦται, εἰ καὶ κατ' ἔθος τελεῖται παρὰ πλείστων ἱερουργῶν, ποθούντων ἐπικαλεῖσθαι καὶ ἀνυμνεῖν τὴν πανύμνητον, καὶ μᾶλλον ὅτε τὰ μυστικὰ τοῦ ταύτης Υἱοῦ καὶ Θεοῦ ἡμῶν θύεται, ὡς ἂν καὶ μείζονος τῆς παρὰ ταύτης ἐπιτύχοιμεν βοηθείας. Ὑψοῦται δὲ τότε ὅτε καὶ τῇ θείᾳ μυσταγωγίᾳ ἔθος μνημονεύειν αὐτῆς· οἷον ἡνίκα τὸ, «Ἐξαιρέτως τῆς Παναγίας,» λέγομεν, καὶ ἐν πάσαις δὲ ἡμῶν χρείαις καὶ περιστάσεσι βοηθὸν αὐτὴν καὶ φρουρὸν οὖσαν ἀσφαλεστάτην ἐπικαλούμεθα· καὶ πλείστης τυγχάνομεν ἐκ τοῦ ἀνυψοῦσθαι τὸν ἄρτον τοῦτον τῆς βοηθείας· ὡς καὶ B ἡμεῖς πείρᾳ πολλάκις ἔγνωμεν, καὶ παρὰ πολλῶν ἄλλων ἀξιοπίστων ἐμάθομεν· οὐ γὰρ ἁπλῶς τινα τὰ ἐν τῇ ἀνυψώσει τοῦ ἄρτου λεγόμενα· ἀλλ' ὁ τῶν ὅλων καὶ μόνος ἐν Τριάδι Θεὸς ἡμῶν ἐπικαλούμενος **258** καὶ ἐπιβοώμενος, καὶ ἡ τῆς Θεοτόκου τῆς Παναγίας ὄντως ἐπίκλησις, καὶ ἡ τῆς βοηθείας αὐτῆς ἐξαίτησις, ἐν οἷς τὸ μυστήριον τῆς πίστεως ἡμῶν, καὶ ἡ ὁμολογία, ἡ προσδοκία τε τῆς σωτηρίας ἡμῶν. Τοίνυν ἐν μὲν τῇ τραπέζῃ τῶν ἀδελφῶν (ἐπεὶ οὐδ' αὕτη εὐλογίας χωρὶς καὶ λόγου καὶ τάξεως, πῶς γάρ; ἥτις τῶν τοῦ Θεοῦ Λόγου δούλων τυγχάνει τράπεζα τοῦ μόνου καθαροῦ ἁγίου καὶ ζῶντος ἄρτου, καὶ κατὰ λόγον πεποιηκότος ἅπαντα καὶ ποιοῦντος, ὡς μόνου ζώσης ὄντος Θεοῦ Σοφίας) γίνεται μὲν πρότερον εὐχαριστία, καὶ ἡ τοῦ, «Πάτερ ἡμῶν,» C προσευχὴ διὰ τὸν ἄρτον τὸν ἐπιούσιον. Καὶ λεγομένου τούτου, ἐκ προκειμένου τριμερὴς διὰ πάντων ἄρτος ἐξάγεται, τὴν Τριάδα καὶ τὸ ἑνιαῖον αὐτῆς πανταχόθεν τυπῶν· καὶ ταῖς γωνίαις μὲν καὶ τοῖς μέρεσι τὸ τρισσὸν, τῷ ἄνω δὲ ἑνὶ κέντρῳ τὸ ἑνιαῖον. Διὸ καὶ ὅθεν ἂν τοῦτον στρέψῃς τὸν ἄρτον τρεῖς μὲν ἔχει γωνίας, εἰς ὀξὺ δὲ καὶ ἓν καταλήγει τὸ κέντρον. Τοῦτο οὖν τὸ τμῆμα τοῦ ἄρτου, ἀποστολικῇ παραδόσει, ἐκ τῶν Πατέρων ἀρχῆθεν ἀγράφως παραδοθεῖσῃ, ὡς καθ' ἑκάστην κατ' ἔθος γινομένῃ, τῷ ἐν Τριάδι μόνῳ Θεῷ ἡμῶν ἐπ' ὀνόματι τῆς Θεοτόκου προσάγομεν· ἐπεὶ διὰ τοῦ θείου τόκου αὐτῆς τὴν Τριάδα ἐγνώκαμεν· καὶ ὅτι τὸν ἕνα τῆς Τριάδος αὕτη τέτοκεν ἐν σαρκὶ, κυρίως οὖσα καὶ ὑμνουμένη D ἀληθῶς Θεοτόκος· καὶ αὕτη ἡμῖν ἡ τοῦ ζῶντος Μάννα χορηγὸς, καὶ τοῦ θείου πόματος Μήτηρ.

CAPUT CCLVIII.

De bono ordine in convivio fratrum et precibus.

Posito autem pane in sacro quodam vase ad id præparato, et per sacerdotem signato, accenditur lampas in eo, cibosque signat sacerdos, Deum nostrum Jesum Christum ad benedicendum invocans. Dum fit convivium divini leguntur sermones, ut, quemadmodum didicimus, omnia faciamus in gloriam Dei. Ait enim: «Sive manducatis, sive bibitis, omnia in gloriam Dei facite,» et: «Sanctificantur omnia per verbum Dei et orationem.» Ideo fit signum crucis et oratio, divinique leguntur sermo-

ΚΕΦΑΛ. ΣΝΗ'.

Περὶ τῆς εὐταξίας ἐν τῇ ἑστιάσει τῶν ἀδελφῶν, καὶ τῶν προσευχῶν.

Τιθεμένου δὲ τοῦ ἄρτου τούτου ἐν σκεύει τινὶ ἱερῷ ἀποτεταγμένῳ πρὸς τοῦτο, καὶ διὰ τοῦ ἱερέως σφραγιζομένου, ἀνάπτεται λαμπὰς ἐν αὐτῷ· καὶ τὰ βρώματα σφραγίζει ὁ ἱερεὺς, τὸν Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὸ εὐλογῆσαι ἐπικαλούμενος. Καὶ τῆς ἑστιάσεως γινομένης, λόγοι θεῖοι ἀναγινώσκονται, ἵνα, ὡς ἐδιδάχθημεν, πάντα εἰς δόξαν ποιῶμεν Θεοῦ. «Εἴτε γὰρ ἐσθίετε, φησὶν, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε·» καὶ ὅτι «Ἁγιάζεται πάντα διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.» Διὸ καὶ ἡ σφραγὶς

τελεῖται καὶ ἡ εὐχή· καὶ θεῖοι δὲ λέγονται λόγοι, ἵνα μὴ ὡς ἄλογα πρὸς τὴν γαστέρα μόνον ὁρῶμεν· ἀλλ' ὡς λογικοὶ μετὰ σαρκὸς, τὴν μὲν σάρκα στηρίζωμεν τοῖς ἐσθιομένοις, τὴν ψυχὴν δὲ τοῖς λεγομένοις. Μετὰ δὲ τὴν τροφὴν ἀνιστάμενοι, εὐχῆς γινομένης, δοξολογοῦμεν ἅπαντες, μετὰ τοῦ Δαβὶδ εὐλογοῦντες τὸν ἐλεοῦντα καὶ τρέφοντα ἡμᾶς ἐκ νεότητος· καὶ τὸ, « Δόξα σοι, ἅγιε, δόξα σοι, Κύριε, ὅτι ἔδωκας ἡμῖν βρώματα εἰς εὐφροσύνην, » καὶ τὰ λοιπὰ λέγομεν, ὅσα καὶ ὁ τὴν γλῶτταν χρυσοῦς περὶ τούτου παραλαβὼν ἑρμηνεύει.

ΚΕΦΑΛ. ΤΝΘ'.

Περὶ τῆς ὑψώσεως τοῦ ἄρτου τῆς Παναγίας.

Ὧν τελεσθέντων μετὰ δοξολογίας, ὁ ἀναγνοὺς καὶ τὰ πνευματικὰ διακονήσας τοῖς ἀδελφοῖς, καὶ τούτῳ τῷ πνευματικῷ ἔργῳ διακονῆσαι ἔρχεται· καὶ συγχώρησιν ἐξαιτησάμενος καὶ λαβὼν, τοῖς καθαροῖς γὰρ καθαρὸν ἐξυπηρετεῖσθαι δεῖ, καθαίρει δὲ ἡ συγχώρησις, πάντων σιγώντων, ἀνυψοῖ τὸν ἄρτον, καὶ ἐκφωνεῖ, « Μέγα τὸ ὄνομα· » καὶ ἐκβοῶσι πάντες, « Τῆς ἁγίας Τριάδος· » ὃ τὸ φρικτόν ἐστιν ὄνομα τοῦ μόνου τῶν ὅλων Θεοῦ ἐν Τριάδι ὄντος· καὶ σταυροῦ τύπον ποιῶν, ἐπιφέρει, « Παναγία Θεοτόκε, βοήθει ἡμῖν· » καὶ συμφώνως λέγουσιν ἅπαντες, « Αὐτῆς πρεσβείαις, ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Σὺ εἶ ὁ ὁμολογηθεὶς καὶ ἀνυμνηθεὶς παρ' ἡμῶν, ἡ ἁγία Τριὰς, ὁ μόνος ὄντως Θεός. Οὐ γάρ ἐστιν ἄλλος πλὴν σοῦ, ὁ ποιήσας καὶ συνέχων ἡμᾶς. » Καὶ τότε τοὺς ὕμνους τῇ Θεομήτορι ἐπιφέρουσι, τὸ μὲν, « Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, » διὰ τὴν αὐτῆς προφητείαν· ἐν τῷ τέλει δὲ τούτου τὴν τοῦ ἀγγέλου φωνὴν, τὸ, « Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· » ὅτι τοῦτο ἀρχὴ τὸ ῥῆμα τῆς σωτηρίας ἡμῶν·
259 καὶ εὔχονται ὡς, « Καὶ διὰ σοῦ μεθ' ἡμῶν ὁ Κύριος, » τῇ χάριτι δηλονότι. Εἶτα καὶ εὐφήμως καὶ μελῳδικῶς ἀπερικάλυπτοι τὰς κεφαλὰς μελῳδοῦσι δεικνύντες ὅτι κεφαλὴ ἡμῶν αὕτη, τὴν κεφαλὴν ἡμῶν ἀποτεκοῦσα Χριστὸν, καὶ σκέπη ἡμῶν ἀπ' οὐρανοῦ καὶ προνοητὴς καὶ σωτηρία· καὶ τὸ, « Ἄξιόν ἐστιν, » ᾄδουσι· καὶ Θεοτόκον αὐτὴν ὁμολογοῦσι· καὶ τιμιωτέραν τῶν Χερουβὶμ μέλπουσιν, ὡς τὸν Θεὸν Λόγον ἐνυποστάτως τῇ γαστρὶ δεξαμένην, καὶ ἀδιαφθόρως τεκοῦσαν· καὶ κυρίως καὶ ὄντως Θεοτόκον αὐτὴν μεγαλύνομεν, τὸ *Μεγαλύνομεν* ἀπὸ τῆς ᾠδῆς λαβόντες αὐτῆς καὶ τὸ *Μακαρίζομεν*. Καὶ γὰρ αὕτη τοῦτό φησι, « Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, » καὶ, « Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. » Τὸ μὲν οὖν ἀνυψῶσαι τὸ τῷ Θεῷ ἀναφέρειν δηλοῖ· τὸ δὲ εἰπεῖν, « Μέγα τὸ ὄνομα τῆς ἁγίας Τριάδος, » τὴν ὁμολογίαν κηρύττει τοῦ τῶν ὅλων ἐν Τριάδι Θεοῦ· καὶ τούτῳ προσφέρειν τὸν ἄρτον, καὶ μεγαλύνει τούτου τὸ ὄνομα. Τὸ δὲ εἰπεῖν, « Παναγία, Θεοτόκε, βοήθει ἡμῖν, » καὶ τὴν σάρκωσιν κηρύττει τοῦ Λόγου. Τοῦτο γὰρ σημαίνει ἡ Θεοτόκος φωνή· καὶ ταύτης ἐπίκλησις γίνεται· καὶ πιστεύομεν ὡς πάρεστιν, ἑτοίμη πρὸς βοήθειαν οὖσα· καὶ ὁ ἄρτος αὐτῇ ὡς δῶρον κομίζεται· μᾶλλον δὲ δι' αὐτῆς τῷ Υἱῷ αὐτῆς ὑπὲρ ἡμῶν ἐξ αὐ-

nes, ut non sicut animalia quæ rationem non habent ad ventrem tantum spectemus, sed ut ratione constantes et corpore, carnem quidem escis sustineamus, dictis autem animam. Porro post cœnam stantes, oratione facta, glorificamus universi benedicentes cum David eum qui misericordiam cibumque nobis a juventute præstitit, et dicimus: «Gloria tibi, sancte, gloria tibi, Domine, quoniam dedisti nobis escas in jucunditatem », et cætera, quæ Chrysostomus de his disserendo interpretatus est.

CAPUT CCLIX.

De ritu panem sanctissimæ in altum sustollendi.

Quibus cum doxologia perfectis, lector, postquam spiritalia fratribus ministravit, accedit huic quoque spiritali operi ministraturus, petitaque et accepta venia, nam pura puris tractanda sunt, venia autem purgat, tacentibus universis, panem sustollit, et clamat: «Magnum nomen,» omnesque exclamant: «Sanctæ Trinitatis,» quod est tremendum solius universorum in Trinitate Dei; et signum crucis faciens addit: « Sanctissima Dei Genitrix, succurre nobis, » simulque dicunt omnes: « Ejus intercessione miserere nostri, Deus, et salva nos; tu es quem confitemur et hymnis celebramus, sancta Trinitas, solus vere Deus, nam alius non est præter te qui fecisti nos atque conservas. » Et tunc hymnus Dei Genitrici adjiciunt, dicentes: «Beatam te dicimus omnes generationes,» ob ejus prophetiam. At in hujus fine salutationem angelicam proferunt: «Ave, gratia plena, Dominus tecum,» quoniam verbum istud nostræ salutis est principium, et precantur ut, «Per te nobiscum sit Dominus,» nempe per gratiam suam. Deinde devote et canore nudo capite modulantur, quoniam ipsa est caput nostrum, quæ caput nostrum peperit; ipsa est e cœlo protectio nostra atque providentia et salus, cantantque: «Dignum est» et eam Dei Genitricem confitentur, et majore cherubim honore dignam concinunt, quoniam Deum Verbum substantialiter in utero recepit, et sine corruptione peperit, eamque vere ac indubitanter Dei Genitricem magnificamus, hæc verba, *Magnificamus et beatam dicimus*, ex ejus cantico sumentes. Ipsa enim istud dixit: «Magnificat anima mea Dominum,» et: « Ecce enim ex hoc beatam me dicent omnes generationes. » Dum panis quidem in altum tollitur, Deo offerri ostenditur; at dum dicitur: Magnum nomen sanctæ Trinitatis, confessionem prædicat trini universorum Dei, et dum panis huic offertur, nomen ejus magnificatur. Dicere vero: « Sanctissima Dei Genitrix, succurre nobis,» incarnationem Verbi prædicat, hoc enim significat vox Dei Genitrix; necnon illius fit invocatio, et credimus eam adesse ad succurrendum paratam, et panis ei velut donum præstatur, potius autem per eam Filio ejus pro nobis ex ipsa incarnato, et propter nos libenter crucem passo, quod per crucem qui eum sustollit repræsentat. Hic igitur panis, utpote divina invocatione super

eum facta, expressoque ab initio crucis signo, et rursum deinde in prædicata Deipara, necnon agnita incarnatione Verbi, ipsaque Dei genitrice in auxilium invocata, magna potest et a multis malis eruit, seu potius ab omnibus, et omnibus replet bonis ac salvat continuo. Quapropter die ac nocte atque fere in omni hora istud nos oportet facere, semperque has voces clamare, necnon magnificare Trinitatem Deique Genitricem in auxilium invocare. Quodnam enim majus quam ejus auxilium? Vel quis ipsa majorem habet potestatem? vel quis magis ipsa salvare potest? Igitur ego quidem istud multi faciens divina hæc verba dico assidue, multosque ad hoc incitavi ut et ipsi illa dicant assidue, et vos scitis me in universis ecclesiis præcepisse istud quotidie facere, et in omni matutino officio post finem horæ nonæ, panem hunc in altum a sacerdote sustolli, consuetasque dici sacras has preces a Patribus traditas, in confessionem sanctæ Trinitatis unius universorum Dei nostri, prout diximus, et incarnationis Verbi, necnon in honorem Matris ejus sanctissimæ solius semper virginis vereque Deiparæ, atque ejus opem invocare, quoniam multum ex hoc invenimus adjutorium, istud etiam facere mando in Christo, et hortor et præcipio, vosque omnes advoco in salutem nostram. Si ergo nonnulli a fide alieni mane ac vespere semper dicere student, « Ave, gratia plena, » hoc ducentes honorem castæ Dei Genitricis, quod non invenerunt ipsi, sed antiqua Patrum consuetudine traditum est, prout brevi disces, quanto magis oportet nos orthodoxos vere catholicæ Ecclesiæ filios hoc facere sine intermissione et diligentissime. Illud autem, « Ave, gratia plena, » olim in Ecclesia cantari solitum fuisse discite ex vesperis sanctæ quadragesimæ, quum ante quodcunque aliud in fine post « Pater noster, » hoc protinus dicitur: « Dei Genitrix Virgo, ave, gratia plena, Dominus tecum, » necnon a vesperis vigiliarum, ante benedictionem panum illud assidue dicitur, et in cantionis ordine in omnibus vesperis, ut nostis, mos est istud singulis vesperis dici in hac magna Thessalonicensi Ecclesia. Igitur si simplices istæ voces, « Ave, gratia plena, » ita sunt efficaces, atque in honorem et gloriam Dei Genitricis tendentes, quoniam archangeli sunt salutatio in qua soluta est maledictio et impertita lætitia, quia universorum Salvator Deus Dei Verbum in ea habitavit atque ex ea fuit incarnatum, quanto magis oportet fieri et perfici divinum istud opus ac antiquissimum, utpote a Patribus traditum. Testantur typica omnia et consuetudo desuper a Patribus ad nos transmissa sanctam esse istam panis elevati Deoque oblati cæremoniam, Trinitatis confessionem, sanctæ Dei genitricis invocationem ac laudem in adjutorium nostrum factam, necnon illud: « Beatam te dicimus omnes generationes, » bonum ei esse cantatu et acceptabile tanquam ab ea prædictum et ex ea institutum ac quemadmodum ipsa protulit repetitum;

A τῷ σαρκωθέντι, καὶ δι' ἡμᾶς ἑκουσίως σταυρὸν ὑπομείναντι· ὅπερ καὶ διὰ τοῦ σταυροῦ ὁ ἄνυψῶν ἐκτυποῖ. Ὁ ἄρτος οὖν οὗτος, ὡς καὶ τῆς θείας ὀνομασίας ἐπ' αὐτῷ γινομένης, καὶ ἐξ ἀρχῆς τῆς σταυρικῆς σφραγῖδος καὶ πάλιν ὕστερον καὶ τῆς Θεοτόκου ἐπ' αὐτῷ ἀνακηρυχθείσης, καὶ τῆς σαρκώσεως τοῦ Λόγου ἀνομολογηθείσης, καὶ τῆς Θεομήτορος αὐτῆς εἰς βοήθειαν ἐπικληθείσης, μεγάλα δύναται· καὶ πολλῶν ῥύεται δεινῶν· μάλιστα δέ γε πάντων, καὶ πάντων ἐκπληροῖ χρηστῶν, καὶ σώζει διηνεκῶς. Διόπερ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ καὶ ἐν πάσῃ ὥρᾳ σχεδὸν τοῦτο δεῖ ποιεῖν ἡμᾶς, καὶ ἀεὶ ταύτας τὰς φωνὰς ἐκβοᾷν, καὶ μεγαλύνειν τὴν Τριάδα, καὶ τὴν Θεοτόκον ἐπικαλεῖσθαι εἰς βοήθειαν· ὅτι τίς μείζων B τῆς βοηθείας αὐτῆς; ἢ τίς παῤῥησίαν ἔχουσα μείζω; ἢ τίς δυναμένη σῶσαι πλέον αὐτῆς; Ἐγὼ μὲν οὖν τοῦτο περὶ πλείστου ποιούμενος, συνεχῶς τὰς θείας ταύτας λέγω φωνάς· καὶ περὶ τούτου πολλοῖς ἀνέθηκα, ὥστε συνεχῶς τοῦτο ποιεῖν· καὶ ὑμεῖς οἴδατε ὡς καὶ ἐν ταῖς καθολικαῖς ἐκκλησίαις παρέδωκα τοῦτο καθ' ἡμέραν ποιεῖν, καὶ ἐν παντὶ ὄρθρῳ μετὰ τὸ τέλος τῆς ἐννάτης ᾠδῆς, παρὰ τοῦ ἱερέως ἀνυψοῦσθαι τοῦτον τὸν ἄρτον, καὶ τὰς συνήθεις ἱερὰς ταύτας λέγειν τὰς ὑπὸ τῶν Πατέρων παραδεδομένας φωνάς, εἰς ὁμολογίαν τε τῆς ἁγίας Τριάδος τοῦ μόνου τῶν ὅλων Θεοῦ ἡμῶν, ὡς εἰρήκαμεν, καὶ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως· καὶ ἔτι εἰς τιμὴν τῆς αὐτοῦ Μητρὸς τῆς Παναγίας μόνης ἀειπαρθένου τε καὶ κυρίως Θεοτόκου· καὶ τὴν αὐτῆς ἐπικαλεῖσθαι C βοήθειαν· ἐπεὶ καὶ πλείστην εὑρήκαμεν τὴν ἐκ τούτου βοήθειαν, καὶ τοῦτο ποιεῖν παρακελεύομαι ἐν Χριστῷ· καὶ ἀνατίθημι, καὶ παραγγέλλω, καὶ παρακαλῶ ὑμᾶς πάντας εἰς σωτηρίαν ἡμῶν. Εἰ οὖν τῶν ἑτεροδόξων τινὲς πρωῒ καὶ ἑσπέρας τὸ, « Χαῖρε, κεχαριτωμένη, » λέγειν ἀεὶ σπουδάζουσι, τιμὴν τοῦτο ἡγούμενοι τῆς ἁγνῆς Θεοτόκου, ὅπερ οὐδὲ παρ' αὐτῶν ἐστιν εὑρημένον, ἀλλ' ἔθος ἀρχαῖον πατρικὸν, καθὰ καὶ μαθήσῃ μετὰ βραχὺ, πολλῷ γε μᾶλλον χρὴ τοὺς ὀρθοδόξους ἡμᾶς καὶ τῆς καθολικῆς ὄντως Ἐκκλησίας τοῦτο ποιεῖν ἀδιαλείπτως καὶ ἐν σπουδῇ. Ὅτι δὲ τὸ, « Χαῖρε, κεχαριτωμένη, » ᾄδεσθαι ἐν τῇ ἐκκλησίᾳ πάλαι εἰθισμένον ἐστὶ, γνῶτε ἀπό τε τῶν κατὰ τὴν ἁγίαν Τεσσαρακοστὴν ἑσπερινῶν, ὅτε D πρὸ παντὸς ἄλλου ἐν τῷ τέλει μετὰ τὸ, « Πάτερ ἡμῶν, » τοῦτο εὐθὺς λέγομεν, « Θεοτόκε Παρθένε, χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, » καὶ ἀπὸ τοῦ ἐν τοῖς ἑσπερινοῖς τῶν ἀγρυπνιῶν πρὸ τῆς εὐλογίας τῶν ἄρτων τοῦτο διηνεκῶς λέγεσθαι· καὶ ἐν τῇ ᾀσματικῇ δὲ τάξει ἐν πᾶσι τοῖς ἑσπερινοῖς, ὥσπερ οἴδατε, ἔθος τοῦτο καθ' ἑσπέραν ἐν ταύτῃ τῇ μεγάλῃ τῶν Θεσσαλονικέων Ἐκκλησίᾳ λέγεσθαι. Εἰ οὖν ἁπλῶς τὸ, « Χαῖρε, κεχαριτωμένη, » μόνον λεγόμενον **260** ἀναγκαῖον, καὶ εἰς τιμὴν καὶ δόξαν τῆς Θεομήτορος, διὰ τὸ τοῦ ἀρχαγγέλου εἶναι φωνὴν, ἐν ᾗ δὴ ἡ ἀρὰ ἐλύθη, καὶ ἡ χαρὰ ἐβραβεύθη, ὁ Σωτὴρ τῶν ὅλων ὁ τοῦ Θεοῦ Θεὸς Λόγος ἐνσκηνώσας ἐν αὐτῇ, καὶ ἐξ αὐτῆς σαρκωθείς· πολλῷ γε μᾶλλον δεῖ τὸ θεῖον τοῦτο ἔργον καὶ ἀρχαιότατον ἐκτελεῖσθαι, ὡς ὑπὸ τῶν Πατέρων παρα-

ἐσθίεν. Καὶ μαρτυροῦσι τά τε τυπικὰ ἅπαντα, καὶ ἡ ἄνωθεν ἐκ Πατέρων εἰς ἡμᾶς συνήθεια παραδοῦσα τοῦτο· ὅπερ δὴ καὶ ὡς τελετὴ θεία ἐστὶν ἀνυψουμένου τοῦ ἄρτου, καὶ ἀναφερομένου Θεῷ, καὶ τῆς Τριάδος ὁμολογία, καὶ τῆς ἁγίας Θεοτόκου ἐπίκλησίς τε καὶ αἴνεσις, εἰς ἡμετέραν βοήθειαν γινομένη. Καὶ τὸ, « Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ, » καλὸν αὐτῇ προσᾳδόμενον καὶ εὐπρόσδεκτον ἔσται, ὡς προφητευθὲν ὑπ' αὐτῆς, καὶ παραδοθὲν ἐξ αὐτῆς, καὶ καθὼς ἔφη λεγόμενον, καὶ τὸ *Μεγαλύνομεν*. Καὶ τὴν τοῦ ἀγγέλου δὲ φωνὴν τὸ « Χαῖρε, κεχαριτωμένην, ὁ Κύριος μετὰ σοῦ, » λέγειν αὐτῇ ἀναγκαῖον. Ἐγένετο γὰρ ἐνυποστάτως ἐν αὐτῇ σαρκωθεὶς, καὶ νῦν ἐστιν ἐνσκηνῶν τῇ χάριτι ὑπὲρ πάντας· δι' ἧς καὶ μεθ' ἡμῶν ὁ Θεὸς κατὰ τὸν Ἡσαΐαν ἐγένετο καὶ ἔστι. Καὶ τοῦτο δὲ ἐκ ταύτης αἰτούμεθα· καὶ « Διὰ σοῦ μεθ' ἡμῶν » ἀνακράζομεν. Ὃς καὶ εἴη πάντοτε ἡμῖν δι' αὐτῆς. Ἀμήν.

A sicut et istud, «Magnificamus.» Angelicam vero salutationem, «Ave, gratia plena, Dominus tecum,» ei dicere necessarium, fuit enim in ea secundum substantiam incarnatus, et nunc est per gratiam super omnes inhabitans, per quam nobiscum Deus secundum Isaiam fuit et nunc est, quod ex ea poscimus et « Per te nobiscum » clamamus. Qui sit nobiscum semper per eam. Amen.

Κληρικός. Τὸ περὶ τούτου, δέσποτα, χρήσιμον ἴσως ἡμῖν καὶ ἐπωφελὲς, καὶ πᾶσιν ἀναγκαιότατον ἐνεργεῖσθαι, καὶ μᾶλλον ἀφ' οὗπερ ἡμῖν ἀνέθηκας καὶ παρέδωκας ἐνεργεῖν, καὶ ἡμεῖς σπουδὴν ἔχομεν· καὶ ἐν τοῖς καθολικοῖς ναοῖς, ὡς ἐκέλευσας, ἐνεργοῦμεν. Καὶ εἴη ἡμῖν τὸ τὰ θεῖα διενεργεῖν ἀόκνως πάντοτε διὰ τῶν ἱερῶν εὐχῶν σου.

Ἀρχιερεύς. Εἴη τοῦτο παρὰ Θεοῦ πρεσβείαις τῆς Θεομήτορος ὑμῖν τε καὶ ἐμοὶ, ὅτι πάντες χρῄζομεν τῆς ἀπὸ τῶν εὐχῶν βοηθείας· καὶ συνεχῶς ταύτας ποιεῖν ἀναγκαῖον καὶ ὀφειλόμενον, καὶ μεσίτας ἡμῶν ἐπικαλεῖσθαι τοὺς ἁγίους, καὶ πρὸ πάντων τὴν ὑπὲρ πάντας ἁγίαν τὴν ὑπέραγνον Θεομήτορα, ὡς ὑπὲρ πάντας σῶσαι ἡμᾶς δυναμένην· πολλὰ γὰρ πταίομεν ἕκαστος. Ἴωμεν δὲ ἤδη καὶ πρὸς τὸ τέλος ἡμῶν αὐτὸ, ὡς ἂν καὶ τὰ τῆς C ὑποσχέσεως ἡμῖν ἐκτελέσωμεν.

B *Clericus*. Hæc, domine, nobis sunt admodum opportuna et perutilia, eaque operari omnibus est omnino necessarium, et præsertim ex quo illa nobis facere mandasti ac præcepisti, nos quoque eis studiose incumbimus, et in universis ecclesiis, ut jussisti, adimplemus. Et sit nobis semper per sacras preces tuas divina diligenter operari.

Pontifex. Sit istud a Deo per intercessionem Deiparæ vobis et mihi, quoniam omnes indigemus auxilio quod per preces consequemur, easque sine intermissione facere necesse est atque debemus, sanctosque ut intercedant pro nobis invocare, ac ante omnes, quæ super omnes est sancta et purissima, Dei Matrem, utpote quæ super omnes nos salvare potest, in multis enim offendimus omnes. Sed jam veniamus ad ipsum finem nostrum, ut promissa nostra adimpleamus.

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΗΜΩΝ

ΚΑΙ ΤΗΣ ΙΕΡΑΣ ΤΑΞΕΩΣ ΤΗΣ ΚΗΔΕΙΑΣ

ΚΑΙ ΤΩΝ ΚΑΤ' ΕΘΟΣ ΥΠΕΡ ΜΝΗΜΗΣ ΓΙΝΟΜΕΝΩΝ.

DE FINE ET EXITU NOSTRO E VITA

ET

DE SACRO ORDINE SEPULTURÆ

ET QUÆ PRO MEMORIA DEFUNCTORUM SOLENT FIERI.

Τὰ περὶ μὲν τοῦ τέλους ἡμῶν τοῦ φρικτοῦ καὶ D ἀπαραιτήτου διηνεκῶς καὶ ἀπαύστως καὶ ἐν παντὶ καιρῷ μεριμνᾷν ὀφείλομεν· καὶ χρήσιμον ἡμῖν τοῦτο ὡς καὶ τὸ βλέπειν· καθὰ καὶ τὸ μεμνῆσθαι Θεοῦ χρήσιμον ἡμῖν ὡς τὸ ἀναπνεῖν τὸν ἀέρα. « Μιμνήσκου γὰρ, φησὶν, τὰ ἔσχατά σου, καὶ οὐ μὴ ἁμάρ-

Ea quæ spectant ad horrendum et ineluctabilem finem nostrum continuo et indefessim ac in omni tempore meditari debemus, quod non minus fructuosum est nobis quam lucem videre, quemadmodum et Dei meminisse tam utile est nobis quam aerem spiritu ducere. Ait enim : « Memorare no-

vissima tua et in æternum non peccabis, » et, « Præ A para ad exitum opera tua. » Hujus gratia omnis sollicitudo nostra, et fuga mundi, et deserta, et monasteria, et exercitia, ut quando venerit finis, parati inveniamur, quod qui venit ad salvandum nos nosque salvavit nos docet dicens : « Estote parati, quia nescitis qua hora Dominus venturus sit, » et : « Si sciret paterfamilias qua hora fur veniret, vigilaret utique et non sineret perfodi domum suam ; et vos estote parati, quia qua hora non putatis Filius hominis veniet. » Quamobrem nos omnes semper oportet esse ad exitum paratos, neque tantum sollicitos esse de his quæ aliis relinquemus, sed de nobis ipsis, ne forte hodie a nobis animas nostras repetant. Cæterum quænam B erit utilitas nobis horum de quibus solliciti sumus ? Ideo oportet negligere præsentia et humiliari, et pœnitentiam agere, et Deum confiteri, et eum ad misericordiam provocare, et mysticæ communioni studiose participare et sine intermissione istud facere in diligentia et humilitate animæ, quoniam inde nos cum Deo sumus, Deusque nobiscum erit, cujus causa incarnatus est.

CAPUT CCLX.

De eo quod tremendis mysteriis communicare assidue oportet, quæ res est salutaris imprimis.

Ideo etiam ista nobis tradidit mysteria, ut unum simus cum eo, ut pontifices quidem et sacerdotes C assidue in diligentia contritoque corde ac confessione ministrantes tremendis communicemus (mysteriis), cæteri vero et ipsi assidue in confessione contritaque et devota mente communione fruantur. Itaque nemo ex eis qui timent Dominum eumque diligunt, quadragesimam transgrediatur, sed quantum poterit ad communionem Christi accedat, vel in singulis Dominicis, si possit, in primis senes et infirmi, quoniam ibi est vita et fortitudo nostra. Si vero a morte nonnulli metuant, majori studio ad communionem approperent, neque secundum quosdam insensatos vitæ communicare dubitent, ne forte moriamur, inquiunt ; nam potius morieris si a tremenda communione abstineas ; in hoc enim D tibi vita, sanitas, virtus, et ad illam perennem vitam viaticum, ubi si dignus es vivere, quanto magis inde et præsentem vitam obtinebis cujus nulla est utilitas ; quippe nihil est aliud ac cursus laboriosus qui te ducit ad mortem et ad corruptionem, certamen interminatum et indeficiens, merces inutilis, iter omni metu et tumultu refertum, vita sapientibus nequaquam amata, quoniam incerta est et corruptibilis semperque fallax nimiumque sollicitudine anxia ; tu autem mysteriorum Christi communionem invenies vitæ tibi ac fortitudinis auctorem, quoniam ipse est quem quum tetigisset mulier fluxum sanguinis patiens, sanitatem recepit, et leprosi solo ejus tactu mundati sunt, et mortui tangente eos manu illius resurrexerunt,

A τῆς ποτέ· » καὶ, « Ἑτοίμαζε πρὸς τὴν ἔξοδον τὰ ἔργα σου. » Καὶ τούτου ἕνεκεν ἡμῖν ἅπασα ἡ φροντὶς, καὶ φυγαὶ κόσμου, καὶ ἐρημίαι, καὶ μοναὶ, καὶ ἀσκήσεις, ὡς ἂν, τοῦ τέλους ἐλθόντος, ἕτοιμοι εὑρεθῶμεν· ὅτι καὶ ὁ σῶσαι ἡμᾶς ἐλθὼν, καὶ σώσας ἡμᾶς, οὕτω διδάσκει ἡμᾶς, « Γίνεσθε, λέγων, ἕτοιμοι, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. » Καὶ τὸ, « Εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὸν οἶκον αὐτοῦ· » καὶ, « Ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. » Διὰ τοῦτο πάντας ἡμᾶς πάντοτε χρὴ ἑτοίμους πρὸς τὴν ἔξοδον εἶναι, καὶ μὴ μεριμνᾷν μόνον περὶ τῶν ὧδε ἄλλοις ἐφιεμένων, ἀλλὰ περὶ τῶν μεθ' ἡμῶν ὄντων ἡμῶν αὐτῶν, μήποτε σήμε- B ρον ἀφ' ἡμῶν τὰς ψυχὰς ἡμῶν ἀπαιτῶσι. Καὶ τίς ἔσται ἡμῖν περὶ ὧν τὴν φροντίδα ποιούμεθα ἡ ὠφέλεια ; Διὸ καὶ ἀμεριμνεῖν ἀπὸ τῶν παρόντων, καὶ ταπεινοῦσθαι καὶ μετανοεῖν χρὴ καὶ ἐξομολογεῖσθαι Θεῷ, καὶ τοῦτον ἐπικαλεῖσθαι εἰς ἔλεον, καὶ 261 τῆς μυστικῆς κοινωνίας μετέχειν σπεύδειν, καὶ συνεχῶς τοῦτο ποιεῖν ἐν προσοχῇ καὶ ταπεινώσει ψυχῆς· ὅτι τοῦτο τὸ μετὰ Θεοῦ ἡμᾶς εἶναι, καὶ τὸ μεθ' ἡμῶν εἶναι τὸν Θεὸν, δι' ὃν καὶ σεσάρκωται.

ΚΕΦΑΛ. ΤΞ'.

Περὶ τοῦ συνεχῶς κοινωνεῖν ἅπαντας τῶν φρικτῶν μυστηρίων, ὡς ὑπὲρ πάντα ἐπωφελοῦς ὄντος τοῦ ἔργου.

Διὸ καὶ τὰ μυστήρια ἡμῖν παρέδωκε ταῦτα, ἵνα C ἓν ὦμεν μετ' αὐτοῦ, καὶ ἀρχιερεῖς μὲν καὶ ἱερεῖς συνεχῶς ἐν προσοχῇ τε καὶ κατανύξει καὶ ἐξομολογήσει ἱερουργοῦντες τῶν φρικτῶν μετέχωμεν. Οἱ λοιποὶ δὲ καὶ αὐτοὶ συνεχῶς ἐν ἐξαγορεύσει καὶ συντριβῇ καὶ εὐλαβείᾳ ψυχῆς τῆς κοινωνίας ἀπολαυέτωσαν, καὶ μή τις τῶν φοβουμένων καὶ ἀγαπώντων τὸν Κύριον, παρερχέσθω τὰς τεσσαράκοντα· ἀλλ' ὅση μᾶλλον ἰσχὺς αὐτῷ τε καὶ προσοχὴ, καὶ ἐγγύτερον τῇ κοινωνίᾳ Χριστοῦ προσερχέσθω· καὶ ἐν πάσῃ Κυριακῇ εἰ δυνατόν· καὶ μάλιστα οἱ ἐν τῷ γήρᾳ καὶ ἄῤῥωστοι· ὅτι τοῦτο ἡμῖν ἡ ζωή τε καὶ ἰσχύς. Εἰ δὲ καὶ πρὸς φόβον εἰσὶ θανάτου τινὲς, πρὸς τὴν κοινωνίαν σπουδαιότεροι ἔστωσαν· καὶ μὴ κατά τινας ἄφρονας τῆς ζωῆς κοινωνῆσαι φοβείσθωσαν· μή ποτε, φησὶν, ἀποθάνωμεν· καὶ μᾶλλον ἔσῃ D εἰ μὴ μετάσχῃς τῆς φρικτῆς κοινωνίας ἀποθανών. Τοῦτο γάρ σοι ζωὴ, ῥῶσις, δύναμις, καὶ πρὸς τὴν αἰώνιον ζωὴν ἐκείνην ἐφόδιον· καὶ εἴγε ἄξιος ὧδε ζῆν, καὶ τῆς παρούσης ἔτι ἐπιτεύξῃ μᾶλλον ἐκ τούτου ζωῆς· ἧς οὐδὲν ὄφελος· αὕτη γὰρ δρόμος μόνον ἐπίπονος, εἰς τέλος ἄγων σε καὶ φθοράν· καὶ ἀγὼν ἄμετρος καὶ ἀσυντελής· καὶ μισθὸς ἀνωφελής· καὶ τρίβος ἀνάμεστος παντὸς φόβου καὶ ταραχῆς, καὶ τοῖς νοοῦσι μὴ φιλούμενος βίος, ὡς ἄδηλός τε καὶ φθαρτικὸς, καὶ κλέπτων ἀεὶ, καὶ λίαν ἐμμέριμνος. Σὺ δὲ μᾶλλον τὴν κοινωνίαν εὑρήσεις τῶν μυστηρίων Χριστοῦ ζωῆς σοι καὶ δυνάμεως παραιτίαν· ὅτι αὐτός ἐστιν, οὗ ἡ αἱμόῤῥους ἁψαμένη ἰάθη· καὶ λεπροὶ τῇ ἀφῇ τούτου μόνῃ ἐκαθαρίσθησαν· καὶ νεκροὶ, τῆς χειρὸς αὐτοῦ τούτων

ἀψαμένης, ἠγέρθησαν· καὶ σὲ ζωώσει, μᾶλλον οὐ A θανατώσει. Εἰ δὲ τὸ τέλος προητοιμάσθη σοι, καὶ πάρεστιν ὁ καιρὸς, πρόσελθε μᾶλλον, ἵνα τοῦτον ἐντεῦθεν εἰς ἀῤῥαβῶνα λάβῃς· αὐτὸς γάρ σοι ἐκεῖσε καὶ ἡ ζωὴ καὶ ἡ τροφὴ καὶ τὸ φῶς καὶ ἀνάπαυσις· καὶ εἰ τούτου μετάσχῃς ὧδε, οἰκτειρηθήσῃ· καὶ ἐντεῦθεν ἕξεις τὰς τῆς ζωῆς ἀπαρχὰς αὐτοῦ· καὶ σὺν τούτῳ πάντοτε ἔσῃ· καὶ οἱ ἐχθροὶ ἀπὸ σοῦ πόῤῥω φεύξονται· οὐ γὰρ ἰσχύσουσι κατὰ σοῦ, τὸ πῦρ μετὰ σοῦ λαβόντος τὸ ἄστεκτον. Ὁ πρὸς τὸ τέλος τοίνυν ἐξομολογείσθω, μετανοείτω, περὶ πάντων ἑτοιμαζέσθω· καὶ ὁ ἀτελὴς τὸ σχήματι τελεσθήτω, ἵνα μὴ ἀτελὴς καὶ δίχα τῆς τελεωτάτης τελετῆς ἀπέλθῃ τοῦ σχήματος. Οἶδα γὰρ κἀν τούτῳ πλείστους καταμελοῦντας, καθὰ δὴ καί τινες πρότερον πρὸς τὸ βάπτισμα διαμέλλοντες ἦσαν, καὶ B τούτου ἠστόχησαν, ἀλλ' ὡς ὁ μὴ βαπτισθεὶς οὐ Χριστιανὸς, καὶ ὁ μὴ τῷ σχήματι τελεσθεὶς, οὐ μοναχὸς ἔσται. Καὶ τὰ πρὸς τούτῳ μαθήσῃ παρὰ τῶν διδασκάλων τῆς Ἐκκλησίας, καὶ Βασιλείου μᾶλλον καὶ Γρηγορίου, καὶ οἱ πρὸς τὸ βάπτισμα τούτων λόγοι νῦν πρὸς τὸ σχῆμά σοι καὶ τὴν μετάνοιαν ἔστωσαν. Ὁ δέ γε μὴ μοναχὸς φθάσας εἶναι, περὶ τὸ τέλος αὐτοῦ γινέσθω· μέγιστον γὰρ τὸ δῶρον, βασιλικὴ ἡ σφραγὶς, δεύτερόν ἐστι βάπτισμα· ἐκ τῶν ἁμαρτημάτων καθαίρει· δῶρα παρέχει καὶ χάριτας· ὁπλίζει καὶ σημειοῖ· ἐξαιρεῖται ἐχθρῶν· τῷ βασιλεῖ παριστᾷ, καὶ φίλον καθιστᾷ τούτου. Εἰ προσέλθῃς, φωτισθήσῃ καὶ οὐ καταισχυνθήσῃ, εἰ δειλιᾷς, οὐ μετανοεῖς· καὶ ἀμβλὺς εἶ. Καὶ πῶς κατίδοις τὸν βασιλέα; Ὅμως κἂν μετανόησον λόγοις· C κάλεσον ἱερέα τὸν ἰσχὺν ἔχοντα· ταπεινώθητι· ἐξαγόρευσον· μετανόησον ἀληθῶς· ἐγγίζει γάρ σοι μᾶλλον ἡ βασιλεία τῶν οὐρανῶν· συγχώρησιν αἴτησαι· ἐλέησον ἐξ ὧν ἔχεις· ἀπόδος **262** τὴν ἀδικίαν· τὰ συκοφαντηθέντα, εἰ ἐγχωρεῖ, κατὰ τὸν Ζακχαῖον τετραπλασίασον· στῆσον τοῦ μὴ ποιῆσαι τὸ κακὸν ἔτι· ἀπόστησον πόρνην ἀπὸ σοῦ· δίωξον μοιχαλίδα· καταλλάγηθι τῷ προσκεκρουκότι· δὸς εἰρήνην· λάβε εἰρήνην, ἵνα μετὰ τῶν φίλων γένῃ Χριστοῦ. Ποίησον τὰ τοῦ ἐλέου, ἵνα θείου τύχῃς ἐλέους· καὶ τὰ τοῦ ἁγίου δὲ ἐλαίου κατὰ τὴν ἀποστολικὴν ἐντολὴν, πιστεύων εὑρεῖν ἐξάλειψιν τῶν ἁμαρτημάτων, καὶ τῆς νόσου ἐξεγερθῆναι, ἐκτέλεσον. Καὶ τὴν ἄφεσιν εὑρηκὼς, εἰ μὲν θείῳ ἐλέει D ἐξιαθῇς τῇ σαρκὶ καὶ ἐξεγερθῇς, εὐχαρίστησον, καὶ τὰ τῆς ὑποσχέσεως τέλεσον, μετανοῶν μένων· καὶ τὰ τοῦ τέλους πάλιν περίμενε· ἐλεύσεται γὰρ, καὶ ἐγγύς ἐστι· καὶ οὐ μὴ φύγῃς τοῦτό ποτε· καὶ πρὸς αὐτὸ διηνεκῶς ἑτοιμάζου. Καὶ πολλάκις σοι τοῦτο λέγω, τὸ, « Ἕτοιμος ἔσο. » Ἐπεὶ καὶ ὁ Σωτὴρ διαπαντός φησι τοῦτο, « Γίνεσθε ἕτοιμοι, » ἤτοι πάντοτε. Εἰ δὲ προσκληθῇς τῷ θανάτῳ, ἵνα ἕτοιμος εὑρεθεὶς, μετὰ Θεοῦ εἴης, καὶ μετὰ τῶν φίλων αὐτοῦ ταχθείης, καὶ ἧς ἐπιθυμεῖς, ἐπαπολαύσειας χαρᾶς τε καὶ ἀπολαύσεως· τοῦτο καὶ γὰρ ὧδε τὸ ἀπατηλῶς σαίνόν σε, ἡ ταλαίπωρος ἡδονὴ, ἀγνοοῦντα τὴν ἡδονήν. Εἰ οὖν τὴν ἀληθῆ θέλεις, τὴν ἐν τῷ ὄντως καὶ μὴ ληγούσης ἐπιτύχῃς. Καὶ ταῦτα

A necnon vivificabit te nedum te interficiat. Porro si finis appropinquet tibi et jam adsit tempus, magis accede, ut inde eum in arrhas accipias, ipse enim tibi erit ibi vita, et cibus, et lux et requies, et si illi his in terris communicaveris, misericordiam consequeris, et hinc habebis primitias illius vitæ, et cum eo eris semper, et inimici procul a te fugient; nam non prævalebunt adversum te qui ignem omnia urentem tecum acceperis. Qui ergo ad finem vitæ attingit, confiteatur, pœniteat, in omnibus se præparet, imperfectus seu novitius habitu perficiatur ne imperfectus et absque perfectissimo habitus indumento abscedat. Multos enim novi in hoc etiam incuriosos, quemadmodum olim quidam erant ad baptismum indiligentes, quo non baptizatus non B est Christianus, ita et habitu non indutus monachus non erit. Quod disces ex doctrina Ecclesiæ et præsertim a Basilio et Gregorio quorum sermones de baptismo nunc ad habitum et ad pœnitentiam accommoda. Qui ergo prius non fuerit monachus, talis fiat in fine vitæ suæ; donum enim est maximum et regale sigillum, secundus est baptismus, a peccatis purgat, dona et gratias impertit, armis instruit et signat, ab inimicis eruit, ad regem introducit, eique amicum efficit hominem; si accedas, illuminaberis et non confunderis, si fueris socors, nequaquam pœnitens et segnis es, et quomodo regem conspiceres? Simul tamen lingua pœnitentiam enuntia, advoca sacerdotem facultate gau- C dentem, humiliare, confitere, veram age pœnitentiam propius enim appropinquat tibi regnum cœlorum. Veniam posce, fac ex his quæ tibi sunt misericordiam, redde injuste ablata, fraudatorum, si potueris, secundum Zacchæum redde quadruplum; cave ne adhuc malum committas; amove a te fornicariam, ejice adulteram, cum eo qui te offendit reconciliare, da pacem, pacem accipe, ut cum amicis Christi fias; fac opera misericordiæ, ut divinam obtineas misericordiam; oleum sanctum secundum apostoli mandatum suscipe, credens te peccatorum remissionem et a morbo solatium inventurum, veniaque obtenta, si divina quidem miseratione carne sanatus allevatusque fueris, gratias D age, et promissa adimple in pœnitentia permanens, mortemque iterum exspecta. Veniet enim, et jam prope est, nec illam usque fugies, et ad eam te jugiter præpara, sæpiusque hoc tibi dico: Paratus esto, quoniam Salvator semper istud dixit: Estote parati, nempe semper. At si mors tibi instat, sic fac ut paratus inventus, sis cum Deo, et cum amicis ejus colloceris, et quam concupiscis potiaris lætitia et jucunditate. Hic enim tibi falso blanditur misera voluptas qui voluptatem nescis; si ergo veram volueris, præsentem et carnalem odio insequere, ut veram et sempiternam consequaris. Et ista quidem de iis qui ex vita abscedunt, ut puta quæ ab ipsis sunt facienda.

παρόντι καὶ τὴν τῆς σαρκὸς μίσησον, ἵνα τῆς μὲν περὶ τῶν ἐξοδευόντων ὡς ὀφειλόμενα αὐ-

CAPUT CCCLXI.

De sepultura episcoporum, sacerdotum, nec non monachorum, laicorumque.

Fratrem vero in fide defunctum ita sepelire præcepit Ecclesia. Pontificem quidem et sacerdotem manibus sacerdotum committit tanquam totum sanctum, qui cum mundis vestibus proprii habitus induunt. Prius quidem intus aqua tantum corpus in formam crucis spongia aspergentes in signum divini baptismatis, scilicet in fronte, in oculis, in labiis, in pectore et insuper in genibus ac manibus, eum deinde desuper præcinctum pontificiis seu sacerdotalibus vestimentis induunt, caligas autem communes in pedes inducunt; manibus vero sacrum inserunt Evangelium, quod prius quidem dicitur in ipsum e vita discedentem vel post mortem, si dederit tempus, quoniam secundum Evangelium vixit, simulque ut miserationem et propitiationem assequatur ex divinis eloquiis. Quænam enim alia magis idonea ad Deum pro mortuo propitiandum quam hæc dicta, incarnatio Verbi annuntiata, doctrinæ, mysteria, data peccatorum remissio, toleratæ pro nobis passiones, mors vivificans, et resurrectio. Hæc igitur totum ordinem superant, dicendaque sunt etiam in decessu sacerdotum. At pro monachis legitur Psalterium, quod pariter servatur apud multos et usque ad hanc horam dicitur sicque super eum de more factis precibus et suffitu, quoniam Deo commendavit spiritum, corpusque sanctificatum sancte committitur terræ; incensum enim Deo oblatum est in propitiationem pro mortuo, et in signum piæ et orthodoxæ ejus vitæ quæ boni odoris, quia pura, exstitit; levant postea et in templum cum lampadibus portant divinam illam et indeficientem lucem significantes. At si monachus fuerit mortuus, postquam in formam crucis fuit aspersum, habitu eum induunt, et desuper in eo consuitur pallium quod sepulcri speciem gerit, crucibus desuper factis propter Christum cui crucifixus est.

CAPUT CCCLXII.

Quare sacra Christi imago super cadaver defuncti ponatur.

Et ipsius quem dilexit sursum ponunt imaginem et oratione dicta a sacerdote, eum tollunt, ac in divinum templum cum lampadibus inferunt. Similiter fit pro laicis, eos enim mundis e consuetis vestibus induunt, quibus sacrum imponunt instrumentum, quoniam fidelis fuit atque sanctus, et propter Christi protectionem, cujus insuper erigitur imago propter ejus fidem in Christum, et quoniam huic suam commendavit animam. Deinde oratione facta, attollitur, et cum lampadibus in templum Dei inducitur.

CAPUT CCCLXIII.

Quare cantetur hymnus Trisagii, quando defuncti in templum inferuntur.

Hymnus vero, dum inferuntur sacerdotes et laici,

ΚΕΦΑΛ. ΤΞΑ'.

Περὶ κηδείας ἀρχιερέων καὶ ἱερέων, ἔτι τε μοναχῶν καὶ λαϊκῶν.

Τὸν δέ γε ἐν πίστει ἀδελφὸν τετελευτηκότα οὕτω κηδεύειν ἡ Ἐκκλησία παρέλαβεν. Ἀρχιερέα μὲν ὄντα καὶ ἱερέα χερσὶν ἱερέων οἰκονομεῖ, ὡς ἱερὸν ὅλον ὄντα· οἱ καὶ καθαρὰ τοῦτον ἱμάτια τοῦ ἰδίου σχήματος ἐνδιδύσκουσι· πρότερον μὲν ἐντὸς τὸ σῶμα ἀπονίπτοντες ὕδατι μόνῳ διὰ σπόγγου σταυροειδῶς, εἰς τύπον τοῦ ἱεροῦ βαπτίσματος, κατά τε τὸ μέτωπον καὶ τοὺς ὀφθαλμούς, τὰ χείλη τε καὶ τὸ στῆθος, καὶ ἔτι τὰ γόνατα καὶ τὰς χεῖρας· ἔπειτα δὲ περιζώσαντες ἄνωθεν, τὰ ἀρχιερατικὰ, ἢ ἱερατικὰ περιβάλλουσιν ἄμφια. Καὶ ὑποδήματα δὲ καινὰ ἐμβάλλουσιν εἰς τοὺς πόδας. Εἰς τὰς χεῖρας δὲ τὸ ἱερὸν διδόασιν Εὐαγγέλιον· ὃ δὴ καὶ πρότερον ἀναγινώσκεται ἐπ' αὐτὸν ἤδη τελευτῶντα· ἢ καὶ μετὰ θάνατον, εἰ ὁ καιρὸς δίδωσιν, ὡς εὐαγγελικῶς αὐτὸν ζήσαντα· ἅμα δὲ καὶ εἰς ἱλασμὸν καὶ ἁγιασμὸν αὐτοῦ ἐκ τῶν θειοτάτων λογίων· τίνα γὰρ ἕτερα εἰς ἐξιλέωσιν Θεοῦ μείζονα ὑπὲρ τοῦ κειμένου ἔσται ἢ ταῦτα λεγόμενα; Σάρκωσις Θεοῦ καταγγελλομένη, διδασκαλίαι, μυστήρια, δόσις ἀφέσεως ἐγκλημάτων, τὰ ὑπὲρ ἡμῶν πάθη, ὁ ζωοποιὸς θάνατος, καὶ ἡ ἔγερσις· ὑπὲρ ἅπασαν οὖν ταῦτα ἀκολουθίαν· καὶ λεκτέον ἐπὶ τοῖς ἱερωμένοις. Ἐπὶ δὲ μονάζουσι τὸ Ψαλτήριον, ὃ καὶ φυλάσσεται παρὰ τοῖς πολλοῖς ἔτι, καὶ ἕως τοῦ νῦν λέγεται. Καὶ οὕτω τῆς εὐχῆς ὡς ἔθος σὺν Τρισαγίῳ ἐπάνω τούτου γινομένης καὶ θυμιάματος, ὅτι Θεῷ παραδέδωκε τὴν ψυχὴν, καὶ τὸ σῶμα ἡγιασμένον ἁγίως τῇ γῇ παραδίδοται· καὶ τὸ θυμίαμα γὰρ Θεῷ προσαγόμενον εἰς ἱλασμόν ἐστιν ὑπὲρ τοῦ κειμένου, καὶ δεῖγμα τῆς εὐσεβοῦς αὐτοῦ καὶ ὀρθοδόξου ζωῆς, εὐωδεστάτης οὔσης ὡς καθαρᾶς. Εἶτα αἴρουσι, καὶ εἰς τὸν ναὸν μετὰ λαμπάδων κομίζουσι, τὸ θεῖον ἐκεῖνο καὶ ἀκατάπαυστον ἐκτυποῦντες φῶς. Εἰ δέ γε μοναχὸς ὁ τελευτήσας ἐστὶ, μετὰ τὸ ἀποσπογγίσαι σταυροειδῶς, τὰ τοῦ σχήματος ἐνδιδύσκουσι, καὶ τὴν μανδύαν ἄνωθεν ἐπιῤῥάπτουσιν, ὃς καὶ ὡς τάφος ἐστὶν αὐτῷ· καὶ σταυροὺς ἄνωθεν ποιοῦντες, διὰ Χριστὸν ᾧ ἐσταύρωται.

ΚΕΦΑΛ. ΤΞΒ'.

Διατί ἁγία εἰκὼν ἐπάνω τοῦ λειψάνου τοῦ κοιμηθέντος τίθεται.

Καὶ εἰκόνα αὐτοῦ οὗπερ ἠγάπησεν, ἐπάνω τιθέασι. Καὶ τὴν εὐχὴν εἰρηκότος τοῦ ἱερέως, αἴρουσιν αὐτὸν, καὶ εἰς τὸν θεῖον ναὸν μετὰ λαμπάδων κομίζουσιν. Ὁμοίως δὲ καὶ **263** ἐν λαϊκοῖς γίνεται· καθαρὰ γὰρ ἐνδύουσιν ἀπὸ τῶν συνήθων. Ἄνω δὲ τούτων ἱερὸν τιθέασιν ἔπιπλον, ὅτι πιστός τε καὶ ἱερὸς καὶ ὑπὸ τὴν τοῦ Χριστοῦ σκέπην. Καὶ εἰκὼν ἐπάνω τούτου διὰ τὴν εἰς Χριστὸν πίστιν τίθεται· καὶ ὅτι τούτῳ παρέδωκε τὴν ψυχήν. Καὶ τῆς εὐχῆς λεγομένης αἴρεται, καὶ σὺν λαμπάσιν εἰς τὸν θεῖον ναὸν ἀπάγεται.

ΚΕΦΑΛ. ΤΞΓ'.

Διατί ὁ Τρισάγιος ὕμνος ᾄδεται, ἐν τῷ τοὺς τελευτῶντας εἰς τὸν ναὸν ἀπάγεσθαι.

Ὕμνος δὲ ἐν τῷ ἀπάγεσθαι ἱερωμένους καὶ λαϊ-

A χοὺς ὁ Τρισάγιος μετὰ μέλους· ὅτι καὶ τῆς Τριάδος οἱ τελευτῶντες δοῦλοι, καὶ ταύτην ἐκήρυξαν, καὶ ἐν αὐτῇ τετελείωνται, καὶ ἐν αὐτῇ πορεύονται, καὶ σὺν ἀγγέλοις ταχθήσονται, τοῖς τὸν Τρισάγιον ὕμνον ἀπαύστως ᾄδουσι. Τίθενται δὲ ἐν τῷ ναῷ ἀρχιερεῖς μὲν πρὸ τῶν ἁγίων θυρῶν, ἤτοι ἐγγυτέρω αὐτῶν, οὓς ὁ ἱερὸς Διονύσιος καὶ τοὺς ἱερεῖς εἰς τὸ θυσιαστήριόν φησι τίθεσθαι, ἔνθα καὶ τὰ τῆς ὑπηρεσίας αὐτοῖς· τοὺς δὲ μοναχοὺς πρὸ τῶν ἱερῶν θυρῶν, ἔνθα ἡ στάσις αὐτοῖς· τοὺς λαϊκοὺς δὲ κατὰ τὸ μέσον τοῦ ναοῦ, ὅπου καὶ τὴν τάξιν τῆς στάσεως ἔχουσιν. Ἀλλ' οὐχ οὕτω νῦν γίνεται· πάντας γὰρ τιθέασι μεσαίτατα τοῦ ναοῦ. Οἶμαι δὲ διὰ τὸ πολυχωρητότερον, καὶ ἵνα πάντες ὁρῶσί τε καὶ παρίστανται· ἢ ἐπειδὴ ἀπὸ τοῦ θυσιαστηρίου καὶ οἱ ἱερωμένοι B τὸν ναὸν περιτρέχουσιν ἔν τε εἰσόδοις καὶ θυμιάματι, τοὺς πάντας καθαγιάζοντες· καὶ τὸν ναὸν δὲ τὸν θεῖον αὐτοὶ καθιεροῦσι τῷ Θεῷ, διὰ τοῦτο καὶ οὗτοι τοῦ ναοῦ μέσον τίθενται, προσαγόμενοι τελευτῶντες ὥσπερ ἐν οὐρανῷ. Ὅμως χρεὼν καὶ τὰ τοῦ μεγάλου τηρεῖσθαι Διονυσίου, ὡς παραδεικνύντα σαφῶς τὴν ἑκάστου τάξιν καὶ τὸν βαθμὸν τῇ καταθέσει· ὅτι καὶ Παῦλος τοῦτό φησιν, « Ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι. »

cum cantu dicitur Trisagion, quoniam defuncti Trinitatis servi eam prædicaverunt, et in ipsa sanctificati sunt, et in ipsa ambulant, et cum angelis collocabuntur qui Trisagii indefessim hymnum concinunt. Verum in templo reponuntur pontifices quidem ante sanctas januas seu in loco his proximo, quos sanctus Dionysius atque sacerdotes dixit ante altare locandos esse ubi ministerium exercent, monachos autem ante sacras fores, ubi adstant, laicos vero in medio templi ubi loci ordinem habent. Sed nunc non ita fit; omnes enim ponuntur in medio templi, quod fieri censeo quoniam locus est latior, necnon ut omnes videant et adstent, vel quia ab altari sacerdotes templum perambulant per ingressus et suffitum omnes sanctificantes, ipsumque divinum templum Deo dedicant, ideo ipsi quoque defuncti afferuntur et in medio templi tanquam in cœlo reponuntur. Oportet tamen servari mandata magni Dionysii, quoniam per collocationem recte manifestant uniuscujusque gradum et ordinem, et quia Paulus hoc dixit: Quisque in proprio ordine.

ΚΕΦΑΛ. ΤΞΔ'.

Περὶ τῶν κοιμητηρίων, ὅπως ἐν αὐτοῖς τὰ λείψανα θάπτεται.

Καὶ ἡ ἀρχαία δὲ τάξις οὕτως εἶχε. Καὶ δηλοῦσι τὰ λεγόμενα κοιμητήρια. Καὶ γὰρ ἐν μὲν τῇ Κωνσταντίνου ἐν τῷ τῶν ἁγίων Ἀποστόλων μεγίστῳ C σηκῷ οἱ μὲν ἀρχιερεῖς ἔνδον τοῦ θυσιαστηρίου ἐξ ἀρχῆς κατετίθεντο, ὡς καὶ τὰ λείψανα τῶν ἁγίων, διὰ τὴν τῆς θείας ἱερωσύνης χάριν. Καὶ πολλοὶ περὶ τούτου γράφουσιν ὡς οὕτως ἐγίνετο, περὶ λειψάνων ἀρχιερατικῶν διηγούμενοι. Οἱ βασιλεῖς δὲ περὶ τὸν ναὸν καὶ κύκλωθεν τοῦ ναοῦ, ὡς δείκνυνται ἐκ τῶν τάφων, λαϊκοὶ τελοῦντες καὶ αὐτοί, εἰ καὶ τὸ χρίσμα τῆς βασιλείας ἔλαβον, ἡγεμονίαν τῆς κοσμικῆς ταύτης ἀρχῆς ἐγκεχειρισμένοι. Καὶ ἐν τοῖς μοναστηρίοις δὲ τὰ ἀποτεταγμένα κοιμητήρια ἰδίᾳ μὲν ἔχουσι τοὺς τάφους τῶν ἱερωμένων μοναχῶν καὶ ὑποκάτω θυσιαστηρίου· ἰδίᾳ δὲ τῶν ἰδιωτῶν. Διὸ καὶ ὧδε χρεὼν τοὺς μὲν ἀρχιερεῖς ἐγγύτερον τιθέναι τοῦ θυσιαστηρίου· τοὺς ἱερεῖς δὲ μετ' αὐτοὺς καὶ λοιποὺς πάντας κληρικούς· περὶ δὲ τὰς πύλας τοῦ D ναοῦ τοὺς λαϊκούς· ὃ δὴ καὶ ἐν ταῖς μοναῖς ἀκριβέστερον ἔτι τηρεῖται· καὶ τοὺς μὲν καθηγουμένους καὶ ἱερωμένους ψάλλουσιν ἔνδον τοῦ ναοῦ, τοὺς ἰδιώτας δὲ μοναχούς, ἢ καὶ λαϊκούς, ἐν τῷ νάρθηκι· ὃ καὶ ἐφ' ἡμῖν ἔτι γινόμενον εἴδομεν ἔν τισιν ἱεραῖς μοναῖς. Νῦν δὲ πάντα τῇ ἀμελείᾳ παρεωράθη τὰ εὐλαβῆ, καὶ τὰ τῆς τάξεως καταλέλυται· καὶ πάντα γίγνεται φύρδην· καὶ γὰρ ἡ ἀταξία τῇ ὑπερηφανίᾳ συζεύγνυται ἀπαρχῆς, καὶ σὺν αὐτῇ τῇ φιλοκερδείᾳ, καὶ τὰ κοσμικὰ φρονήματα πλέον διὰ τὰ ἑκάστου πάθη· καὶ οὐ τὰ τῶν ἁγίων κρατεῖ. Καὶ πολλοὶ ἐν τούτοις ἀφιλοσόφως φιλοσοφοῦσιν, ἢ μᾶλλον εἰπεῖν ἀλόγως. Καί, Τί ἐστι τοῦτο, λέγουσι; καὶ τί ἐκεῖνο; καὶ διατί μὴ καὶ τὸν λαϊκὸν ἔνδον εἰσάγουσιν; Οὐχ

CAPUT CCCLXIV.

De cœmeteriis, quomodo in illis corpora defunctorum sepeliuntur.

Porro antiqua dispositio sic erat, ut patet ex locis quibus cœmeterii nomen fuit impositum. Etenim in basilica Constantini, in maxima sanctorum apostolorum ecclesia, pontifices quidem intra altare ab initio deponebantur propter gratiam divini sacerdotii. Et multi de hoc scribunt quod ita fiebat de reliquiis pontificum disserentes, reges vero in templo et circa templum, ut ex eorum monumentis apparet, quum et ipsi sint laici, licet accepta regali unctione, dominationem et sæculare hoc demandatum susceperint imperium. At in monasteriis designata sunt cœmeteria in quibus propria quidem monachi sacerdotio induti habent monumenta subter altare, alia autem propria fratres idiotæ. Ideo hic etiam oportet pontifices quidem propius altari, sacerdotes vero post eos et universos cæteros sepeliri clericos, laicos autem circa portas templi; quod adhuc accuratius in monasteriis servatur; præsides quidem et sacerdotes psallunt intra templum, idiotæ autem et monachi aut laici in narthece, quod apud nos adhuc fieri novimus in quibusdam monasteriis. Nunc vero omnes pii ritus negligentia contempti sunt, eversusque ordo, et omnia fiunt promiscue, nam confusio superbiæ ab initio fuit commixta, et cum ipsa avaritia, et mundana prævalent consilia propter singulorum vitia, et minime sanctorum cogitationes; multi in hoc contra philosophiam philosophantur, seu magis sine ratione. Et quid hoc? inquiunt, et quid illud? Quare laicum non intus inferunt? Nonne Christianus est? Etiam, frater, Christianus est, sed non sacerdos; aliud quidem sacerdos, et aliud laicus; si

nullum esset discrimen, igitur et laicus baptizabit, et ministrabit, et ad altare accedet.

CAPUT CCCLXV.

De illis qui inordinate ac confuse faciunt omnia; idque vehementer grave ac molestum esse.

Sed quid hæc dico? Isti qui omnia commiscent et confuse faciunt nullum ponentes discrimen sacrum inter et profanum, illud audent facere, sinuntque in sacrum sanctuarium intrare quos in hoc ingredi indignos sciunt, et absque sigillo pontificio jubent in ecclesia sacras Scripturas legere, quod in pestem ita damnosam prodiit ut in morem inordinatio transiverit, multique nequaquam de sacro sigillo curent, sed vix illud quærant quum ad ordines promovendi sunt, vixque tum ita agant ut secundum consuetudinem illud accipiant. O homo, num parva hæc perpendis? et Patrum leges desuper traditas aspernaris? Nihil parvum in Ecclesia magni Dei et Salvatoris nostri Jesu Christi, nihil sine sapientia, quoniam ipsius est sapientiæ viventis Ecclesia. Ideo omnia maximam habent rationem. Quomodo igitur auderet aliquis rationabiles Verbi Dei institutiones suis insultibus contemnere, et semetipsum constituere judicem earum exstinctionis? Num ignoras ordinem omnia continere, sicut dictum est? et in cœlesti Ecclesia eximium stare ordinem? Igitur cave ne supernum destruas ordinem, sed potius præsentem conserva, et pro illo quantum potes zelare, neque tantum studeas ut quæ accepisti custodias, et ut ea sanctis augeas incrementis, eaque adornes tanquam Patres nostri. Itaque pugna pro sanctis ordinibus, ut multam a Deo mercedem referas utpote diligens decorem domus Domini, sanctumque ordinem serva, et adstantes in sanctuario majore aliis honore prosequere secundum convenientem eis gradum, et sedendo, et communicando, et mutuum donum accipiendo, et augustas imagines atque sanctissimam crucem adorando, utpote divino sigillo signatos.

CAPUT CCCLXVI.

De illis qui neglecto ordine in bema ingrediuntur, cum nec sacerdotes nec monachi sint, arroganterque præ sacerdotibus et monachis stant vel sedent.

In sanctuarium intrare nullum permittas præter eos qui impositione manuum digni sunt habiti et electi ad ministrandum æterno regi, at post eos pone monachos et post monachos laicos, et cave ne superbis des locum sanctos despiciendi, qui quum stulte cogitent in sancta et divina inducunt vitia sua istaque manifestant, et nedum sanctificentur, damnati sunt et aversione digni. Volunt enim divinis participare secundum genus ignobile et abjectum, necnon secundum divitias assidere

A ἔστι Χριστιανός; Ναὶ Χριστιανὸς, ἀδελφέ· ἀλλ' οὐχ ἱερεύς. Ἕτερον δὲ ἱερεὺς, καὶ ἕτερον λαϊκός. Εἰ δὲ οὐδὲν, καὶ ὁ λαϊκὸς λοιπὸν βαπτίσει, καὶ ἱερουργήσει, καὶ εἰς τὸ θυσιαστήριον εἰσελεύσεται.

264 ΚΕΦΑΛ. ΤΞΕ'.

Περὶ τῶν ἀτάκτως πάντα καὶ συγκεχυμένως ποιούντων· ὅτι τοῦτο λίαν δεινόν.

Ἀλλὰ πῶς τοῦτό φημι; Οὗτοι οἱ πάντα συγχέοντες καὶ ἀναμὶξ ποιοῦντες, μηδὲν διαστέλλοντες ἀναμέσον ἱεροῦ τε καὶ ἀνιέρου καὶ τοῦτο τολμῶσι ποιεῖν· καὶ ἐν τῷ ἱερῷ βήματι τοὺς μὴ ἀξίους τοῦ βήματος εἰσιέναι συγχωροῦσι· καὶ δίχα σφραγῖδος ἀρχιερατικῆς κελεύουσιν ἀναγινώσκειν τὰς ἱερὰς ἐπ' ἐκκλησίας Γραφάς. Καὶ τοσοῦτον τοῦτο εἰς νομὴν ἦλθε πονηροτάτην, ὡς καὶ εἰς ἔθος τὴν ἀταξίαν προβῆναι·
B καὶ οὐ χρείαν πολλοὺς ἔχειν σφραγῖδος ἱερᾶς, ἀλλὰ μόλις ἐν τῷ μέλλειν χειροτονεῖσθαι, τότε ζητεῖν· καὶ μόλις τότε ὡς κατὰ συνήθειάν τι λαμβάνουσιν. Ἄνθρωπε, μικρὰ ταῦτα λογίζῃ; καὶ τοὺς τῶν Πατέρων ὅρους παραλογίζῃ τοὺς ἄνωθεν παραδεδομένους; Οὐδὲν μικρὸν ἐν τῇ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Ἐκκλησίᾳ· οὐδὲν δίχα λόγου· ὅτι αὐτοῦ τοῦ ζῶντος Λόγου ἡ Ἐκκλησία. Διὸ μετὰ λόγου πάντα μεγίστου. Πῶς οὖν τολμᾷ τις ὅλως τὰ μετὰ λόγου καὶ τὰ τοῦ Θεοῦ Λόγου ἰδίαις ὁρμαῖς παρορᾷν; καὶ ἑαυτὸν εἰσάγειν τῆς τούτων καταλύσεως νομοθέτην; Οὐκ οἶδας ὅτι τάξις συνέχει πάντα, ὡς γέγραπται; καὶ ὅτι οὐκ ἔστιν ἀκαταστασίας ὁ Θεὸς, ὡς ὁ Θεοῤῥήμων ἔφη,
C ἀλλ' εἰρήνης καὶ τάξεως; καὶ ὅτι ἡ ἐν οὐρανοῖς εὐταξία καὶ ἐν τῇ Ἐκκλησίᾳ ἐστί; Μὴ παράλυε τοιγαροῦν τὴν ἄνωθεν τάξιν· ἀλλὰ μᾶλλον ἔσο συντηρῶν ταύτην, καὶ ὑπὲρ αὐτῆς ζηλῶν ὅση δύναμις· καὶ μὴ μόνον σπούδαζε ἃ παρέλαβες συνιστᾷν, ἀλλὰ καὶ προσθήκαις ἱεραῖς ἐπαυξάνειν, καὶ κοσμεῖν ταῦτα, ὡς καὶ οἱ Πατέρες ἡμῶν. Ὑπερμάχει οὖν τῶν ἱερῶν τάξεων, ἵνα μισθοὺς πολλαπλοῦς κομίσῃ παρὰ Θεοῦ, ὡς ἀγαπῶν εὐπρέπειαν οἴκου Κυρίου, καὶ τὴν ἱερὰν τηρῶν τάξιν. Καὶ τοὺς μὲν τοῦ βήματος προτίμα τῶν ἄλλων, κατὰ τὸν ἀναλογοῦντα βαθμὸν, τῇ τε στάσει, καὶ τῇ κοινωνίᾳ, καὶ μεταλήψει τοῦ ἀντιδώρου καὶ ἁγιάσματος, καὶ τῇ προσκυνήσει τῶν σεπτῶν εἰκόνων καὶ τοῦ πανιέρου σταυροῦ, ὡς σφραγῖδα ἱερὰν ἔχοντας.

D

ΚΕΦΑΛ. ΤΞϚ'.

Περὶ τῶν ἀτάκτως ἐν τῷ βήματι εἰσιόντων, τελούντων ἀνιέρων καὶ ἀσφραγίστων, καὶ τῶν προϊσταμένων ἢ προκαθημένων ὑπερηφάνως ἱερωμένων καὶ μοναχῶν.

Καὶ ἐν τῷ βήματι εἰσιέναι τῇ χειροτονίᾳ ἠξιωμένους, καὶ εἰς ὑπηρεσίαν ἀπολεγέντας τῷ αἰωνίῳ βασιλεῖ, καὶ μηδένα ἄλλον παραχωρήσῃς εἰς τὸ βῆμα εἰσέρχεσθαι, μετ' αὐτοὺς δὲ τάξον τοὺς μοναχοὺς, καὶ μετὰ τούτους τοὺς λαϊκούς· καὶ μὴ τοῖς ὑπερηφάνοις δῷς χώραν κατορχεῖσθαι καὶ τῶν ἁγίων, οἱ ἀνοήτως ἔχοντες, καὶ περὶ τὰ ἅγια τε καὶ θεῖα καὶ πάθη ἑαυτῶν εἰσάγουσί τε καὶ ἐπιδείκνυνται· καὶ ἀντὶ τοῦ ἁγιάζεσθαι, κατακεκριμένοι εἰσὶ, καὶ ἀποστροφῆς ἄξιοι· ἐθέλουσι γὰρ καὶ τῶν

θείων μετέχειν κατὰ γένος ἀγενὲς καὶ λύομεν, καὶ κατὰ τὸν πλοῦτον ὑπερκαθέζεσθαι, βδελυσσόμενοι τοὺς πτωχούς, καὶ κατὰ τὰ ἀνθρώπινα ὑπερέχειν πάντα, κατ' ἐξουσίαν κοσμικήν. Ἀλλ' οὐ ταῦτα Θεὸς ἐξελέξατο· ἐπεὶ καὶ οὐ πολλοὶ μὲν σοφοὶ κατὰ σάρκα, φησίν, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· τουτέστι σπάνιοι οὗτοι οἱ ἐν ἀνθρώποις δοκοῦντες καὶ ὑπερέχοντες. Ἀλλ' οὐκ ἐκ τούτων ἐξελέξατο ὁ Θεός· ἐπεὶ καὶ τοῦ κόσμου ταῦτα φρονήματα, καὶ οὐ τοῦ Θεοῦ· καὶ ἕνα ἄνθρωπον, καὶ ἐξ ἑνὸς ἅπαντας πεποίηκεν ὁ Θεός· καὶ ἵνα καταισχύνῃ τοὺς τὰ ἐπὶ γῆς φρονοῦντας, τὰ μωρὰ τοῦ κόσμου, φησίν, ἐξελέξατο ὁ Θεός, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου, καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα καὶ οὐδὲν δοκοῦντα, ἵνα τὰ ὄντα, ἤτοι τὰ μεγάλα δοκοῦντα καὶ ὑψηλὰ καταργήσῃ τῇ ταπεινώσει καὶ ἀληθείᾳ· « Ὅπως μὴ καυχήσηται πᾶσα σάρξ φησίν, ἐνώπιον τοῦ Θεοῦ· » μηδέ τις σοφός, ἢ εὐγενής, ἢ ἰσχυρός, ἢ πλούσιος εἴποι κατωρθωκέναι **265** τὰ τῆς σωτηρίας ἡμῖν· ὁ γὰρ ταπεινωθεὶς μέχρι σαρκός, καὶ ἐκ ταπεινῆς μὲν γυναικός, ἁγίας δὲ σαρκωθείς, ὁ τέκτων καὶ τοῦ τέκτονος κληθείς, καὶ μέχρι σταυροῦ καταδικασθείς, αὐτὸς δι' ἁλιέων καὶ σκηνοῤῥάφων καὶ τελωνῶν καὶ ἐθνικῶν πιστευσάντων, ἡμᾶς καὶ τὸν κόσμον ἔσωσε. Μὴ οὖν καυχῶ ἐν σαρκὶ οἷός τις εἶ· γήϊνος γὰρ εἶ· καὶ ὅσῳ ἐκ τῆς γῆς πλουτεῖς, πλείω τὴν φθορὰν ἐπισύρῃ· ἀλλ' εἰδὼς ὡς τῶν λαϊκῶν εἶ, καὶ ἱερωσύνην οὐκ ἔχεις, οὐδέ γε τὰ τῶν μοναζόντων προῄρησαι, ταπεινοῦ καὶ γενοῦ κριτὴς ἀληθής· καὶ μὴ τῶν ἱερέων ὤν, μηδὲ μοναχῶν, ὡς λαϊκὸς προσέρχου τῷ ἀληθεῖ καὶ καθαρῷ καὶ μόνῳ κριτῇ. Καὶ λαϊκὸς δὲ ὤν, προσευχόμενος, ὅρα τίς σου κρείττων τῶν λαϊκῶν, καὶ τίς καθαρώτερος· οὐ γὰρ προσωποληψία παρὰ Θεῷ· καὶ τίς μᾶλλον φίλος ἢ σὺ Θεῷ· καὶ μᾶλλον ὅτι τοῦτο παρὰ σοὶ κρίνεται ἐν τοῖς βασιλείοις. Εἰ γὰρ οἱ φίλοι τῷ βασιλεῖ πλησιάζουσι, πολλῷ γε μᾶλλον ἐγγὺς ἔσονται τοῦ Θεοῦ οἱ φίλοι αὐτοῦ. Πταίων οὖν, προσέρχου ὡς πταίων, καὶ μὴ πρὸ μοναχῶν ἔρχου, καταθρασυνόμενος αὐτῶν· ἐπεὶ καὶ εἶδον εὐγενεστάτους κατὰ κόσμον ἐγώ, σοφοὺς ὄντας τὰ θεῖα, ἑαυτῶν μοναχοὺς ἰδιώτας προκρίνοντας ἐν τῷ προσέρχεσθαι τῷ τε ἀντιδώρῳ, καὶ τοῖς ἡγιασμένοις ὕδασι· μηδὲ τῶν κληρικῶν ἑαυτὸν προτίθει, ἀλλ' ἐν τῇ τάξει μένε ἐν ᾗ τυγχάνεις, καὶ μετὰ ταπεινώσεως καθέζου, καὶ ἵστασο, καὶ τῷ Κυρίῳ προσέρχου. Ὅτι «Κύριος ὑπερηφάνοις, φησίν, ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν.» Ἀλλ' ἀρκείτω μὲν ταῦτα ὑπὲρ τῆς ἐν τῇ ἱερᾷ Ἐκκλησίᾳ τάξεως, τῆς τὸν οὐρανὸν μιμουμένης, καὶ τῆς περὶ τὰ θεῖα εὐλαβείας. Τοῦ δὲ νεκροῦ τεθέντος κατὰ τάξιν, ὁ ἱερεὺς εὐλογεῖ τὸν Θεόν. Καὶ γὰρ τότε τοῦτο μᾶλλον ἀναγκαιότερον, εὐλογεῖσθαι τὸν Κύριον, εἰς τὸ τέλος τοῦ δρόμου τὸν ἄνθρωπον ἀγαγόντα, καὶ τὴν ψυχὴν αὐτοῦ δεδεγμένον, καὶ τὸ σῶμα τῇ γῇ διδόντα, καὶ διὰ τοῦ θνήσκειν τὴν προσοχὴν ἡμῖν δεδωκότα, καὶ ἀπὸ τῆς ζωῆς ταύτης εἰς ἄλλην ζωὴν μετατι-

A pauperibus conviciantes, et secundum humanas dignitates, secundum mundanam potestatem supereminere. Sed non hæc elegit Dominus, quoniam non multi quidem sapientes secundum carnem, inquit, non multi potentes, non multi nobiles, id est, pauci sunt qui inter homines apparent et præstantes sunt. At non ex his elegit Dominus, quoniam hæc mundi sunt, non Dei cogitationes, et unum hominem et ex uno omnes fecerat Deus, sed ut confundat terrena sapientes, stulta mundi, ait, elegit Deus, et infirma mundi, et ignobilia mundi, et contemptibilia elegit Deus, et ea quæ non sunt et non apparent, ut ea quæ sunt, nempe quæ magna videntur et sublimia, destrueret in humilitate et veritate: «Ut non glorietur omnis caro, inquit, in B conspectu Dei,» et ne quis sapiens, aut nobilis, aut fortis aut dives dicat se salutem nobis direxisse; nam humiliatus usque ad carnem, et incarnatus ex femina humili quidem, sed sancta, artifex vocatus, artificis filius, et damnatus usque ad mortem crucis, ipse per piscatores, per tabernacularios, per publicanos, per gentiles in eum credentes, nos mundumque salvavit. Igitur noli in carne gloriari quisquis es, nam terrenus es; quo plus e terra ditescis, tanto majorem trahis corruptelam; sed sciens te laicum esse neque sacerdotium habere, neque monachorum institutum elegisse, humiliare, verusque judex esto; quum nec inter sacerdotes nec inter monachos annumereris, ut laicus adi verum purumque ac solum judicem. Imo quum laicus sis supplex, vide quis ex laicis melior te sit, quis purior (non enim est acceptio personæ apud Deum), necnon quis sit magis amicus Deo quam tu, præsertim quum hoc bene discernas in regiis; nam si amici ad regem approximant, quanto magis Deo propiores erunt amici ejus. Itaque peccator accede ut peccator, neque ante monachos ambula eos aspernatus; vidi ego nobiliores secundum mundum de divinis sapientes sibi monachos idiotas præponere dum accederent ad antidorum (1) vel ad aquas sanctificatas; neque temetipsum clericis antepone, sed mane in ordine in quo versaris, et cum humilitate asside et sta, et ad Dominum accede, quoniam «Dominus, ait, superbis resistit, humilibus autem dat gratiam.» Sed ista quidem satis sint de ordine in sancta Ecclesia cœlum imitante et de religione circa divina exercenda. Porro mortuo secundum ordinem reposito, sacerdos benedicit Deum, hoc enim tunc est magis necessarium Deum benedicere qui hominem ad metam cursus adduxit, animam ejus suscepit, corpus terræ committit, per mortem nos vigilantiam docuit, ab hac vita in alteram vitam transtulit, scilicet æternam, pœnamque in benefactum commutavit, præcipue quoniam ipse incarnatus et pro nobis mortuus resuscitavit et salvos fecit, et iterum resuscitabit, et, quoniam bonus est, salva-

(1) Id est, panem præsanctificatum qui populo post missam dividebatur.

bit. Igitur cantores statim similem cantum adjiciunt : «Benedictus es, Domine, doce me justificationes tuas.» Et deinde recitantur psalmi ab isto incipientes : Beati immaculati, qui in tres stationes dividuntur in signum gloriamque simul Trinitatis. Hi vero psalmi Salvatoris conversationem præscribunt, sanctorumque vitam in qua omnis vir religiosus vivere debet. At in qualibet statione oratio fit ab omnibus sacerdotibus, et rursus incipiuntur psalmi, dicto alleluia in singulis versibus, quod cum significet *Venit Dominus*, secundum ejus adventum ostendit in quo apparens nos omnes resuscitabit mortuos. Sed et in alia statione dicitur : «Da requiem servo tuo.» Et in alia : «Miserere mei, Deus,» tanquam ex persona jacentis ; quæ est omnino propria et perutilis oratio. Preces vero sacerdotum sic fiunt : Diaconus, sumpto thuribulo thureque imposito, et benedictione a sacerdote accepta, stat in medio ad caput jacentis, et super corpus incensans, tanquam pro eo deprecans, Deoque incensum offerens, voce alta dicit : «Et nunc quoque Dominum oremus, » nos docens ex morte quæ supervenit cum Deo reconciliari debere, quoniam nos quoque moriemur, utque reconciliati pro jacente deprecemur, ita ut aliquo modo per orationem ei prodesse possimus, utque pax sit ei cum Dei gratia. Deinde pro requie animæ defuncti, necnon ut dimittantur ei omnia peccata ejus Dominusque animam ejus collocet in requiem justorum. Et omnes una voce utilissimam orationem clamant : «Kyrie, eleison.» Diaconus autem omnes hortatur ut a Christo dona misericordiæ ejus jacenti expostulent, videlicet regnum cœlorum et remissionem peccatorum. Sacerdos vero primo secretam orationem cum pietate Deo offerens, Deum spirituum eum appellans, scilicet angelorum et animarum, carnis omnis nempe hominum corporeorum, qui morte mortem destruxit, et per crucem diabolum conculcavit, necnon per mortificationem vitam impertivit mundo, precatur ut requiem donet animæ defuncti in loco quietis, unde aufugit seu procul abest omnis tristitia ac gemitus, peccatumque omne ipsi dimittat actionis, verbi et cogitationis, quoniam nemo est a peccato immunis, nisi ille solus qui absque peccato incarnatus est, et quoniam ipse est justus, et sermo ejus veritas, quia et ipse veritas, ipseque dixit : « Ego sum resurrectio et vita.» Quod ergo clamans sacerdos quoque dicit ad Deum : «Quoniam tu es resurrectio ; » speramus enim quod mortuus vivet et resurget et requiem inveniet Dominum. Hoc igitur fit tribus stationibus psalmi, Beati immaculati. Quem post psalmum versiculi dicuntur pro dormiente sollicitam deprecationem ad Deum exprimentes ; deinde locus ex apostolica epistola excerptus de spe resurrectionis. Ideo non mortui, sed dormientes utpote resuscitandi ab apostolo dicuntur fideles. Postea Alleluia, tanquam signum adventus Dei et prædicatio præsentiæ Christi nostræque per eum

A θέμενον, τὴν ἀΐδιον, καὶ ὄντως τετελεκότα φιλανθρωπίαν τὴν τιμωρίαν· καὶ μᾶλλον ὅτι σαρκωθεὶς οὗτος, καὶ ἀποθανὼν ὑπὲρ ἡμῶν, ἡμᾶς ἀνέστησέ τε καὶ ἔσωσε· καὶ πάλιν ἐξεγερεῖ, καὶ ὡς φιλάνθρωπος σώσει. Εὐθὺς οὖν καὶ οἱ ψάλλοντες τὴν ὁμοίαν ᾠδὴν ἐπιφέρουσιν, « Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. » Καὶ οἱ Ψαλμοὶ τοῦ ἀμώμου ἐφεξῆς ἐπιλέγονται· καὶ εἰς στάσεις οὗτοι γίνονται τρεῖς, εἰς τύπον ἅμα καὶ δόξαν τῆς Τριάδος. Οἱ Ψαλμοὶ δὲ οὗτοι τήν τε πολιτείαν προγράφουσι τοῦ Σωτῆρος, καὶ τὴν τῶν ἁγίων ζωὴν, ἐν ᾗ καὶ πᾶς ὀφείλει ζῆσαι τῶν εὐσεβῶν. Ἐν ἑκάστῃ δὲ στάσει προσευχὴ παρὰ πάντων τῶν ἱερέων γίνεται· καὶ πάλιν ἄρχονται οἱ Ψαλμοὶ, ἐν ἑκάστῳ στίχῳ λεγομένου τοῦ Ἀλληλούϊα. Ὁ τὸ *Ἔρχεται* σημαῖνον *ὁ* B *Κύριος*, τὴν παρουσίαν αὐτοῦ δηλοῖ τὴν δευτέραν, ἐν ᾗ φανεὶς ἐξαναστήσει πάντας ἡμᾶς τεθνηκότας. Ἀλλὰ καὶ ἐν τῇ ἄλλῃ στάσει τὸ, « Ἀνάπαυσον τὸν δοῦλόν σου, » λέγεται. Καὶ τῇ ἑτέρᾳ, « Ἐλέησόν με, Κύριε, » ὡς ἀπὸ προσώπου τοῦ κειμένου, ἡ οἰκειοτάτη καὶ ἐπωφελὴς προσευχή. Ἡ δὲ τῶν ἱερέων εὐχὴ γίνεται οὕτω· Λαβόντος διακόνου θυμιατήριον, καὶ θυμίαμα ἐμβαλόντος, καὶ παρὰ τοῦ ἱερέως εὐλογίαν λαβόντος, πρὸς τῇ κεφαλῇ τοῦ κειμένου κατὰ τὸ μέσον ἵσταται οὗτος. Καὶ θυμιῶν ἐπάνωθεν τοῦ λειψάνου, ὡς ὑπὲρ αὐτοῦ προσευχόμενος, καὶ τῷ Θεῷ προσφέρων θυμίαμα, ἐκφώνως φησὶν, « Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν· » διὰ τοῦ προβάντος θανάτου τὴν καταλλαγὴν ἐκδιδάσκων, ὡς καὶ ἡμεῖς τεθνηξόμεθα, καὶ ἵνα C διηλλαγμένοι ὑπὲρ τοῦ κειμένου εὐχώμεθα, καὶ ὡς ἂν κατά τι αὐτὸν τῇ εὐχῇ ὠφελήσωμεν, καὶ ἵνα εἰρήνη αὐτῷ γένηται μετὰ τοῦ Θεοῦ καταλλαγέντος. Ἔπειτα ὑπὲρ τῆς ἀναπαύσεως εὔχεται τῆς ψυχῆς τοῦ κεκοιμημένου, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πάντα τὰ πλημμελήματα, καὶ ὅπως Κύριος τάξῃ τὴν ψυχὴν αὐτοῦ εἰς τὴν ἀνάπαυσιν τῶν δικαίων. Καὶ **266** ὁμοφώνως πάντες τὴν ἀνυσιμωτάτην εὐχὴν, τὸ, « Κύριε, ἐλέησον, » ἀνακράζουσι· καὶ πάντας αἰτήσασθαι παραινεῖ παρὰ Χριστοῦ τῷ κειμένῳ τὰ ἐλέη αὐτοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν ἁμαρτημάτων. Ὁ δὲ ἱερεὺς πρότερον τὴν εὐχὴν μυστικῶς τῷ Θεῷ μετ' εὐλαβείας ἀνενεγκὼν, καὶ Θεὸν τῶν πνευμάτων αὐτὸν εἰπὼν, ἤτοι τῶν ἀγγέλων καὶ τῶν ψυχῶν, καὶ πάσης σαρ- D κὸς, ἤτοι τῶν ἐνσωμάτων ἀνθρώπων, τὸν διὰ θανάτου τὸν θάνατον καταργήσαντα, καὶ διὰ σταυροῦ τὸν διάβολον καταπατήσαντα, καὶ διὰ νεκρώσεως ζωὴν χορηγήσαντα τῷ κόσμῳ, ἀναπαῦσαι εὔχεται καὶ τὴν τοῦ κοιμηθέντος ψυχὴν ἐν τόπῳ ἀνέσεως, ὅθεν ἀπέδρα, ἤτοι μακρὰν, πᾶσα λύπη καὶ στεναγμός· καὶ πᾶν ἁμάρτημα αὐτῷ, συγχωρῆσαι πράξεώς τε καὶ λόγου καὶ διανοίας, ἐπεὶ οὐδεὶς ἀναμάρτητος, εἰ μὴ μόνος αὐτὸς ὁ ἀναμαρτήτως ἐνανθρωπήσας· καὶ ὅτι δίκαιος αὐτός· καὶ ὁ λόγος αὐτοῦ ἀλήθεια, ὅτι καὶ ἀλήθεια αὐτός· καὶ αὐτὸς εἴρηκεν, « Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. » Τοῦτο οὖν ἐκφωνῶν καὶ ὁ ἱερεὺς, φησὶ πρὸς τὸν Θεὸν, « Ὅτι σὺ εἶ ἡ ἀνάστασις· » ἐλπίζομεν γὰρ, ὅτι καὶ ὁ κείμενος

ζήσεται καὶ ἀναστήσεται, καὶ ἀνάπαυσιν εὑρήσει A τὸν Κύριον. Τοῦτο οὖν γίνεται καὶ ἐν ταῖς τρισὶ στάσεσι τῶν τοῦ ἀμώμου Ψαλμῶν. Καὶ τροπάρια δὲ λέγεται μετὰ τὸν ἄμωμον ὑπὲρ τοῦ κοιμηθέντος ἀναγκαιότατα δεήσεως πρὸς τὸν Θεόν· εἶτα καὶ τοῦ ἀποστόλου περικοπὴ περὶ τῆς ἐλπίδος τῆς ἀναστάσεως· διὸ καὶ οὐκ ἀποθανόντες, ἀλλὰ κεκοιμημένοι ὡς ἐγερθησόμενοι ὑπὸ τοῦ Ἀποστόλου ὀνομάζονται οἱ πιστοί· εἶτα τὸ ἀλληλούϊα, ὡς ἐπιδημίας Θεοῦ σημεῖον, καὶ ὡς κήρυγμα τῆς παρουσίας Χριστοῦ, καὶ τῆς δι' αὐτοῦ ἐκ νεκρῶν ἡμῶν ἀναστάσεως, καὶ θυμίαμα, διὰ τὴν ἐπερχομένην καὶ ἐν τοῖς λειψάνοις τοῦ κοιμηθέντος ὡς πιστοῦ χάριν τοῦ Θεοῦ· καὶ τὸ Εὐαγγέλιον παρὰ ἱερέως, αὐτὴν ὡς δι' ἀγγέλου Θεοῦ προφαῖνον ἡμῶν τὴν ἀνάστασιν. Καὶ εὐθὺς μετὰ τοῦτο πάλιν εὐχή· καὶ μετ' αὐτὴν ὁ ὕμνος τοῦ ἀσπασμοῦ.

resurrectionis a mortuis, et suffitus propter gratiam Dei corpori dormientis utpote fidelis supervenientem, et Evangelium a sacerdote dicitur ipsam prædicens velut per angelum Dei resurrectionem nostram. Et statim post hæc nova oratio, et post orationem hymnus salutationis.

ΚΕΦΑΛ. ΤΞΖ'.

Τί σημαίνει ὁ ἐπὶ τοῖς νεκροῖς ἀσπασμός.

Καὶ ὁ ἐπιτελεύτιος ἀσπασμός. Οὗτος δὲ καὶ διὰ τὴν μετάβασιν καὶ τὸν ἀπὸ τῆς ζωῆς ταύτης χωρισμόν· καὶ ὡς κοινωνία καὶ ἕνωσίς ἐστιν, ὅτι καὶ B θνήσκοντες ἀλλήλων οὐ χωριζόμεθα. Πάντες γὰρ τὴν αὐτὴν ὁδεύσομεν τρίβον καὶ ἅμα ταχθησόμεθα εἶναι, καὶ οὐ χωρισθησόμεθά ποτε. Χριστῷ γὰρ ζησόμεθα, καὶ Χριστῷ νῦν ἑνούμεθα, πρὸς αὐτὸν πορευόμενοι· καὶ αὔριον ἐσόμεθα μετ' ἀλλήλων, καὶ τῶν ζώντων ἡμῶν κοιμηθησομένων ὥσπερ αὐτῶν· καὶ τῆς ἀναστάσεως δὲ γενομένης τῇ κοινωνίᾳ τῆς ὀρθῆς πίστεως, ὁμοῦ ἅπαντες οἱ πιστοὶ σὺν Χριστῷ ἐσόμεθα. Τοῦ ἀσπασμοῦ οὖν τελεσθέντος, καὶ ἡ προειρημένη γίνεται πάλιν ἐπὶ τῷ τέλει εὐχή, ὡς σφραγὶς τελοῦσα τῶν ὕμνων· καὶ οὕτως ἡ ἀπόλυσις.

CAPUT CCCLXVII.

Quid denotet hymnus salutationis, qui super defunctis cantatur.

Denique hymnus salutationis qui cantatur propter eorum ex hac vita migrationem et amandationem, necnon quoniam adest communio et adunatio, quatenus mortui nequaquam ab invicem separabimur; omnes enim eamdem teremus viam et in eodem loco collocabimur, neque separabimur unquam, nam Christo vivemus, et nunc Christo adunamur, ad eum progredientes, et cras alii cum aliis simul erimus, nobis qui vivimus defunctis, quemadmodum et illi defuncti sunt, factaque resurrectione, communione veræ fidei, universi simul fideles cum Christo erimus. Finito igitur salutationis hymno, prædicta rursum dicitur in fine oratio quæ est velut hymnorum sigillum, et sic absolvitur.

ΚΕΦΑΛ. ΤΞΗ'.

Τί δηλοῖ τὸ, « Αἰωνία ἡ μνήμη, » ᾀδόμενον ὕστερον.

C Μετὰ δὲ τὴν ἀπόλυσιν ἡ ἀνακήρυξις τοῦ κεκοιμημένου, τὸ, « Αἰωνία ἡ μνήμη. » Καὶ γὰρ περὶ τούτων, τοῦ ἀσπασμοῦ φημι καὶ τῆς ἀνακηρύξεως, ὁ ἱερός φησι Διονύσιος, περὶ τοῦ ἀσπασμοῦ λέγων, ὅτι δηλοῖ τὴν μετὰ τῶν ἀπελθόντων ἕνωσιν τῶν ζώντων ἡμῶν ἐν Χριστῷ. Περὶ δὲ τῆς ἀνακηρύξεως, ὅτι συνετάγησαν τοῖς ἁγίοις, καὶ τῆς ἐκείνων ἄξιοι κληρονομίας εἰσίν, ὡς καὶ τῆς πίστεως· καὶ πιστευόμενον τοῦτο ἡμῖν καὶ ᾀδόμενον, ἀλλὰ καὶ ὡς ἀνάθεσίς ἐστι πρὸς Θεὸν τοῦ κεκοιμημένου, καὶ δέησις ὑπὲρ αὐτοῦ παρ' ἡμῶν. Ἡ εὐχὴ δὲ τελευταῖον, ὡς δῶρόν ἐστι καὶ τελείωσις, καὶ εἰς τὴν τοῦ Θεοῦ ἀπόλαυσιν παραπέμπουσα, καὶ ὡς παραδιδοῦσα D τοῦ ἀπελθόντος ψυχὴν καὶ σῶμα τῷ Θεῷ. Διὸ καὶ ἄχρι τοῦ τάφου σὺν τῷ λειψάνῳ παραγινόμεθα· καὶ τὸν Τρισάγιον ψάλλομεν, εἰς τὴν τῆς Τριάδος δοξολογίαν τοῦ μόνου Θεοῦ ἡμῶν. Καὶ κατατίθεμεν τῷ τάφῳ τὸ λείψανον, καὶ τῇ γῇ παραδιδόαμεν διὰ τῶν εὐχῶν, **267** πληροῦντες τὸ θεῖον πρόσταγμα, τὸ, « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » καὶ τὴν ἀνάστασιν δὲ κηρύττομεν, σφραγίζοντες τὸ λείψανον διὰ τοῦ σταυροῦ· ἢ ἔλαιον αὐτῷ ἐκχέοντες σταυροειδῶς ἐκ τῆς φωταγωγοῦ, ἢ σκεύει τινὶ τὴν γῆν ἐπιβάλλοντες· ὅτι εἰ καὶ θνητοὶ γεγενήμεθα, ἀλλ' ὅμως ἀναστησόμεθα διὰ τοῦ ὑπὲρ ἡμῶν σαρκωθέντος τε καὶ ἀποθανόντος σαρκί, καὶ ἀναστάντος, καὶ τὴν ἀνάστασιν ἡμῖν

CCCLXVIII

Quid significet quod postea canitur, « Æterna memoria. »

Porro post absolutionem fit de dormiente denuntiatio: « Æterna memoria. » De quibus, nempe de hymno salutationis ac denuntiatione, sanctus disseruit Dionysius, dicens de salutationis hymno, quoniam ostendit nos viventes in Christo adunari cum defunctis, et de denuntiatione, quoniam cum sanctis collocati sunt et eorum hæreditate digni sunt sicut et fide fuerunt, necnon nos id credere et cantare, sed et nos dormientem ad Deum producere atque pro eo deprecari. Denique fit oratio velut munus et consecratio in possessionem Dei inducens, Deoque animam et corpus defuncti commendans. Quapropter usque ad tumulum corpus comitamur, et Trisagion psallimus in glorificationem Trinitatis unius Dei nostri. Et tumulo corpus imponimus quod terræ committimus deprecando, divinum adimplendo mandatum: « Terra es et in terram reverteris; » et resurrectionem prædicamus, signantes corpus per crucem, aut oleum super eum in formam crucis effundentes ex lampade altaris, vel aliquo instrumento terram injicientes, quia etsi mortales simus, resurgemus tamen per eum qui pro nobis incarnatus carneque mortuus resurrexit, et resurrectionem largitus est nobis, necnon quia hic qui sepelitur resurget, quemadmodum Salvator noster resurrexit. Ideo postquam

in tumulo conditus est, oleum supra in modum crucis infunditur, prout tradiderunt apostoli, quod scripsit Dionysius, seu potius dum sepelitur, tunc etiam oportet mortuum inungi. Nam sicut in baptismo veniunt aqua et oleum, in eorum signum his qui fideliter pieque vixerunt illa adhiberi oportet. Quapropter aqua crucis signo cum spongia corpus aspergunt in fronte, in oculis, in ore, in pectore, in genibus et in manibus, atque ungunt oleo. Nam oleum agones significat, et quoniam defunctus recte pieque certans sanctificationem obtinuit, divino etiam dignabitur oleo splendidaque divini luminis jucunditate.

χορηγήσαντος. Καὶ ὅτι οὗτος ὁ θαπτόμενος ἀναστήσεται, ὡς καὶ ὁ Σωτὴρ ἡμῶν ἐξανέστη. Διὸ καὶ μετὰ τὸ τεθῆναι τῷ τάφῳ, ἔλαιον ἐπάνω τούτου σταυροειδῶς ἐκχέεται, ὡς παραδεδώκασιν οἱ ἀπόστολοι, καὶ ὁ Διονύσιος τοῦτο γράφει· μᾶλλον δὲ καὶ ἐν τῷ ἐνταφιάζεσθαι, ἀλείφεσθαι τὸν νεκρὸν χρή. Ὡς γὰρ ἐν τῷ βαπτίσματι ὕδωρ καὶ ἔλαιόν ἐστιν, εἰς τύπον ἐκείνων τοῖς πιστῶς βιώσασι καὶ εὐσεβῶς ταῦτα ἐπάγεσθαι χρή. Διὰ τοῦτο οὖν καὶ ὕδατι σπόγγῳ ἀποσμήχουσι σταυροῦ τύπῳ τὰ λείψανα, κατά τε τὸ μέτωπον, τὰ ὄμματα, τὸ στόμα τε καὶ τὸ στῆθος, ἔτι τε τὰ γόνατα καὶ τὰς χεῖρας, καὶ ἐλαίῳ ἀλείφουσι. Τὸ γὰρ ἔλαιον τῶν ἀγώνων ἐστὶ σημαντικόν. Καὶ ὅτι ὁ κοιμηθεὶς, καλῶς καὶ εὐσεβῶς ἀγωνισάμενος, τετελείωται, καὶ τοῦ θείου ἐλέους ἀξιωθήσεται, καὶ τῆς λαμπρᾶς ἱλαρότητος τοῦ θείου φωτός.

CAPUT CCLXIX.

Quare pro defuncto tantum duodecim fiant supplicationes.

Et item, injecta terra, additur oratio quasi terræ commissus gratias ageret, et tanquam sigillum et consummatio. Et duodecies omnibus Deum pro defuncto adorantibus, ut propitius sit vitæ ejus quæ duodecim horis constat in die et totidem in nocte, recedunt singuli apud se similia meditantes, si tamen ista sint curæ aliquibus; insuper vespere et mane non cessant pro defuncto orare. Deinde mandata adimplent, in primis offerentes per singulos dies incruentum sacrificium, quo nihil dormienti erit utilius nihilque tantam lætitiam et illuminationem impertiet, necnon cum Deo unionem, ipso pro nobis inutilibus effuso Domini sanguine et immolato corpore divino. Quod sacrificium tum secundum carnem propinqui tumque secundum spiritum conjuncti et eo magis secundum carnem propinquos amantes quo intimius secundum spiritum conjunguntur, continuo et singulis diebus offerunt per annum integrum totamque vitam suam, et quanto pluries offerunt eo magis prosunt majoremque percipiunt utilitatem. Nam quid aliud fructuosius quam Christum pro nobis immolari? Alii vero quantum possunt et voluntatem habent, alii autem ad minimum per quadraginta dies illud quotidie offerunt.

ΚΕΦΑΛ. ΤΞΘ'.

Διατί ὑπὲρ τοῦ κεκοιμημένου μόνα προσκυνήματα δώδεκα.

Καὶ τότε τῆς γῆς ἐπιβαλλομένης, ἡ εὐχὴ ὡς παραδοθέντος τῇ γῇ εὐχαριστήριος καὶ ὡς σφραγὶς καὶ τελείωσις ἐπιλέγεται. Καὶ δωδεκάκις πάντων τῷ Θεῷ ὑπὲρ τοῦ τελευτήσαντος προσκυνούντων εἰς ἐξιλέωσιν τῆς αὐτοῦ ζωῆς, ἥτις δωδεκάωρος τῇ ἡμέρᾳ, καὶ δωδεκάωρός ἐστι τῇ νυκτὶ, ἀπέρχονται ἕκαστος περὶ ἑαυτοῦ τὰ ὅμοια μελετῶντες, εἴγε καὶ διὰ φροντίδος τισὶ γένηται τοῦτο· καθ' ἑσπέραν τε καὶ πρωῒ οὐ παύονται τῶν ὑπὲρ τοῦ τελευτήσαντος προσευχῶν. Εἶτα καὶ τὰ νενομισμένα ποιοῦσι· προηγουμένως τὴν καθ' ἡμέραν ἀναίμακτον θυσίαν, ἧς οὐδὲν τῷ κοιμηθέντι λυσιτελέστερον, οὐδ' ἄλλο κατ' αὐτὸ εὐφροσύνης καὶ φωτισμοῦ καὶ Θεοῦ ἑνώσεως αἴτιον, αὐτοῦ τοῦ αἵματος τοῦ Κυριακοῦ ὑπὲρ ἡμῶν τῶν ἀχρείων ἐκχεομένου, καὶ τοῦ θείου σώματος θυομένου. Καὶ ταύτην τὴν θυσίαν οἵ τε κατὰ πνεῦμα ἑνούμενοι καὶ πλέον φιλοῦντες τῶν καθ' αἷμα ὡς ἡνωμένοι τῷ πνεύματι, διηνεκῶς καὶ καθ' ἡμέραν προσφέρουσιν, ὅλον τε τὸν ἐνιαυτὸν, καὶ πᾶσαν αὐτῶν τὴν ζωὴν, καὶ ὅσον πλέον προσφέρουσιν, ὠφελοῦσι καὶ ὠφελοῦνται. Τί γὰρ ἄλλο ἐπωφελέστερον τοῦ θύεσθαι τὸν Χριστὸν ὑπὲρ ἡμῶν; οἱ δὲ καθ' ὅσον ἰσχύουσί τε καὶ προαιρέσεως ἔχουσιν· οἱ δὲ ἄχρι τοὐλάχιστον καὶ ἡμερῶν τεσσαράκοντα προσάγουσι καθ' ἡμέραν.

CAPUT CCLXX.

Quod defunctis utile sit imprimis sanctissimum cœnæ sacrificium.

Illud autem fit quoniam unus e sanctis Patribus, Gregorius scilicet Romanus, qui et dialogum scripsit, fratrem quemdam a pœnis solvit per quadraginta dies pro eo offerens. Porro sacrificium hoc quam maxime proficuum esse necnon a vinculis mortis solvere, multis quæ contigerunt signis et scripto mandata sunt, manifestum faciunt.

ΚΕΦΑΛ. ΤΟ'.

Ὅπως τοῖς κεκοιμημένοις ἐπωφελὴς ὑπὲρ πάντα ἡ ἱερωτάτη θυσία.

Ἐπεὶ καί τις τῶν ἁγίων Πατέρων, Γρηγόριος δὲ οὗτος ὁ Ῥώμης, ὁ καὶ τὸν διάλογον ἐκθέμενος, ἀδελφόν τινα λέλυκε τῆς κολάσεως, ἐν τεσσαράκοντα προσφέρων ἡμέραις ὑπὲρ αὐτοῦ. Ὅτι δὲ ἡ θυσία αὕτη λυσιτελεστάτη πολλοῖς, καὶ δεσμῶν λύουσα καὶ θανάτου, δῆλον ἐκ πολλῶν προβάντων σημείων καὶ ἀναγράπτων ὄντων.

CAPUT CCLXXI.

De oblatione colyburum ex frugibus fructibusque, quæ solet pro defuncto fieri.

Die vero tertia, triduum implent Deo offerentes munera ex frumento aliisque variis fructibus. Sed quare fructus? Quoniam homo semen est et tan-

ΚΕΦΑΛ. ΤΟΑ'.

Περὶ τῶν προσαγομένων ὑπὲρ τῶν κεκοιμημένων κολύβων.

Τῇ τρίτῃ δὲ ἡμέρᾳ καὶ τὰ τρίτα ἐπιτελοῦσιν ἐκ σπερμάτων σίτου καὶ καρπῶν διαφόρων ἄλλων, τῷ Θεῷ προσκομίζοντες. Τί δὲ οἱ καρποί; Ὅτι καὶ ἄν-

θρωπος σπέρμα καὶ ὡς καρπὸς ἐκ τῆς γῆς, καὶ ὡς σῖτος καταβαλλόμενος εἰς τὴν γῆν, Θεοῦ δυνάμει πάλιν ἐξαναστήσεται· καὶ οἷον βλαστήσας ἐν τῷ μέλλοντι, τῷ Χριστῷ τέλειος καὶ ζῶν προσαχθήσεται. **268** Ὡς γὰρ ὁ παρὼν καρπὸς θάπτεται μὲν ἐν τῇ γῇ, βλαστάνει δὲ μετὰ ταῦτα, καὶ πολύχουν τελεσφορεῖ τὸν καρπὸν, οὕτω καὶ ἄνθρωπος, τῷ θανάτῳ τῇ γῇ διδόμενος, ἀναστήσεται αὖθις. Καὶ Παῦλος τοῦτό φησι, διὰ παραδειγμάτων τῶν σπερμάτων δήλην θέμενος τὴν ἀνάστασιν. Τινὲς μὲν οὖν φασιν, ὡς διὰ τὸ θαῦμα τοῦ καλλινίκου μάρτυρος Θεοδώρου τοῦτο τελοῦμεν τὸ τῶν καρπῶν. Οὐκ ἔστι δὲ μόνον διὰ τοῦτο, ἐπεὶ καὶ τοῦτο θεῖον καὶ παρὰ τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν τοῦ Παύλου μᾶλλον φωνὴν, ὡς εἰρήκαμεν, τὰ σπέρματα παρεικάζοντος τοῖς ἡμετέροις σώμασι, καταβαλλομένοις τε καὶ ἐγειρομένοις, τιμιωτέροις οὖσιν αὐτῶν. Διὸ καὶ οὐ μόνον σῖτον, ἀλλὰ καὶ πλεῖστα τῶν ἄλλων σπερμάτων προσάγομεν, καὶ οἶνον ἐκ τοῦ γενήματος τῆς ἀμπέλου· ὅτι καὶ τοῦτο ξύλου καρπὸς, καὶ εἰς τὴν τοῦ Χριστοῦ μετὰ τοῦ σίτου ἐξελέγη θυσίαν. Καὶ ταῖς τῶν ἁγίων δὲ μνήμαις ταῦτο προσφέρομεν, ὅτι καὶ αὐτοὶ καρπὸς ἅγιος καὶ παραδεδομένοι τῇ γῇ τοῖς θείοις λειψάνοις, καὶ ἐν Χριστῷ ἀναστήσονται. Ἐξαιρέτως δὲ καὶ πλέον τῶν ἄλλων σπορίμων ὁ σῖτος, ὅτι καὶ ὁ Σωτὴρ τὸ ἑαυτοῦ πανάγιον σῶμα σίτῳ παρείκασεν. Ἐὰν γὰρ μὴ ὁ κόκκος τοῦ σίτου, φησὶ, πεσὼν εἰς τὴν γῆν, ἀποθάνῃ, αὐτὸς μόνος μένει. Ἐκ τούτου δὲ παριστᾷ καὶ τὴν αὐτοῦ ἔγερσιν. Ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁρᾷς διατί σῖτον προτίθεμεν; Ἀλλὰ καὶ ἐκ σίτου πᾶς ἀληθὴς ἄρτος. Διὸ καὶ Χριστὸς ὁ ἀληθινὸς καὶ ζῶν ἄρτος εἷς· ὃς καὶ ἄρτον τῆς ζωῆς ἑαυτὸν κατωνόμασε· δι' ἣν, ὡς οἶμαι, αἰτίαν καὶ ἐξαρχῆς ἡμῖν τροφὴ τοῖς ἀνθρώποις ὁ σῖτος δίδοται· καὶ ἔτι μᾶλλον διὰ τὸ ἐν ἄρτῳ τῷ ἐκ τοῦ σίτου μέλλειν δοθῆναι γίνεσθαι τὰ μυστήρια. Τρίτα δὲ ἐπιτελοῦνται καὶ ἔννατα, καὶ τὰ λοιπὰ, ἐξαιρέτως μὲν διὰ τὴν Τριάδα, ὅτι παρ' αὐτῆς ἡμῖν τὸ εἶναι καὶ ἡ ζωὴ, καὶ τοῦ θανάτου συμφερόντως ἡμῖν ἐπελθόντος, αὖθις ἡ ἀναζώωσις. Φασὶ δέ τινες, καὶ διὰ τὴν γένεσιν τοῦ ἀνθρώπου· ὅτι καταβληθέντος τοῦ σπέρματος ἐν τῇ μήτρᾳ, μορφοῦται τὸ βρέφος ἐν τῇ τρίτῃ· τῇ ἐννάτῃ δὲ πήγνυται, καὶ τῇ τεσσαρακοστῇ ζωοῦται καὶ τελειοῦται. Ἔστι δ' ἐννοεῖν, ὅτι καὶ τῷ τρίτῳ μηνὶ σκιρτᾷ· καὶ τῷ ἕκτῳ τέλειόν ἐστι βρέφος, καὶ τῷ ἐννάτῳ τίκτεται. Καὶ ἔτι ἐνιαύσια, ὅτι τὸ τεχθὲν ἐν τῷ τρίτῳ μηνὶ αἰσθάνεται, καὶ κατ' ὀλίγον αὔξεται, ἀλλοιώσεις δεχόμενος ἄνθρωπος ἐν ἑκάστῳ ἔτει καὶ ἐτῶν τριάδι, καὶ μᾶλλον ἐν τῷ ἄρχεσθαι τὴν τρίτην τριάδα, ἥτις ἐστὶν ἡ ἑβδόμη, διὰ τὸ σύνθετον εἶναι τὸν ἄνθρωπον, καὶ μὴ δύνασθαι περαίνειν τὸ τριττὸν τῆς τριάδος, ὅπερ τὰ ἐννέα ἐστὶν, ἐν οἷς ὁ ἀριθμὸς τῶν τάξεων τῶν ἀγγελικῶν· ὡς ἀσώματοι γὰρ οὗτοι καὶ νόες μόνον, ἐντελέστερον τούτῳ δὴ καὶ τῷ ἀριθμῷ ἑαυτῶν ἀθανάτως ζῶντες, ἐκτυποῦσι τὴν ἁγίαν Τριάδα· τρεῖς τριάδες γὰρ τὰ ἐννέα· ἀλλ' ἡμῶν ὡς συνθέτων ἑβ-

A quam fructus terræ, vel tanquam granum frumenti in terram injectum, Dei potentia iterum resurget, et germinans, ut ita dicam, in vita futura Christo perfectus ac vivens offeretur. Nam quemadmodum semen in terra sepelitur, germinat autem postea et multum fructum affert, ita et homo morte datus terræ, rursum resurget. Quod Paulus dixit, exemplo seminum manifestam faciens resurrectionem. Nonnulli quidem asserunt nos hanc fructuum oblationem facere propter miraculum gloriosi martyris Theodori; sed non est propter istud tantum, etsi hoc etiam divinum sit et a Deo institutum, sed potius, ut diximus, propter verbum Pauli qui semina comparavit corporibus B nostris quæ sepulta resuscitantur longe ipsis honorabiliora. Quapropter non solummodo frumentum, sed et plura alia semina offerimus vinumque ex genimine vitis, quoniam hoc quoque fructus est ligni, et cum frumento in sacrificium Christi fuit electum. Hæc vero etiam in commemorationibus sanctorum offerimus, quoniam ipsi quoque fructus sanctus terræ pariter sanctis reliquiis commissi in Christo resurgent. Sed præsertim et in majori aliis seminibus copia, offertur frumentum, quoniam Salvator corpus suum sanctissimum frumento comparavit dicens: « Nisi granum frumenti cadens in terra mortuum fuerit, ipsum solum manet, » quo suam exhibet resurrectionem: « si vero mortuum fuerit, multum fructum affert. » C Viden' quare frumentum proponimus? Insuper ex frumento omnis verus panis, ideo Christus solus est verus vivusque panis qui etiam semetipsum panem vitæ cognominavit, quoniam, ut censeo, ab initio nobis hominibus frumentum in escam datus est, vel potius quia in pane ex tritico conficienda erant mysteria. Tertia autem die ac nona et cæteris memoriam defuncti facimus præsertim quidem propter Trinitatem, quoniam ab ipsa nobis est esse et vivere vel etiam, morte nobis in bonum superveniente, reviviscere. Dicunt vero aliqui hoc etiam fieri propter nativitatem hominis, quoniam, semine in uterum immisso, formatur infans die tertia, nona compingitur, et quadragesima vivificatur D ac perficitur. Putari autem potest infantem mense tertio exsultare, sexto perfectum esse, et nono parturiri. Agitur etiam anniversarium, quoniam infans natus mense tertio sentit, et paulatim crescit mutationes accipiens homo singulis annis singulisque annorum ternionibus, et præsertim dum incipit tertius ternio qui est septimus annus, quoniam homo tunc perfectus est neque tertium ternionem annorum prætergredi potest ex quo novem anni constant in quibus angelicorum ordinum invenitur numerus; hi enim natura sua, quum sint incorporei et spiritales, tantum et exquisitius numero suo, immortalem vitam adepti sanctam Trinitatem repræsentant. Quippe tres triades novem faciunt; nobis vero per septem annos vita perficitur, et similiter mutationes; at-

tingimus quidem ad tertiam trinitatem per annum septimum, sed non possumus perfecte per corpus exprimere Trinitatem quam alio modo, ut possibile est, repræsentamus, mente scilicet nostra verboque ac spiritu ad imaginem Dei creati. Unde dum hæc facimus, dieque tertia et cæteris memoriam facimus, Trinitatem monstramus ac prædicamus, nobisque per eam esse vitam atque salutem. Bonæ quidem sunt istæ cogitationes, quum inde fateamur nos nasci et esse a Deo atque pro gloria ejus. Ecclesia spiritualiter et divinitus judicat, ritusque ecclesiastici nequaquam ex sensibilibus constant; unde dum mortuus ad templum affertur, monstratur eum a Deo fuisse creatum, et defunctus Deo præsentatur.

CAPUT CCCLXXII.

Quare tertia, nona et quadragesima die defuncti memoria celebretur.

Ob hanc vero causam memoriam defuncti facimus die tertia, quoniam qui a Trinitate vitam accepit in meliorem vitam translatus conspicietur, in naturam a Deo creatam ab initio, vel etiam in meliorem immutatus. Nona autem die fit similiter, ut ipse jam spiritus a corpore solutus cum sanctis spiritibus angelis colligetur, quibus secundum naturam similis factus est, eum novem numero ordinibus qui ter Deum in Trinitate prædicatum celebrant, atque cum ipsis sanctorum omnium spiritibus coadunetur. Verum quadragesima die memoriam facimus propter ascensionem Salvatoris quadragesima die post resurrectionem factam, ut et ipse aliquando resurgens, assumptus rapiatur in nubibus et occurrat judici ac semper sit cum Domino conjunctus. Quæ dies tertia necnon sexta et nona Trinitatem universorum Deum prædicat et in ejus gloriam pro defuncto fit memoria, quoniam per eam exstitit, et ad eam corpore solutus pergit homo, et ab ea sperat etiam se resurrecturum. Similiter et anniversarium. Unde recte illud prædicatur per memoriam tribus vicibus actam et per consummationem quæ fit post annum, nempe Trinitatem Deum nostrum vitam esse universorum vitæque causam, ipsam esse instauraturam universa, humanamque ab ea renovandam esse naturam.

CAPUT CCCLXXIII.

Quare annuam celebremus memoriam eorum qui vita excessere.

Ideo etiam singulis annis defuncti memoria a propinquis agitur, quo ostendunt illum vivere et anima immortalem esse et aliquando renovandum, scilicet quando volet Creator corpusque resuscitabit, illudque testantur per oblationem seminum, necnon quoniam, quemadmodum Christus in carne mortuus resurrexit et vivit, ita et nos, ut dixit Paulus, in ipso resurgemus et vivemus. Illum autem resurrexisse et vivere testantur opera ejus et sacrificium ipsi ut viventi pro omnibus oblatum

A δοματικὴ ἡ ζωή, καὶ αἱ ἀλλοιώσεις ὁμοίως· καὶ ἁπτόμεθα μὲν ἡμεῖς τῆς τρίτης τριάδος διὰ τῆς ἑβδόμης, οὐ δυνάμεθα δὲ ἐμφανίσαι τελέως διὰ τὸ σῶμα, εἰ καὶ ἑτέρως τὴν Τριάδα ὡς δυνατὸν εἰκονίζομεν, τῷ νοῒ ἡμῶν καὶ λόγῳ καὶ πνεύματι κατ' εἰκόνα Θεοῦ κτισθέντες. Ὅθεν καὶ ταῦτα γινόμενα, τρίτα τε καὶ τὰ λοιπά, τὴν Τριάδα δηλοῦσί τε καὶ κηρύττουσι· καὶ ὡς διὰ ταύτης πάντα ἡμῖν τὰ τῆς ζωῆς καὶ τῆς σωτηρίας. Καὶ καλαὶ μὲν ἔννοιαι ταῦτα, ἐπεὶ καὶ ἡ γένεσις ἡμῶν καὶ τὸ εἶναι παρὰ Θεοῦ, καὶ ὑπὲρ τῆς δόξης αὐτοῦ καὶ ταῦτα νοούμενα· ἐκκλησιαστικώτερον δὲ τὸ πνευματικῶς νοεῖν πάντα καὶ θείως, καὶ μὴ ἐκ τῶν αἰσθητῶν συνιστᾶν τὰ τῆς Ἐκκλησίας· ὅθεν τὸ τὸν ἀποθνήσκοντα πρὸς τὸν ναὸν ἄγεσθαι δηλοῖ ὅτι ἐκ Θεοῦ ἐπλάσθη, καὶ B τελευτήσας, Θεῷ προσάγεται.

ΚΕΦΑΛ. ΤΟΒ'.

Διατί τρίτα ἐννατά τε καὶ τεσσαρακοστὰ, καὶ τὰ λοιπὰ μνημόσυνα.

Τὰ τρίτα δὲ ὑπὲρ τούτου τελεῖται, ὅτι διὰ τῆς Τριάδος τὸ εἶναι λαβὼν, καὶ εἰς τὸ εὖ εἶναι μεταστὰς ὀφθήσεται, εἰς τὸ ἐξαρχῆς ἢ καὶ κρεῖττον ἀλλοιωθείς. Τὰ ἔννατα δὲ, ἵνα 269
τοῖς ἁγίοις πνεύμασι τοῖς ἀγγέλοις τὸ πνεῦμα τούτου ἄϋλον ὂν συγκαταγαγῇ, κατὰ φύσιν ὅμοιον αὐτοῖς γεγονὸς, τοῖς εἰς ἐννέα ἀριθμουμένοις τάγμασι, καὶ διὰ τούτων τρισσῶς τὸν ἐν Τριάδι Θεὸν κηρύττουσι καὶ ὑμνοῦσι, καὶ σὺν αὐτοῖς τοῖς τῶν ἁγίων ἁπάντων ἑνωθῇ πνεύμασι. Τὰ τεσσαρακοστὰ δὲ, διὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν, μετὰ τὴν C ἀνάστασιν ἐν ταύτῃ γεγενημένην, ὡς ἂν καὶ αὐτὸς τότε ἀναστὰς, ὥσπερ ἀναληφθῇ ἁρπαγεὶς ἐν νεφέλαις, καὶ προσυπαντήσῃ τῷ κριτῇ, καὶ οὕτω συνὼν εἴη πάντοτε τῷ Κυρίῳ. Καὶ ὁ μὴν δὲ ὁ τρίτος, ὁ ἕκτος τε καὶ ἔννατος, αὐτὸ δὴ τοῦτο τὴν Τριάδα τὸν τῶν ὅλων Θεὸν κηρύττουσι, καὶ εἰς δόξαν αὐτοῦ εἰσιν ὑπὲρ τοῦ τετελευτηκότος· ὅτι καὶ ἐκ ταύτης συνέστη, καὶ εἰς ταύτην λυθεὶς τοῦ σώματος πεπόρευται ἄνθρωπος, καὶ ἐξ αὐτῆς πάλιν ἐλπίζει τὸ ἀναστῆναι· καὶ τὰ ἐν τῷ τέλει δὲ τοῦ ἐνιαυτοῦ τοῦτο καταγγέλλει σαφῶς διὰ τοῦ τρισσοῦ τῶν μηνῶν, καὶ ἔτι διὰ τὴν ἐκεῖσε τελείωσιν· ὅτι ἡ τῶν ὅλων ζωὴ, καὶ τοῦ εἶναι αἰτία ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, αὕτη τῶν ὅλων ἔσται ἀποκατάστασις, καὶ τῆς ἀνθρωπίνης φύσεως ἀνακαίνισις
D

ΚΕΦΑΛ. ΤΟΓ'.

Διατί κατ' ἐνιαυτὸν τὴν τῶν ἀπελθόντων ἄγομεν μνήμην.

Διὸ καὶ κατ' ἐνιαυτὸν ἡ τοῦ τελευτήσαντος παρὰ τῶν προσηκόντων ἄγεται μνήμη, δηλούντων ὡς ζῇ καὶ ἀθάνατός ἐστι τῇ ψυχῇ, καί ποτε ἀνακαινισθήσεται, ὅτε ὁ πλάστης ἐθελήσει, καὶ τὸ σῶμα ἐξεγερεῖ· καὶ μαρτυροῦσι τοῦτο διὰ τῶν προσφερομένων σπερμάτων· καὶ ὅτι, ὥσπερ ὁ Χριστὸς ἀποθανὼν τῇ σαρκὶ, ἀνέστη καὶ ζῇ, καὶ ἡμεῖς, ὡς ἔφη Παῦλος, ἐν αὐτῷ ἀναστησόμεθα καὶ ζησόμεθα. Ὅτι δὲ ἀνέστη καὶ ζῇ, μαρτυρεῖ αὐτοῦ τὰ ἔργα, καὶ ἡ θυσία αὐτῷ προσαγομένη [illegible] ὡς ζῶντι, καὶ

τελουμένη, καθὼς οὗτος ἐκέλευσε. Γίνονται τοίνυν A αἱ μνῆμαι ἐν τοῖς προειρημένοις καιροῖς, ὡς εἰρήκαμεν, διὰ τὰς προγεγραμμένας αἰτίας· καὶ πολλοῖς τῶν ἁγίων ἐδείχθη τε καὶ ἀπεκαλύφθη ἡ ἀπὸ τούτων ἐγγινομένη τοῖς ἀπελθοῦσιν ὠφέλεια. Διὸ καὶ ταύτας τὰς μνήμας χρὴ ἅπαντας ἐκτελεῖν καὶ μετὰ σπουδῆς ὅσης, καὶ μάλιστα τὰ τῆς φρικτοτάτης θυσίας· ὅτι καὶ διὰ τοῦτο δέδοται· ἐπεὶ διά τε τῶν τελουμένων δεήσεων καὶ εὐχῶν, καὶ τῶν ἱερῶν θυσιῶν, καὶ τῶν εἰς τοὺς πένητας εὐποιιῶν, οὐ μόνον τοῖς ἡμαρτηκόσι καὶ ἐν μετανοίᾳ ἐξελθοῦσι τοῦ σώματος ἄφεσίς τε καὶ ἄνεσις δίδοται, καὶ τῆς τιμωρίας ἀπαλλαγή, ἀλλὰ καὶ τοῖς δικαίως ζήσασι, καὶ τέλος ἀγαθὸν καὶ θεοφιλὲς ἀποδεδωκόσι, μείζων ἡ κάθαρσις καὶ ἀνάβασις χορηγεῖται, ὡς καὶ τῷ Χρυσοῤῥήμονι δοκεῖ ἐν τῇ ἑρμηνείᾳ τῶν Πράξεων, B καὶ ἡ πρὸς Θεὸν ἐγγύτης καὶ παῤῥησία, καὶ τοῦ φωτισμοῦ λαμπροτέρα ἡ ἐκ Θεοῦ μετάδοσις. Καὶ πᾶς ἔστω γινώσκων πιστὸς, ὡς εἰ φιλεῖ τὸν οἰκεῖον ἐντεῦθεν ἀπελθόντα, τὰ μεγάλα τῶν ἀγαθῶν αὐτῷ προξενεῖ, προσφέρων ὑπὲρ αὐτοῦ· καὶ πολλῆς αὐτῷ τῆς εὐφροσύνης γίνεται πρόξενος, καὶ πένησι παρέχων, καὶ αἰχμαλώτους λυτρούμενος, καὶ τἄλλα ποιῶν, οἷς Θεὸς θεραπεύεται· ἐξαιρέτως δὲ ὑπὲρ αὐτοῦ τὰς ἀναιμάκτους σπεύδων ἐκτελεῖσθαι θυσίας. Ἡ γὰρ ἐπὶ τῇ φρικτῇ θυσίᾳ μερὶς, καὶ ἡ ἐπὶ ταύτῃ τοῦ ἀπελθόντος ἀνάμνησις, τῷ Θεῷ τοῦτον ἑνοῖ, καὶ ἀοράτως μετέχειν αὐτοῦ παρέχει καὶ κοινωνεῖν. Ὅθεν ἐκ τούτου ὠφελούμενοι τὰ μεγάλα, οὐ μόνον παρακαλοῦνται καὶ σώζονται οἵ τε ἐν Χριστῷ μεταστάντες ἐν μετανοίᾳ ἀδελφοί, ἀλλὰ καὶ C αἱ τῶν ἁγίων ἱεραὶ καὶ θεῖαι ψυχαὶ λίαν ἐν τούτοις εὐφραίνονται, χάριν αὐτῶν γινομένοις, καὶ ἐν ἀγαλλιάσει σκιρτῶσι, Χριστῷ ἑνούμενοί τε καὶ κοινωνοῦντες διὰ τῆς ἱερωτάτης θυσίας ταύτης καὶ καθαρώτερον καὶ λαμπρότερον, καὶ τῶν αὐτοῦ μετέχοντες γνησιώτερον χαρισμάτων, ὑπὲρ ἡμῶν ἱκετεύουσιν· ὅτι καὶ διὰ τοῦτο τὴν θυσίαν ταύτην Χριστὸς ἐνήργησέ τε καὶ παραδέδωκεν, εἰς ἁγιασμὸν ἁπάντων καὶ φωτισμὸν, καὶ ἵνα μετ' αὐτοῦ ἓν ὦσιν, ὡς ηὔξατο. Διὸ καὶ τῶν μεμνημένων **270** αὐτῶν καὶ τὰς ἱερωτάτας ἐπιτελούντων εἰς τιμὴν αὐτῶν καὶ μνήμην θυσίας, διηνεκῶς ὑπερεύχονται· καὶ μεσῖται τούτων καὶ πρέσβεις γίνονται· καὶ πρὸς τὴν ὁμοίαν κοινωνίαν ἐξαιτοῦνται καὶ αὐτοὺς ἐλθεῖν τοῦ Χριστοῦ. Ὅθεν καὶ τῶν ἀδελφῶν ἡμῶν τῶν D ἀπελθόντων μνημονευτέον, ἵνα καὶ ἡμῶν ἕτεροι μνημονεύσωσι· καὶ ὑπὲρ τῶν ἁγίων προσενεκτέον· ὅση δύναμις, ἵνα εὐφραίνοντες τούτους ἐν Χριστῷ, καὶ μεσίτας εὐφραινομένους πρὸς αὐτὸν ἔχωμεν, καὶ σωθείημεν δι' αὐτῶν.

Κληρικός. Ἰδοὺ περὶ πάντων ἡμῖν ἐδήλωσας, ἁγιώτατε, καὶ ἐδίδαξας ἀκριβῶς, καὶ τὰ περὶ τοῦ τέλους ἡμῶν ἐξέθηκας, καὶ ὅσα ἡμῖν λυσιτελῆ καὶ σωτήρια ἔδειξας, καὶ τὸ τῆς πίστεως ὀρθὸν διετράνωσας. Τί οὖν ἀνταποδώσομέν σοι ἕνεκα τῆς ἀγάπης; Χάριν μόνον ὁμολογοῦμεν τῷ ἐν Τριάδι μόνῳ Θεῷ, τῷ καὶ ἡμᾶς μὲν πρὸς τὸ ἐρωτῆσαι κινήσαντι,

et celebratum, prout ipse mandavit. Fit igitur memoria, ut diximus, in prædictis temporibus propter eas quas retulimus causas, sanctisque multis monstratum est et revelatum quanta sit ex his utilitas defunctis. Propterea has commemorationes necesse est ab omnibus peragi, et summa etiam contentione, et præcipue maxime tremendum sacrificium, quod hanc ob ipsam rem traditum est. Cum per has preces, et orationes, et sacra sacrificia, et erga pauperes bona opera, non solum his qui deliquerunt et cum pœnitentia egressi sunt e corpore, remissio et relaxatio conceditur, et pœnarum liberatio, sed et illis qui juste vixerunt, et fine bono, et Deo complacito vitam terminarunt, major purgatio, et sublimatio datur, ut Chrysostomo videtur in expositione in Acta apostolorum, et ad Deum approximatio, et apud eumdem libertas, et illuminationis ex eo suppeditatio splendidior. Noverit fidelis omnis, si diligat propinquum hac vita defunctum, magna ei præstare bona, si pro eo offerat, magnique gaudii eidem esse auctorem, si pauperibus eleemosynas faciat, captivos redimat, aliaque faciat quibus colitur Deus, et præsertim si studeat incruenta pro eo peragi sacrificia. Nam in tremendo sacrificio particula, et super eam illius, qui decessit commemoratio, illum Deo unit, Deique invisibiliter fieri participem, et cum eo communicare facit. Hinc maximam utilitatem consecuti, consolantur et salvantur, qui in Christo decesserunt cum pœnitentia fratres. Sed et sacræ divinæque sanctorum animæ maximum in modum iis, quæ pro ipsis fiunt, delectantur, et cum gaudio exsultant, Christo sese unientes, et communicantes per sacratissimum hoc sacrificium purius ac splendidius, et illius munera perfectius participantes, pro nobis preces fundunt. Quod ob eam causam sacrificium hoc Christus operatus est, et tradidit in sanctificationem omnium, et illuminationem, et ut cum eo unum essent, quemadmodum precatus est. Quapropter pro iis qui eorum recordantur, et sacrosancta sacrificia, et memoriam in eorum honorem peragunt, continuo supplicant, et mediatores eorum et oratores fiunt, et, ut ad similem communionem Christi insimul et ipsi veniant, exorant. Quare et fratrum nostrorum mortuorum commemoratio inculcanda est, ut et nostram alii commemorationem faciant, et offerenda sunt pro sanctis sacrificia pro posse nostro, ut eos consolantes in Christo, et mediatores gaudentes apud illum habeamus, et per eos salutem consequamur.

Clericus. Ecce omnia nobis manifestasti, sanctissime, et accurate docuisti, et quæ ad finem nostrum attinent exposuisti, et quæcumque nobis utilia sunt ac salutaria ostendisti, fideique explanasti rectitudinem. Quid ergo retribuemus tibi ob tuam charitatem? Gratias tantum agimus soli in Trinitate Deo qui nos quidem ad sciscitandum

movit, tibi vero largitus est sermonem pro nobis qui plura ac interrogavimus dixisti ac docuisti; et merces sit tibi ab eo magna ac, utpote a Deo, multiplex.

Pontifex. Gratias agimus, fratres, et gloriam reddimus Patri et Filio et Spiritui sancto, uni Deo nostro in Trinitate, qui dedit verbum in apertione oris, in quo nos sperantes de his ausi sumus disserere quæ super nos sunt, quum divina sint et sublimia. Hoc igitur Dei donum est propter vos, non propter me, si tamen utilia tantummodo diximus. Non enim prorsus autumo quum veritatem velim dicere, utilia et necessaria vobisque fructuosa dixisse, quum tenuitatem et imbecillitatem ac ignorantiam ingenii mei ex parte noverim, ne dicam me totum præ tenebris caligare. Si quis forte dixerit: Quare igitur hæc tentâsti? charitatem in causam prætendam, quoniam sæpius me interrogaverunt fratres, et quoniam non mea, sed ex Scriptura sacra sanctisque nostris verba colligens, pro facultate scripsi, et sequentia ex divinis eorum consiliis intuli. Igitur si quid utilitatis et commodi inveniatur in dictis, Deo gratias, hoc nostrum non est, sed ex divinis Scripturis et sanctorum scriptis, propter vos qui sæpe diverso modo nos interrogavistis, ac propter alios quosdam fratres qui ad hoc variis temporibus coegerunt nos. Et merces magis erit vobis qui occasiones dedistis tenueque ac terrenum et humile ingenium nostrum humilitate vestra ac interrogatione in dilectione et gratia Dei in Trinitate aperuistis. Adsit qui hæc vobis fructuosa faciat fratribusque omnibus proficua in gloriam ejus salutemque nostram ejusdem clementia et benignitate, cui confidentes res supra vires nostras positas attentare ausi sumus, et cujus dilectione ista pro facultate disposuimus. Et sint ista illi in gloriam nobisque humilibus in salutem, quia hæc quoque obtulimus uni in Trinitate Deo, intercedentibus semper virgine et sanctissima gloriosissima Dei Genitrice, sanctisque angelis a Deo illuminatis, beatis etiam apostolis divina prædicantibus, sanctissimis Deiferis pontificibus, gloriosis martyribus, sanctis et justis omnibusque sanctis ejus a sæculo et usque ad consummationem sæculi. Quoniam eum decet omnis gloria, magnitudoque et magnificentia, Patrem et Filium sanctumque Spiritum, solum in Trinitate Deum, unam naturam potestatemque et virtutem in tribus indivisis inconfusisque personis, omni tempore, nunc et semper et in sæcula sæculorum. Amen.

A καὶ σοὶ δὲ παρεσχηκότι λόγον ὑπὲρ ἡμῶν, καὶ πλείω ὧν ἠρωτήσαμεν εἰρηκότι καὶ ἐκδιδάξαντι· καὶ ὁ μισθὸς εἴη σοι παρ' αὐτοῦ πολὺς, καὶ ὡς παρὰ Θεοῦ πολλαπλοῦς.

Ἀρχιερεύς. Εὐχαριστοῦμεν, ἀδελφοὶ, καὶ δόξαν προσάγομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ μόνῳ Θεῷ ἡμῶν ἐν Τριάδι, τῷ διδόντι λόγον ἐν ἀνοίξει τοῦ στόματος, ἐφ' ᾧ δὴ καὶ ἡμεῖς ἠλπικότες, τὸ περὶ τούτων εἰπεῖν τετολμήκαμεν, ὑπὲρ ἡμᾶς ὄντων ὡς θείων καὶ ὑψηλῶν. Τοῦτο οὖν Θεοῦ δῶρον· καὶ δι' ὑμᾶς, καὶ οὐ δι' ἐμὲ, εἴγε μόνον καί τι τῶν ὠφελίμων εἰρήκαμεν· οὐδὲ γὰρ ὅλως νομίζω, εἴγε καὶ θέλω λαλεῖν τὴν ἀλήθειαν, εἰρηκέναι τί τῶν χρησίμων καὶ ἀναγκαίων, καὶ πρὸς B ὠφέλειαν συντεινόντων· ἐπεὶ τὸ εὐτελές τε καὶ ἀδρανὲς τῆς ἐμῆς διανοίας καὶ ἀμαθὲς ἐκ μέρους οἶδα, εἰ καὶ μὴ τελέως ἐσκότισμαι. Εἰ δέ τις ἐρεῖ, Καὶ τίνος χάριν ταῦτα ἐξέθου λοιπόν; Διὰ τὴν ἀγάπην, ἀπολογήσομαι, ἐν τῷ ἐρωτᾷν πολλάκις τοὺς ἀδελφούς· καὶ ὅτι οὐχ ἐμὰ, ἀλλὰ τὰ ἐκ τῆς ἁγίας Γραφῆς καὶ τῶν ἁγίων ἡμῶν συλλέγων, κατὰ δύναμιν ἔγραψα, καὶ τὰ ἑπόμενα τῶν θείων αὐτῶν ἐννοιῶν. Εἰ μὲν οὖν τι χρήσιμον ἢ ἐπωφελὲς ἐν τοῖς εἰρημένοις, τῷ Θεῷ χάρις, καὶ οὐχ ἡμῶν τοῦτο, ἀλλὰ τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων, καὶ δι' ὑμᾶς τοὺς πολλάκις διαφόρως ἠρωτηκότας, καί τινας ἄλλους τῶν ἀδελφῶν, εἰς τοῦτο κατὰ καιρὸν ἀναγκάσαντας· καὶ ὁ μισθὸς ἔσται μᾶλλον ὑμῖν τοῖς τὰς ἀφορμὰς δεδωκόσι, καὶ τὸν εὐτελέστατον νοῦν ἡμῶν C καὶ γεώδη καὶ ταπεινὸν τῇ ταπεινώσει ὑμῶν καὶ ἐρωτήσει ἐν ἀγάπῃ τοῦ ἐν Τριάδι Θεοῦ καὶ χάριτι διανοίξασιν. Ὃς καὶ εἴη χρήσιμα ποιῶν ὑμῖν ταῦτα, καὶ τοῖς ἀδελφοῖς ἅπασιν ἐπωφελῆ τὰ εἰρημένα, καὶ εἰς δόξαν αὐτοῦ καὶ σωτηρίαν ἡμῶν τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ ἀγαθότητι, ᾧ καὶ τεθαῤῥηκότες, τοῖς ὑπὲρ ἡμᾶς ἐγχειρῆσαι κατετολμήσαμεν, καὶ ἐν ἀγάπῃ τούτου τὰ κατὰ δύναμιν ἐξεθήκαμεν. Καὶ γένοιντο εἰς δόξαν αὐτοῦ ταῦτα, καὶ ἡμῶν τῶν ταπεινῶν σωτηρίαν· ὅτι καὶ ταῦτα αὐτῷ ἀνεθήκαμεν τῷ μόνῳ ἐν Τριάδι Θεῷ· πρεσβείαις τῆς ἀειπαρθένου καὶ παναγίας ὑπερενδόξου Θεοτόκου, τῶν θεολήπτων καὶ ἁγίων ἀγγέλων, τῶν θεηγόρων καὶ μακαρίων ἀποστόλων, τῶν θεοφόρων καὶ πανιέρων ἱεραρχῶν, τῶν καλλινίκων μαρτύρων τε, ὁσίων τε D καὶ δικαίων, καὶ πάντων τῶν ἀπ' αἰῶνος καὶ ἕως συντελείας αἰῶνος ἁγίων δούλων αὐτοῦ. Ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, τῷ μόνῳ ἐν Τριάδι Θεῷ, τῇ μιᾷ φύσει καὶ ἐξουσίᾳ καὶ δυνάμει, ἐν τρισὶν ἀδιαιρέτοις καὶ ἀσυγχύτοις ταῖς ὑποστάσεσι, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΗΝΕΙΑ

ΠΕΡΙ ΤΕ ΤΟΥ ΘΕΙΟΥ ΝΑΟΥ

ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤῼ ΙΕΡΕΩΝ ΤΕ ΠΕΡΙ ΚΑΙ ΔΙΑΚΟΝΩΝ, ΑΡΧΙΕΡΕΩΝ ΤΕ ΚΑΙ ΤΩΝ ΩΝ ΕΚΑΣΤΟΣ ΤΟΥΤΩΝ ΣΤΟΛΩΝ ΙΕΡΩΝ ΠΕΡΙΒΑΛΛΕΤΑΙ.

ΟΥ ΜΗΝ ΑΛΛΑ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΜΥΣΤΑΓΩΓΙΑΣ

Λόγον ἑκάστῳ διδοῦσα τῶν ἐν αὐτῇ τελουμένων θείως,

Καὶ τοῖς ἐν Κρήτῃ εὐσεβέσι ζητήσασιν ἀποσταλεῖσα.

—

EJUSDEM

EXPOSITIO DE DIVINO TEMPLO

ET

DE SACERDOTIBUS EJUS AC DIACONIS EPISCOPISQUE AC DE SACRIS STOLIS QUIBUS HORUM QUILIBET INDUITUR,

NECNON DE DIVINA MISSA

Ubi singulorum quæ in illa divino ritu peraguntur, ratio redditur.

Transmissa viris piis Cretensibus qui eam dari sibi petierunt.

—

271 Ἐξ ἀγάπης θείας κεκινημένοι, πρὸς τὸ A μαθεῖν τί ποτε δηλοῦσι τὰ σύμβολα τῶν ἐν τῇ θείᾳ συνάξει τελουμένων, καὶ τί τὰ ἱερὰ σημαίνουσιν ἄμφια, ἐν ἀγάπῃ δέξασθε καὶ τοὺς κατὰ δύναμιν παρ' ἡμῶν περὶ τούτων λόγους, οὓς καὶ ἡμεῖς τῇ τοῦ Πνεύματος ἀγάπῃ θαῤῥοῦντες, ποιούμεθα, καὶ μάλιστά γε ὑπὲρ τοῦ μεγίστου τῶν ἔργων τῆς αὐτοαγάπης Θεοῦ· *Ὃς τοσοῦτον ἠγάπησεν ἡμᾶς*, ὡς γέγραπται, *ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ὑπὲρ ἡμῶν ἔδωκεν*. Ἦλθεν οὖν οὗτος ἐν ἀγάπῃ, καὶ ὁ πανταχοῦ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ βρέφος ἐκ Παρθένου τεχθεὶς, καὶ τὰς ἡλικίας ἀμείψας, ἵν' ὅλως ἐγὼ καθαρθῶ, καὶ διὰ τῶν ἔργων καὶ λόγων αὐτοῦ καθαγιασθῶ, τέλος καὶ ἑαυτὸν ἐμοὶ εἰς κοινωνίαν δίδωκεν. Ἐπεὶ γὰρ τῇ ἀπαρχῇ μὲν ἡνώθη μοι, ἣν προσείληφεν ἐκ Παρθένου, ἀνάγκη δ' ἦν τὴν ἕνωσιν B πρακτικῶς καὶ πρὸς ἅπαντας τοὺς πιστεύοντας διαβῆναι. Τοῦτο γάρ ἐστιν ἀναπλασθῆναί με καὶ ζῆσαι. *Ἐὰν γὰρ μὴ φάγητε*, φησὶ, *τὴν σάρκα τοῦ Υἱοῦ*

Eorum quæ in facta synaxi, sive missa peraguntur, symbola et argumenta, quid tandem aliquando manifestent, et quid sacra ornamenta significare velint, ut discatis, divina charitate estis impulsi: in charitate idcirco suscipite a nobis, quos de iis sermones, Dei etiam charitate moti, et confisi exhibemus: qui nos *sic dilexit*, secundum Scripturam, *ut Filium suum unigenitum pro nobis daret* [1]. Venit ergo ad nos in charitate, et qui ubique præsens adest, habitavit inter nos, ex Virgine infans in lucem editus, et per successivam ætatum mutationem progressus est, ut ego ex integro purgarer, ejusque dictis et factis sanctitatem susciperem. Postremo semetipsum quoque in communionem nobis dedit. Quoniam etenim primitiis carnis, quas e Virgine assumpsit mihi unitus est, necesse fuit utique unionem quoque actu et opere ipso ad fideles universos dimanare. Hæc est enim reformatio et vita nostra. Nam *Nisi manducaveritis*, inquit, *car-*

[1] Joan. III, 16.

nem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis [a]. Et : *Ego vivo, et qui manducat me, vivet propter me* [b]. Hoc per sacramenta benigne præstitit.

1. *Quinam est effectus sacri baptismi.*

Et certe baptismate nos regenerat, suamque generationem omni prava passione segregatam nobis donat. Per manuum vero impositionem, et sacram inspirationem, unguenti confirmationis gratiam inserit.

2. *Qui unguenti sacri*

Unguentum nimirum ipsemet est. *Unguentum* enim, inquit, *effusum nomen tuum* [c]. Qui unxit semetipsum qua Deus : et unctus est qua homo. Proinde, et nos sua bonitate ungens, suaveolentem et vitalem spiritus gratiam nobis elargitur. Quod autem tertium et summum est, nos sui participes efficit, et id in sacramentorum traditione ostendit. Accepit enim panem, et consecravit, et calicem similiter. *Et hoc* quidem, ait, *est corpus meum. Hic* vero *sanguis meus.* Nec consecravit modo, verum etiam ad ejus nos communionem vocavit. *Accipite* enim, *comedite,* inquit, *et bibite ex eo omnes.* Nec tantummodo tunc istud ipse fecit, sed per suos idoneos ministros, id omni tempore faciendum concessit. *Hoc facite,* inquit, *in meam commemorationem.* Et merito. Si etenim conformiter nobis carnis et sanguinis nostri participem se efficit, et cum esset Deus immutabilis, nihilominus homo nostrum similis apparuit, quo divinitatis ejus consortes ac socii fieremus : divinissima istud et super omnem captum ratione actum est ; ut quibus alimur et quæ bibimus, iis se immisceret, qui ubique est, panemque et vinum in corpus et sanguinem divina sua potentia transmutaret, qui omnipotens est. Per hæc nobis inseritur et immiscetur : cumque sit Sol justitiæ, nobis lucet, et suæ puritati conformes illustrationes exhibet : nec radiis duntaxat immissis simpliciter, ut sol agit : sed insuper ex impuris pura reddit, et luminis capaces efficit.

Quando igitur hujuscemodi est sacrificium, et hic finis est incarnationis divinæ (per eam quippe consortes Dei, et dii per gratiam evadimus), etiam Christi Ecclesia studium in eo majus et sacratius exhibet : unde et quod ab initio accepit, assidue operatur, et per sacra symbola docet, quæ omnem cogitationem superant. Tantæ vero gloriæ compotes sunt eæ quæ a nobis visibiliter fiunt actiones, ut omnibus ideo sint admirationi. Verum non omnium mens ad eorum quæ illic pertractantur, cognitionem penetrat : multique propterea hæsitant, horumque rationes et causas exquirunt : et certe captum omnem transcendunt, quæ illic perficiuntur. Nec humanus solum, sed nec angelicus intellectus enarrare ac docere queat, quomodo Dei incarnatio, quomodo communio fiat, aut eorum quæ-

τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Καί, Ἐγὼ ζῶ, καὶ ὁ τρώγων με ζήσεται δι' ἐμέ. Τοῦτο τοῖς μυστηρίοις διέπραξεν ἀγαθῶς.

α'. *Τί τὸ βάπτισμα τὸ ἱερὸν ἐνεργεῖ.*

Καὶ δὴ τῷ βαπτίσματι μὲν ἀναγεννᾷ, τὴν ἑαυτοῦ καὶ ἡμῖν ἀπαθῆ διδοὺς γέννησιν. Τῇ ἐπιθέσει δὲ τῶν χειρῶν καὶ ἐμπνεύσει, τὴν τοῦ μύρου χάριν ἐντίθησιν.

β'. *Τί τὸ μύρον τὸ ἅγιον.*

Ὁ δὴ μύρον αὐτός ἐστι. *Μύρον* γάρ, φησίν, *ἐκκενωθὲν ὄνομά σοι*· χρίσας μὲν ἑαυτόν, ὡς Θεός, χρισθεὶς δὲ ὡς ἄνθρωπος. Διὸ καὶ ἡμᾶς ἀγαθῶς χρίων, ἡμῖν παρέχει τὴν εὐώδη καὶ ζῶσαν τοῦ Πνεύματος δύναμιν. Τρίτον δὲ καὶ μέγιστον ἁπάντων δίδωσι, τὸ μετέχειν ἡμᾶς αὐτοῦ, ὅπερ τῇ παραδόσει τῶν μυστηρίων παρέδειξεν. Ἔλαβε γὰρ ἄρτον καὶ ἱερούργησε, καὶ ποτήριον ὁμοίως. Καὶ τὸ μὲν ἔφη, *Τοῦτό ἐστι τὸ σῶμά μου*· τὸ δέ, *Τοῦτό ἐστι τὸ αἷμά μου.* Καὶ οὐχ ἱερούργησε μόνον, ἀλλὰ καὶ πρὸς τὴν κοινωνίαν ἐκάλεσε. *Λάβετε* γάρ, *φάγετε,* φησί, *καὶ πίετε ἐξ αὐτοῦ πάντες.* Καὶ οὐ τότε μόνον τοῦτο πεποίηκεν αὐτός, ἀλλὰ καὶ διὰ τῶν οἰκείων μέχρι παντὸς τελεῖσθαι παρέδωκε. *Τοῦτο* γάρ, φησί, *ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.* Καὶ εἰκότως. Εἰ γὰρ καὶ αὐτὸς ἡμῖν παραπλησίως σαρκὸς καὶ αἵματος κεκοινώνηκε, καὶ καθ' ἡμᾶς ἄνθρωπος ὤφθη, Θεὸς ὢν ἀναλλοίωτος, σκοπὸς δὲ τὸ θεώσεως αὐτοῦ μετασχεῖν ἡμᾶς, τῷ θειοτάτῳ τούτῳ τρόπῳ καὶ ὑπὲρ λόγον πεποίηκεν, οἷς τρεφόμεθα, καὶ οἷς ποτιζόμεθα, ἑαυτὸν καταμίξας, πανταχοῦ ὤν, **272** καὶ τὸν ἄρτον καὶ τὸ ποτήριον εἰς σῶμα καὶ αἷμα τῇ θεϊκῇ μεταβάλλων αὐτοῦ δυνάμει, παντοδύναμος ὤν. Διὰ τούτων οὖν ἡμῖν ἀνακιρνᾶται καὶ ἀναμίγνυται καὶ δικαιοσύνης Ἥλιος ὢν ἡμῖν ἐπιλάμπει, ἀναλόγως τῇ καθαρότητι τὰς ἐλλάμψεις παρέχων. Καὶ οὐχ ἁπλῶς ὡς ἥλιος ἐνεργεῖ, τὰς ἀκτῖνας ἐντιθεὶς μόνον, ἀλλὰ καὶ τὰ μὴ καθαρὰ καθαίρει καὶ δεκτικὰ φωτὸς ἀπεργάζεται.

Ἐπεὶ τοίνυν τοιοῦτόν ἐστι τὸ τῆς ἱερουργίας μυστήριον, καὶ τοῦτο πέρας τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ, δι' αὐτῆς γὰρ Θεοῦ κοινωνοὶ γινόμεθα, καὶ κατὰ χάριν θεοί, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὴν σπουδὴν πρὸς τοῦτο μείζονα καὶ θειοτέραν ἔχει. Ὅθεν καὶ ὃ παρέλαβεν ἐξ ἀρχῆς διηνεκῶς ἐνεργεῖ, καὶ διὰ συμβόλων ἱερῶν διδάσκει τὰ ὑπὲρ ἔννοιαν. Τηλικαύτης δὲ μετέλαβε δόξης καὶ τὰ ὁρατῶς ἐνεργούμενα, ὅτι πᾶσιν εἰσι θαυμαστά. Ἀλλ' οὐχ ὁ νοῦς ἁπάντων πρὸς τὴν γνῶσιν διαβαίνει τῶν τελουμένων. Ὅθεν καὶ διαποροῦσι πολλοί, καὶ τοὺς τούτων ζητοῦσι λόγους, καὶ πάντως ὑπὲρ πᾶσαν ἔννοιάν ἐστι τὰ τελούμενα, καὶ οὐ μόνον ἀνθρώπινος, ἀλλ' οὐδ' ἀγγελικὸς ἂν ἐξισχύσειε νοῦς, πῶς Θεοῦ σάρκωσις, ἢ πῶς Θεοῦ κοινωνία διδάξαι, ἢ τί τῶν ὅσα ἡ Ἐκκλησία [illegible] καὶ διενεργεῖ. Πλὴν οὐ καθ-

[a] Joan. vi, [illegible]. [b] Ibid. 58. [c] Cant. i, 2.

ὅλου ἡμᾶς ἀμυήτους ἀφῆκεν εἶναι περὶ τῶν ἰδίων ὁ Θεὸς, ἀλλ' ὅσον δυνατὸν εἰδέναι, καὶ καθόσον ζητεῖν εὑρίσκειν, καὶ ἐν περινοίᾳ γίνεσθαι τῶν ἐκείνου, παρέσχεν ἡμῖν ἀφορμὰς, ἐπεὶ καὶ δι' ἡμᾶς ταῦτα πέπρακται. Καθόσον οὖν καὶ ἡμεῖς ἠδυνήθημεν γνῶναι, καὶ καθόσον ἡμῖν ἐδόθη, ἐλαχίστοις γε οὖσι καὶ ταπεινοῖς, περὶ ὧν ἠρωτήσατε, νομίσαντες ἡμᾶς εἶναί τι, λέγομεν ἐν ἀγάπῃ, ἐκ τῶν Πατέρων τὰ πλείω συλλέξαντες. Οὐδὲ γὰρ τῶν παραδεδομένων καινότερον ἄλλο παρ' ἡμῖν, οὐδ' ἃ παρελάβομεν ἠλλοιώσαμεν· τετηρήκαμεν δὲ, ὡς καὶ τὸ τῆς πίστεως Σύμβολον, ὅθεν ὡς παρ' αὐτοῦ τοῦ Σωτῆρος καὶ τῶν ἀποστόλων ἐδόθη καὶ τῶν Πατέρων, οὕτω τὴν ἱερουργίαν τελοῦμεν· καὶ ὡς μὲν ὁ Κύριος ἱερούργησε μετὰ τῶν μαθητῶν ὤν, καὶ τὸν ἄρτον κλάσας καὶ αὐτοῖς μεταδοὺς, καὶ τὸ ποτήριον ὁμοίως, καὶ ἡ Ἐκκλησία ποιεῖ, τοῦ ἱεράρχου μετὰ τῶν ἱερέων ἱερουργοῦντος, καὶ πᾶσι μεταδιδόντος, ἢ καὶ ἱερέως μετὰ λοιπῶν. Τοῦτο δὲ καὶ ὁ τῶν ἀποστόλων μαρτυρεῖ διάδοχος ὁ ἱερός φημι Διονύσιος, οὕτω διδάσκων ἱερουργεῖν, ὡς ἡμεῖς. Καὶ οἱ θεηγόροι δὲ, Βασίλειος καὶ Χρυσόστομος, τὴν τῆς μυσταγωγίας πλατύτερον ἐκθέμενοι τάξιν, οὕτω παραδεδώκασιν ἐνεργεῖν, ὡς ἡ καθ' ἡμᾶς Ἐκκλησία, καὶ μαρτυροῦσιν αὐτῶν αἱ εἰς τὴν ἱερουργίαν εὐχαὶ, τήν πρώτην τε καὶ δευτέραν εἴσοδον ἐκδιδάσκουσαι, καὶ τὰ λοιπὰ τῆς ἱερᾶς τελετῆς.

A piam quæ ab Ecclesia promulgantur et efficiuntur. Verumtamen non omnino rudes ac ignaros rerum ad se pertinentium Deus nos reliquit, sed quantum de iis scire, investigare, et invenire, imo et comprehendere possumus tantam nobis occasionem præstitit: quandoquidem causa nostra ea omnia instituta sunt. Quantum igitur nobis minimis abjectissimisque concessum est, de iis quæ nos esse aliquid putantes interrogastis, in charitate disseruimus, pluraque ex his a sanctis Patribus collegimus; neque enim præter ea quæ tradita sunt novum aliquid adinvenimus, neque ea quæ ab aliis accepimus alia ratione immutavimus, imo sicut fidei Symbolum integra intactaque servavimus. Unde sicut ab ipso Salvatore instituta est, et ab apostolis, et a Patri- B bus tradita, ita et missam celebramus: et sicut quidem Dominus, cum discipulis adhuc commorans consecravit, et panem fregit, eisque distribuit, et calicem similiter, ita et nunc Ecclesia exsequitur, pontifice cum sacerdotibus consecrante et omnibus distribuente, vel certe sacerdote cum collegis celebrante. Hoc vero et apostolorum successor testatur, sacer, inquam, Dionysius dum sic sacrificare, sicut et nos edocet: et divinarum rerum enarratores Basilius et Chrysostomus ordinem missæ tantis mysteriis repletæ ubi exponunt, sic eam perficere commendarunt, sicut et nostra Ecclesia exsequitur; idque orationes eorum in missa quæ primum et secundum ingressum reliquasque sacr. mysterii partes edocent, clarissime commonstrant.

Καὶ τὸν ἱερὸν δὲ ναὸν οὐ βατὸν τοῖς πᾶσι παραδεδώκασιν οἱ Πατέρες, ἀλλ' ἄξιον εὐλαβείας, καὶ μάλιστα δὴ τὸ φρικτὸν θυσιαστήριον. Καὶ δῆλον, ὡς ἔξω βάλλουσι τοὺς κατηχουμένους. Καὶ ὁ ἱερὸς δὲ Ἀμβρόσιος καὶ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου ἐξώθησε τὸν Θεοδόσιον βασιλέα· καὶ ὁ ἐν ἁγίοις δὲ Γρηγόριος ὁ Διάλογος, οὐ μόνον δι' ἐνζύμου ἄρτου τὴν θυσίαν προσφέρεσθαι μαρτυρεῖ, ἀλλὰ καὶ δι' αἰδοῦς τοὺς ἱεροὺς ἄγει ναοὺς, μηδὲ λείψανα ἀφιεὶς τοῦ τυχόντος ἐν αὐτοῖς καταθάπτεσθαι. Ἀλλὰ καὶ ὁ μέγας Ἰσίδωρος ὁ ἐκ τοῦ Πηλουσίου, ἀρχαῖος ὢν τῶν Πατέρων, ἐν πολλαῖς αὐτοῦ τῶν ἐπιστολῶν περὶ τῆς τάξεως τῆς καθ' ἡμᾶς λειτουργίας σαφέστερον ἐκδιδάσκων φαίνεται. Καὶ ὁ τὰ θεῖα δὲ σοφὸς Μάξιμος ὅταν ἐκτίθησι τὸ μυστήριον τῆς ἱερᾶς λειτουργίας, ὅπερ ἡ καθ' ἡμᾶς Ἐκκλησία διενεργεῖ, καὶ τῶν ἐν αὐτῇ γινομένων τοὺς λόγους ἐφερμηνεύει. Ἐξ ὧν δὴ καὶ ἡμεῖς ὡς Πατέρων ἐρανισάμενοι, καὶ εἴ τί περ ἄλλο παρὰ τῶν πρὸ ἡμῶν ἔγνωμεν, γράφομεν ὑμῖν, τῇ τοῦ Θεοῦ θαῤῥήσαντες χάριτι. Καὶ δὴ πρῶτον μὲν περὶ τοῦ θείου φαμὲν οἴκου. Ἐπεὶ γὰρ ὄργανον ἱερουργίας ναός τε καὶ ἱερεὺς, ὁ μὲν ἱερουργῶν, ὁ δὲ τὸ θυσιαστήριον ἔχων, καὶ περὶ ἀμφοτέρων προσῆκόν ἐστιν εἰπεῖν.

C Et sanctum quidem templum non omnibus pervium esse, sed reverentia dignum, tremendum vero maxime altare, esse voluerunt SS. PP. Quod liquido constat, cum ex eo catechumenos emittunt: sacer vero Ambrosius, ex templo et altari Theodosium imperatorem ejecit; sanctus autem Gregorius auctor ille Dialogorum, non modo cum fermentato pane sacrificium offerri testatur, verum et in veneratione magna sacras habet ædes, nec cujuscunque cadavera in iis sepeliri permittit: similiter et Isidorus Pelusiota inter antiquos Patres merito recensitus, in plerisque suarum Epistolarum de missæ serie prout apud nos celebratur, lucidius edisserere videtur: et de divinis eruditus Maximus nullum D mysterium sacræ missæ, quam Ecclesia catholica in usu habet et celebrat, non expositum relinquit, omniumque quæ in ea fiunt rationes in medium adducit et interpretatur. Ex his et ex aliis Patribus dicenda decerpentes, quodcunque ab antecessoribus nostris indicimus, divina confisi gratia vobis exscribimus. Primum igitur de divina domo agimus. Nam cum templum et sacerdos instrumenta sint sacrificio deservientia, ille quidem consecrans, hoc vero, altare ad id exhibens; de utroque dicere consentaneum est.

γʹ. Τί ἐστιν ὁ θεῖος ναός.

Ὁ ναὸς τοίνυν, εἰ καὶ ἐξ ὑλῶν συγκείμενός ἐστιν, ἀλλ' οὖν ὑπερκόσμιον ἔχει χάριν· τελεῖται [illegible] [illegible] ἱεροτελεστικαῖς εὐχαῖς, μυστικαῖς, καὶ [illegible]

3. *Quæ sacri templi ratio.*

Templum ergo quamvis ex materialibus compactum sit, sublimi tamen gratia præditum est; a pontifice enim mysticis precationibus dedicatur,

et sacro perfunditur unguento, totumque Dei habitaculum redditur : nec omnia omnibus, sed alia sacerdotibus, alia laicis habet pervia.

A ρῳ· καὶ κατοικητήριον ὅλος Θεοῦ καθίσταται, καὶ οὐ πάντα τοῖς πᾶσιν ἔχει βατά, ἀλλὰ τὰ μὲν ἱερεῦσι, τὰ δὲ λαϊκοῖς.

4. *Quare duplex est templum.*

Quoniam vero bipartitum est (in adyta nimirum et exteriora) per secretiora adyta, et per ea quæ foris sunt, Christum ipsum imagine quadam repræsentat, duplici natura divina et humana subsistentem, quarum hæc non videtur, alia sub aspectum cadit. Similiter hominem ex anima et corpore cohærentem. Trinitatis item mysterium præclare adumbrat, quæ cum per essentiam inaccessa sit, providentia tamen et potestate maxime cognoscitur. Speciatim vero mundum hunc aspectabilem, et alium qui sensum effugit, imitatur. Quin imo et aspectabilem solum : Cœlum quidem, per sacrum tribunal : terrestria vero, per templum reliquum. Alio consilio sacrum templum ut tripartitum, seu trifariam divisum, consideratur : in locum, inquam, ante templum seu vestibulum, in ipsum templum, et in sacrarium, quibus partibus tribus Trinitas, et cœlestes beatarum mentium ordines, per tres ternarios distincti ; piorum item populus sub triplici discrimine, sacerdotum videlicet, fidelium perfectorum, et publice pœnitentium, significatur. Insuper quæ in terris, quæ in cœlis, et super cœlos sunt, sacræ ædis constitutio et habitus denotat : et vestibula quidem, ea quæ in terris sunt; spatium templi, cœlum ; sanctissimum vero tribunal, supercœlestia sive ea quæ sunt in cœlis.

δ'. *Διατί διπλοῦς ὁ ναός.*

Εἰκονίζει δὲ οὗτος διπλοῦς ὢν διὰ τῶν ἀδύτων καὶ τῶν ἐκτὸς, καὶ τὸν Χριστὸν αὐτὸν διπλοῦν ὄντα, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον. Καὶ τὸ μὲν ἀόρατον, τὸ δὲ ὁρατὸν, καὶ ἄνθρωπον ὁμοίως, ἐκ ψυχῆς ὄντα καὶ σώματος. Ἀλλὰ καὶ τὸ τῆς Τριάδος μυστήριον ἐξαιρέτως, ἥτις ἀπρόσιτος μὲν τῇ οὐσίᾳ, γινωσκομένη δὲ τῇ προνοίᾳ καὶ ταῖς δυνάμεσιν. Ἰδίᾳ δὲ τὸν ὁρώμενον ἐκτυποῖ κόσμον, καὶ τὸν ἀόρατον, ἀλλὰ καὶ τὸν ὁρώμενον τοῦτον μόνον, τὸν οὐρανὸν μὲν διὰ τοῦ ἱεροῦ βήματος, τὰ περίγεια δὲ, διὰ τοῦ θείου ναοῦ. Καὶ κατ' ἄλλον δὲ σκοπὸν, ὁ θεῖος ἅπας ναὸς τρια-

B χῶς θεωρεῖται, τοῖς πρὸ τοῦ ναοῦ φημι, καὶ τῷ ναῷ, καὶ τῷ βήματι. Ὃ δὴ καὶ τὴν Τριάδα σημαίνει, καὶ τὰς τάξεις τῶν ἄνω τριαδικῶς τεταγμένας, καὶ τοὺς δήμους τῶν εὐσεβῶν εἰς τριάδα διαιρουμένους, ἱερωμένων λέγω, καὶ πιστῶν τελείων, καὶ τῶν ὄντων ἐν μετανοίᾳ. Ἀλλὰ καὶ τὰ ἐν γῇ καὶ ἐν οὐρανῷ, καὶ τὰ ὑπεράνω τῶν οὐρανῶν, τοῦ θείου ναοῦ τοῦτο διδάσκει τὸ σχῆμα. Καὶ πρόναον μὲν τὰ ἐν τῇ γῇ, ναὸς δὲ τὸν οὐρανὸν, τὰ ὑπερουράνια δὲ τὸ ἁγιώτατον βῆμα.

5. *Quid sacra mensa innuit.*

Idcirco et in sacrario templum per tremendum altare, sacræ mensæ videlicet, cœli Dominum concipiendum proponit : quæ et Sancta sanctorum, cathedra, locus Dei, requies, propitiatorium, magni sacrificii officina, Christi monumentum, et ejus gloriæ tabernaculum vocatur.

C ε'. *Τί ἡ ἱερὰ δηλοῖ τράπεζα.*

Διὸ καὶ ἐν τῷ βήματι ὁ θεῖος ναὸς διὰ μὲν φρικτοῦ θυσιαστηρίου τῆς ἱερᾶς δηλονότι τραπέζης τὸν τοῦ οὐρανοῦ παραδηλοῖ Δεσπότην, ὃ καὶ Ἅγια ἁγίων, καὶ καθέδρα, καὶ τόπος Θεοῦ καὶ ἀνάπαυσις, ἱλαστήριόν τε καὶ τοῦ μεγάλου θύματος ἐργαστήριον, καὶ μνῆμα Χριστοῦ, καὶ δόξης αὐτοῦ καλεῖται σκήνωμα.

6. *Quid velum.*

Et quidem per velum altaris, cœleste Dei tabernaculum significat, ubi angelorum agmina sunt et sancti requiescunt.

ς'. *Τί τὸ καταπέτασμα.*

Καὶ διὰ μὲν τοῦ ἐν τῷ θυσιαστηρίῳ καταπετάσματος τὴν ἐπουράνιον ἐκτυποῖ περὶ τὸν Θεὸν σκηνὴν, ἔνθα τῶν ἀγγέλων οἱ δῆμοι, καὶ ἡ τῶν ἁγίων ἐστὶν ἀνάπαυσις.

7. *Quid cancelli.*

Per cancellos vero sive separationes, differentiam eorum quæ sensu, ab his quæ sola intelligentia percipiuntur.

ζ'. *Τί τὰ διάστυλα.*

Διὰ δὲ τῶν κιγκλίδων, ἤτοι τῶν διαστύλων, τὴν

D διαφορὰν τῶν αἰσθητῶν πρὸς τὰ νοητά.

8. *Quid quod nomina quatuor evangelistarum pannis altaris intexta sunt.*

Quatuor autem superstrati mantilis partes in veli quatuor angulis habet sacra mensa, quoniam plenitudo Ecclesiæ ex quatuor mundi finibus contexta est; et in quatuor illis angulis quatuor evangelistarum nomina, quandoquidem per illos fundata et constituta est, et universum terrarum orbem Evangelii annuntiatio pervagata est.

η'. *Τί τὰ ἐν τοῖς κουρίοις τῶν τεσσάρων εὐαγγελιστῶν ὀνόματα, καὶ τί τὸ κατασάρκα.*

Τέσσαρα δὲ μέρη ὑφάσματος ταῖς τέσσαρσιν ἔχει γωνίαις ἡ ἱερὰ τράπεζα, ὅτι ἐκ τῶν περάτων συνεξυφάνθη τῆς Ἐκκλησίας τὸ πλήρωμα. Καὶ τὰ ὀνόματα δὲ τῶν τεσσάρων ἐν τοῖς τέσσαρσιν εὐαγγελιστῶν, ὅτι δι' αὐτῶν συνέστη ἡ Ἐκκλησία, καὶ πάντα τὸν κόσμον τὸ Εὐαγγέλιον περιέδραμε.

9. *Quid primum sacræ mensæ instratum, illique quæ superinjicitur mappa sive palla.*

Interulam vero vestem, quæ Ad carnem dicitur, et superne mantile adepta est: quia sepulcrum est et thronus Jesu. Et partim quidem est ut sindon

θ'. *Τί σημαίνει τὸ κατασάρκα· τί δὲ τὸ τραπεζοφόριον.*

Κατασάρκα δὲ λεγόμενον εὐθύς. Καὶ μετ' αὐτὸ τραπεζοφόριον ἄλλο κέκτηται, ὅτι τάφος ἐστὶ καὶ θρόνος τοῦ Ἰησοῦ. Καὶ τὸ μὲν ἔστιν ὡς σινδών, ἡ

περιειλήθη νεκρὸς, τὸ δὲ, ὡς δόξης περιβολὴ, ὡς A καὶ ὁ ἐπὶ τούτῳ ἐν τῷ τίθεσθαι ἐμφαίνει ψαλμὸς· *Ὁ Κύριος λέγων ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο.*

ι'. *Διατί ἀπὸ λίθου ἡ τράπεζα.*

Ἀπὸ λίθου δὲ τὸ θυσιαστήριον, ὅτι Χριστὸν εἰκονίζει, ὃς καὶ πέτρα ὡς θεμέλιος ἡμῶν, καὶ κεφαλὴ γωνίας, καὶ λίθος ἀκρόγωνος, καὶ ὅτι πέτρα πάλαι ταύτην ἐμιμεῖτο τὴν τράπεζαν, ἡ τὸν πάλαι ποτίζουσα Ἰσραήλ. Νῦν δ' αὕτη τὸν νέον ἡμᾶς ποτίζει, οὐχ ὕδωρ, ἀλλὰ ζωῆς αἰωνίου παρέχουσα νάματα, τὸ ζῶν αἷμα τοῦ Λόγου. Διὰ δὲ τοῦ ἱεροῦ συνθρόνου, τὸν εἰς οὐρανοὺς ἐκ δεξιῶν τοῦ Πατρὸς σαρκωθέντα Λόγον καθήμενον.

ια'. *Τί αἱ βαθμίδες τοῦ βήματος.* B

Διὰ δὲ τῶν ἀναβαθμῶν, τὴν ἑκάστου τῶν ἱερωμένων ἀνθρώπων καὶ τῶν ἀγγέλων τάξιν τε καὶ ἀνάβασιν.

274 ιβ'. *Τίνα τυποῖ ὁ ἀρχιερεὺς εἰς τὸ θυσιαστήριον εἰσελθών.*

Καὶ διὰ μὲν τοῦ ἀρχιερέως τὸν Ἰησοῦν.

ιγ. *Τί τὸ Εὐαγγέλιον καὶ σταυρὸς ἐν τῇ τραπέζῃ κείμενα.*

Ὃν τυποῖ καὶ τὸ ἱερὸν Εὐαγγέλιον, ἐπὶ τοῦ θυσιαστηρίου ὁρώμενον, καὶ ὁ σταυρὸς, τὴν θυσίαν αὐτοῦ δηλῶν.

ιδ'. *Διατί ὑπὸ τὴν τράπεζαν μαρτύρων λείψανα ἅγια.*

Τῇ τραπέζῃ δὲ ὑπόκειται τὰ ἱερὰ λείψανα τῶν C μαρτύρων, ὡς τῷ Χριστῷ τῷ μεγάλῳ μάρτυρι τοῦ Πατρὸς ἀεὶ συμπαρόντων τοῖς πνεύμασιν. Ἀλλὰ καὶ ὡς θεμελίους τῆς Ἐκκλησίας τὸ θυσιαστήριον τούτους ὑπέχει· αἵματι γὰρ πρῶτον Χριστοῦ, εἶτα δι' αὐτοῦ καὶ τῷ τῶν μαρτύρων συνέστη.

ιε'. *Διατί ἡ ἁγία τράπεζα μύρῳ ἁγίῳ χρίεται.*

Κεχρισμένον δέ ἐστι τῷ μύρῳ, ὅτι τῆς ἐνεργείας πλήρες τοῦ Πνεύματος, καὶ τὸ ζῶν μύρον ἱερουργούμενον ἔχει.

ιϛ'. *Διατί ἐνδύματα ἔχει ταύτην καλύπτοντα.*

Ἀμφίοις δὲ περικεκαλυμμένον ἐστὶ καὶ κεκοσμημένον, ὅτι καὶ τὰ ἐν αὐτῷ δυσθεώρητα καὶ οὐ πᾶσι ληπτά.

ιζ'. *Διατί ὑπανίσταται.*

Καὶ ἐπηρμένον δὲ καὶ λαμπρότατον, ὡς θρόνος D Θεοῦ.

ιη'. *Τίνας τυποῦσιν οἱ τοῦ βήματος.*

Διὰ δὲ τῶν εἰσιόντων ἐν τῷ βήματι τάξεων τὰς ὑπερκοσμίους δυνάμεις.

ιθ'. *Τί τὸ θυμίαμα.*

Καὶ διὰ μὲν τοῦ θυμιάματος ἀπὸ τοῦ θυσιαστηρίου ἀρχομένου τὴν μεταδοτικὴν καὶ εὐώδη τοῦ Πνεύματος χάριν.

κ'. *Τί τὰ φῶτα.*

Διὰ δὲ τῶν ἀναπτομένων φώτων, τὸν ἐγγινόμενον τοῖς ἁγίοις ἀκατάπαυστον τοῦ Πνεύματος φωτισμόν. Καὶ ταῦτα μὲν ἡ Ἐκκλησία εἰκονίζει τῷ βήματι.

qua mortui corpus involutum est, partim ut gloriæ amictus, sicut etiam psalmus qui super ea, dum imponitur, dici solitus est, ostendit, *Dominus regnavit*, dicens *decorem induit*.

10. *Quare sacra mensa e lapide.*

E lapide porro est altare, quia Christum refert, qui et petra nominatur, tanquam fundamentum nostrum, et caput anguli, et lapis angularis; et quia petra, quæ olim profluentibus ex se aquis Israel potavit, hujus imago fuit. Nunc enim nos novum Israel potat, non aquam scaturiens, sed æternæ vitæ fluenta præbens; vivum, inquam, Verbi sanguinem. Per sacrum vero consessum, Verbum incarnatum, et in cœlis ad dextram Patris assidens.

11. *Quid denotent gradus quibus ad bema ascenditur.*

Per gradus, cujusque sanctorum virorum et angelorum ordo ascensusque.

12. *Quænam designet episcopus ad altare ingrediens.*

Et per sacerdotem Jesus significatur.

13. *Quid Evangelium et crux posita in altari.*

Quem et sacrum Evangelium in altari conspicuum; et crux sacrificium ejus indicat.

14. *Quare sub altari sacræ martyrum reliquiæ.*

Sub mensa deinde repositæ sunt reliquiæ martyrum, utpote quorum spiritus Christo magno martyri semper adsint. Præterea tanquam Ecclesiæ fundamenta hos altare continet, quæ primo Christi, postea per ipsum martyrum sanguine condita est.

15. *Quare mensa sacra sacro unguento perfunditur.*

Unguento delibutum est, quoniam plenitudinem efficientiæ Spiritus, et vivum unguentum quod sacrificatur, habet.

16. *Quare habet stragula quibus circumvestitur.*

Stragulis autem circumvestitur et ornatur, quoniam quæ super eo fiunt, consideratu difficilia sunt, nec ab omnibus comprehendi queunt.

17. *Quare edito in loco exstet.*

Est autem editum splendidissimumque ut solium Dei.

18. *Quosnam designent qui in bemate sive sacrario sunt?*

Per ordines vero sacrarium ingredi solitorum, virtutes extra mundum, sive cœlestes, nobis suggeruntur.

19. *Quid suffitus.*

Et per suffitionem ab altari inchoatam, communicans sese, et fragrans Spiritus gratia.

20. *Quid lumina.*

Per accensa lumina, ea quæ est in sanctis perpetua ac indeficiens illuminatio. Atque hæc ab Ecclesia, per sacrarium imaginanda objiciuntur.

21. *Quid templi pars extra bema.* A

Universum autem per totum templi tractum, terrestrem hunc mundum, ut suprà diximus, aut etiam cœlum quod cernimus, cogitationi objicit. Quando enim ante templum preces facimus, cœli id loco habemus, et paradisi in Eden similitudinem gerit.

22. *Quid vela ad portas narthecum.*

Quapropter etiam quibusdam velis in sacris monasteriis dum extra psallunt, templum occluditur, quæ ingredientes abstrahunt; eo declarantes Christum ad nos usque descendisse, medinmque parietem maceriæ dissolvisse, dataque pace in cœlum nos subvexisse. Quin etiam in crimina lapsi, id est pœnitentes, illuc intrare non audent. Et cum solemni ritu templum dedicamus; hujus rei B typum quemdam exprimimus: at vero cum intus preces effundimus, et tremenda præ omnibus sacrificia peragimus: altare quidem velut alterum cœlum habemus, templum vero, ut quod terrestria significet, conspicimus; ibidem enim omnes simul concurrunt, congreganturque.

23. *Quid ambo sacer significet.*

Et certe qui est ante sacrarium suggestus, lapidis a monumento revoluti nos admonet, ubi etiam angelicam personam sustinentes diaconi et sacerdotes; illi quidem in missæ officio, hi vero in laudibus, matutina Evangelia clara voce recitant.

24. *Quid ornatus ac pulchritudo templi.* C

Templi pulchritudo, creaturarum pulchritudinem docet. Lumina sublime ardentia, stellarum fulgores: circulus (corona in medio ecclesiæ appensa) firmamentum imitantur.

25. *Quid denotent quæ offeruntur (oleum, cera et suffimentum).*

Oleum autem, ceram, et thymiama offerimus. Illud ad divinæ misericordiæ expressionem; hanc, ut quemadmodum illa ex floribus exstitit, sic nos et perfectam nostri oblationem, omniumque rerum nostrarum sacrificium quoddam, per ipsam insinuemus. Hoc autem, thymiama, inquam, in signum divinæ charitatis et fragrantiæ spiritus, quæ se in omnes effundit.

26. *Quinam significentur per sacerdotes.* D

Ac sacerdotes quidem intra sacrarium divinos hymnos ordientes, primorum ordinum qui juxta Deum sunt, imaginem gerunt.

27. *Quinam per reliquos clericos.*

Diaconi cum lectoribus et cantoribus psalmos et sacras Scripturas ordine excipientes, medios cœlestium cœtus, sive choros, subostendunt.

28. *Quinam per populum fidelium.*

Populus universus de fide recte sentiens, cantica modulantibus proposito ac voluntate consociatur, Dei misericordiam provocans. Hic vero ultimam angelorum seriem declarat, cum quibus consistere maleficum, aut aliter quam par sit de

κα'. *Τί δηλοῖ ὁ ἔξω τοῦ βήματος ναός.*

Διὰ δὲ τοῦ καθόλου ναοῦ, τὸν περίγειον τοῦτον, ὡς φθάσαντες ἔφημεν κόσμον, ἢ καὶ τὸν ὁρώμενον οὐρανόν. Ὅτε μὲν γὰρ πρὸ τοῦ ναοῦ τὰς εὐχὰς ποιούμεθα, οὐρανοῦ τάξιν φαμὲν καὶ τοῦ ἐν Ἐδὲμ παραδείσου τὸν θεῖον ἔχειν ναόν.

κβ'. *Τί τὰ τῶν ναρθήκων βηλόθυρα.*

Διὸ καὶ τὸ καταπετάσμασί τισιν ἐν ταῖς ἱεραῖς μοναῖς ἐν τῷ ἔξωθεν ψάλλειν διαφράττουσι τοὺς ναούς. Ἕλκουσι δὲ ταῦτα ἐν τῷ εἰσέρχεσθαι, τοῦ τοιούτου δεικνύντος, ὅτι Χριστὸς κατῆλθε μέχρις ἡμῶν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, καὶ εἰρήνην δεδωκὼς, εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν. Ἀλλὰ καὶ οἱ περιπεπτωκότες ἐγκλήμασιν οὐκ ἔνδον τολμῶσιν εἰσελθεῖν. Καὶ τὴν τάξιν δὲ τῶν ἐγκαινίων τελοῦντες, τοῦτο ποιοῦμεν. Ἡνίκα δ' ἔνδον τὰς προσευχὰς ποιῶμεν καὶ τὴν φρικτὴν πρὸ πάντων ἱερουργίαν, τὸ θυσιαστήριον μὲν ὡς ἄλλον ἔχομεν οὐρανὸν, τὸν ναὸν δὲ ὡς τὰ περὶ γῆν σημαίνοντα. Ἐν αὐτῷ γὰρ ὁμοῦ πάντες καὶ προστρέχουσι καὶ συνίστανται, Θεῷ τε ἀναπέμπουσιν ἅμα τὰς εὐχάς.

κγ'. *Τί σημαίνει ὁ ἄμβων.*

Καὶ ὁ μὲν πρὸ τοῦ βήματος ἄμβων τὸν ἐκκυλισθέντα λίθον παραδηλοῖ τοῦ μνήματος, ἔνθα καὶ ἀγγελικὸν σώζοντες τύπον διάκονοί τε καὶ ἱερεῖς, τὸ θεῖον κηρύσσουσιν Εὐαγγέλιον, διάκονοι μὲν τῇ ἱερουργίᾳ, ἱερεῖς δὲ τῷ ὄρθρῳ τὰ ἑωθινὰ λέγοντες.

275 κδ'. *Τί ἡ καλλονὴ τοῦ ναοῦ.*

Τοῦ ναοῦ δὲ ἡ ὡραιότης τὴν τῆς κτίσεως διδάσκει καλλονὴν, καὶ τὰ μὲν αἰωρημένα φῶτα τοὺς ἀστέρας μιμεῖται· ὁ κύκλος δὲ τὸ στερέωμα.

κε'. *Τί δηλοῦσι τὰ προσφερόμενα.*

Ἔλαιον δὲ καὶ κηρὸν καὶ θυμίαμα προσάγομεν, τὸ μὲν εἰς θείου τύπον ἐλέους, τὸν δὲ ὡς ἐκ μυρίων ἀνθῶν συγκείμενον, εἰς ὁλοτελῆ ἡμῶν προσαγωγὴν, καὶ τὴν ἐκ πάντων θυσίαν. Τὸ δὲ εἰς τύπον τῆς θείας ἀγάπης, ἣ μεταδίδοται πᾶσι, καὶ τῆς εὐωδίας τοῦ Πνεύματος.

κς'. *Τίνας τυποῦσιν οἱ ἱερεῖς.*

Καὶ ἱερεῖς μὲν ἀρχόμενοι τῶν θείων ὕμνων, τοῦ ἱεροῦ βήματος ἔνδοθεν, τὰς περὶ Θεὸν πρώτας εἰκονίζουσι τάξεις.

κζ'. *Τίνας οἱ λοιποὶ κληρικοί.*

Διάκονοι δὲ σὺν ἀναγνώσταις καὶ ὑμνῳδοῖς, τοὺς θείους τε ψαλμοὺς καὶ τὰς ἱερὰς Γραφὰς κατὰ τάξιν διαδεχόμενοι, τὴν μέσην τῶν οὐρανίων χορείαν ἐμφαίνουσι.

κη'. *Τίνας ὁ πιστὸς λαός.*

Λαὸς δὲ ἅπας, ὀρθῶς ἔχων περὶ τὴν πίστιν προθέσει ψυχῆς, τοῖς μελῳδοῦσι συνάπτεται, τὸν ἀπὸ Θεοῦ ἐκκαλούμενος ἔλεον. Ἐμφαίνει δ' οὗτος τὴν τελευταίαν τάξιν μεθ' ὧν οὐ θέμις συνίστασθαι ἢ κακεργάτην ἢ ἑτερόδοξον. Οὐ γὰρ κοινωνία φωτὶ

πρὸς σκότος. Εἰ δέ τις ἐπιστραφείη πρὸς τὸ φῶς, τότε δεκτέος τοῖς τοῦ φωτός. Καὶ ταῦτα μὲν ὁ θεῖος τυποῖ ναός, εἰ καὶ ἔτι πλείω τούτων ἔστι νοεῖν τοῖς παρὰ Θεοῦ θεωρεῖν ἐσχηκόσι δύναμιν. Ὁ δέ γε ἱερεὺς προηγουμένως μὲν παρὰ τῇ θείᾳ Γραφῇ ἄγγελος Κυρίου παντοκράτορος λέγεται, καὶ ὡς τῶν θείων ἐξαγγελτικός, καὶ ὡς τῶν θελημάτων τοῦ Θεοῦ πληρωτής. Ἀλλὰ καὶ τὸν Ἰησοῦν εἰκονίζει· τὴν γὰρ αὐτοῦ τῇ χειροτονίᾳ κέκτηται δύναμιν.

κθ'. Τίνα τυποῖ ὁ ἀρχιερεύς.

Καὶ πρό γε τούτου μᾶλλον ὁ ἱεράρχης, ὃς καὶ ἐπὶ τῆς καθέδρας καθῆσθαι γράφεται τοῦ Χριστοῦ, καὶ τὴν ἐξουσίαν αὐτοῦ πλουτῶν ἔχει, δεσμεῖν καὶ λύειν τῇ τοῦ Θεοῦ δυνάμενος χάριτι. Ὁ γὰρ ἱεράρχης τῆς τῶν ἀποστόλων τυγχάνει διαδοχῆς. Ὅθεν καὶ ὡς τὸν Χριστὸν εἰκονίζων, ἐν τῷ μέλλειν ἱερουργεῖν, τὰ ἱερὰ περιβάλλεται ἄμφια, σημασίαν ἔχοντα πάντα καὶ θεωρίαν πνευματικήν. Περὶ ὧν καὶ κατὰ δύναμιν λέγομεν. Μικρὸν δὲ ἄνωθεν θεωρήσωμεν.

λ'. Τίνες αἱ τάξεις τῶν ἐν τῷ βήματι χειροτονουμένων.

Τῶν ἐν τῷ βήματι χειροτονουμένων εἰς τρεῖς τάξεις διαιρουμένων, ἐπισκόπου, πρεσβυτέρου καὶ διακόνου, καὶ τοῦ μὲν φωτιστικοῦ λεγομένου, δηλαδὴ τοῦ ἀρχιερέως, καὶ μεταδοτικοῦ τῶν θείων φώτων. Πάντες γὰρ λαμβάνουσι δι' αὐτοῦ, χειροτονίας μὲν καὶ σφραγῖδας ἱερεῖς τε καὶ κλῆρος, καθιερώσεις τε ναοί, βάπτισμα δὲ καὶ ἄφεσιν καὶ ἁγιασμόν, μυστηρίων τε κοινωνίαν οἱ λαϊκοί, ἃ πάντα ὡς ἐκ πηγῆς φωτὸς τῆς ἐπισκοπικῆς εἰσι χάριτος.

λα'. Τί τὸ τελεστικόν.

Τοῦ πρεσβυτέρου δὲ λεγομένου τελεστικοῦ, ὡς χάριν ἔχοντος μόνον τελεστικὴν εἰς τὰς τελετάς, οὐ μὴν μεταδοτικήν. Βαπτίζει γὰρ καὶ ἱερουργεῖ, οὐ δύναται δὲ χειροτονεῖν, οὐδ' ἄλλον ἐνεργεῖν ἱερέα, ἢ τῶν ὅσοι τάξεως μετέχουσιν ἱερᾶς.

λβ'. Τί τὸ λειτουργικόν.

Τοῦ διακόνου δὲ λειτουργικοῦ λεγομένου, ὡς ὑπηρέτου τάξιν ἐπέχοντος, καὶ μὴ δυναμένου χωρὶς ἱερέως τι πράττειν, ὃ δὴ τῆς ἐσχάτης ἀγγελικῆς ἐστι τάξεως, ἕκαστος αὐτῶν ἐκ τῶν τριῶν τούτων τάξεων, ἀναλόγως τῇ τάξει, περιτίθεται καὶ τὰ ἄμφια. Καὶ **276** διάκονος μέν, ὅσα τὴν ἀγγελικὴν τυποῖ τάξιν· πρεσβύτερος δὲ καὶ ταῦτα μέν, ἐπειδήπερ καὶ τὸ τοῦ διακόνου χάρισμα πρότερον ἔλαβε, καὶ τὰ τῆς τελεστικῆς δὲ χάριτος, ἣν τὸ ἐπιτραχήλιον φανεροῖ. Ὁ ἱεράρχης δέ, καὶ ταῦτα, καὶ ἔτι τὸ ὠμοφόριον, ὃ παρίστησι σεσαρκωμένον τὸν τοῦ Θεοῦ Υἱόν. Διὸ καὶ τὴν στολὴν τὴν ἱερὰν ἐνδυόμενος, πρότερον τὸ στιχάριον περιβάλλεται.

A fide sentientem, nefas est. Nulla enim societas lucis ad tenebras. Si quis autem ad lucem conversus fuerit, tum his qui lucis sunt, acceptus erit. Et hæc quidem divinum templum ut in quadam effigie nobis exhibet; tametsi plura licet hinc illis intelligere, qui considerandi facultatem majorem a Deo acceperunt. Sacerdos præcipue in sacris litteris angelus Domini omnipotentis appellatur, ut qui divina præcepta annuntiet et divinam voluntatem impleat. Quin et Jesum repræsentat; ejus enim potestatem per consecrationem est adeptus.

29. *Quis præfiguretur ab episcopo.*

Et amplius præ sacerdote pontifex, qui et in cathedra Christi sedere dicitur, et potestatis ejus copiam obtinet, ut Dei gratia ligare et solvere possit. B Pontifex enim apostolorum est successor. Unde etiam tanquam Christi imago rem divinam facturus sacra vestimenta induit, quæ omnia significationem considerationemque spiritualem complectuntur: de quibus pro virili nostra dicemus. Paulo autem superius res omnis a nobis contemplatione resumenda est.

30. *Quinam sint ordines qui in bemate sive sacrario ordinantur.*

Distributis in tres classes iis qui intra sacrarium ordinantur, episcopo, sacerdote, et diacono, horum episcopus dicitur illuminativus, utpote qui impertiendi luminis auctoritate pollet. Omnes enim per eum accipiunt ordinis characterem, C sive sacerdotes, sive clerici, ab eo dedicationes templorum fiunt, ex eo baptismus, sanctificatio, peccatorum remissio, sacramentorum participatio in laicos omnes tanquam a fontis lumine a gratia episcopali profluit.

31. *Quid sit munus presbyteri telestici, qui baptizare et Eucharistiam consecrare potest, sed ordinare non potest.*

Presbyter autem dicitur initiativus, utpote qui solum alios initiandi gratiam habet in sacris mysteriis: non tamen hanc initiativam gratiam aliis communicat et impertitur. Baptizat enim et consecrat; non tamen potest alios initiare ordinibus, nec alium creare sacerdotem, aut quemcunque alium qui ordinis sacri sit particeps.

D 32. *Quid liturgicum munus in diacono.*

Diaconus autem ministratorius dicitur, ut qui ministri locum teneat, et citra sacerdotem facere nihil possit: quod certe est ultimi ordinis angelici. Quisque horum trium ordinum pro ratione sui status vestes induit. Diaconus quidem quæ angelicum ordinem referunt. Presbyter hæc eadem habet, quandoquidem charisma sive gratiam prius accepit; et deinde initiativam vel sanctificativam adeptus est, quam quidem ejus stola indicat. Pontifex autem hæc, et insuper alia ornamenta, videlicet pallium, assumit, quod incarnatum Dei Filium considerationis oculo exhibet. Sacris ergo vestibus dum induitur, prius tunica amicitur.

33. *Quid significetur per sticharium sive tunicam.* A

Quæ utique tunica lucidum angelorum amictum manifestat; ita enim sæpius fulgenti veste indutos angelos apparuisse novimus, ut et illum in monumento coopertum stola candida. Præterea purum et ab omni inquinamento liberum sacerdotalem statum esse oportere docet, propter quam puritatem etiam sacerdos hac gratia dignus judicatur: idipsumque testatur, cum, se induens, hæc verba pronuntiat: « Exsultabit anima mea in Domino: quia induit me vestimento salutis, » et quæ sequuntur.

λγ'. *Τί δηλοῖ τὸ στιχάριον.*

Ὃ δὴ στιχάριον τὴν φωτεινὴν τῶν ἀγγέλων ἐμφαίνει περιβολήν· οὕτω γὰρ πολλάκις φωτεινὴν ἐσθῆτα περιβεβλημένοι ὤφθησαν ἄγγελοι, ὡς καὶ ὁ ἐν τῷ μνήματι λευκὴν ἐσθῆτα ἐνδεδυμένος. Ἀλλὰ καὶ τὸ καθαρὸν καὶ ἀμόλυντον εἰκονίζει τῆς ἱερατικῆς τάξεως, δι' ἣν καθαρότητα καὶ ταύτης ὁ ἱερεὺς καταξιοῦται τῆς χάριτος, καὶ ἔτι τὴν θείαν ἔλλαμψιν, ἣν διακονεῖ τοῖς πιστοῖς διά τε τοῦ Εὐαγγελίου καὶ τῶν λοιπῶν. Καὶ μαρτυρεῖ τοῦτο ἐν τῷ ἐνδύεσθαι λέγων, *Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου*, καὶ τὰ ἑξῆς.

34. *Quod diaconus et stichario utitur et orario.*

Et diaconus, angelicum sortitus ordinem, ut dictum est, hoc amicitur, fertque in humeris stolam diaconicam, quam nos orarium vocamus.

λδ' *Ὅτι διάκονος στιχάριον ἔχει καὶ ὠράριον.*

B Καὶ διάκονος δὲ ἀγγελικὴν ἔχων, ὡς εἴρηται, τάξιν, τοῦτο περίκειται· ἐπὶ τῶν ὤμων τε φέρει ὃ καλοῦμεν ὠράριον.

35. *Quid orarium sive stola diaconi, quam in sinistro humero gestat.*

Orarium quasi alas habet, et a materia puritatem, intellectualemque substantiam angelici ordinis subindicat.

λε'. *Τί τὸ ὠράριον.*

Τοῦτο δέ γε ὡς πτερὰ ὑπεμφαίνει διὰ τὸ ἄϋλόν τε καὶ νοερὸν τῆς ἀγγελικῆς τάξεως.

36. *Quare diaconus, cum communicat, orario cingatur.*

Quare, et Cherubim facies obvelantia imitans, ipse etiam infra missarum solemnia, ubi sacramentum percepturus est, præcingitur. Sed et in stola diaconica, « Sanctus, sanctus, sanctus, » scriptum gerit, quo ministratorius angelorum ordo exprimitur.

λς'. *Διὰ τί διάκονος τῷ ὠραρίῳ κοινωνῶν περιζώννυται.*

Δι' οὗ καὶ τὰ Χερουβὶμ ἐκμιμούμενος περιστελλόμενα τὰς ὄψεις. Καὶ αὐτὸς περιζωννύμενος, οἷον συστέλλεται ἐν τῷ μέλλειν μεταλαβεῖν. Ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ὠραρίῳ τὸ Ἅγιος, ἅγιος, ἅγιος γεγραμμένον ἔχει· ἃ δὴ τὴν λειτουργικὴν διδάσκουσι C τῶν ἁγίων ἀγγέλων τάξιν.

37 *Quid significent undulæ in stichario sive tunica episcopali.*

Pontificis autem tunica desuper descendentia habet flumina, quæ dicuntur, et gratiam docendi in ipso repræsentant. Nam et inter angelos non omnibus est idem ordo et gradus; sed ibi quoque alii inferiorum magistri sunt. Vocantur autem flumina propter vocem Salvatoris in Evangelio dicentis: *Qui credit in me, flumina de ventre ejus fluent aquæ vivæ.*

λζ'. *Τί δηλοῦσιν οἱ ποταμοὶ τοῦ ἀρχιερατικοῦ στιχαρίου.*

Τὸ τοῦ ἀρχιερέως δὲ στιχάριον ἄνωθεν κατιόντας τοὺς λεγομένους κέκτηται ποταμούς, τὸ διδασκαλικὸν τῆς ἐν αὐτῷ σημαίνοντας χάριτος, καὶ τὸ διάφορον ἅμα τῶν ἐν αὐτῷ ἄνωθεν χαρισμάτων, δι' αὐτοῦ εἰς πάντας προχεομένων. Καὶ ἐν τοῖς ἀγγέλοις γὰρ οὐ πᾶσιν ἡ αὐτὴ τάξις, ἀλλὰ κἀκεῖσε τῶν ὑποδεεστέρων εἰσὶ διδάσκαλοι καὶ μεταδοτικοὶ φωτισμάτων. Ποταμοὶ δὲ λέγονται διὰ τὴν ἐν τῷ Εὐαγγελίῳ τοῦ Σωτῆρος φωνήν, λέγοντος, *Ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος.*

38. *Quid undulæ et pocula in episcopali mandya sive pallio.*

D λη'. *Τί οἱ ποταμοὶ καὶ τὰ πώματα τοῦ μανδύα.*

Hoc idem pontificio ostenditur mandya sive pallio. Flumina quidem habet propter ea quæ diximus: pocula vero pro typo veteris et novæ gratiæ, quæ etiam fluminibus quasi innatant; quod non aliud sibi vult quam magistro, sive doctori, ex duobus Testamentis ad docendum, hauriendum esse. Et hoc quidem tunica significat.

Τοῦτο δὲ καὶ ὁ ἀρχιερατικὸς διδάσκει μανδύας, ποταμοὺς μὲν διὰ τὰ προειρημένα, πώματα δέ, εἰς τύπον τῆς παλαιᾶς τε καὶ καινῆς ἔχων χάριτος. Ἃ δὴ καὶ ὑπεράνω κεῖται τῶν ποταμῶν, δηλοῦντος τοῦ τοιούτου, ὡς ἐκ τῶν δύο Διαθηκῶν τὸν διδάσκαλον χρὴ λαμβάνειν, καὶ τὰς διδασκαλίας ποιεῖσθαι. Καὶ τὸ μὲν στιχάριον οὕτω.

39. *Quid denotet stola sacerdotalis.*

Stola vero sacerdotalis initiativam et e cœlo descendentem Spiritus gratiam, —tuenti subjicit. Ob hoc enim et pontifex, et sacerdos a capite illam induens: *Benedictus Deus*, inquit, *qui effundit gratiam super sacerdotes suos.* Unde ea

λθ'. *Τί δηλοῖ τὸ ἐπιτραχήλιον.*

Τὸ δέ γε ἐπιτραχήλιον τὴν τελεστικὴν καὶ ἄνωθεν κατερχομένην τοῦ Πνεύματος παρίστησι χάριν. Διὰ τοῦτο γὰρ ὁ ἀρχιερεύς τε καὶ ἱερεύς, ἀπὸ κεφαλῆς τοῦτο περιβαλλόμενος, *Εὐλογητός*, φησίν, *ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱε-*

ρὶς αὐτοῦ. Ὅθεν καὶ τοῦτο πᾶς ἱερεὺς καὶ ἀρχιερεὺς εἰς χρῆσιν ἔχει ἐπὶ πάσῃ ἱερᾷ τελετῇ. Ἀλλὰ καὶ τὸ ὑπαυχένιον εἶναι Χριστῷ τὸν ἱερέα δηλοῖ, ὃς ἐκείνῳ τελετάρχῃ τὰς τελετὰς ὀφείλοντα ἐνεργεῖν, καὶ τῷ τοῦ Χριστοῦ ζυγῷ ἐν ταπεινώσει καθυποκεῖσθαι, καὶ τὰ αὐτοῦ πράττειν μετ' αὐτοῦ, καὶ μηδὲν χωρὶς αὐτοῦ, ὅτι καὶ χωρὶς αὐτοῦ οὐ δυνατὸν ποιεῖν τι. Πάντα γὰρ **277** δι' αὐτοῦ ἐγένετό τε καὶ γίνεται.

quilibet sacerdos utitur quando quamlibet actionem sacerdotalem aggreditur. Sed superhumerale quoque Christi sacerdotem demonstrat, qui sub isto antistite munere suo fungitur, et qui Christi jugo in humilitate submissus, quæ Christi sunt una cum ipso exsequitur, nihil autem sine ipso, sine quo utique nihil fieri potest. Omnia enim per ipsum facta sunt aut fiunt.

μ'. *Τί ἡ ζώνη.*

Ἡ δέ γε ζώνη τὴν ὑπὲρ ἡμῶν διακονίαν δείκνυσι τοῦ Σωτῆρος, ἣν καὶ ἐνταῦθα διέπραξε, καὶ ἐν τῷ μέλλοντι πράττειν καθυπέσχετο δι' ἡμᾶς. « Περιζώσεται » γάρ, φησί, « καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν, διακονήσει αὐτοῖς. » Ἀλλὰ καὶ τὸ ἰσχυρὸν εἰκονίζει καὶ τὸ κραταιὸν τῆς αὐτοῦ δυνάμεως, καὶ ἔτι τὴν σωφροσύνην. Καὶ μετὰ τῆς ψυχῆς τοῦ σώματος τὸν ἁγιασμὸν ἐπὶ τῶν νεφρῶν κειμένη ἡ ζώνη, κἀπὶ τούτῳ μαρτυρεῖ τὰ λεγόμενα. « Εὐλογητὸς » γάρ, φησίν, « ὁ Θεὸς, ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. »

40. *Quid cingulum.*

Cingulum nota est ministerii a Salvatore nostri causa suscepti; quo et functus est in hoc sæculo, et in futuro propter nos functurum se pollicetur; ait enim : « Præcinget se, et faciet illos discumbere, et transiens ministrabit illis. » Præterea ejus potentiæ robur magnitudinemque insinuat, necnon sapientiam. Et cum anima corporis sanctificationem monstrat zona lumbos cingens, de quo prius dicta testantur. « Benedictus enim, inquit, Deus qui præcingit me virtute et viam meam applanavit in integritate. »

μα'. *Τί τὸ λεγόμενον ἐπιγονάτιον.*

Ἀλλ' ἐν τῇ ζώνῃ ὁ ἱεράρχης καὶ τὸ λεγόμενον ἐπιγονάτιον περιτίθεται ἐξαρτήσας. Ὃ τὴν κατὰ τοῦ θανάτου νίκην καὶ τὴν ἀφθαρσίαν τῆς ἡμετέρας φύσεως, καὶ τὸ μέγα τῆς τοῦ Θεοῦ ἰσχύος κατὰ τῆς τοῦ πονηροῦ τυραννίδος ἐμφαίνει, γεγενημένην διὰ τὸ ἀναμαρτήτως ἐκ Παρθένου τεχθῆναι τὸν Κύριον, καὶ χωρὶς ἁμαρτίας ζῆσαι καὶ σταυρωθῆναι, καὶ τὸν τὴν ἁμαρτίαν γεννήσαντα νικῆσαι, τῇ ἀναστάσει τὸν πεσόντα διὰ τῆς ἁμαρτίας Ἀδὰμ ἀναστήσαντα. Διὸ καὶ σχῆμα ῥομφαίας ἔχει, καὶ ἐπὶ τῆς ὀσφύος ἐκκρέμαται, ἔνθα τὸ δύνασθαι καὶ τὸ σωφρονεῖν τὸν ἄνθρωπον ἔχειν φασί. Καὶ τὰ λεγόμενα δὲ ἐν τῷ περιτίθεσθαι ῥήματα τοῦτο μαρτυρεῖ, λέγει γάρ, « Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. » Καὶ τό, « Κύριος ἐνεδύσατο δύναμιν καὶ περιεζώσατο, » τοῦτο διδάσκει.

41. *Quid quod vocant supergenuale.*

Cæterum pontifex insuper a zona dependens, supergenuale fert, quod victoriam adversus mortem, nostræque naturæ immortalitatem, et vires Salvatoris contra maligni dæmonis tyrannidem robustissimas ostendit, in quantum Dominus sine peccato ex Virgine natus est, sine peccato vixit, cruci affixus est et patrem peccati vicit, et resurrectione sua Adamum ob peccata lapsum resuscitavit. Quamobrem et rhomphææ similis est, et lumbis alligatur, ubi hominis robur et intelligentiam sita prædicant. Hoc ipsum verba, quæ in cinctu adhibentur, manifestant. Dicit enim : « Accingere rhomphæa super femur tuum, Potentissime, » quod illud, « Dominus accinxit fortitudinem, » indigitat.

μβ'. *Τί δηλοῦσι τὰ ἐπιμάνικα.*

Τὰ δὲ λεγόμενα ἐπιμανίκια καὶ τὸ παντουργὸν τῆς ἐνεργείας εἰκονίζουσι τοῦ Θεοῦ, καὶ τὸ διὰ τῶν οἰκείων χειρῶν τὴν ἱερουργίαν τοῦ ἰδίου σώματός τε καὶ αἵματος αὐτουργῆσαι τὸν Ἰησοῦν. Ὅθεν καὶ τὰ λεγόμενα ἐν τῷ ταῦτα περιβάλλεσθαι οἰκεῖα· « Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ. » Καὶ τό, « Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. » Ἀλλὰ καὶ τὰ ἐν χερσὶ δεσμὰ τοῦ Σωτῆρος, οἷς προσδεθεὶς, ἠπείγετο πρὸς Πιλάτον, φασί τινες τὰ ἐπιμανίκια ἐκτυποῦν.

42. *Quid significent supermanicalia.*

Supermanicalia vero actionis divinæ omnia efficientis significantia sunt, et Jesum suis manibus sacrificium corporis et sanguinis sui per se obtulisse : cui conveniunt quæ in iis superponendis recitantur: « Dextera tua, Domine, glorificata est in virtute. » Et : « Manus tuæ fecerunt me et plasmaverunt me. » Quin etiam vincula manuum Salvatoris, quibus ad Pilatum deductus est, quidam hæc supermanicalia exprimere asserunt.

μγ'. *Τί σημαίνει τὸ φαινόλιον.*

Τὸ ἱερὸν δὲ φαινόλιον τὴν ὑψηλοτέραν καὶ ἄνωθεν χορηγουμένην τοῦ Πνεύματος φαίνει δύναμίν τε καὶ ἔλλαμψιν. Ὑπερκειμένη γὰρ ἡ τῶν ἄνω τάξεων τῶν μειζόνων λαμπρότης, ἀλλὰ καὶ τὴν περιέχουσαν πάντα προνοητικὴν καὶ παντουργικὴν καὶ ἀγαθουρ-

43. *Quid casula.*

Jam vero sacra casula sublimiorem, et superne collatam Spiritus virtutem, et illustrationem, quæ majoribus ordinibus præfulgens providam ac omnipotentem benevolamque vim monstrat divinam, per quam sermo ad nos usque pervenit,

qua Christus crucifixus et resuscitatus summa et A ima amplexus est. Imprimis saccum quo per ludibrium Salvator indutus est, idcirco et sacci formam habet; nec enim in eo sunt, quæ appellantur manicæ. Manifestius hoc exhibet, quo digniores pontifices vestiuntur, et saccus dicitur. Sed et reliqui pontifices casulam crucibus plenam induti (quæ et multicrucium vocari solet) clare docent, quoniam passionis Domini signum est, se illum imitari; qui per passionem et crucem veram justitiam consummavit, et in veram libertatem, tyranno depulso, nos omnes asseruit. Propterea cum illud induit, dicit: *Sacerdotes tui, Domine, induentur justitiam, et sancti tui exsultatione exsultabunt.* Re vera enim justitia per crucem nobis B exsultationem peperit. Et hæc sunt quibus diaconus et sacerdos ornantur, dempto tamen subgenuali: et hæc mysteria continent, prout a nobis videri potuerunt.

γὴν τοῦ Θεοῦ δύναμιν, δι' ἣν κατῆλθεν ὁ Λόγος μέχρις ἡμῶν, καὶ τὰ ἄνω καὶ τὰ κάτω, σαρκωθεὶς καὶ σταυρωθεὶς καὶ ἐξαναστάς, δι' ἑαυτοῦ συνῆξεν εἰς ἑαυτόν. Διὰ τοῦτο καὶ ἐξαιρέτως, ὃν ἐνεδύσατο ἐμπαιζόμενος ὁ Σωτὴρ ἐξεικονίζει σάκκον. Διὸ καὶ ὡς σάκκου τύπον ἐπέχει. Οὐδὲ γὰρ ἔχει τοῦτο ἃ καλοῦσι μανίκια, τὸ περιεκτικὸν ἁπάντων δηλῶν. Ἀριζηλότερον δὲ τοῦτο παρίστησι καὶ ὃ ἐνδύονται οἱ ἔκκριτοι τῶν ἀρχιερέων, σάκκος τοῦτο καλούμενον. Ἀλλὰ καὶ οἱ λοιποὶ τῶν ἀρχιερέων, τὸ φαινόλιον πλῆρες σταυρῶν ἐνδυόμενοι, ὃ δὴ καὶ πολυσταύριον ὁ λόγος καλεῖν οἶδε, τοῦτο σαφῶς περιστᾷ, ὅτι τοῦ πάθους ἐστὶ τοῦ Σωτῆρος δηλωτικόν, κἀκεῖνον μιμεῖται, τὴν διὰ παθῶν καὶ σταυροῦ τὴν ἀληθῆ δικαιοσύνην τετελεκότα, καὶ τὴν ἀπὸ τοῦ τυραννοῦντος ἐλευθερίαν ἡμῖν παρεσχηκότα, καὶ πάντας ὁμοῦ σώσαντα. Διὸ καὶ ἐνδυόμενός φησιν, « Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται. » Ὄντως γὰρ ἡ διὰ σταυροῦ δικαιοσύνη τὴν ἀγαλλίασιν ἡμῖν ἐχορήγησε. Καὶ ταῦτα μὲν ἅπερ ἐνδύεται διάκονός τε καὶ ἱερεύς, τοῦ ἐπιγονατίου μόνου χωρίς, καὶ τοιαῦτα τυποῦσιν, ὡς ἡμεῖς ἰδεῖν ἐδυνήθημεν.

44. *Quid innuatur per humerale et quare illud sit ex lana?*

Pontifex autem cum subgenuali et reliquis: super omnes gratiam habet. Speciatim vero pontifex pontificalem ostentat potestatem, et sacrum pallium induit: quod ex lana confectum, ante et retro humeros convestit. Hoc sine dubitatione carnem a Verbo ex Virgine propter nos susceptam, humanæque naturæ assumptionem declarat. Ideo enim ex lana quoque texitur, quoniam errati- C cam manifestat ovem, quam in humeris detulit Salvator, naturam videlicet nostram: et quoniam ipse quoque agnus pro nobis occisus vocatus est. Ipsa etiam verba quæ humeris eo circumvolvens dicit, mentem hanc confirmant. Ait enim: « Sublata in humeros, Christe, natura, quæ erraverat: assumptus Deo et Patri illam obtulisti. » Et hæc quidem de sacris vestibus.

278 μδ'. *Τί σημαίνει τὸ ὠμοφόριον, καὶ διατί ἐξ ἐρίου.*

Ὁ ἱεράρχης δὲ σὺν τῷ ἐπιγονατίῳ καὶ τοῖς λοιποῖς, ἐπὶ πάντων ἔχει τὴν χάριν, ἐξαιρέτως δὲ καὶ τὴν ἀρχιερατικὴν δύναμιν, καὶ τὸ ἱερὸν περιτίθεται ὠμοφόριον. Ὃ δὴ καὶ ἐξ ἐρίου ὄν, κύκλῳ περὶ τοὺς ὤμους ἔμπροσθέν τε καὶ ὄπισθεν περιβάλλεται. Τοῦτο δ' αὐτὴν εἰκονίζων ἐστὶν ἐναργῶς, τὴν ἐκ Παρθένου δι' ἡμᾶς σάρκωσιν καὶ ἐνανθρώπησιν τοῦ Λόγου. Διὰ τοῦτο γὰρ καὶ ἐξ ἐρίου, ὅτι τὸ πλανηθὲν τυποῖ πρόβατον, ὃ ἐπὶ τῶν ὤμων ἔλαβεν ὁ Σωτήρ, τουτέστι τὴν ἡμετέραν φύσιν, καὶ ὅτι ἐκ τῶν οὐρανῶν κατελθὼν ἐσαρκώθη, καὶ ὅτι καὶ αὐτὸς ἀμνὸς ἐκλήθη σφαγιασθεὶς ὑπὲρ ἡμῶν. Καὶ αὐτὰ δὲ ἃ φησι ῥήματα ἐπ' ὤμων ἑλίττων, τὴν ἔννοιαν βεβαιοῖ· φάσκει γάρ, « Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθείς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες. » Καὶ ταῦτα μὲν περὶ τῆς ἱερᾶς στολῆς.

45. *Quare detecto capite sacra faciant, excepto Alexandrino patriarcha, episcopi et sacerdotes. Et quod præstet non operto capite sacra celebrare.*

Aperto capite episcopi et sacerdotes Orientis omnes, excepto Alexandrino patriarcha, sacris funguntur: non ob humilitatem aliquam, sed ob D causam altiorem et longe diviniorem: videlicet, quam divinus Paulus ponit ac docet, Christum caput nostrum nominans, nos autem membra ipsius, et oportere nos Christum caput nostrum honorantes, caput inter orandum nudatum habere. Nec ob hoc tantum, sed quia etiam nudo capite, qui ordinatur, ordines suscipit. Atque ita quemadmodum ordinatur, ita et precari, et sacris operari debet. Et pontifex potissimum, quoniam et dum consecratur, a Deo tradita eloquia, sive sacrum, Evangelium, supra caput habet. Nec aliud quidpiam tegmen, dum sacra facit, capiti imponere debet. Dicet tamen aliquis: Patriarcha ergo Alexandrinus gerens in capite sacrum, et

με'. *Διατί ἀσκεπεῖς λειτουργοῦσι πλὴν τοῦ Ἀλεξανδρείας ἀρχιερεῖς τε καὶ ἱερεῖς· καὶ ὅτι κρεῖττον τὸ ἀπερικαλύπτως λειτουργεῖν.*

Ἀπερικαλύπτῳ δὲ τῇ κεφαλῇ οἱ τῆς Ἀνατολῆς ἱεράρχαι πάντες καὶ ἱερεῖς, πλὴν τοῦ τῆς Ἀλεξανδρείας, τὴν ἱερουργίαν τελοῦσιν, οὐ κατ' ἐλάττωσίν τινα, ἀλλὰ κατὰ λόγον ὑψηλότερον μάλα δὴ καὶ θειότερον. Ὃν ὁ θεηγόρος Παῦλος ὑποτίθησι καὶ διδάσκει, κεφαλὴν μὲν ἡμῶν τὸν Χριστὸν ὀνομάζων, μέλη δὲ ἡμᾶς αὐτοῦ, καὶ ὅτι δεῖ τιμῶντας ἡμῶν τὴν κεφαλὴν τὸν Χριστὸν ἀπερικαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προσεύχεσθαι. Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ γυμνῇ τῇ κεφαλῇ τὴν χειροτονίαν ὁ χειροτονούμενος δέχεται, καὶ οὕτως ὀφείλει ὡς ἐχειροτονήθη προσεύχεσθαι καὶ ἱερουργεῖν. Ὁ δὲ ἱεράρχης μάλιστα, ἐπεὶ χειροτονούμενος ἐπὶ κεφαλῆς ἔχει τὰ θεοπαράδοτα λόγια, ἤτοι τὸ ἱερὸν Εὐαγγέλιον, οὐκ ἄλλο ἐπίβλημα ἔχειν ἐπὶ κεφαλῆς ὀφείλει ἐν τῷ ἱερουργεῖν τὰ θειότατα. Ἀλλ' ἴσως ἐρεῖ τις, Καὶ λοιπὸν ἐπὶ κεφαλῆς ἔχων ὁ Ἀλεξανδρείας ἱερὸν ἐπικά-

λωμμα, καὶ ἄλλοι δὲ πλεῖστοι κατὰ παράδοσιν ἀρχαίαν, A οὐκ εὐαγῶς ποιοῦσιν; Οὐ τοῦτό φημι, κἀκεῖνο μὲν γὰρ ἀρχαία πρὸς τοὺς ἐνεργοῦντας παράδοσις, ἀλλὰ νομικωτέρα μᾶλλον· ἔφερε γὰρ καὶ ὁ νομικὸς ἀρχιερεὺς ἐπὶ τῆς κεφαλῆς κίδαριν, ἣν δὴ καὶ μίτραν ὠνόμαζον, καθὰ δὴ καὶ οἱ περιτιθέμενοι ἱεράρχαι τοῦτο φιλοῦσι καλεῖν. Ἴσως ἐξομοιοῦν ἔχουσιν αὐτὸ καὶ τῷ τοῦ Δεσπότου ἀκανθίνῳ στεφάνῳ, ἢ καὶ τῷ σουδαρίῳ τῷ ἐπὶ τῆς αὐτοῦ κεφαλῆς. Ἀλλ' ὅμως ἐπειδήπερ ἀποτίθενται τοῦτο καὶ οὗτοι εἰς ἀναγκαίους τῆς ἱερουργίας καιρούς, μαρτυροῦσιν ὡς ἀναγκαιοτέρα ἡ τοῦ μακαρίου παράδοσις Παύλου. Ἡ γὰρ εἰκὼν τοῦ ἀκανθίνου στεφάνου διὰ τῆς κουρᾶς τῶν τριχῶν ἐν τῇ κεφαλῇ τῶν ἱερωμένων ἐκτυποῦται, τῆς ἱερᾶς σφραγῖδος ἐνεργουμένης. Τοῦτο δὲ μᾶλλον οἱ τῶν μοναχῶν ἱερωμένοι δηλοῦσι σαφέστερον, B ὡς στέφανον ἔχοντες ἐπὶ κεφαλῆς κεχαρμένον· ὃ καὶ ἔτι δηλοῖ τὸν στέφανον τῆς παρθενίας αὐτῶν. Τὸ δέ γε σουδάριον τὸ εἱλητὸν εἰκονίζει. Διὰ τοῦτο γὰρ καὶ εἱλίσσεται καὶ εἱλητὸν οὕτω καλεῖται. Ἀναγκαιότερον ἄρα τὸ ἀπερικαλύπτως προσεύχεσθαι καὶ ἱερουργεῖν, καὶ μὴ ἀμελητέον τούτου, καὶ μᾶλλον ἐν τοῖς ἀναγκαίοις καιροῖς.

alii quamplurimi ex veteri traditione, operto capite sacris operantes, non rite ac sancte faciunt. Istud non dico. Id si quidem etiam apud eos qui usurpant, antiqua traditio est, verum quæ a nobis velut legalis recensetur, quando et legis sacerdos cidarim, quam et mitram vocabant, in capite gerebat. Quo eodem nomine pontifices eas gestantes, appellare consueverunt. Forsan et adæquare eam se dicent et Domini spineæ coronæ, aut sudario quod fuit super caput ejus. Verumtamen cum et hi eam ipsam congruenti sacrificii tempore deponant; beati Pauli traditionem potius servandam hoc ipso testificantur. Coronæ enim spineæ imago, per tonsuram ordinatorum ut et per sigillum sacrum præfiguratur; quod monachi præcipue ordinati per coronariam tonsuram indicant. Sed virginitatem quoque eadem significat in veli modum adaptata. Hinc necessitas nobis oritur aperto capite diebus statutis precandi et sacra faciendi.

μϛ'. *Τί τὸ κατελθεῖν ἐκ τοῦ στασιδίου τὸν ἱεράρχην.*

Ὁ μὲν οὖν ἱεράρχης ἐν τῷ μέλλειν ἱερουργεῖν, κατελθὼν τοῦ θρόνου, ἐν ᾧ παρίσταται, τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ Λόγου δηλοῖ συγκατάβασιν.

μζ'. *Τί τὸ ἐνδύεσθαι τὰ ἀρχιερατικά.* C

Ἐνδυόμενος δὲ τὴν ἱερὰν στολὴν, τὴν παναγίαν αὐτοῦ σημαίνει σάρκωσιν.

μη'. *Τί τὸ κατέρχεσθαι πρὸς δυσμὰς εἰς τὰς τοῦ ναοῦ πύλας.*

Κατερχόμενος δὲ ἄχρι καὶ τῶν τοῦ ναοῦ πυλῶν, τὴν ἐπὶ γῆς αὐτοῦ δηλοῖ παρουσίαν τε καὶ φανέρωσιν, καὶ τὴν μέχρι θανάτου καὶ ᾅδου κάθοδον. Τοῦτο γὰρ δηλοῖ τὸ πρὸς δυσμὰς **279** ἀπιέναι, καὶ μέχρι τῶν πυλῶν κατελθεῖν· Τῆς ἱερᾶς δὲ ἀρξαμένης λειτουργίας, τοῦ ἀρχιερέως τὸν καιρὸν δεδωκότος· οὐ γὰρ δυνατὸν χωρὶς αὐτοῦ τι διενεργεῖσθαι· οἱ μὲν ἱερεῖς ἔνδον λέγουσι τὰς εὐχὰς, τὰς οὐρανίους τυποῦντες τάξεις.

μθ'. *Διατί ψαλμοὶ ὁμοῦ καὶ τῆς χάριτος ὕμνοι.* D

Ψάλται δὲ ψάλλουσι τὰ ἀντίφωνα, τῶν προφητῶν ἐκτυποῦντες τὸν χορόν. Καὶ ταῦτα τρισσῶς διαιροῦσι, τὴν Τριάδα τιμῶντες, ψαλμικὰ μὲν προλέγοντες, συνάπτοντες δὲ καὶ ἐκ τῆς χάριτος ὕμνους. Καὶ διὰ μὲν τῶν ψαλμικῶν προκηρυχθεῖσαν καὶ τοῖς παλαιοῖς καταγγέλλουσι τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν, διὰ δὲ τῶν ἐφυμνίων αὐτὴν παριστῶσι τὴν χάριν τετελεσμένην, καὶ τὸν τοῦ Θεοῦ Υἱὸν σαρκωθέντα τε καὶ πάντα ὑπὲρ ἡμῶν ἐνεργήσαντα.

ν'. *Ὅτι πρῶτον καλοῦμεν τὴν Θεοτόκον.*

Διὸ καὶ πρῶτον μὲν τὴν τοῦτον παρθενικῶς τεκοῦσαν τιμῶντες, τὴν ὑπὲρ ἡμῶν αὐτῆς αἰτοῦσι μεσιτείαν. Δι' αὐτῆς γὰρ πρώτης καὶ μόνης σεσώ-

46. *Quia significet quod ex cathedra descendit episcopus.*

Pontifex igitur, sacra facturus, de throno in quo apparet descendens, Dei Verbi ad nos condescensionem figurat.

47. *Quid, quod sacris vestimentis induitur.*

Indutus autem sacram stolam, sacratissimi ejus incarnationem significat.

48. *Quid quod ad occidentem portas ingreditur templi.*

Et ad portas etiam templi usque gradiens, ejusdem in terris præsentiam et manifestationem et ad mortem usque et infernum descensum animi oculis ingerit. Hoc enim sibi vult, quod occasum versus, et ad portas usque deorsum procedit. Sacra vero missa inchoata, cum pontifex signum dederit, non enim potest quis sine ejus nutu quidquam moliri; sacerdotes quidem intus orationes aggrediuntur cœlestium ordinum typum gerentes.

49. *Quare simul concinantur psalmi et hymni de Dei in nos per Christum gratia.*

Cantores vero antiphona modulantur, prophetarum chorum figurantes, trifariamque illa distribuunt, et ea quæ ex psalmis desumpta sunt, præcinunt: tum vero adjungunt hymnos, qui gratiæ suavitatem sapiunt. Et psalmicis quidem illis prænuntiatam antiquis, quibus re vera prædicebatur, Dei Verbi incarnationem significant. Per versus vero resumptionem, ipsam gratiam ut consummatam et incarnatum Dei Filium cuncta pro nobis operantem repræsentant.

50. *Quod primum appellamus Deiparam.*

Propterea que primo eam quæ illum incorrupta virginitate peperit venerati, illius per quam solam ac primam salvati sumus, pro nobis intercessio-

nem implorant, dicentes : « Precibus Deiparæ, serva nos, Salvator. »

51. *Secundo loco sanctos.*

Sanctorum deinde memoriam agentes qui pro mysterio decertantes fidei, sanctissime consummati sunt, eorum nobis concilliant supplicationes.

52. *Tertio et postremo loco ipsum Salvatorem nostrum.*

Salutis tandem nostræ auctorem et consummatorem Christum collaudantes, clara voce, «Salva nos, Fili Dei,» modulantur.

53. *Quid denotet episcopus inferius stans extra bema sive sacrarium, et quid stantes cum eo diaconi.*

Postquam vero foris sacras perfecerit preces, pontifex sedet. Diaconi assistunt; qui non modo B apostolorum, verum etiam angelorum, quos Christus in mysteriis suis ministros habuit, locum tenent.

54. *Quid significet prima sacerdotum egressio ex bemate, et eorumdem cum episcopo dum Evangelium fertur ingressus.*

Sacerdotibus vero etiam et ipsis infra tribunalis septa orationes terminantibus et foras egressis, sanctorum angelorum in Christi resurrectione et ascensione descensus manifestatur. Ac dum pontifex inclinato capite cum sacerdotibus votum facit ut angeli sacra operantes occurrant, et caput inclinans et erectus, Salvatoris resurrectionem significat. Hoc diaconus quoque in altum sublato Evangelio prædicans C Christi resurrectionem agendo ac loquendo alta voce indicat, exclamando: «Sapientia, recti.» Tum præferuntur faces, et diaconi, bini iterumque bini, præcedunt, sacrumque Evangelium descendit manibus delatum; pontifex ipse hinc inde a diaconis stipatus et sustentatus, deducitur : mox autem a tergo sacerdotes reliqui sequuntur.

A σμεθα, « Ταῖς πρεσβείαις, λέγοντες, τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

να'. Ὅτι δεύτερον τοὺς ἁγίους.

Ἔπειτα δὲ τῶν ἁγίων μεμνημένοι, οἱ τῷ μυστηρίῳ ἐπαγωνισάμενοι ἱερῶς τετελείωνται, καὶ τὰς αὐτῶν ἐπικαλοῦνται δεήσεις.

νβ'. Ὅτι τρίτον καὶ τελευταῖον αὐτὸν τὸν Σωτῆρα ἡμῶν.

Ὕστερον δὲ τὸν τῆς σωτηρίας ἡμῶν ἀρχηγὸν καὶ τελειωτὴν Χριστὸν ἀνυμνοῦντες, μεγαλοφώνως, τὸ, « Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, » ἀναμέλπουσι.

νγ'. Τί ἐκτυποῖ ὁ ἀρχιερεὺς ἔξω τοῦ βήματος καὶ κάτω ἱστάμενος, καὶ τί οἱ σὺν αὐτῷ.

Τὰς ἱερὰς δὲ τετελεκὼς ὁ ἱεράρχης ἔξωθεν εὐχὰς, ἵσταται, οἱ διάκονοί τε συμπαρίστανται, οὐ τοὺς ἀποστόλους μόνον τυποῦντες, ἀλλὰ καὶ τοὺς ἀγγέλους, τοὺς τοῖς αὐτοῦ μυστηρίοις καθυπουργήσαντας.

νδ'. Τί σημαίνει ἡ πρώτη ἐκ τοῦ βήματος τῶν ἱερέων ἔξοδος, καὶ μετὰ τοῦ ἀρχιερέως διὰ τοῦ Εὐαγγελίου εἴσοδος.

Τῶν ἱερέων δὲ τοῦ βήματος ἔνδοθεν τετελεκότων καὶ αὐτῶν τὰς εὐχὰς, καὶ ἐξεληλυθότων, ἡ τῶν θείων ἀγγέλων δηλοῦται κατάβασις ἐπὶ τῇ τοῦ Χριστοῦ ἀναστάσει καὶ ἀναλήψει· ὅτε καὶ ὁ ἀρχιερεὺς ὑποκλίνας τὴν κεφαλὴν σὺν τοῖς ἱερεῦσι, τοῦτο εὔχεται, ἀγγέλους συνεισιόντας καὶ συλλειτουργοῦντας εὑρεῖν. Καὶ ἐν τῷ κλῖναι τὴν κεφαλὴν, καὶ ἀναστῆναι, τὴν ἀνάστασιν πᾶσι φανεροῖ τοῦ Κυρίου. Τοῦτο δὲ κηρύττει καὶ ὁ διάκονος, τὸ Εὐαγγέλιον ἀνυψῶν, τὴν τοῦ Σωτῆρος ἔγερσιν καὶ αὐτὸς καταγγέλλων, καὶ μεγαλοφώνως ἐκβοῶν, « Σοφία, ὀρθοί, » δι' ἔργων καὶ λόγων μαρτυρῶν τὴν ἀνάστασιν. Μετὰ τοῦτο δὲ εὐθὺς ὁ τύπος τῆς ἀναλήψεως· καὶ λαμπάδων μὲν προπορευομένων, τῶν διακόνων δὲ κατὰ συζυγίαν προηγουμένων, τοῦ ἱεροῦ τε Εὐαγγελίου κατεχομένου, καὶ τοῦ ἀρχιερέως αὐτοῦ παρὰ διακόνων ἑκατέρωθεν παραχρατουμένου, ὄπισθεν δὲ ἑπομένων τῶν λοιπῶν ἱερέων.

55. *Quid illud : « Venite, adoremus : » et quid denotent faustæ, cum antistes ingreditur, acclamationes.*

Et illud : «Venite, Christum adoremus : » clarissima voce cantant, et pontifici faustæ acclamationes fiunt ad resurrectionem et ascensionem Salvatoris indicandas. Diaconus etenim sic voce D clarisona Christi resurrectionem prædicat; chorus autem sacerdotum et diaconorum, ut jam diximus, apostolos Domino præsentes, eumque intuentes, sanctissimosque angelos.

νε'. Τί τὸ, « Δεῦτε προσκυνήσωμεν. » Καὶ τί ἡ τοῦ ἀρχιερέως ἐν τῇ εἰσόδῳ εὐφημία.

Καὶ τοῦ, « Δεῦτε προσκυνήσωμεν Χριστῷ, » λίαν λαμπρῶς ᾀδομένου, καὶ τοῦ ἀρχιερέως εὐφημουμένου, ἡ ἀνάστασις καὶ ἀνάληψις σημαίνεται, ὡς ἀναγέγραπται, τοῦ Σωτῆρος. Ὁ μὲν γὰρ διάκονος, ὡς εἴρηται, ἐκφωνήσας, τὴν τοῦ Σωτῆρος κηρύττει ἀνάστασιν· ὁ δὲ χορὸς τῶν ἱερέων καὶ διακόνων, ὡς προειρήκαμεν, τοὺς ἀποστόλους συνόντας τῷ Κυρίῳ καὶ τοῦτον ὁρῶντας, καὶ τοὺς ἱερωτάτους ἀγγέλους.

56. *Quid quod revertitur episcopus et sacrarium intrat.*

Pontifex vero ipsum Dominum redivivum discipulis apparentem, et in cœlum elevatum figuraliter reddit. Quocirca totum templi tractum extra tribunal, terram ; tribunal vero ipsum, cœlum referre docuimus. Unde et, ut David vaticinatur, cum ascenderet Dominus in cœlum, illum deducebant angeli, et illud, «Tollite portas,» clata

280 νς'. Τί τὸ ἀνέρχεσθαι τὸν ἀρχιερέα καὶ εἰς τὸ βῆμα εἰσέρχεσθαι.

Ὁ δέ γε ἀρχιερεὺς αὐτὸν τυποῖ ἀναστάντα τὸν Κύριον, τοῖς μαθηταῖς τε ἐμφανισθέντα, καὶ ἀναλαμβανόμενον ἀπὸ γῆς πρὸς οὐρανούς. Διὸ καὶ τῆς γῆς τύπον εἴπομεν ἔχειν τὸν καθόλου ἔξωθεν ναὸν, οὐρανὸν δὲ τὸ ἱερώτατον βῆμα. Ὅθεν ὡς καὶ ὁ Δαβὶδ προφητεύει, καθάπερ ἐν τῷ ἀναλαμβάνεσθαι, προέπεμπον τὸν Κύριον ἄγγελοι, καὶ τὸ, « Ἄρατε

πύλας, ἐβόων τοῖς ὑπεράνω, καὶ βασιλέα τῆς δόξης ὠνόμαζον, καὶ Κύριον καὶ κραταιὸν αὐτὸν ὡμολόγουν.

νζʹ. *Τί τὸ κλείεσθαι τὰ ἅγια θύρια, καὶ ἀνοίγεσθαι εἰσερχομένου τοῦ ἀρχιερέως.*

Οὕτω δὴ καὶ ἡ Ἐκκλησία ποιεῖ, μετὰ προπομπῆς εὐφημοῦσα εἰσιόντα ἐν τῷ ἱερατείῳ τὸν ἱεράρχην. Αἱ ἱεραί τε πύλαι τοῦ βήματος κλειόμεναι πρὸ τοῦ εἰσελθεῖν, καὶ ἀνοιγόμεναι πάλιν ἐν τῷ εἰσέρχεσθαι, τοῦτο δηλοῦσιν.

νηʹ. *Τί τὸ θυμιᾶσαι κύκλῳ τὴν ἁγίαν τράπεζαν.*

Εἰσελθόντος δὲ, καὶ κύκλῳ τὴν ἱερὰν θυμιάσαντος τράπεζαν, τοῦ Πνεύματος ἐκτυποῦται διὰ τούτου ἡ παρουσία· ὅπερ ἦλθε πρὸς ἡμᾶς ἐκ τῶν οὐρανῶν, πρὸς τοὺς οὐρανοὺς τοῦ Χριστοῦ ἀνεληλυθότος.

νθʹ. *Τί δηλοῖ τὸ δικήριον, καὶ διατί σφραγίζει τὸ Εὐαγγέλιον.*

Ἀλλὰ καὶ δικηρίῳ τινὶ σφραγίζων ὁ ἱεράρχης τὸ ἱερὸν Εὐαγγέλιον, τὴν διὰ τῆς ἐνανθρωπήσεως δηλοῖ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς φωταύγειαν τοῦ διφυοῦς Ἰησοῦ, καὶ τὴν δι' αὐτοῦ ἡμῶν σωτηρίαν νοητήν τε καὶ αἰσθητήν. Τῇ γὰρ αὐτοῦ σαρκώσει ὁ τοῦ Θεοῦ Λόγος, οὐ μόνον ἀνθρώπους διπλῶς, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐτοὺς κατηύγασε, καὶ ὅτι ὁ σαρκωθεὶς αὐτός ἐστιν ὁ τοῦ Θεοῦ Υἱός.

ξʹ. *Τί διδάσκει ὁ Τρισάγιος ὕμνος.*

Ὁ δὲ Τρισάγιος ὕμνος εὐθὺς λεγόμενος τὸ τῆς Τριάδος μυστήριον δείκνυσιν· ὅπερ ἡ σάρκωσις τοῦ ἑνὸς τῆς Τριάδος ἐκήρυξε τοῖς ἀνθρώποις. Διὰ γὰρ τοῦ σαρκωθέντος Λόγου τὸν Πατέρα καὶ τὸ Πνεῦμα ἐγνώκαμεν, ἀλλὰ δὴ καὶ τὴν συμφωνίαν καὶ ἕνωσιν ἀγγέλων τε καὶ ἀνθρώπων. Διὸ καὶ ἔνδοθεν οὗτος παρὰ τῶν ἱερέων, καὶ ἔξωθεν παρὰ κληρικῶν τε καὶ λαϊκῶν ᾄδεται· μία γὰρ ἡ Ἐκκλησία ἀγγέλων τε καὶ ἀνθρώπων διὰ τοῦ Χριστοῦ γέγονε.

ξαʹ. *Διατί πάλιν ὁ ἀρχιερεὺς τρικηρίῳ σφραγίζει τὸ Εὐαγγέλιον.*

Κηρύττων δέ γε τοῦτο καὶ ὁ ἀρχιερεὺς, τρικηρίῳ πάλιν τὸ Εὐαγγέλιον σφραγίζει, τῆς Τριάδος ἐν τῷ Εὐαγγελίῳ παραδηλῶν τὸ κήρυγμα, καὶ αὐτῆς εὐχόμενος κρατύνεσθαι τοῦτο, ἄμπελον αὐτὸ καλῶν, ὡς τὸ τῆς ἀληθινῆς εὐφροσύνης πρόξενον, καὶ μετὰ τοῦ Θεοπάτορος ἐπισκοπῆς θείας ἀξιωθῆναι καὶ καταρτισμοῦ προσευχόμενος.

ξβʹ. *Τί δηλοῖ ἡ ἐν τῷ θείῳ συνθρόνῳ τοῦ ἀρχιερέως ἄνοδος· καὶ τί τὸ ἐκ τοῦ συνθρόνου διὰ τοῦ τρικηρίου σφραγίζειν.*

Ἀλλὰ καὶ ἐν τῷ θείῳ ἀνελθὼν συνθρόνῳ, ὃ δὴ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν τοῦ Χριστοῦ ἐπιμαρτυρεῖ, κἀκεῖθέν τε τῷ τρικηρίῳ σφραγίζειν, διὰ τῆς Τριάδος τὸν ἁγιασμὸν ἡμῖν ἐπιβεβαιοῖ, καὶ ὅτι ὁ Χριστὸς εἰς τοὺς οὐρανοὺς ἀνεληλυθὼς, τὴν λάμψιν τῆς Τριάδος, ἣν τὸ φῶς σημαίνει, καὶ τὴν εὐλογίαν ἡμῖν ἐβράβευσε.

ξγʹ. *Τί τὸ καθῆσθαι ἐν τῷ συνθρόνῳ· καὶ τί τὸ, « Εἰρήνη πᾶσιν, » εἰπεῖν.*

Καθίσας δὲ τῷ συνθρόνῳ, τὸν Χριστὸν ἐκμιμούμενος συγκαθέδρους ἔχων καὶ τοὺς συνεπισκόπους

A voce ad superiores clamabant, et regem gloriæ et Dominum appellabant, eumque potentem confitebantur.

57. *Quid quod sanctæ portæ clauduntur et aperiuntur ingrediente episcopo.*

Ecclesia similiter facit, dum solemni pompa pontifici in sacrarium ingredienti faustum acclamat: et id portæ sacrarii antequam veniat, clausæ, rursumque ad ejus introitum apertæ, significant.

58. *Quid quod circulo suffitum facit circa sacram mensam.*

Cum vero ingressus circa sacram mensam thus adolet, ea cæremonia Spiritus sancti præsentiam monstrat, qui post Christi ascensum cœlitus ad
B nos venit.

59. *Quid significet duplex cereus, et quare Evangelium cruce episcopus signet.*

Verum et bicipiti cereo signans Evangelium pontifex, illuminationem a Jesu duplici natura constante in cœlo et in terra factam per assumptam ab eo humanitatem docet; Dei enim Verbi incarnatio non tantum homines, verum etiam angelos illustravit, et quod incarnatus ipse sit Dei Filius, manifestavit.

60 *Quid Trisagii hymnus doceat.*

Hymnus, «Ter sanctus,» qui mox sequitur mysterium Trinitatis ostendit, quod incarnatio unius de
C Trinitate hominibus promulgavit. Per Verbum enim incarnatum Patrem et Spiritum cognovimus, ac præterea hominum et angelorum conspirationem atque consensum. Idcirco et intus a sacerdotibus, et foris a clericis et laicis cantatur; quandoquidem per Christum ex angelis et hominibus Ecclesia una evasit.

61. *Quare episcopus iterum cruce signet Evangelium cum cereo triplici.*

Quod et ipsum pontifex declarat, dum rursus tricipiti cereo Evangelium signat, et in eodem Trinitatis prædicationem contineri indicat, et ab ea hoc confirmari et stabiliri precatur, vitem appellans veræ sapientiæ latricem et ut ad summam Ecclesiæ dignitatem eveheretur, supplicans.

D

62. *Quid significet quod redit ad sacerdotum subsellia, et quod ex illis cruce signat cum cereo triplici.*

Sed et ad consessum superius contendens (qui Christi ad dextram Patri sessionem notat) et ibi tricipiti cereo signans, sanctificationem per Trinitatem, in nobis productam, et Christum ubi in cœlos migravit, splendorem Trinitatis (cujus typus est lumen) et benedictionem nobis tribuisse, confirmat.

63. *Quid quod in subselliis sacerdotum sedet, et quid denotet formula, « Pax vobis omnibus. »*

In sacro vero consessu accubans, Christum imitatur, confessoresque habet coepiscopos et sacer-

dotes, apostolorum figuram, et similitudinem gerentes, et pacem omnibus precatur, quod unionis concordiæque symbolum est. Christus enim est « qui solvit inimicitias in carne sua, et fecit utraque unum, quæ in cœlo et quæ in terris sunt, » inquit Paulus [a].

64. *Quare primo lectio ex apostolo recitetur, deinde Evangelium.*

Deinde ad apostolorum missionem ad gentes, in memoriam nobis redigendam, apostolica scripta recitantur.

65. *Quamobrem durantibus apostolicis lectionibus sedeant episcopi et sacerdotes, non autem diaconi.*

Sedent interim pontifices et sacerdotes dum leguntur illa, non tamen diaconi : quia et apostolicam gratiam ut et illi Evangelium publicent, adepti sunt.

66. *Quare ante Evangelii lectionem concinatur « Alleluia. »*

Ante Evangelium autem, « Alleluia » hymnus decantatur, laudem Dei, divinæque gratiæ adventum, quæ Evangelii lectio est, nobis insinuat.

67. *Quid per lectionem Evangelii significetur.*

Ipsa porro ejus recitatio, Evangelium post ascensionem Domini per universum mundum a discipulis annuntiatum monet. Quocirca et prius apostoli epistola, et deinde Evangelium legitur. Quia primum quidem corroborati sunt discipuli, postmodum orbem longe lateque pervadentes Evangelium disseminarunt.

68. *Quare ante Evangelii lectionem fiat suffitus.*

Ante Evangelium thymiama datur, propter datam ab eo Spiritus gratiam toti mundo.

69. *Quare cum legitur Evangelium, episcopus humerale deponat.*

Dum Evangelium legitur, pontifex pallium deponit, servitutem suam erga Dominum demonstrans. Quoniam enim ille per Evangelium loqui cognoscitur, et tanquam præsens est, ipse tunc symbolum incarnationis ejus gestare non audet, sed ab humeris sublatum diacono tradit.

70. *Quare diaconus humerale complicatum ferat manu, et triplicem cereum teneat atque ante sancta præcedat.*

Diaconus illud dextra complicatum tenet, ipsi pontifici astans, et sacra dona præcedens. Item tricipitem cereum manu pontifex defert, per quod intelligimus Jesum conspectum iri in futuri sæculi contemplatione, qui pro nobis incarnatus et vulneratus est ; et cum unus de Trinitate sit, nos divinitatis suæ splendoribus illuminat.

71. *Quid significet quod episcopus de subselliis sacerdotalibus descendit, et cum triplici cereo ter signaculum crucis facit.*

Descendens tandem de cathedra pontifex, bene-

[a] Ephes. II, 14.

A καὶ ἱερεῖς, μιμουμένους τοὺς ἀποστόλους, « Εἰρήνην ἅπασι, » λέγει. Καὶ τοῦτο δηλοῖ **281** τὴν ἕνωσιν. Χριστὸς γάρ ἐστιν « ὁ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, καὶ ποιήσας τὰ ἀμφότερα ἕν, τὰ ἐν οὐρανῷ, φησὶ Παῦλος, καὶ τὰ ἐπὶ γῆς. »

ξδ'. *Διατί πρῶτον ἀναγινώσκεται ὁ ἀπόστολος, εἶτα τὸ Εὐαγγέλιον.*

Εἶτα τῶν ἀποστολικῶν ἡ ἀνάγνωσις λόγων, ὃ δηλοῖ τὴν τῶν ἀποστόλων εἰς τὰ ἔθνη ἀποστολήν.

ξε'. *Διατί ἀναγινωσκομένων τῶν ἀποστολικῶν, κάθηνται ἀρχιερεῖς τε καὶ ἱερεῖς, οὐ μὴν οἱ διάκονοι.*

Κάθηνται δὲ ἀρχιερεῖς τε καὶ ἱερεῖς ἀναγινωσκο-
B μένων τούτων, πλὴν διακόνων, ὅτι καὶ οὗτοι τὴν ἀποστολικὴν χάριν ἔχουσι.

ξς'. *Διατί πρὸ τοῦ Εὐαγγελίου τὸ « Ἀλληλούϊα. »*

Πρὸ τοῦ Εὐαγγελίου δὲ τὸ « Ἀλληλούϊα » ὕμνος· ὃ δὴ αἶνον Θεοῦ καὶ ἐπιδημίαν δηλοῖ θείας χάριτος, ἥτις ἐστὶν ἡ τοῦ Εὐαγγελίου ἀνάγνωσις.

ξζ'. *Τί σημαίνει ἡ τοῦ Εὐαγγελίου ἀνάγνωσις.*

Αὕτη δὲ ἡ ἀνάγνωσις τὸ ἐν ὅλῳ τῷ κόσμῳ τοῦ Εὐαγγελίου κήρυγμα φαίνει, μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ὑπὸ τῶν μαθητῶν αὐτοῦ γεγονός. Διὸ καὶ πρῶτον μὲν ὁ ἀπόστολος, ἔπειτα δὲ τὸ Εὐαγγέλιον κηρύσσεται. Ὅτι πρῶτον μὲν ἐνισχυθέντες ἐξαπεστάλησαν οἱ μαθηταί· εἶτα τὴν οἰκουμένην
C περιδραμόντες, τὸ Εὐαγγέλιον ἐκήρυξαν.

ξη'. *Διατί πρὸ τοῦ Εὐαγγελίου θυμίαμα.*

Πρὸ δὲ τοῦ Εὐαγγελίου θυμίαμα, διὰ τὴν δεδομένην ἀπὸ τοῦ Εὐαγγελίου χάριν τοῦ Πνεύματος ἐν ὅλῃ τῇ οἰκουμένῃ.

ξθ'. *Διατί τοῦ Εὐαγγελίου ἀναγινωσκομένου, ὁ ἀρχιερεὺς ἐκβάλλει τὸ ὠμοφόριον.*

Ἀναγινωσκομένου δὲ τοῦ Εὐαγγελίου ἀποτίθεται τὸ ὠμοφόριον ὁ ἀρχιερεύς, τὴν ἑαυτοῦ δουλείαν ἐπιδεικνὺς τῷ Κυρίῳ. Ἐπεὶ γὰρ ἐκεῖνος διὰ τοῦ Εὐαγγελίου ὁρᾶται φθεγγόμενος, καὶ ὡς παρὼν ἐστί, τότε τὴν εἰκόνα τῆς σαρκώσεως αὐτοῦ, τὸ ὠμοφόριον λέγω, οὐ τολμᾷ ἐνδεδῦσθαι, ἀλλ' ἐξελὼν τῶν ὤμων, δίδωσιν αὐτὸ διακόνῳ.

D ο'. *Διατί ὁ διάκονος διπλώσας φέρει τῇ χειρὶ τὸ ὠμοφόριον, καὶ τὸ τρικήριον δὲ κατέχει, καὶ τῶν ἁγίων προπορεύεται.*

Ὃς καὶ κατέχει τοῦτο διπλώσας τῇ δεξιᾷ, τοῦ ἀρχιερέως μὲν πλησίον ἱστάμενος, καὶ τῶν ἱερῶν δὲ δώρων προπορευόμενος, ὃς δὴ καὶ τὸ τρικήριον τῇ χειρὶ κατέχει. Σημαίνει δὲ τοῦτο, ὡς ἐν τῷ μέλλοντι θεωρίᾳ πᾶσιν ἔσται ὁ Ἰησοῦς, σεσαρκωμένος καὶ τετρωμένος ὑπὲρ ἡμῶν, καὶ εἷς ὢν τῆς Τριάδος καταλάμπων ἡμᾶς ταῖς αὐγαῖς τῆς θεότητος.

οα'. *Τί δηλοῖ τὸ κατελθεῖν ἐκ τοῦ συνθρόνου τὸν ἀρχιερέα, καὶ τρικηρίῳ σφραγίσαι τρίς.*

Κατερχόμενος δὲ ὁ ἀρχιερεὺς τῆς καθέδρας, τὴν

ἐκ τοῦ οὐρανοῦ περὶ ἡμᾶς· δηλοῖ τοῦ Σωτῆρος πρόνοιαν καὶ κηδεμονίαν, ὅτι καὶ ἀνελθὼν, ἡμῶν οὐ κεχώρισται. Διὸ καὶ ἐν τῇ ὑπὲρ τῶν βασιλέων εὐχῇ σφραγίζων μετὰ τὸ Εὐαγγέλιον τῷ τρικηρίῳ τὸν λαὸν, τὸ συστῆναι τὴν εὐσεβῆ βασιλείαν διὰ τῆς αὐτοῦ ἱερωσύνης καὶ τοῦ Εὐαγγελίου ἐνδείκνυσι. Καὶ ταύτας εὔχεται μένειν διὰ τῆς χάριτος τῆς Τριάδος. Ἐπεὶ καὶ μεθ' ἡμῶν εἶναι αὐτὸς ἐπηγγείλατο. Ἀλλὰ καὶ τὸ καταβῆναι τῇ αὐτοῦ δευτέρᾳ παρουσίᾳ πάλιν αὐτὸν πρὸς ἡμᾶς τοῦτο μαρτυρεῖ. Ὃ καὶ φανερώτερον παριστᾷ ἡ τῶν ἁγίων δώρων ἔνδοξος εἴσοδος. Δείκνυται γὰρ τοῦτο καὶ διὰ τοῦ ἀρχιερέως, καὶ διὰ τῆς τῶν ἁγίων εἰσόδου.

οβ'. Τί τὸ προσελθεῖν τῷ θυσιαστηρίῳ, καὶ εὔχεσθαι τὸν ἀρχιερέα.

Τῷ θυσιαστηρίῳ δὲ προσελθὼν, τοῦ ἔργου ἄρχεται τῶν εὐχῶν, δεικνὺς ἑαυτὸν ὑπηρέτην **282** τοῦ μυστηρίου.

B

ογ'. Τί τὸ τοὺς κατηχουμένους ἐκβάλλεσθαι.

Κατηχούμενοι δὲ εὐθὺς ἀπολύονται, καὶ οἱ πιστοὶ μένειν παρακελεύονται. Ἐπεὶ ὁ καιρὸς οὗτος τὸν τῆς συντελείας δηλοῖ καιρόν. «Μετὰ γὰρ τὸ κηρυχθῆναι, φησὶ, τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, τότε ἥξει τὸ τέλος. Ἐπεὶ δ' ἐν τῷ τέλει ἀποστελεῖ, φησὶ, τοὺς ἀγγέλους αὐτοῦ, καὶ διαχωρίσουσι τοὺς πονηροὺς ἀπὸ τῶν δικαίων, » τοῦτο καὶ ἡ Ἐκκλησία ποιεῖ, καὶ βοᾷ μὲν ἐξέρχεσθαι τοὺς κατηχουμένους, μένειν δὲ μόνους τοὺς πιστούς. Ὅθεν καὶ νοεῖν ἔξεστιν, ὁπόσην ἔχειν ὀφείλουσιν οἱ πιστοὶ προσοχὴν περὶ τοῦ μὴ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, καὶ μάλιστα τῶν ἄλλων οἱ ἱερεῖς. Εἰ γὰρ μὴ προσευχῆς κοινωνῆσαι θέμις, πολλῷ μᾶλλον θυσίας.

C

οδ'. Πῶς δεῖ τοῖς δώροις καὶ ὑπὲρ τίνων προσφέρειν μερίδας.

Οἳ καὶ τῶν προδήλως ἁμαρτανόντων πιστῶν τὰς προσφορὰς, ἕνεκα θυσίας, οὐχ ὀφείλουσιν ὡς ἔτυχε δέχεσθαι, ἀλλὰ πρότερον τὴν μετάνοιαν ἐκζητεῖν. Κοινωνία γὰρ γίνεται τῇ προσφερομένῃ μερίδι, καὶ οὐ χρὴ τοὺς ἀναξίως ἔχοντας τῆς θυσίας κοινωνεῖν. Οἶδα δὲ ὅτι καὶ ἐνταῦθα φιλονεικοῦσί τινες, πῶς λέγομεν ἐξέρχεσθαι τοὺς κατηχουμένους, μὴ ὄντων κατηχουμένων; Ὡς οὖν καὶ ἐν τοῖς ἄλλοις πλανῶνται, μὴ εἰδότες τὰς Γραφὰς, μήτε τὰ τῆς Ἐκκλησίας μυστήρια, καὶ ἐν τούτῳ ὁμοίως. Ἀεὶ γὰρ ἐν τῇ Ἐκκλησίᾳ εἰσὶ κατηχούμενοι, καὶ πρῶτον μὲν τὰ τῶν πιστῶν ἀβάπτιστα πάντα βρέφη,
D
ἅτινα τεχθέντα, εὐθὺς εὐχὰς δεχόμενα ἱερὰς, οὔπω πιστὰ γεγενημένα, μηδὲ τέλεια τῷ βαπτίσματι, κατηχούμενοί εἰσι. Τοίνυν ὑπὲρ αὐτῶν καὶ πάντοτε μὲν εὐχόμεθα, καὶ ἐν τῇ ἁγίᾳ δὲ Τεσσαρακοστῇ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων εὐχὰς καὶ αἰτήσεις ποιούμεθα. Δεύτερον δὲ, κατηχουμένους ἔχομεν τοὺς ὑπ' ἀσεβῶν κρατηθέντας, καὶ τὴν μὲν πίστιν κατέχοντας ἐν καρδίᾳ, μελετῶντας δὲ ἀποστῆναι τῶν ἀσεβῶν, καὶ τῇ Ἐκκλησίᾳ προσελθεῖν· καὶ ἔτι τοὺς προσελθόντας μὲν, ἔτι κατηχουμένους δὲ, καὶ μήπω τετελεσμένους τῷ θείῳ μύρῳ. Τρίτον δὲ κατηχουμένους ἔχομεν τοὺς

[a] Matth. XXIV, 14.

A dictionem Salvatoris cœlestem nobis impertit, qui licet loco separatus a nobis, remotus non est, et pro imperatoribus Deum clare rogans, ac post Evangelium tricipiti cereo populum signans, per Evangelium pium imperium, et sacerdotium constitutum ostendit, atque ut ita per gratiam Trinitatis permaneant, precatur. Siquidem ipse assistentiam nobis suam promisit, imo per secundum adventum affirmat. Magis vero sacrorum munerum distributio pontifici et sanctis facta.

72. Quid quod idem accedit ad altare et precatur.

Ubi ad aram prodiit precationum opus incipit, seque mysterii ministrum demonstrat.

73. Quid quod catechumeni exisse jubentur.

Catechumeni vero illico dimittuntur, solique fideles manere jubentur: quoniam tempus hoc consummationis tempus repræsentat. Ait enim: «Postquam prædicatum fuerit Evangelium in toto mundo, tunc veniet consummatio. Cum in fine miserit angelos suos,» inquit [a], «et separaverit malos de medio justorum,» Hoc et Ecclesia agit, dum clamans catechumenos exire, fideles tantum remanere præcipit. Unde etiam perspicere licet quantum fideles sibi cavere debeant ne communicent cum iis quibuscum nulla potest esse communio, ac præsertim sacerdotes. Si enim nefas est communicari in precibus, quanto magis sacrificio!

74. Quomodo oporteat dona et pro quibus particulas de hostia sacra offerre.

Qui etiam palam peccantium fidelium oblationes, utcunque eas præsentari contigerit, propter sacrificium non debent temere admittere, sed pœnitentiam prius requirere. Ex oblata enim particula fit communio, et sacrificio indignos eo participare nefas. Scio equidem quosdam de deo nobiscum disceptare quod de catechumenis loquimur, qui revera haud exsistunt. At errant, Scripturas et Ecclesiæ mysteria ignorantes; semper enim Ecclesia catechumenos habet, et præsertim infantes fidelium imbaptizatos, qui post ipsum partum sacras preces recipiunt et post fidem acceptam et baptismum administratum catechumenorum numero accensentur. Pro hisce igitur quadragesimali tempore et Pentecostes festo preces facimus. Secundo, catechumeni sunt qui ab impuris retinentur; ab iis autem recedere et Ecclesiæ fidem amplecti nituntur, porro ii qui ad Ecclesiam accessuri nondum sacro unguento imbuti sunt. Tertio sunt catechumeni, qui homicidii aut alius gravis accusantur criminis, et quibus ad sacra mysteria accedere non licet, sed audientium numero tantum inscripti sunt benevolentia Patrum. Prius enim et hi ipsi excommunicati fuerant.

ἐγκλήμασι περιπεπτωκότας, ἢ φόνου, ἢ ἑτέρου τινὸς χαλεποῦ ἁμαρτήματος. Οἷς οὐκ ἐξὸν ἐστι τῶν μυστηρίων κοινωνεῖν· ἀλλ' ἡ ἀκρόασις μόνη συγκεχώρηται αὐτοῖς τῶν θείων λογίων. Καὶ τοῦτο δ' ὕστερον ἐγεγόνει φιλανθρωπίᾳ τῶν Πατέρων· πρότερον γὰρ, ὡς οἱ κανόνες φασὶν, ἐξωθοῦντο καὶ αὐτοί.

A

75. *Quamobrem episcopus lavet se antequam sacra ingrediatur.*

Cum divina dona proponenda sunt, prius in conspectu omnium manus lavat pontifex, indicans hac cæremonia, se liturgiam purum et nulli reprehensioni affinem aggredi, et quod absque omni penitus sorde, mundis rebus accedere oportet; et quantum in hominis potestate est, purissimis mysteriis subministrare.

οε'. *Διατί πρὸ τῆς εἰσόδου τῶν ἁγίων ἀπονίπτεται ὁ ἀρχιερεύς.*

Μελλόντων δὲ τῶν θείων προτίθεσθαι δώρων, πρότερον ἀπονίπτεται πάντων ἐνώπιον ὁ ἀρχιερεὺς, δηλῶν αὐτοῦ τὸ καθαρὸν περὶ τὴν ἱερουργίαν καὶ ἄληπτον, καὶ ὅτι δίχα ῥύπου παντὸς, ὡς δυνατὸν ἀνθρώπῳ, προσέρχεσθαι τῷ καθαρῷ δεῖ, καὶ τοῖς αὐτοῦ καθαρωτάτοις ἐξυπηρετεῖν μυστηρίοις.

76. *Quomodo divinorum donorum ingressus fiat cum pompa ac splendore.*

Post hæc veneranda dona cum comitatu et pompa splendida circumferuntur, lectoribus, diaconis, sacerdotibus, cum cereis et sacris vasis præeuntibus ac sequentibus: illudque ultimum Christi adventum, ut diximus, in quo cum gloria accessurus est, manifestat. Ideo et pallium cruce insignitum præcedit, quod signum Jesu, et ipsum Jesum de cœlo ostensum iri præfigurat. Quod mox ordine sequuntur diaconi, qui angelorum ordinem referunt. Secundum veniunt qui dona sacra portant, post quos et reliqui omnes: et qui in capite sacrum velum portant, quod nudi et mortui Jesu imaginem habet.

ϛ'. *Πῶς μετὰ λαμπρότητος ἡ τῶν θείων δώρων γίνεται εἴσοδος.*

Ἡ δὲ τῶν τιμίων δώρων μετὰ ταῦτα δορυφορία καὶ εἴσοδος μετὰ λαμπρότητος γίνεται ἀναγνωστῶν, διακόνων, ἱερέων, μετὰ σκευῶν ἱερῶν, προπορευομένων, ἐφεπομένων, ὅτι τοῦτο τὴν τελευ-
B
ταίαν ἐμφαίνει παρουσίαν Χριστοῦ, ὡς εἴπομεν, ἐν ᾗ ἐλεύσεται μετὰ δόξης. Διὸ καὶ ἔμπροσθεν μὲν τὸ ὠμοφόριον ἔρχεται τὸν σταυρὸν ἔχον, ὃ δηλοῖ τὸ ἀπ' οὐρανοῦ σημεῖον μέλλον φανῆναι τοῦ Ἰησοῦ, καὶ αὐτὸν τὸν Ἰησοῦν· μεθ' ὃ καὶ οἱ ἑξῆς διάκονοι, τῶν ἀγγέλων ἐπέχοντες τάξιν· εἶτα καὶ οἱ τὰ θεῖα δῶρα κατέχοντες, μεθ' οὓς οἱ λοιποὶ πάντες καὶ οἱ ἐπὶ κεφαλῆς τὸ ἱερὸν κατέχοντες ἔπιπλον, ὃ γυμνὸν ἔχει καὶ νεκρὸν εἰκονισμένον τὸν Ἰησοῦν.

77. *Quare sacerdotes qui una ingrediuntur, orent pro episcopo, et regni Dei faciant mentionem.*

Hi templum gressu obeuntes, et populo bene precati, ad altare ingrediuntur, dum alii omnes pro pontifice vota precesque depromunt, nec tum alterius rei quam regni Dei meminerunt. Hæc autem omnia docent, quomodo in fine mundi apparente Salvatore, post malorum condemnationem et a Deo recessum, non alia erit hæreditatis fidelibus quam regnum Dei. Regnum autem Dei est ipse Christus, et dispensationis ejus contemplatio, cujus mysterium in eo cognoscitur, quod se humiliavit usque ad mortem, quod pro nobis occisus est, quod occisum illius divinum et vivificum corpus ad vulnera inspicienda exhibuit, et immortalitatem adeptum contra mortem triumphum nobis largitum est, ex vulneribus suis incorruptionem et vitam et divinitatem nobis cum angelis impertiens, alimentum ac potum, ac vitam et lumen ipsum, panem vitæ, verum lumen, vitam æternam, qui est Christus Jesus. Quare ingressus ille solemnis, et secundum adventum Salvatoris, et sepulturam ejus ante oculos ponit: quoniam ipse erit, ut diximus, quem in futuro sæculo contemplabimur, vitam in cœlo jucundam, quam latro quoque in cruce præsensit dicens: « Memento mei, Domine, in regno tuo. »

283 οζ'. *Διατί ὑπερεύχονται τοῦ ἀρχιερέως οἱ εἰσερχόμενοι τῶν ἱερωμένων, τῆς βασιλείας μεμνημένοι τοῦ Θεοῦ.*

Οὗτοι οὖν περιδραμόντες τὸν ναὸν καὶ ἐπευξάμενοι τῷ λαῷ, εἰσέρχονται τὸ θυσιαστήριον, τοῦ ἀρ-
C
χιερέως πάντες ὑπερευχόμενοι, ὅτι καὶ οὐχ ἑτέρας εὐχῆς, ἀλλὰ τῆς βασιλείας μέμνηνται τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα διδάσκει, καὶ ὡς ἐν τῷ τέλει μετὰ τὴν τῶν πονηρῶν ὑποχώρησιν, καὶ τὴν αὐτῶν ἐκ τοῦ Θεοῦ ἀλλοτρίωσιν, τοῦ Σωτῆρος ἐπιφανέντος, οὐκ ἄλλο ἔσται κληρονομία τοῖς πιστοῖς ἢ ἡ τοῦ Θεοῦ βασιλεία. Βασιλεία δὲ Θεοῦ αὐτὸς ὁ Χριστὸς, καὶ ἡ θεωρία τῆς οἰκονομίας αὐτοῦ, τὸ μέχρι θανάτου ταπεινωθῆναι, τὸ σφαγῆναι ὑπὲρ ἡμῶν, τὸ ἐσφαγμένον ἐκείνου τὸ ζωοποιὸν καὶ θεῖον σῶμα καθορᾷν, τὰς τρώσεις ἐπιδεικνύμενον, τὸ ἀπαθανατισθὲν μὲν καὶ κατὰ τοῦ θανάτου ἡμῖν τὴν νίκην βραβεῦσαν, ἐκ τῶν ὠτειλῶν δὲ τὴν ἀφθαρσίαν καὶ τὴν ζωὴν καὶ τὴν θέωσιν μετὰ τῶν ἀγγέλων ἡμῖν παρεχόμενον, καὶ τροφὴν καὶ πόσιν καὶ ζωὴν καὶ
D
φῶς, αὐτὸν τὸν ἄρτον τῆς ζωῆς, τὸ ἀληθινὸν φῶς, τὴν ζωὴν τὴν αἰώνιον, τὸν Χριστὸν Ἰησοῦν ὄντα. Διὸ ἡ εἴσοδος αὕτη ἅμα καὶ τὴν δευτέραν σημαίνει παρουσίαν τοῦ Σωτῆρος, καὶ τὴν ταφὴν, ὅτι αὐτὸς ἔσται, ὡς εἴρηται, ἡ ἐν τῷ μέλλοντι θεωρία, βασιλεία τε καὶ ἀπόλαυσις, ἣν καὶ λῃστὴς ἐπὶ τοῦ σταυροῦ φωτισθεὶς, προέγνω καὶ προεκήρυξε λέγων, « Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. »

78. *Quare fideles in magno introitu coram sacerdotibus procidant.*

Inclinant autem, atque etiam in genua procum-

οη'. *Διατί προσπίπτουσι τοῖς ἱερεῦσιν ἐν τῇ μεγάλῃ εἰσόδῳ πιστοί.*

Προσπίπτουσι δὲ πάντες τοῖς ἱερεῦσιν οἱ πιστοὶ,

ὃ καλῶς, τὸ μὲν, τὰς εὐχὰς αὐτῶν ἐξαιτούμενοι, καὶ μνησθῆναι τούτων ἐν τῇ ἱερουργίᾳ δεόμενοι, τὸ δὲ, τιμῶντες τὰ θεῖα δῶρα. Εἰ γὰρ καὶ μήπω ἱερουργήθη, ἀλλ' ἐν τῇ προθέσει ἀνετέθησαν τῷ Θεῷ, καὶ ὁ ἱερεὺς ἐκεῖσε εὐχὴν ἀνέφερε, καὶ προσδέξασθαι ταῦτα εἶπεν ἐπὶ τὸ ἄνω θυσιαστήριον· εἰ οὖν καὶ μήπω τετελεσμένα, ἀλλὰ πρὸς τὸ τελεσθῆναι ἡτοιμασμένα εἰσὶ, καὶ ἀνάθημα Θεῷ καὶ ἀντίτυπα τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος. Οἱ κατὰ τὸν Κάϊν οὖν διαφθονούμενοι τῷ Ἄβελ ἡμῖν ἀλαζόνες, καὶ ὑπερηφάνως κατὰ τῶν ἁγίων φερόμενοι ἐντραπήτωσαν, βλασφημοῦντες, καὶ τὸ ἀπὸ Θεοῦ κατάκριμα φοβηθήτωσαν. Οὐ γὰρ εἰδωλολατροῦμεν ἡμεῖς τοῖς θείοις δώροις προσπίπτοντες! ἄπαγε· ἀλλὰ τοῖς ἀνατεθειμένοις τῷ Θεῷ δι' εὐχῶν δώροις, καὶ μήπω τετελεσμένοις, τὴν τιμὴν ἀπονέμομεν, ὡς ἡγιασμένοις τῇ προσαγωγῇ, ὡς ἀφιερωμένοις διὰ θειοτάτων εὐχῶν, ὡς ἀντιτύποις οὖσι τοῦ σώματος τοῦ Χριστοῦ καὶ αἵματος. Οἱ δὲ λέγοντες ταῦτα λοιπὸν τὰ προσαγόμενα παρ' αὐτῶν, ὡς εἴδωλα πρὸ τῆς Κυριακῆς φωνῆς μετὰ τὰς ἄλλας εὐχὰς ἔχουσι. Καὶ ποίαν ἕξουσιν ὅλως ἀπολογίαν οἱ τὰ ἀνατεθειμένα ἐν τῇ προθέσει δῶρα τῷ Θεῷ εἴδωλα (φεῦ!) ὀνομάζοντες, καὶ τῶν δυσσεβῶν Εἰκονομάχων χείρονες οὗτοι; Ὅτι αἱ μὲν θεῖαι εἰκόνες ἅγιαι μὲν ὡς μορφώματα τῶν ἀληθινῶν, τὰ δῶρα δὲ ἀνατεθειμένα Θεῷ, καὶ εἰς τὸ γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ προσαγόμενα. Εἰ οὖν ταῖς ἱεραῖς εἰκόσι τιμὴν καὶ προσκύνησιν ἀπονέμειν ὀφείλομεν, πολλῷ μᾶλλον αὐτοῖς τοῖς δώροις, ἀντιτύποις οὖσιν, ὡς ὁ μέγας φησὶ Βασίλειος, καὶ πρὸς τὸ γενέσθαι προσαγομένοις σῶμα καὶ αἷμα Χριστοῦ. Καὶ διὰ τὰ θεῖα δὲ σκεύη χρὴ ὑποκύπτειν τοῖς ἱερεῦσιν, εἰ καὶ ἐξ αὐτῶν κενά τινα ᾖ. Ἁγιασμοῦ γὰρ πάντα μετέχει, τῶν θείων δώρων ἐν αὐτοῖς ἱερουργουμένων.

A sunt fideles omnes ante sacerdotes, ac jure quidem, partim ipsorum preces, et sui in missa memoriam cogitantes, partim divina dona venerantes. Quanquam enim sacrificata nondum sunt, in altari tamen propositionis Deo dicata fuere, et sacerdos illic ea Deo obtulit et in sublime altare deportari acceptarique precatus est. Quamvis igitur consecratione nondum consummata sint, verum ut consecrentur disposita fuere et Deo dicata, et typi Dominici corporis et sanguinis sunt. Qui igitur ut Cain nobis ut Abeli invident et contra sanctos invehuntur, abeant in malam crucem et Dei judicium metuant. Non enim nos ante divina dona ut idola prosternimur; absit! sed donis quæ Deo cum precibus offeruntur, licet nondum sanctificata sint, B honorem tribuimus ut sanctificandis per preces, ut typis corporis ac sanguinis Dominici. Qui vero dicunt oblationes ipsorum sicut idola ante vocem Domini post cæteras preces habent. Qualem porro veniam merentur qui oblationes Deo factas idola eheu! nominant et impiis Iconomachis pejores sunt? Divinæ enim imagines sacræ quidem sunt ut formæ veritatis; item dona Deo oblata utpote in corpus et sanguinem Christi transmutanda. Si ergo sacris imaginibus honorem venerationemque tribuimus, quanto magis ipsa dona, quæ, ut magnus Basilius dicit, antitypa sunt et oblata, ut Christi corpus et sanguis fiant. Quin et propter ipsa sacra vasa sacerdotibus procidendum est, licet et quædam ex eis vacua sint; omnia enim propter divina dona in ipsis consecrata, sanctificationem participant.

οθ'. *Διατί καὶ ἱερὰ κενὰ σκεύη ἐν τῇ εἰσόδῳ οἱ ἱερεῖς κατέχουσιν.*

C 79. *Quare sacerdotes in ingressu etiam vacua sacra vasa teneant.*

Καὶ τοῦτο δὲ οὐ θαυμαστὸν, εἰ κενά τινά ἐστιν. Εἰς τιμὴν γὰρ τῶν θείων δώρων ταῦτα τὰ σκεύη κατέχουσι, καὶ ἵνα οἵ θ' ὁρῶντες, οἵ τε ἐγγίζοντες, ἁγιάζωνται πάντες.

Nec mirum si quædam inania sint. In honorem quippe sacrorum donorum hæc portant, atque ut tum videntes ea, tum appropinquantes sanctificentur omnes.

π'. *Διατί καλύπτεται τὰ θεῖα δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ.*

80. *Quamobrem divina dona in sacra mensa obtegantur.*

Ἐπιτιθέμενα δὲ τὰ θεῖα δῶρα τῇ ἱερᾷ τραπέζῃ, καλύπτεται, ὅτι οὐ τοῖς πᾶσιν ἐξ ἀρχῆς **284** ἐγνωσμένος ὁ Ἰησοῦς, καὶ ὅτι σωματωθεὶς, οὐδ' οὕτω τοῦ κρυφίου τῆς αὐτοῦ θεότητος καὶ τῆς προνοίας ἐξέστη· ἀλλ' ἀκατάληπτός ἐστι καὶ ἄπειρος ἀεὶ, καὶ τοσοῦτον μόνον γινώσκεται, ὅσον αὐτὸς ἀποκαλύπτει.

Imposita autem altari sacra dona cooperiuntur, quia non omnibus ab initio cognitus fuit Jesus; et licet corpus assumpsisset, non tamen ab abscondita sua divinitate ac providentia discessit; sed incomprehensus et infinitus est semper, tantumque duntaxat cognoscitur, quantum ipse re- D velat.

πα'. *Διατί ὁ ἀρχιερεὺς εὐχὴν παρὰ πάντων ἐξαιτεῖται.*

81. *Quare preces ab omnibus exposcat episcopus.*

Εὐχὴν δὲ παρὰ πάντων αἰτεῖται ὑποκλίνας ἑαυτὸν ὁ ἀρχιερεὺς, ἐπιγινώσκων καὶ αὐτὸς ἑαυτὸν, καὶ πρὸς τὸ ἔργον φρίττων καὶ ὑποστελλόμενος, καὶ τὸ ἀποστολικὸν πληρῶν τὸ, «Ἐξομολογεῖσθαι ἀλλήλοις τὰ παραπτώματα,» καὶ, «Ὑπὲρ ἀλλήλων εὔχεσθαι·» οὐδὲ γὰρ αὐτὸς ἑαυτῷ θαῤῥεῖ, ἄνθρωπος τελῶν καὶ αὐτός.

Preces autem prono capite petit ab omnibus pontifex, agnoscens et ipse semetipsum, et ad opus istud tremens ac pavens, illudque apostolicum implens, « ut confiteamur alterutrum peccata, et ut oremus pro invicem. » Non enim fidit sibi, cum ipse quoque homo numeretur.

qua Christus crucifixus et resuscitatus summa et ima amplexus est. Imprimis saccum quo per ludibrium Salvator indutus est, idcirco et sacci formam habet; nec enim in eo sunt, quæ appellantur manicæ. Manifestius hoc exhibet, quo digniores pontifices vestiuntur, et saccus dicitur. Sed et reliqui pontifices casulam crucibus plenam induti (quæ et multicrucium vocari solet) clare docent, quoniam passionis Domini signum est, se illum imitari; qui per passionem et crucem veram justitiam consummavit, et in veram libertatem, tyranno depulso, nos omnes asseruit. Propterea cum illud induit, dicit: *Sacerdotes tui, Domine, induentur justitiam, et sancti tui exsultatione exsultabunt.* Re vera enim justitia per crucem nobis exsultationem peperit. Et hæc sunt quibus diaconus et sacerdos ornantur, dempto tamen subgenuali: et hæc mysteria continent, prout a nobis videri potuerunt.

A γὴν τοῦ Θεοῦ δύναμιν, δι' ἣν κατῆλθεν ὁ Λόγος μέχρις ἡμῶν, καὶ τὰ ἄνω καὶ τὰ κάτω, σαρκωθεὶς καὶ σταυρωθεὶς καὶ ἐξαναστάς, δι' ἑαυτοῦ συνῆξεν εἰς ἑαυτόν. Διὰ τοῦτο καὶ ἐξαιρέτως, ὃν ἐνεδύσατο ἐμπαιζόμενος ὁ Σωτὴρ ἐξεικονίζει σάκκον. Διὸ καὶ ὡς σάκκου τύπον ἐπέχει. Οὐδὲ γὰρ ἔχει τοῦτο ἃ καλοῦσι μανίκια, τὸ περιεκτικὸν ἁπάντων δηλῶν. Ἀριδηλότερον δὲ τοῦτο παρίστησι καὶ ὃ ἐνδύονται οἱ ἐκκριτοι τῶν ἀρχιερέων, σάκκος τοῦτο καλούμενον. Ἀλλὰ καὶ οἱ λοιποὶ τῶν ἀρχιερέων, τὸ φαινόλιον πλῆρες σταυρῶν ἐνδυόμενοι, ὃ δὴ καὶ πολυσταύριον ὁ λόγος καλεῖν οἶδε, τοῦτο σαφῶς περιστᾷ, ὅτι τοῦ πάθους ἐστὶ τοῦ Σωτῆρος δηλωτικὸν, κἀκεῖνον μιμεῖται, τὸν διὰ παθῶν καὶ σταυροῦ τὴν ἀληθῆ δικαιοσύνην τετελεκότα, καὶ τὴν ἀπὸ τοῦ τυραννοῦντος ἐλευθε- B ρίαν ἡμῖν παρεσχηκότα, καὶ πάντας ὁμοῦ σώσαντα. Διὸ καὶ ἐνδυόμενός φησιν, «Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.» Ὄντως γὰρ ἡ διὰ σταυροῦ δικαιοσύνη τὴν ἀγαλλίασιν ἡμῖν ἐχορήγησε. Καὶ ταῦτα μὲν ἅπερ ἐνδύεται διάκονός τε καὶ ἱερεὺς, τοῦ ἐπιγονατίου μόνου χωρὶς, καὶ τοιαῦτα τυποῦσιν, ὡς ἡμεῖς ἰδεῖν ἐδυνήθημεν.

44. *Quid innuatur per humerale et quare illud sit ex lana?*

Pontifex autem cum subgenuali et reliquis: super omnes gratiam habet. Specialim vero pontifex pontificalem ostentat potestatem, et sacrum pallium induit: quod ex lana confectum, ante et retro humeros convestit. Hoc sine dubitatione carnem a Verbo ex Virgine propter nos susceptam, humanæque naturæ assumptionem declarat. Ideo enim ex lana quoque texitur, quoniam erraticam manifestat ovem, quam in humeris detulit Salvator, naturam videlicet nostram: et quoniam ipse quoque agnus pro nobis occisus vocatus est. Ipsa etiam verba quæ humeris eo circumvolvens dicit, mentem hanc confirmant. Ait enim: « Sublata in humeros, Christe, natura, quæ erraverat: assumptus Deo et Patri illam obtulisti. » Et hæc quidem de sacris vestibus.

278 μδ'. *Τί σημαίνει τὸ ὠμοφόριον, καὶ διατί ἐξ ἐρίου.*

Ὁ ἱεράρχης δὲ σὺν τῷ ἐπιγονατίῳ καὶ τοῖς λοιποῖς, ἐπεὶ πάντων ἔχει τὴν χάριν, ἐξαιρέτως δὲ καὶ τὴν ἀρχιερατικὴν δύναμιν, καὶ τὸ ἱερὸν περιτίθεται ὠμοφόριον. Ὃ δὴ καὶ ἐξ ἐρίου ὂν, κύκλῳ περὶ τοὺς ὤμους ἔμπροσθέν τε καὶ ὄπισθεν περιβάλλεται. Τοῦτο δ' αὐτὴν εἰκονίζων ἐστὶν ἐναργῶς, τὴν ἐκ Παρθένου δι' ἡμᾶς σάρκωσιν καὶ ἐνανθρώπησιν τοῦ Λόγου. C Διὰ τοῦτο γὰρ καὶ ἐξ ἐρίου, ὅτι τὸ πλανηθὲν τυποῖ πρόβατον, ὃ ἐπὶ τῶν ὤμων ἔλαβεν ὁ Σωτὴρ, τουτέστι τὴν ἡμετέραν φύσιν, καὶ ὅτι ἐκ τῶν οὐρανῶν κατελθὼν ἐσαρκώθη, καὶ ὅτι καὶ αὐτὸς ἀμνὸς ἐκλήθη σφαγιασθεὶς ὑπὲρ ἡμῶν. Καὶ αὐτὰ δὲ ἃ φησι ῥήματα ἐπ' ὤμων ἑλίττων, τὴν ἔννοιαν βεβαιοῖ· φάσκει γὰρ, «Ἐπὶ τῶν ὤμων, Χριστὲ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς, τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.» Καὶ ταῦτα μὲν περὶ τῆς ἱερᾶς στολῆς.

45. *Quare detecto capite sacra faciant, excepto Alexandrino patriarcha, episcopi et sacerdotes. Et quod præstet non operto capite sacra celebrare.*

Aperto capite episcopi et sacerdotes Orientis omnes, excepto Alexandrino patriarcha, sacris funguntur: non ob humilitatem aliquam, sed ob causam altiorem et longe diviniorem: videlicet, quam divinus Paulus ponit ac docet, Christum caput nostrum nominans, nos autem membra ipsius, et oportere nos Christum caput nostrum honorantes, caput inter orandum nudatum habere. Nec ob hoc tantum, sed quia etiam nudo capite, qui ordinatur, ordines suscipit. Atque ita quemadmodum ordinatur, ita et precari, et sacris operari debet. Et pontifex potissimum, quoniam et dum consecratur, a Deo tradita eloquia, sive sacrum, Evangelium, supra caput habet. Nec aliud quidpiam tegmen, dum sacra facit, capiti imponere debet. Dicet tamen aliquis: Patriarcha ergo Alexandrinus gerens in capite sacrum, et

με'. *Διατί ἀσκεπεῖς λειτουργοῦσι πλὴν τοῦ Ἀλεξανδρείας ἀρχιερεῖς τε καὶ ἱερεῖς· καὶ ὅτι κρεῖττον τὸ ἀπερικαλύπτως λειτουργεῖν.*

Ἀπερικαλύπτῳ δὲ τῇ κεφαλῇ οἱ τῆς Ἀνατολῆς ἱεράρχαι πάντες καὶ ἱερεῖς, πλὴν τοῦ τῆς Ἀλεξανδρείας, τὴν ἱερουργίαν τελοῦσιν, οὐ κατ' ἐλάττωσίν D τινα, ἀλλὰ κατὰ λόγον ὑψηλότερον μάλα δὴ καὶ θειότερον. Ὃν ὁ θεηγόρος Παῦλος ὑποτίθησι καὶ διδάσκει, κεφαλὴν μὲν ἡμῶν τὸν Χριστὸν ὀνομάζων, μέλη δὲ ἡμᾶς αὐτοῦ, καὶ ὅτι δεῖ τιμῶντας ἡμῶν τὴν κεφαλὴν τὸν Χριστὸν ἀπερικαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προσεύχεσθαι. Καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ γυμνῇ τῇ κεφαλῇ τὴν χειροτονίαν ὁ χειροτονούμενος δέχεται, καὶ οὕτως ὀφείλει ὡς ἐχειροτονήθη προσεύχεσθαι καὶ ἱερουργεῖν. Ὁ δὲ ἱεράρχης μάλιστα, ἐπεὶ χειροτονούμενος ἐπὶ κεφαλῆς ἔχει τὰ θεοπαράδοτα λόγια, ἤτοι τὸ ἱερὸν Εὐαγγέλιον, οὐκ ἄλλο ἐπίβλημα ἔχειν ἐπὶ κεφαλῆς ὀφείλει ἐν τῷ ἱερουργεῖν τὰ θειότατα. Ἀλλ' ἴσως ἐρεῖ τις, Καὶ λοιπὸν ἐπὶ κεφαλῆς ἔχων ὁ Ἀλεξανδρείας ἱερὸν ἐπικά-

A λυμμα, καὶ ἄλλοι δὲ πλεῖστοι κατὰ παράδοσιν ἀρχαίαν, οὐκ εὐαγῶς ποιοῦσιν; Οὐ τοῦτό φημι, κἀκεῖνο μὲν γὰρ ἀρχαία πρὸς τοὺς ἐνεργοῦντας παράδοσις, ἀλλὰ νομικωτέρα μᾶλλον· ἔφερε γὰρ καὶ ὁ νομικὸς ἀρχιερεὺς ἐπὶ τῆς κεφαλῆς κίδαριν, ἣν δὴ καὶ μίτραν ὠνόμαζον, καθὰ δὴ καὶ οἱ περιτιθέμενοι ἱεράρχαι τοῦτο φιλοῦσι καλεῖν. Ἴσως ἐξομοιοῦν ἔχουσιν αὐτὸ καὶ τῷ τοῦ Δεσπότου ἀκανθίνῳ στεφάνῳ, ἢ καὶ τῷ σουδαρίῳ τῷ ἐπὶ τῆς αὐτοῦ κεφαλῆς. Ἀλλ' ὅμως ἐπειδήπερ ἀποτίθενται τοῦτο καὶ οὗτοι εἰς ἀναγκαίους τῆς ἱερουργίας καιρούς, μαρτυροῦσιν ὡς ἀναγκαιοτέρα ἡ τοῦ μακαρίου παράδοσις Παύλου. Ἡ γὰρ εἰκὼν τοῦ ἀκανθίνου στεφάνου διὰ τῆς κουρᾶς τῶν τριχῶν ἐν τῇ κεφαλῇ τῶν ἱερωμένων ἐκτυποῦται, τῆς ἱερᾶς σφραγῖδος ἐνεργουμένης. Τοῦτο δὲ μᾶλλον οἱ τῶν μοναχῶν ἱερωμένοι δηλοῦσι σαφέστερον, B ὡς στέφανον ἔχοντες ἐπὶ κεφαλῆς κεκαρμένον· ὃ καὶ ἔτι δηλοῖ τὸν στέφανον τῆς παρθενίας αὐτῶν. Τὸ δέ γε σουδάριον τὸ εἱλητὸν εἰκονίζει. Διὰ τοῦτο γὰρ καὶ εἱλίσσεται καὶ εἱλητὸν οὕτω καλεῖται. Ἀναγκαιότερον ἄρα τὸ ἀπερικαλύπτως προσεύχεσθαι καὶ ἱερουργεῖν, καὶ μὴ ἀμελητέον τούτου, καὶ μᾶλλον ἐν τοῖς ἀναγκαίοις καιροῖς.

alii quamplurimi ex veteri traditione, operto capite sacris operantes, non rite ac sancte faciunt. Istud non dico. Id si quidem etiam apud eos qui usurpant, antiqua traditio est, verum quæ a nobis velut legalis recensetur, quando et legis sacerdos cidarim, quam et mitram vocabant, in capite gerebat. Quo eodem nomine pontifices eas gestantes, appellare consueverunt. Forsan et adæquare eam se dicent et Domini spineæ coronæ, aut sudario quod fuit super caput ejus. Verumtamen cum et hi eam ipsam congruenti sacrificii tempore deponant; beati Pauli traditionem potius servandam hoc ipso testificantur. Coronæ enim spineæ imago, per tonsuram ordinatorum ut et per sigillum sacrum præfiguratur; quod monachi præcipue ordinati per coronariam tonsuram indicant. Sed virginitatem quoque eadem significat in veli modum adaptata. Hinc necessitas nobis oritur aperto capite diebus statutis precandi et sacra faciendi.

μϛʹ. Τί τὸ κατελθεῖν ἐκ τοῦ στασιδίου τὸν ἱεράρχην.

Ὁ μὲν οὖν ἱεράρχης ἐν τῷ μέλλειν ἱερουργεῖν, κατελθὼν τοῦ θρόνου, ἐν ᾧ παρίσταται, τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ Λόγου δηλοῖ συγκατάβασιν.

46. *Quia significet quod ex cathedra descendit episcopus.*

Pontifex igitur, sacra facturus, de throno in quo apparet descendens, Dei Verbi ad nos condescensionem figurat.

μζʹ. Τί τὸ ἐνδύεσθαι τὰ ἀρχιερατικά.

C Ἐνδυόμενος δὲ τὴν ἱερὰν στολήν, τὴν παναγίαν αὐτοῦ σημαίνει σάρκωσιν.

47. *Quid, quod sacris vestimentis induitur.*

Indutus autem sacram stolam, sacratissimi ejus incarnationem significat.

μηʹ. Τί τὸ κατέρχεσθαι πρὸς δυσμὰς εἰς τὰς τοῦ ναοῦ πύλας.

Κατερχόμενος δὲ ἄχρι καὶ τῶν τοῦ ναοῦ πυλῶν, τὴν ἐπὶ γῆς αὐτοῦ δηλοῖ παρουσίαν τε καὶ φανέρωσιν, καὶ τὴν μέχρι θανάτου καὶ ᾅδου κάθοδον. Τοῦτο γὰρ δηλοῖ τὸ πρὸς δυσμὰς **279** ἀπιέναι, καὶ μέχρι τῶν πυλῶν κατελθεῖν· Τῆς ἱερᾶς δὲ ἀρξαμένης λειτουργίας, τοῦ ἀρχιερέως τὸν καιρὸν δεδωκότος· οὐ γὰρ δυνατὸν χωρὶς αὐτοῦ τι διενεργεῖσθαι· οἱ μὲν ἱερεῖς ἔνδον λέγουσι τὰς εὐχάς, τὰς οὐρανίους τυποῦντες τάξεις.

48. *Quid quod ad occidentem portas ingreditur templi.*

Et ad portas etiam templi usque gradiens, ejusdem in terris præsentiam et manifestationem et ad mortem usque et infernum descensum animi oculis ingerit. Hoc enim sibi vult, quod occasum versus, et ad portas usque deorsum procedit. Sacra vero missa inchoata, cum pontifex signum dederit, non enim potest quis sine ejus nutu quidquam moliri; sacerdotes quidem intus orationes aggrediuntur cœlestium ordinum typum gerentes.

μθʹ. Διατί ψαλμοὶ ὁμοῦ καὶ τῆς χάριτος ὕμνοι.

D Ψάλται δὲ ψάλλουσι τὰ ἀντίφωνα, τῶν προφητῶν ἐκτυποῦντες τὸν χορόν. Καὶ ταῦτα τρισσῶς διαιροῦσι, τὴν Τριάδα τιμῶντες, ψαλμικὰ μὲν προλέγοντες, συνάπτοντες δὲ καὶ ἐκ τῆς χάριτος ὕμνους. Καὶ διὰ μὲν τῶν ψαλμικῶν προκηρυχθεῖσαν καὶ τοῖς παλαιοῖς καταγγέλλουσι τὴν τοῦ Θεοῦ Λόγου σάρκωσιν, διὰ δὲ τῶν ἐφυμνίων αὐτὴν παριστῶσι τὴν χάριν τετελεσμένην, καὶ τὸν τοῦ Θεοῦ Υἱὸν σαρκωθέντα τε καὶ πάντα ὑπὲρ ἡμῶν ἐνεργήσαντα.

49. *Quare simul concinantur psalmi et hymni de Dei in nos per Christum gratia.*

Cantores vero antiphona modulantur, prophetarum chorum figurantes, trifariamque illa distribuunt, et ea quæ ex psalmis desumpta sunt, præcinunt: tum vero adjungunt hymnos, qui gratiæ suavitatem sapiunt. Et psalmicis quidem illis prænuntiatam antiquis, quibus re vera prædicebatur, Dei Verbi incarnationem significant. Per versus vero resumptionem, ipsam gratiam ut consummatam et incarnatum Dei Filium cuncta pro nobis operantem repræsentant.

νʹ. Ὅτι πρῶτον καλοῦμεν τὴν Θεοτόκον.

Διὸ καὶ πρῶτον μὲν τὴν τοῦτον παρθενικῶς τεκοῦσαν τιμῶντες, τὴν ὑπὲρ ἡμῶν αὐτῆς αἰτοῦσι μεσιτείαν. Δι' αὐτῆς γὰρ πρώτης καὶ μόνης σεσώ-

50. *Quod primum appellamus Deiparam.*

Proptereaque primo eam quæ illum incorrupta virginitate peperit venerati, illius per quam solam ac primam salvati sumus, pro nobis intercessio-

nem implorant, dicentes : « Precibus Deiparæ, serva nos, Salvator. »

A σμεθα, « Ταῖς πρεσβείαις, λέγοντες, τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

51. *Secundo loco sanctos.*

Sanctorum deinde memoriam agentes qui pro mysterio decertantes fidei, sanctissime consummati sunt, eorum nobis conciliant supplicationes.

να'. *Ὅτι δεύτερον τοὺς ἁγίους.*

Ἔπειτα δὲ τῶν ἁγίων μεμνημένοι, οἱ τῷ μυστηρίῳ ἐπαγωνισάμενοι ἱερῶς τετελείωνται, καὶ τὰς αὐτῶν ἐπικαλοῦνται δεήσεις.

52. *Tertio et postremo loco ipsum Salvatorem nostrum.*

Salutis tandem nostræ auctorem et consummatorem Christum collaudantes, clara voce, « Salva nos, Fili Dei, » modulantur.

νβ'. *Ὅτι τρίτον καὶ τελευταῖον αὐτὸν τὸν Σωτῆρα ἡμῶν.*

Ὕστερον δὲ τὸν τῆς σωτηρίας ἡμῶν ἀρχηγὸν καὶ τελειωτὴν Χριστὸν ἀνυμνοῦντες, μεγαλοφώνως, τὸ, « Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, » ἀναμέλπουσι.

53. *Quid denotet episcopus inferius stans extra bema sive sacrarium, et quid stantes cum eo diaconi.*

Postquam vero foris sacras perfecerit preces, pontifex sedet. Diaconi assistunt; qui non modo B apostolorum, verum etiam angelorum, quos Christus in mysteriis suis ministros habuit, locum tenent.

νγ'. *Τί ἐκτυποῖ ὁ ἀρχιερεὺς ἔξω τοῦ βήματος καὶ κάτω ἱστάμενος, καὶ τί οἱ σὺν αὐτῷ.*

Τὰς ἱερὰς δὲ τετελεκὼς ὁ ἱεράρχης ἔξωθεν εὐχὰς, ἵσταται, οἱ διάκονοί τε συμπαρίστανται, οὐ τοὺς ἀποστόλους μόνον τυποῦντες, ἀλλὰ καὶ τοὺς ἀγγέλους, τοὺς τοῖς αὐτοῦ μυστηρίοις καθυπουργήσαντας.

54. *Quid significet prima sacerdotum egressio ex bemate, et eorumdem cum episcopo dum Evangelium fertur ingressus.*

Sacerdotibus vero etiam et ipsis infra tribunalis septa orationes terminantibus et foras egressis, sanctorum angelorum in Christi resurrectione et ascensione descensus manifestatur. Ac dum pontifex inclinato capite cum sacerdotibus votum facit ut angeli sacra operantes occurrant, et caput inclinans et erectus, Salvatoris resurrectionem significat. Hoc diaconus quoque in altum sublato Evangelio prædicans Christi resurrectionem agendo ac loquendo alta voce indicat, exclamando : « Sapientia, recti. » Tum præferuntur faces, et diaconi, bini iterumque bini, præcedunt, sacrumque Evangelium descendit manibus delatum ; pontifex ipse hinc inde a diaconis stipatus et sustentatus, deducitur : mox autem a tergo sacerdotes reliqui sequuntur.

νδ'. *Τί σημαίνει ἡ πρώτη ἐκ τοῦ βήματος τῶν ἱερέων ἔξοδος, καὶ μετὰ τοῦ ἀρχιερέως διὰ τοῦ Εὐαγγελίου εἴσοδος.*

Τῶν ἱερέων δὲ τοῦ βήματος ἔνδοθεν τετελεκότων καὶ αὐτῶν τὰς εὐχὰς, καὶ ἐξεληλυθότων, ἡ τῶν θείων ἀγγέλων δηλοῦται κατάβασις ἐπὶ τῇ τοῦ Χριστοῦ ἀναστάσει καὶ ἀναλήψει · ὅτε καὶ ὁ ἀρχιερεὺς ὑποκλίνας τὴν κεφαλὴν σὺν τοῖς ἱερεῦσι, τοῦτο εὔχεται, ἀγγέλους συνεισιόντας καὶ συλλειτουργοῦντας εὑρεῖν. Καὶ ἐν τῷ κλῖναι τὴν κεφαλὴν, C καὶ ἀναστῆναι, τὴν ἀνάστασιν πᾶσι φανεροῖ τοῦ Κυρίου. Τοῦτο δὲ κηρύττει καὶ ὁ διάκονος, τὸ Εὐαγγέλιον ἀνυψῶν, τὴν τοῦ Σωτῆρος ἔγερσιν καὶ αὐτὸς καταγγέλλων, καὶ μεγαλοφώνως ἐκβοῶν, « Σοφία, ὀρθοί, » δι' ἔργων καὶ λόγων μαρτυρῶν τὴν ἀνάστασιν. Μετὰ τοῦτο δὲ εὐθὺς ὁ τύπος τῆς ἀναλήψεως· καὶ λαμπάδων μὲν προπορευομένων, τῶν διακόνων δὲ κατὰ συζυγίαν προηγουμένων, τοῦ ἱεροῦ τε Εὐαγγελίου κατεχομένου, καὶ τοῦ ἀρχιερέως αὐτοῦ παρὰ διακόνων ἑκατέρωθεν παρακρατουμένου, ὄπισθεν δὲ ἑπομένων τῶν λοιπῶν ἱερέων.

55. *Quid illud : « Venite, adoremus : » et quid denotent faustæ, cum antistes ingreditur, acclamationes.*

Et illud : « Venite, Christum adoremus : » clarissima voce cantant, et pontifici faustæ acclamationes fiunt ad resurrectionem et ascensionem Salvatoris indicandas. Diaconus etenim sic voce D clarisona Christi resurrectionem prædicat ; chorus autem sacerdotum et diaconorum, ut jam diximus, apostolos Domino præsentes, eumque intuentes, sanctissimosque angelos.

νε'. *Τί τὸ, « Δεῦτε προσκυνήσωμεν. » Καὶ τί ἡ τοῦ ἀρχιερέως ἐν τῇ εἰσόδῳ εὐφημία.*

Καὶ τοῦ, « Δεῦτε προσκυνήσωμεν Χριστῷ, » λίαν λαμπρῶς ᾀδομένου, καὶ τοῦ ἀρχιερέως εὐφημουμένου, ἡ ἀνάστασις καὶ ἀνάληψις σημαίνεται, ὡς ἀναγέγραπται, τοῦ Σωτῆρος. Ὁ μὲν γὰρ διάκονος, ὡς εἴρηται, ἐκφωνήσας, τὴν τοῦ Σωτῆρος κηρύττει ἀνάστασιν · ὁ δὲ χορὸς τῶν ἱερέων καὶ διακόνων, ὡς προειρήκαμεν, τοὺς ἀποστόλους συνόντας τῷ Κυρίῳ καὶ τοῦτον ὁρῶντας, καὶ τοὺς ἱερωτάτους ἀγγέλους.

56. *Quid quod revertitur episcopus et sacrarium intrat.*

Pontifex vero ipsum Dominum redivivum discipulis apparentem, et in cœlum elevatum figuraliter reddit. Quocirca totum templi tractum extra tribunal, terram ; tribunal vero ipsum, cœlum referre diximus. Unde et, ut David vaticinatur, cum ascenderet Dominus in cœlum, illum deducebant angeli, et illud, « Tollite portas, » elata

280 νς'. *Τί τὸ ἀνέρχεσθαι τὸν ἀρχιερέα καὶ εἰς τὸ βῆμα εἰσέρχεσθαι.*

Ὁ δέ γε ἀρχιερεὺς αὐτὸν τυποῖ ἀναστάντα τὸν Κύριον, τοῖς μαθηταῖς τε ἐμφανισθέντα, καὶ ἀναλαμβανόμενον ἀπὸ γῆς πρὸς οὐρανούς. Διὸ καὶ τῆς γῆς τύπον εἴπομεν ἔχειν τὸν καθόλου ἔξωθεν ναὸν, οὐρανὸν δὲ τὸ ἱερώτατον βῆμα. Ὅθεν ὡς καὶ ὁ Δαβὶδ προφητεύει, καθάπερ ἐν τῷ ἀναλαμβάνεσθαι, προέπεμπον τὸν Κύριον ἄγγελοι, καὶ τὸ, « Ἄρατε

πύλας, ὃ ἰδόων τοῖς ὑπεράνω, καὶ βασιλέα τῆς δόξης ὠνόμαζον, καὶ Κύριον καὶ κραταιὸν αὐτὸν ὡμολόγουν.

νζ'. *Τί τὸ κλείεσθαι τὰ ἅγια θύρια, καὶ ἀνοίγεσθαι εἰσερχομένου τοῦ ἀρχιερέως.*

Οὕτω δὴ καὶ ἡ Ἐκκλησία ποιεῖ, μετὰ προπομπῆς εὐφημοῦσα εἰσιόντα ἐν τῷ ἱερατείῳ τὸν ἱεράρχην. Αἱ ἱεραί τε πύλαι τοῦ βήματος κλειόμεναι πρὸ τοῦ εἰσελθεῖν, καὶ ἀνοιγόμεναι πάλιν ἐν τῷ εἰσέρχεσθαι, τοῦτο δηλοῦσιν.

νη'. *Τί τὸ θυμιᾶσαι κύκλῳ τὴν ἁγίαν τράπεζαν.*

Εἰσελθόντος δὲ, καὶ κύκλῳ τὴν ἱερὰν θυμιάσαντος τράπεζαν, τοῦ Πνεύματος ἐκτυποῦται διὰ τούτου ἡ παρουσία· ὅπερ ἦλθε πρὸς ἡμᾶς ἐκ τῶν οὐρανῶν, πρὸς τοὺς οὐρανοὺς τοῦ Χριστοῦ ἀνεληλυθότος.

B

νθ'. *Τί δηλοῖ τὸ δικήριον, καὶ διατί σφραγίζει τὸ Εὐαγγέλιον.*

Ἀλλὰ καὶ δικηρίῳ τινὶ σφραγίζων ὁ ἱεράρχης τὸ ἱερὸν Εὐαγγέλιον, τὴν διὰ τῆς ἐνανθρωπήσεως δηλοῖ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς φωταύγειαν τοῦ διφυοῦς Ἰησοῦ, καὶ τὴν δι' αὐτοῦ ἡμῶν σωτηρίαν νοητήν τε καὶ αἰσθητήν. Τῇ γὰρ αὐτοῦ σαρκώσει ὁ τοῦ Θεοῦ Λόγος, οὐ μόνον ἀνθρώπους διπλῶς, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐτοὺς κατηύγασε, καὶ ὅτι ὁ σαρκωθεὶς αὐτός ἐστιν ὁ τοῦ Θεοῦ Υἱός.

ξ'. *Τί διδάσκει ὁ Τρισάγιος ὕμνος.*

Ὁ δὲ Τρισάγιος ὕμνος εὐθὺς λεγόμενος τὸ τῆς Τριάδος μυστήριον δείκνυσιν· ὅπερ ἡ σάρκωσις τοῦ ἑνὸς τῆς Τριάδος ἐκήρυξε τοῖς ἀνθρώποις. Διὰ γὰρ τοῦ σαρκωθέντος Λόγου τὸν Πατέρα καὶ τὸ Πνεῦμα ἐγνώκαμεν, ἀλλὰ δὴ καὶ τὴν συμφωνίαν καὶ ἕνωσιν ἀγγέλων τε καὶ ἀνθρώπων. Διὸ καὶ ἔνδοθεν οὗτος παρὰ τῶν ἱερέων, καὶ ἔξωθεν παρὰ κληρικῶν τε καὶ λαϊκῶν ᾄδεται· μία γὰρ ἡ Ἐκκλησία ἀγγέλων τε καὶ ἀνθρώπων διὰ τοῦ Χριστοῦ γέγονε.

C

ξα'. *Διατί πάλιν ὁ ἀρχιερεὺς τρικηρίῳ σφραγίζει τὸ Εὐαγγέλιον.*

Κηρύττων δέ γε τοῦτο καὶ ὁ ἀρχιερεὺς, τρικηρίῳ πάλιν τὸ Εὐαγγέλιον σφραγίζει, τῆς Τριάδος ἐν τῷ Εὐαγγελίῳ παραδηλῶν τὸ κήρυγμα, καὶ αὐτῆς εὐχόμενος κρατύνεσθαι τοῦτο, ἄμπελον αὐτὸ καλῶν, ὡς τὸ τῆς ἀληθινῆς εὐφροσύνης πρόξενον, καὶ μετὰ τοῦ Θεοπάτορος ἐπισκοπῆς θείας ἀξιωθῆναι καὶ καταρτισμοῦ προσευχόμενος.

D

ξβ'. *Τί δηλοῖ ἡ ἐν τῷ θείῳ συνθρόνῳ τοῦ ἀρχιερέως ἄνοδος· καὶ τί τὸ ἐκ τοῦ συνθρόνου διὰ τοῦ τρικηρίου σφραγίζειν.*

Ἀλλὰ καὶ ἐν τῷ θείῳ ἀνελθὼν συνθρόνῳ, ὃ δὴ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν τοῦ Χριστοῦ ἐπιμαρτυρεῖ, κἀκεῖθέν τε τῷ τρικηρίῳ σφραγίζειν, διὰ τῆς Τριάδος τὸν ἁγιασμὸν ἡμῖν ἐπιβεβαιοῖ, καὶ ὅτι ὁ Χριστὸς εἰς τοὺς οὐρανοὺς ἀνεληλυθὼς, τὴν λάμψιν τῆς Τριάδος, ἣν τὸ φῶς σημαίνει, καὶ τὴν εὐλογίαν ἡμῖν ἐβράβευσε.

ξγ'. *Τί τὸ καθῆσθαι ἐν τῷ συνθρόνῳ· καὶ τί τὸ, « Εἰρήνη ἅπασιν, » εἰπεῖν.*

Καθίσας δὲ τῷ συνθρόνῳ, τὸν Χριστὸν ἐκμιμούμενος συγκαθέδρους ἔχων καὶ τοὺς συνεπισκόπους;

A voce ad superiores clamabant, et regem gloriæ et Dominum appellabant, eumque potentem confitebantur.

57. *Quid quod sanctæ portæ clauduntur et aperiuntur ingrediente episcopo.*

Ecclesia similiter facit, dum solemni pompa pontifici in sacrarium ingredienti faustum acclamat: et id portæ sacrarii antequam veniat, clausæ, rursumque ad ejus introitum apertæ, significant.

58. *Quid quod circulo suffitum facit circa sacram mensam.*

Cum vero ingressus circa sacram mensam thus adolet, ea cæremonia Spiritus sancti præsentiam monstrat, qui post Christi ascensum cœlitus ad nos venit.

59. *Quid significet duplex cereus, et quare Evangelium cruce episcopus signet.*

Verum et bicipiti cereo signans Evangelium pontifex, illuminationem a Jesu duplici natura constante in cœlo et in terra factam per assumptam ab eo humanitatem docet; Dei enim Verbi incarnatio non tantum homines, verum etiam angelos illustravit, et quod incarnatus ipse sit Dei Filius, manifestavit.

60 *Quid Trisagii hymnus doceat.*

Hymnus, «Ter sanctus,» qui mox sequitur mysterium Trinitatis ostendit, quod incarnatio unius de Trinitate hominibus promulgavit. Per Verbum enim incarnatum Patrem et Spiritum cognovimus, ac præterea hominum et angelorum conspirationem atque consensum. Idcirco et intus a sacerdotibus, et foris a clericis et laicis cantatur; quandoquidem per Christum ex angelis et hominibus Ecclesia una evasit.

61. *Quare episcopus iterum cruce signet Evangelium cum cereo triplici.*

Quod et ipsum pontifex declarat, dum rursus tricipiti cereo Evangelium signat, et in eodem Trinitatis prædicationem contineri indicat, et ab ea hoc confirmari et stabiliri precatur, vitem appellans veræ sapientiæ latricem et ut ad summam Ecclesiæ dignitatem eveheretur, supplicans.

62. *Quid significet quod redit ad sacerdotum subsellia, et quod ex illis cruce signat cum cereo triplici.*

Sed et ad consessum superius contendens (qui Christi ad dextram Patri sessionem notat) et ibi tricipiti cereo signans, sanctificationem per Trinitatem, in nobis productam, et Christum ubi in cœlos migravit, splendorem Trinitatis (cujus typus est lumen) et benedictionem nobis tribuisse, confirmat.

63. *Quid quod in subselliis sacerdotum sedet, et quid denotet formula, « Pax vobis omnibus. »*

In sacro vero consessu accubans, Christum imitatur, confessoresque habet coepiscopos et sacer-

dotes, apostolorum figuram, et similitudinem A gerentes, et pacem omnibus precatur, quod unionis concordiæque symbolum est. Christus enim est « qui solvit inimicitias in carne sua, et fecit utraque unum, quæ in cœlo et quæ in terris sunt, » inquit Paulus [a].

64. *Quare primo lectio ex apostolo recitetur, deinde Evangelium.*

Deinde ad apostolorum missionem ad gentes, in memoriam nobis redigendam, apostolica scripta recitantur.

65. *Quamobrem durantibus apostolicis lectionibus sedeant episcopi et sacerdotes, non autem diaconi.*

Sedent interim pontifices et sacerdotes dum leguntur illa, non tamen diaconi : quia et apostoli- B cam gratiam ut et illi Evangelium publicent, adepti sunt.

66. *Quare ante Evangelii lectionem concinatur « Alleluia. »*

Ante Evangelium autem, «Alleluia » hymnus decantatur, laudem Dei, divinæque gratiæ adventum, quæ Evangelii lectio est, nobis insinuat.

67. *Quid per lectionem Evangelii significetur.*

Ipsa porro ejus recitatio, Evangelium post ascensionem Domini per universum mundum a discipulis annuntiatum monet. Quocirca et prius apostoli epistola, et deinde Evangelium legitur. Quia primum quidem corroborati sunt discipuli, postmodum orbem longe lateque pervadentes Evangelium disseminarunt. C

68. *Quare ante Evangelii lectionem fiat suffitus.*

Ante Evangelium thymiama datur, propter datam ab eo Spiritus gratiam toti mundo.

69. *Quare cum legitur Evangelium, episcopus humerale deponat.*

Dum Evangelium legitur, pontifex pallium deponit, servitutem suam erga Dominum demonstrans. Quoniam enim ille per Evangelium loqui cognoscitur, et tanquam præsens est, ipse tunc symbolum incarnationis ejus gestare non audet, sed ab humeris sublatum diacono tradit.

70. *Quare diaconus humerale complicatum ferat D manu, et triplicem cereum teneat atque ante sancta præcedat.*

Diaconus illud dextra complicatum tenet, ipsi pontifici astans, et sacra dona præcedens. Item tricipitem cereum manu pontifex defert, per quod intelligimus Jesum conspectum iri in futuri sæculi contemplatione, qui pro nobis incarnatus et vulneratus est ; et cum unus de Trinitate sit, nos divinitatis suæ splendoribus illuminat.

71. *Quid significet quod episcopus de subselliis sacerdotalibus descendit, et cum triplici cereo ter signaculum crucis facit.*

Descendens tandem de cathedra pontifex, bene-

[a] Ephes. II, 14.

καὶ ἱερεῖς, μιμουμένους τοὺς ἀποστόλους, « Εἰρήνην ἅπασι, » λέγει. Καὶ τοῦτο δηλοῖ **281** τὴν ἕνωσιν. Χριστὸς γάρ ἐστιν « ὁ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, καὶ ποιήσας τὰ ἀμφότερα ἕν, τὰ ἐν οὐρανῷ, φησὶ Παῦλος, καὶ τὰ ἐπὶ γῆς. »

ξδ'. *Διατί πρῶτον ἀναγινώσκεται ὁ ἀπόστολος, εἶτα τὸ Εὐαγγέλιον.*

Εἶτα τῶν ἀποστολικῶν ἡ ἀνάγνωσις λόγων, ὃ δηλοῖ τὴν τῶν ἀποστόλων εἰς τὰ ἔθνη ἀποστολήν.

ξε'. *Διατί ἀναγινωσκομένων τῶν ἀποστολικῶν, κάθηνται ἀρχιερεῖς τε καὶ ἱερεῖς, οὐ μὴν οἱ διάκονοι.*

Κάθηνται δὲ ἀρχιερεῖς τε καὶ ἱερεῖς ἀναγινωσκομένων τούτων, πλὴν διακόνων, ὅτι καὶ οὗτοι τὴν ἀποστολικὴν χάριν ἔχουσι.

ξς'. *Διατί πρὸ τοῦ Εὐαγγελίου τὸ « Ἀλληλούϊα. »*

Πρὸ τοῦ Εὐαγγελίου δὲ τὸ « Ἀλληλούϊα » ὕμνος· ὃ δὴ αἶνον Θεοῦ καὶ ἐπιδημίαν δηλοῖ θείας χάριτος, ἥτις ἐστὶν ἡ τοῦ Εὐαγγελίου ἀνάγνωσις.

ξζ'. *Τί σημαίνει ἡ τοῦ Εὐαγγελίου ἀνάγνωσις.*

Αὕτη δὲ ἡ ἀνάγνωσις τὸ ἐν ὅλῳ τῷ κόσμῳ τοῦ Εὐαγγελίου κήρυγμα φαίνει, μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ὑπὸ τῶν μαθητῶν αὐτοῦ γεγονός. Διὸ καὶ πρῶτον μὲν ὁ ἀπόστολος, ἔπειτα δὲ τὸ Εὐαγγέλιον κηρύσσεται. Ὅτι πρῶτον μὲν ἐνισχυθέντες ἐξαπεστάλησαν οἱ μαθηταί· εἶτα τὴν οἰκουμένην περιδραμόντες, τὸ Εὐαγγέλιον ἐκήρυξαν.

ξη'. *Διατί πρὸ τοῦ Εὐαγγελίου θυμίαμα.*

Πρὸ δὲ τοῦ Εὐαγγελίου θυμίαμα, διὰ τὴν δεδομένην ἀπὸ τοῦ Εὐαγγελίου χάριν τοῦ Πνεύματος ἐν ὅλῃ τῇ οἰκουμένῃ.

ξθ'. *Διατί τοῦ Εὐαγγελίου ἀναγινωσκομένου, ὁ ἀρχιερεὺς ἐκβάλλει τὸ ὠμοφόριον.*

Ἀναγινωσκομένου δὲ τοῦ Εὐαγγελίου ἀποτίθεται τὸ ὠμοφόριον ὁ ἀρχιερεύς, τὴν ἑαυτοῦ δουλείαν ἐπιδεικνὺς τῷ Κυρίῳ. Ἐπεὶ γὰρ ἐκεῖνος διὰ τοῦ Εὐαγγελίου ὁρᾶται φθεγγόμενος, καὶ ὡς παρὼν ἐστι, τότε τὴν εἰκόνα τῆς σαρκώσεως αὐτοῦ, τὸ ὠμοφόριον λέγω, οὐ τολμᾷ ἐνδεδύσθαι, ἀλλ' ἐξελὼν τῶν ὤμων, δίδωσιν αὐτὸ διακόνῳ.

ο'. *Διατί ὁ διάκονος διπλώσας φέρει τῇ χειρὶ τὸ ὠμοφόριον, καὶ τὸ τρικήριον δὲ κατέχει, καὶ τῶν ἁγίων προπορεύεται.*

Ὃς καὶ κατέχει τοῦτο διπλώσας τῇ δεξιᾷ, τοῦ ἀρχιερέως μὲν πλησίον ἱστάμενος, καὶ τῶν ἱερῶν δὲ δώρων προπορευόμενος, ὃς δὴ καὶ τὸ τρικήριον τῇ χειρὶ κατέχει. Σημαίνει δὲ τοῦτο, ὡς ἐν τῷ μέλλοντι θεωρίᾳ πᾶσιν ἔσται ὁ Ἰησοῦς, σεσαρκωμένος καὶ τετρωμένος ὑπὲρ ἡμῶν, καὶ εἷς ὢν τῆς Τριάδος καταλάμπων ἡμᾶς ταῖς αὐγαῖς τῆς θεότητος.

οα'. *Τί δηλοῖ τὸ κατελθεῖν ἐκ τοῦ συνθρόνου τὸν ἀρχιερέα, καὶ τρικηρίῳ σφραγίσαι τρίς.*

Κατερχόμενος δὲ ὁ ἀρχιερεὺς τῆς καθέδρας, τὴν

ἐκ τοῦ οὐρανοῦ περὶ ἡμᾶς δηλοῖ τοῦ Σωτῆρος πρόνοιαν καὶ κηδεμονίαν, ὅτι καὶ ἀνελθὼν, ἡμῶν οὐ κεχώρισται. Διὸ καὶ ἐν τῇ ὑπὲρ τῶν βασιλέων εὐχῇ σφραγίζων μετὰ τὸ Εὐαγγέλιον τῷ τρικηρίῳ τὸν λαὸν, τὸ συστῆναι τὴν εὐσεβῆ βασιλείαν διὰ τῆς αὐτοῦ ἱερωσύνης καὶ τοῦ Εὐαγγελίου ἐνδείκνυσι. Καὶ ταύτας εὔχεται μένειν διὰ τῆς χάριτος τῆς Τριάδος. Ἐπεὶ καὶ μεθ' ἡμῶν εἶναι αὐτὸς ἐπηγγείλατο. Ἀλλὰ καὶ τὸ καταβῆναι τῇ αὐτοῦ δευτέρᾳ παρουσίᾳ πάλιν αὐτὸν πρὸς ἡμᾶς τοῦτο μαρτυρεῖ. Ὃ καὶ φανερώτερον παριστᾷ ἡ τῶν ἁγίων δώρων ἔνδοξος εἴσοδος. Δείκνυται γὰρ τοῦτο καὶ διὰ τοῦ ἀρχιερέως, καὶ διὰ τῆς τῶν ἁγίων εἰσόδου.

A dictionem Salvatoris cœlestem nobis impertit, qui licet loco separatus a nobis, remotus non est, et pro imperatoribus Deum clare rogans, ac post Evangelium tricipiti cereo populum signans, per Evangelium pium imperium, et sacerdotium constitutum ostendit, atque ut ita per gratiam Trinitatis permaneant, precatur. Siquidem ipse assistentiam nobis suam promisit, imo per secundum adventum affirmat. Magis vero sacrorum munerum distributio pontifici et sanctis facta.

οβ'. *Τί τὸ προσελθεῖν τῷ θυσιαστηρίῳ, καὶ εὔχεσθαι τὸν ἀρχιερέα.*

Τῷ θυσιαστηρίῳ δὲ προσελθὼν, τοῦ ἔργου ἄρχεται τῶν εὐχῶν, δεικνὺς ἑαυτὸν ὑπηρέτην **282** τοῦ μυστηρίου.

72. *Quid quod idem accedit ad altare et precatur.*

Ubi ad aram prodiit precationum opus incipit, seque mysterii ministrum demonstrat.

B

ογ'. *Τί τὸ τοὺς κατηχουμένους ἐκβάλλεσθαι.*

Κατηχούμενοι δὲ εὐθὺς ἀπολύονται, καὶ οἱ πιστοὶ μένειν παρακελεύονται. Ἐπεὶ ὁ καιρὸς οὗτος τὸν τῆς συντελείας δηλοῖ καιρόν. «Μετὰ γὰρ τὸ κηρυχθῆναι, φησὶ, τὸ Εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, τότε ἥξει τὸ τέλος. Ἐπεὶ δ' ἐν τῷ τέλει ἀποστελεῖ, φησὶ, τοὺς ἀγγέλους αὐτοῦ, καὶ διαχωρίσουσι τοὺς πονηροὺς ἀπὸ τῶν δικαίων,» τοῦτο καὶ ἡ Ἐκκλησία ποιεῖ, καὶ βοᾷ μὲν ἐξέρχεσθαι τοὺς κατηχουμένους, μένειν δὲ μόνους τοὺς πιστούς. Ὅθεν καὶ νοεῖν ἔξεστιν, ὁπόσην ἔχειν ὀφείλουσιν οἱ πιστοὶ προσοχὴν περὶ τοῦ μὴ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, καὶ μάλιστα τῶν ἄλλων οἱ ἱερεῖς. Εἰ γὰρ μὴ προσευχῆς κοινωνῆσαι θέμις, πολλῷ μᾶλλον θυσίας.

73. *Quid quod catechumeni exisse jubentur.*

Catechumeni vero illico dimittuntur, solique fideles manere jubentur: quoniam tempus hoc consummationis tempus repræsentat. Ait enim: «Postquam prædicatum fuerit Evangelium in toto mundo, tunc veniet consummatio. Cum in fine miserit angelos suos,» inquit [a], «et separaverit malos de medio justorum,» Hoc et Ecclesia agit, dum clamans catechumenos exire, fideles tantum remanere præcipit. Unde etiam perspicere licet quantum fideles sibi cavere debeant ne communicent cum iis quibuscum nulla potest esse communio. ac præsertim sacerdotes. Si enim nefas est communicari in precibus, quanto magis sacrificio!

C

οδ'. *Πῶς δεῖ τοῖς δώροις καὶ ὑπὲρ τίνων προσφέρειν μερίδας.*

Οἱ καὶ τῶν προδήλως ἁμαρτανόντων πιστῶν τὰς προσφορὰς, ἕνεκα θυσίας, οὐκ ὀφείλουσιν ὡς ἔτυχε δέχεσθαι, ἀλλὰ πρότερον τὴν μετάνοιαν ἐκζητεῖν. Κοινωνία γὰρ γίνεται τῇ προσφερομένῃ μερίδι, καὶ οὐ χρὴ τοὺς ἀναξίως ἔχοντας τῆς θυσίας κοινωνεῖν. Οἶδα δὲ ὅτι καὶ ἐνταῦθα φιλονεικοῦσί τινες, πῶς λέγομεν ἐξέρχεσθαι τοὺς κατηχουμένους, μὴ ὄντων κατηχουμένων; Ὡς οὖν καὶ ἐν τοῖς ἄλλοις πλανῶνται, μὴ εἰδότες τὰς Γραφὰς, μήτε τὰ τῆς Ἐκκλησίας μυστήρια, καὶ ἐν τούτῳ ὁμοίως. Ἀεὶ γὰρ ἐν τῇ Ἐκκλησίᾳ εἰσὶ κατηχούμενοι, καὶ πρῶτον μὲν τὰ τῶν πιστῶν ἀβάπτιστα πάντα βρέφη, ἅτινα τεχθέντα, εὐθὺς εὐχὰς δεχόμενα ἱερὰς, οὔπω πιστὰ γεγενημένα, μηδὲ τέλεια τῷ βαπτίσματι, κατηχούμενοί εἰσι. Τοίνυν ὑπὲρ αὐτῶν καὶ πάντοτε μὲν εὐχόμεθα, καὶ ἐν τῇ ἁγίᾳ δὲ Τεσσαρακοστῇ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων εὐχὰς καὶ αἰτήσεις ποιούμεθα. Δεύτερον δὲ, κατηχουμένους ἔχομεν τοὺς ὑπ' ἀσεβῶν κρατηθέντας, καὶ τὴν μὲν πίστιν κατέχοντας ἐν καρδίᾳ, μελετῶντας δὲ ἀποστῆναι τῶν ἀσεβῶν, καὶ τῇ Ἐκκλησίᾳ προσελθεῖν· καὶ ἔτι τοὺς προσελθόντας μὲν, ἔτι κατηχουμένους δὲ, καὶ μήπω τετελεσμένους τῷ θείῳ μύρῳ. Τρίτον δὲ κατηχουμένους ἔχομεν τοὺς

74. *Quomodo oporteat dona et pro quibus particulas de hostia sacra offerre.*

Qui etiam palam peccantium fidelium oblationes, utcunque eas præsentari contigerit, propter sacrificium non debent temere admittere, sed pœnitentiam prius requirere. Ex oblata enim particula fit communio, et sacrificio indignos eo participare nefas. Scio equidem quosdam de eo nobiscum disceptare quod de catechumenis loquimur, qui revera haud exsistunt. At errant, Scripturas et Ecclesiæ mysteria ignorantes; semper enim Ecclesia catechumenos habet, et præsertim infantes fidelium imbaptizatos, qui post ipsum partum sacras preces recipiunt et post fidem acceptam et baptismum administratum catechumenorum numero accensentur. Pro hisce igitur quadragesimali tempore et Pentecostes festo preces facimus. Secundo, catechumeni sunt qui ab impuris retinentur; ab iis autem recedere et Ecclesiæ fidem amplecti nituntur, porro ii qui ad Ecclesiam accessuri nondum sacro unguento imbuti sunt. Tertio sunt catechumeni, qui homicidii aut alius gravis accusantur criminis, et quibus ad sacra mysteria accedere non licet, sed audientium numero tantum inscripti sunt benevolentia Patrum. Prius enim et hi ipsi excommunicati fuerant.

D

[a] Matth. xxiv, 14.

ἐγκλήμασι περιπεπτωκότας, ἢ φόνου, ἢ ἑτέρου τινὸς χαλεποῦ ἁμαρτήματος. Οἷς οὐκ ἐξόν ἐστι τῶν μυστηρίων κοινωνεῖν· ἀλλ' ἡ ἀκρόασις μόνη συγκεχώρηται αὐτοῖς τῶν θείων λογίων. Καὶ τοῦτο δ' ὕστερον ἐγεγόνει φιλανθρωπίᾳ τῶν Πατέρων· πρότερον γὰρ, ὡς οἱ κανόνες φασὶν, ἐξωθοῦντο καὶ αὐτοί.

75. *Quamobrem episcopus lavet se antequam sacra ingrediatur.*

Cum divina dona proponenda sunt, prius in conspectu omnium manus lavat pontifex, indicans hac cæremonia, se liturgiam purum et nulli reprehensioni affinem aggredi, et quod absque omni penitus sorde, mundis rebus accedere oportet; et quantum in hominis potestate est, purissimis mysteriis subministrare.

76. *Quomodo divinorum donorum ingressus fiat cum pompa ac splendore.*

Post hæc veneranda dona cum comitatu et pompa splendida circumferuntur, lectoribus, diaconis, sacerdotibus, cum cereis et sacris vasis præeuntibus ac sequentibus: illudque ultimum Christi adventum, ut diximus, in quo cum gloria accessurus est, manifestat. Ideo et pallium cruce insignitum præcedit, quod signum Jesu, et ipsum Jesum de cœlo ostensum iri præfigurat. Quod mox ordine sequuntur diaconi, qui angelorum ordinem referunt. Secundum veniunt qui dona sacra portant, post quos et reliqui omnes: et qui in capite sacrum velum portant, quod nudi et mortui Jesu imaginem habet.

77. *Quare sacerdotes qui una ingrediuntur, orent pro episcopo, et regni Dei faciant mentionem.*

Hi templum gressu obeuntes, et populo bene precati, ad altare ingrediuntur, dum alii omnes pro pontifice vota precesque depromunt, nec tum alterius rei quam regni Dei meminerunt. Hæc autem omnia docent, quomodo in fine mundi apparente Salvatore, post malorum condemnationem et a Deo recessum, non alia erit hæreditatis fidelibus quam regnum Dei. Regnum autem Dei est ipse Christus, et dispensationis ejus contemplatio, cujus mysterium in eo cognoscitur, quod se humiliavit usque ad mortem, quod pro nobis occisus est, quod occisum illius divinum et vivificum corpus ad vulnera inspicienda exhibuit, et immortalitatem adeptum contra mortem triumphum nobis largitum est, ex vulneribus suis incorruptionem et vitam et divinitatem nobis cum angelis impertiens, alimentum ac potum, ac vitam et lumen ipsum, panem vitæ, verum lumen, vitam æternam, qui est Christus Jesus. Quare ingressus ille solemnis, et secundum adventum Salvatoris, et sepulturam ejus ante oculos ponit: quoniam ipse erit, ut diximus, quem in futuro sæculo contemplabimur, vitam in cœlo jucundam, quam latro quoque in cruce præsensit dicens: « Memento mei, Domine, in regno tuo. »

78. *Quare fideles in magno introitu coram sacerdotibus procidant.*

Inclinant autem, atque etiam in genua procum-

οε'. *Διατί πρὸ τῆς εἰσόδου τῶν ἁγίων ἀπονίπτεται ὁ ἀρχιερεύς.*

Μελλόντων δὲ τῶν θείων προτίθεσθαι δώρων, πρότερον ἀπονίπτεται πάντων ἐνώπιον ὁ ἀρχιερεὺς, δηλῶν αὐτοῦ τὸ καθαρὸν περὶ τὴν ἱερουργίαν καὶ ἄληπτον, καὶ ὅτι δίχα ῥύπου παντὸς, ὡς δυνατὸν ἀνθρώπῳ, προσέρχεσθαι τῷ καθαρῷ δεῖ, καὶ τοῖς αὐτοῦ καθαρωτάτοις ἐξυπηρετεῖν μυστηρίοις.

ος'. *Πῶς μετὰ λαμπρότητος ἡ τῶν θείων δώρων γίνεται εἴσοδος.*

Ἡ δὲ τῶν τιμίων δώρων μετὰ ταῦτα δορυφορία καὶ εἴσοδος μετὰ λαμπρότητος γίνεται ἀναγνωστῶν, διακόνων, ἱερέων, μετὰ σκευῶν ἱερῶν, προπορευομένων, ἐφεπομένων, ὅτι τοῦτο τὴν τελευταίαν ἐμφαίνει παρουσίαν Χριστοῦ, ὡς εἴπομεν, ἐν ᾗ ἐλεύσεται μετὰ δόξης. Διὸ καὶ ἔμπροσθεν μὲν τὸ ὠμοφόριον ἔρχεται τὸν σταυρὸν ἔχον, ὃ δηλοῖ τὸ ἀπ' οὐρανοῦ σημεῖον μέλλον φανῆναι τοῦ Ἰησοῦ, καὶ αὐτὸν τὸν Ἰησοῦν· μεθ' ὃ καὶ οἱ ἑξῆς διάκονοι, τῶν ἀγγέλων ἐπέχοντες τάξιν· εἶτα καὶ οἱ τὰ θεῖα δῶρα κατέχοντες, μεθ' οὓς οἱ λοιποὶ πάντες καὶ οἱ ἐπὶ κεφαλῆς τὸ ἱερὸν κατέχοντες ἔπιπλον, ὃ γυμνὸν ἔχει καὶ νεκρὸν εἰκονισμένον τὸν Ἰησοῦν.

283 οζ'. *Διατί ὑπερεύχονται τοῦ ἀρχιερέως οἱ εἰσερχόμενοι τῶν ἱερωμένων, τῆς βασιλείας μεμνημένοι τοῦ Θεοῦ.*

Οὗτοι οὖν περιδραμόντες τὸν ναὸν καὶ ἐπευξάμενοι τῷ λαῷ, εἰσέρχονται τὸ θυσιαστήριον, τοῦ ἀρχιερέως πάντες ὑπερευχόμενοι, ὅτι καὶ οὐχ ἑτέρας εὐχῆς, ἀλλὰ τῆς βασιλείας μέμνηνται τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα διδάσκει, καὶ ὡς ἐν τῷ τέλει μετὰ τὴν τῶν πονηρῶν ὑποχώρησιν, καὶ τὴν αὐτῶν ἐκ τοῦ Θεοῦ ἀλλοτρίωσιν, τοῦ Σωτῆρος ἐπιφανέντος, οὐκ ἄλλο ἔσται κληρονομία τοῖς πιστοῖς ἢ ἡ τοῦ Θεοῦ βασιλεία. Βασιλεία δὲ Θεοῦ αὐτὸς ὁ Χριστὸς, καὶ ἡ θεωρία τῆς οἰκονομίας αὐτοῦ, τὸ μέχρι θανάτου ταπεινωθῆναι, τὸ σφαγῆναι ὑπὲρ ἡμῶν, τὸ ἐσφαγμένον ἐκείνου τὸ ζωοποιὸν καὶ θεῖον σῶμα καθορᾷν, τὰς τρώσεις ἐπιδεικνύμενον, τὸ ἀπαθανατισθὲν μὲν καὶ κατὰ τοῦ θανάτου ἡμῖν τὴν νίκην βραβεῦσαν, ἐκ τῶν ὠτειλῶν δὲ τὴν ἀφθαρσίαν καὶ τὴν ζωὴν καὶ τὴν θέωσιν μετὰ τῶν ἀγγέλων ἡμῖν παρεχόμενον, καὶ τροφὴν καὶ πόσιν καὶ ζωὴν καὶ φῶς, αὐτὸν τὸν ἄρτον τῆς ζωῆς, τὸ ἀληθινὸν φῶς, τὴν ζωὴν τὴν αἰώνιον, τὸν Χριστὸν Ἰησοῦν ὄντα. Διὸ ἡ εἴσοδος αὕτη ἅμα καὶ τὴν δευτέραν σημαίνει παρουσίαν τοῦ Σωτῆρος, καὶ τὴν ταφὴν, ὅτι αὐτὸς ἔσται, ὡς εἴρηται, ἡ ἐν τῷ μέλλοντι θεωρία, βασιλεία τε καὶ ἀπόλαυσις, ἣν καὶ λῃστὴς ἐπὶ τοῦ σταυροῦ φωτισθεὶς, προέγνω καὶ προεκήρυξε λέγων, « Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. »

οη'. *Διατί προσπίπτουσι τοῖς ἱερεῦσιν ἐν τῇ μεγάλῃ εἰσόδῳ πιστοί.*

Προσπίπτουσι δὲ πάντες τοῖς ἱερεῦσιν οἱ πιστοὶ,

θεῖοι καλῶς, τὸ μὲν, τὰς εὐχὰς αὐτῶν ἐξαιτούμενοι, καὶ μνησθῆναι τούτων ἐν τῇ ἱερουργίᾳ δεόμενοι, τὸ δὲ, τιμῶντες τὰ θεῖα δῶρα. Εἰ γὰρ καὶ μήπω ἱερουργήθη, ἀλλ' ἐν τῇ προθέσει ἀνετέθησαν τῷ Θεῷ, καὶ ὁ ἱερεὺς ἐκεῖσε εὐχὴν ἀνέφερε, καὶ προσδέξασθαι ταῦτα εἶπεν ἐπὶ τὸ ἄνω θυσιαστήριον· εἰ οὖν καὶ μήπω τετελεσμένα, ἀλλὰ πρὸς τὸ τελεσθῆναι ἡτοιμασμένα εἰσὶ, καὶ ἀνάθημα Θεῷ καὶ ἀντίτυπα τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος. Οἱ κατὰ τὸν Κάϊν οὖν διαφθονούμενοι τῷ Ἄβελ ἡμῖν ἀλαζόνες, καὶ ὑπερήφανοι κατὰ τῶν ἁγίων φερόμενοι ἐντραπήτωσαν, βλασφημοῦντες, καὶ τὸ ἀπὸ Θεοῦ κατάκριμα φοβηθήτωσαν. Οὐ γὰρ εἰδωλολατροῦμεν ἡμεῖς τοῖς θείοις δώροις προσπίπτοντες! ἄπαγε· ἀλλὰ τοῖς ἀνατεθειμένοις τῷ Θεῷ δι' εὐχῶν δώροις, καὶ μήπω τετελεσμένοις, τὴν τιμὴν ἀπονέμομεν, ὡς ἡγιασμένοις τῇ προσαγωγῇ, ὡς ἀφιερωμένοις διὰ θειοτάτων εὐχῶν, ὡς ἀντιτύποις οὖσι τοῦ σώματος τοῦ Χριστοῦ καὶ αἵματος. Οἱ δὲ λέγοντες ταῦτα λοιπὸν τὰ προσαγόμενα παρ' αὐτῶν, ὡς εἴδωλα πρὸ τῆς Κυριακῆς φωνῆς μετὰ τὰς ἄλλας εὐχὰς ἔχουσι. Καὶ ποίαν ἕξουσιν ὅλως ἀπολογίαν οἱ τὰ ἀνατεθειμένα ἐν τῇ προθέσει δῶρα τῷ Θεῷ εἴδωλα (φεῦ!) ὀνομάζοντες, καὶ τῶν δυσσεβῶν Εἰκονομάχων χείρονες ὄντες; Ὅτι αἱ μὲν θεῖαι εἰκόνες ἅγιαι μὲν ὡς μορφώματα τῶν ἀληθινῶν, τὰ δῶρα δὲ ἀνατεθειμένα Θεῷ, καὶ εἰς τὸ γενέσθαι σῶμα καὶ αἷμα Χριστοῦ προσαγόμενα. Εἰ οὖν ταῖς ἱεραῖς εἰκόσι τιμὴν καὶ προσκύνησιν ἀπονέμειν ὀφείλομεν, πολλῷ μᾶλλον αὐτοῖς τοῖς δώροις, ἀντιτύποις οὖσιν, ὡς ὁ μέγας φησὶ Βασίλειος, καὶ πρὸς τὸ γενέσθαι προσαγομένοις σῶμα καὶ αἷμα Χριστοῦ. Καὶ διὰ τὰ θεῖα δὲ σκεύη χρὴ ὑποκύπτειν τοῖς ἱερεῦσιν, εἰ καὶ ἐξ αὐτῶν κενά τινα ᾖ. Ἁγιασμοῦ γὰρ πάντα μετέχει, τῶν θείων δώρων ἐν αὐτοῖς ἱερουργουμένων.

A bent fideles omnes ante sacerdotes, ac jure quidem, partim ipsorum preces, et sui in missa memoriam cogitantes, partim divina dona venerantes. Quanquam enim sacrificata nondum sunt, in altari tamen propositionis Deo dicata fuere, et sacerdos illic ea Deo obtulit et in sublime altare deportari acceptarique precatus est. Quamvis igitur consecratione nondum consummata sint, verum ut consecrentur disposita fuere et Deo dicata, et typi Dominici corporis et sanguinis sunt. Qui igitur ut Cain nobis ut Abeli invident et contra sanctos invehuntur, abeant in malam crucem et Dei judicium metuant. Non enim nos ante divina dona ut idola prosternimur; absit! sed donis quæ Deo cum precibus offeruntur, licet nondum sanctificata sint, B honorem tribuimus ut sanctificandis per preces, ut typis corporis ac sanguinis Dominici. Qui vero dicunt oblationes ipsorum sicut idola ante vocem Domini post cæteras preces habent. Qualem porro veniam merentur qui oblationes Deo factas idola eheu! nominant et impiis Iconomachis pejores sunt? Divinæ enim imagines sacræ quidem sunt ut formæ veritatis; item dona Deo oblata utpote in corpus et sanguinem Christi transmutanda. Si ergo sacris imaginibus honorem venerationemque tribuimus, quanto magis ipsa dona, quæ, ut magnus Basilius dicit, antitypa sunt et oblata, ut Christi corpus et sanguis fiant. Quin et propter ipsa sacra vasa sacerdotibus procidendum est, licet et quædam ex eis vacua sint; omnia enim propter divina dona in ipsis consecrata, sanctificationem participant.

οθ'. Διατί καὶ ἱερὰ κενὰ σκεύη ἐν τῇ εἰσόδῳ οἱ ἱερεῖς κατέχουσιν.

Καὶ τοῦτο δὲ οὐ θαυμαστὸν, εἰ κενά τινά ἐστιν. Εἰς τιμὴν γὰρ τῶν θείων δώρων ταῦτα τὰ σκεύη κατέχουσι, καὶ ἵνα οἵ θ' ὁρῶντες, οἵ τε ἐγγίζοντες, ἁγιάζωνται πάντες.

C **79.** ***Quare sacerdotes in ingressu etiam vacua sacra vasa teneant.***

Nec mirum si quædam inania sint. In honorem quippe sacrorum donorum hæc portant, atque ut tum videntes ea, tum appropinquantes sanctificentur omnes.

π'. Διατί καλύπτεται τὰ θεῖα δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ.

Ἐπιτιθέμενα δὲ τὰ θεῖα δῶρα τῇ ἱερᾷ τραπέζῃ, καλύπτεται, ὅτι οὐ τοῖς πᾶσιν ἐξ ἀρχῆς **284** ἐγνωσμένος ὁ Ἰησοῦς, καὶ ὅτι σωματωθεὶς, οὐδ' οὕτω τοῦ κρυφίου τῆς αὐτοῦ θεότητος καὶ τῆς προνοίας ἐξέστη· ἀλλ' ἀκατάληπτός ἐστι καὶ ἄπειρος ἀεὶ, καὶ τοσοῦτον μόνον γινώσκεται, ὅσον αὐτὸς ἀποκαλύπτει.

80. ***Quamobrem divina dona in sacra mensa obleguntur.***

Imposita autem altari sacra dona cooperiuntur, quia non omnibus ab initio cognitus fuit Jesus; et licet corpus assumpsisset, non tamen ab abscondita sua divinitate ac providentia discessit; sed incomprehensus et infinitus est semper, tantumque duntaxat cognoscitur, quantum ipse re- D velat.

πα'. Διατί ὁ ἀρχιερεὺς εὐχὴν παρὰ πάντων ἐξαιτεῖται.

Εὐχὴν δὲ παρὰ πάντων αἰτεῖται ὑποκλίνας ἑαυτὸν ὁ ἀρχιερεὺς, ἐπιγινώσκων καὶ αὐτὸς ἑαυτὸν, καὶ πρὸς τὸ ἔργον φρίττων καὶ ὑποστελλόμενος, καὶ τὸ ἀποστολικὸν πληρῶν τὸ, «Ἐξομολογεῖσθαι ἀλλήλοις τὰ παραπτώματα,» καὶ, «Ὑπὲρ ἀλλήλων εὔχεσθαι·» οὐδὲ γὰρ αὐτὸς ἑαυτῷ θαρρεῖ, ἄνθρωπος τελῶν καὶ αὐτός.

81. ***Quare preces ab omnibus exposcat episcopus.***

Preces autem prono capite petit ab omnibus pontifex, agnoscens et ipse semetipsum, et ad opus istud tremens ac pavens, illudque apostolicum implens, «ut confiteamur alterutrum peccata, et ut oremus pro invicem.» Non enim fidit sibi, cum ipse quoque homo numeretur.

82. *Quid denotet, quod post ingressum cruce signet populum cum cereo triplici.*

Signat vero populum postquam, votis sacerdotum imploratis, illa impetraverit. Precatur enim pro populo et ipse omnium preces admittit. Quamobrem non, «Domine miserere,» populus dicit, sed, «Ad multos annos, Domine;» quasi rogans ut feliciter procedat in sacrificio, et in ea functione ætatem longius extendat.

83. *Quare sacræ fores post crucis signaculum occludantur.*

Ingresso eo, januæ clauduntur, quod mysteria ab omnibus videri non deceat, verum ab iis solum qui sacerdotio sunt initiati. Præterea quomodo inter angelos est ordo, primi enim divina claritate sine medio fruuntur; secundi per primos, et postremi per medios (ut cœlesti præditus sapientia docet Dionysius), sic item in Ecclesia est videre. Pontifex enim sine medio ad divinam mensam accedit: sacerdotes autem et sacrorum ministri, per ipsum. Per sacerdotes deinde et ministros in tremendæ communionis sacrorumque hymnorum societatem populus venit.

84. *Quare sanctum recitetur Symbolum, et osculum impertiatur.*

Post primam vero precem sacro Symbolo dicto, fit salutatio, quoniam per sinceram Trinitatis confessionem, et unum de Trinitate incarnatum, inter nos uniti sumus, ipsaque confessio cum angelis nos consociavit. Et quia diligere debemus invicem, quando et Christus per charitatem pro sacrificio oblatus est: et communicaturum illi ira vacantem esse oportet. Et quia in futura vita omnes amici, nullus ibi inimicus erit: procul enim inimici inde ejicientur.

85. *Quare divina dona obtecta maneant donec Symbolum absolutum fuerit.*

Sacrum vero velum super donis donec Symbolum compleatur tenent, quoniam omnia de Jesu pure confiteri oportet: ac ita demum sine integumento ipsum intueri convenit. Post hæc pontifex sacrificans altari astat, et divina laudans opera atque pro omnibus gratias agens ad archangelos aggregatur.

86. *Quomodo Trisagius hymnus intra et extra vema decantetur.*

Victorialem cum iis hymnum acclamat, *Sanctus, sanctus, sanctus,* quem etiam populus cantu et clamore excipit, ostenditque in futuro sæculo æqualem nos laudem cum angelis persoluturos, et unionem cum illis habituros. Deinde pontifex laudato divinorum operum omnium maximo, Unigeniti incarnatione, rursumque præclarissimo opere dispensationis ejus, morte scilicet pro nobis oppetita, ad recolenda mysteria progreditur, et ad sancta verba, quæ Salvator ipse sacrificans protulit, clare pronuntiat: «Accipite, comedite, hoc est corpus meum;» et: «Bibite ex hoc omnes, hic est enim sanguis meus,» etc. Postmodum gratiis actis

πβ'. *Τί δηλοῖ τὸ σφραγίσαι μετὰ τὴν εἴσοδον τῷ τρικηρίῳ τὸν λαόν.*

Σφραγίζει δὲ τὸν λαὸν, μετὰ τὸ λαβεῖν τὴν ἀπὸ τῶν ἱερέων εὐχὴν, εὐχόμενος μὲν καὶ ὑπὲρ τοῦ λαοῦ, οἱονεὶ δὲ καὶ αὐτὸς παρὰ πάντων εὐχὴν ἐξαιτούμενος. Διὸ καὶ οὐ τὸ, «Κύριε ἐλέησον,» φησὶν ὁ λαὸς, ἀλλ' «Εἰς πολλὰ ἔτη, Δέσποτα,» εὐχόμενοι πως εὐοδωθῆναι τοῦτον ἐν τῇ ἱερουργίᾳ, καὶ διαμένειν ἱερατεύοντα ἐπὶ πολύ.

πγ'. *Διατί κλείονται μετὰ τὸ σφραγίσαι τὰ ἅγια θύρια.*

Εἰσελθόντος δὲ κλείονται αἱ θύραι, ὅτι οὐ τοῖς πᾶσιν ὁρᾶσθαι ἄξιον τὰ μυστήρια, ἀλλὰ μόνοις τοῖς τῆς ἱερωσύνης ἐνεργοῖς. Ἀλλὰ καὶ ὡς τάξις ἐν τοῖς ἀγγέλοις, καὶ γὰρ ἀμέσως ἐκεῖσε οἱ πρῶτοι μὲν τοῦ θείου μετέχουσι φωτὸς, οἱ δεύτεροι δὲ διὰ τῶν πρώτων, καὶ οἱ τελευταῖοι διὰ τῶν μέσων, ὡς ὁ σοφὸς τὰ θεῖα φησὶ Διονύσιος, οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ ἔστιν ἰδεῖν. Ὁ μὲν γὰρ ἱεράρχης ἀμέσως τῇ ἱερᾷ προσεγγίζει τραπέζῃ, οἱ δέ γε ἱερεῖς καὶ λειτουργοὶ δι' αὐτοῦ. Διὰ δὲ τῶν ἱερέων καὶ λειτουργῶν τῆς φρικτῆς κοινωνίας καὶ τῶν ἱερῶν ὕμνων οἱ τοῦ λαοῦ μετέχουσι.

πδ'. *Διατί τὸ ἱερὸν λέγεται Σύμβολον καὶ ὁ ἀσπασμὸς γίνεται.*

Μετὰ δὲ τὴν πρώτην εὐχὴν, τοῦ ἱεροῦ λεγομένου Συμβόλου, ὁ ἀσπασμὸς γίνεται, ὅτι διὰ τῆς ὀρθῆς πρὸς τὴν Τριάδα ὁμολογίας καὶ τὸν ἕνα τῆς Τριάδος σεσαρκωμένον ἡμῖν ἡ ἕνωσις γέγονε. Καὶ αὕτη ἡ ὁμολογία ἡ τοῖς ἀγγέλοις ἡμᾶς ἑνώσασα, καὶ ὅτι ἀγαπᾷν ἀλλήλους χρὴ, ὅτι καὶ Χριστὸς δι' ἀγάπην ἱερουργήθη· καὶ τὸν μέλλοντα κοινωνεῖν αὐτοῦ, οὐ μετὰ μήνιδος δεῖ παρίστασθαι. Καὶ ὅτι πάντες ἐν τῷ μέλλοντι φίλοι, καὶ οὐδεὶς ἐκεῖσε ἐχθρός. Οἱ γὰρ ἐχθροὶ πόῤῥω βέβληνται.

πε'. *Διατί μέχρι τοῦ τελεσθῆναι τὸ Σύμβολον τὰ θεῖα δῶρα περικαλύπτεται.*

Κρατοῦσι δὲ τὸ ἱερὸν κάλυμμα ἐπὶ τῶν δώρων, ἕως ἂν τὸ ἱερὸν ἐκπληρωθῇ Σύμβολον, ὅτι χρὴ πάντα τὰ περὶ τοῦ Ἰησοῦ καθαρῶς ἀνομολογῆσαι, καὶ οὕτως ἀπερικαλύπτως ἰδεῖν αὐτόν. Μετὰ ταῦτα μὲν οὖν ὁ ἱεράρχης ἱερουργῶν παρίσταται, καὶ τὰ θεῖα ἀνυμνῶν ἔργα, καὶ ὑπὲρ πάντων εὐχαριστῶν, μετὰ τῶν ἀρχαγγέλων ἑνοῦται.

πς'. *Πῶς ὁ Τρισάγιος ὕμνος ᾄδεται ἔσωθέν τε καὶ ἔξωθεν.*

Καὶ τὸν ἐπινίκιον ἀνακράζει σὺν αὐτοῖς ὕμνον, τὸ, «Ἅγιος, ἅγιος, ἅγιος.» Τοῦτο καὶ ὁ λαὸς ἐκβοᾷ, δεικνὺς τὴν ἐν τῷ μέλλοντι ἴσην αἴνεσιν ἡμῶν μετὰ τῶν ἀγγέλων, καὶ τὴν μετ' αὐτῶν ἕνωσιν. Εἶτα τὸ μέγιστον πάντων τῶν ἔργων τοῦ Θεοῦ ἀνυμνήσας ὁ ἱεράρχης, τὴν τοῦ Μονογενοῦς ἐνανθρώπησιν, καὶ τὸ μέγιστον πάλιν ἔργον τῆς οἰκονομίας αὐτοῦ, τὸν ὑπὲρ ἡμῶν θάνατον, εἰς τὴν ἀνάμνησιν τῶν μυστηρίων χωρεῖ. Καὶ τοὺς ἱεροὺς ἀνακράζει λόγους, οὓς εἶπεν αὐτὸς ἱερουργῶν ὁ Σωτὴρ, «Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου·» καὶ, «Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου,» καὶ τὰ ἐφεξῆς. Ἔπειτα ὑπὲρ πάντων εὐχαριστήσας, καὶ ὑπὲρ πάν-

των τὰ δῶρα προσαγαγὼν, τὴν θείαν ἐπικαλεῖται A εἰς ἑαυτὸν καὶ τὰ προκείμενα δῶρα χάριν τοῦ Πνεύματος· δι' ἧς καὶ ταῦτα τετελεσμένως σφραγῖσι σταυροῦ καὶ **285** ἐπικλήσει τοῦ Πνεύματος, τὸν ζῶντα εὐθὺς βλέπει προκείμενον Ἰησοῦν, καὶ τοῦτον αὐτὸν ἀληθῶς ὄντα τὸν ἄρτον καὶ τὸ ποτήριον. Αὐτοῦ γὰρ αὐτὸ ὁ ἄρτος τὸ σῶμα, καὶ αὐτοῦ αὐτὸ τὸ ἐν τῷ ποτηρίῳ αἷμα καὶ τὸ παγκόσμιον θῦμα, καὶ τὸ κοινὸν ἱλαστήριον, καὶ ἡ ζῶσα τρυφὴ, καὶ ἡ ἀπέραντος εὐφροσύνη, καὶ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ τὸ μόνον ὄντως ἀγαθὸν, πρόκειται τοῖς πᾶσιν ἐν τῇ θείᾳ τραπέζῃ. Διὸ καὶ ὑπὲρ πάντων ὁ ἱεράρχης θαῤῥούντως εὔχεται. Θαῤῥεῖ γὰρ, τὸν φιλάνθρωπον καὶ ἀνεξίκακον καθορῶν προκείμενον τεθυμένον, καὶ ἀνυμνεῖ, καὶ ὑπὲρ ἁπάντων ἐξαιτεῖται, καὶ τῶν ἀπελθόντων B ἁγίων μέμνηται.

pro omnibus, donisque etiam oblatis pro omnibus, divinum sibi auxilium et super dona proposita gratiam Spiritus implorat, per quam, et his signo crucis, invocationeque Spiritus consecratis, continuo viventem Jesum et hunc eumdem, qui vere est panis et poculum, ante se positum videt. Ejus enim hoc verbum est : Panis est corpus. Et ejus item hoc : Quod in calice est, sanguis est : et pro universo mundo hostia, communeque propitiatorium, et vivæ deliciæ, infinitaque lætitia, et regnum cœlorum, et solum re vera bonum, in sacra mensa mortalibus universis proponitur. Quocirca etiam pro omnibus pontifex fidenter precatur. Concipit enim fiduciam benignum et patientem coram se positum pro sacrificio intuens. Laudat ideo et omnium nomine eum obsecrat, sanctorumque hominum qui ex hac vita migrarunt, memoriam facit.

πζ'. *Διατί καὶ τῶν ἁγίων καὶ τῆς παναγίας Θεοτόκου ἐν τῇ ἱερουργίᾳ ὁ ἀρχιερεὺς μέμνηται.*

Ἐξαιρέτως δὲ τῆς τοῦτον παρθενικῶς τεκούσης Θεομήτορος κόρης, μαρτυρῶν κἀν τούτῳ, ὡς τοῖς ἁγίοις ἡνώθημεν, (καὶ διὰ τοῦ θύματος τούτου κοινωνοὶ ἐκείνων ἐσμὲν, καὶ ὅτι παῤῥησίαν οὗτοι πρὸς τὸν φιλοῦντα καὶ φιλούμενον ἔχοντες, ἰσχύουσι καὶ ἡμᾶς αὐτῷ καταλλάξαι τε καὶ ἑνῶσαι.

87. *Quamobrem sanctorum et sanctissimæ Deiparæ in sacræ missæ celebratione episcopus faciat mentionem.*

Ante alios Virginis Dei matris, quæ ipsum clauso utero peperit : testans et in hoc, nobis cum sanctis societatem intercedere, et per istud sacrificium nos illorum consortes esse, qui fiduciam apud diligentem et dilectum habeant, qua nos ei reconciliare et unum cum eo efficere queant.

πη'. *Ἀπάντησις κατὰ τῶν βλασφήμως λεγόντων, πῶς τῇ εὐχῇ πιστεύομεν τελειοῦσθαι τὰ θεῖα δῶρα.*

Ἀλλ' ἐνταῦθα τῶν μὴ ὀρθῶς φρονούντων τινὲς, C ἐν τῇ ἐπικλήσει τοῦ Πνεύματος καὶ τῇ τελειώσει τῶν δώρων οἷον διαπορούντες, μᾶλλον δὲ ἀνθιστάμενοι τοῖς παραδεδομένοις ὑπό τε τοῦ Σωτῆρος καὶ τῶν ἀποστόλων αὐτοῦ, ἔτι τε καὶ τῶν διαδόχων τούτων θεοφόρων Πατέρων, φιλονεικοῦσι, λέγοντες, πῶς οὐκ ἀρκούμεθα τοῖς κυριακοῖς μόνοις ῥήμασιν ἐπὶ τῇ τελειώσει τῶν θείων δώρων, ἀλλὰ τῇ εὐχῇ θαῤῥοῦμεν ἡμῶν; Οὗτοι οὖν τήν τε ἐπίκλησιν ἀθετοῦσι τολμηρῶς καὶ βλασφήμως τοῦ θείου Πνεύματος, καὶ τὴν αὐτοῦ ἀπαρνοῦνται (φεῦ!) δύναμίν τε καὶ ἐνέργειαν, ἣν τοῖς ἀποστόλοις αὐτὸς ὁ Σωτὴρ καὶ ἐπηγγείλατο δοῦναι, καὶ ἐδωρήσατο, δι' ἧς καὶ ἱερουργοὶ οὗτοι καὶ ποιμένες κεχειροτόνηνται, D ἐπελθόντος αὐτοῖς τοῦ παναγίου Πνεύματος, καὶ ταῖς πυρίναις γλώσσαις τὴν αὐτοῦ ἐνθεμένου ἐν αὐτοῖς δύναμιν, δι' ἧς καὶ τὴν ἱερουργίαν, καὶ τὰς χειροτονίας διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν, καὶ τὰ ἰάματα καὶ θαυμάσια ἐξετέλουν. Καὶ γὰρ οὐ τὸ ἁπλῶς εἰπεῖν, Ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου, καὶ τὰ λοιπά, τὸ δύνασθαι ἔχει μόνον καθ' αὑτό· ἀλλὰ τὸ μετὰ τοῦ Πνεύματος τὸν ἱερέα εἰπεῖν, τουτέστι μετὰ τοῦ χαρίσματος, μετὰ τῆς δυνάμεως δηλαδὴ τῆς ἱερωσύνης. Καὶ δῆλον ἐκ τούτου· εἰ γὰρ μυριάκις εἴποιεν τὰς Δεσποτικὰς φωνὰς καὶ πᾶσαν θείαν ἐπίκλησιν, εἴτε βασιλεῖς πάντες ἢ ἀσκηταὶ, εἴτε πάντες εὐλαβεῖς, μὴ ἱερωσύνην ἔχοντες, εἴτε ἅπαντες ὁμοῦ οἱ ἐν ὅλῃ τῇ γῇ πιστοὶ, οὐδὲν πλέον ἔσται, μὴ ἱερέως παρόντος,

88. *Responsio adversus eos qui blaspheme affirmant nos credere quod precibus divina dona perficiuntur.*

Jam vero insani quidam viri Spiritus sancti invocationi et donorum distributioni contraeuntes doctrinæ a Salvatore, nec non ejus apostolis horumque successoribus divinis Patribus traditæ resistunt inquirentes, cur in donorum distributione non declaratione Dominica contenti simus, sed ad preces recurramus. Hi utique temerario ac blasphemando Spiritus sancti invocationem abolent, ejusdemque, eheu ! virtutem atque cooperationem respuunt, quam Salvator ipse apostolis se communicaturum esse promisit, ac revera communicavit ; per quam etiam sacerdotes ac pastores nostri eliguntur Spiritu sancto in linguis ignitis super eos descendente ; per quam deinceps sacerdotes electi manuum impositione, per quam sanationes miraculosæ peractæ sunt. Non enim locutio simplex : Fac panem hunc corpus pretiosum Christi tui, etc. per se sufficit : sed oportet ut sacerdos id, auxiliante Spiritu, id est, cum gratia sacerdotio inhærente proloquatur. Fac enim ut omnes reges aut omnes fideles per totum orbem terrarum verba Salvatoris millies proclament ; si sacerdotio investiti non sunt, nil proficiunt, nec ullum consecrationis effectum habent ab iis sic oblata, nec corpus et sanguis Christi transsubstantiatur. Non igitur homo aliquis, sed Deus est qui per sacerdotem operatur, Spiritus sancti gratia interveniente ; ita ut quidquid sacerdos dixerit, virtute sacerdotalis dignitatis operetur.

Hæc autem virtus Dei est nec a quocunque fideli possidetur, sed solus in dignitate sacerdotali constitutus, cujus etiam preces gratia divina intercedente effectum habent. Quod qui non credit, aut qui baptisma et chrisma et ordinem sacerdotalem aut remissionem peccatorum aut habitum monachalem accepit, et super quem initiatio non est pronuntiata, is infideli similis et hæreditatis Christianæ expers est habendus. Omnia siquidem ista per preces a sacerdotibus fusas perficiuntur. Itaque si baptizamus, secundum doctrinam traditam in nomine Patris et Filii et Spiritus sancti baptizamus, baptizandum sub Trinitatis invocatione initiantes. Sed illa sola invocatione quam Salvator docuit, non contenti, crucis signo et insufflatione, præceptis ac mandatis additis, olei consecrati chrismate et sanctæ Trinitatis invocatione recens baptizatum purificamus, et aquam baptismalem signo crucis et Spiritus sancti sanctificamus et unguento adhibito sacro preces pronuntiamus crucis signo signantes. Post baptismum deinde baptizatum et oleo sancto unctum precibus sacris fortificamus, Theophaniorum autem festo aquas consecratas precibus denuo sanctificamus, ut et ea quæ quotidie consecrantur; sacerdotes enim Spiritu sancto intercedente virtutem suam baptizato communicarunt; nos autem pontificem electum aut sacerdotem per preces ecclesiasticas et sub Spiritus sancti invocatione admittimus, quia a linguis ignitis quæ in apostolos descenderunt, per Spiritus sancti gratiam et munificentiam virtutem emanantem receperunt. Sic et nos panis et calicis in corpus et sanguinem Christi per preces sacerdotis transfigurationem plane credimus, persuasum habentes crucis signo et Spiritus sancti invocatione et verbis Domini, Accipite, edite, et bibite ex eo omnes et facite ad meam commemorationem apostolis et eorum successoribus facultatem per preces operandi commissam fuisse. Idcirco ad Patrem conversus et incarnationem hymnis celebrans sacerdos, primo verba Christi divina alta voce repetit, quod suo ipsius nomine et nostrum omnium sacra facit secundum mandatum. Tu autem, quæsumus, Spiritum tuum et dona tua in nos effunde, et hæcce in corpus et sanguinem Christi, ut ipse voluit, et Spiritu sancto mediante transforma. Hæc dicens sacerdos crucis signo ter facto corpus et sanguinem factum esse credit panem et calicem. Nunc autem Christus sit consecrans et consecratus, offerens et oblatus, exhibens atque exhibitus sicut in magno legimus Adventu. Ut autem clarius hæc demonstremus: sacerdos dona non crucis signo signat dum dicit, Accipite, edite, bibite ex eo omnes. Ad Patrem enim istas voces dirigit; quæ dona, teste Basilio, antitypa evaserunt, ubi sacerdos post dona oblata dixit: Tua ex tuis et Spiritus sancti gratiam invocavit, quam advenisse credit post preces. Tum dona crucis signo si-

A καὶ οὐδαμῶς ἱερουργημένα ἔσται τὰ παρ' ἐκείνων προτεθέντα, οὐδὲ σῶμα καὶ αἷμα Χριστοῦ· ὥστε οὐχ ἄνθρωπος, ἀλλὰ Θεός ἐστιν ὁ διὰ τοῦ ἱερέως ἐνεργῶν, ἐπικαλουμένου τὴν χάριν τοῦ Πνεύματος, καὶ ὅπερ ἂν εἴπῃ ὁ ἱερεὺς, ἐνεργόν ἐστι τῇ τῆς ἱερωσύνης δυνάμει. Αὕτη δὲ Θεοῦ ἐστι δύναμις, ἣν οὐ πᾶς κέκτηται πιστὸς, ἀλλ' ὁ τὴν χειροτονίαν τοῦ ἱερέως μόνος δεξάμενος, καὶ πᾶσα εὐχὴ αὐτοῦ τελειοποιὸς θείᾳ χάριτι. Καὶ ὁ μὴ τοῦτο πιστεύων οὐδὲ δεχόμενος οὔτε βάπτισμα ἦρα, οὔτε μύρων τελετὴν, οὔτε χειροτονίαν ἱερατικῶν τάξεων, οὔτε λύσιν ἐγκλημάτων, οὔτε μὴν σχήματος μοναχοῦ ἱερὰν εὐχὴν παραδέχεται, καὶ ἀπίστου οὗτος ἐγγὺς, καὶ ἑαυτὸν τῆς μοίρας ἐξάγει τῶν Χριστιανῶν. Πάντα γὰρ ταῦτα δι' εὐχῶν τελεῖται τῶν ἱερατικῶν. Ὥσ-
B περ οὖν βαπτίζοντες καθὰ παρελάβομεν, εἰς ὄνομα βαπτίζομεν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῇ ἐπικλήσει τῆς Τριάδος τὸν βαπτιζόμενον τελειοῦντες, καίτοι γε οὐδὲ ταύτῃ τῇ ἐπικλήσει μόνῃ ἀρκούμεθα, ἣν παρέδωκεν ὁ Σωτὴρ, ἀλλὰ πρότερον μὲν καὶ σφραγῖδι, καὶ ἐμφυσήματι, **286** καὶ ἀποταγαῖς, καὶ συνταγαῖς, καὶ εὐχαῖς, καὶ χρίσει ἐλαίου ἁγιαζομένου σφραγῖδι, καὶ ἐμφυσήματι, καὶ ἐπικλήσει τῆς ἁγίας Τριάδος, τὸν βαπτιζόμενον προκαθαίρομεν, καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος σφραγῖδι καὶ ἐπικλήσει Πνεύματος ἁγίου καθαγιάζομεν, καὶ τὸ μύρον δὲ τὸ ἱερὸν ὁμοίως εὐχαῖς τελειοποιοῦμεν ἀρχιερατικαῖς, καὶ σφραγῖδι τοῦ σταυροῦ, καὶ μετὰ τὸ βάπτισμα τὸν βαπτισθέντα καὶ χρισθέντα τῷ μύρῳ εὐχαῖς τελειοῦμεν ἱεραῖς, καὶ τοῖς Θεοφανίοις τὰ ἁγιαζό-
C μενα ὕδατα εὐχαῖς ἁγιάζομεν, καὶ ἔτι τὰ καθ' ἑκάστην ἁγιαζόμενα, τῶν ἱερέων τὴν ἰσχὺν κεκτημένων ἀπὸ τοῦ βαπτισθέντος ἐν ὕδατι, ὅτε τὸ Πνεῦμα κατῆλθε, καὶ τὸν χειροτονηθέντα ἀρχιερέα ἢ ἱερέα δεχόμεθα ἀπὸ τῶν ἱερατικῶν εὐχῶν καὶ τῆς τοῦ Πνεύματος ἐπικλήσεως, ἅπερ πλουτοῦσι τὴν δύναμιν ἀπὸ τῆς ἐν εἴδει πυρίνων γλωσσῶν, ὡς εἰρήκαμεν, ἐν τοῖς ἀποστόλοις ἐλθούσης τοῦ Παρακλήτου δωρεᾶς τε καὶ χάριτος, οὕτω καὶ τὸ γενέσθαι τὸν ἄρτον καὶ τὸ ποτήριον σῶμα καὶ αἷμα Χριστοῦ, ἀπὸ τῶν ἱερατικῶν πιστεύομεν σαφῶς ἐνεργεῖσθαι εὐχῶν, καὶ τελειοῦσθαι τῇ τοῦ σταυροῦ σφραγῖδι, καὶ τῇ ἐπικλήσει τοῦ ἁγίου Πνεύματος, τῶν Κυριακῶν φωνῶν, τὸ, Λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες, καὶ,
D Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, τοῖς ἀποστόλοις καὶ τοῖς τῆς χάριτος αὐτῶν διαδόχοις ἅπαξ τοῦτο παρασχουσῶν, δύνασθαι διὰ τῶν εὐχῶν ἐνεργεῖν. Διὸ καὶ πρὸς τὸν Πατέρα ἐκδιηγούμενος, καὶ ἀνυμνῶν τὰ τῆς οἰκονομίας ὁ ἱερεὺς, πρῶτον μὲν τὰς τοῦ Χριστοῦ θείας ἀνακράζει φωνὰς, καὶ ὅτι τοῦτο αὐτὸς παρέδωκε, καὶ ὅτι Διὰ τοῦτο προσφέρομέν σοι ταῦτα ὑπὲρ ἁπάντων, κατὰ τὴν αὐτοῦ ἐντολὴν, λοιπὸν δεόμεθά σου, σὺ τὸ Πνεῦμά σου ἐξαπόστειλον εἰς ἐμέ τε καὶ τὰ προκείμενα δῶρα. Καὶ ποίησον ταῦτα σῶμα καὶ αἷμα αὐτοῦ, ὡς ἐκεῖνος ἔφη, μεταβαλὼν τῷ ἁγίῳ σου Πνεύματι. Καὶ ἐν τῷ λέγειν, σφραγίζει. Καὶ τρὶς σφραγίσας, αὐτὸ τὸ σῶμα καὶ αἷμα πιστεύει εἶναι ὁ ἱερεὺς τὸν ἄρτον καὶ τὸ ποτήριον, ἐπεὶ καὶ αὐτός ἐστι Χριστὸς ὁ διὰ

A τοῦ ἱερέως ἐνεργῶν ἅμα τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ αὐτός ἐστιν ὁ προσφέρων καὶ προσφερόμενος, καὶ ἱερουργῶν καὶ ἱερουργούμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, ὡς καὶ ἐν τῇ τῆς μεγάλης εἰσόδου τοῦτο λέγομεν ἱερωτάτῃ εὐχῇ. Καὶ ἵνα σαφέστερον τοῦτο παραδηλώσωμεν, οὐδὲ σφραγίζει τὰ δῶρα ὁ ἱερεὺς, ἐν τῷ λέγειν, Λάβετε, φάγετε, καὶ πίετε ἐξ αὐτοῦ πάντες· διηγούμενος γὰρ ὡς ἔφημεν, ταύτας λέγει πρὸς τὸν Πατέρα τὰς φωνὰς, ἐπεὶ καὶ μετὰ ταύτας ἀντίτυπα τὰ δῶρα φησὶν ὁ μέγας Βασίλειος. Ἀλλὰ μετὰ τὸ προσαγαγεῖν τὰ δῶρα, καὶ εἰπεῖν, Τὰ σὰ ἐκ τῶν σῶν, καὶ ἐπικαλέσασθαι τὴν χάριν τοῦ Πνεύματος, τότε γὰρ πιστεύει παρεῖναι ταύτην διὰ τῆς ἱερατικῆς εὐχῆς, ἀναστὰς σφραγίζει τὰ θεῖα δῶρα, καὶ εἰρηκὼς καὶ, Ποίησον B τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου· καὶ σφραγίσας τὸν ἄρτον, Τὸ δὲ ἐν τῷ ποτηρίῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου, καὶ τὸ ποτήριον σφραγίσας, τρίτον δὲ καὶ ἀμφότερα σφραγίσας, καὶ ἀνειπὼν, Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ, τὸ Ἀμὴν ἐπιλέγει, βεβαιῶν τὸ μυστήριον, καὶ θαῤῥούντως ὁμολογῶν, ὡς σῶμα καὶ αἷμα τὰ προκείμενά εἰσι τοῦ Χριστοῦ, τῇ αὐτοῦ δυνάμει καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ οὐδὲν ἀνθρώπινον ἐκεῖσε, ἀλλὰ πάντα θείᾳ γίνεται χάριτι. Διὸ καὶ ὁ προσάγων κεχειροτονημένος, καὶ τὸ θυσιαστήριον ἐφ' ᾧ τὰ δῶρα, ἡγιασμένον, καὶ χωρὶς τούτων, τελεῖται οὐδέν. Θεμέλιος μὲν οὖν ἐστι τῆς ἱερουργίας τὰ τοῦ Κυρίου, ὡς ἔφημεν, ῥήματα ἐξ ἀρχῆς, ἐνεργεῖ δὲ διὰ τῶν τοῦ ἱερέως εὐχῶν. C Ὥστε οὐχ ἄνθρωπός ἐστιν ὁ ἐνεργῶν, καθὸ ἄνθρωπος ὁ ἱερεὺς, ἀλλ' ὁ Χριστὸς ἐν ἁγίῳ Πνεύματι, διὰ τῆς ἱερωσύνης τῶν ἱερέων. Καὶ ὥσπερ ἅπαξ ἔφη Θεὸς, Βλαστησάτω ἡ γῆ, καὶ ἐνεργόν ἐστι τὸ ῥῆμα καὶ ἀεὶ βλαστάνει ἡ γῆ, καὶ, Γενηθήτω φῶς, καὶ ἀεὶ φαίνει τὸ φῶς, οὕτω, Τοῦτο ποιεῖτε, εἰπὼν, εἰς τὴν ἐμὴν ἀνάμνησιν, ἀεὶ ἐνεργεῖ διὰ τῶν ἱερέων αὐτοῦ τὸ ῥῆμα. Διὸ καὶ τὸ, Ποίησον τὸν ἄρτον τοῦτον **287** σῶμα Χριστοῦ, ἐνεργὸν διὰ τῶν ἱερέων ἐστὶ, καὶ διὰ τοῦτο μᾶλλον ἀλήθεια καὶ οὐ τύπος, σῶμα καὶ αἷμα Χριστοῦ τὰ ἱερουργούμενά εἰσιν, ὅτι αὐτός ἐστιν, ὡς προείρηται, ὁ διὰ τῶν ἱερέων ἐνεργῶν. Καὶ τοῦτο οὕτως αὐτὸς παρέδωκε γίνεσθαι, τὸ διὰ τῶν εὐχῶν ἱερουργεῖν. Ἔλαβε γὰρ τὸν ἄρτον, καὶ εἰς τὸν D οὐρανὸν ἀνέβλεψε, καθὰ γέγραπται, καὶ τῷ Πατρὶ εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς, λέγων, Λάβετε, φάγετε, καὶ, Πίετε ἐξ αὐτοῦ, καὶ τὰ λοιπὰ ὁμοίως, ὥστε καὶ αὐτὸς αὐτὰ διὰ τῶν εὐχῶν ἱερούργησεν οὐ χρείαν ἔχων εὐχῶν, Θεὸς ὢν παντοδύναμος, ἀλλ' ἐκ τούτου δεικνὺς, ὅτι μία δύναμις τῆς Τριάδος, καὶ ἐν τῷ αὐτὸν αὐτουργεῖν, καὶ τὸν Πατέρα συνευδοκοῦντα ἔχει, καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνεργὸν, καθὰ καὶ ἐν τῇ αὐτοῦ θείᾳ σαρκώσει γέγονεν. Αὐτὸς μὲν γὰρ ἦν μόνος ὁ Μονογενὴς σαρκωθεὶς, ἀλλὰ καὶ ὁ Πατὴρ εὐδόκησε, καὶ τὸ Πνεῦμα δὲ τῇ σαρκώσει συνήργησεν, ὡς καὶ ἡ πρὸς τὴν Παρθένον διδάσκει τοῦ ἀρχαγγέλου φωνὴ, ἐπεὶ καὶ μία ἡ τῆς Τριάδος δύναμις καὶ ἐνέργεια, καὶ οὐδὲν ὅπερ ὁ Υἱὸς σαρκωθεὶς ἐπετέλεσεν, εἰς ὃ μὴ

gnat et surgens dona divina consecrat dicendo: Fac panem hunc corpus Christi pretiosum. Ubi deinde panem et in calice pretiosum tuum sanguinem iterum iterumque sanctificavit, et Spiritum sanctum invocavit, Amen adjicit, mysterium confirmando, et firmiter pronuntiat quod corpus et sanguis Christi præsto sunt per ipsius ac Patris et Spiritus sancti operationem; nihilque humani intercedit, omnia autem divina gratia peracta sunt. Idcirco quoque offerens sacerdos sanctus, sanctumque altare in quo sacrificium perficitur, sine quibus duobus sacra nulla fiunt. Igitur missæ fundamentum Domini verba sunt in cœna prolata et per preces sacerdotis operantia. Quare operans sacerdos non ut homo, sed ut Christus in Spiritu sancto operatur per sacerdotalem dignitatem. Et sicut Deus semel dixit: Germinet terra, et terra secundum divinam voluntatem germinare haud desinit; et Fiat lux, et lux semper lucet, sic illud: Hoc facite in meam commemorationem, semper in sacerdotis ore viget. Hinc illud: Fac panem hunc corpus Christi, in perpetuum in ore sacerdotis operatur, et inde corpus et sanguis Domini consecratus veritas et non typus est, sicut ipse qui per sacerdotem operatur pronuntiavit. Sic igitur ipse exemplum dedit quomodo missam per preces celebrare debeamus. Accepit enim panem, et cœlum suspiciens et, ut scriptum legitur, gratiis Deo actis, fregit et dedit discipulis: Accipite, dicens, et edite; et, Bibite ex eo, et quæ sequuntur, atque ita ipse, qui precibus opus non habet, utpote Deus omnipotens, per preces sacra instituit, demonstrans quod una virtus est Trinitatis et quod ipse in sacra operatione Patrem et Spiritum sanctum cooperatores habet, quod etiam in divina incarnatione apparuit. Ipse enim solus Unigenitus est incarnatus; sed Pater quoque comprobavit et Spiritus sanctus cooperatus est, sicut etiam archangeli allocutio ad Virginem ostendit. Una enim est Trinitatis virtus, et Filius incarnatus nihil fecit sine approbatione Patris aut sine cooperatione Spiritus sancti. Igitur qui preces sacerdotis in celebratione mysteriorum respuit, is nullas prorsus preces in se efficaces experitur; is non est Christianus, quippe qui, ut jam diximus, nec baptismum, nec chrisma, nec pœnitentiam, neque oleum sacrum, nec peccatorum remissionem aut sacerdotium divinum, aut vitam monasticam, aut templum sanctum, aut nuptias sacras, aut quamcunque sanctificationem in se portat. Hæc enim omnia per preces liturgicas effectum habent. Igitur qui talis est, nullas nec ante nec post missam dicat, Spiritus sancti gratiam nunquam invocet, nullam cum Christo communionem ineat, nec in baptismo nec in cæteris sacramentis Spiritus sancti invocet gratiam. Nunquam Ecclesiæ mysteria participet, ne sit Christianus. Si autem Christianum se dicit, si sacerdotis preces admittit, et voces mysticas accipiat ad Patrem effusas et

sub Spiritus sancti invocatione prolatas, sicut Dominus præscripsit, Deo gratias dicendo, inter mysteriorum celebrationem. Id enim apostoli quoque facere visi sunt, gratias agentes et panem frangentes, sicut Patres Basilius et Chrysostomus tradiderunt. Qui autem resistunt, a sua ipsorum liturgia reprehendendi erunt, quia et ipsi in corpus Christi sanguinem transformari dicunt, et dona benedicunt, et suo more contra divinam traditionem insufflant, non contenti solis Domini verbis. Hi per nos nova introducant licebit. Nos autem traditiones receptas observantes, sicut Salvator ipse per apostolos Patresque tradidit, sanctæ communionis mysteria sub Spiritus sancti invocatione et per verba Domini et sacerdotum preces prolatas peragamus, et sic omnia divina sacramenta, sacerdote Numen implorante, celebremus, et crucis signo signati, omnia ad sanctum finem perductum iri secundum voluntatem divinam credamus. Hæc hactenus.

A καὶ εὐδόκησεν ὁ Πατήρ, ἢ τὸ Πνεῦμα τὸ ἅγιον μὴ συνήργησεν. Οὐκοῦν ὁ τὰς ἱερατικὰς εὐχὰς ἀθετῶν ἐπὶ τῇ τελειώσει τῶν μυστηρίων οὐδ' ἄλλην ἐπὶ τῶν ἱερῶν ἁπασῶν τελετῶν τελεστικὴν εὐχὴν δέχεται, καὶ οὐ Χριστιανὸς οὗτος, ἐπεὶ οὔτε βάπτισμα, ὡς προειρήκαμεν, οὔτε χρίσμα, οὔτε μετάνοιαν, οὔτ' ἔλαιον ἅγιον, οὔθ' ἁμαρτιῶν ἄφεσιν, ἢ θείαν ἱερωσύνην, ἢ μοναδικὸν σχῆμα, ἢ ναὸν ἅγιον, ἢ τίμιον γάμον, ἢ τινὰ ὅλως ἁγιασμὸν παραδέχεται. Ταῦτα γὰρ πάντα διὰ τῶν ἱερατικῶν εὐχῶν ἐνεργεῖται. Ἢ τοίνυν μηδόλως εὐχὴν ἐν τῇ ἱερουργίᾳ ἢ προλεγέτω ἢ ἐπιλεγέτω, καὶ διὰ τοῦτο μηδὲ τὴν χάριν ἐπικαλείσθω τοῦ Πνεύματος, ὡς ἂν μηδὲ κοινωνίαν ἔχῃ Χριστοῦ, ὁμοίως τε μήτ' ἐν τῷ βαπτίσματι ἢ ταῖς ἄλλαις τελεταῖς ἐπικαλείσθω τὴν B χάριν τοῦ Πνεύματος, ἵνα μηδαμῶς ἔχῃ τῆς Ἐκκλησίας μυστήριον, μηδ' ὅλως εἴη Χριστιανός, ἢ Χριστιανὸς λέγων εἶναι, καὶ δεχόμενος τὰς τῶν ἱερέων εὐχὰς, καὶ τὰς τελεστικὰς ταύτας φωνὰς δεχέσθω, πρὸς τὸν Πατέρα τε οὔσας, καὶ τῇ ἐπικλήσει γινομένας τοῦ θείου Πνεύματος, ὡς παραδέδωκεν ὁ Σωτὴρ πρὸς τὸν Πατέρα εὐχαριστήσας, ὡς εἴρηται, ἐν τῷ τὰ μυστήρια ἐνεργεῖν. Ὃ καὶ οἱ ἀπόστολοι ποιοῦντες ἐδείκνυντο, εὐχαριστοῦντες ἅμα καὶ κλῶντες τὸν ἄρτον, καὶ οἱ Πατέρες παραδεδώκασι Βασίλειος καὶ Χρυσόστομος. Οἱ ἀνθιστάμενοι δὲ καὶ ἀπὸ τῆς σφῶν λειτουργίας ἐξελεγχέσθωσαν. Εὔχονται γὰρ καὶ αὐτοὶ, τὰ προκείμενα σῶμα γενέσθαι καὶ αἷμα τοῦ Χριστοῦ, καὶ εὐλογοῦσι τὰ δῶρα, καὶ ἐμφυσῶσι παρὰ τὴν θείαν παράδοσιν, οὐκ ἀρκούμενοι ταῖς τοῦ Κυρίου μόνον φωναῖς. Ἀλλ' οὗτοι μὲν πάντα καινοτομείτωσαν. Ἡμεῖς δὲ τηροῦντες τὰς παραδόσεις ἃς παρελάβομεν, ὡς ὁ Σωτὴρ δι' ἑαυτοῦ καὶ τῶν ἀποστόλων παρέδωκε καὶ Πατέρων, τά τε μυστήρια τῆς φρικτῆς ἐκτελῶμεν κοινωνίας, τῇ ἐπικλήσει τοῦ θείου Πνεύματος, διά τε τῶν τοῦ Κυρίου ῥημάτων, καὶ τῶν ἱερατικῶν εὐχῶν, καὶ πάσας τὰς θείας τελετὰς, τῇ προσευχῇ τοῦ ἱερέως ἐν θείᾳ ἐπικλήσει, καὶ τῇ τοῦ σταυροῦ σφραγῖδι, τὴν τελείωσιν πιστεύωμεν δέχεσθαι κατὰ τὴν θείαν παράδοσιν. Ἀλλὰ τὸ περὶ τούτου μὲν ἀρκείτω.

89. *Quid oratio Dominica doceat ostendatque.*

Tandem ubi rogavit ut uno ore et uno animo Deum collaudemus, et misericordiam magni Dei Jesu Christi super nos invocavit: cœlesti Patri nos adoptandos offert, orans uti per naturalem ejus Filium a peccato purgati, secundum gratiam filii evadere, et qui Pater est cœlestis, eum digne vocare Patrem possimus. Hoc autem signum est futuræ concordiæ in futuro sæculo et unionis cum Deo in Spiritu sancto, per unigenitum ejus Filium. Unde pontifex pacem precatus, et gratiis actis, et Jesu invocato, uti se sanctorum participem faciat, et mereantur etiam cæteri per ipsum participes fieri, postquam sacris absolutis, ad communionem devenit.

C πθ'. *Τί ἡ προσευχὴ τὸ, «Πάτερ ἡμῶν,» διδάσκει τε καὶ δηλοῖ.*

Τέλος δὲ ὁ ἱεράρχης, στόματι ἑνὶ καὶ μιᾷ καρδίᾳ προσευξάμενος αἰνεῖν τὸν Θεὸν ἡμᾶς, καὶ τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικαλεσάμενος, πρὸς τὴν υἱοθεσίαν ἡμᾶς τοῦ ὑπερουρανίου Πατρὸς ἀνάγει, εὐχόμενος διὰ τοῦ κατὰ φύσιν Υἱοῦ κεκαθαρμένους κατὰ χάριν υἱοὺς γενέσθαι, καὶ ἐπαξίως καλέσαι ἡμῶν Πατέρα τὸν ἐπουράνιον. Τοῦτο δὲ δηλοῖ τὴν ἐν τῷ μέλλοντι ὁμοφροσύνην, καὶ τὴν πρὸς τὸν Θεὸν διὰ τοῦ Μονογενοῦς ἐν ἁγίῳ Πνεύματι ἕνωσιν. Ὅθεν καὶ εἰρήνην ὁ ἱεράρχης ἐπευξάμενος, καὶ εὐχαριστήσας καὶ τὸν Ἰησοῦν ἐπικαλεσάμενος, ὥστε μεταδοῦναι αὐτὸν αὐτῷ τῶν ἁγίων, καὶ καταξιωθῆναι **288** δι' αὐτοῦ καὶ τοὺς λοιποὺς μετασχεῖν· D ἐπεὶ τὴν ἱερουργίαν τετέλεκε, καὶ πρὸς τὴν κοινωνίαν ἔρχεται.

90. *Quare episcopus humerali iterum sese induat.*

Pallium iterum assumit, declarans hac re, se prius ministrum fuisse, et sanctissimum illud ornamentum in se capessere veritum. Quoniam autem perfecto opere, et ad elevandum panem, atque in partes dividendum, et ad capiendum aliisque distribuendum accedit, necesse est illum omnia dignitatis suæ sacra symbola induere. Et cum pontificis præcipuum indumentum sit pallium, illud necessario assumit, et cum eo divinissimo-

ϟ'. *Διατί πάλιν τὸ ὠμοφόριον ὁ ἀρχιερεὺς ἐνδιδύσκεται.*

Λαμβάνει πάλιν τὸ ὠμοφόριον, δεικνὺς, ὅτι πρῶτον μὲν ἐξυπηρετῶν ἦν, καὶ εὐλαβούμενος ἦν τὸ ἱερὸν ἐκεῖνο ἔνδυμα ἐνδεδύσθαι, ἐπεὶ δ' ἐτελέσθη τὸ ἔργον, καὶ ἀνυψῶσαι τὸν ἄρτον καὶ μελίσαι εἰς μέρη, καὶ μεταλαβεῖν καὶ μεταδοῦναι ἔρχεται, χρεία τὰ τῆς ἀξίας πάντα ἱερὰ σύμβολα ἐνδεδύσθαι. Ἐπεὶ δὲ τοῦ ἱεράρχου ἐξαίρετον τὸ ὠμοφόριον ἔνδυμα, καὶ τοῦτο χρεία λαβεῖν, καὶ σὺν αὐτῷ τῶν θειοτάτων μεταλαβεῖν. Ἐνδυσάμενος τοίνυν καὶ ἀνυψώσας τὸν

ἄρτον, καὶ, «Τὰ Ἅγια τοῖς ἁγίοις» ἀνειπὼν, ἐκεῖνος A μὲν πρὸς τὴν θείαν ἐκείνην τῆς ἱερᾶς τραπέζης ζῶσαν τροφὴν ἁγίους ἅπαντας καλεῖ, «Τὰ Ἅγια,» λέγων, «τοῖς ἁγίοις.»

ϞΑ'. Τί δηλοῖ τὸ, Εἷς ἅγιος, εἷς Κύριος, καὶ τί διδάσκει τοῦτο.

Ὁ δὲ λαὸς ὁμοφώνως κράζει, «Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός.» Τοῦτο δὲ Παῦλός φησι κηρυχθήσεσθαι ἐν τῇ τελευταίᾳ ἡμέρᾳ, ὅτε «κάμψει πᾶν γόνυ τῷ Ἰησοῦ, πᾶσα δὲ γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.» Ἐκ τούτου τοίνυν κοινὴ πάντων ἕνωσις τῶν πιστῶν ἀνομολογεῖται, καὶ ἡ συμφωνία παρὰ πάντων τῆς ἀνακηρύξεως τοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ, ὃς ἐπὶ πάντας B βασιλεύσει, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, ὡς γέγραπται. Ἀλλὰ καὶ πρὸς τὴν φωνὴν «Τὰ Ἅγια τοῖς ἁγίοις,» τὸ, «Εἷς ἅγιος,» ἐν ἀποκρίσει λεγόμενον, πρῶτον μὲν τὴν αὐτοαγιωσύνην καταγγέλλει τοῦ Θεοῦ, καὶ ὅτι παρ' αὐτοῦ πᾶσι τοῖς ἁγιαζομένοις ἐστὶν ὁ ἁγιασμός. Καὶ ταπεινώσεως δὲ ἐπέχει λόγον· Τίς γὰρ ἔσται, φησὶ, καθαρὸς ἡμῶν, ἢ τίς ἅγιος; Εἷς μόνος ἅγιος, εἷς Χριστὸς, ὃς φιλανθρώπως ἡμᾶς ἁγιάσει.

ϞΒ'. Τί τὸ ἀνυψῶσαι τὸν θεῖον ἄρτον δηλοῖ.

Τὸ δὲ ἀνυψῶσαι τὸν ἄρτον τὴν ἐπὶ τοῦ σταυροῦ δηλοῖ ὕψωσιν τοῦ Ἰησοῦ. Διὸ καὶ τὸ ποτήριον πρόκειται αὐτὸ τὸ ἀπὸ τῆς ἁγίας αὐτοῦ ῥεῦσαν πλευρᾶς C φέρον αἷμα καὶ ὕδωρ.

ϞΓ'. Διατί εἰς τέσσαρα μελίζει τὸν θεῖον ἄρτον, καὶ σταυροειδῶς αὐτὸν τίθησι.

Τὸν μὲν οὖν ἄρτον εἰς τέσσαρα διαιρεῖ, καὶ σταυροειδῶς ταῦτα τίθησι, κἂν τούτῳ ἐσταυρωμένον βλέπει τὸν Ἰησοῦν. Οὐδὲ γὰρ ἄλλη τις οὕτω θαυμαστὴ θεωρία, ὡς τὸ τὸν ὑψηλὸν Θεὸν οὕτω θεωρεῖν ὑπὲρ ἡμῶν ταπεινόν. Τὴν ἄνω δὲ μερίδα λαβὼν, σταυροειδῆ τύπον δείξας τῷ ἄρτῳ ἐμβάλλει τοῦτον τῷ ποτηρίῳ, καὶ τῶν μυστηρίων ποιεῖται τὴν ἕνωσιν.

ϞΔ'. Διατί καὶ ζέον τοῖς μυστηρίοις εἰσάγει ὕδωρ.

Εἶτα καὶ ζέον ὕδωρ ἐγχέει τῷ ποτηρίῳ. Τοῦτο δὲ ποιεῖ, μαρτυρῶν ὅτι καὶ νεκρὸν γεγονὸς τὸ Κυριακὸν σῶμα, τῆς θείας ψυχῆς αὐτοῦ χωρισθείσης, ζωοποιὸν αὖθις ἔμενε, τῆς θεότητος μὲν οὐ διαιρεθείσης αὐτῷ, καὶ τῶν ἐνεργειῶν δὲ τοῦ Πνεύματος ἁπασῶν μὴ χωρισθεισῶν. Ἐπεὶ οὖν καὶ τὸ ζέον ὕδωρ ζωτικὴν τῷ θερμῷ παρέχεται ἔμφασιν, εἰσάγεται τότε ἐν τῷ καιρῷ τῆς μεταλήψεως, ὡς ἂν τὰ χείλη τῷ ποτηρίῳ προσψαύοντες καὶ κοινωνοῦντες τοῦ αἵματος, ὡς ἀπὸ τῆς ζωοποιοῦ πλευρᾶς ἐκείνης πίνοντες διατιθώμεθα, τῆς θεότητος μὴ διαιρεθείσης, ἐκτυπούσης τοῦτο τῆς εἰσαγωγῆς καὶ προσψαύσεως τοῦ θερμοῦ. Πῦρ γὰρ ὁ Θεὸς ἡμῶν γέγραπται.

rum se participem reddit. Indutus igitur et in altum sublato pane, dictoque: *Sancta sanctis*, ille quidem ad sacrum sacræ mensæ et vivum alimentum sanctos omnes vocat, dum dicit: *Sancta sanctis*.

91. *Quid significet Unus sanctus, unus Dominus, et quid per hoc doceatur.*

Populus vicissim consona voce clamat: «Unus sanctus, unus Jesus Christus in gloria Dei Patris.» Et hoc quidem, ut Paulus dicit, prædicabitur in ultima die, quando Jesu «flectetur omne genu, et omnis lingua confitebitur, quoniam Dominus Jesus est in gloria Dei Patris [7].» Ex hoc igitur communis unio fidelium cunctorum publicatur, et consensus ab omnibus de prædicatione incarnati Dei Filii exhibetur: qui regnabit super omnes, et regni ejus non erit finis, ut scriptum est. Quin etiam ad vocem, «Sancta sanctis,» quod respondetur, «Unus sanctus,» primum quidem ipsam Dei sanctitatem qua ex semet sanctus est, et ab eo omnibus sanctificatis sanctitate profluere annuntiat, et humilitatis causam complectitur: quasi dicatur, Quis nostrum mundus, aut quis sanctus est? Unus solus sanctus Jesus Christus, qui benigne nos sanctificabit.

92. *Quid denotet quod in sublime divinus panis attollitur.*

Panis vero elevatio Jesu in cruce elevationem declarat; ideo et oculis calix objicitur, qui e sacro ejus latere sanguinem simul et aquam profluentem continet.

93. *Quare in quatuor partes dividat episcopus sacrum panem, et ita illas ponat ut formam crucis referant.*

Panem etiam in quatuor partes dividit, et in modum crucis componit, et in eo crucifixum Jesum contemplatur: nec enim sublimior potest esse contemplatio quam ejus, qui cum sit Deus excelsus pro nobis humilis factus est. Superiorem autem portionem, cum ea, forma crucis expressa, in calicem immittit, mysteriorumque unionem facit.

94. *Quare aquam ferventem affundat mysteriis sive vino consecrato.*

D Post ferventem aquam in calicem injicit, quod facit testatus, etiam mortuum Domini corpus, divinaque anima ab eo separata, nihilominus vivificum mansisse, divinitate nimirum operationibusque Spiritus universis ab eo neutiquam divulsis. Et quia aqua calida vitalem speciem ob calorem præbet, tempore communionis adhibetur; ut labris admotis et sanguini communicantes, ita afficiamur, quasi e vivifico illo latere libaremus. Nondum enim divinitas avulsa est, quod per introductionem et caloris contactum figuratur. Afferuntur hujus rei rationes, a summis viris aliæ quoque; verum ista nostra consideratio sufficiat.

[7] Philipp. II, 11.

Nam ut ex verbis ad hanc ferventis aquæ injectionem addi solitis intelligere licet, hic quem diximus Ecclesiæ scopus est. Ait enim, « Fervor sancti Spiritus. »

Εἰσὶ δὲ λόγοι πρὸς τοῦτο καὶ ὑψηλοτέρων ἀνδρῶν ἄλλοι, καὶ οὗτοι θαυμαστοί. Ἀλλ' ὁμῖν ἀρκείτω οὗτος ὁ λογισμός. Ὡς γὰρ ἀπὸ τοῦ ἐπιλεγομένου ἔστι νοεῖν, ἐν τῷ τὸ ζέον εἰσάγεσθαι, τοῦτό ἐστιν, ὃ εἰρήκαμεν, ὁ σκοπὸς τῆς Ἐκκλησίας. « Ζέσις γὰρ Πνεύματος ἁγίου, » φησίν.

95. *Quare fervida aqua etiam in præsanctificatis adhibeatur.*

289 Ϟε'. *Διατί καὶ ζέον ὕδωρ ἐν τοῖς προηγιασμένοις εἰσάγεται.*

Imo vero etiam quod in præsanctificata calens aqua inditur, hoc liquidius declarat. Non enim foret opus, si alius esset finis, in dona immittere, quandoquidem in perfecta missa jam ipsi calici commista est.

Ἀλλὰ καὶ τὸ εἰσάγεσθαι ζέον ἐν τοῖς προηγιασμένοις, τοῦτο καθαρώτερον δείκνυσιν. Οὐ γὰρ χρεία ἦν, εἰ ἄλλο; ὧν ἐτύγχανεν ὁ σκοπὸς, τὸ ζέον εἰσάγεσθαι ἐν τοῖς δώροις, τῇ τελείᾳ λειτουργίᾳ εἰσαχθέντος τῷ ποτηρίῳ.

96. *Quod Salvatoris sacram actionem imitatur episcopus, quando panem in partes dividit.*

Ϟϛ'. *Ὅτι τὴν τοῦ Σωτῆρος ἱερουργίαν μιμεῖται τὸ μερίζειν τὸν ἄρτον.*

In multas vero particulas dividens panem pontifex, in eo Jesu Christi sacrificium imitatur. « Fregit enim panem, » scriptum est, « deditque discipulis suis. » B

Εἰς πολλὰς δὲ τὰς ἄλλας μερίδας διελὼν ὁ ἀρχιερεὺς, κἀν τούτῳ μιμούμενος τὴν ἱερουργίαν τοῦ Ἰησοῦ. « Ἔκλασε γὰρ τὸν ἄρτον, » ὡς γέγραπται, « καὶ ἔδωκεν αὐτοῦ τοῖς μαθηταῖς. »

97. *Quomodo communicent episcopi et sacerdotes.*

Ϟζ'. *Πῶς κοινωνοῦσιν ἀρχιερεῖς τε καὶ ἱερεῖς.*

Primus ipse pani communicat, et tremendo calici participat. Neque enim illi alius porrigit, nisi forte quispiam ejus ordinis sit, pontifex videlicet.

Μεταλαμβάνει πρῶτον αὐτὸς τοῦ ἄρτου, καὶ μετέχει τοῦ φρικτοῦ ποτηρίου· οὐ γὰρ ἄλλος αὐτῷ μεταδίδωσιν, εἰ μή πού τις τῶν ὁμοταγῶν, ἀρχιερεὺς δηλονότι

98. *Quid denotet, quod communicaturi sacerdotes exosculantur episcopi dexteram genamque.*

Ϟη'. *Τί δηλοῖ τὸ ἀσπάζεσθαι ἐν τῷ κοινωνεῖν τοὺς ἱερωμένους τὴν τοῦ ἀρχιερέως δεξιὰν χεῖρα καὶ παρειάν.*

Deinde aliis omnibus manum et genam osculantibus communionem impertitur, qua et carnis communicationem, etiam in futuro sæculo, cum Jesu indissolubili nexu futuram prædicat. Manus vero et gena osculum suscipiunt, illa quidem ut ministra et quæ tremenda illa tangit; hæc quia instrumentum sermonis est, unde preces fiunt, et propter charitatem communionemque in Christo; quod et confirmat id quod tunc profertur: « Christus in medio nostrum. » Sed et præterea quia in gena Dominus alapam sustinuit, ut et pontifex recordari inducatur, quanta humilitatis magistrum se exhibuit, nec ullo modo in tam divinis magnisque functionibus efferatur.

Εἶτα καὶ τοῖς ἄλλοις ἅπασι μεταδοὺς ἀσπαζομένοις τούτου καὶ χεῖρα καὶ παρειὰν, τὴν ἀπὸ τῆς C σαρκὸς κοινωνίαν καὶ ἐν τῷ μέλλοντι ἀνακηρύττει τοῦ Χριστοῦ, καὶ τὴν μετ' αὐτοῦ ἀδιάσπαστον ἕνωσιν. Χεὶρ δέ γε καὶ παρειὰ τὸν ἀσπασμὸν ὑποδέχονται, ἡ μὲν ὡς ὑπουργὸς καὶ τῶν φρικτῶν ἁπτομένη· ἡ παρειὰ δὲ, καὶ διὰ τὸ ὄργανον εἶναι τοῦ λόγου, ὅθεν αἱ προσευχαὶ, καὶ διὰ τὴν ἀγάπην καὶ τὴν ἐν Χριστῷ κοινωνίαν, ὃ καὶ τὸ λεγόμενον βεβαιοῖ, « Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν. » Ἀλλὰ καὶ διὰ τὸ κατὰ κόῤῥης τὸν Κύριον ὑπενεγκεῖν ῥάπισμα, ὡς ἂν εἰς ὑπόμνησιν ἄγηται ὁ ἀρχιερεὺς, οἵας ταπεινώσεως ὁ δεσπότης διδάσκαλος γέγονε, καὶ μὴ κατά τι ἐν τοῖς οὕτω θείοις καὶ μεγάλοις ἔργοις ἐπαίρηται

99. *Quare sacerdotes in bemate sive sacrario manibus et labris, laici cochleario et extra bema sumunt sacra mysteria.*

Ϟθ'. *Διατί οἱ μὲν ἱερωμένοι ἐν τῷ βήματι χερσὶ καὶ χείλεσι λαμβάνουσι τὰ μυστήρια, ἔξωθεν δὲ καὶ διὰ τῆς λαβίδος οἱ λαϊκοί.*

Ubi porro ii qui de altari sunt juxta altare communicarunt, et ordini convenienter (ut et in futura vita futurum Paulus docet: « Unusquisque, inquit, in ordine suo [a]), manibus et ipsi divinum panem acceperunt et calicem libarunt. Postmodum etiam sanctissima dona populo cooperta exhibentur. Quod monet, non esse fas, ut diximus, omnes hæc aperta aspicere. Quod si quis ad communionem est paratus, etiam hic cum religione ac timore accedens, non sine medio, sed e cochleari pontificia manu communicat. Postmodum laicis sancta exhibentur, ut adorent Dominum nostrum qui Patri offertur et immolatur, et ut fideles

D Τῶν δὲ τοῦ βήματος ἐν τῷ βήματι μετασχόντων, καὶ ἀναλόγως τῇ τάξει, ὡς ὁ Παῦλος καὶ ἐν τῷ μέλλοντι διδάσκει, « Ἕκαστος, » λέγων, « ἐν τῷ οἰκείῳ τάγματι, » ταῖς χερσί τε καὶ αὐτῶν τὸ θεῖον ἄρτον δεδεγμένων, καὶ τοῖς χείλεσι τοῦ ποτηρίου μεταλαβόντων, ὕστερον τὰ ἁγιώτατα δῶρα περικεκαλυμμένα καὶ τῷ λαῷ δείκνυται. Τοῦτο δ' ἐμφαίνει, ὅτι οὐ θεμιτὸν, ὡς εἴρηται, ἀπερικαλύπτως ὁρᾷν ταῦτα πάντας. Εἰ δέ τις πρὸς κοινωνίαν ἱκανὸς, καὶ οὗτος προσιὼν μετ' εὐλαβείας καὶ φόβου, οὐκ ἀμέσως τούτων μετέχει, ἀλλὰ διὰ τῆς λαβίδος ἀρχιερατικῇ χειρὶ κοινωνεῖ. Ἔτι δὲ τῷ λαῷ τὰ ἅγια δείκνυται, ἵνα καὶ προσκύνησιν ἀποδῶσι πάντες τῷ ὑπὲρ

[a] I Cor. xv, 23.

ἡμῶν καὶ ἱερουργηθέντι καὶ τεθυμένῳ καὶ τῷ Πατρὶ προσενηνεγμένῳ, καὶ διὰ τῆς προσκυνήσεως καὶ εὐχαριστίας καὶ ὄψεως καθαγιασθῶσι μὲν ὁλικῶς οἱ πιστοὶ, τύχωσι δὲ ἱλασμοῦ οἵ τε παριστάμενοι, οἵ τε κατὰ λόγον ἀποδημοῦντες, καὶ οἱ ἐν παντὶ τῷ κόσμῳ πιστοὶ, καὶ ἔτι οἱ προτελειωθέντες εὐσεβῶς καταξιωθῶσιν ἀνέσεως. Διὸ καὶ ὑπὲρ ἑαυτοῦ πᾶς πιστὸς εὐχέσθω, καὶ τῶν αὐτοῦ τότε ζώντων τε καὶ τεθνεώτων, καθορῶν διαλλακτὴν αὐτὸν δεικνύμενον τὸν Δεσπότην, καὶ ὑπὲρ ἁπάντων γεγενημένον θυσίαν καὶ ἱλαστήριον. Καὶ σὺν φόβῳ παντὶ καὶ πόθῳ, τῶν θείων δεικνυμένων δώρων, πᾶς πιστὸς ἀπερικαλύπτῳ τῇ κεφαλῇ πρὸς τὰ θεῖα δῶρα ὁράτω, καὶ μετ' εὐλαβείας καὶ τρόμου προσκυνείτω, καὶ προσευχέσθω ὑπέρ τε ἑαυτοῦ καὶ τῶν αὐτοῦ, καὶ πάντων πιστῶν, ὡς εἰρήκαμεν, ἕως ὁ ἱερεὺς θυμιάσας ἀπενέγκῃ ταῦτα ἐν τῇ προθέσει. Καὶ μηδεὶς κατὰ τὸν φρικτὸν ἐκεῖνον καιρὸν ἀμελείτω. Αὐτὸς γάρ ἐστιν ἐμφανιζόμενος ὁ Χριστὸς, καὶ ἐν τῷ ποτηρίῳ αὐτὸ τὸ πανάγιον αὐτοῦ σῶμα καὶ τὸ θειότατον αἷμα. Καὶ ὅπερ ἄν τις τότε εὔξαιτο μετὰ πίστεως, εὑρήσει ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι, καθώς περ εἶπεν αὐτός. Ταύτην τὴν μετὰ φόβου προσκύνησιν καὶ τὴν προσευχὴν καὶ ἐν τῇ εἰσόδῳ τῶν προηγιασμένων τελεῖν ὀφείλομεν, ὡς αὐτὸν **290** τὸν Χριστὸν ὁρῶντες ἐπὶ τῆς κεφαλῆς τοῦ ἱερέως κρατούμενον.

A per adorationem et communionem aspectumque plane purificentur, et ut assistentes, et pro tempore absentes et per omnem terrarum orbem diffusi misericordiæ compotes fiant, et ut qui rite præparati sunt, indulgentiam nanciscantur. Quare omnis fidelis pro se et pro vivis ac mortuis preces faciat, Dominum ob oculos ponens qui præ omnibus sacrificium est factus et propitiatorium; et quilibet, dum dona divina monstrantur, cum metu ac desiderio, detecto capite, cœlestia dona oculis lustret, et cum tremore et commoto animo genua flectat donec sacerdos illa auferat ex tabernaculo. Nemo autem gravi illo temporis momento indolens esto; Christus enim ipse præsens est, et in calice sanctissimum ejus B corpus et sanguis prostant. Quodcunque enim tum aliquis petierit in sancto ejus nomine, accipiet, sicut Salvator ipse pronuntiavit. Hanc adorationem cum timore in ingressu præsanctificatorum exsequi debemus, verum Christum credentes eum quem sacerdos in capite gerit.

ρ'. Τί σημαίνει τὸ θυμιᾶν ὕστερον τὰ μυστήρια καὶ τὸ, « Ὑψώθητι ὁ Θεὸς, » ἐπιλέγειν.

Καὶ οὕτω τὴν τοῦ Θεοῦ κληρονομίαν καὶ τὸν περιούσιον λαὸν ἐπευξάμενος ὁ ἀρχιερεὺς, ἄπεισι θυμιῶν τὰ δῶρα, ἐπιλέγων, ὅσα τὴν ἀνάληψιν τοῦ Σωτῆρος δηλοῖ, καὶ τὴν μετὰ ταύτην δόξαν τοῦ κηρύγματος αὐτοῦ ἐν πάσῃ τῇ κτίσει, οἱονεὶ διαλεγόμενος τῷ Σωτῆρι, καὶ λέγων, ὅτι, Σὺ κατῆλθες μέχρις ἡμῶν, καὶ καθ' ἡμᾶς ὤφθης, καὶ εἰς οὐρανοὺς ἀνελήλυθας, καὶ ἀναληφθεὶς, τῇ δόξῃ τῆς σῆς δυνάμεως πεπλήρωκας πᾶσαν τὴν γῆν, δι' ἧς καὶ ἡμεῖς ἱερουργοῦντές σου τὰ μυστήρια, καὶ μετέχομέν σου, καὶ μεθ' ἡμῶν διηνεκῶς ἔχομέν σε. Ἐπὶ τούτοις, τῶν ἱερῶν δώρων ἐν τῇ προθέσει ἀπενεχθέντων, διακόνου μὲν τὸν δίσκον ἐπὶ τῆς κεφαλῆς, ἱερέων δὲ ταῖς χερσὶ τὰ ποτήρια κατεχόντων, αὐτὸς εὐχαριστήσας, καὶ τὰς χεῖρας νιψάμενος, ἔξεισι τὸ καλούμενον ἀντίδωρον ἀντιδιδοὺς τῷ λαῷ.

100. *Quid significet quod post mysteria fit suffitus, additurque : « Exaltare Deus. »*

Atque ita super hæreditate Dei et copioso ejus populo oratione fusa, abit pontifex donis suffitum adhibens et adjiciens, quæ Ascensionem Domini, et in posterum gloriam prædicationis in toto mundo significant; veluti sic Salvatorem alloC quens : Tu usque ad nos descendisti et inter nos visus es, et in cœlum ascendisti, te assumpto, gloria virtutis tuæ omnem terram implevit, per quam et nos sacrificantes tua mysteria, et participamus te, et quotidie ac perpetuo habemus te. Post hæc, sacris donis ad prothesin delatis, diacono quidem discum in capite, sacerdotibus autem manibus calices tenentibus, ipse gratiis actis, et manibus lotis, egreditur, panemque benedictum populo distribuit.

ρα'. Τί ἐστι τὸ καλούμενον ἀντίδωρον, καὶ ἡ τούτου δόσις.

Ἐπεὶ γὰρ τὸν Χριστὸν, ὡς εἴπομεν, ὁ ἀρχιερεὺς εἰκονίζει, αὐτὸν δὲ καὶ ἱερούργησε καὶ μετέσχε, καὶ τοῖς ἱερωμένοις μετέδωκεν, ἁγιασμοῦ δὲ χρεία μετασχεῖν καὶ τὸν λαὸν, ὅσος μὲν ἀπὸ τῶν προσευχῶν ὁ ἁγιασμὸς καὶ τῆς φρικτῆς ἱερουργίας, νοητῶς τοῖς πιστοῖς μετεδόθη. Ἐπεὶ δὲ καὶ δι' αἰσθητῶν τινων ὡς σῶμα περικειμένοις τὸν ἁγιασμὸν ἔδει λαβεῖν, διὰ τοῦ ἀντιδώρου γίνεται. Τοῦτο δὲ ἡγιασμένος ἐστὶν ἄρτος ἐν τῇ προθέσει προσενεχθεὶς, ἐξ οὗ τὸ μεσαίτατον ἐκβληθὲν, καὶ ἱερουργηθῆναι προσενεχθέν. Οὗτος ὕστερον, ὡς καὶ τῇ λόγχῃ σφραγισθεὶς, καὶ θεῖα δεξάμενος ῥήματα, ἀντὶ τῶν δώρων τῶν φρικτῶν δηλαδὴ μυστηρίων, τοῖς μὴ μετασχοῦσι τούτων παρέχεται. Οὕτω ποιήσας, καὶ

101. *Quid sit panis benedictus, et quod ille vice Eucharistiæ datur iis, qui ad sacram communionem sunt imparati.*

D Quoniam enim pontifex Christum, ut docuimus, exprimit, ipsum et sacrificavit, et participavit, et viris sacris initiatis impertivit; sanctificationem etiam participare opus est populum, quanta quidem a precibus et a tremendo sacrificio, intellectuali modo sanctificatio a fidelibus communicari potest. Et quoniam sensibilibus quibusdam rebus, ut corpore tectos sanctificationem nos recipere oportebat; id maxime pane benedicto præstatur. Ille autem est panis sanctificatus, super quo in propositionis mensa preces fusæ sunt, ex quo media pars exsecta, precibus consecrata est. Hic postea ut lanceola signatus, et divinis verbis super se factis, loco tremendorum donorum (sa-

cramentorum videlicet) iis qui non communicarunt distribuitur. Quod pontifex ubi fecit, et populo bene precatus est, missæ finem imponit.

Ac nos quidem missæ sacratissimæ arcana fusius explanare volebamus; sed cum id intelligentiæ nostræ tenuitas prohibeat, et summi ac divini quidam viri pro excellenti cognitione sua de his conscripserint, eo vos mittentes, conticescimus. Quæ vero attulimus, non ea ipsi excogitavimus, sed ex Patribus et pietatis doctoribus præcipuis, qui de his sublimia scripserunt, occasionem disserendi habuimus. Erat in animo et ea quæ fiunt in prothesi enucleare; verum quia de his similiter iidem explicaverunt, nos verba facere nihil est necesse: pauca tamen quædam quæ ad prothesin spectant subjicimus. Secundum traditionem primum quidem sacerdos panem offert, deinde mistionem et unionem calicis adjungit.

102. *Quam rationem habeant particulæ de sacra hostia in honorem sacræ Virginis et pro sanctis viventibus ac mortuis oblatæ Deo, et quid illæ conferant.*

Post etiam particulas offert Deo, aliam quidem in honorem Matris Domini, quasdam vero pro sanctis et reliquas pro vivis et defunctis fidelibus. Quæritur itaque, quam vim habeant istæ particulæ et utrum in corpus Domini transmutentur; et quid iis conferant pro quibus offeruntur. Sermo quidem a Patribus ad nos usque pervenit, particulas oblatas utilitatem multam conferre, locum enim tenent personarum earum pro quibus offeruntur; sacrificiumque quoddam est pro ipsis Deo oblatum, sicut et sacerdos inter offerendum inquit: « Suscipe, Domine, sacrificium istud. » Quæ igitur pro sanctis offeruntur, ad gloriam eorum et honorem, ad augmentum dignitatis, et ad divini luminis receptionem majorem valent. Quæ autem pro fidelibus sunt, pro mortuis quidem, ad peccatorum remissionem et divinæ gratiæ conjunctionem prosunt. Quæ vero pro vivis, si cum pœnitentia bene vitam dispensaverint, ad pœnarum levamen, ad peccatorum condonationem, ad vitæ æternæ spem conducunt. Nam et sanctis incrementum gloriæ sacrificio illo accedit et fidelibus, ut dictum est, divinæ misericordiæ distributio impenditur.

103. *Sacerdotem oportere attendere pro quonam particulam sacram offerat.*

Sed quantum est utile hoc opus, si pro dignis administretur, tam periculosum et damnosum, si pro his qui quantum in homine est, dignos sese non præstant. Particula enim cujusdam nomine sancto pani adjacens, quando consecratur et corpus Christi fit, continuo sanctificationis et ipsa fit particeps, in calicem vero missa sanguini unitur; quare et animæ pro qua oblata est gratiam confert, et tunc intelligibilis fit cum Deo conjunctio et communio. Et si quidem anima illa e numero

A εὐλογίαν ἐπευξάμενος τῷ λαῷ ὁ ἀρχιερεὺς, τέλος ἐπιτίθησι τῇ ἱερᾷ τελετῇ.

Ἡμεῖς μὲν οὖν καὶ διεξοδικώτερον ἐβουλόμεθα τὰ τῆς ἱερωτάτης τελετῆς ἑρμηνεῦσαι. Ἀλλ' ὅτι καὶ ἀδρανὴς ἡμῶν ὁ νοῦς, καὶ τῶν μεγίστων καὶ θείων ἀνδρῶν τινὲς ἀξίως αὐτῶν τῆς ὑψηλῆς γνώσεως συνεγράψαντο, ἐκεῖσε παραπέμποντες ὑμᾶς, σιγῶμεν ἡμεῖς. Ἀλλὰ καὶ ὅσαπερ εἴπομεν, οὐκ ἀφ' ἑαυτῶν εἴπομεν, ἀλλὰ ἀφορμὰς ἔχοντες ἐκ Πατέρων, καὶ τῶν τῆς εὐσεβείας μάλιστα διδασκάλων, οἳ περὶ τούτων ὑψηλοφρόνως ἐδίδαξαν. Ἐμέλλομεν καὶ περὶ τῶν ἐν τῇ προθέσει διαλαβεῖν· ἀλλ' ἐπειδὴ καὶ περὶ τούτου ἐκείνοις ἡρμήνευται, οὐ χρεία λέ-B γειν ἡμᾶς. Μικρόν τι μόνον περὶ τῶν ἐν τῇ προθέσει ὑπομνῆσαι δέον ᾠήθημεν, ὅτι κατὰ τὴν περὶ τούτου παράδοσιν προσφέρει μὲν πρῶτον τὸν ἄρτον ὁ ἱερεὺς, ἔπειτα δὲ τὴν ἕνωσιν τοῦ ποτηρίου ποιεῖται.

ρβ'. *Τίνα λόγον ἔχουσιν αἱ προσαγόμεναι μερίδες, καὶ κατὰ τί λυσιτελοῦσι.*

Εἶτα καὶ μερίδας προσφέρει τῷ Θεῷ, τὴν μὲν εἰς τιμὴν τῆς τοῦ Κυρίου Μητρὸς, τὰς δὲ λοιπὰς ὑπὲρ τῶν ἁγίων, καὶ ἑτέρας ὑπέρ τε ζώντων καὶ κεκοιμημένων πιστῶν. Ζητεῖται τοίνυν, τίνα αἱ μερίδες ἔχουσι δύναμιν, καὶ εἰ εἰς σῶμα μεταβάλλονται Δεσποτικὸν, καὶ τίνα συνεργίαν τελοῦσι τοῖς ὑπὲρ C ὧν προσάγονται. Ἔστι τοίνυν λόγος, παρὰ Πατέρων εἰς ἡμᾶς ἥκων, ὡς αἱ προσαγόμεναι μερίδες πολλὴν ποιοῦσι τὴν λυσιτέλειαν· ἀντὶ γὰρ τῶν προσώπων εἰσὶν ὑπὲρ ὧν προσάγονται, καὶ θυσία ἐστὶν ὑπὲρ αὐτῶν προσφερομένη Θεῷ, καθὰ καὶ ὁ ἱερεὺς οὕτως ἐν τῷ προσάγειν φησὶ, « Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην. » Εἰσὶ τοίνυν αἱ μὲν ὑπὲρ τῶν ἁγίων προσαγόμεναι εἰς δόξαν αὐτῶν καὶ τιμὴν καὶ ἀνάβασιν τῆς ἀξίας καὶ τοῦ θείου φωτισμοῦ παραδοχὴν μείζονα· αἱ δὲ ὑπὲρ τῶν πιστῶν, κεκοιμημένων μὲν, εἰς λύτρωσιν ἁμαρτιῶν, καὶ θείας χάριτος ἕνωσιν, ζώντων δὲ, εἰ μετανοίᾳ μόνον τὴν ζωὴν ἐξοικονομοῖεν, εἰς δεινῶν ἀπαλλαγὴν, εἰς ἁμαρτημάτων ἄφεσιν. **291** εἰς ζωῆς αἰωνίου ἐλπίδα. Καὶ τοῖς ἁγίοις γὰρ ἀνάβασις γίνεται διὰ τῆς θείας ἱερουρ-D γίας, καὶ τοῖς πιστοῖς, ὡς εἴρηται, θείου ἐλέους χορηγεῖται μετάδοσις.

ργ'. *Ὅτι δεῖ προσέχειν τὸν ἱερέα ὑπὲρ τίνος τὴν μερίδα προσάγει.*

Ἀλλ' ὅσον τὸ ἔργον ἐπωφελὲς, γινόμενον ὑπὲρ τῶν ἀξίως προσφερόντων, τοσοῦτον ἐπικίνδυνον καὶ ἐπιβλαβὲς ὑπὲρ τῶν μὴ ἱκανῶς ἐχόντων ὡς δυνατὸν ἀνθρώποις γινόμενον. Ἡ μερὶς γὰρ ἡ ὑπέρ τινος προσαχθεῖσα, ἐγγὺς τοῦ θείου ἄρτου κειμένη, ἐν τῷ ἐκεῖνον ἱερουργηθῆναι καὶ σῶμα γενέσθαι Χριστοῦ, εὐθὺς ἁγιασμοῦ καὶ αὕτη μετέχει. Εἰσκομισθεῖσα δὲ καὶ τῷ ποτηρίῳ ἑνοῦται τῷ αἵματι. Διὸ καὶ τῇ ψυχῇ, ὑπὲρ οὗ προσήχθη, παραπέμπει τὴν χάριν. Γίνεται οὖν κοινωνία νοητὴ, καὶ εἰ μὲν τῶν εὐλα-

θείας μεταποιουμένων ἐστὶν, ἢ τῶν ἡμαρτηκότων μὲν, μετανενοηκότων δὲ, ἀοράτως, ὡς ἔφημεν, τῇ ψυχῇ τὴν κοινωνίαν τοῦ Πνεύματος ὁ ἄνθρωπος δέχεται. Πολλάκις δέ γε καὶ σωματικὴν εὑρίσκει, ὡς ἐμάθομεν τὴν ὠφέλειαν. Εἰ δέ τις τὴν ἁμαρτίαν διενεργῶν εἴη, καὶ ταύτης μηδὲν ἀφιστάμενος, ἀνεπιτηδείως ἔχων πρὸς τὴν κοινωνίαν, εἰς κατάκριμα ἑαυτῷ ἔσται καὶ ἡ ὑπὲρ αὐτοῦ θυσία. Ὅθεν καὶ προσεκτέον ἐστὶ, μὴ λαμβάνειν τὸν ἱερέα παρὰ παντὸς τοῦ βουλομένου προσφορὰν, μηδὲ προσφέρειν ὑπὲρ τοιούτων, οἳ τὴν ἁμαρτίαν ἀνέδην διενεργοῦσι, μή ποτε καὶ αὐτὸς αὐτοῖς συγκατακριθῇ. Ἐκ τούτου δὲ καὶ πειρασμοὶ καὶ θλίψεις παρέπονται. « Διὰ τοῦτο γὰρ, » φησὶν, « ἐν ἡμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι καὶ κοιμῶνται ἱκανοί. »

B Χρὴ δὲ καὶ τὸν ἱερέα ἐν τοῖς οὕτω μεγίστοις τοῦ Θεοῦ ἔργοις ἑαυτῷ προσέχειν, καὶ ἑαυτὸν ἀνακρίνειν, ὡς γέγραπται, προσεκτικόν τε εἶναι ὡς δύναμις. Εἰ γὰρ περὶ τῶν ἄλλων οὕτω ἀσφαλίζεσθαι χρείαν ἔχει, πολλῷ μᾶλλον περὶ ἑαυτοῦ· καὶ εἰ ὁ ἐσθίων καὶ πίνων ἀναξίως, ἤτοι κοινωνῶν μόνον, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, πολλῷ μᾶλλον ὁ ἀναξίως ἱερουργῶν. Διὰ τοῦτο πάσῃ δυνάμει προσέχωμεν ἑαυτοῖς οἱ ἱερατεύειν λαχόντες, καὶ παντὶ τρόπῳ καθαρότητος ἐπιμελώμεθα καὶ ἀμνησικάκου τρόπου. Ταπείνωσις δὲ καὶ ἀγάπη ἡμῶν αὐξανέσθω ταῖς ψυχαῖς (ταῦτα γὰρ τὰ ἔργα τοῦ ἱερουργουμένου ὑφ' ἡμῶν), ἵνα καὶ ἐν τῷ νῦν αἰῶνι ἀξίως αὐτοῦ μετέχοντες, κἀν τῷ μέλλοντι τῆς αὐτοῦ καταξιωθῶμεν ἀνεκφράστου καὶ αἰωνίου κοινωνίας, χάριτι C καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ ζῶντος Θεοῦ· ᾧ πρέπει δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A pietatem colentium est, aut earum quæ peccaverunt, pœnitentiam tamen egerunt, invisibili ratione, ut diximus, communionem Spiritus suscipit. Sæpe autem, ut experientia probavimus, corporalem quoque utilitatem invenit. Quod si peccata perpetrare solitus sit ille, nec ab iis abstineat, cum ad communionem non sit idoneus, sacrificium pro eo oblatum in damnationem illi cedet. Unde cavendum sacerdoti, ne ab eo oblationem accipiat, neve pro talibus offerat, qui abjecto omni pudore peccata committunt, ne forte cum ipsis damnetur. Ex hoc autem et tentationes et tribulationes sequuntur: « Idcirco, inquit Paulus, inter vos multi infirmi et imbecilles, et dormiunt multi [a]. »

Necesse est porro et sacerdotem in maximis hisce operibus sibi attendere et dijudicare semetipsum, ut scriptum est, et adhibere cautionem pro viribus. Si enim circa alios esse providum oportet, multo amplius circa se. Et si manducans et bibens indigne, id est, communicans tantum, judicium sibi manducat et bibit, multo magis qui indigne sacrificat. Quod cum ita sit, quantum possumus attendamus, qui sacerdotii sortem nacti sumus, et omni modo puritatis et injuriarum oblivionis curam habeamus. Humilitas et charitas in animabus nostris augeatur (hæc enim sunt facta ejus qui a nobis consecratur), ut et in præsenti sæculo digne ipsum participemus, et in futuro ejus ineffabilem et æternam communionem mereamur, gratia et benignitate ejusdem Christi Filii Dei vivi, quem decet gloria cum principii experte ejus Patre, et sanctissimo et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

[a] I Cor. xi, 30.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΗΝΕΙΑ ΣΥΝΟΠΤΙΚΗ ΚΑΤΑ ΔΥΝΑΜΙΝ

ΕΙΣ ΤΟ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΚΑΙ ΑΜΩΜΗΤΟΥ ΗΜΩΝ ΠΙΣΤΕΩΣ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

ΘΕΙΟΝ ΚΑΙ ΙΕΡΟΝ ΣΥΜΒΟΛΟΝ.

EJUSDEM SUCCINCTA

QUANTUM LICUIT

EXPOSITIO DIVINI ET SACRI SYMBOLI

RECTÆ AC SINCERÆ FIDEI NOSTRÆ.

Ante omnia necesse ac salutare est ut sanctissimum de vera atque unica Christianorum fide symbolum ad apicem summa cum diligentia observemus, ex ima mente prædicemus, et, ubi tempus ac res jubent, rationem de eo reddamus. Iis vero præsertim qui scientiæ ac doctrinæ profundiora jecerunt fundamenta ista necessitas incumbit, ita ut vel morte obsignare fidem parati sint. Ac nos ipsi qui, litteris et artibus minus ornati, inferiori ecclesiasticæ hierarchiæ ordini accensendi, divina misericordia ad magisterium, imo ad archiepiscopatum vocati sumus, per zelum plerorumque discendi cupidorum, non obstante infesta turba impiorum ac hæreticorum, nostrum esse judicavimus ea quæ mente colimus, ac voce prædicamus docemusque, jam litteris quoque mandare, eum in finem, ut veræ ac sinceræ, quæ apud nos est, pietatis signa, divinas Scripturas interpretando, in medium proferamus, fidelium fiduciam fulcientes, infidelium autem animos convertentes. Deus autem nobis det facultatem Patribus nos submissos præbendi, et quæ corde gerimus, eadem qua ipsi sinceritate pronuntiandi. Igitur, solorum Patrum doctrinam ac sententias observantes ipsorum confessionem, divinum, inquam, symbolum, pignus fidei quod composuerunt, integrum servemus, mente et ore, verbis et factis, quotidie in sacra concione proferentes. Symbolum autem fidei illud voco quod primo Nicænum conc. trecenti octodecim Patres sub Constantino pio imp., et in secundo sub Theodosio pio imp. centum quinquaginta Patres pronuntiarunt firmaruntque. Et hæc quidem conc. duo, quinque insequentes œcumenicæ synodi ita secutæ sunt ut nihil nec detrahendo, nec adjiciendo Christianismum nobis integrum, sicque Ecclesiæ fundamentum, piorum

A **292** Περὶ τοῦ ἱερωτάτου Συμβόλου τῆς ἀληθοῦς καὶ μόνης τῶν Χριστιανῶν ἡμῶν πίστεως, ἀναγκαῖον μὲν καὶ σωτηριῶδες, πρό τινος ἄλλου τῶν παρ' ἡμῖν, πάντα πιστὸν ἄχρι καὶ συλλαβῆς καὶ κεραίας ἀσινὲς τηρεῖν αὐτὸ, ὁλοψύχως τε κηρύσσειν, καὶ διδόναι λόγον κατὰ καιρὸν, ὡς δύναμις. Τοῖς δέ γε γνῶσιν ἐσχηκόσι μείζονα, καὶ διδασκαλικὸν εἰληφόσιν ἀξίωμα, τοῦτο μάλιστα τελεῖν πρὸ τῶν ἄλλων χρεῶν, καὶ τὴν ψυχὴν προτιθέναι, εἰ τούτου δεήσειε. Καὶ ἡμεῖς τοίνυν γνώσει τε καὶ μαθήσει καὶ τῶν μικρῶν τῆς Ἐκκλησίας τελοῦντες ἐλάχιστοι. Ὅμως ἠξιωμένοι τῶν μεγίστων τῆς Ἐκκλησίας, εἰς διδασκαλίας τάξιν κληθέντες καὶ ἀρχιερωσύνης φιλανθρώπῳ χάριτι Θεοῦ, διά τε τοὺς ἐγγίζοντας καὶ μαθεῖν αἰτουμένους, διά τε τοὺς ἐναντιουμένους ἢ B ἀσεβειστάσῃ γνώμῃ ἢ αἱρετικῇ δόξῃ, δίκαιον εἶναι ᾠήθημεν, ὃ ψυχῇ πιστεύομεν καὶ φέρομεν, γλώσσῃ τε κηρύττομεν, καὶ διδάσκομεν, καὶ γράμμασι καθομολογῆσαι, καὶ εἰς παράστασιν τῆς καθ' ἡμᾶς ἀληθοῦς καὶ μόνης εὐσεβείας, ἐκ τῶν θείων τοῦτο διερμηνεῦσαι Γραφῶν ὡς δύναμις. Ὡς ἂν τοῖς μὲν πιστοῖς, εὐφροσύνη γένηται μᾶλλον καὶ στηριγμὸς, τοῖς δ' ἀπίστοις καὶ ἑτεροφρόσιν ἔλεγχός τε καὶ ὄνειδος. Ἡμῖν δ' ἀποδοθείη Θεῷ ἥ τε πρὸς τοὺς Πατέρας ὑποταγὴ, καὶ τὸ τῆς ὁμολογίας ἴσον αὐτοῖς ἀκραιφνές τε καὶ βέβαιον. Οὐκ ἐν ἄλλοις οὖν, ἀλλ' ἐν τοῖς τῶν Πατέρων αὐτῶν ἱστάμενοι ῥήμασι, τὴν ὁμολογίαν αὐτῶν, τὸ ἱερὸν Σύμβολον, ἤτοι σημεῖον τῆς πίστεως, ὅπερ ἐκθέσει οἰκείᾳ καὶ ῥήμασιν αὐτοῖς συντεθήκασιν οὗτοι, ἀκαινοτόμητον πάν- C τῃ καὶ ἡμεῖς συντηροῦμεν καὶ ὁμολογοῦμεν ψυχῇ τε καὶ λόγῳ καὶ πράγμασιν, ὡς καθ' ἑκάστην ἐπ' Ἐκκλησίας κηρύττομεν. Σύμβολον δέ φημι τῆς πίστεως, ὅπερ ἡ πρώτη ἐν Νικαίᾳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπὶ Κωνσταντίνου τοῦ εὐσεβοῦς βα-

σιλέως, καὶ ἡ δευτέρα ἐπὶ Θεοδοσίου τοῦ φιλοχρίστου βασιλέως ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων σύνοδοι, καὶ συνεγράψαντο, καὶ τελειώσασαι ἐβεβαίωσαν. Ὧ τινι δὴ καὶ αἱ μετ' αὐτὰς οἰκουμενικαὶ θεῖαι πέντε σύνοδοι κατακολουθήσασαι, μηδὲν προσθεῖσαι μηδ' ἀφελόμεναι, ἀκραιφνῆ τὸν Χριστιανισμὸν ἡμῖν τετηρήκασι, καὶ τοῦτο τῆς Ἐκκλησίας θεμέλιος. Καὶ τῶν εὐσεβούντων ὁμολογία τῆς ἀληθοῦς τε καὶ ὀρθοδόξου πίστεως σημεῖον, καὶ στήλη, καὶ ὅρος ἀσφαλὴς καὶ ἀσάλευτος. Ταύτην τὴν ὁμολογίαν ὁ ἀρχῆθεν πολέμιος ἐξ ἀρχῆς καταπολεμῶν, ὡς καὶ τὸν ἄνθρωπον πάλαι τῆς θείας ἐσπούδακεν ἐξῶσαι βουλῆς. Καὶ νῦν ἀθέοις, ἑτεροδόξοις τε πλείστοις τὴν πρὸς αὐτὴν ἀναθέμενος μάχην, ἐξῶσαι πάλιν τῆς ἀψευδοῦς ἐπισπεύδει τὸν ἄνθρωπον γνώσεως. B Ἀλλ' ἡμῖν φυλακτέον τὴν πίστιν. Εἰ γὰρ καὶ ἁμαρτίαις οὐκ ἀνεύθυνοι πάντως, ἀλλά γε τῇ μετανοίᾳ καὶ πίστει πρὸς τὸ σωθῆναι θαῤῥεῖν ἅπαντες ἔχομεν. Ὁμολογητέον τοίνυν τὴν καλὴν ὁμολογίαν, καὶ ἑρμηνευτέον τὴν γνῶσιν ταύτης ὡς ἐφικτόν. Σὺ δὲ Τριὰς καὶ μονὰς ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀεὶ ὤν, **293** ὁ προαιώνιος, ὁ ὑπερούσιος, ὁ ἀκατάληπτος, Πάτερ ἀγαθὲ καὶ ἀναίτιε, Υἱὲ μονογενὲς καὶ Λόγε Θεοῦ, καὶ Πνεῦμα ἅγιον ἐκ Πατρὸς προερχόμενον, ἡ μία δύναμις, ἡ μία τῶν ὅλων ἀρχή, ἡ δημιουργὸς ἐκ μὴ ὄντων, καὶ συνεκτικὴ πάντων καὶ τῶν λογικῶν φωτιστικὴ καὶ διδάσκαλος, χορήγησον ἡμῖν σου τὴν θείαν διασαφῆσαι γνῶσιν ὡς ἐγχωρεῖ ἐνεργείᾳ τῇ σῇ καὶ χρηστότητι. Καθαγιασθέντες οὐκοῦν ἡμεῖς, καὶ σφραγισθέντες τῇ ἐπικλήσει τῆς Τριάδος, καὶ τοῦ Συμβόλου τῆς ὁμολογίας αὐτῆς ἀρξώμεθα.

A confessionem veræque ac orthodoxæ fidei signum reliquerint, itemque columnam ac terminum inconcussum definierint. Hanc confessionem oppugnans is qui a principio inimicus hominem ad inobedientiam erga voluntatem divinam seduxit, nunc quoque hæreticos ad rebellionem excitat ut hominem a veritatis, in qua nihil falsi, cognitione semoveat. Nobis autem ante omnia fides est servanda. Quamvis enim a peccatis minime immunes simus, omnes tamen per pœnitentiam fidem amissam recuperare valemus. Confiteamur igitur sanctum symbolum, ejusque cognitionem ubique vulgemus. Tu autem, Deus noster trine et unice, qui solus es ante sæcula, super omnem substantiam, omnem superans intellectum, Pater optime et causam non habens, Fili B unigenite et Dei Verbum, et Spiritus sancte e Patre procedens, unica potestas, unicum omnium principium, rerum quæ non erant Conditor, et omnia continens, et rationabilium illuminator atque doctor, dirige nos qui divinam expandamus pro viribus scientiam, virtute bonitateque tua. Sanctificati ergo et Trinitatis invocatione signati, confessionis Symbolum incipiamus.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα.

Ὢς θαυμαστὴ ἡ τῶν Πατέρων θεολογία. Κατὰ C πάντων γὰρ εὐθὺς τῶν ἀσεβούντων πλουτεῖ τὸ προοίμιον, τὸ *Πιστεύω* μὲν προτιθεῖσα διὰ τὸ τῆς πίστεως ἀσφαλές· *εἰς ἕνα δὲ Θεὸν Πατέρα παντοκράτορα*, ὅτι Θεὸς εἷς, καὶ οὗτος, Πατήρ, ὡς πηγὴ τῶν ἐξ αὐτοῦ, Υἱοῦ τε καὶ Πνεύματος· καὶ Παντοκράτωρ οὗτος, ὡς μετὰ τοῦ Λόγου καὶ Πνεύματος τῶν ὅλων κτισμάτων ποιητής. Ἐπεὶ γὰρ κατὰ τὴν Μωϋσέως συγγραφήν, ἥτις ἀληθεστάτη μὲν καὶ ἀρχαιοτάτη ἐστίν, ἐπιδεὴς δὲ μόνον τοῦ θείου Εὐαγγελίου, σκιώδης οὖσα καὶ ἀτελής, εἷς Θεὸς ἐδιδάσκετο μόνον, ὁ Πατὴρ δηλονότι· ὁ δέ γε Λόγος καὶ τὸ Πνεῦμα ἀμυδρῶς ἦν ἐν αὐτῇ μαρτυρούμενα· οὐρανὸς δὲ καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς ἅπαντα ἐξ οὐκ ὄντων Λόγῳ καὶ Πνεύματι πεποιημένα Θεοῦ ἐγέγραπτο· ἕτεροι δὲ τῶν ἀνθρώπων ἀποπλανηθέντες πολ- D λοί, οἱ μὲν μὴ εἶναι Θεὸν εἰρήκασιν, ἄφρονες ὄντως ὄντες, καὶ τύχῃ καὶ εἱμαρμένῃ τὸ πᾶν ὑπέθηκαν· οἱ δὲ θεῶν πλῆθος, καὶ δυνάμεις αὐτῶν ἐπενόησαν ἑαυτοῖς, εἰδωλολατρείας μανίαν τε καὶ ἀσέβειαν συνεστήσαντο· ἄλλοι δὲ γοητείαν, καὶ ἀστέρων κινήσεις καὶ γένεσιν συνεσκέψαντο, καὶ τὸν κόσμον τοῦτον ἀΐδιον καὶ ἀκατάλυτον ὑπενόησαν, καὶ λατρευταὶ δαιμονίων καὶ τῆς κτίσεως ἅμα γεγόνασιν· ἡ τοῦ Χριστοῦ Ἐκκλησία αὐτὸν τὸν τοῦ Θεοῦ λόγον, τὸν μονογενῆ Υἱόν, τὴν ἐνυπόστατον καὶ ζῶσαν σοφίαν διδάσκαλον ἔχουσα, διορθουμένη τὸ πᾶν, καὶ τὴν ἀλήθειαν ἐπιμαρτυροῦσα, ἀποβάλλεται μὲν μετὰ τοῦ Δαβὶδ τοὺς μὴ ὁμολογοῦντας τὸν Θεόν. Ἐκεῖνος γάρ φησιν, *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ*

Credo in unum Deum Patrem omnipotentem.

O mira Patrum theologia, cujus adversus omnes impios cito prævalet procemium. *Credo* quidem præmittitur ob fidei certitudinem. *In unum* vero *Deum Patrem omnipotentem*, quia Deus unus et ipse Pater, tanquam fons eorum qui ex ipso sunt, scilicet Filii et Spiritus. Et omnipotens, qui per Verbum et Spiritum omnium creaturarum est factor. Siquidem secundum Moysis scripturam, quæ verissima quidem et vetustissima, tantum vero divino eget Evangelio, quæ umbram habet et imperfectionem, unus Deus duntaxat docebatur, Pater scilicet; Verbum autem ac Spiritus subobscure in scriptura indicebantur; cœlum vero et terra et omnia quæ in eis sunt e non exsistentibus per Verbum et Spiritum facta a Deo reputabantur. Hominum D autem cæterorum aberrantes multi, alii non esse Deum dixerunt, insipientes valde, et fortuito fataliterque omnia condita contenderunt; alii deorum multitudinem et eorum virtutes sibi finxerunt, idololatriæ insipientiam et impietatem constituerunt. Alii geniorum cultum et astrorum motus et ortum consideraverunt, et mundum istum æternum nec unquam destruendum putaverunt, et dæmonum cultores atque creaturarum facti sunt. Christi Ecclesia ipsum Dei Verbum, unicum Filium, viventem et per se exsistentem sapientiam magistrum habens, plene recta et veritati testimonium perhibens, una cum Davide quidem eos abnegat qui non esse Deum dicunt: exclamat enim ipse: « Dixit insipiens in corde suo, Non est Deus. » Similiter autem cum eo-

deum Davide et Paulo multorum errorem deorum respuit. « Omnes enim, inquit ille, dii gentium dæmonia; » et Paulus: « Servierunt iis qui natura non sunt dii, et sapientes cum essent, stulti facti sunt, et servierunt creaturæ potius quam Creatori. » Perficiens autem quod legi deerat, nec Filium, nec Spiritum aperte docenti, clare et pie clamat: *Credo in unum Deum Patrem omnipotentem: Credo* quidem ex eo quod corde in Deum confessionem profitetur, juxta Paulum dicentem: « Corde creditur ad justitiam, ore autem confessio fit ad salutem. » *In unum* vero *Deum*, ad oppositionem tum eorum qui Deum negant, tum impiorum qui plures invocant deos. Deinde *Patrem omnipotentem: Patrem* propter ejus unigenitum Verbum et ab eo procedentem Spiritum, quæ confitentium Deum multi rejiciunt, B nempe impii Judæi et cum ipsis alii Deum consequenter complete negantes. Si enim absque Verbo et Spiritu Deus, ergo imperfectus; et si imperfectus, non verus. Atque sic et hi, ut diximus, in verum Deum non credentes athei. Si enim in rationalibus nobis, angelis et hominibus, Verbum est et Spiritus, quomodo non in Deo universorum et præsertim rationalium qui eum utcunque cognoscunt? Vide autem mirum in modum et id profecto contemnentium Dei Verbum et Spiritum impietatem patefacere: proprio verbo ex ipsis genito nituntur Dei Verbi in Patre viventis et exsistentis destruere (proh!) generationem ante omne principium; et plasmata imago prototypum suum conditoremque prudens vel invita, nec intelligens, adversus eum insane fertur, C creatura creatorem, et Deum factura contemnit. Et si per se exsistentem Verbum et Spiritum non habere dicit Deum, sicut et quæ propria sunt habet homo, sic valde impia est, testimonium divina dante Scriptura, quod vivens in cœloque habitans sit Dei Verbum, Sapientia viva, et in se ipsa intelligentiæ et sanctitatis spiritum habens. Et hic vivificans et vivax ipse Dei sacrosanctus Spiritus. Impiat ergo se qui, atheorum rationes gerens, viventem Dei Verbum despicit et Spiritum, non reputans quod creatura qui est, si quodam modo Conditoris præbet imaginem, pariter et id utcunque in se habeat, adumbratione, non veritate locuples. Etenim semper quidem existens Deus semper exsistentem Verbum Spiritumque sanctum viventem habet. Angelus D autem, homo etiam, e non exsistente exsistens factus, non semper fuit et mutabilis est, et Verbum non per se exsistentem, sed omnino alium habet. Propterea Pater solus verus Deus, tanquam semper exsistens Pater, Pater non nostrum qui postea facti sumus, erit aliquando factus Pater. Si quando autem noster dicitur, secundum gratiam, quia nos condidit, non secundum naturam; si enim hoc, imperfectus. Non ex ipso nos secundum naturam, sed e non exsistentibus facti sumus. Inde cum perfectus sit Deus, Pater semper est una cum eo naturam et exsistentiam absque principio habentibus Verbo et vivificante Spiritu. Optime igitur dicit Ecclesia:

A ἐστι Θεός· ἀπωθεῖται δὲ πάλιν μετὰ τοῦ αὐτοῦ Δαβὶδ καὶ τοῦ Παύλου, τὴν τῶν πολλῶν θεῶν πλάνην. *Πάντες* γάρ, φησὶν ὁ αὐτὸς, *οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια*, καὶ ὁ Παῦλος, *Ἐλάτρευσαν τοῖς μὴ φύσει οὖσι θεοῖς, καὶ σοφοὶ ὄντες ἐμωράνθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν Κτίσαντα*. Τελειοῦσα δὲ καὶ τὴν τοῦ νόμου ἔλλειψιν, μὴ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα σαφῶς ἐκδιδάσκοντος, λαμπρῶς καὶ εὐσεβῶς ἐκβοᾷ, *Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα*· τὸ μὲν *Πιστεύω*, διὰ τὸ ἐκ καρδίας τὴν εἰς Θεὸν κηρύσσειν ὁμολογίαν κατὰ τὸν Παῦλον λέγοντα, *Καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν*· τὸ δὲ *Εἰς ἕνα Θεόν*, εἰς ἀνατροπὴν ἅμα τῶν τε μὴ Θεὸν ὁμολογούντων, καὶ τῶν πολλοὺς θεοὺς B λεγόντων ἀθέων· ἔπειτα *Πατέρα παντοκράτορα*· *Πατέρα*, διὰ τὸν μονογενῆ αὐτοῦ Λόγον, καὶ τὸ ἐξ αὐτοῦ Πνεῦμα. Ἃ καὶ πολλοὶ τῶν ὁμολογούντων δῆθεν Θεὸν ἠθετήκασιν, ὡς οἱ δυσσεβεῖς Ἰουδαῖοι, καὶ σὺν αὐτοῖς ἄλλοι, ἄθεοι τελοῦντες καὶ οὗτοι. Εἰ γὰρ δίχα λόγου καὶ Πνεύματος ὁ Θεὸς, ἀτελὴς ἄρα· καὶ εἰ ἀτελὴς, οὐκ ἀληθής· καὶ οὕτω καὶ αὐτοὶ ὡς εἰρήκαμεν, εἰς τὸν ὄντως Θεὸν μὴ πιστεύοντες ἄθεοι. Εἰ γὰρ ἐν τοῖς λογικοῖς ἡμῖν, ἀγγέλοις τε καὶ ἀνθρώποις, Λόγος ἐστὶ καὶ Πνεῦμα, πῶς οὐκ ἐν τῷ Θεῷ τῶν ὅλων, καὶ τῶν λογικῶν μάλιστα, τῶν ὁπωσοῦν ἐπιγινωσκόντων αὐτόν; Ὅρα δὲ παραδόξως καὶ τοῦτο παραστατικὸν μάλιστα τῆς ἀσεβείας τῶν ἀθετούντων τὸν τοῦ Θεοῦ Λόγον καὶ τὸ Πνεῦμα. Λόγῳ C γὰρ ἰδίῳ πειρῶνται ἐξ αὐτῶν τικτομένῳ τὴν τοῦ Θεοῦ Λόγου τοῦ ζῶντος καὶ ὄντος ἐν τῷ Πατρὶ ἀναιρεῖν (φεῦ!) προάναρχον γέννησιν· καὶ ἡ δημιουργηθεῖσα εἰκὼν, τὸ πρωτότυπον ἑαυτῆς καὶ τὸν δημιουργὸν μαρτυροῦσα καὶ μὴ νοοῦσα, κατ' αὐτοῦ φέρεται ἀλογίστως. Καὶ τὸ κτίσμα, τὸν Κτίστην ἀθετεῖ, καὶ τὸ ποίημα τὸν Θεόν. **294** Εἰ δὲ καὶ μὴ ἐνυπόστατον τὸν Λόγον καὶ τὸ Πνεῦμα λέγει κεκτῆσθαι τὸν Θεὸν, ὡς καὶ τὰ ἑαυτοῦ ἄνθρωπος, καὶ οὕτω μάλιστα δυσσεβεῖ, τῆς θείας μαρτυρούσης Γραφῆς, τοῦ Θεοῦ τὸν Λόγον ζῶντα καὶ ἐν τῷ οὐρανῷ διαμένοντα, καὶ τοῦτον Σοφίαν ζῶσαν, καὶ ἐν αὐτῇ Πνεῦμα νοερὸν καὶ ἅγιον ἔχουσαν· καὶ ζωοποιὸν δὲ καὶ ζῶν αὐτὸ τὸ τοῦ Θεοῦ πανάγιον Πνεῦμα. Δυσσεβεῖ τοίνυν ὁ ἀθετῶν ἀθέως τὸν ζῶντα Λόγον τοῦ Θεοῦ καὶ τὸ D Πνεῦμα, μὴ εἰδὼς ὅτι κτίσμα ὢν, εἰ καὶ εἰκονίζων ἐστὶ κατά τι τὸν Κτίσαντα, ὅμως καὶ αὐτὸ ὅτι περ ἐν ἑαυτῷ κέκτηται, σκιαγραφίᾳ, καὶ οὐκ ἀληθείᾳ πλουτεῖ. Ὁ μὲν γὰρ Θεὸς ἀεὶ ὢν ἐστι, καὶ ἀεὶ ὄντα τὸν Λόγον ἔχει, καὶ τὸ ζῶν Πνεῦμα τὸ ἅγιον· ἄγγελος δέ γε καὶ ἄνθρωπος ἐκ τοῦ μὴ ὄντος ὢν γεγονὼς, καὶ οὐκ ἀεὶ ἦν, καὶ ἀλλοιωτός ἐστι, καὶ τὸν λόγον οὐκ ἐνυπόστατον, ἀλλ' ἀλλοιούμενον ἔχει. Διὰ τοῦτο Πατὴρ μόνος ὁ Θεὸς ἀληθὴς, ὡς ἀεὶ ὢν Πατήρ· καὶ Πατὴρ οὐχ ἡμέτερος τῶν ὕστερον γεγονότων. Ἔσται γάρ ποτε γεγονὼς Πατήρ. Εἰ δὲ καὶ Πατὴρ ἡμῶν ποτε λέγεται, κατὰ χάριν τοῦτο, ὅτι δεδημιούργηκεν ἡμᾶς, οὐ κατὰ φύσιν. Εἰ γὰρ τοῦτο, ἀτελής. Οὐ γὰρ ἐξ αὐτοῦ ἡμεῖς κατὰ φύσιν, ἀλλ' ἐκ μὴ ὄντων γεγόναμεν. Ὅθεν ἐπειδὴ παντέλειος ὁ

Θεὸς Πατήρ ἐστιν ἀεὶ τοῦ συμφυοῦς αὐτῷ καὶ ζῶντος συνανάρχου Λόγου καὶ τοῦ ζωοποιοῦ Πνεύματος. Καλῶς ἄρα ἡ Ἐκκλησία φησί, *Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα. Παντοκράτορα* δὲ, διὰ τὸ τὰ πάντα συνέχειν. Οὐ γὰρ τύχῃ καὶ γενέσει, ἀλλὰ προνοίᾳ αὐτοῦ πάντα ἄγεται, εἰ καὶ τὰ μὲν εὐδοκῶν, τὰ δὲ συγχωρῶν ἀῤῥήτοις οἰκονομίας τρόποις, διοικεῖ τε καὶ προνοεῖται συμφερόντως. Ἔτι *Παντοκράτορα* λέγει, ὅτι πάντα αὐτοῦ καὶ ἐξ αὐτοῦ δημιουργικῶς τῷ Λόγῳ τε καὶ τῷ Πνεύματι, ὡς ἐκ μὴ ὄντων τὰ πάντα πεποιηκότος. Πάντα οὖν διακρατεῖ, καὶ καλῶς διακυβερνῶν, συνέχει ὡς βούλεται. Διὸ καὶ ποιήματα τούτου εἶναι τὰ πάντα τὸ ἱερόν φησι Σύμβολον, λέγον αὐτὸν

A *Credo in unum Deum Patrem. Omnipotentem* vero eo quod omnia contineat; quæ non fortuito et propter nativitatem, sed ejus Providentia moventur, licet ineffabilibus œconomiæ rationibus hæc approbet, illa permittat; opportune et gubernat et providet. Adhuc *Omnipotentem* dicit, quia omnia ipsius sunt, et ex ipso conditoris actione per Verbum et Spiritum factore, ut e non exsistentibus starent exsistentia. Omnia ergo sub imperio tenet, et optime gubernans, continet prout vult; ideo et ejus facturam esse omnia sanctum dicit Symbolum, prædicans eum

Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Τὸ μὲν ἀπὸ τοῦ Μωϋσέως λαμβάνον, τὸ δὲ ἀπὸ τοῦ Παύλου. Ἐνταῦθα δὲ ἅμα καὶ πᾶσαν ἀπωθεῖται ἀθεΐας ἐπίνοιαν. Τῶν τε γὰρ ἀΐδιον ὑπειληφότων τὸν οὐρανὸν, καὶ πρὸ τούτου τὴν ὕλην ἄναρχον, καὶ ἰδέας τινὰς ἐν Θεῷ τὴν ἀπόνοιαν καταργεῖ, καὶ τῶν θεοποιούντων δὲ τὰ ἄστρα τὴν πλάνην, καὶ ἔτι τῶν τὰ περὶ τῆς γῆς, καὶ τὴν γῆν αὐτὴν, καὶ τὰ ἄλλα στοιχεῖα θεοὺς νομιζόντων ἀθέως, καὶ περὶ τὰ λοιπὰ κτίσματα πλανωμένων. Μόνον γὰρ τῶν ὅλων ποιητὴν, τὸν Θεόν φησιν οὐρανοῦ, καὶ τῶν ἐν οὐρανῷ, γῆς καὶ τῶν ἐν γῇ, ὁρατῶν τε πάντων, ἀέρος φημὶ καὶ τῶν ἐν αὐτῷ, θαλάσσης τε καὶ τῶν ἐν αὐτῇ, πυρὸς καὶ τῶν κατὰ μέρος ἁπάντων· ἀλλὰ καὶ τῶν ἀοράτων αὐτῶν, ἀγγέλων καὶ δαιμόνων, καὶ τῶν ἀνθρωπίνων ἔτι ψυχῶν. Ταῦτα γὰρ προηγουμένως ἐγνωσμένα ἡμῖν ἀόρατα, καὶ τούτων κηρύσσει δημιουργὸν τὸν Θεόν· καὶ ὡς ἀληθῶς καὶ δικαίως δημιουργὸν καὶ τῶν ἀοράτων τὸν Θεὸν ἐπιμαρτυρεῖ· ὅτι καὶ ἔστι, καὶ οὐδὲν τῶν γεγονότων, πλὴν αὐτοῦ· καὶ ἔτι συνετίζον ἡμᾶς, ἵνα μὴ πλανηθῶμεν ὡς προαιρετικὴν ψυχὴν ἔχοντες, καὶ ὑπὲρ ἡμᾶς τι φρονήσωμεν, καθὰ πεπόνθασι τῶν ἀσυνέτων πολλοὶ, ἢ δαιμονίων φαντασίαις, ἢ πλάναις ἰδίαις τοῦ καθήκοντος ἀποπλανηθέντες· τοῦτο γὰρ φίλον τοῖς δαίμοσι, πανούργοις φαντασίαις, ὑποσυλᾷν καὶ ὑποφθείρειν τῶν ἀλογίστων πολλούς· ἀλλὰ καὶ ἵνα μή ποτε τὰς ἀγγελικὰς καὶ ὑπεράνω δυνάμεις ὡς θεοὺς λογισώμεθα, τοῦτο τίθησιν. Εἰ γὰρ καὶ περὶ Θεὸν αὗται, καὶ πεπληρωμέναι δόξης, καὶ θείου πᾶσαι φωτὸς, ἀλλ' ὅμως κτίσματα καὶ ἐνδεεῖς τῶν ἐκεῖθεν ἀπαυγασμάτων, καὶ λαβοῦσαι ὅσον εἰλήφασιν, ἔτι καὶ χρείαν ἔχουσι μειζόνων· καὶ τὸ τέλειον οὐδέποτε λήψονται, μὴ χωροῦσαι ὅλον τὸ τοῦ ἀκτίστου, κτισταί, ὡς εἴρηται, οὖσαι ἄπειρον γάρ, ἀλλ' ὅσον δύνανται χωρεῖν, ἐλλειπεῖς ἀεὶ οὖσαι. Τέλος δὲ καὶ παντέλειος μόνος ὁ τριαδικῶς ὑμνούμενος παρ' αὐτῶν Θεός. Ἔστι δὲ καὶ ἄλλα πλεῖστα τῶν ἀοράτων, ὧν καὶ τὰ ὀνόματα ἐν τῷ μέλλοντι αἰῶνι ἀποκαλύπτεσθαι **295** μεμαθήκαμεν. Ὅμως δὲ τούτων πάντων ἀοράτων τε ἅμα καὶ ὁρατῶν ποιητὴν ἡ Ἐκκλησία τὸν Θεὸν μαρτυρεῖ, τὸν Πατέρα τοῦ ζῶντος Λόγου, τὸν ἀγέννητον, τὸν ἀναίτιον, τὸν προάναρχον, τὸν ἀτελεύτητον, τὸν αἰώνιον, τὸν παναίτιον, τὸν ἀεὶ

B *Factorem cœli et terræ, visibilium omnium et invisibilium.*

Illud e Moyse petens, hoc e Paulo. In quo simul et omnem impietatis rejicit reatum. Istorum enim qui æternum cœlum putant et ante illud materiam principio expertem, et ideas quasdam in Deo insaniam abjicit, et eorum qui deorum numero astra ascribunt aberrationem, adhuc et istorum qui deos quod est super terram, terram ipsam et alia elementa atheorum more arbitrantur, et circa creaturas reliquas errant. Solum enim universorum factorem Deum dicit, cœli et eorum quæ in cœlo, terræ et eorum quæ in terra; et visibilium omnium, aerem dico et quæ in eo, mare et quæ in eo, ignem, et omnia juxta genus. Sed et invisibilium, angelorum, dæmonum et pariter humanarum animarum, C hæc enim principaliter nobis cognita invisibilia, quorum conditorem proclamat Deum, et vere ac juste etiam invisibilium conditorem Deum testatur, qui est et sine ipso nihil factum est. Et adhuc nos docet ne quasi vane distinguentem animum habentes erremus et supra modum cogitationibus nostris extollamur prout affecti sunt imprudentes plurimi, aut dæmonum phantasiis aut propriis deliramentis a recto deflectentes; dæmonum quippe mos est quibuslibet phantasiis plures subripere et corrumpere ineptos. Sed etiam ne forte angelicas et superiores potestates deos arbitremur, hæc verba effatur. Quæ si circa Deum ipsæ, gloria refertæ et divino redundantes lumine, nihilominus creaturæ, et splendore D a Deo indigentes a quo acceperunt quæ habent et majoribus horum adhuc opus habent, et perfectum nunquam attingent, increati plenitudinem capere non valentes, utpote creaturæ sicut dictum est, impossibile est enim; sed quantumlibet capere possint, semper eis aliquid deest. Perfectus autem et omnino perfectus solus ter ab eis celebratus Deus. Sunt et alia invisibilium pleraque quorum nomina in venturo sæculo revelari audivimus. Similiter horum omnium invisibilium pariter et visibilium factorem Ecclesia Deum testatur, viventis Verbi Patrem ingenitum, absque causa, initio, fine, æternum, omnium causam, qui semper est, qui natura solus bonus. E seipso ante omne sæculum et ineffabiliter, sine materia corporeque, et absque animi

commotione ejusdem naturæ consubstantiale et A indivisibile suum generat et Verbum, unigenitum Filium, lumen verum, vivam Sapientiam per quam cuncta in sancto fecit Spiritu. Hoc vero Verbum sic testans de Deo docet.

ὄντα, τὸν φύσει μόνον ἀγαθὸν, τὸν ἐξ αὐτοῦ προαιωνίως καὶ ἀῤῥεύστως καὶ ἀΰλως, καὶ ἀσωμάτως, καὶ ἀπαθῶς τὸν συμφυῆ καὶ ὁμοούσιον καὶ ἀδιαίρετον αὐτοῦ γεννήσαντα Λόγον, τὸν μονογενῆ Υἱὸν, τὸ φῶς τὸ ἀληθινὸν, τὴν ζῶσαν Σοφίαν, δι' ἧς τὰ πάντα ἐν ἁγίῳ ἐποίησε Πνεύματι. Τοῦτον δὲ τὸν Λόγον οὕτω; ἐπιμαρτυροῦσα θεολογεῖ,

Et in unum Dominum Jesum Christum Filium Dei unigenitum.

Non a seipso illud docet Ecclesia, sed Paulo magistro gaudens: nobis enim, ait, unus Deus Pater e quo omnia et unus Dominus Jesus Christus per quem omnia, divinitatis et dominii in unum educens nomen. Nam primo quidem ait: *Credo in unum Deum Patrem*, non multos, sed unum dicens Deum. B et hunc Patrem, cujus? non creaturarum nostrum, ut demonstratum est, non enim natura nos e Deo, factura qui sumus, sed Patrem luminum, sicut S. Jacobus scribit, Filii scilicet et Spiritus, illius sine tempore ab ipso geniti, hujus procedentis. Idcirco et Deum dicens Patrem et Dominum ipsum cum Scriptura vocat. Et Filium vocans Dominum et Deum ipsum sicut Scriptura testatur. Et Deus cum sit Pater atque Dominus creatorque, et Filius similiter et Spiritus sanctus. Et unus Deus Pater est cum Verbo et Spiritu, et omnium Dominus et omnis creationis conditor. Quod David affirmans, « Verbo Domini, inquit, cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum, » et quæcunque alia de Filio et Spiritu divina dicit Scriptura. Sed quemadmodum C impium est et atheo dignum si Deum negas esse, pari insania laborat qui Deum quidem confitetur, carentem tamen Verbo, viva ipsius Sapientia, potentia per se exsistente, vera imagine, charactere et substantiæ splendore; et vivifico Spiritu, sanctificante et omnia vivificante, per se exsistente ejus potentia. Natura fructificans efficacia, ut sanctus ait Cyrillus, sine corpore in Deo est, ipsi absque materia coexistens; et divus Dionysius, a Deo genitum esse dicit in Patre: qui igitur contemptim hunc ab illo separat, perfectionem ipsi non dat. Sed et creatio, Creatorem prout potest imitans, proclamat, propius quidem et sine corpore intellectualis, sensibilis vero crassius et secundum divisionem, effluentiam et sensus. Si igitur ad id omnia D tendunt, ad fructificandum similia, et intellectualia quidem sapientiam spiritualius in seipsis gignunt in vivente spiritu, sensibilia vero prout dictum est sensibiliter, a Deo vero omnia; quomodo his minor qui ea condidit Deus? Itaque unus Pater unum Filium inseparabilem habet qui et ex ipso unigenitus, ipsius semper Filius absque corpore genitus. Itaque et optime dicit:

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ.

Οὐκ ἀφ' ἑαυτῆς φάσκουσα τοῦτο, τὸν Παῦλον δὲ πλουτοῦσα διδάσκαλον. Ἡμῖν γὰρ, φησὶν, εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα τὸ τῆς θεότητος καὶ κυριότητος εἰς ἓν συνάγουσα ὄνομα. Πρότερον μὲν γὰρ ἔφη, *Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα*· οὐ πολλοὺς, ἀλλ' ἕνα λέγουσα Θεὸν, καὶ τοῦτον Πατέρα, τίνος; οὐ τῶν κτισμάτων ἡμῶν, ὡς δεδήλωται· οὐ γὰρ φύσει ἡμεῖς ἐκ Θεοῦ, ποιήματα γάρ· ἀλλὰ Πατέρα τῶν φώτων, ὡς ὁ Ἀδελφόθεος γράφει, τοῦ Λόγου δηλαδὴ καὶ τοῦ Πνεύματος, τοῦ μὲν ἀχρόνως ἐξ αὐτοῦ γεννωμένου, τοῦ δὲ ἐκπορευομένου. Διὸ καὶ Θεὸν λέγουσα τὸν Πατέρα, καὶ Κύριον αὐτὸν μετὰ τῆς Γραφῆς ὀνομάζει· καὶ τὸν Υἱὸν δὲ καλοῦσα Κύριον, καὶ Θεὸν αὐτὸν, ὡς ἡ Γραφὴ μαρτυρεῖ· καὶ Θεὸς ὢν ὁ Πατὴρ καὶ Κύριος καὶ δημιουργὸς, καὶ ὁ Υἱὸς ὁμοίως καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ εἷς Θεὸς ὁ Πατὴρ μετὰ τοῦ Λόγου ἐστὶ καὶ τοῦ Πνεύματος· καὶ Κύριος πάντων οὗτος, καὶ δημιουργὸς πάσης κτίσεως. Καὶ τοῦτο Δαβὶδ ἐπιμαρτυρεῖ, *Τῷ λόγῳ Κυρίου*, λέγων, *οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν*, καὶ ὅσαπερ ἄλλα περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἡ θεία φάσκει Γραφή. Ἀλλὰ καὶ, ὡς ἀσεβές τε καὶ ἄθεον τὸ μὴ εἶναι λέγειν Θεὸν τῆς ἴσης μανίας, καὶ τὸν Θεὸν μὲν δῆθεν ὁμολογεῖν, ἄμοιρον δὲ τοῦτον λόγου, τῆς ζώσης αὐτοῦ Σοφίας, τῆς ἐνυποστάτου αὐτοῦ δυνάμεως, εἰκόνος τε ἀληθοῦς καὶ χαρακτῆρος καὶ ἀπαυγάσματος καὶ τοῦ ζωοποιοῦ Πνεύματος, τῆς ἁγιαστικῆς καὶ ζωοποιούσης τὰ πάντα ἐνυποστάτου αὐτοῦ δυνάμεως. Τὸ γὰρ φύσει καρπογόνον ὡς ὁ ἱερὸς φησι Κύριλλος, ἀσωμάτως ἐστὶν ἐν τῷ Θεῷ, αὐτῷ συνυπάρχον ἀΰλως. Καὶ ὁ θεῖος δὲ Διονύσιος τὸ θεογόνον εἶναί φησιν ἐν τῷ Πατρί. Ὁ τοίνυν τούτου τοῦτον ἀποστερῶν περιφρόνως οὐ τὸ τέλειον αὐτῷ δίδωσιν. Ἀλλὰ καὶ ἡ κτίσις τὸν Κτίστην ὡς ἐγχωρεῖ ἐξομοιουμένη, κηρύσσει· ἐγγύτερον μὲν καὶ ἀσωμάτως ἡ νοητὴ, ἡ αἰσθητὴ δὲ παχυτέρως τε καὶ κατὰ τομὴν καὶ ῥεῦσιν καὶ αἴσθησιν. Εἰ οὖν πάντα πρὸς τοῦτο ὁρᾷ, τὸ καρπογονεῖν ὅμοια, καὶ τὰ μὲν λογικὰ μᾶλλον νοητῶς τίκτει τὴν σοφίαν ἐν ἑαυτοῖς ἐν τῷ ζῶντι Πνεύματι, τὰ δὲ αἰσθητὰ, ὥσπερ εἴρηται, αἰσθητῶς, τὰ πάντα δὲ ἐκ Θεοῦ· πῶς ἐλάττων τούτων ὁ κτίσας αὐτὰ Θεός; Διὰ τοῦτο εἷς ὢν ὁ Πατὴρ, καὶ ἕνα Υἱὸν τουτον ἀχώριστον ἔχει, ὃς καὶ μονογενὴς ἐξ αὐτοῦ, καὶ ἀεὶ Υἱὸς αὐτοῦ, ἀσωμάτως γεγεννημένος. Διὸ καὶ καλῶς φησι·

Et in unum Dominum Jesum Christum Filium Dei unigenitum.

Paulo altius repetendum: tum, in unum dici-

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ.

Ἐπαναληπτέον δὲ τὸν λόγον πάλιν. Τὸ μὲν οὖν

εἰς ἕνα εἰπεῖν, ὅτι οὐχ εἰσὶ πολλοὶ, ἀλλ' εἷς ὁ Υἱὸς A τοῦ Θεοῦ· τὸ δὲ *Κύριον*, καὶ ὅτι Κύριος πάντων ἐστὶ καὶ διὰ τὸ συμφυές. Οὕτω γὰρ καὶ ὁ Πατὴρ ὀνομάζεται Κύριος, καθὰ δὴ καὶ ὁ Πατὴρ Θεὸς ὢν ἀεὶ καὶ καλούμενος, καὶ ὁ Υἱὸς ὁμοίως Θεὸς καλεῖταί τε καὶ ἔστι. *Καὶ Θεὸς ἦν ὁ Λόγος*, τὸ Εὐαγγέλιόν φησι. Καὶ ὁ ἠγαπημένος περὶ τοῦ Υἱοῦ· *Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός*· οὐχ ὡς δύο ὄντων θεῶν, ἄπαγε! ἀλλ' ὡς ἑνὸς Θεοῦ τοῦ Πατρὸς μετὰ τοῦ Υἱοῦ τε καὶ Πνεύματος, ἀχωρίστως ἐν αὐτῷ τούτων ὄντων, καὶ μιᾷ δυνάμει καὶ ἐνεργείᾳ συνεχόντων τὸ πᾶν, ὡς εἴρηται. Ἰησοῦν Χριστὸν δὲ **296** φησι τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, διὰ τὸ σαρκωθῆναι ἀληθῶς ἐκ Παρθένου τὸν τοῦ Θεοῦ Λόγον, καὶ Ἰησοῦν κληθῆναι, καὶ Χριστὸν ἀνακηρυχθῆναι. Ἐνανθρωπήσας γὰρ, μετὰ τῆς σαρκὸς ἀδιαίρετος ἔμεινε. B Τὸν Υἱὸν οὖν τοῦ Θεοῦ τὸν μονογενῆ Ἰησοῦν Χριστὸν λέγει, ὡς τὸν αὐτὸν Θεὸν ὄντα, καὶ ἄνθρωπον γεγονότα· μονογενῆ δὲ, διὰ τὸ μόνον ἐκ μόνου τοῦ Πατρὸς τοῦτον εἶναι γεννητῶς. Ὃ καὶ διερμηνεύουσα λέγει·

A tur, quia non multi sed *unus* Dei Filius est, tum *Dominum*, quia Dominus omnium est et naturæ consortium habet. Sic et Pater vocatur Dominus, tanquam Pater Deus semper exsistens et vocatus, et Filius similiter Deus vocatur et est: *Et Deus erat Verbum*, inquit Evangelium. Et dilectus de Filio dicit: *Hic est verus Deus*, non quasi duo sint dii, absit! sed quod sit unus Deus Pater cum Filio et Spiritu, inseparabiliter in eo existentibus et una potestate et efficacia omnia, ut dictum est, continentibus. Jesum Christum ait Filium Dei unigenitum, quia vere e Maria Virgine incarnatum est Dei Verbum, atque Jesus vocatus est, et Christus celebratus. Hominis enim naturam qui assumpsit, B cum carne indivisus mansit. Dei ergo unigenitum Filium Jesum Christum dicit, scilicet eumdem Deum exsistentem et hominem factum. Unigenitum vero quia solus e solo Patre per generationem est, quod interpretans dicit:

Τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

Οὐ γὰρ ἄλλοθέν ἐστιν, ἀλλ' ἐκ τοῦ Πατρὸς, καὶ οὐ κατὰ τοὺς ἀθέους, ἢ ἐκ θεῶν μητέρων, ἢ γυναικῶν ἀθέων, ὡς ταῦτα δαίμονες τοῖς πλανωμένοις περὶ ψευδῶν τινων προὔλεγον, εἰς ἀθέτησιν τοῦ Μονογενοῦς, καὶ τῆς αὐτοῦ οἰκονομίας ἄρνησιν, ἀλλ' ἐκ τοῦ ἀεὶ ζῶντος καὶ μόνου Θεοῦ Πατρὸς μόνος Υἱός. C

Ex Patre genitum ante omnia sæcula.

Non enim aliunde, sed e Patre; nec secundum atheos ex deabus, aut mulieribus non deabus, sicut errantes dæmonia in fabulis quibusdam olim docebant, in contemptum Unigeniti ejusque œconomiæ negationem: sed semper viventis solius Dei Patris solus Filius.

Τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

Οὐ γὰρ ὑστερογενὴς τοῦ Πατρὸς, ἵνα μὴ καὶ οὐκ ὤν ποτε Πατὴρ ὑπονοηθῇ ὁ Πατὴρ, καὶ ἀτελὴς διὰ τοῦτο, ἢ ὁ Υἱὸς μὴ ὅλος ὤν ποτε Υἱὸς, ἀτελὴς ὢν καὶ αὐτὸς, ἀλλ' ὡς τέλειος ὁ Πατὴρ· καὶ γὰρ ἀεὶ ὢν ἐστι Πατὴρ, καὶ ὁ Υἱὸς τέλειος ἀεὶ ὢν Υἱός. Διὰ τοῦτο πρὸ τῶν αἰώνων· αὐτὸς γὰρ καὶ τοὺς αἰῶνας ἐποίησεν. Υἱὸν οὖν ὄντα τε καὶ καλούμενον, ἵνα μὴ κατὰ πάθος τις αὐτὸν ὑπολάβῃ τίκτεσθαι,

Ex Patre genitum ante omnia sæcula.

Non posteriori momento e Patre genitus, ne suspicandi locus adsit quod aliquando Pater non fuerit Pater, ideo imperfectus, aut Filius non totus semper fuerit Filius, imperfectus et ipse; sed tanquam perfectus Pater, scilicet semper exsistens Pater est, et Filius perfectus semper Filius. Propterea ante sæcula, quippe qui sæcula fecit. Filium igitur exsistentem et vocatum, ne secundum libidinem generari quis eum arbitretur,

Φῶς ἐκ φωτός

Ἡ Ἐκκλησία φησίν. Εἰ γὰρ ἐξ ἡλίου ἀκτὶς ἀχωρίστως καὶ ἀπαθῶς, καὶ ἀπαύγασμα ἐκ πυρὸς, καὶ ἐκ τοῦ ἡμετέρου νοῦ ὁ ἐνδιάθετος λόγος· πολλῷ μᾶλλον ὁ τοῦ νοῦ καὶ τοῦ ἡλίου Θεὸς, ὁ Θεὸς Λόγος ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀδιαιρέτως καὶ ἀπαθῶς. Διὸ τοῦτον φῶς ἐκ φωτὸς, τὸ ἱερόν φησι Σύμβολον, καὶ ἔτι

Lumen de lumine,

D Ait Ecclesia: si enim e sole radius inseparabiliter et sine libidine, et fulgor ex igne, et e mente nostra naturale verbum, multo magis mentis et solis Deus, Deus Verbum e Deo Patre inseparabiliter et absque libidine: ideo illum vocat Lumen de lumine sanctum symbolum, et deinde:

Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ,

Ὡς ἐν ἀρχῇ ὄντα τὸν τοῦ Θεοῦ Λόγον, καὶ πρὸς τὸν Θεὸν ὄντα, καὶ Θεὸν ὄντα, καὶ ἐν ἀρχῇ ὄντα πρὸς τὸν Θεὸν, καὶ τὴν αὐτὴν οὐσίαν, δόξαν τε καὶ δύναμιν κεκτημένον τοῦ Πατρὸς, καὶ οὐ κεχωρισμένον αὐτοῦ, οὐδὲ ἰδίᾳ κινούμενον, ἀλλ' ἐν τῷ Πατρὶ ὄντα, καὶ ἀεὶ ὄντα, καὶ σὺν αὐτῷ ἐνεργοῦντα, καὶ μηδὲν ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσαπερ ἂν ἐθέλοι ὁ Πατὴρ

Deum verum de Deo vero,

Tanquam in principio exsistens Dei Verbum, et apud Deum, et Deum exsistens et in principio exsistens apud Deum, eamdem essentiam, gloriam et potestatem quam Patrem habens, nec ab eo separatum, nec seorsum agitatum, sed in Patre exsistens, et semper et cum ipso operans, et nihil sine ipso; sed quæcunque vult Pater faciens, siquidem una

voluntas et Patris et Filii, sicut divinitas et potentia eorum una. Unde et

Genitum, non factum.

Quod non ut creatio creatum est, sed genitum ejusdem naturæ perfectum Verbum; nec tantum non est creatura, sed etiam universorum cum Patre et Spiritu factor est. Scriptum est enim, *Qui omnia fecisti in Verbo tuo; et sine ipso factum est nihil quod factum est.* Et Paulus: *Per quem fecit et sæcula.* Mox addidit, *Consubstantialem Patri.* qua unica voce omnem dejicit non tantum Arii, sed et omnium irreligiosorum blasphemiam ac impietatem, quod e Scripturis deductum statuit. Lumen enim Pater, lumen Filius nominatur et splendor gloriæ, Filiusque verus, quæ consubstantialitatem stabiliunt. Namque non alia luminis et luminis natura, aut luminis splendoris, aut Patris et Filii.

Consubstantialem Patri.

Si ergo unus Deus, Pater vero ipse, consubstantialis sane Pater, et unius Filii, unigeniti scilicet. Unde merito consubstantialis Filius et vere Deus, nec ex alia substantia. Quomodo enim Filius erit si ex alia substantia aut essentia? Atque si Deus perfectus Pater, et absque libidine e seipso generans, hoc Verbum gignit, vivam sapientiam suam, quomodo non consubstantialis Filius gignenti Patri? Vere ergo consubstantialis, et sic Patres docent. Et postea sequitur:

Per quem omnia facta sunt.

Sicut creans et vivens Verbum: si enim eadem ac Patris natura, et vere semper in Patre, per ipsum omnia. *Omnia* enim, ait David, *in sapientia fecisti.* Et Parabolarum scriptor: *Deus sapientia fundavit terram.* Et in Sapientia adhuc Salomon ait, ut antea scriptum est: *Qui fecisti omnia Verbo tuo, et sapientia tua constituisti hominem.* Et Evangelista: *Omnia per ipsum facta sunt*, inquit, *et sine ipso factum est nihil quod factum est.* Et Paulus: *Per quem fecit et sæcula*, et plura alia de eo sunt in divina Scriptura. Hæc ergo de Verbi quod est ante sæcula generatione, quæ merito pronuntians Ecclesia, et de ejus œconomia humanæque naturæ assumptione hæc statuit. Sed pietatis veram vide doctrinam et scientiam: Verbi generationem quidem ante sæcula, absque qualibet causa confitetur: secundum naturam enim e Patre Filius, nec propter quemquam generatus; ideo: *In principio erat Verbum*, scriptum est; et: *Quod erat ab initio*; et, *Qui erat splendor gloriæ et character substantiæ ejus.* Verum de Verbo naturam humanam assumente, cum ultimo factum est illud et tempus habuit, novissimis temporibus effectum et propter nostram salutem; hoc divinum docet symbolum et dicit:

A πράττοντα· ἐπεὶ μία θέλησις Πατρός τε καὶ Υἱοῦ, ὡς καὶ ἡ θεότης καὶ δύναμις τούτων μία. Ὅθεν καὶ τὸ,

Γεννηθέντα, οὐ ποιηθέντα.

Οὐδὲ γὰρ ὡς ἡ κτίσις δεδημιούργηται. Γεγέννηται δὲ συμφυὴς τελῶν Λόγος. Καὶ οὐ μόνον οὐκ ἔστι ποίημα, ἀλλὰ καὶ τῶν ὅλων ποιητὴς σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι. *Ὁ ποιήσας* γὰρ, φησὶ, *τὰ πάντα ἐν Λόγῳ σου· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονε.* Καὶ ὁ Παῦλος, *Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.* Εἶτα ἐπάγει, *Ὁμοούσιον τῷ Πατρί·* καὶ τῇ μιᾷ ταύτῃ ῥήσει πᾶσαν καταβάλλει οὐ μόνον Ἀρείου, ἀλλὰ καὶ δυσσεβούντων ἁπάντων βλασφημίαν τε καὶ ἀσέβειαν. Καὶ τίθησι τοῦτο συνάγων ἐκ τῶν Γραφῶν. Φῶς γὰρ ὁ Πατὴρ, καὶ φῶς ὁ Υἱὸς
B ὀνομάζεται, καὶ ἀπαύγασμα τῆς δόξης, καὶ Υἱὸς ἀληθινὸς, ἅτινα δὴ τὸ ὁμοούσιον παριστᾷ. Οὐ γὰρ ἄλλη φύσις φωτὸς καὶ φωτὸς, ἢ φωτὸς ἀπαυγάσματος, ἢ Πατρός τε καὶ Υἱοῦ.

Ὁμοούσιον τῷ Πατρί.

Εἰ οὖν εἷς ὁ Θεὸς, Πατὴρ δὲ αὐτὸς, ὁμοουσίου ἄρα Πατὴρ καὶ ἑνὸς Υἱοῦ· μονογενοῦς γάρ. Ὅθεν ὁμοούσιος δικαίως ὁ Υἱὸς, καὶ Θεὸς ἀληθῶς, καὶ οὐκ ἐξ ἑτέρας οὐσίας. Πῶς γὰρ ἔσται Υἱὸς, εἰ ἐξ ἄλλης ὑποστάσεως ἢ οὐσίας; καὶ εἰ τέλειος ὁ Θεὸς Πατὴρ ὢν, καὶ ἀπαθῶς γεννῶν ἐξ αὐτοῦ, γεννᾷ δὲ τοῦτον τὸν Λόγον τὴν ζῶσαν σοφίαν ἑαυτοῦ· πῶς οὐχ ὁμοούσιος ὁ Υἱὸς τῷ γεγεννηκότι Πατρί; Ὁμοούσιος οὖν ἀληθῶς. Καὶ οἱ Πατέρες οὕτω φασί. Καὶ ἔτι ἀκολούθως·

297 *Δι' οὗ τὰ πάντα ἐγένετο.*

C Ὡς δημιουργοῦ καὶ ζῶντος Λόγου. Εἰ γὰρ συμφυὴς οὗτος τῷ Πατρὶ, καὶ ἀεὶ ἐν τῷ Πατρὶ ἀληθῶς, δι' αὐτοῦ τὰ πάντα. *Πάντα* γὰρ, φησὶν ὁ Δαβὶδ, *ἐν σοφίᾳ ἐποίησας.* Καὶ ὁ Παροιμιαστὴς δὲ, *Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν.* Καὶ ἐν τῇ Σοφίᾳ πάλιν ὁ Σολομῶν φησιν, ὡς προγέγραπται· *Ὁ ποιήσας τὰ πάντα ἐν Λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον.* Καὶ ὁ Εὐαγγελιστὴς, *Πάντα δι' αὐτοῦ ἐγένετο*, φάσκει, *καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε.* Καὶ ὁ Παῦλος· *Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε.* Καὶ πλεῖστα ἄλλα τούτου γε χάριν τῆς θείας εἰσὶ Γραφῆς. Ταῦτα μὲν οὖν περὶ τῆς προαιωνίου τοῦ Λόγου γεννήσεως· ἃ καὶ ὀρθῶς ἐκθεμένη ἡ Ἐκκλησία, καὶ περὶ τῆς
D οἰκονομίας αὐτοῦ καὶ ἐνανθρωπήσεως ταῦτα τίθησιν. Ἀλλ' ὅρα τὴν τῆς εὐσεβείας ἀληθῆ παράδοσίν τε καὶ γνῶσιν. Τὴν μὲν γὰρ τοῦ Λόγου προαιώνιον γέννησιν δίχα τινὸς αἰτίας ὁμολογεῖ. Κατὰ φύσιν γὰρ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, καὶ οὐ χάριν τινὸς γεγεννημένος. Διὸ καὶ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, γέγραπται. Καὶ τὸ, *Ὃς ἦν ἀπ' ἀρχῆς.* Καὶ τὸ, *Ὃς ἦν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.* Ἐπὶ δὲ τῇ τοῦ Λόγου ἐνανθρωπήσει, ἐπείπερ ὕστερον αὕτη γέγονε, καὶ χρόνον ἔσχεν, ἐπ' ἐσχάτων τῶν αἰώνων πραχθεῖσα, καὶ αἰτίαν τὴν σωτηρίαν ἡμῶν, τοῦτο καὶ τὸ θεῖον διδάσκει Σύμβολον, καί φησι·

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν.

Ὅρα μυστήριον θαυμαστὸν, καὶ οὐ θαυμαστὸν αὖθις διὰ τὸ τῆς θείας δυνάμεως ἄπειρον. Τὸ μὲν γὰρ τοσοῦτον συγκαταβῆναι τὸν Θεὸν Λόγον, ὡς ἀνθρωπίνῳ ἑνωθῆναι μετὰ ψυχῆς φυράματι, ἐπέκεινα νοῦ παντός· τὸ δ' αὐτὸν δυνηθῆναι τοῦτο διενεργῆσαι οὐ θαυμαστὸν καὶ ἀδύνατον, παντοδύναμος γάρ· καὶ οὐχ ἠλλοίωτο τῇ Θεότητι, οὐδέ τινα σπῖλον ἔσχεν ἑνωθεὶς τῷ ἀνθρώπῳ· μᾶλλον δὲ ἦν ἁγιάζων τὸν ἄνθρωπον. Ἄνθρωπος δὲ τῷ ὁρωμένῳ τούτῳ κόσμῳ, τὸ τιμιώτατον, ζῶον λογικὸν, ψυχὴν νοερὰν κεκτημένος, καὶ νοῦν μὲν πρὸς κατανόησιν, λόγον δὲ πρὸς δοξολογίαν ἔχων Θεοῦ, ἀπεικόνισμά τε τοῦ θείου κάλλους τελῶν· δι' ὃν καὶ τὸν κόσμον γεγονέναι πᾶσίν ἐστιν ᾀδόμενον. Εἰ οὖν ἐν τῷ οὐρανῷ κατοικεῖν λέγεται τὸν Θεὸν, καὶ ἐν τοῖς πᾶσιν εἶναι, καὶ τὰ πάντα πληροῦν, τί θαυμαστὸν, εἰ καὶ ἀνθρώπινον μετὰ ψυχῆς προσείληφε σῶμα, καὶ ἐνοικεῖ τούτῳ, καὶ ἀχωρίστως ἴδιον ἔχει ἐν αὐτῷ μὴ περιγραφόμενος, ὥς τις ἔφη τῶν θεηγόρων, καὶ τοῦτο ναὸν ἐποίησεν ἑαυτῷ, καὶ ἀδιαίρετον σκήνωμα; Εἰ γὰρ ἐν ἁγίοις ἐπαναπαύεσθαι λέγεται, καὶ, *Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω*, γέγραπται, ἀνθρώποις ἁγίοις, φθορᾷ μὲν καὶ ἁμαρτίᾳ συστᾶσι, μόνον δὲ καθαρθεῖσι μικρόν τισιν ἀρεταῖς, καὶ σκηνώματα Θεοῦ ἀγαπητὰ, καὶ ἅγια ἁγίων τὰ τοῦ νόμου ἐκεῖνα χειροποίητα καὶ ἄψυχα λέλεκται, καὶ ὁ ὑπὸ Σολομῶντος κτισθεὶς ἅγιος οἶκος, καὶ ναὸς τῷ Κυρίῳ· πολλῷ μᾶλλον τὸ Κυριακὸν σῶμα, ἐν αὐτῷ κτισθὲν καὶ συστὰν θείῳ Πνεύματι χωρὶς ἁμαρτίας, ὃ καὶ Θεωθὲν τῇ ἑνώσει τὰ πάντα καθαγιάζει ναὸς τελῶν αὐτῷ ἅγιος καὶ ἔμψυχος καὶ ἀχώριστος. Ἀλλὰ μὴν οὐδὲ διὰ τὸ τοῦ οὐρανοῦ μέγεθος λέγεται τὸν Θεὸν οἰκεῖν ἐν τῷ οὐρανῷ· σῶμα γὰρ ὁ οὐρανός· ὁ Θεὸς δὲ ἀσώματος. Εἰ δὲ καὶ ὑπὲρ τὸ πᾶν ὁ Θεὸς, καὶ πρὸ τοῦ γενέσθαι τὸν οὐρανὸν καὶ τὰ ὑπὸ τὸν οὐρανὸν, προαιωνίως ἦν ὁ Θεός· τίς ἄρα λόγος τοῖς λέγουσι, Πῶς ὁ Θεὸς ἐσαρκώθη; ἢ πῶς ἐστι μετὰ σώματος; Καὶ σεσωματωμένος γὰρ ὀφθεὶς, τὴν ἀϋλίαν ἑαυτοῦ φέρει· καὶ τῷ μὲν σώματι ἐν τόπῳ, τῇ θεότητι δὲ τὸ πᾶν συνέχων ἐστὶ, καὶ ὑπὲρ τὸ πᾶν εὑρισκόμενος· καὶ διὰ τοῦ παναγίου δὲ οὗ προσείληφε σώματος, ὡς ἀπὸ πηγῆς, ταῖς τῆς θεότητος αὐτοῦ ἐνεργείαις καὶ δωρεαῖς τὸ πᾶν ἁγιάζει· καὶ ὅνπερ πρώην **298** οὐκ ἴσχυον ὁρᾷν ἄγγελοι, πῶς γὰρ ἂν ἑώρων τὸν ὑπὲρ τὴν φύσιν αὐτῶν; τοῦτον νῦν ὁρῶσι τῷ θείῳ σώματι· καὶ συγγενῶς μᾶλλον τῇ ἀΰλῳ καὶ θείᾳ τούτου κοινωνοῦσι ψυχῇ, καὶ τῶν χαρίτων μετέχουσι. Τοῦτο δὲ καὶ τοῖς ἀνθρώποις ἡμῖν συνέβη· ὃν γὰρ ἐπεθύμουν πρότερον ἰδεῖν προφῆται, καὶ οὐ τὴν ἐπιθυμίαν ἀκατάπαυστον εἶχον, καὶ τοῦτο δέησις αὐτοῖς καὶ παράκλησις, τὸ ἐν ὀνείροις, ἢ εἰκόσι τισὶ ποσῶς αὐτὸν κατιδεῖν. Καὶ τοῦτο δὲ Μωϋσῆς δείκνυσι προσευχόμενος καὶ ζητῶν, καὶ Ἰεζεκιὴλ, καὶ Ἡσαΐας, καὶ Δανιὴλ, πολλοί τε τῶν προφητῶν ἄλλοι, μέγα τι νομίζοντες ἦσαν, τὸ ὀπτασίας τινὸς δι' ἀμυδρῶν τινων αἰνιγμάτων καταξιωθῆναι Θεοῦ. Τοῦτον, ὦ πολ-

A *Qui propter nos homines et propter nostram salutem descendit de cœlis.*

Vide mirabile mysterium, nec de novo mirum propter divinæ potentiæ inexpertum: tum enim adeo exinanivisse se Deum Verbum ut limo unitum sit humano cum anima, quod superat omnem intellectum; tum eum id facere potuisse, nec mirum nec impossibile ei qui omnia potest. Nec a Deitate mutatus est nec ullam maculam admisit ex humanæ naturæ assumptione, imo hominem sanctificabat. Homo vero huic visibili mundo, honore maximus, animal rationale, anima intelligenti præditus, mentem quidem ad scientiam, rationem vero ad laudem habens Dei, cujus pulchritudinis B similitudinem præ se fert, propter quem et orbem universum factum esse ab omnibus celebratur. Si igitur in cœlis habitare dicitur Deus, in omnibus esse, et cuncta adimplere, quid mirum si etiam humanum cum anima corpus assumpsit, in eoque habitat, et inseparabiliter proprium tenet in eo non circumscriptus? sicut Dei laudator quidam dixit, quod templum fecit sibi individuumque tabernaculum, qui in sanctis mansionem facere dicitur: *Et inhabitabo in illis et ambulabo*, scribitur: hominibus sanctis, corruptione quidem et peccato refertis, tantum vero aliquibus paululum virtutibus expiatis. Et tabernacula Dei amabilia, et sanctorum sancta, legis illa hominum manuum opera et inanimata dicta sunt, et a Salomone condita sancta domus, et templum Domino; multo C magis Dominicum corpus, in eo creatum et divino Spiritu coagulatum absque peccato, quod a Deo adunatione omnia consecrat, templum perfectum ipsi sanctum et animatum et individuum. Sed sane non propter cœli magnitudinem dicitur Deus in cœlo habitare, quod corpus est, Deus vero incorporeus. Si autem super omnia Deus, et ante cœli et omnium quæ sub cœlo sunt fabricationem, ante sæcula erat Deus, quis sermo dicentium: Quomodo incarnatus est Deus, aut quomodo cum corpore est? Incarnatus enim qui visus est, immaterialitatem suam fert, et corpore in loco, divinitate autem omnia continens est et super omnia inventus; et per sanctissimum quod assumpsit corpus, sicut a fonte, D divinitatis suæ efficacia donisque omnia sanctificat, et quem nudiustertius videre non valebant angeli, (quomodo enim illum qui supra eorum naturam est vidissent?) illum nunc in divino vident corpore et affinius immateriali divinæque illius consociantur animæ, et gratiarum participes fiunt. Quod et hominibus nobis evenit; quem enim prius videre exoptabant prophetæ et desiderio incessante persequebantur, quod ipsorum oratio et invocatio, in somnis vel imaginibus quibusdam quolibet modo videre; quod Moyses noscitur supplicans et quærens; et Ezechiel, Isaias, Daniel aliique plurimi prophetæ magnum quid arbitrabantur visione qualibet per obscura quædam ænigmata Dei dignari.

illum, o maximam philanthropiam et bonitatem supra modum! illum nobiscum habere possimus et quasi fratrem videre, societatem cum eo habentes; apud nos hominem perfectum factum, perfectus qui Deus remanet, dignamur cognoscere quem corpore videmus, cujus tamen nobis invisibilis divinitas. Hæc exinanitio propter alia quidem admirabilia et propter id, ut invisibilem per carnem videamus; siquidem Deum nemo vidit unquam; per divinissimam tamen et sanctissimam assumptionem fratres ei sumus; itaque oculis nostris eum vidimus, ut ait dilectus apostolus, et participationem societatemque cum ipso quando volumus habemus, vere eum cernentes; qui in terris visus est et cum hominibus conversatus est; et in altissimis sedentem post haac assumptionem oculis nostris iterum aspicere speramus, unum cum eo esse et gloriæ ejus societate frui, per ejus misericordiam, prout Patrem pro nobis oravit. Illud ergo sanctum confirmans symbolum post Verbi ante omne principium generationem, et in novissimis temporibus incarnationem dicit:

Qui propter nos homines.

Nos enim erecturus venit lapsos, non angelos, quorum si quidam ceciderunt, insanabilis ipsis casus sua sponte jacentibus et mala velle studentibus, atque nobis malitiæ stimulatoribus effectis. Angeli autem e Verbi propter nos œconomia maximum et ipsi lucrati bonum, ad amorem Dei et societatem, majorem nacti exaltationem, de salute nostra lætantur. Itaque nobis etiam servientes festinant, et gaudent. Salvati vero omnino et erecti nos soli. Ideo dicit:

Et propter nostram salutem.

Nam qui perieruut, nos sumus, et salus nobis, expulsos et enecatos rursus ad Deum reduci, et vitam in nobis habere Deum, et per ipsam renovari nos et vivere, quare et pervenit usque ad nos vita; quod et Ecclesia celebrat, dicens:

Descendit de cælis.

Non localiter, sed exinanitione: non in loco, cui non corpus; omnium creator omnia replet, sicut scriptum est. Consilium cepisse igitur et voluisse, descensionem dicit, sed etiam humiliter abjectum et carne hominis filium fieri, in mundoque nimis tenuem esse et in egestate.

Et incarnatus est.

Vere enim totam nostram assumpsit naturam, tantum absque peccato, sicut et ab initio innocentem plasmavit et sine viri connubio. Ita enim de terra ab initio Adam plasmavit. Incarnatum igitur dicit, non phantastice visum, quod impii quidam asserunt. Si enim phantastice visus, vana est œconomiæ tota ratio, nec animarum, nec corporum nostrorum reparatio, sed nec in Virgine conceptus

A λῆς τῆς φιλανθρωπίας καὶ ὑπερβαλλούσης τῆς ἀγαθότητος! ἵνα δυνηθῶμεν ἔχειν μεθ' ἡμῶν, καὶ συγγενῶς ὁρᾷν καὶ κοινωνίας μετέχειν, καθ' ἡμᾶς γενόμενον ἄνθρωπον τέλειον, μένοντα τέλειον Θεὸν, ἠξιώθημεν γνῶναι· ὃν καὶ εἴδομεν τῷ σώματι, καὶ πάλιν αὐτοῦ ἀθεώρητος ἡμῖν ἡ θεότης. Καὶ ἡ συγκατάβασις αὕτη, καὶ δι' ἄλλα μὲν θαυμαστὰ, καὶ διὰ τοῦτο δὲ, ἵνα τὸν ἀθεώρητον διὰ σαρκὸς ἴδωμεν· ἐπεὶ Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Διὰ δὲ τοῦ θειοτάτου καὶ παναγίου προσλήμματος συγγενῶς ἔχομεν νῦν πρὸς αὐτόν. Διὸ καὶ ἑωράκαμεν αὐτὸν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὡς ὁ ἠγαπημένος φησί· καὶ μετέχειν αὐτοῦ καὶ κοινωνεῖν ἔχομεν, ὁπότε βουλοίμεθα. Καὶ ἀληθῶς εἴδομεν αὐτόν· ἐπὶ τῆς γῆς γὰρ ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καὶ καθήμενον B μετὰ τοῦ προσλήμματος ἄνω αὐτόθι πάλιν ἰδεῖν ἐλπίζομεν, καὶ ἓν εἶναι μετ' αὐτοῦ, καὶ κοινωνεῖν τῆς δόξης αὐτῷ, ἐλέει αὐτοῦ, ὡς πρὸς τὸν Πατέρα ὑπὲρ ἡμῶν προσηύξατο. Τοῦτο οὖν καὶ τὸ θεῖον Σύμβολον βεβαιοῦν μετὰ τὴν προάναρχον τοῦ Λόγου γέννησιν, καὶ τὴν ἐπ' ἐσχάτων σάρκωσιν, λέγει·

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους.

Ἡμᾶς γὰρ ἦλθεν ἀναστῆσαι πεπτωκότας, οὐ τοὺς ἀγγέλους· εἰ γὰρ καὶ παραπεπτώκασι τούτων τινὲς, ἀλλὰ τὸ πτῶμα τούτοις ἐστὶν ἀθεράπευτον, ἑκοντὶ κειμένοις, καὶ ἐθελοκακεῖν σπεύδουσι, καὶ ἡμῖν προξένοις κακίας γινομένοις. Ἄγγελοι δὲ ἐκ μὲν τῆς ὑπὲρ ἡμῶν οἰκονομίας τοῦ Λόγου τὴν μεγίστην C ἐσχηκότες καὶ οὗτοι ὠφέλειαν, πρὸς ἀγάπησιν τοῦ Θεοῦ καὶ ἕνωσιν, ἀνάβασιν μείζονα εὑρηκότες τῇ ἡμῶν σωτηρίᾳ εὐφραίνονται· διὸ καὶ ταῖς ὑπὲρ ἡμῶν διακονίαις σπεύδουσί τε καὶ χαίρουσιν· οἱ σεσωσμένοι δὲ ὁλοτελῶς καὶ ἀνεγηγερμένοι μόνοι ἡμεῖς. Διὸ καί φησι·

Καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν.

Οἱ γὰρ ἀπολωλότες ἡμεῖς· καὶ σωτηρία ἡμῖν τὸ, ἀπωσθέντας καὶ νεκρωθέντας, ἐπαναχθῆναι πάλιν τῷ Θεῷ, καὶ τὴν ζωὴν σχεῖν ἐν ἑαυτοῖς τὸν Θεὸν, καὶ δι' αὐτῆς ἀνακαινισθῆναι καὶ ζῆσαι· διὸ καὶ κατῆλθε μέχρις ἡμῶν ἡ ζωή. Ὃ καὶ Ἐκκλησία κηρύττει, λέγουσα·

Κατελθόντα ἐκ τῶν οὐρανῶν.

Οὐ τοπικῶς, συγκαταβατικῶς δέ· οὐ γὰρ ἐν τόπῳ, D ἐπεὶ οὐ σῶμα, καὶ τῶν ὅλων ὢν ποιητὴς, πάντα πληροῖ, καθὰ γέγραπται· τὸ βουληθῆναι οὖν καὶ θελῆσαι λέγει κατάβασιν· ἀλλὰ καὶ τὸ ταπεινωθῆναι τοσοῦτον, καὶ υἱὸν ἀνθρώπου γενέσθαι σαρκὶ, ἐμπολιτευθῆναί τε τῷ κόσμῳ μετρίως ἄγαν καὶ πενιχρῶς.

Καὶ σαρκωθέντα.

Ἀληθῶς γὰρ τὴν ὅλην ἡμῶν ἔλαβε φύσιν, μόνον ἁμαρτίας χωρὶς, ὡς καὶ ἐξ ἀρχῆς ἀναμάρτητον ἔπλασε καὶ χωρὶς ἀνδρὸς συναφείας· ἐπεὶ καὶ ἀπὸ γῆς οὕτως ἀρχῆθεν ἔπλασε τὸν Ἀδάμ. Σαρκωθέντα οὖν φησιν, οὐ κατὰ φαντασίαν ὀφθέντα. Καὶ τοῦτο γὰρ τῶν ἀσεβούντων τινές φασιν. Εἰ γὰρ φαντασίᾳ ὤφθη, τὸ πᾶν τῆς οἰκονομίας κενόν· καὶ οὔτε ταῖς ψυχαῖς, οὔτε τοῖς σώμασιν ἡμῶν ἡ ἀνάπλασις. Ἀλλ'

οὐδ' ἐν τῇ Παρθένῳ συνελήφθη **299** ἄν, ἢ ἐτέχθη, ἢ ὑπὲρ ἡμῶν ἔπαθεν, ἢ θανὼν ἐξανέστη. Εἰ κατὰ φαντασίαν σεσάρκωται, πῶς ἂν οἱ τὸν θάνατον εἰληφότες ἡμεῖς πρότεροι τῇ παρακοῇ, δι' αὐτοῦ ἀνεζήσαμεν; Ἀλλ' ἀπόλοιντο οἱ οὕτω φρονοῦντες. Τοῦ ἀπαρχῆς γὰρ πατρὸς τοῦ ψεύδους τελοῦντες υἱοὶ, καὶ τὰ ψευδῆ ληροῦσι καὶ ὄντως μὴ ὄντα φάσματα. Ὁ τοῦ Θεοῦ δὲ Λόγος ἀλήθεια ὢν, ἀληθείᾳ πάντα ποιεῖ· καὶ ὡς ἐκ μὴ ὄντων οὐρανὸν πεποιηκὼς καὶ γῆν, ἀληθείᾳ ταῦτά εἰσι, καὶ τὸν ἄνθρωπον πλάσας ἐξ ἀρχῆς, ἀληθείᾳ καὶ οὗτός ἐστιν, οὕτω καὶ ἀναπλάττων αὐτὸν ἀληθείᾳ καὶ αὐτὸς σεσάρκωται, καὶ δίχα σπορᾶς ἀληθῶς συνελήφθη ἐν τῇ Παρθένῳ, καὶ ἐτέχθη παναληθῶς, μενούσης ταύτης παρθένου· ἐπεὶ καὶ ἀληθείᾳ παρθένος ἦν. Καὶ οὕτω πάλιν διέμεινε, καὶ συνανεστράφη ἀνθρώποις ἀληθῶς, καὶ Θεὸς ὢν ἀληθινὸς, καὶ ἄνθρωπος ὤφθη δι' ἡμᾶς ἀληθινὸς ἐν μιᾷ ὑποστάσει, διπλοῦς ταῖς φύσεσιν ὁ αὐτὸς, καὶ τοῖς φυσικοῖς πᾶσι τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος γνωριζόμενος, διπλῶς τε θέλων καὶ ἐνεργῶν, οὐκ ἐναντιούμενος ἑαυτῷ, ἀλλὰ τῶν τῆς ἀνθρωπότητος αὐτοῦ ὑποτασσομένων αὐτοῦ τῇ θεότητι, ὅθεν καὶ ὑπὲρ ἡμῶν ὅσαπερ ἔπραξεν, ἀληθῶς καὶ σωτηριωδῶς ἔπραξε. Καὶ τοῦτο μᾶλλον τῆς αὐτοῦ φιλανθρωπίας τὸ δεῖγμα, καὶ εἰς δόξαν αὐτῷ ταῦτα τὴν ὑπερέχουσαν. Εἰ γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ ὡς ποιήματα, πόση γε ἄρα δόξα τῷ Θεῷ ὑπὲρ τῆς σωτηρίας τοῦ πλάσματος σεσωματωμένῳ, καὶ δεδωκότι τὸ σῶμα παθεῖν ὑπὲρ ἀνθρώπων, ἵνα τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν, ὡς γέγραπται; Εἶτά φησι·

est aut natus, aut propter nos passus est, aut mortuus resurrexit. Si per phantasiam incarnatus est, quomodo qui mortem prius ex inobedientia contraximus, per eum reviviscemus? Pereant qui sic opinantur, quippe qui ab initio mendacii patris perfecti filii, falsa delirant saneque inania commenta. Dei Verbum veritas est, in veritate omnia agit et quemadmodum e non exsistentibus cœlum fecit et terram, et in veritate sunt, et hominem ab initio plasmavit, et in veritate est; sic humanitatem suam plasmans, in veritate et ipse incarnatus est et absque corruptione sincere in Virgine conceptus, quem penitus vere peperit manens virgo quæ reipsa virgo erat, et sic iterum perseveravit; cum hominibus vere conversatus est Deus verus et homo, apud nos visus est verus in unica persona; quoad naturas duplex idem, et divinitatis et humanitatis naturalibus omnibus cognitus, duplex voluntate et operatione, non secum ipso pugnans, sed humanitatis ejus actibus divinitati ejus subjectis; unde quæcunque propter nos fecit, sincere et salutariter fecit; quod præcipuum ejus philanthropiæ argumentum et ad gloriam ipsi supereminentem. Si enim cœli enarrant gloriam Dei tanquam creaturæ, quæ Deo pro plasmatis salute incarnato gloria, et corpus quod pro homine pateretur danti cujus livore sanati simus, ut scriptum est? Deinde dicit:

Καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου.

Ὁ μὲν γὰρ Πατὴρ εὐδόκησε καὶ συνεδημιούργησε τῷ ἑαυτοῦ Λόγῳ τὸ σῶμα· τὸ δὲ Πνεῦμα συνυπούργησε. Μία γὰρ ἡ ἐνέργεια καὶ ἡ δύναμις τῶν τριῶν. Μόνος δὲ ὁ Λόγος σεσάρκωται, καὶ οὐχ ὁ Πατὴρ ἢ τὸ Πνεῦμα. Τοῦτο δὲ, ὡς ὁ μέγας φησὶν Ἀθανάσιος, ἵνα μένῃ ὁ Υἱὸς Υἱὸς, καὶ ὡς ἐκ τοῦ Πατρὸς Υἱὸς ἀπαθῶς ἐστι, καὶ Υἱὸς ἀληθῶς ἐκ τῆς Παρθένου γεννηθεὶς μείνῃ, Υἱὸς ἀληθινῶς καὶ ὢν καὶ καλούμενος. Τῆς σαρκώσεως αἴτια δὲ τὰ αἵματα τῆς Παρθένου. Ὡς γὰρ ἠδύνατο μὲν ἐξαρχῆς ὁ Θεὸς καὶ ἐξ ἑτέρας ὕλης δημιουργῆσαι τὸν ἄνθρωπον, οὐκ ἠθέλησε δὲ, καὶ τοῦτο δικαίως, ἵνα μὴ ἀκοινωνήτως πρὸς ταύτην ἔχων τὴν κτίσιν, οὐ δύνηται μένειν, ἢ κοινωνίαν ἔχειν ἐν αὐτῇ· οὕτω δὴ καὶ τὴν ἀνάπλασιν ποιῶν τοῦ ἀνθρώπου, οὐχ ἑτέραν ὕλην προσλαβέσθαι ἠθέλησεν, ἵνα μὴ ἡ παραπεσοῦσα φύσις ἡμῶν ἐναπομείνῃ τῷ πτώματι. Εἰ γὰρ μὴ ἀπὸ τῶν αἱμάτων τῆς Παρθένου, τῆς ἐκ τοῦ Ἀδὰμ καταγομένης, τὴν σάρκα ἦν εἰληφὼς, πῶς ἂν τὸ συγγενὲς πρὸς ἀνθρώπους εἶχεν; ἢ πῶς τὸν ἀπὸ Θεοῦ ἁγιασμὸν ἐλαμβάνομεν; ἢ πῶς ἂν ἐζωώθημεν οἱ νενεκρωμένοι, μὴ τῆς ζωῆς ἐλθούσης ἡμῖν; Διὸ, *Καὶ σαρκωθέντα*, φησὶν, *ἐκ Πνεύματος ἁγίου*. Ἀῤῥεύστως γὰρ καὶ ἀπαθῶς καὶ κατὰ σάρκα γεγέννηται θείου Πνεύματος συνεργείᾳ.

Et incarnatus est de Spiritu sancto ex Maria Virgine.

Pater bonum cogitans Verbo suo corpus creavit, Spiritus conditor una fuit. Unica enim trium energia et potestas, solum autem Verbum incarnatum est et non Pater, nec Spiritus, sicut docet magnus Athanasius, ut maneat Filius Filius, et quemadmodum e Patre sine libidine Filius est et Filius vere e Virgine genitus maneat, Filius vere qui sit et vocetur. Incarnationis autem causa, Virginis sanguis. Quemadmodum enim poterat ab initio Deus ex altera materia hominem creare nec voluit (et merito, cum qui non eamdem quam illam facturam materiam communem haberet, forte manere aut cum ipsa societatem habere nequiret) sic sane et hominis reparationem agens alteram assumere materiam noluit ne lapsa natura nostra in lapsu remaneret: quippe qui non e virginis de Adam ortæ sanguine carnem sumpsisset, quomodo cognationis communitatem cum hominibus habuerit? Aut quomodo a Deo sanctificationem acceperimus, vel mortui reviviscemus, ad quos non advenerit vita? Ideo incarnatum dicit de Spiritu sancto; ineffabiliter et absque libidine etiam secundum carnem factus est, sancti Spiritus operatione.

Καὶ Μαρίας τῆς Παρθένου.

Ὅτι ἐξ αὐτῆς καὶ σεσάρκωται καὶ γεγέννηται ἀληθῶς, ὡς Ἡσαΐας καὶ οἱ λοιποὶ τῶν προφητῶν

Ex Maria Virgine.

Quia ex ea vere incarnatus et factus est, sicut prædixerunt Isaias et reliqui prophetæ. Et similis

ejusdemque naturæ nobiscum, nec alienum assumpsit corpus.

Et homo factus est.

Illud eo quod perfecte homo factus sit, et in matrice quidem confestim perfectus fœtus conceptus, naturaliter nutritus infansque est editus: qui non naturam abolebat cujus conditionem erigebat, sicut ait magnus Athanasius, ætate crescens, nutritus, dormiens et Matri existimatoque patri subditus. Si ergo supra naturam quæ ipsius erant, sed pariter quantum licebat, probatissima secundum naturam non aversabatur et perfectio in eo erat, tum corporis, tum animæ, intelligentem habens et rationalem ipsius actionem et voluntatem. Hoc ergo, *homo factus est*, ostendit contra blasphemos dispositum, qui non animam Dominum assumpsisse contendunt, loco animæ divinitatem sufficere ineptientes, qui et irrationale insipienter suspicabantur illius sanctissimum corpus, nec animæ usu proprio fruens qua Patri subderetur; sic non perfectum hominem assumpsisset Verbum Patrique obtulisset pro completo lapso homine, sed imperfectum. Quo imprimis, juxta impios istos, fit ut pretiosissima pars nostri sanatione careat: si enim hominis pretiosius anima intelligens et rationalis, et per ipsam prius inobedientiam admisimus, ipsi enim servivit corpus, nec animam rationalem cum corpore assumpsit incarnatum Verbum, sanatione iterum indigemus, nec incorruptibilitatem accepimus, nec toti renovati sumus, quin imo nec corpore sanctificati sumus, si irrationale de nobis corpus assumptum est. Propterea fugiendi quidem qui talia delirant, nos vero quemadmodum ab initio duplices per Verbum plasmati sumus, corpus simul cum anima accipientes, et dupliciter rursum plasmati ab ipso Verbo sumus, perfectum simul cum anima corpus assumente in hominem reparandum.

Crucifixus etiam pro nobis sub Pontio Pilato.

Magnum mysterium de quo multis indissolubilis quæstio, et magis quam quomodo Deus cum sit, incarnari sustinuerit. Sit, fatentur, adunatione naturam ut dicitur sanctificans, et ad ejus reparationem omnem œconomiam adhibeat prout et fecit: fieri e muliere et secundum ætatem crescere debuit egens et pedibus gradiens, exinanitione reparatum mundans nec habens ubi caput reclinaret, secundum Scripturas: quæ omnia ad reparandam naturam, siquidem mirabiliter per ea quæ stupenda fecit et sermones quos protulit, illam erexit. Sic vero pati, de hoc magis quæstionem movent, et crucis ignominiosæ tantam passionem pati! Sane Dei opus illud, et de quo stupere nihil mirum, quia mirabilia opera Domini et inscrutabiles viæ ejus. Fide hæc accipimus, non humanæ sapientiæ verbis gloriamur; ut non evacuetur crux Christi, sicut scriptum est. Sed pariter cœlestes de his sermones et incarnati crucifixique Dei opera supernaturalia

A προὔλεγον· καὶ ὅμοιον ἡμῖν καὶ ὁμοφυὲς, καὶ οὐκ ἀλλότριον εἴληφε σῶμα.

Καὶ ἐνανθρωπήσαντα.

Τοῦτο διὰ τὸ τέλειον αὐτὸν ἄνθρωπον γεγονέναι, καὶ ἐν τῇ μήτρᾳ τέλειον μὲν εὐθὺς ἀποδειχθῆναι βρέφος, τρέφεσθαι δὲ φυσικῶς, καὶ ἀποτεχθῆναι νήπιον. Οὐ γὰρ ἀνῄρει τὴν φύσιν, ἐπηνωρθοῦτο δὲ τὰ αὐτῆς, ὥς ὁ μέγας φησὶν Ἀθανάσιος, καθ' ἡλικίαν αὐξανόμενος, καὶ τρεφόμενος, καὶ ὑπνώττων, καὶ τῇ ἀληθῶς Μητρὶ καὶ τῷ δοκοῦντι πατρὶ καθυποτασσόμενος. Εἰ οὖν καὶ ὑπὲρ φύσιν τὰ κατ' αὐτὸν, ἀλλ' ὅμως, ὅσον ἐνεχώρει, τὰ ἀδιάβλητα **300** κατὰ φύσιν οὐ παρῃτεῖτο· καὶ τὸ τέλειον ἦν ἐν αὐτῷ τοῦ τε σώματος τῆς τε ψυχῆς, νοερὰν αὐτὴν ἔχων καὶ λογικὴν, αὐτεξούσιόν τε καὶ θελητικήν. Τοῦτο οὖν τὸ,
B *ἐνανθρωπήσαντα*, δηλοῖ, κατὰ τῶν βλασφήμων τεθειμένον, τῶν μὴ ψυχὴν εἰληφέναι λεγόντων τὸν Κύριον, φληναφούντων δὲ ἀντὶ ψυχῆς ἀρκεῖν αὐτῷ τὴν θεότητα· οἳ καὶ ἄλογον ὑπενόουν ἀφρόνως τὸ πανάγιον τούτου σῶμα, καὶ μὴ τῇ τῆς ψυχῆς αὐτεξουσιότητι τῷ Πατρὶ τοῦτον καθυποτάσσεσθαι, καὶ οὐδὲ τέλειον ἄνθρωπον λαβεῖν τὸν Λόγον καὶ προσενεγκεῖν τῷ Πατρὶ, ὑπὲρ τελείου παραπεπτωκότος ἀνθρώπου, ἀλλ' ἀτελῆ· ὥστε μᾶλλον εἶναι κατὰ τοὺς ἀσεβοῦντας ἐκείνους τὸ τιμιώτατον ἡμῶν ἀθεράπευτον. Εἰ γὰρ ἀνθρώπου τιμιώτερον ἡ ψυχὴ, νοερὰ τελοῦσα καὶ λογικὴ, καὶ δι' αὐτῆς πρότερον τὴν παρακοὴν ἐνηργήσαμεν, ταύτῃ γὰρ τὸ σῶμα παρηκολούθησεν, οὐ ψυχὴν δὲ νοερὰν μετὰ τοῦ σώματος εἴληφεν ὁ Λόγος σαρκωθεὶς, ἀθεράπευτοι πά-
C λιν ἡμεῖς· καὶ οὐ τὴν ἀφθαρσίαν ἐλάβομεν, οὐδ' ὅλοι ἀνεκαινίσθημεν· μᾶλλον δὲ οὐδὲ τῷ σώματι ἡγιάσθημεν, εἴπερ ἄλογον σῶμα ἐξ ἡμῶν προσελήφθη. Διὰ τοῦτο φευκτέοι μὲν οἱ ταῦτα ληροῦντες, ἡμεῖς δὲ ὥσπερ ἐξ ἀρχῆς διπλοῖ παρὰ τοῦ Λόγου ἐπλάσθημεν σῶμα ὁμοῦ λαβόντες μετὰ ψυχῆς καὶ διπλῶς ἀνεπλάσθημεν ὑπ' αὐτοῦ τοῦ Λόγου, τέλειον ἀναλαβόντος τὸν ἄνθρωπον σῶμα ὁμοῦ μετὰ ψυχῆς.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου.

Τοῦτο τὸ μέγα μυστήριον· καὶ πολλὴ τοῖς πολλοῖς ἐπὶ τούτῳ ἡ ἀπορία· καὶ πλέον, ἢ πῶς Θεὸς ὢν, ἠνέσχετο σαρκωθῆναι; Τοῦτο μὲν γάρ φασιν ἵνα τῇ ἑνώσει ἁγιάσῃ τὴν φύσιν, ὡς λέγεται, καὶ πρὸς ἐπανόρθωσιν αὐτῆς πάντα γε ἐξοικονομήσῃ, καθὰ δὴ
D καὶ διέπραξε. Τικτόμενος γὰρ ἦν ὑπὸ γυναικὸς, καὶ καθ' ἡλικίαν αὐξόμενος, πτωχεύων τε καὶ πεζοπορῶν, καθαίρων ταπεινώσει τὸν ἐπηρμένον, καὶ μὴ ἔχων ποῦ κλῖναι τὴν κεφαλὴν, ὡς γέγραπται. Ταῦτα δὲ πάντα διὰ τοῦ ἀναπλάσαι τὴν φύσιν· ἐπεὶ καὶ θαυμασίως αὐτὴν οἷς ἐνήργησε παραδόξως, καὶ λόγοις οἷς εἴρηκεν ἐπηνώρθου. Τὸ δὲ παθεῖν οὕτω, διαποροῦντες πλέον εἰσὶ, καὶ παθεῖν οὕτω πάθος τὸ διὰ σταυροῦ ἐπονείδιστον. Ἀλλ' ὄντως ταῦτα ἔργα Θεοῦ. Καὶ τὸ διαπορεῖν ἐπὶ τούτοις οὐ θαυμαστόν· ὅτι καὶ θαυμαστὰ τὰ ἔργα Κυρίου, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Καὶ ἡμεῖς πίστει ταῦτα δεχόμεθα· οὐκ ἀνθρωπίνης δὲ σοφίας λόγοις καυχώμεθα, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ, καθὰ γέγραπται.

Ἀλλ' ὅμως εἰσὶ καὶ λόγοι τούτων οὐράνιοι, καὶ πράξεις Θεοῦ τοῦ σαρκωθέντος καὶ σταυρωθέντος ὑπερφυεῖς τὴν ἀλήθειαν ἐπιμαρτυροῦσαι. Καὶ Ἕλληνες μὲν ἐπὶ τῷ σταυρῷ ἀσυνετοῦντες γελῶσιν, Ἰουδαῖοι δὲ βλασφημοῦσι, καὶ τῶν ἀθέων ἄλλοι πολλοί. Ἀλλ' αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς· ἐν τῷ σταυρῷ γὰρ Χριστοῦ, καὶ τῷ μώλωπι καὶ θανάτῳ, τὸ μεγαλεῖον αὐτοῦ φανεροῦται μᾶλλον τῆς ἰσχύος τε καὶ θεότητος. Καὶ ὅρα τί σταυρωθεὶς ἐκτετέλεκεν. Οὐ τὴν τῶν ἀσυνέτων Ἑλλήνων πλάνην πᾶσαν ἐδίωξε τῷ σταυρῷ; Οὐ τὴν ἀθεΐαν πᾶσαν ἀπήλασε; Τίς νῦν ὁ πολυθεΐαν νοσῶν; Τίς ὁ κνωδάλοις καὶ θηρίοις τὴν θείαν ἀπονέμων τιμήν; Οὐ τὴν τῶν ἔξω σοφῶν σοφίαν μωρὰν ἀπέδειξεν; οὐ σιγῆσαι τοὺς λήρους φιλοσόφων εἰργάσατο; ἁλιεῖς γὰρ τοῦ σταυρωθέντος ἀπόστολοι αὐτὸν τὸν σταυρωθέντα Θεὸν ὁμολογεῖν πάντας ἔπεισαν. Ποῦ νῦν εἰδωλεῖον; ποῦ εἴδωλον ἐναγές; ποῦ μαντεῖον; ποῦ ζώων καὶ ἀνθρώπων σφαγαί, καὶ τελεταὶ δαιμόνων ἀκάθαρτοι; ποῦ τις ἄλλη νῦν ἐν κόσμῳ τοῦ διαβόλου καὶ τῶν ἐκείνου λατρεία; Πάντα ταῦτα ἐξεῖλεν ὁ σταυρωθείς· καὶ τύπος μόνος σταυροῦ διώκει τοὺς δαίμονας, θεοὺς πρότερον νομιζομένους τοῖς Ἕλλησι. Καὶ μᾶλλον ἐν τούτῳ θαυμαστὴ τοῦ σταυρωθέντος ἡ δύναμις, ὅτι καὶ οὕτω πένης ὀφθείς, καὶ οὕτω πτωχείαν σαρκὸς ἐνδυσάμενος, καὶ τῷ κόσμῳ μέτριος φανεὶς καὶ πτωχός, καὶ κατακριθεὶς ὡς καὶ παθεῖν σταυρῷ, καὶ ἀποθανεῖν, καὶ οὕτω παρὰ τῶν μαθητῶν ἐσταυρωμένος ὁμολογούμενος καὶ καλούμενος, αὐτὸς τοιαῦτα **301** ἰσχύει, ὥστε τὸν κόσμον ἕλκειν εἰς ἑαυτὸν δίχα μαχαίρας, δίχα πολέμου, ἐξουσίας χωρίς, πλούτου, καὶ τῶν ἄλλων, ἐν οἷς κατορθοῦσιν ἄνθρωποι, οὐ τοὺς ἐκ γένους εἰς ἀγάπησιν ἐφελκόμενος μόνον, ἀλλὰ καὶ τὸν κόσμον ἅπαντα. Μωσῆς μὲν γὰρ τοὺς κατὰ γένος αὐτῷ, καὶ τούτων μέρος ὠφέλησε βραχύ· ὅτι καὶ ἄνθρωπος Μωϋσῆς, καὶ τοῦ Σωτῆρος εἰς τύπον, καὶ ὁ δοθεὶς αὐτῷ νόμος, σκιώδης καὶ ἀτελής, καὶ τοὺς ἀπὸ Ἰακὼβ πάντας οἰκονομῆσαι μὴ δυνηθείς· ὁ δὲ Χριστός, Υἱὸς ὢν Θεοῦ καὶ τῶν ὅλων Θεός, τὰ ἔθνη πάντα, καὶ γένος ἅπαν, καὶ γλῶσσαν ἅπασαν καὶ φυλὴν προσηγάγετο· καὶ ἕκαστος ἀπὸ τοῦ τόπου αὐτοῦ διὰ τῆς γλώσσης αὐτοῦ δοξάζει τὸν Θεὸν καὶ Πατέρα, ὃν οὐκ ᾔδει πρότερον, διὰ τοῦ μονογενοῦς Λόγου τοῦ σαρκὶ σταυρωθέντος καταμαθών. Τοῦτο γὰρ τὸ πανάγιον σῶμα ὡς τοῦ Θεοῦ Λόγου σῶμα, αὐτῷ ἑνωθὲν ἀδιαιρέτως τε καὶ ἀφύρτως, θεῖον ὅλον καὶ ἀναμάρτητον μόνον καὶ ἅγιον, ὂν, ὑπὲρ τῆς ὁμολογίας τοῦ Πατρὸς, καὶ τῆς ἡμῶν σωτηρίας κατακριθὲν ὑπ' ἀνθρώπων ἀποθανεῖν, ἑκουσίως ὑπὸ τοῦ λαβόντος αὐτῷ Λόγου τῷ Πατρὶ προσηνέχθη· καὶ θυσία μόνη καθαρὰ τοῦτο ὑπὲρ ἁπάντων γέγονε· καὶ θέλων ἔπαθεν ὁ Δεσπότης, τῶν πονηρῶν μὲν ἐπιδεικνυμένων τὰ ἑαυτῶν, καὶ τὰς ὕβρεις ἐπιφερόντων καὶ τὰς πληγὰς καὶ τὸν θάνατον, αὐτοῦ δὲ τοῦ Σωτῆρος τὰ αὐτοῦ ὑπὲρ ἡμῶν ἐνεργοῦντος. Ὅθεν ἐπὶ τοῦ σταυροῦ ἐκκέχυται μὲν τὸ αἷμα αὐτοῦ, τὴν δὲ γῆν, τὸν ἀέρα, καὶ πᾶσαν τὴν κτίσιν ἡγίασεν, ὡς πανάγιον αἷμα τοῦ σώματος τοῦ πανταχοῦ ὄντος Λόγου. Εὐθὺς οὖν ἐκπλυθεὶς, ἀνεμορφώθη ὁ ἄνθρωπος· καὶ ὕδωρ σὺν αἵματι ῥεύσας

A veritati testimonium perhibent. et Græci quidem de cruce insipientes rident, blasphemant vero Judæi, atheorumque alii multi; sed erubescant in vanum peccantes. Christi cruce, livore et morte amplius apparet ipsius virtutis et divinitatis magnificentia. Et vide quid perfecit crucifixus: nonne insipientium Græcorum omnem cruce fugavit errorem? nonne atheismum omnem expulit? Quis nunc multorum deorum cultui inserviens? Quis maris et sylvarum bestiis divinum offerens honorem? Nonne alienorum sapientium insanam convicit sapientiam? Nonne philosophorum ineptias tacere coegit? Piscatores crucifixi apostoli crucifixum Deum confiteri omnibus suaserunt. Ubi nunc idolorum templum? ubi idolum maledictum? ubi B oraculum? ubi animalium et hominum sacrificia et ritus dæmonum impuri? ubi nunc in orbe quævis alia diaboli et ejus operum adoratio? Cuncta hæc destruxit crucifixus et dæmones fugat sola crucis figura quos antea deos habebant Græci: In quo potissimum mira crucifixi virtus, quod sic egenus visus, carnis paupertate vestitus et mundo modestus apparens et pauper ac damnatus qui crucem mortemque pateretur, atque sic a discipulis crucifixus confessione proclamatus et vocatus, ipse tantum valeat ut orbem ad seipsum trahat, sine gladio, bello, possessionibus, divitiis aliisque in quibus prospere hominibus succedit, non suos secundum carnem in dilectionem attrahens tantum, C sed et mundum universum. Moyses quidem eodem genere ortis et horum parti cuidam operæ parum contulit, quippe qui homo erat et in Salvatoris figura, et lex ipsi data umbram habens et imperfectionem, Jacob filios in domum Dei introducere nequibat. Christus vero Dei Filius, cunctorumque Deus omnem populum et familiam et linguam et tribum introduxit, et unusquisque de loco suo per linguam suam Deum glorificat Patrem quem antea non noverat, ab unigenito Verbo in carne crucifixo doctus. Illud enim sacrosanctum corpus, utpote Dei Verbi corpus ei unitum absque divisione et confusione, totum divinum et solum innocens et sanctum pro Patris adoratione saluteque nostra ad moriendum per manus hominum damnatum, libenter D ab accipiente Verbo Patri oblatum solaque pura pro omnibus hostia factum est. Et sponte passus est Dominus; malis quæ ipsis in animo erant ostendentibus, injurias, plagas, mortem congerentibus, Salvatore vero quæ ipsum docebant pro nobis agente. Exinde in cruce fusus sanguis ejus terram, aerem et creata cuncta sanctificavit, tanquam sacrosanctus corporis ubique existentis Verbi sanguis; statim ergo ablutus innovatus est homo, et e latere aquam cum sanguine effundens Christus, illa quidem accedentem reparat, hoc vero vivificat; et omnis terra et lingua nunc Christum confitetur. Tam mira tantaque, qui mirabilia facit per crucem operatus est.

Χριστὸς ἐκ πλευρᾶς, τῷ μὲν ὕδατι τὸν προσερχόμενον ἀναπλάττει, ζωοποιεῖ δὲ τῷ αἵματι· καὶ πᾶσα ἡ γῆ, καὶ γλῶσσα πᾶσα νῦν ἐξομολογεῖται τῷ Κυρίῳ. Τοιαῦτα ὁ ποιῶν μεγάλα καὶ θαυμαστὰ διέπραξε τῷ σταυρῷ.

Et passus est.

Vere in carne passus est, impassibilis ut Verbum remanens, qui vere nec phantastice, sicut impie affirmant quidam, crucifixus est, flagellatus vibicibus contusus est, qui verum corpus habuit, ligatus est, in crucem ascendens super basim stetit, manibus expansis, quibus mediis infixi sunt clavi pedibusque; amaritudinem cum aceto gustavit et doloribus oppressus est. Sicut enim Deus perfectus et homo perfectus visus, humana natura passibilis erat, qui eo amplius passus est, quo omnium nostrum pœnas dabat, ut Dei amicus dixit quidam.

A *Καὶ παθόντα.*

Ἔπαθε γὰρ ἀληθῶς τῇ σαρκὶ, ἀπαθὴς μένων ὡς Λόγος· ἐπεὶ καὶ ἀληθῶς καὶ οὐ φαντασίᾳ, ὥς τινες ἀσεβοῦσιν, ἐσταύρωται· καὶ φραγγελωθεὶς, μεμωλώπισται· σῶμα γὰρ ἀληθῶς εἶχε· καὶ δεσμευθεὶς ἐδέδετο· καὶ ἀνάβας ἐπὶ τοῦ σταυροῦ, ἔστη ἐπὶ τῇ βάσει· καὶ ἐξεπλώθη τὰς χεῖρας· καὶ ἧλοι διήλασαν αὐτὰς μέσον, καὶ ἔτι τοὺς πόδας αὐτοῦ· καὶ ἐπικράνθη γευσάμενος ὄξους· καὶ ὠδυνήθη· καὶ γὰρ ὡς Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος ὀφθεὶς, τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑπέκειτο· καὶ ἔπασχε μᾶλλον αὐτός τι πλέον, τὸ πάντων ἡμῶν ἀποδιδοὺς ὄφλημα, ὥς τίς φησι τῶν θεοφιλῶν.

Et sepultus.

Passus et mortuus, etsi a divinitate non separatum est sanctissimum corpus, nec ipsius deposita anima, sed ab ea corporis fuit divisio; cujus mortui latus transfigitur et vitalia scaturiunt; anima ad inferos descendit inferos vastans, mortem destruens, animabus quæ ibi aderant redemptor apparuit, linteis ligatum cum myrrha ejus corpus et sepultum corruptionem non sustinuit, tanquam Deus resurgit, tertia die, ut prædixerat, corpori ejus unita anima.

Καὶ ταφέντα.

Παθὼν γὰρ καὶ ἀποθανὼν, εἰ καὶ μὴ κεχώρισται B τῇ θεότητι τοῦ παναγίου σώματος, καὶ τῆς τεθεωμένης ψυχῆς αὐτοῦ, ἀλλά γε τῇ ψυχῇ τοῦ σώματος ἐχωρίσθη. Καὶ οὕτω νενέκρωται μὲν τῷ σώματι, καὶ πλήττεται τὴν πλευρὰν, καὶ βλύζει τὰ τῆς ζωῆς, τῇ ψυχῇ δὲ εἰς τὸν ᾅδην κατέρχεται, Καὶ πορθήσας τὸν ᾅδην, καὶ ἀφανίσας τὸν θάνατον, καὶ ταῖς ἐκεῖσε ψυχαῖς ἀποδειχθεὶς λυτρωτὴς, τὸ εἱληθὲν αὐτοῦ σῶμα, καὶ σμυρνισθὲν, καὶ ταφὲν, μὴ διαφθορὰν ὑπομεῖναν, ὡς Θεὸς αὐτὸ ἐξεγείρει, τῆς θείας ψυχῆς αὐτοῦ τῇ τρίτῃ, ὡς προέφη, ἡμέρᾳ ἑνωθείσης τῷ σώματι.

Et resurrexit.

Ecce mysterii pro nobis finis omnis, naturæ nostræ reparatio, resurrectio et cum Deo societas; nec enim ad moriendum conditi, nec ad decedendum in nihilum plasmati sumus, sed qui maneamus et simus. Ideo mortales factos assumens immortalis erexit, et mortale corpus induens divinitate sua a morte liberans penitus immortales effecit, et quo Verbum incarnatum corpus reparavit, nos per ipsum reparati sumus, et quando e mundo prorsus delebitur mortale, scilicet corruptio, nos quoque viventes simul cum vivente Christo erimus.

Καὶ ἀναστάντα

Ἰδοὺ καὶ ὁ σκοπὸς ἅπας τοῦ καθ' ἡμᾶς μυστηρίου, ἡ τῆς ἡμῶν φύσεως ἀναζώωσίς τε καὶ ἔγερσις, καὶ μετὰ τοῦ Θεοῦ κοινωνία. Οὐ γὰρ εἰς τὸ C θνήσκειν ἐκτίσθημεν, οὐδὲ εἰς τὸ μὴ εἶναι χωρεῖν ἐπλάσθημεν, ἀλλὰ μένειν καὶ εἶναι, ὡς καὶ ὁ κτίσας ἡμᾶς ὢν ἐστιν ἀεὶ, εἰ καὶ ἡμεῖς **302** ἐκ τοῦ μὴ ὄντος γεγόναμεν, καὶ μένειν ἐτάχθημεν. Διὸ θνητοὺς γεγονότας, ἀναλαβὼν ὁ ἀθάνατος ἀνωρθώσατο· καὶ θνητὸν λαβὼν σῶμα, καὶ ἀπαθανατίσας τῇ οἰκείᾳ θεότητι, ὅλους ἀθανάτους εἰργάσατο. Καὶ ὅπερ ὁ Λόγος σαρκωθεὶς ἀνέστη τῷ σώματι, καὶ ἡμεῖς ἀνέστημεν δι' αὐτοῦ. Καὶ ὅτε τὸ θνητὸν πάντη ἐκ τοῦ κόσμου καταργηθείη, ἡ φθορὰ δηλονότι, καὶ ἡμεῖς ζήσαντες, ἅμα σὺν τῷ ζῶντι Χριστῷ ἐσόμεθα.

Tertia die.

In Christi resurrectione Trinitatis panditur mysterium: dierum trium ejus resurrectio, prout prædixit ipse, et factis probavit, tertia die resurgens, apparens et divinam nobis insufflans gratiam, trina dona hæc maxima nobis tribuens in tertiæ diei evigilatione, resurgere propter nos, apparere et pacem dare, et nobis Spiritus gratiam afferre. Vere igitur trium dierum Salvatoris resurrectio et Trinitatis signum: sicut per Trinitatem omnia nobis bona, et ipsa Christi incarnatio et resurrectio; nam solum caro factum est Verbum, sed bonam hanc voluntatem Pater habuit et una operatus est Spiritus, et in reliquis mysteriis idem evenit, Patre bonam voluntatem, operationem unitam habente Spiritu. Sed quia trinus lucrum habuit orbis, spiritualis sive angeli, sensibilis sive visibilia, et ex ambobus homo

Τῇ τρίτῃ ἡμέρᾳ.

Καὶ ἐν τῇ ἀναστάσει Χριστοῦ τὸ τῆς Τριάδος φανεροῦται μυστήριον. Τριήμερος γάρ ὁ τοῦ ἡ ἀνάστασις, ὡς αὐτὸς προέφη, καὶ ἔδειξεν ἔργοις, τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς καὶ ἐμφανισθεὶς, καὶ θείαν D ἡμῖν ἐμφυσήσας χάριν, καὶ τρία δῶρα ταῦτα τὰ μέγιστα ἡμῖν παρασχὼν ἐν τῇ τριημέρῳ ἐγέρσει, τὸ ἀναστῆναι ὑπὲρ ἡμῶν, τὸ ἐμφανισθῆναι καὶ τὴν εἰρήνην δοῦναι, καὶ τὸ παρασχεῖν ἡμῖν τὴν χάριν τοῦ Πνεύματος. Ἀληθῶς οὖν τριήμερος ἡ τοῦ Σωτῆρος ἀνάστασις, καὶ τῆς Τριάδος σημαντικὴ, ἐπεὶ καὶ διὰ τῆς Τριάδος τὰ πάντα ἡμῖν ἀγαθὰ, καὶ αὐτὴ ἡ τοῦ Χριστοῦ σάρκωσις καὶ ἀνάστασις. Εἰ γὰρ καὶ ὁ Λόγος σὰρξ ἐγένετο μόνος, ἀλλὰ καὶ ὁ Πατὴρ ηὐδόκησε, καὶ τὸ Πνεῦμα συνήργησε. Καὶ ἐν τοῖς λοιποῖς δὲ μυστηρίοις οὕτω συνέβαινε, τοῦ Πατρὸς εὐδοκοῦντος, καὶ τοῦ Πνεύματος συνεργοῦντος. Ἀλλὰ

καὶ ὅτι ὁ τριττὸς ὠφελήθη κόσμος, ὁ νοητὸς ἤτοι A οἱ ἄγγελοι, ὁ αἰσθητὸς, τὰ ὁρώμενα δηλαδὴ, καὶ ὁ ἐξ ἀμφοῖν τούτων ὁ ἄνθρωπος, ὃς καὶ διὰ τῆς ἀναστάσεως τοῦ Σωτῆρος τὴν γνῶσιν ἔλαβε τῆς Τριάδος· τριήμερος ἡ ἀνάστασις. Ἀῤῥαβῶνας τοίνυν τῆς ἀφθαρσίας ἄνθρωπος τῇ ἀναστάσει τοῦ Σωτῆρος λαβὼν, ἐν τῷ τέλει μετὰ τοῦ ὁρωμένου κόσμου ἀλλοιωθήσεται, καὶ τὴν ἀφθαρσίαν κληρονομήσει. Καὶ αὐτὴ γὰρ ἡ κτίσις ἐλευθερωθήσεται, φησὶν, ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

qui per Salvatoris resurrectionem, Trinitatis percepit scientiam, ideo trium dierum resurrectio: arrhis ergo incorruptibilitatis Salvatoris resurrectione acceptis homo in mundi quidem visibilis fine immutabitur, et incorruptibilitatem hæreditabit: ipsa enim creatura liberabitur, ut dicitur, a corruptionis servitute, in libertatem gloriæ filiorum Dei.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Πᾶσι κηρύττουσιν οἱ Πατέρες, ὡς οὐκ ἀφ' ἑαυτῶν ταῦτα, ἀλλ' ἐκ τῶν Γραφῶν λέγουσι, καὶ ὅτι προφῆται καὶ ἀπόστολοι τούτων μάρτυρες, οἱ μὲν πράγμασιν, οἱ δὲ γράμμασι τὰ περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ καὶ ζωῆς, καὶ τοῦ θανάτου καὶ τῆς B ἀναστάσεως καταγγείλαντες.

Resurrexit tertia die secundum Scripturas.

Omnibus proclamant Patres, tanquam non a seipsis, sed e Scripturis, et testibus prophetis et apostolis, hi factis, scriptis illi, quæ de Christi redemptione, vita, morte et resurrectione annuntiant.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς.

Καὶ ὧδε τὸ μέγα καὶ θαυμαστόν. Ἡ γηΐνη γὰρ φύσις εἰς τὸν ἄνω ἀνήχθη χῶρον. Ὁ γὰρ κατελθὼν πρὸς ἡμᾶς καὶ ἐν τῷ Πατρὶ μένων, αὐτός ἐστι καὶ ὁ ἀναβὰς, τὸ μὲν ὁραθεὶς ἡμῖν τῇ σαρκὶ, καὶ ἐπὶ τῆς γῆς συναναστραφεὶς, τὸ δὲ ἀνυψώσας ὅπερ ἐξ ἡμῶν εἰλήφει, καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ δυνάμεως οὐρανίου θέμενος, καὶ συνεδριάσας τῷ Πατρί. Αὐτὸς γὰρ ἐγκόλπιος ὢν τοῦ Θεοῦ Λόγος αὐτό τε προσελάβετο, καὶ ἑαυτῷ ἄκρως ἑνώσας, τῆς ἴσης μετέδωκε τιμῆς, ἐπειδήπερ ἀχώριστον αὐτῷ, καὶ ἴδιον αὐτοῦ κατειργάσατο σῶμα, καὶ εἷς ὁ αὐτὸς τῇ ὑποστάσει, εἰ καὶ διπλοῦς ταῖς φύσεσιν, εἷς Υἱὸς C μονογενὴς, εἷς Χριστὸς Κύριος, ἐν δυσὶ φύσεσι καὶ ἐνεργείαις φυσικαῖς καὶ θελήσεσι γνωριζόμενος.

Et ascendit in cœlos.

Ecce magnum et mirum: terrestris natura in altum adducta est locum; nam qui ad nos descendit in Patre adhuc manens, ipse est qui ascendit, tum in carne visus a nobis et super terram conversatus, tum elevans quod de nobis assumpserat et supra omnem principatum et potestatem cœlestem reponens et una cum Patre sedere faciens: ipsum enim quod in sinu Patris est Verbum hoc assumpsit quod sibi plene unitum eidem honori sociavit, a se inseparabile, suum sibi fecit corpus et unum secum in persona, licet naturis duplex, unus Filius unigenitus, unus Christus Dominus in duabus naturis et operationibus naturalibus et voluntatibus cognitus.

Καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Οὐ γὰρ παρίσταται μετ' ἀγγέλων ἐνδεδυμένος τὸ σῶμα, οὐδὲ λειτουργεῖ τῷ Πατρί· συμπροσκυνεῖται δὲ μᾶλλον, ὡς Υἱὸς τοῦ Θεοῦ καὶ σεσαρκωμένος μετὰ Πατρός τε καὶ Πνεύματος. Καὶ οὐ προστίθεται τῇ Τριάδι τοπαράπαν οὐδέν· ἐπειδὴ οὐδ' ἄλλος ὁ σαρκωθεὶς, ἀλλ' αὐτὸς ὁ Λόγος, ὁ καὶ πρὸ τοῦ σαρκωθῆναι μένων ἐν τῷ Πατρὶ, καὶ σαρκωθεὶς μένων ὁ αὐτός.

Sedet ad dexteram Patris.

Non enim cum angelis constituitur qui corpore amictus est, nec sacrificium Patri offert. Quin simul adoratur sicut Dei Filius incarnatus, cum Patre et Spiritu; nec Trinitati quolibet modo superadditur, siquidem non alius est incarnatus et aliud Verbum, quod priusquam carnem assumeret in Patre manebat, manebat et idem assumpta carne.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς.

Ὅτε μὲν γὰρ ἐκ Παρθένου σαρκωθεὶς ἦλθεν, ἐν ὑπερβαλλούσῃ πτωχείᾳ ὤφθη καὶ ταπεινότητι, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλ' οὐδ' ἀγγέλοις ἅπασι D γνωστὸς ἦν· καὶ τοῦτο ἄχρι καὶ τοῦ ἀναβαίνειν ἄνω τελέσαντα τὴν οἰκονομίαν αὐτόν· οἱ γὰρ ὑπεράνω μὴ γινώσκοντες ἔφασκον, « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; » Ὅτε δὲ ὕστερον ἐλεύσεται, μετὰ δόξης φανήσεται πολλῆς, ὁ αὐτὸς μὲν ὢν ἐνδεδυμένος τὴν σάρκα, καθὰ δὴ καὶ ἀνελήλυθε, ταῖς ἀστραπαῖς δὲ τῆς θεότητος ὑπεραυγάζων τὴν κτίσιν, ἀγγέλων παρισταμένων, ἀνθρώπων ἀνισταμένων, **303** δαιμόνων καταργουμένων καὶ εἰς τὸ αἰώνιον πῦρ παραπεμπομένων, ἀσεβῶν καὶ ἁμαρτωλῶν διηνεκῶς κατακρινομένων, καὶ εὐσεβῶν καὶ δικαίων αἰωνίως στεφανουμένων. Δικαίως οὖν μετὰ δόξης ἐλεύσεται· ὅτι Κύριος τῆς δόξης ὢν, πάντας πρὸς τὸ δοξασθῆναι παρὰ τῆς δόξης αὐτοῦ καὶ ἐδημιούργησε καὶ

Et iterum venturus est cum gloria judicare vivos et mortuos.

Quando e Maria quidem venit incarnatus, in nimia paupertate visus est et abjectione, nec hominibus tantum, nec etiam angelis omnibus agnoscendus; et sic erat donec perfecta œconomia in altum ascendit; non agnoscentes enim dicebant cœlites: «Quis est iste rex gloriæ?» Quando autem iterum veniet, multa cum gloria apparebit, idem quidem, corpore amictus, quemadmodum ascendit, divinitatis vero fulgoribus creaturas illuminans, assistentibus angelis, resurrectione stantibus hominibus, debellatis dæmonibus et in æternum missis ignem, in perpetuum damnatis impiis et peccatoribus, æternaliter e contra coronatis piis justisque. Merito igitur cum gloria veniet qui gloriæ Dominus cum sit, omnes ut ad gloriam exaltaret suam et creavit et vocavit. De cætero qui gloriam ipsius noluerunt, nec eum

glorificaverunt sive de angelorum, sive de hominum natura, damnati juste ejicientur: et quia suis gloriam suam quam manifestaverit, non amplius abscondet, erit e contra, prout scriptum est, deorum per eum fulgentium in medio Deus.

Judicare vivos et mortuos.

Id est, omnes homines: non quia tunc aliqui non demortui atque ideo vivi, aut spiritaliter quidem exsistentes, corpore autem defuncti sunt, aut quasi is qui corpore resurrexit, tum subsistet. Non ita: sed omnes resuscitabuntur, et nemo mortalium vita non defunctus, tunc resurget. Nam si Dominus ipse, qui nobis resurrectionis auctor est, quoad corpus, mortem oppetiit, quanto magis ii qui morti addicti sunt! Nec mirum. Quotquot enim Adami filii, ideoque mortales sumus, moriemur, et a Salvatore resuscitabimur. Vivos dicit et mortuos. Qui enim olim a principio mortui sunt, et qui resurrectionis tempore in vivis erunt, uno oculi ictu ac subito morte plexi, ut divus dicit Paulus natura permutata, resuscitabuntur.

Judicare vivos et mortuos.

Omnes judicabit solus et verus judex, Verbum Dei exsistens, Deus vivens, qui omnia fecit, omnia scit, discretor cordis intentionum et cogitationum, usque ad ossa et medullas pertingens, sicut scriptum est, solus universorum Dominus qui intima omnium novit, et unicuique secundum motus et actiones et voluntatem retribuere valet; quod et verum eum præsertim demonstrat Deum, sicut supra diximus, tanquam natura Dei Filium; nam judex solus, qui justus, verus, qui servorum suorum judex, qui novit quæ in servis sunt, qui retribuere valet, qui Dominus omnium est.

Cujus regni non erit finis.

Nunc quidem qui peccatum in carne sua delevit, solus innocens visus homo et crucifixus et resurgens super mortem regnavit, et malum vinculis ligavit, adhuc vero et rex est tanquam Deus, sed similiter vere super agnoscentes eum ipsique servientes tantum regnat. Super impios autem et adversantes et contra legem viventes qui ipsorum est Creator et Providentia non perfecte regnat; ejus imperium nolunt, quinimo submisse serviunt dæmoni cui ad peccatum juxta propriam voluntatem impellere concessum est, donec corruptus adhuc corrumpendus stat mundus iste, ad bonorum gloriam ac discretionem. Quando autem e cœlo descendet Dominus ille et renovabitur quidem mundus, sicut scriptum est, penitus vero ligabitur malitiæ auctor, tunc delebitur peccatum, et omnem inimicum suum sub pedibus suis ponet, et omnis quidem malus foras cum dæmonibus ejicietur; sola autem lux vera Christus cum angelis et sanctis suis, inventa æterna vita, erit. Cujus itaque regni non erit finis, sicut dicit Daniel, in nubibus incedentem videns Filium hominis et usque ad Anti-

A ἐκάλεσε· λοιπὸν οἱ μὴ θελήσαντες τὴν δόξαν αὐτοῦ, μηδὲ δοξάσαντες αὐτὸν, εἴτε ἐκ τῆς τῶν ἀγγέλων, εἴτε ἐκ τῆς τῶν ἀνθρώπων φύσεως κατακριθέντες, δικαίως ἐκδιωχθήσονται· καὶ ὅτι φανερώσας τὴν δόξαν αὐτοῦ τοῖς οἰκείοις, οὐκ ἔτι ταύτην ὅλως αὐτοῖς ὑποκρύψει, ἀλλ' ἔσται, καθὼς γέγραπται, Θεὸς ἐν μέσῳ θεῶν τῶν ἐξ αὐτοῦ λαμπομένων.

Κρῖναι ζῶντας καὶ νεκρούς.

Τουτέστι πάντας ἀνθρώπους, οὐχ ὅτι τινὲς ἔσονται τότε μὴ τεθνηκότες, καὶ οὕτω ζῶντες, ἢ ταῖς ψυχαῖς μέν τινες ζῶντες, νεκροὶ δὲ τοῖς σώμασι· οὐδ' ὁ μὴ ἀναστὰς τῷ σώματι ἔσται τότε. Πάντες γὰρ ἐγερθήσονται. Καὶ οὐδεὶς τῶν ἀνθρώπων μὴ θανὼν ἔσται τότε καὶ ἀναστάς. Εἰ γὰρ τῇ σαρκὶ καὶ ὁ Κύριος νέκρωσιν ὑπέστη, ὁ τὴν ἀνάστασιν ἡμῖν B χορηγήσας, πολλῷ γε δὴ οἱ τῷ θανάτῳ καθυπεκύψαντες. Καὶ εἰκότως. Πάντες γὰρ οἱ ἐξ Ἀδὰμ, ὡς ἐξ ἐκείνου θνητοὶ, καὶ θανούμεθα, καὶ παρὰ τοῦ Σωτῆρος τὴν ἀνάστασιν εἰληφότες ἀναστησόμεθα. Ζῶντας λέγει καὶ νεκρούς. Ὅτι ἀναστήσονται μὲν οἱ πάλαι καὶ ἐξ ἀρχῆς θανόντες, καὶ οἱ ζῶντες δὲ τότε κατὰ τὴν ὥραν τῆς ἀναστάσεως, νεκρωθέντες ἐν ἀτόμῳ καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ, ὡς ὁ θεῖος Παῦλός φησιν, ἀλλοιωθέντες ἐξαναστήσονται.

Κρῖναι ζῶντας καὶ νεκρούς.

Κρινεῖ γὰρ οὗτος ἅπαντα, ὡς μόνος καὶ ἀληθὴς ὢν κριτὴς, τοῦ Θεοῦ Λόγος ὑπάρχων ὁ ζῶν, ὁ ποιήσας πάντα, ὁ εἰδὼς πάντα, ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, ὁ διικνούμενος ἄχρις ὀστέων καὶ μυελῶν, καθὰ γέγραπται, ὁ μόνος τῶν ὅλων Δεσπότης, ὁ τὰ τῶν ὅλων εἰδὼς, καὶ ἑκάστῳ ἀποδοῦναι ἰσχύων κατὰ κίνησιν, καὶ πρᾶξιν, καὶ C βούλησιν. Ὅπερ καὶ Θεὸν ἀληθῆ τοῦτον μαρτυρεῖ μάλιστα, ὡς προείπομεν, ὡς φύσει Θεοῦ Υἱόν. Κριτὴς γὰρ οὗτος μόνος ὡς δίκαιος, ὡς ἀληθὴς, ὡς τῶν δούλων αὐτοῦ κριτὴς, ὡς γινώσκων τὰ τῶν δούλων, ὡς ἰσχύων ἀποδιδόναι, ὡς Δεσπότης τῶν ὅλων ὤν.

Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Τὸ μὲν γὰρ παρὸν, εἰ καὶ τὴν ἁμαρτίαν ἐν τῇ ἑαυτοῦ σαρκὶ κατήργησε, μόνος ἀναμάρτητος ὀφθεὶς ἄνθρωπος, καὶ σταυρωθεὶς καὶ ἀναστὰς βεβασίλευκε κατὰ τοῦ θανάτου, καὶ τὸν πονηρὸν δεσμοῖς ἐπέδησεν, ἔτι δὲ καὶ βασιλεύς ἐστιν ὡς Θεὸς, ἀλλ' ὅμως ἀληθῶς βασιλεύει μόνον τῶν ἐπιγινωσκόντων καὶ λατρευόντων αὐτῷ. Τῶν δέ γε ἀπίστων καὶ ἑτεροφρόνων, καὶ τῶν παρανόμως βιούντων, καίτοι γε κτίστης ὢν αὐτῶν καὶ προνοητὴς, οὐ βασιλεύει D τελείως τῷ αὐτεξουσίῳ αὐτῶν μὴ βουλομένων, ὑποκυπτόντων δὲ μᾶλλον τῷ πονηρῷ, ἔτι δὲ καὶ αὐτῷ τὴν ἁμαρτίαν κατὰ θέλησιν οἰκείαν ἐνεργεῖν παρακεχωρηθέντι, ἕως φθαρτὸς ἔτι ὁ φθειρόμενος οὗτος ἵσταται κόσμος, πρὸς τὴν τῶν ἀγαθῶν δοκιμήν τε καὶ ἐκλογήν. Ὅτε δὲ ἀπ' οὐρανοῦ οὗτος δὴ ὁ Δεσπότης κατέλθοι, καὶ ἀνακαινισθῇ μὲν ὁ κόσμος, ὡς γέγραπται, δεσμευθῇ δὲ τελέως ὁ τῆς κακίας ἀρχηγὸς, τότε μὲν ἀργήσει ἡ ἁμαρτία· πάντα δὲ ἐχθρὸν αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ θήσει· καὶ πᾶς μὲν πονηρὸς ἐκβληθήσεται μετὰ τῶν δαιμόνων ἔξω· μόνον δὲ τὸ φῶς τὸ ἀληθινὸν ὁ Χριστὸς μετὰ τῶν ἀγγέλων ἔσται καὶ τῶν ἁγίων αὐτοῦ, τῆς αἰωνίου

ζωῆς ἐνεργουμένης. Διὸ καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, ὥς φησι Δανιὴλ, ἐπὶ νεφελῶν αὐτὸν θεωρήσας Υἱὸν ἀνθρώπου ἐρχόμενον, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν τοῦ ἰδίου Πατρὸς ἐφθακότα, καὶ πᾶσαν τὴν ἐξουσίαν εἰληφότα, τὴν κατὰ πάντων ἀρχὴν δηλαδὴ, καὶ ὡς ἄνθρωπον, ἣν δὴ καὶ ὡς Λόγος ἀϊδίως ἔχει σὺν τῷ Πατρὶ, **304** ὅτε καὶ πάντες ὁμολογήσουσιν αὐτὸν Κύριον, καὶ πᾶν γόνυ κάμψει, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, Παῦλός φησιν, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς, καὶ οὐδεὶς ὁ ἀνθιστάμενος ἔσται.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον.

Ἡ μὲν ἐν Νικαίᾳ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων τῆς πίστεως ἔκθεσις, ἄχρι τούτου τὴν Τριάδα κηρύττουσα, καὶ μηδὲν ἐλλειπὲς ἔχουσα· τὸν μὲν γὰρ Θεὸν καὶ Πατέρα ἐν πρώτοις ἐκήρυξε, καὶ τὸν Υἱὸν εὐθὺς πρὸ τῶν αἰώνων γεγεννημένον, καὶ τῷ Πατρὶ ὁμοούσιον· οὗ καὶ τὴν σάρκωσιν διεσάφησεν ὕστερον γεγονυῖαν ὑπὲρ τῆς ἡμῶν ἀναπλάσεως, Πνεύματι ἁγίῳ τελεσθεῖσαν ἐκ τῆς παναμώμου Παρθένου τῆς Θεοτόκου. Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ὡμολόγησεν, εἰ καὶ μὴ πλατύτερον ἐξέθετο τὰ περὶ αὐτοῦ, μὴ καλούσης τῆς χρείας. Ὅθεν καὶ τὸ τέλειον ἀνεκηρύχθη τῆς θεότητος ἐκ τοῦ θείου ἐκείνου τῶν Πατέρων χοροῦ· ὅτι Τριὰς καὶ μονὰς ὁ Θεὸς ἡμῶν· ὅτι Πατὴρ ἄναρχος· ὅτι Υἱὸς ὁμοούσιος, σαρκωθεὶς ὕστερον, ὡς εἴρηται, δι' ἡμᾶς· ὅτι Πνεῦμα ἅγιον Θεοῦ, καὶ μία θεότης καὶ δύναμις τῶν τριῶν, καὶ εἷς τὰ τρία Θεὸς, καὶ Θεὸς ἄλλος οὐκ ἔστιν. Ἀλλὰ περὶ μὲν τοῦ Υἱοῦ πλατύτερον εἴρηκεν· οὐκ ἦν γὰρ τότε ὁ ἀθετῶν τὸ Πνεῦμα· κατὰ τοῦ Υἱοῦ δὲ μόνον βλασφημῶν ἦν ὁ δυσσεβέστατος Ἄρειος. Ἐπεὶ δὲ καὶ κατὰ τοῦ ἁγίου Πνεύματος, ὑπὸ τοῦ πονηροῦ κινούμενος πνεύματος, Μακεδόνιος ἀνεδείχθη, καθαιροῦσι μὲν καὶ αὐτὸν οἱ τοῦ θείου Πνεύματος, τόπος δὲ τῆς πάλης ἡ Κωνσταντίνου. Διὸ καὶ χωρίον αὕτη τοῦ Πνεύματος· καὶ μέχρι τοῦ νῦν ὑπὲρ τοῦ Πνεύματος ἀγωνιζομένη, πᾶσαν κάκωσιν φέρει, καὶ μάρτυς αὕτη τοῦ θείου Πνεύματος, καὶ τῶν χωρούντων κατὰ τοῦ Πνεύματος ἐλατὴρ, καὶ τῶν λαμβανόντων τὸ Πνεῦμα καὶ δοῦναι δυναμένων ὑπηρέτις καὶ ἀρχηγός. Ἐν ταύτῃ τοίνυν τῆς δευτέρας συναχθείσης συνόδου, καὶ τῶν ἁγίῳ Πνεύματι κινουμένων τυγχανόντων ἱεραρχῶν, τὸ ἱερὸν ἀπαρτίζεται Σύμβολον ὑπὲρ αὐτοῦ τε τοῦ θείου Πνεύματος, καὶ κατὰ τῶν δυσσεβῶν, Ἀπολλιναρίου τε καὶ Μακεδονίου πλατύτερον ἐκτεθὲν, ὡς τοῦ μὲν τοῦ Λόγου τὴν ἐνανθρώπησιν, τοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον βλασφημούντων, ὃ καὶ προφητικῶς οἱ ἅγιοι συντεθείκασιν, οὐ τὰς πρὸ αὐτῶν καὶ τὰς τότε, ἀλλὰ καὶ τὰς μετὰ ταῦτα πάσας καταθραῦον αἱρέσεις καὶ κατισχῦον. Ὃ δὴ καὶ αἱ λοιπαὶ πᾶσαι ὡς θεῖον ἐδέξαντο ἱερώταται σύνοδοι, καὶ τούτῳ καθυπετάγησαν, οὐδὲν τούτῳ προσθεῖναι, ἢ ἀφελέσθαι τι ἐξ αὐτοῦ τοπαράπαν ἀνασχόμεναι, καίτοι γε πολλῶν ἐν τῇ Ἐκκλησίᾳ σκανδάλων ὑπὸ τῶν κατὰ καιροὺς αἱρετικῶν εἰσαχθέντων. Ἃ δὴ καὶ σκεδάζοντες θείῳ Πνεύματι οἱ τῆς Ἐκκλησίας συναθροιζόμενοι Πατέρες, ἄλλοις μὲν ὅροις ἑαυτῶν τὴν ἀλήθειαν ἐπεσφράγιζον· τοῦτον

quum dierum Patrem ejus pervenientem et omnem ejus potestatem accipientem, scilicet super omnia principatum, et tanquam hominem qui principatum ut Verbum æternaliter cum Patre habet. Quod fiet quando Dominum illum confitebuntur omnes et flectetur omne genu et omnis lingua confitebitur, ait Paulus, quod Dominus Jesus Christus in gloria est Dei Patris, et nullus adversator erit.

Et in Spiritum sanctum.

Nicææ trecentorum decem et octo sanctorum Patrum fidei expositio usque nunc Trinitatem proclamans, nihilque imperfectum habens, Deum quidem Patrem in primis pronuntiavit et statim Filium ante sæcula genitum Patrique consubstantialem, cujus incarnationem deinde factam propter reparationem nostram explanavit a Spiritu sancto ex immaculata Dei Matre Virgine operatam, et Spiritum sanctum confessa est, licet non latius quæ de ipso sunt, illud nihil exigente, exposuerit. Hinc perfectum de Divinitate conclamatum est a divino illo Patrum choro, quod Trinitas et unitas Deus noster, quod Pater absque principio, quod consubstantialis Filius, novissime, sicut dictum est, propter nos incarnatus, quod Dei Spiritus sanctus, et una trium divinitas et potentia, et unus tres Deus et Deus alius non est. Sed de Filio latius explanatum est, non enim tunc erat qui Spiritum despiceret, in Filium tantum blasphemante impiissimo Ario. Sed cum et contra Spiritum sanctum, a spiritu malo exagitatus inventus est Macedonius, excommunicant quidem eum qui Spiritu Dei aguntur, et pugnæ locus Constantinopolis. Quæ igitur Spiritus prædium est et usque adhuc pro Spiritu sancto prælians omnem malitiam sustinet, sancti Spiritus martyr, Spiritui sancto adversantium bellatrix, et Spiritum accipientium dareque valentium adjutrix et princeps. In illa igitur, secunda adunata synodo, Spiritu sancto agente, Pontificibus assistentibus, sanctum consummatur symbolum tum pro divino Spiritu, tum contra impios Apollinarium et Macedonium, alterum Verbi humanitatis assumptionem, alterum Spiritum sanctum blasphemantem, prolixius expositum, quod per prophetiam exposuerunt sancti, quippe qui non præcedentes præsentesque hæreses, sed et omnes quæ postea invectæ sunt frangebant et confusione suffundebant; quod tanquam divinum reliquæ omnes acceperant sanctissimæ synodi, anteriori huic submissæ, nihil prorsus addi vel minui sinentes, multis tamen in Ecclesia scandalis ab hæreticis pro tempore suscitatis quæ dissipare in sancto Spiritu curantes adunati Ecclesiæ Patres aliis quidem propriis regulis veritatem obsignarunt, regulam vero illam tanquam omnis regulæ principium sine mutatione vel ad voculam unam servaverunt, et omnes sic absque novitate qualibet servaturos se præbuerunt; et qui adulterare audent hos anathemati subjiciunt.

Porro qui hoc denuntiant non ipsi auctores erant, sed ab apostolorum successoribus deducti qui et usque ad sanguinem pro Christo certantes et ipsius stigmata ferentes confessionis laboribus coronati sunt et divinis charismatibus fulgent.

A δὲ τὸν ὅρον, ὡς ἀρχὴν παντὸς ὅρου, ἀσάλευτον πάντη μέχρι καὶ λέξεως τετηρήκασι· καὶ πάντας οὕτω τηρεῖν ἀκαινοτόμητον ἀπεφήναντο, καὶ τοὺς τολμῶντας σαλεῦσαι καθυποβάλλουσιν ἀναθέματι. Ἐπεὶ καὶ οἱ ἐκθέμενοι τοῦτο, οὐχ οἱ τυχόντες ἐτύγχανον, ἀλλ' οἱ τῶν διαδόχων τῶν ἀποστόλων διάδοχοι, οἳ καὶ μέχρις αἵματος ἀθλήσαντες ὑπὲρ τοῦ Χριστοῦ καὶ τὰ αὐτοῦ περιφέροντες στίγματα, καὶ ὁμολογίας πόνοις εἰσὶν ἐστεμμένοι, καὶ θείοις χαρίσμασι διαλάμποντες.

Et in Spiritum sanctum Dominum.

Quia Dominus Spiritus est ac Trinitatem complens. Dominus enim noster in nomine Patris, et Filii et Spiritus sancti baptizare discipulos misit. Et Spiritus sanctus a prophetis non secus ac Filius annuntiatus est.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον.

Ὅτι Κύριος τὸ Πνεῦμά ἐστι, καὶ συμπληρωτικὸν τῆς Τριάδος· ὁ Κύριος γὰρ ἡμῶν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τοὺς μαθητὰς βαπτίζειν ἀπέστειλε. Καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον παρὰ τῶν προφητῶν ὡς καὶ ὁ Υἱὸς ἐκηρύχθη.

Dominum.

Sicut unius essentiæ Patris et Filii. Sicut enim Pater Dominus et Filius Dominus, et Spiritus Dominus scriptus est, non tres Domini, sed unus Dominus, quia una trium divinitas, natura, dominatio, potentia, energia, voluntas.

B *Τὸ Κύριον.*

Ὡς μιᾶς οὐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ὡς γὰρ ὁ Πατὴρ Κύριος, καὶ ὁ Υἱὸς Κύριος, καὶ τὸ Πνεῦμα Κύριος γέγραπται. Οὐ τρεῖς δὲ Κύριοι, ἀλλ' εἷς Κύριος· ὅτι μία θεότης **305** καὶ φύσις καὶ κυριότης καὶ δύναμις καὶ ἐνέργεια καὶ θέλησις τῶν τριῶν.

Et vivificantem.

In ipso enim vivimus et movemur et sumus, a Patre per Verbum in sancto Spiritu creati et viventes; eadem enim voluntate et motione et energia unius in Trinitate divinitatis omnia constant: a Spiritu ergo vitam et motionem habemus, quia et angeli spiritus viventes sunt ex omnia vivificante sancto Spiritu, et animæ per eum spiritus viventes. Ideo scriptum est: *Insufflavit in faciem Adam Deus spiraculum vitæ, et in animam viventem,* testificante divini Spiritus vivificantem virtutem Scriptura, *factus est homo.*

Τὸ ζωοποιόν.

Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ἐκ τοῦ Πατρὸς διὰ τοῦ Λόγου ἐν ἁγίῳ Πνεύματι δημιουργηθέντες καὶ ζῶντες. Τῇ γὰρ αὐτῇ θελήσει καὶ κινήσει καὶ ἐνεργείᾳ τῆς μιᾶς ἐν Τριάδι θεότητος τὰ πάντα μένει. Ἐκ τοῦ Πνεύματος οὖν τὴν ζωὴν καὶ κίνησιν ἔχομεν· ὅτι καὶ ἄγγελοι πνεύματα ζῶντα, ἐκ τοῦ ζωοποιοῦντος τὰ πάντα ἁγίου Πνεύματος, καὶ ψυχαὶ δι' αὐτοῦ πνεύματα ζῶντα. Διὸ C καὶ γέγραπται, ὡς *Ἐνέπνευσεν εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ ὁ Θεὸς πνοὴν ζωῆς, καὶ εἰς ψυχὴν ζῶσαν ὁ ἄνθρωπος γέγονε*, μαρτυρούσης τὸ ζωοποιὸν τοῦ θείου Πνεύματος τῆς Γραφῆς.

Qui e Patre procedit.

Siquidem non de alia essentia substantiave, sicut nec Filius. Sed genitus quidem a Patre Filius, exinde unigenitus, per processionem vero Spiritus sanctus alio modo et ineffabili quemadmodum Verbi generationis ratio ineffabilis, sicut et Patris essentiæ modus quo pacto sit dici nequit, sicut et Deum Patrem nosse fide sola fas est, de quo testimonium perhibet creatura, et de Filio Verbo ejus fide sola discendum est, licet de eo annuntiet creatura Verbo firmata atque ornamento decorata; et Spiritum sanctum fide sola recipere oportet, cujus efficaciam vivificantemque virtutem enarrat omnis creatura.

Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

Ἐπειδὴ οὐκ ἐξ ἑτέρας οὐσίας ἢ ὑποστάσεως, ὥσπερ οὐδὲ ὁ Υἱός. Ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, διὸ καὶ Μονογενής, τὸ δέ γε ἅγιον Πνεῦμα ἐκπορευτῶς καθ' ἕτερόν τινα τρόπον καὶ αὐτὸν ἄρρητον· ἐπειδὴ καὶ ὁ τῆς τοῦ Λόγου γεννήσεως τρόπος καὶ λόγος ἄρρητος, ὡς καὶ ὁ τοῦ Πατρὸς πῶς ἐστιν ἀνέκφραστος. Ὡς γὰρ τὸν Θεὸν καὶ Πατέρα εἰδέναι πίστει μόνῃ γνῶναι ἔστι, καίτοι γε τῆς κτίσεως αὐτὸν μαρτυρούσης, καὶ τὸν Υἱὸν καὶ Λόγον αὐτοῦ πίστει μόνῃ δέξασθαι ἔστιν, εἰ καὶ ἡ D κτίσις αὐτὸν διδάσκει λόγῳ συνεστηκυῖά τε καὶ κεκοσμημένη, καὶ τὸ Πνεῦμα τὸ ἅγιον πίστει μόνῃ δέχεσθαι χρεών, εἰ καὶ τὸ ἐνεργὲς αὐτοῦ καὶ ζωοποιὸν πᾶσα ἀνακηρύττει κτίσις.

Qui e Patre procedit.

Sic theologice effantur Patres, sicut Deus Verbum dixit, non temerarios se præbentes nec arrogantes nec mente superbientes, nec quæ in corde sunt efferentes, sed quæ ab initio a magistro didicerunt. Verbum quod a Patre est, non, *A me procedit*, ait, *Spiritus*, sed *a Patre* (1). Tu vero quasi charisma melius illud quod non de se ipse dixit,

Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

Οὕτω θεολογοῦσιν οἱ Πατέρες, ὡς ὁ Θεὸς Λόγος εἴρηκεν, οὐ τολμητίαι τινὲς ὄντες, οὐδὲ αὐθάδεις, καὶ τῇ διανοίᾳ ὑπερνεφεῖς, οὐ τὰ ἀπὸ τῆς κοιλίας λέγοντες, ἀλλ' ὅσαπερ ἂν ἔφθασαν παρὰ τοῦ διδασκάλου μεμαθηκέναι. Ὁ ἐκ τοῦ Πατρὸς Λόγος οὐκ, *Ἐξ ἐμοῦ ἐκπορεύεται*, φησί, *τὸ Πνεῦμα*, ἀλλ', *ἐκ τοῦ Πατρός*. Σὺ δὲ τολμᾷς, ὁ καινοτομῶν, χαρίζεσθαι

(1) Error saltem insinuatur de processione Spiritus e solo Patre.

τοῦτο, ὅπερ αὐτὸς οὐ περὶ αὐτοῦ φησι; Καὶ τίς ἂν εἰδὼν αὐτοῦ τε καὶ σοῦ μᾶλλον τὴν τοῦ θείου Πνεύματος ἐκπόρευσιν ἄναρχον; Πάντως ἂν γνοίης, εἴγε νοῦν ἔχοις ὅλως, ὡς ὁ ἐκ τοῦ ἀνάρχου Πατρὸς συνάναρχος μετὰ τοῦ Πνεύματος Λόγος, τὰ περὶ τοῦ Πνεύματος οἶδε· καὶ σοῦ διδάσκει σαφέστερον καὶ πιστότερον. Σὺ δὲ μὴ ἑπόμενος τῷ Σωτῆρι, ἀνθιστάμενος φαίνῃ, καὶ τὴν ἀλήθειαν μὴ λέγειν λέγεις τὸν ἀλήθειαν ὄντα, καὶ ἐξηγητὴς ἄλλος τῶν λόγων αὐτοῦ τελεῖς, καινότερος παρὰ τοὺς Πατέρας. Εἰ γὰρ οὗτοι μὴ τολμῶσι λέγειν παρ' ὅπερ ἐκεῖνος ἔφη, καὶ ὅρον τιθέασι, τοὺς ἐκείνου σέβοντες λόγους, καὶ οἱ διάδοχοι τούτων οὐκ ἄλλον παρὰ τοῦτον συντεθείκασιν ὅρον· ὅρα πρὸς πόσην τόλμαν ἐλήλυθας, ἄνθρωπε, περὶ τοῦ ἀκαταλήπτου λέγων, ἅπερ ἐκεῖνος οὐκ ἀπεκάλυψε, καὶ τοὺς μύστας ἐκείνου καὶ θεολόγους ἀθετῶν. Εἰ δὲ συνάγειν λέγεις τὴν σὴν καινοτομίαν ἐκ ῥημάτων τινῶν ἢ Γραφικῶν ἢ καὶ Πατρικῶν, τοῦτο μὲν ὅλως οὐκ ἔστιν. Οὐδὲ γὰρ ἂν ἔλεγον ἐναντία αὐτοί τε ἑαυτοῖς, καὶ τῷ Συμβόλῳ μὲν ὡμολόγουν ἕτερα, ἐν ᾧ καὶ τὸ βάπτισμα, καὶ ἱερωσύνην, καὶ τὸ τοῦ βίου τέλος ἐδέξαντο, ἄλλα δὲ τοῖς συγγράμμασιν ἔλεγον. Ἀλλ' ἐκείνων μὲν ὁ νοῦς ὀρθὸς πρὸς τὸ Σύμβολον, ἐπείπερ ἐκεῖνο τῆς εὐσεβείας κρηπίς· σὺ δὲ καταθρασυνόμενος ἄλλα ἐπ' ἄλλοις λέγεις, ἐκ τούτου δὲ τό τε σὸν μαρτυρεῖς ὑπερήφανον, καὶ τῶν ἁγίων καταψευδόμενος φαίνῃ, μεταίρων ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου. Εἰ γὰρ ᾔδεσαν οὗτοι, ὡς αὐτὸς τὰ ἐκείνων παρεξηγῇ, ἔθεσαν ἂν καὶ τῷ ὅρῳ, μήποτε ψευδομάρτυρες εἶεν. Εἰ δὲ τὸν ὅρον ὡς ἡμῖν ἔδωκαν διεφύλαξαν, καὶ ἐν αὐτῷ τετελείωνται, καὶ παρὰ τοῦ θείου ἐδοξάσθησαν Πνεύματος, δῆλον ὡς καὶ πᾶσα τούτων γραφὴ πρὸς τὴν τοῦ ὅρου ἔκθεσιν ἀνατρέχει. Καὶ ὅρα ὅσον σοι τὸ δεινόν. Τὸν κοινὸν ὅρον τῆς εὐσεβείας, **306** τὸ τῆς πίστεως σύμβολον, τὴν σφραγῖδα τῆς τῶν Πατέρων θεολογίας, ἀνατρέπεις ἐξ ὧν προστίθης· τῆς συμφωνίας τῶν ἱερῶν συνόδων σαυτὸν ἐξάγεις· ὑπὲρ τοὺς πολλοὺς καὶ θείους ἐκείνους ἄνδρας ἐπαιρόμενος φαίνῃ. Τὴν περὶ τοῦ Πνεύματος τοῦ Σωτῆρος θεολογίαν καταλύειν ἐπιχειρεῖς· τοὺς πνευματοφόρους Πατέρας ἐφ' οἷς ἡρμήνευσαν καὶ διωρίσαντο, παραγράφῃ· τὸ συναφὲς τῆς θεολογίας ἐκ τῶν ἀποστόλων μέχρις ἡμῶν, καὶ τὴν τῆς πίστεως ἀρχαίαν παράδοσιν, ἀνατρέπεις· τὴν τῆς Ἐκκλησίας εἰρήνην ἣν παρακαταθήκην δέδωκεν ἡμῖν ὁ Σωτὴρ, καταλῦσαι τετόλμηκας· σκανδάλων καὶ σχισμάτων ταῖς ἐκκλησίαις αἴτιος γέγονας· κατὰ τοῦ Πνεύματος φέρῃ, ὡς ἐκ τῶν σῶν καινοτομιῶν τε καὶ λόγων ἔλαττον Υἱοῦ τε καὶ Πατρὸς ἀποφαίνων· τὸ μυστήριον συνθολεῖς τῆς Τριάδος, καὶ δύο ἀρχὰς ἐπεισάγεις· μόνον σεαυτὸν τῶν ὅλων καθίζεις κριτὴν, τῶν Πατέρων τοῦτο μὴ δεχομένων· ὁμοῦ γὰρ αὐτοὶ τὰ περὶ Θεοῦ σκεπτόμενοι διετύπουν. Τὴν κατὰ πάντων ἐξουσίαν ἔχειν αὐχεῖς, ὅπερ μόνου τοῦ Σωτῆρός ἐστιν. Ὁ δὲ Πέτρος σύνδουλον ἑαυτὸν καὶ τοῦ Κορνηλίου λέγει· καὶ μετὰ τοῦ Ἰακώβου καὶ τῶν λοιπῶν διασκέπτεται. Καὶ Παῦλος τρέχει ἀναθεῖναι τὸ Εὐαγγέλιον· καὶ καθεξῆς οἱ λοιποί. Ἔμαθον γὰρ

A dare audes novitates seminans? Et de duobus, ipse et tu, quis magis divini Spiritus processionem absque initio novit? Sane, si recte intelligeres, persuasum haberes quod e Patre qui sine initio est absque initio ipsum cum Spiritu Verbum novit quod est de Spiritu, teque clarius et fidei conformius docet: tu vero Salvatori non obsequens adversarius appares, veritatem non dicere dicis eum qui veritas est, et sermonum ejus interpretator alter insurgis novitatum præ Patribus magis doctor. Qui si dicere non audent præter id quod dixit Filius, et regulam tenent ipsius venerantes sermones, eorumque successores non aliam ac illam statuerunt regulam, vide ad qualem progrederis temeritatem, homo, de incomprehensibili

B prædicans quæ ipse non revelavit, et doctores ejus theologosque contemnens. Si vero novitatem tuam e quibusdam Scripturæ Patrumve verbis colligere dicis, profecto hoc non est: non enim suis ipsi contraria dixerunt, et cum symbolo quidem cætera confitebantur, in quo baptisma et sacerdotium, et vitæ finem recipiebant, alia vero scriptis dicebant, sed eorum quidem recta mens juxta symbolum, quippe quod pietatis fundamentum; tu vero audacia tumens, alia post alia asseris quibus tuam nudas arrogantiam et de sanctis mentiens appares, æternos quos posuerunt Patres tui fines excedens. Si cognovissent illi quomodo ipse quod tradiderunt false interpretaris, regulam statuissent ne unquam

C falsi testes invenirentur. Si vero regulam qualem nobis dederunt servaverunt, in ea initiati sunt, et a divino Spiritu gloria insigniti, patet quod omnis horum scriptura ad regulæ expositionem reducitur. Et vide quam terribile tibi: communem pietatis regulam fidei symbolum, Patrum theologiæ sigillum destruis per ea quæ superaddis. E sanctarum consensu synodorum teipsum ejicis, contra plurimos et divinos hos viros superbiens appares, Salvatoris de Spiritu theologiam solvere conaris, Spiritu sancto afflatos Patres in his quæ interpretati sunt atque definierunt contradicis, theologiæ ab apostolis ad nos connexionem et fidei antiquam traditionem disturbas, Ecclesiæ pacem, quam depositam dedit nobis Salvator, dirimere audes, scandalorum et schismatum

D in ecclesiis causa factus es, adversus Spiritum inveheris quem tuis novitatibus sermonibusque, Filio et Patri inferiorem contendis, Trinitatis mysterium turbas ac duo principia introducis; solum te universorum constituis judicem, non accipientibus Patribus; nam hi una mente quæ de Deo sunt considerantes delineabant, tu in omnia auctoritatem habere gloriaris, quod solius Salvatoris est, conservum vero et Cornelii se dicit Petrus, et cum Jacobo et reliquis res perpendit, et Paulus Evangelium dilataturus currit, et communiter reliqui; a Salvatore enim didicerant et servaverant: *Qui voluerit in vobis primus esse, sit omnium et ultimus.* Quod patet per Romæ etiam synodorum temporibus beatos Pontifices. Contemptu enim habiti illi, cum et

ipsi Christi et ejus apostolorum discipuli essent, non in se de pietate confidebant, sed in communi fratrum agnitionis signo; qui cum aliis signum dabant Ecclesiæ obsequentes unanimitati: quippe qui illud Salvatoris agnoscebant Christi dicentis: *Ubi sunt duo vel tres congregati in nomine meo, ibi sum in medio eorum.* Tu vero contra omnes gradiens non adversus symbolum sanctum insurgis solum, sed et de Baptismate et reliquis Ecclesiæ moribus similiter agis: Baptisma enim sine chrismate perficiens, chrisma vero non opportune donans, et baptizatorum multi absque chrismate initiantur et communionis non fiunt participes. Non sic scribit Dionysius, apostolorum æqualis, non sic sacra celebrare et per azyma: non sic manus imponere episcopos et sacerdotes in unctionis oleo, non episcopum unum episcopi consecrationem adimplere. Sed sicut apostolicus per Clementem scribit canon et Ecclesia desuper assumpta usque ad id tempus servat, et una cum ea testificantur desuper ipsius primævi præsertim Dionysius et Maximus; ille apostolorum successor visus in Occidente testimonium perhibens, et Ecclesiæ mores mysteriaque conscribens hic in confessoribus magnus apparens, de divinis sapiens, qui diu Romæ vixit et de Ecclesiæ et sacrificii mysteriis præsertim sicut apud nos fit interpretatur et conscribit, divini Dionysii librum laudans ac extollens. Nonne ergo maximum illud vobis crimen de immutatione divinarum ab initio traditionum? *Tenete*, inquit Apostolus, *traditiones quas didicistis, sive per sermonem, sive per epistolam.* Et de fide et sacrorum traditione sic ait: *Si quis vobis evangelizat præter id quod accepistis, anathema sit.* Nonne ergo terribile adversum vos de fide et moribus Ecclesiæ innovantes verbum? Sed et adversus vos sanctarum synodorum abrenuntiationes, primæ quidem et secundæ regulam exponentium; quinque vero post hæc illis subsequentium, et anathema iis qui regulæ apponere vel diminuere attentant imprecantium. Itaque non erubescis de his et confunderis? Scias quod Trinitas ante sæcula et solus Pater divinitatis fons, sicut dicit Dionysius, et Pater luminum, ut ait Domini frater (Jacobus); lumina et Filius et Spiritus naturaliter ex ipso coæterna. Si ergo erat Spiritus simul absque initio in Patre, et ex Patre est, et Filius unitus exstat, nec ab eo separatur; individua enim Trinitas, absque initio ergo ejus processio. Et vox, *Accipiet*, et *Spiritus Christi*, et *emisit Deus, inspiravit, insufflavit, effundit, fons manat* et similia, hæc novissime propter nos; non autem de novo quidquam accepit Spiritus, sed perfectus ab initio est; hæc autem dona in tempore opportuno nobis tributa, solius Trinitatis charismata, e Patre per Filium in Spiritu impensa et infusa sicuti cœlum et terra Dei Verbo Spiritusque creatrice virtute firmata sunt. Trium energia una; causa solus Pater, Verbi qui-

A ἀπὸ τοῦ Σωτῆρος καὶ τετηρήκασιν, *Ὁ θέλων εἶναι πρῶτος ἐν ὑμῖν ἔστω πάντων ἔσχατος.* Καὶ τοῦτο δῆλον ἐκ τῶν τῆς Ῥώμης αὐτῆς ἐν τοῖς τῶν συνόδων καιροῖς μακαρίων ἀρχιερέων. Ταπεινούμενοι γὰρ οὗτοι, τοῦ Χριστοῦ ὄντες καὶ τῶν αὐτοῦ μαθηταί, οὐχ ἑαυτοῖς τὰ τῆς εὐσεβείας ἐθάῤῥουν, ἀλλὰ τῇ κοινῇ διαγνώσει τῶν ἀδελφῶν. Ἐπεσφράγιζον δὲ μετὰ τῶν ἄλλων καὶ οὗτοι, τῇ συμφωνίᾳ τῆς Ἐκκλησίας ἑπόμενοι. Ἔγνωσαν γὰρ τὸ τοῦ Σωτῆρος Χριστοῦ, *Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι*, λέγοντος, *εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.* Σὺ δὲ κατὰ πάντων χωρῶν οὐ κατὰ τοῦ ἱεροῦ μόνον ἐπανίστῃς Συμβόλου, ἀλλὰ καὶ περὶ βαπτίσματος, καὶ λοιπῶν ἄλλων τῆς Ἐκκλησίας ἐθῶν, τὸ μὲν βάπτισμα δίχα χρίσματος τελῶν, τὸ χρίσμα δὲ
B μὴ κατὰ καιρὸν διδούς· καὶ πολλοὶ τῶν βαπτιζομένων χρίσματος χωρὶς τελειοῦνται καὶ κοινωνίας ἀμέτοχοι. Οὐχ οὕτω δὲ Διονύσιος γράφει, ὁ τοῖς ἀποστόλοις ἴσος, οὐδ' οὕτως ἱερουργεῖν, καὶ δι' ἀζύμων, οὐδ' οὕτω χειροτονεῖν ἐπισκόπους καὶ ἱερεῖς ἐν ἐλαίῳ χρίσεως, οὐδ' ἐπίσκοπον ἕνα ἐπίσκοπον χειροτονεῖν, ἀλλ' ὡς ὁ ἀποστολικὸς διὰ Κλήμεντος γράφει κανὼν, καὶ ἡ Ἐκκλησία ἄνωθεν εἰληφυῖα φυλάσσει μέχρι τοῦ νῦν. Καὶ συμμαρτυροῦσιν αὐτῇ οἱ ἄνωθεν ἔξαρχοι ταύτης, καὶ μάλιστα Διονύσιός τε καὶ Μάξιμος, ὁ μὲν διάδοχος τῶν ἀποστόλων ὀφθεὶς ἐν δύσει τε μαρτυρήσας, καὶ τὰ τῆς Ἐκκλησίας ἔθη τε καὶ μυστήρια συγγραψάμενος, ὁ δὲ μέγας ἐν ὁμολογηταῖς φανεὶς καὶ τὰ θεῖα σοφὸς, τῇ Ῥώμῃ τε
C διατρίψας ἐπιπολὺ, καὶ περὶ τῶν μυστηρίων τῆς Ἐκκλησίας καὶ τῆς ἱερουργίας μάλιστα ὡς τὰ καθ' ἡμᾶς ἔχει ἑρμηνεύων καὶ συγγραφόμενος, καὶ τὴν τοῦ θείου Διονυσίου βίβλον θαυμάζων καὶ ἐκθειάζων. Ἆρ' οὖν καὶ τοῦτο μέγιστον ὑμῖν ἔγκλημα, τὸ τὰς θείας ἐξ ἀρχῆς ἀλλοιοῦν παραδόσεις; *Φυλάσσετε*, φησὶν ὁ Ἀπόστολος, *τὰς παραδόσεις ἃς παρελάβετε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς.* Καὶ περὶ τῆς πίστεως δὲ καὶ τῶν ἱερῶν παραδόσεων οὕτω λέγει· *Εἴ τις εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.* Οὐ φοβερὸν οὖν καθ' ὑμῶν τὸ ῥῆμα περί τε τὴν πίστιν καὶ τὰ ἔθη καινοτομούντων τῆς Ἐκκλησίας; ἀλλὰ καὶ τῶν ἁγίων συνόδων αἱ ἀποφάσεις καθ' ὑμῶν, τῆς πρώτης μὲν καὶ δευτέρας ἐκθεμένων τὸν ὅρον, τῶν πέντε δὲ μετὰ
D ταῦτα ὡς ἑπομένων αὐταῖς, καὶ τοὺς προσθεῖναι τῷ ὅρῳ ἢ ἀφελεῖν πειραθέντας ἀναθέματι παραπεμπουσῶν. Οὐκ ἐρυθριᾷς οὖν ἐπὶ τούτοις καὶ περικαλύπτῃ; Γνῶθι γὰρ ὡς ἡ Τριὰς προαιώνιος, καὶ μόνος ὁ Πατὴρ πηγαία θεότης, ὥς φησι Διονύσιος, καὶ Πατὴρ τῶν φώτων, ὥς φησιν ὁ Θεάδελφος. Φῶτα δὲ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα καὶ συναΐδια ἐξ αὐτοῦ φυσικῶς. Εἰ οὖν ἦν τὸ Πνεῦμα συνανάρχως ἐν τῷ Πατρὶ, καὶ ἐκ τοῦ Πατρός ἐστι, καὶ ἡνωμένον ἐστὶ τῷ Υἱῷ, **307** καὶ οὐ κεχώρισται τούτου· ἀδιαίρετος γὰρ ἡ Τριάς. Ἄναρχος οὖν αὐτοῦ ἡ ἐκπόρευσις. Τὸ δὲ *λήψεται*, καὶ τὸ *Πνεῦμα Χριστοῦ*, καὶ τὸ *ἐξαπέστειλεν ὁ Θεὸς*, καὶ τὸ *ἐνεφύσησε* καὶ *ἐνέπνευσε*, καὶ *προχέει* καὶ *βλύζει* καὶ τὰ τοιάδε, ὕστερον καὶ δι' ἡμᾶς. Οὐ λαμβάνει δὲ ὕστερόν τι τὸ Πνεῦμα,

ἀλλὰ τέλειόν ἐστιν ἐξ ἀρχῆς. Ταῦτα δὲ τὰ δῶρα κατὰ καιρὸν ἡμῖν παρεχόμενα, χαρίσματα τῆς μόνης Τριάδος, ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι χορηγούμενα, ὡς καὶ ὁ οὐρανὸς καὶ γῆ Λόγῳ Θεοῦ καὶ Πνεύματι δυνάμει δημιουργικῇ ἐστερέωνται, μία γὰρ ἐνέργεια τοῖς τρισίν. Εἷς αἴτιος ὁ Πατὴρ, καὶ τοῦ Λόγου μὲν καὶ Πνεύματος φυσικῶς, μετὰ τοῦ Λόγου δὲ καὶ Πνεύματος καὶ τῶν κτισμάτων αἴτιος δημιουργικῶς. Ἀναλόγως οὖν ἑκάστοτε τὰ χαρίσματα δίδοται. Καὶ Ἡσαΐας ἀριθμὸν χαρισμάτων λέγει τοῦ Πνεύματος· καὶ Παῦλος ὡσαύτως, ὃς καὶ περὶ Χριστοῦ φησιν· *Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς·* οὐ μόνον τὴν ὑπόστασιν ἐνταῦθα λέγων τοῦ Λόγου, ἀλλὰ καὶ τὰ φυσικὰ θεῖα χαρίσματα ὥσπερ ἔχων ἐκ τοῦ Πατρὸς, καὶ μετὰ τοῦ Πνεύματος δίδωσι. Διὸ καὶ κατερχόμενον ἐπ' αὐτῷ ἐφάνη τὸ Πνεῦμα· καὶ ἔμεινεν ἐπ' αὐτῷ. Οὐχ ὅτι καὶ αὐτὸ σεσάρκωται, ἢ ὑποστατικῶς ἐν τῷ θείῳ ἐκείνῳ κατῴκησε σώματι· ἀλλ' ὅτι πάντα ὅσαπερ ἔχει δωρήματα, ἐνέθηκε τῷ θείῳ ναῷ ἐκείνῳ ὡς καὶ ὁ Πατὴρ, εὐδοκήσας ἐν αὐτῷ ὁμοίως, καὶ ἀγαπητὸν Υἱὸν αὐτὸν ὀνομάσας, ὡς καὶ ὁ προφήτης ἔλεγεν· *Ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτῷ.* Ὁ μὲν οὖν Λόγος ὑποστατικῶς ἥνωται τῷ θείῳ προσλήμματι· οὐχ ὑποστατικῶς δὲ ἐν αὐτῷ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. Μόνος γὰρ ὁ Λόγος σεσάρκωται. Εἰ οὖν ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ τὸ Πνεῦμα ἐν αὐτῷ κατῆλθε καὶ ἔμεινε, κατὰ τὰ ἐνεργήματα καὶ τὰς δωρεὰς ἔμεινε, καὶ κατὰ τὸ συνεργεῖν τῷ Υἱῷ. Οὐκ ἄρα καθ' ὑπόστασιν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, καὶ ὃ δὲ ἡμεῖς λαμβάνομεν, χάρισμα λαμβάνομεν. *Καὶ ἐκ τοῦ πληρώματος* γὰρ, φησὶν, *αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.* Πολλοὶ δὲ ἡμεῖς, καὶ διάφορα λαμβάνομεν τὰ χαρίσματα. Ἀκολούθως οὖν οἱ ἅγιοι καὶ τὴν ἑρμηνείαν τιθέασι τοῖς ῥητοῖς. *Ἐκ τοῦ ἐμοῦ,* φησὶ, *λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν,* τουτέστιν ἐκ τῶν ἐμῶν λόγων, καὶ ἐκ τῆς ἐμῆς γνώσεως. Καὶ ἐνεφύσησε, καὶ λέγει αὐτοῖς, *Λάβετε Πνεῦμα ἅγιον·* περὶ τοῦ ἑνὸς χαρίσματος τοῦ λύειν καὶ δεσμεῖν αὐτὸ ἐκλαμβάνοντες· καὶ, *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει·* ὅτι ἐν αὐτῷ κατοικεῖ τοῖς χαρίσμασι πᾶσι καὶ σωματικῶς· καὶ, *Ἐξαπέστειλε τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ·* ὅτι ἐν αὐτῷ ὡς ὁμοφυές ἐστι, καὶ ἀδιαίρετον αὐτοῦ μένει· καὶ ταῖς δωρεαῖς ἀποστέλλεσθαι λέγεται. Τὰ τοιαῦτα οὖν δι' ἃ λέγεις τὴν ἐκπόρευσιν δηλοῦσθαι τοῦ Πνεύματος, τὸ, *Ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς,* λέγει, δεικνὺς κἀνταῦθα, ὅτι καὶ ἐκ τοῦ Πατρός ἐστι, καὶ ἔρχεται θελήσει τούτου καὶ τῇ ἑαυτοῦ δι' ἡμᾶς, ὡς μεταδῶσον ἡμῖν χάριτος καὶ σοφίας τῆς ὑπὲρ νοῦν, πρὸς τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ αὐτοῦ τοῦ Πνεύματος κατανόησίν τε καὶ κοινωνίαν ὡς δυνατόν. Ὃ δὴ καὶ ἐπράχθη, τῶν ἐν κόσμῳ πάντων πιστευσάντων ἐθνῶν, καὶ τῆς χάριτος κεκοινωνηκότων τῆς Τριάδος. Καὶ δῆλον ἀπὸ τοῦ βαπτίσματος ἐν Τριάδι τελουμένου, καὶ τῶν ἄλλων ἱερῶν τελε-

A dem Spiritusque naturaliter, cum Verbo autem ac Spiritu conditoris vi creaturarum causa; similiter ergo hic et illic data sunt charismata. et numerat Isaias Spiritus charismata, numerat quoque Paulus de Christo dicens: *In quo inhabitat omnis plenitudo divinitatis corporaliter,* ibi Verbi non solum personam dicens, sed et naturalia divina charismata quæ a Patre habens cum Spiritu dat: ideo super eum descendens ostensus est Spiritus et mansit super eum; non quia et ipse incarnatus est, aut personaliter divinum hoc habitavit corpus, sed quia omnia quotquot habet dona in divino illo deposuit templo, sicut et Pater similiter in eo bene sibi complacens, atque dilectum Filium vocans, ut aiebat propheta: *Dilectus* B *meus in quo sibi complacet anima mea, ponam Spiritum meum super eum.* Verbum ergo personaliter divinæ assumptioni unitum est, non personaliter vero in eo Pater et Spiritus; solum Verbum incarnatum est. Itaque in eo si omnis plenitudo divinitatis corporaliter, et Spiritus super eum descendit et mansit, secundum inspirationem et dona mansit et secundum cooperationem Filio, non consequenter secundum personam e Filio procedit (1); quod autem non accipimus, donum gratiæ accipimus. Etenim *de plenitudine ejus,* inquit, *nos omnes accepimus et gratiam pro gratia.* Porro multi nos et diversa accipimus charismata. Consequenter sancti interpretationem dictis apponunt. *De meo,* C ait, *accipiet et evangelizabit vobis,* hoc est, de sermonibus meis et doctrina mea. Et insufflavit et dicit eis: *Accipite Spiritum sanctum*; hoc de charismate solvendi atque ligandi illud accipientes; et, *Si quis Christi Spiritum non habet,* hoc, quia in eo habitat charismatibus omnibus et corporaliter. et, *Emisit Spiritum Filii sui*; hoc, quia in eo utpote ejusdem naturæ est, et individuus cum eo manet, et donis mitti dicitur. Verba igitur per quæ Spiritus demonstrari processionem contendis: *Ego mittam vobis a Patre,* illa profert Salvator ibi ostendens quod e Patre est et voluntate Patris eaque propter nos venit Spiritus, gratiam nobis daturus et sapientiam super sensum ad Patris et Filii et ejus Spiritus intelligentiam et societatem quantum licet; D quod et factum est, credentibus in orbe populis omnibus et Trinitatis gratiam communicantibus; quod patet de Baptismo in Trinitate collato et de aliis sanctis operationibus. Est ergo e Patre sicut et Filius, Spiritus sanctus absque initio, inseparabilis a Patre et Filio est, sicut et ejusdem naturæ, et angelis atque nobis in tempore opportuno manifestatur; de Filio vero subsistentiam non habet, sicut divinus scribit Damascenus; causa enim eorum qui ex ipso sunt solus Pater. Si igitur causam qua habuit esse Spiritus novisset Salvator a se ipso, non siluisset, qui bonus est, et ideo veniens ut testimonium perhiberet de veritate. E Patre Spiritus est,

(1) Error aperte continuatus.

sicut ait Patris Verbum, quandoquidem solus causa principiumque est Pater æternorum illorum qui ex eo sunt, Filii unigeniti et Spiritus: cum Verbo autem et Spiritu, natura Dominus adhuc idem et universorum causa conditoris ratione, non exsistentibus omnia exsistentia constituens, Pater scilicet cum Verbo et Spiritu. Itaque nunquam separatus a Filio Spiritus, sed quemadmodum absque principio Pater semper est, ita secundum naturam similiter sine principio Filius et Spiritus, et hæc ex ipso in ipsoque naturaliter: sine imperfectis enim motibus et corpore Pater et perfectus et perfectorum fons est. Ideo una sine initio, prout dictum est, exsistentibus ex ipsius natura Filio et Spiritu, individue et in se invicem hæc sunt, et una potentia, motione et energia agnoscuntur; et sicut divinus ait Maximus, in Filio est et in Spiritu Pater, et Filius in Patre et Spiritu, et Spiritus sanctus in Patre et Filio, optimeque divina afflati sapientia Patres, divinam veritatem docent, Christo obsequentes.

A τῶν. Ἔστιν οὖν ἐκ τοῦ Πατρὸς ὡς καὶ ὁ Υἱὸς τὸ Πνεῦμα τὸ ἅγιον προανάρχως· καὶ ἀδιαίρετον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐστιν ὡς συμφυές· καὶ τοῖς ἀγγέλοις δὲ καὶ ἡμῖν κατὰ καιρὸν φανεροῦται. Ἐκ τοῦ Υἱοῦ δὲ οὐκ ἔχει τὴν ὕπαρξιν, ὡς καὶ ὁ θεῖος γράφει Δαμασκηνός. Αἴτιος γὰρ τῶν ἐξ αὐτοῦ μόνος ὁ Πατήρ. Εἰ οὖν ἐγίνωσκε τὴν αἰτίαν τοῦ εἶναι τὸ Πνεῦμα καὶ ἐξ αὐτοῦ ὁ Σωτήρ, οὐκ ἂν ἐσίγησεν ἀγαθὸς ὤν, καὶ διὰ τοῦτο ἐλθών, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ. Ἔστι τοίνυν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ὡς ὁ τοῦ Πατρὸς ἔφη Λόγος· ἐπεὶ καὶ μόνος αἴτιος καὶ ἀρχή ἐστιν ὁ Πατὴρ τῶν ἀϊδίων ἐξ αὐτοῦ ὄντων, μονογενοῦς Υἱοῦ τε καὶ Πνεύματος. Σὺν τῷ Λόγῳ δὲ καὶ τῷ Πνεύματι **308** φύσει Δεσπότης πάλιν ὁ αὐτὸς, καὶ μία τῶν ὅλων αἰτία δημιουργικῶς, ἐξ οὐκ ὄντων B πάντα ὑποστησάμενος, ὁ Πατὴρ δηλαδὴ μετὰ τοῦ Λόγου καὶ Πνεύματος. Διὸ οὐδὲ κεχωρισμένον τοῦ Υἱοῦ τὸ Πνεῦμά ποτε, ἀλλ' ὥσπερ ἀνάρχως ἀεί ἐστιν ὁ Πατήρ, καὶ κατὰ φύσιν ἀνάρχως ὁμοῦ ἐξ αὐτοῦ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· καὶ ἐπεὶ ταῦτα ἐξ αὐτοῦ, καὶ ἐν αὐτῷ φυσικῶς· ἀπαθὴς γὰρ ὢν ὁ Πατὴρ καὶ ἀσώματος καὶ τέλειος, καὶ τελείων ἐστὶ πηγή. Διὸ καὶ συνανάρχως, ὡς εἴρηται, ὄντων ἐξ αὐτοῦ φύσει τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἀδιαιρέτως ταῦτα καὶ ἐν ἀλλήλοις εἰσὶ, καὶ μιᾷ δυνάμει καὶ κινήσει καὶ ἐνεργείᾳ γνωρίζονται. Καὶ ὡς ὁ θεῖός φησι Μάξιμος, ὁ Πατὴρ ἐν τῷ Υἱῷ ἐστι καὶ τῷ Πνεύματι· καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ καὶ τῷ Πνεύματι· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ καλῶς οἱ Πατέρες καὶ θεόσοφοι θεολογοῦσι, τῷ Χριστῷ ἑπόμενοι.

Qui ex Patre procedit.

De causa testimonium perhibentes quia Pater est: dicunt vero, *qui cum Patre et Filio adoratur et glorificatur*, propter naturam eamdem et individuam ejus e Patre et Filio sortem, imo exinde e Patre divina scientia loquentes Spiritum clare ostendunt. Erubescant ergo novitatem spargentes; primo quidem dixerunt Patres: *Qui ex Patre procedit*, nullo modo statuentes *et e Filio*; deinde, *qui cum Patre et Filio simul adoratur et conglorificatur*: omnibus ergo patet quod Spiritus causam a Patre docet esse illud, *e Patre Spiritum sicut et Filium* dicentes, illud vero: *Qui cum Patre et Filio simul adoratur et conglorificatur*, Trinitatis individuum docet et voluntatis potentiæque in tribus unitatem. Nemo ergo blasphemet, nemo dicere audeat quod Verbum Deus homo factus divinam pandens scientiam non enarravit; nec adhuc: *Mittam*, et, *De meo accipiet*, et similia, prætextus ad blasphemandum novator invenire fingat: hæc futuri temporis et propter nos, Spiritus vero ante tempora, nos autem posterius facti, plasmati, et charismatibus donati sumus, et accepto Spiritu non Spiritus personam accepimus nec divinitatis naturam, sed gratiam et donum, quod et pro viribus nostris et ordine congruo, et hic Christi propheta, ille apostolus, iste magister et linguis loquens et sanationes efficiens, huic sapientiæ sermo, illi scientiæ datus est, alii interpretatio; alii discretio spirituum: hæc autem omnia operatur unus et item Spiritus, distribuens singulis prout vult, ut ait Paulus. Cæterum charisma Spiritus, non naturam accipit qui Spiritum accipit; et insufflasse et dixisse, Accipite Spiritum sanctum, non tunc processisse docet Spi-

Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

Τὸν αἴτιον μαρτυροῦντες, ὅτι ὁ Πατήρ ἐστι. Τὸ δὲ, *σὺν Πατρὶ καὶ Υἱῷ προσκυνούμενον καὶ δοξα-* C *ζόμενον*, λέγουσι διὰ τὸ ὁμοφυές τε καὶ ἀδιαίρετον τούτου ἐκ τοῦ Πατρός τε καὶ Υἱοῦ· καὶ μᾶλλον ἐντεῦθεν ἐκ τοῦ Πατρὸς θεολογοῦντες τὸ Πνεῦμα δείκνυνται ἀριδήλως. Αἰσχυνέσθωσαν οὖν οἱ καινοτομοῦντες. Πρότερον μὲν γὰρ εἰρήκασιν οἱ Πατέρες, *τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον*, μὴ προσθέντες μηδαμῶς, *καὶ ἐκ τοῦ Υἱοῦ*, ὕστερον δ' αὖ, *τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον*. Δῆλον οὖν ἅπασιν ὅτι ἐκεῖνο μὲν τὴν ἐκ τοῦ Πατρὸς αἰτίαν τοῦ Πνεύματος διδάσκει, *ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα ὡς καὶ ὁ Υἱὸς*, λέγοντες, τὸ δὲ, *σὺν Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον*, τὸ ἀδιαίρετον τῆς Τριάδος, καὶ τὸ ὁμοβουλές τε καὶ ὁμοδύναμον. Μηδεὶς τοίνυν βλασφημείτω, μηδὲ τολμάτω λέγειν, ὅπερ ὁ Θεὸς Λό- D γος ἐνανθρωπήσας θεολογῶν οὐκ ἐθέσπισε. Καὶ πάλιν μὴ τὸ *πέμψω*, καὶ τὸ *ἐξ ἐμοῦ λήψεται*, καὶ τὰ τοιαῦτα, προφάσεις εἰς τὸ βλασφημεῖν ὁ καινοτομῶν εὑρισκέτω. Ταῦτα γὰρ μέλλοντος χρόνου καὶ δι' ἡμᾶς· τὸ δὲ Πνεῦμα προῆν. Ἡμεῖς δὲ γεγόναμεν καὶ ἀνεπλάσθημεν καὶ ἐχαριτώθημεν ὕστερον· καὶ λαβόντες Πνεῦμα, οὐχ ὑπόστασιν ἐλάβομεν Πνεύματος, οὐδὲ φύσιν θεότητος· ἀλλὰ χάριν καὶ δωρεὰν, καὶ ταύτην τῆς δυνάμεως ἡμῶν καὶ τάξεως ἀναλόγως. Καὶ ὁ μὲν ἔστι προφήτης Χριστοῦ, ὁ δὲ ἀπόστολος, ὁ δὲ διδάσκαλος, καὶ γλώσσαις λαλῶν, καὶ ἰάματα ἐνεργῶν. Καὶ τῷ μὲν λόγος σοφίας δίδοται, τῷ δὲ γνώσεως, ἄλλῳ δὲ ἑρμηνεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων. Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ὡς βούλε-

ται, καθά φησι Παῦλος. Λοιπὸν χάρισμα καὶ οὐ φύσιν λαμβάνει Πνεύματος ὁ λαμβάνων τὸ Πνεῦμα. Καὶ τὸ ἐμπνεῦσαι δὲ καὶ εἰπεῖν, *Λάβετε Πνεῦμα ἅγιον*, οὐ τότε παρίστησιν ἐκπορευθῆναι τὸ Πνεῦμα· καὶ γὰρ ἄναρχόν ἐστιν, οὐδ' ὑποστατικῶς δίδοται. Μία δὲ χάρις τοῦ Πνεύματος, τὸ λύειν τε καὶ δεσμεῖν, ὡς καὶ αὐτὰ διδάσκουσι τὰ ἑπόμενα· *Ἄν τινων γάρ*, φησίν, *ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται*. Καὶ τὰ λοιπὰ τοίνυν, ὡς εἴρηται, τῶν Γραφικῶν τε καὶ Πατρικῶν ῥητῶν, τὴν ἴσην ἔννοιαν περιφέρουσι, περὶ τῶν εἰς ἡμᾶς δωρεῶν τοῦ Πνεύματος δοθεισῶν ὕστερον ἐκδιδάσκοντα. Ὃ καὶ γινώσκοντες οἱ Πατέρες καὶ μαρτυροῦντες, οὕτω μὲν οὗτοι ἐν τῷ Συμβόλῳ τῆς πίστεως ἀπεφήναντο· καὶ οἱ μετ' αὐτοὺς δὲ πάντες ἔστερξαν ὁμοθυμαδόν· καὶ πάντες ἐν τούτῳ βεβαπτισμένοι τῷ ὅρῳ, καὶ πάντες ἐν τούτῳ τὴν ἱερωσύνην λαβόντες, καὶ τὰς ψυχὰς Θεῷ παραθέμενοι, θαυμάτων δυνάμεσι καὶ πολλοῖς χαρίσμασιν ἄλλοις παρὰ Θεοῦ ἐδοξάσθησαν. Μηδεὶς οὖν παρερμηνευέτω τὰ τούτων ἔνθεα ῥήματα, μηδὲ καινοτομείτω τι, δῆθεν ἄλλα συνάγων ἐκ τῶν συγγεγραμμένων αὐτοῖς, μήτε συνεὶς τὰ λεγόμενα, μήτε μὴν τὸν σκοπὸν αὐτῶν ἐννοῶν. Στηκέτω δὲ ἄτρεπτος ἅπας πιστὸς ἐν τῇ
309 ἀσφαλεῖ τῶν Πατέρων ὁμολογίᾳ τῆς πίστεως, ἣν ὁμοῦ τε πάντες ἐξέθεντο, καὶ ὁμοῦ πάντες διεφυλάξαντο. Καὶ οὕτω φιλονεικία μὲν ἔσται πόῤῥω πᾶσα καὶ σχίσμα καὶ ταραχή· εἰρήνη δὲ ἣν ἐφύτευσεν ὁ Χριστὸς ταῖς Ἐκκλησίαις ἀνατελεῖ. Ἕπεται μὲν γὰρ τοῖς φιλονείκως ἔχουσιν ἔρις, ἐξ ἔριδος δὲ μάχη, ἐκ δὲ μάχης τί τῶν μὴ δεινῶν; Δοῦλον δὲ Κυρίου οὐ χρὴ μάχεσθαι. Εἰ οὖν βούλει μένειν ἀσφαλής, μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ Πατέρες σου.

A ritum qui absque initio est, nec naturæ unione datur; una vero spiritus gloria, solvere et ligare, sicut et docent quæ sequuntur: *Quorum remiseritis peccata, remittuntur eis; quorum retinueritis, retenta sunt.* Et reliqui, sicut dictum est, Scripturæ et Patrum sermones ad eumdem sensum tendunt, de Spiritus donis nobis collatis adhuc docentes; quod cognoscentes Patres testimonium perhibent et sic in Symbolo fidei exposuerunt, et qui post eos omnes unanimiter consenserunt, et omnes in hac regula baptizati, in hac, sacerdotio accepto, animabusque Deo traditis, prodigiorum gratia atque multis aliis charismatibus apud Deum glorificati sunt. Nemo ergo diverse eorum divina verba interpretetur, nec novitatis quidquam spargat, alia scilicet e scriptis ab eis concludens, nec intelligens B quæ dicuntur, nec eorum finem comprehendens. Stet autem fidelis omnis in tuta firmus Patrum fidei confessione, quam unanimiter omnes et proposuerunt et servaverunt; sic procul quidem erit lis omnis, et schisma et tumultus; pax vero quam insevit Christus in Ecclesiis orietur. Nam sequitur quidem iis qui in litibus sunt disceptatio, de disceptatione pugna, et de pugna quid, quod non sit terribile? Servum vero Christi disputare non oportet. Itaque tutus manere si velis, ne æternas immutes quas posuerunt Patres tui regulas.

Τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον.

Μία γὰρ λατρεία παρὰ τῆς κτίσεως ἀναφέρεται καὶ τιμὴ τῇ Τριάδι· ἐπεὶ καὶ τῆς Τριάδος πάντα δημιουργήματα.

C *Qui cum Patre et Filio simul adoratur.*

Unica enim latria a creatura, unus et honor Trinitati tribuitur, eo quod Trinitatis omnia opera.

Καὶ συνδοξαζόμενον.

Τῇ γὰρ αὐτῇ δυνάμει, δόξῃ τε καὶ θεότητι γνωριζόμενόν ἐστι τὸ Πνεῦμα τοῦ Πατρός τε καὶ Υἱοῦ, καὶ προνοούμενόν ἐστι τῶν κτισμάτων καὶ ζωοποιοῦν πάντα· καὶ ἴσως μετὰ τοῦ Πατρὸς καὶ τοῦ Λόγου δοξάζεται.

Et conglorificatur.

Eadem enim virtute, gloria, divinitate noscitur Spiritus ac Pater et Filius et creaturarum providens est, cuncta vivificans, et pariter cum Patre et Verbo glorificatur.

Τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Οὐδὲ γὰρ μόνον ἐν τοῖς ἀποστόλοις ὕστερον πεφανέρωται, ἀλλὰ καὶ ἐν τοῖς προφήταις ἦν, εἰ καὶ ἀμυδρῶς πως ἐδείκνυτο· καὶ οὐδεὶς ἐκείνων ἐλάλει δίχα τοῦ Πνεύματος. Διὸ καὶ Μωϋσῆς Πνεῦμα εἶχε· καὶ Πνεῦμα οἱ ἑβδομήκοντα ἄνδρες ἔλαβον· καὶ Δαβὶδ Πνεῦμα ἐζήτει καὶ εἶχε· καὶ οἱ λοιποὶ τῶν δικαίων καὶ προφητῶν ἐκ τῶν χαρισμάτων τούτου ἀναλόγως ἕκαστος· καὶ ἐν τῇ δημιουργίᾳ τῶν ὅλων συνδημιουργὸν ἦν τῷ Πατρὶ καὶ τῷ Λόγῳ, ὡς καὶ ὁ Δαβὶδ μαρτυρεῖ, *Τῷ λόγῳ Κυρίου*, λέγων, *στερεωθῆναι τοὺς οὐρανούς, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ τὴν ἐκείνων δύναμιν*· καὶ ἐν τῷ νόμῳ πρώην τὸν Ἀαρὼν τελειοῦν, καὶ χρίσμα παρέχον καὶ τελετὰς ἐνεργοῦν· καὶ Πνεῦμα Κυρίου τὸ ἐμπλῆσαν Βεσελεήλ· καὶ ὁ τῶν προφητῶν δὲ χορὸς τοῦτο δείκνυσι, Πνεύματι Θεοῦ προορῶν καὶ τερατουργῶν. Ἀλλὰ καθαρώτερον καὶ λαμπρότερον οἱ

Qui locutus est per Prophetas; in unam, sanctam, catholicam et apostolicam Ecclesiam.

Non enim tantum in Apostolis recens manifestatus est, sed et in Prophetis, licet quasi per nebulam ostenderetur; quorum nullus sine Spiritu loquebatur. D Itaque Spiritum habuit Moyses et acceperant septuaginta viri; quæsivit et habuit David, et justorum prophetarumque cæteri proportionate ex ejus charismatibus unusquisque aliquid habuit; et in universorum creatione, una cum Patre et Verbo creator erat, testante David dicente, *Verbo Domini firmatos cœlos et Spiritu oris ejus omnem eorum virtutem*; et in lege antea Aaron perficiens Spiritus et chrisma præbens et consecrationes operans, et Domini Spiritus Bezeleel replevit; demonstrat illud prophetarum chorus in Dei Spiritu prævidens et portenta operans. Sed purius et splendidius Salvatoris Christi discipuli acceperunt sedentem super eos sub ignitarum linguarum specie Spiritum:

quo magis patet illud, scilicet si purius apparuit apostolisque datum est et per eos credentibus, non tamen hujus datam esse personam : quomodo enim quod sine partibus est multis partibus constabit, et quod sine figura materiaque, in materia et figura erit? Sed data sunt charismata et Christi discipulis latiora quam prophetis. Non enim ad nationem unam, sed ad omnes missi sunt, et confestim proprium ipsis charisma : *Loquebantur* enim, inquit, *linguis, et prophetabant*. Itaque per ipsos Spiritu afflatos renovatus est orbis, verum in Trinitate Deum agnoscens, et Deo adhæsit Spiritus gratiam accipiens.

A τοῦ Σωτῆρος Χριστοῦ μαθηταὶ τοῦτο ἔλαβον, ἐπικαθίσαντος αὐτοῖς τοῦ Πνεύματος ἐν εἴδει πυρίνων γλωσσῶν· ὃ δὴ μᾶλλον δηλοῖ ὅτι εἰ καὶ καθαρώτερον ἐπεφάνη, καὶ ἐδόθη τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πιστεύσασιν, ἀλλ' οὐχ ὑπόστασις δέδοτο τούτου· πῶς γὰρ τὸ ἀμερὲς πολυμερές; καὶ τὸ ἀσχημάτιστον καὶ ἄϋλον, ὡς ἐν ὕλῃ καὶ σχήματι; ἀλλὰ τὰ χαρίσματα δέδοται. Καὶ ἐξήπλωτο μᾶλλον ταῦτα ἐν τοῖς Χριστοῦ μαθηταῖς ἢ ἐν τοῖς προφήταις. Οὐ γὰρ εἰς ἔθνος ἕν, ἀλλ' εἰς πάντας ἐξαπεστέλλοντο· καὶ οἰκεῖον εὐθὺς τὸ χάρισμα. *Ἐλάλουν* γὰρ, φησὶ, *γλώσσαις, καὶ προεφήτευον*. Διὸ καὶ δι' αὐτῶν Πνεύματι κινουμένων ἡ κτίσις ἀνεκαινίσθη, τὸν ὄντως ἐπιγνοῦσα Θεὸν τὸν ἐν Τριάδι· καὶ Θεῷ ἡνώθη, τὴν χάριν λαβοῦσα τοῦ Πνεύματος.

Qui locutus est per prophetas.

B *Τὸ λαλῆσαν διὰ τῶν προφητῶν.*

Quia Christi præcones isti et Dei Spiritu, ut dictum est, acti, loquentes in unam, sanctam, catholicam et apostolicam Ecclesiam. In unam quidem, quia idem legis et gratiæ Deus, et quia una facta est angelorum et hominum super fundamentum apostolorum et prophetarum fundata, et qui una fides, unum baptisma, et unus Christus, qui eam congregavit, hujus lapis angularis et fundamentum. Sanctam vero tanquam a Spiritu sanctificatam et Christo unitam per baptismum et chrisma, sacerdotium et aliorum mysteriorum communionem, absque macula et Christo desponsatam. Catholicam autem tanquam e populis cunctis Christo congregatam, vera scientia ditatam, et a prophetis fundamento posita per apostolos ædificatam, martyrum, pontificum et ascetarum laboribus et sanguine decoratam et famatam et perfectam apparentem, Trinitatis scientiam pure habentem, Christum qui prædicatus est, unum e Trinitate incarnatum Filium Dei cum Petro confitentem. Apostolicam vero tanquam specialiter ab apostolis collectam, compositam, et firmatam, post Christum apparentibus ipsis hujus fundamentis et conditoribus, ex omni lingua et populo universorum Domino et magno Pastori, gregem congregantibus conjunctim apostolis omnibus; ideo vera Ecclesia in toto mundo piorum congregatio, et catholica, Ecclesia orthodoxorum fidem confitentium cœtus, licet secundum locum Ecclesiæ catholicæ quædam dicantur, propter datum illis a Patribus honorem, quæ hoc recte incedentes, non male cogitantes possederunt, cum ipse Salvator, Petri non negationem, sed confessionem petram vocaverit, scilicet : *Tu es Christus Filius Dei vivi*, et super hanc petram ædificatum iri suam ait Ecclesiam. Proinde catholica Ecclesia hi sunt qui recte cum Petro et cæteris apostolis confitentur (Ecclesiam dicit) tanquam e cunctis populis convocatam et super angularem lapidem Christum consolidatam, semel ipsi unitam et integram ejus fidem servantem.

Ὅτι κήρυκες καὶ οὗτοι Χριστοῦ, θείῳ κινούμενοι, ὡς εἴρηται, Πνεύματι, καὶ λαλοῦντες εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Εἰς μίαν μὲν, ὅτι ὁ αὐτὸς Θεὸς τοῦ νόμου τε καὶ τῆς χάριτος, καὶ ὅτι μία γέγονεν ἀγγέλων τε καὶ ἀνθρώπων, τεθεμελιωμένη ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· καὶ ὅτι μία πίστις, ἓν βάπτισμα, καὶ εἷς ὁ Χριστὸς ὁ ταύτην συναγαγὼν, ὁ ἀκρογωνιαῖος λίθος αὐτῆς καὶ θεμέλιος· ἁγίαν δὲ, ὡς τῷ Πνεύματι καθηγιασμένην, καὶ τῷ Χριστῷ ἡνωμένην, διά τε βαπτίσματος καὶ χρίσματος, ἱερωσύνης τε καὶ κοινωνίας καὶ τῶν λοιπῶν μυστηρίων, ἄσπιλον οὖσαν, καὶ νενυμφευμένην Χριστῷ· καθολικὴν δὲ, ὡς ἐκ πάντων τῶν ἐθνῶν τῷ Χριστῷ συναχθεῖσαν, καὶ τὴν

C ἀληθῆ γνῶσιν πλουτήσασαν, καὶ ἐκ τῶν προφητῶν μὲν προθεμελιωθεῖσαν, ἐκ **310** τῶν ἀποστόλων δὲ οἰκοδομηθεῖσαν, μαρτύρων τε καὶ ἱεραρχῶν καὶ ἀσκητῶν πόνοις τε καὶ αἵμασι κατακοσμηθεῖσαν καὶ στηριχθεῖσαν, καὶ τελείαν ἀναφανεῖσαν, τὴν γνῶσιν τῆς Τριάδος καθαρῶς ἐσχηκυῖαν, τὸν προκηρυττόμενον Χριστὸν τὸν ἕνα τῆς Τριάδος σεσαρκωμένον μετὰ τοῦ Πέτρου Υἱὸν Θεοῦ καθομολογοῦσαν· ἀποστολικὴν δὲ, ὡς ἐξαιρέτως παρ' αὐτῶν καὶ συναθροισθεῖσαν καὶ συστᾶσαν καὶ στηριχθεῖσαν, μετὰ Χριστὸν θεμελίων αὐτῶν αὐτῆς καὶ οἰκοδόμων ἀναφανέντων, ἐκ πασῶν γλωσσῶν καὶ πάντων ἐθνῶν τῷ Δεσπότῃ τῶν ὅλων, καὶ μεγάλῳ Ποιμένι, ποίμνην συναγαγόντων τῶν ἀποστόλων πάντων ὁμοῦ, διὸ καὶ ἀληθὴς Ἐκκλησία ἡ ἐν ὅλῳ τῷ κόσμῳ τῶν εὐσε-

D βούντων συνάθροισις· καὶ καθολικὴ Ἐκκλησία ἡ τῶν ὀρθοδόξων ὁμολογούντων τὴν πίστιν ὁμήγυρις, εἰ καὶ κατὰ τόπον ἐκκλησίαι καθολικαί τινες λέγονται διὰ τὴν δεδομένην αὐταῖς ἐκ τῶν Πατέρων τιμήν. Καὶ αὗται δὲ τοῦτο ὀρθοτομοῦσαι κέκτηνται, οὐ κακοφρονοῦσαι· ἐπεὶ καὶ αὐτὸς ὁ Σωτὴρ οὐ τὴν ἄρνησιν, ἀλλὰ τὴν ὁμολογίαν τοῦ Πέτρου πέτραν ὠνόμασε, τὸ, *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναι αὐτοῦ ἔφη τὴν Ἐκκλησίαν. Ὥστε καθολικὴ Ἐκκλησία οἱ ὁμολογοῦντες αὐτὸν μετὰ τοῦ Πέτρου καὶ τῶν λοιπῶν ἀποστόλων ὀρθῶς. Ἐκκλησίαν λέγει, ὡς ἐκ πάντων τῶν ἐθνῶν συναχθεῖσαν, καὶ ὡς συντεθειμένην ἐπὶ τῷ ἀκρογωνιαίῳ λίθῳ Χριστῷ, ἡνωμένην αὐτῷ καθάπαξ, καὶ ἀσινῆ τούτου τὴν πίστιν φυλάττουσαν.

Confiteor unum baptisma in remissionem peccatorum.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Donorum maximum; non enim legalis ablutio quædam, non oblatio sensibilis aut victima quæ

Καὶ τοῦτο τῶν δωρημάτων τὸ μέγιστον· οὐ γὰρ νομική τις ἔκπλυσις, οὐδὲ λατρεία αἰσθητὴ ἢ θυ-

σία, ἃ καὶ οὐκ ἴσχυον καθαίρειν τελούμενα καὶ πολλάκις, καὶ ταῦτα ὑπὲρ λογικῶν ἄλογα προσαγόμενα. Μήπω γὰρ τῆς ἀληθείας ἀναφανείσης τοῦ ἀναμαρτήτου Χριστοῦ, μηδὲ τῆς ζώσης θυσίας τοῦ σώματος αὐτοῦ διὰ σταυροῦ ἀνενεχθείσης, οὐδὲ κάθαρσις τελεία, οὐδὲ ἀνακαίνισις ἦν. Ἐπεὶ δὲ τοῦτο γέγονε, καὶ Χριστὸς ἐτύθη ὑπὲρ ἡμῶν, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ τὸ ὕδωρ ἔχομεν καὶ τὸ αἷμα, τούτοις ἀναμορφούμεθα· καὶ τῷ μὲν αἵματι ζῶμεν, τῷ δὲ ὕδατι ἡνωμένῳ τῷ Πνεύματι, τρὶς καταδυόμενοι, καθαιρόμεθα τῇ ἐπικλήσει τῆς παντουργοῦ Τριάδος, εὐθύς τε ἀναπλαττόμενοι, υἱοὶ φωτὸς καὶ υἱοὶ Θεοῦ κατὰ χάριν γινόμεθα, τὸν ἀληθινὸν Υἱὸν ἐνδυόμενοι Ἰησοῦν Χριστὸν τὸν Θεὸν ἡμῶν. Εὑρίσκεται γὰρ ὁ ὑπὲρ ἡμῶν βαπτισθεὶς μεθ' ἡμῶν ἐν τῷ ὕδατι, καὶ τὴν αὐτοῦ τῆς ἀφθαρσίας καὶ ἁγιωσύνης μορφὴν ἐντίθησιν ἡμῖν. Καὶ βοᾷ τοῦτο Παῦλος· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε*· καὶ τούτου χάριν Χριστὸς βεβάπτισται, ἵνα τὴν χάριν τοῦ Πνεύματος, καὶ τὸ εἶδος τῆς ἁγιωσύνης αὐτοῦ ἐνθῇ τῷ ὕδατι. Καὶ πᾶς βαπτιζόμενος τῷ τοῦ Πνεύματος ὕδατι, τῇ ἐπικλήσει τῆς Τριάδος λαμβάνει τὸ εἶδος τῆς ἐν σαρκὶ καθαρότητος καὶ ἀναμαρτησίας καὶ φωταυγείας Χριστοῦ. Καὶ τοῦτό ἐστι τὸ βάπτισμα· ἄνθρωπος ἐνδυόμενος τὸν Χριστὸν ἀοράτως, καὶ ἀναμάρτητος ὅλως καὶ πλήρης Πνεύματος γίνεται· καὶ εἰ φυλάξει τὴν χάριν, ὡς τῶν κεχαριτωμένων ἔφη τις προφήτης, ἀπόστολος, καὶ ἄγγελος γίνεται. Καὶ οὐ θαυμαστόν· εἰ γὰρ σύμμορφος Χριστοῦ υἱοθετηθεὶς κατὰ χάριν, πολλῷ γε μᾶλλον καὶ ἀγγέλων γενέσθαι σύμμορφος δύναται. Ταύτην τὴν δωρεὰν δέδωκεν ἡμῖν ὁ Χριστὸς, ὁ τοῦ Θεοῦ Λόγος, ὁ πλάσας ἡμᾶς ἐξ ἀρχῆς, καὶ νῦν ἀναπλάσας ἐπὶ τὸ κρεῖττον, ὅστις ἀπαθῶς σαρκωθεὶς ἐκ Παρθένου, καὶ ἀπαθῶς γεννηθεὶς, ἀπαθῶς καὶ ἡμᾶς ἐκ τῆς πλευρᾶς αὐτοῦ καὶ πνευματικῶς τίκτει, καὶ ποτίζει, καὶ τρέφει, καὶ ζωογονεῖ Πνεύματι. Αἵματος γὰρ καὶ ὕδατος ἐκ τῆς αὐτοῦ ῥευσάντων πλευρᾶς, τῷ ὕδατι μὲν, ὡς εἴρηται, ἀναγεννᾷ σὺν τῷ Πνεύματι, τῷ αἵματι δὲ ζωοποιεῖ. Καὶ οὐκ ἔστι χωρὶς τούτου σωθῆναι. Ὅθεν καὶ ἀσυνετοῦντες τῶν αἱρετιζόντων πολλοὶ μετὰ ἀσεβούντων, πρὸς τοῦτο τῶν δαιμόνων συγκινούντων αὐτοὺς, κατὰ τῶν **311** ἱερῶν τούτων καὶ σωστικῶν τοῦ Χριστοῦ μυστηρίων ἐξόχως φέρονται, τοῦ βαπτίσματος δηλαδὴ τοῦ θείου, καὶ τῆς ἱερᾶς μεταλήψεως, ὡς ἂν μὴ τούτων ἐπιτυχόντες, τῆς αἰωνίου ζωῆς ἀποτύχωσιν. Ἀπόφασις γὰρ φρικτὴ καὶ κατὰ τῶν μὴ τὸ βάπτισμα δεξαμένων, καὶ κατὰ τῶν μὴ τυχόντων τῆς ζωοποιοῦ κοινωνίας. *Ἐὰν μὴ ἀναγεννηθῆτε* γὰρ, φησὶ, *δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*· καὶ, *Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν αἰώνιον ἐν ἑαυτοῖς.* Ἓν οὖν τὸ θεῖον βάπτισμα, ὅτι καὶ εἷς Κύριος ὁ τοῦτο παραδεδωκὼς καὶ ἅπαξ αὐτὸς σταυρωθεὶς ὑπὲρ ἡμῶν, καὶ ἅπαξ αὐτὸς ἐκχέας τὸ αἷμα, καὶ θυσίαν αὐτοῦ τῷ Πατρὶ ὑπὲρ ἡμῶν δεδωκώς. Καὶ τοῦτό φησι Παῦλο, *Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα.* Οὐκ

A purificare non valebant offerentes sæpeque iterantes pro rationalibus irrationabilia adducta. Quandiu enim non apparuit innocentis Christi veritas; quandiu non per crucem ejus corporis exaltata est viva victima, nulla purificatio perfecta, nulla renovatio fuit. Sed cum hoc factum est, et propter nos immolatus est Christus, e cujus latere aquam habemus et sanguinem, his immutamur. Hujus sanguine vivimus, in aquam vero cui adjungitur Spiritus ter immersi, per omnipotentis invocationem Trinitatis mundamur, confestimque reformati filii lucis et filii Dei secundum gratiam efficimur, verum Filium Jesum Christum Dominum nostrum induti. Invenitur enim qui propter nos baptizatus est nobiscum in aqua et incorruptionis

B sanctitatisque suæ formam nobis donat, quod clamat Paulus: *Quicumque in Christo baptizati estis, Christum induistis*; cujus causa Christus baptizatus est ut Spiritus gratiam et sanctitatis ejus formam in aqua poneret. Et quivis Spiritus aqua baptizatus cum Trinitatis invocatione, Christi in carne puritatis, innocentiæ et splendoris formam assumit. Et hoc est baptisma: homo Christum invisibiliter indutus, innocens prorsus Spirituque plenus fit; quam si servat gratiam, sicut e gratia sanctificatis ait quidam propheta, apostolus et angelus fit. Nec mirum: qui enim similis cum Christo formæ secundum gratiam Filius adoptatus est, multo magis et angelorum formam participare valet. Hanc gratiam dedit nobis Christus Dei Verbum, qui nos in principio

C plasmavit, et nunc in melius recreat; qui sine carnali opera incarnatus e Virgine editusque sine carnis opera et nos e latere suo spiritualiter parturit et poculo donat, nutrit et in Spiritu vivificat. Ex ejus enim latere manantibus sanguine et aqua quidem, ut dictum est, in Spiritu nos parturit, sanguine vero vivificat; nec est absque hoc salus. Exinde imprudentes inter hæreticos multi, cum impiis quos ad id agunt dæmones, adversus sancta hæc et salutaria Christi mysteria ardenter involvuntur, nempe baptismum divinum sacramque participationem sicut nec illa adipiscentes, æterna vita frustrantur. Damnatio enim horrenda et eorum qui baptisma non receperunt, et eorum qui vivi-

D ficantis communionis non participes fiunt: *Nisi*, inquit, *renati fueritis ex aqua et Spiritu, non intrabitis in regnum cœlorum*; et, *Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, æternam non habebitis vitam in vobis.* Unum igitur divinum baptisma, quia et unus qui dedit Dominus, qui semel pro nobis crucifixus sanguinem effudit, hostiam se Patri pro nobis dando. Quod dicit Paulus: *Unus Dominus, una fides, unum baptisma.* Non est igitur baptisma alterum post illud, nec altera secundum gratiam remissio, regeneratio, reformatio, nec similis a peccato liberatio. Si autem dicitur altera, pœnitentia est quæ per labores multos fit; confessione enim opus est et humiliatione, lacrymis et contritione, lucta pro-

visibus et misericordia et adhuc precibus continuis, ut illam assequamur. Est alia remissio, fidei confessio et martyrium pro Christo; quæ vix et in tempore opportuno offertur. Ideo *unum baptisma in remissionem peccatorum.*

A ἔστιν οὖν ἄλλο βάπτισμα μετὰ τοῦτο, οὐδ' ἄλλη κατὰ χάριν ἄφεσις, οὐδ' ἀναγέννησις ἢ ἀνάπλασις, οὐδ' ἀπολύτρωσις ὁμοία ἐξ ἁμαρτίας. Εἰ δὲ καὶ λέγεται δευτέρα, ἡ τῆς μετανοίας ἐστὶ, καὶ διὰ πόνων ἐπὶ πολλῶν αὕτη γίνεται· ἐξαγορεύσεως γὰρ χρεία καὶ ταπεινώσεως, δακρύων τε καὶ συντριβῆς, ἀγώνων τε κατὰ δύναμιν καὶ ἐλέους, καὶ προσευχῶν ἔτι συνεχῶν, ἵνα ἐπιτύχωμεν ταύτης. Ἔστι καὶ ἄλλη ἄφεσις ἡ τῆς ὁμολογίας καὶ μαρτυρίας Χριστοῦ· καὶ αὕτη μόλις καὶ κατὰ καιρὸν παρέχεται. Διὰ τοῦτο *ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.*

Exspecto resurrectionem mortuorum.

Multa de hoc plerumque quæstio dubitantium de resurrectione tum infidelium, tum fidelium quod insipiens est præsertim indubitantibus fidelibus, verbis et operibus mortuorum resurrectionem docente Domino, qui a mortuis resurrexit. Propter nos enim resurrexit, ut resurgamus: itaque dubitator Christi resurrectionem spernit. Vere tamen Christus surrexit, de quo testimonium præbet seminata radicibusque defixa in toto mundo ejus fides. Et Christi virtute resurgent mortui, quod verbis olim multi resuscitati mortui clare testati sunt, omnisque creatura illud enarrat tum luminis refulgentia et vi, tum omnium rerum per partes motu, tum hominum animaliumque ortu, fructuum germinatione seminumque solo ingestorum quam docuit Paulus corruptionis fore terminum. Mundus enim incorrupti creatura et semper exsistentis illud omne, et aliquando cessabit corruptio. Sic Paulus testimonium reddit, et renovabitur quidem creatio, sicut scriptum est, imprimis vero omnium pretiosissimus homo, qui solus dignus æstimatus est in corpore suo organis instructo rationalis vitæque animæ possidendæ, et cum corpore animæ opere agendi; et hoc aliquando recipiet ut animal perfectum inveniatur glorificandum aut castigandum. Quin et propter animal illud corruptio facta est: quemadmodum igitur novum cœlum, nova terra in melius immutabitur, et homo perfectus corpore et anima erit, in melius immutatus; obtemperansque Ecclesia magistro suo Jesu Christo, qui dixit: *Deus non est mortuorum, sed vivorum,* mortuorum annuntiat resurrectionem in Symbolo dicens: *Exspecto resurrectionem mortuorum,* hoc est corporum nostrorum, non aliorum animabus nostris unitorum. Pergit:

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Πολλὴ περὶ τούτου τοῖς πολλοῖς ἡ ζήτησις, ἀπίστων τε καὶ πιστῶν περὶ τῆς ἀναστάσεως διαπορουμένων. Ὃ δὴ καὶ ἀλόγιστόν ἐστι καὶ μᾶλλον τοῖς γε διαποροῦσι πιστοῖς, τοῦ Κυρίου καὶ λόγοις διδάσκοντος τὴν ἀνάστασιν τῶν νεκρῶν, καὶ ἔργοις, ὡς ἐκ νεκρῶν ἀναστάντος· δι' ἡμᾶς γὰρ ἀνέστη, ἵν' ἡμεῖς ἀναστῶμεν. Ὁ οὖν διαπορούμενος ἀθετεῖ Χριστοῦ τὴν ἀνάστασιν. Ἀλλ' ἀνέστη Χριστὸς ἀληθῶς. B Καὶ τοῦτο μαρτυρεῖ ἡ σπαρεῖσα καὶ ῥιζωθεῖσα πίστις αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ. Καὶ οἱ νεκροὶ ἀναστήσονται δυνάμει Χριστοῦ· ὡς καὶ λόγοις τοῦτο πολλοὶ πρότερον ἀναστάντες νεκροὶ σαφῶς ἐμαρτύρησαν, πάσης τῆς κτίσεως καὶ τοῦτο κηρυττούσης ἀπό τε ἀναλάμψεως καὶ ἐνεργείας τοῦ φωτὸς, ἀπό τε τῆς κατὰ μέρος πάντων κινήσεως, ἀπό τε γενέσεως ἀνθρώπων καὶ ζώων, ἐκ φύσεώς τε καρπῶν, καὶ τῶν καταβαλλομένων σπερμάτων, ὡς καὶ Παῦλος ἐδίδαξε· καὶ ὅτι τῆς φθορᾶς ἔσται τέλος· ὁ γὰρ κόσμος ἀφθάρτου κτίσμα, καὶ τοῦ ἀεὶ ὄντος, τόδε τὸ πᾶν· καὶ στήσεταί ποτε ἡ φθορά. Καὶ τοῦτο Παῦλος ἐπεμαρτύρησε. Καὶ ἀνακαινισθήσεται μὲν ἡ κτίσις, ὡς γέγραπται· τὸ τιμιώτατον δὲ μᾶλλον ἁπάντων ἄνθρωπος, ὁ C σῶμα μόνον ὀργανικὸν λογικῆς καὶ ζώσης ψυχῆς ἀξιωθεὶς κεκτῆσθαι, καὶ σὺν αὐτῷ μετὰ τῆς ψυχῆς ἐνεργεῖν· καὶ λήψεται τότε τοῦτο, ὡς ἂν τὸ ζῶον τέλειον εὑρεθῇ, ἢ δοξαζόμενον, ἢ κολαζόμενον· ἐπεὶ καὶ μᾶλλον διὰ τὸ ζῶον τοῦτο ἡ φθορὰ γέγονεν. Ὥσπερ οὖν καινὸς ὁ οὐρανὸς, καὶ καινὴ ἔσται γῆ ἐπὶ τὸ κρεῖττον ἀλλοιωθέντα· οὕτω καὶ ἄνθρωπος τέλειος ἔσται μετὰ ψυχῆς τε καὶ σώματος, ἐπὶ τὸ κρεῖττον ἀλλοιωθείς. Καὶ ἡ Ἐκκλησία τῷ διδασκάλῳ ταύτης ἑπομένη, ὅς ἐστιν Ἰησοῦς Χριστὸς, εἰρηκότι, *Ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων,* ἀνάστασιν κηρύττει νεκρῶν, λέγουσα τῷ Συμβόλῳ· *Προσδοκῶ ἀνάστασιν νεκρῶν,* τουτέστι σωμάτων τῶν ἡμετέρων, καὶ οὐχ ἑτέρων, ἑνωθέντων τότε ταῖς ἡμετέραις ψυχαῖς. Ἐπάγει δέ·

Et vitam venturi sæculi. Amen.

Quæ sine decessu fineque erit, et quemadmodum vita perpetua, et sors unicuique sive remissionis, sive castigationis, nullo fine, nullo termino præfinita. Sed ex hac parte impiorum multi in seipsos delirant, futuræ damnationis æternitatem auferre audentes; quod diaboli fraude doloque ipsis accidit, ut castigationis finem sperantes, nihil malitiæ quod non agant relinquant. Si enim pœnarum terminus, peccatum omne tandem remittendum, et qui Deum negaverunt et male pii et impii cum piis sanctisque erunt aliquando glorificati; porro quis magis impius sermo? Si castigationis, et regni

D *Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.*

Ἥτις ἀπέραντος ἔσται καὶ ἀτελεύτητος· καὶ ὡς ἡ ζωὴ διηνεκὴς, καὶ ὁ κλῆρος ἑκάστῳ, εἴτε ἀνέσεως, εἴτε κολάσεως, ἀπέραντος ἔσται καὶ ἀτελεύτητος. Ἀλλὰ καὶ ὧδε πολλοὶ τῶν δυσσεβούντων καθ' ἑαυτῶν φληναφῶσι, τὸ διαιωνίζον ἀναιρεῖν τολμῶντες τῆς μελλούσης κολάσεως. Τοῦτο δὲ γέγονεν αὐτοῖς ἐξαπάτῃ καὶ δόλῳ τοῦ πονηροῦ, ὡς ἂν τέλος προσδοκήσαντες **312** τιμωρίας, μηδὲν ἄπρακτον ἀπολίπωσι πονηρίας. Εἰ γὰρ κολάσεως τέλος, ἁμαρτία πᾶσα συγχωρητέα ποτὲ, καὶ οἱ Θεὸν ἀρνησάμενοι καὶ ἀσεβοῦντες καὶ δυσσεβεῖς ἔσονται σὺν τοῖς εὐσεβέσι καὶ ἁγίοις ποτὲ δοξαζόμενοι. Καὶ τίς ἀσεβέστε-

ρος τούτου λόγος; εἰ τέλος κολάσεως, καὶ τέλος βασιλείας, καὶ οὐ δικαιοσύνη παρὰ τῷ Θεῷ. Ἀλλὰ δίκαιος ὁ Κύριος καὶ δικαιοσύνας ἠγάπησε. Διὸ καὶ δικαίως ἀποφαίνεται λέγων περὶ τῶν τῆς ἀριστερᾶς μερίδος, ὡς, *Ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον*, οὐ πρόσκαιρον· περὶ δὲ τῶν τῆς δεξιᾶς, *Καὶ οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον*, οὐ λήγουσαν ὅλως. Καὶ πάλιν περὶ τῶν ἁμαρτωλῶν, *Ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται*. Καὶ δικαίως. Ἐνταῦθα γὰρ ὁ τῆς ἐπιδιορθώσεως τῶν ἐπταισμένων καιρὸς, καὶ ὁ τόπος ὧδε, ὅτε τὸ αὐτεξούσιον ἐν ἡμῖν. Τότε δὲ καιρὸς εἷς, καὶ καιρὸς διαστάσεως καὶ ἀνταποδόσεως τῶν κατ' ἀξίαν ὧν ἕκαστος ἠρετίσατο. Ἀλλὰ μηδεὶς ἀπογινώσκων ἑαυτοῦ, ἢ καθηδυνόμενος ἁμαρτίαις, ἢ πλάνῃ τινὶ κατεχόμενος ἐξαπατάτω ἑαυτὸν τοῖς τοιούτοις· ἡ γὰρ κόλασις τοῖς μὴ μετανοοῦσιν αἰώνιος. Διὰ τοῦτο καὶ μετάνοια, καὶ αὕτη ἄχρι τῆς ἐσχάτης ἀναπνοῆς· εἰ γὰρ ἐκεῖσε χρεία ταύτης ὑπῆρχεν, οὐκ ἂν ὅλως ἐνταῦθα δίδοται. Ἀλλὰ καὶ τί θαυμαστὸν ἂν ἡ τοῦ Σωτῆρος οἰκονομία εἰργάσατο, εἰ μετάνοια ἦν ἐκεῖσε ἢ τέλος κολάσεως; Ὁρᾷς τῶν ἀσεβούντων τὴν ἀφροσύνην; Ἀλλ' ἐπεὶ καὶ Θεὸς ἐν ἀνθρώποις, καὶ μυστήρια Θεοῦ δίδοται, καὶ λόγοι μέχρι παθῶν, καὶ οἱ ἀγωνισταὶ μέχρις αἵματος, καὶ μετάνοια τελευταῖον, ὁμολογήσωμεν ὃ παρὰ τοῦ Σωτῆρος ἡμῶν καὶ τῶν ἀποστόλων ἡμῖν παρεδόθη καὶ τῶν Πατέρων, *Προσδοκῶ ἀνάστασιν νεκρῶν*, λέγοντες, *καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος*, αἰώνιον δηλαδή. Καὶ τὸ Ἀμὴν ἐπειπόντες, ὃ δὴ τοῦ παντὸς ἱεροῦ Συμβόλου βεβαιωτικόν ἐστι καὶ σφραγὶς, οἷόν τις κλεὶς ἀποκλείουσα τοὺς ἔξωθεν, καὶ φυλάττουσα ὡς ἐν ταμείῳ τινὶ καλλίστῳ τῆς Ἐκκλησίας τὸν τῆς πίστεως θησαυρὸν, ἵνα μή τίς τι ἐκ τούτου ἀφέληται, ἢ νόθον τι ἐπεισαγάγῃ, αὐτὸ τὸ θεῖον καὶ ἱερώτατον καὶ τέλειον πάντοθεν τῆς εὐσεβείας ἡμῶν σημεῖον, τὴν ὁμολογίαν τῶν Πατέρων, τὸν ὅρον τῆς ἀληθοῦς πίστεως ἐνστερνιζόμενοι καὶ ἀσπαζόμενοι, ταῖς ψυχαῖς καὶ τῇ γλώττῃ καὶ χείλεσι μετὰ παῤῥησίας ὁμολογοῦντες, ἀσινῆ ἐν ἑαυτοῖς καὶ ἀκίβδηλον καὶ ἀπαράθραυστον πάντη, ὡς θεοφορήτων καὶ θεοδοξάστων καὶ θεοκινήτων Πατέρων ἱερὰν παρακαταθήκην, μέχρι τέλους φυλάξωμεν· ἵνα ταῖς πρεσβείαις τῶν ἐκθεμένων αὐτὸ καὶ φυλαξάντων ἁγίων, καὶ τῶν πρὸ αὐτῶν, ἐξ ὧν τὴν γνῶσιν οὗτοι τοῦ Συμβόλου παρέλαβον, καὶ πάντων ὁμοῦ τῶν ἁγίων, τῶν τε ἱερῶν ἀγγέλων λιταῖς, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ ἀειπαρθένου Μητρὸς, τῆς μόνης Παναγίας καὶ ἀληθῶς Θεομήτορος, ὡς δῶρον καθαρὸν τὴν καλὴν ταύτην ὁμολογίαν προσενεγκόντες τῇ Τριάδι, τῆς τε αἰωνίου ἐλευθερωθῶμεν κολάσεως, καὶ τῆς διαιωνιζούσης σὺν Χριστῷ ἀπολαύσωμεν θείας αὐτοῦ τοῦ Χριστοῦ βασιλείας καὶ δόξης καὶ ἀπολαύσεως, αἰωνίως αὐτὸν τὸν Χριστὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος δοξάζοντες, σὺν τῷ προαιωνίῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι. Ἀμήν.

A terminus? et non est justitia apud Deum? Sed justus Dominus et justitias dilexit. Propterea juste de iis qui ad sinistram erunt decernit dicens quod *ibunt hi in supplicium æternum*, non temporarium; de iis vero qui ad dexteram erunt: *Et justi in vitam æternam* nullo modo cessantem. Et iterum de peccatoribus: *Vermis eorum non moritur, et ignis non exstinguitur*; et merito. Nam lapsorum nunc correctionis tempus et locus, ubi liberum nostrum est arbitrium. Tunc autem dies unica, divisionis dies et retributionis juxta meritum prout elegit quisque. Sed nemo sui conscientiam habens, aut peccatis illectus, aut errore quadam irretitus, sibi in talibus illudat: æternum non pœnitentibus supplicium, ideo pœnitentia ad extremum usque B spiritum; qua si ibi opus est, illic nequaquam dabitur. Quid mirum Salvatoris œconomia operata erit, si illic esset pœnitentia vel supplicii terminus? Vides impiorum insipientiam? Sed quandoquidem Deus apud homines et Dei mysteria data sunt, et sermones usque ad passionem, et athletæ usque ad sanguinem et pœnitentia finalis, confiteamur quod nobis a Salvatore nostro et apostolis et Patribus traditum est, *Exspecto resurrectionem mortuorum*, dicentes, *et vitam venturi sæculi*, æternam videlicet. Et *Amen* subsequens pronuntiantes totius sane sancti Symboli confirmationem et sigillum, quasi clave quadam his qui foris sunt viam claudentes, in optimo gazophylacio Ecclesiæ C fidei thesaurum servemus, ne quis ab eo quidquam auferat aut spurium quid introducat; divinum id, sanctissimum omninoque perfectum pietatis nostræ signum, Patrum confessionem, veræ fidei regulam amanter amplectentes, animabus, lingua, labiis cum fiducia confitentes, integrum in nobis ipsis, inviolatum, nequaquam adulteratum, quasi a Deo afflatorum, glorificatorum et actorum Patrum sacrum depositum usque ad finem custodiamus; ut per intercessionem sanctorum qui illud exposuerunt servaveruntque, et eorum qui ante illos vixerunt, a quibus ipsi Symboli scientiam acceperunt, et omnium simul sanctorum; et per cœlestium angelorum preces atque Salvatoris nostri et Dei Jesu Christi semper virginis Matris solius sanctis- D simæ et vere Dei Genitricis, tanquam purum donum pulchram hanc Trinitati offerentes confessionem, et ab æterno liberemur supplicio, et æterno cum Christo ipsius Christi fruamur regno, gloria et deliciosa possessione, perpetuo eumdem Dei viventis unigenitum Filium Christum glorificantes cum ejus Patre, qui est ante sæcula, et sanctitatis perfectæ Spiritu. Amen.

ΕΚΘΕΣΙΣ ΤΟΥ ΑΥΤΟΥ

ΑΝΑΓΚΑΙΟΤΑΤΗ

ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΙΕΡΟΥ ΣΥΜΒΟΛΟΥ ΡΗΣΕΩΝ

Ὅθεν συνελέγησαν, καὶ κατὰ τίνων αὗται συγκείμεναί εἰσιν.

—

EJUSDEM EXPOSITIO

UTILISSIMA

DE SACRI SYMBOLI VOCIBUS ET DICTIS

Ex quibus S. Scripturæ locis collecta et adversus quos composita fuerint.

—

Operæ pretium est exponere quomodo sanctissimum Symbolum a Patribus inspirante Deo sit exaratum, ut plane sciamus quam pie sapienterque illud scripserint, scientiam et sententias non ex seipsis, sed ex divinis oraculis omnino exquirentes. Omnes igitur fere sententias divini Symboli ex sanctis Scripturis desumpserunt, ut hic breviter ostendetur.

1. Contra Græcos et Judæos et cæteros gentiles sive qui Deum non confitentur, sive qui Deum quidem agnoscentes illum tamen non credunt Patrem esse unigeniti Verbi et producentem Spiritum sanctum.

Credo.

Evangelii : Tu credis in Filium Dei.[1] Et : Creditis in Deum, et in me credite[2]. — *Apostoli :* Crede in Dominum Jesum[3].

In unum Deum.

Evangelii : Ut cognoscant te solum Deum verum[4]. — *Fratris Domini :* Tu credis quia Deus unus est[5]. — *Pauli :* Et nobis unus Deus, Pater ex quo omnia et nos ex ipso[6], et unus Dominus Jesus Christus per quem omnia.

Patrem.

Evangelii : Ascendo ad Patrem meum et Patrem vestrum[7]. Et : Pater sancte, et mundus te non cognovit[8]. Et : Ad Patrem meum vado[9]. Et : Ego rogabo Patrem *meum*[10]. Et : An... non possum rogare Patrem meum[11]. Et : Pater mi, in manus tuas commendo spiritum meum[12]. — *Petri :* Benedictus Deus et Pater Domini nostri Jesu Christi[13]. — *Pauli :* Deus et Pater Domini nostri Jesu Christi scit[14].

A **313** Καλὸν ἐκθέσθαι καὶ ὅθεν τὸ ἱερώτατον παρὰ τῶν θείων Πατέρων συνετέθη Σύμβολον, ἵνα γνῶμεν ὡς οὐδ' αὐτοὶ ἐξ ἑαυτῶν, ἀλλ' ἐκ τῶν θείων χρησμῶν ἐρανισάμενοι τὰς ῥήσεις τε καὶ τὴν γνῶσιν, εὐσεβοφρόνως αὐτὸ συνεγράψαντο. Σχεδὸν οὖν πᾶσαι αἱ τοῦ θείου Συμβόλου ῥήσεις ἐκ τῶν ἁγίων εἰσὶ Γραφῶν, ὡς κατὰ μέρος ῥηθήσεται.

α'. Κατὰ Ἑλλήνων καὶ Ἰουδαίων, καὶ ἐθνικῶν, καὶ λοιπῶν πάντων ἀσεβῶν, τῶν μὲν τὸν Θεὸν μὴ ὁμολογούντων, τῶν δὲ Θεὸν μὲν εἶθεν λεγόντων, οὐ Πατέρα δὲ τοῦ μονογενοῦς Λόγου, ἢ προβολέα τοῦ ἁγίου Πνεύματος,

Πιστεύω.

Εὐαγγελίου · Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ.
B Καὶ, Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. — *Ἀποστόλου* · Πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν.

Εἰς ἕνα Θεόν.

Εὐαγγελίου · Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν. — *Τοῦ Θεαδέλφου* · Πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι. — *Παύλου* · Καὶ ἡμῖν εἷς Θεὸς, ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐξ αὐτοῦ. Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα.

Πατέρα.

Εὐαγγελίου · Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν. Καὶ, Πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω. Καὶ, Πρὸς τὸν Πατέρα μου πορεύομαι. Καὶ, Ἐρωτήσω τὸν Πατέρα μου. Καὶ, Ἢ οὐ δύναμαι
C ἄρτι παρακαλέσαι τὸν Πατέρα μου. Καὶ, Πάτερ μου, εἰς χεῖράς σου παραθήσομαι τὸ Πνεῦμά μου. — *Πέτρου* · Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. — *Παύλου* · Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν.

[1] Joan. IX, 35. [2] Joan. XIV, 1. [3] Incerti. [4] Joan. XVII, 3. [5] Jac. II, 19. [6] I Cor. VIII, 6. [7] Joan. XX, 17. [8] Joan. XVII, 25. [9] Joan. XIV, 12. [10] ibid. 16; XVI, 26. [11] Matth. XXVI, 53. [12] Luc. XXIII, 46. [13] Imo Pauli, II Cor. I, 3. [14] II Cor. XI, 31.

Παντοκράτορα. A

Ζαχαρίου· Τάδε λέγει Κύριος παντοκράτωρ. Καὶ, Ἐπὶ τὸν οἶκον Κυρίου παντοκράτορος. Καὶ, Λέγει Κύριος παντοκράτωρ. — *Ἰεζεκιήλ*· Ἀδωναῒ Κύριε, ὅ ἐστι παντοκράτωρ. Καὶ τὸ Σαβαὼθ δὲ παντοκράτωρ ἑρμηνεύει. Ὃ καὶ πάσῃ τῇ Τριάδι ἀνατίθησιν Ἡσαΐας, λέγων, Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ. — *Εὐαγγελίου*· Πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς. — *Δαβίδ*· Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. — *Ἐπιστηθίου*· Ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ Παντοκράτωρ.

β'. Κατὰ Ἑλλήνων μὴ λεγόντων πάντων αἴτιον ἐκ τοῦ μὴ ὄντος τὸν Θεὸν, μηδὲ τῶν ὅλων προνοητήν.

B

Ποιητὴν οὐρανοῦ καὶ γῆς.

Μωϋσέως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. — *Εὐαγγελίου*· Πάτερ, **314** Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς.

Ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Παύλου· Εἴτε ὁρατὰ, εἴτε ἀόρατα, πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται. Ἐκ τοῦ Πατρὸς δηλονότι διὰ τοῦ Χριστοῦ. — *Δαβίδ*· Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

γ'. Κατὰ Ἑλλήνων καὶ Ἰουδαίων τὸν Χριστὸν ἀθετούντων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ.

C

Παύλου· Καὶ ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός. — *Εὐαγγελίου*· Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Καὶ, Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ, Κἀγὼ ἑώρακα καὶ πεπίστευκα ὅτι οὗτός ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ, Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Καὶ, Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσωσιν ὅτι οὗτός ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Καὶ, Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. Καὶ, Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε. — *Καὶ ὁ ἠγαπημένος*· Ἵνα γινώσκητε περὶ τοῦ Μονογενοῦς.

δ'. Κατὰ Ἀρείου κτίσμα τὸν Υἱὸν λέγοντος.

Τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

D

Εὐαγγελίου· Ἐκ τοῦ Πατρὸς ἦλθον, καὶ ἥκω. Καὶ, Ἐξῆλθον ἐκ τοῦ Πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον. — *Ἰωάννου*· Πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. — *Εὐαγγελίου*· Καὶ νῦν δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Καὶ, Ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός. Καὶ, Ὃς ἦν ἀπαρ-

Omnipotentem.

Zachariæ : Hæc dicit Dominus omnipotens [15]. Et : Super domum Domini omnipotentis [16]. Et : Dicit Dominus omnipotens [17]. — *Ezechiel :* Adonai Domine, qui est omnipotens [18]. Porro illud *Sabaoth* significat Omnipotens priori voce utitur propheta ut posteriorem sensum exprimat ; idemque Isaias toti Trinitati attribuit, dicens : Sanctus, sanctus, sanctus Dominus Sabaoth [19]. — *Evangelii :* Pater, Domine cœli et terræ [20]. — *David :* Quia in manu ejus sunt fines terræ [21]. — *Discipuli qui requievit in pectore Domini :* Qui est, et qui erat, et qui venturus est, Omnipotens [22].

2. Contra Græcos negantes Deum omnia e nihilo creasse, nec omnium esse gubernatorem.

Creatorem cœli et terræ.

Moysis : In principio creavit Deum cœlum et terram [23]. — *Evangelii :* Pater, Domine cœli et terræ [24].

Visibilium omnium et invisibilium.

Pauli : Sive visibilia, sive invisibilia, omnia per ipsum et in ipsum condita sunt [25]. Ex Patre evidenter et sine dubio per Christum. — *David :* Ipse dixit, et facta sunt : ipse mandavit, et creata sunt.

3. Contra Græcos et Judæos Christum negantes.

Et in unum Dominum Jesum Christum Filium Dei unigenitum.

Pauli : Et nobis unus Deus Pater, et unus Dominus Jesus Christus [26]. — *Evangelii :* Ut cognoscant te solum Deum verum, et quem misisti Jesum Christum [27]. Et : Tu es Christus Filius Dei vivi [28]. Et : Ego quoque intellexi et credidi quia hic est Christus Filius Dei. Et : Tu credis in Filium Dei [29] ? Et : Hæc autem scripta sunt ut credant quia ille est Christus Filius Dei [30]. Et : Unigenitus Filius qui est in sinu Patris, ipse enarravit [31]. Et : Sic Deus dilexit mundum, ut Filium suum unigenitum daret [32]. — *Et discipulus dilectus :* Ut cognoscatis de Unigenito.

4. Contra Arium creaturam dicentem Filium.

Ex Patre natum ante omnia sæcula.

Evangelii : Ex Patre exivi et venio [33]. Et : Exivi a Patre et veni in mundum [34]. — *Joannis :* Omnis qui diligit eum qui genuit, diligit et eum qui natus est ex eo [35]. — *Evangelii :* Et nunc clarifica me tu, Pater, ... claritate quam habui prius quam mundus esset apud te [36]. In principio erat Verbum [37]. Et : Qui est in sinu Patris [38]. Et : Qui erat in princi-

[15] Zachar. III, 7 et alibi passim. [16] Zachar. XIV, 17, 21. [17] Jerem. XXXI, 9. [18] Vox Adonai nullibi in Ezechiele reperitur ; nam ubicunque Judæi tetragrammaton inveniunt, ibi legunt non *Jehovah*, sed *Adonai*, Dominus. [19] Isa. VI, 3. [20] Matth. XI, 25. [21] Psal. XCIV, 4. [22] Apoc. I, 8 ; IV, 8 ; XI, 17. [23] Gen. I, 1. [24] Matth. XI, 25. [25] Lectio hæc verbis istis non reperi, nisi in Epistola ad Colossenses, I, 16, ubi legitur in Græco : Τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε, etc. [26] I Cor. VIII, 6. [27] Joan. XVII, 3. [28] Matth. XVI, 16. V, 1. [29] Joan. IX, 35. [30] Joan. XX, 31. [31] Joan. [32] Joan. III, 16. [33] Joan. XVI, 28. [34] ibid. [35] Joan. [36] Joan. XVII, 5. [37] Joan. I, 1. I, 18. [38] ibid. 18.

pio. — *Apostoli* : Novissimis diebus locutus est nobis A in Filio, per quem et sæcula condidit — *Proverbiorum* : Ab æterno ordinavit me, ante omnes colles parturivit me [59].

5. Contra eos qui impie blasphemant Filii unigeniti generationem fuisse impassibilem.

Lumen de lumine.

Evangelii : Ut testimonium perhiberet de lumine [60]. Et : Erat lux vera quæ illuminat omnem hominem venientem in hunc mundum [61]. — *David* : In lumine tuo videbimus lumen [62]. — *Pauli* : Qui est splendor gloriæ [63].

Deum verum de Deo vero.

B *Discipuli dilecti* : Ipse est Deus verus et vita æterna [64]. Et : Sumus in vero [Deo] et in Filio ejus Jesu Christo [65]. — *Evangelii* : Ego sum veritas [66]. — *Pauli* : Secundum manifestationem gloriæ magni Dei et Salvatoris nostri Jesu Christi [67].

Genitum.

Proverbiorum : Ante omnes colles parturivit me [68]. — *Evangelii* : Ego in hoc natus sum, et ad hoc veni [69]. — *Discipuli dilecti* : Qui diligit eum qui genuit, diligit et eum qui natus est ex eo [70].

6. Contra Arium et Eunomium.

Non factum.

C Genitus est, non factus, sicut omnes creaturæ factæ sunt, nam et ipse est creator omnium. — *Pauli* : Per quem fecit et sæcula [71]. — *Sapientiæ* : Qui fecisti omnia verbo tuo [72].

6. Contra Arium et Eudoxium et cæteros impios idem sentientes.

Consubstantialem Patri.

Evangelii : Ego et Pater unum sumus [73]. Et Non scitis quia ego in Patre et Pater in me est [74]? Et : Qui videt me, videt et Patrem [75]. — *Pauli* : Qui est splendor gloriæ et figura substantiæ ejus [76]. Et : Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens [76*].

Per quem omnia facta sunt.

D *Paulus* : Per quem fecit et sæcula [77]. Et : Omnia per ipsum et in ipso creata sunt. Et : Ipse est ante omnes, et omnia in ipso constant [78]. — *Evangelii* : Omnia per ipsum facta sunt et sine ipso factum est nihil quod factum est [79]. — *Proverbiorum* : Ab æterno ordinavit me [80]. Illud testatur in Patre esse ab æterno et immutabiliter sedem Sapientiæ ejus qua velut præcingitur. Sicut et illud : Dominus constituit me in initio viarum suarum, ad opera sua, prædocet incarnationem et vitam Salvatoris

χῆς. — *Ἀποστόλου* · Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. — *Παροιμιῶν* · Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με.

ε'. Κατὰ τῶν δυσσεβῶς βλασφημούντων εἰς τὴν ἀπαθῆ τοῦ μονογενοῦς Υἱοῦ γέννησιν.

Φῶς ἐκ φωτός.

Εὐαγγελίου · Ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Καὶ ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. — *Δαβίδ* · Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. — *Παύλου* · Ὃς ὢν ἀπαύγασμα τῆς δόξης.

Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ.

Τοῦ ἠγαπημένου · Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος. Καὶ, Ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. — *Εὐαγγελίου* · Ἐγώ εἰμι ἡ ἀλήθεια. — *Παύλου* · Κατὰ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Γεννηθέντα.

Παροιμιῶν · Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. — *Εὐαγγελίου* · Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα. — *Τοῦ ἠγαπημένου* · Ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.

ϛ'. Κατὰ Ἀρείου καὶ Εὐνομίου.

Οὐ ποιηθέντα.

Γεγέννηται γὰρ, οὐ πεποίηται μετὰ τῶν κτισμάτων. Ὅτι αὐτὸς πάντων ποιητής. — *Παύλου* · Δι' οὗ
815 καὶ τοὺς αἰῶνας ἐποίησε. — *Τῆς Σοφίας* · Ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου.

ζ'. Κατὰ Ἀρείου καὶ Εὐδοξίου, καὶ τῶν ὁμοφρόνων ἐκείνοις δυσσεβῶν.

Ὁμοούσιον τῷ Πατρί.

Εὐαγγελίου · Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. Καὶ, Οὐκ οἴδατε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί; Καὶ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. — *Παύλου* · Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Καὶ ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών.

Δι' οὗ τὰ πάντα ἐγένετο.

Παύλου · Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. Καὶ, Πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται. Καὶ, Αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. — *Εὐαγγελίου* · Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε. — *Παροιμιῶν* · Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. Τοῦτο δὲ τὴν ἐν τῷ Πατρὶ μαρτυρεῖ τῆς ζώσης σοφίας αὐτοῦ προαιώνιον καὶ ἀκίνητον ἵδρυσιν · ὡς καὶ τὸ, Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, τὴν ἐνανθρώπησιν προσημαίνει, δι' ἧς τὰ μεγάλα ἔργα τῆς σωτη-

[59] Prov. viii, 23, 25. [60] Joan. i, 8. [61] ibid. 9. [62] Psal. xxxv, 10. [63] Hebr. i, 3. [64] I Joan. v, 20. [65] ibid. [66] Joan. xiv, 6. [67] Tit. ii, 13. [68] Prov. viii, 25. [69] Joan. xviii, 37. [70] I Joan. v, 1. [71] Hebr. i, 3. [72] Sap. ix, 1. [73] Joan. x, 30. [74] Joan. xiv, 10. [75] ibid. 7. [76] Hebr. i, 3. [76*] Philipp. ii, 6. [77] Hebr. i, 3. [78] Coloss. i, 17. [79] Joan. i, 3. [80] Prov. viii, 23.

ρίας ἡμῶν κατειργάσατο ὕστερον· ὡς καὶ τὸ, «Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν.» Τὰ ἐξαρχῆς ἔργα δηλῶν. Καὶ τὸ, Πάντα ἐν σοφίᾳ ἐποίησας. Καὶ τὸ, Ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου. Τὸ, Κύριος δὲ ἔκτισέ με, φησὶ, καὶ ἀντὶ τοῦ δημιουργεῖν καὶ κτίζειν τὰ ἔργα αὐτοῦ δι' ἐμοῦ τῆς σοφίας αὐτοῦ εὐδόκησε. Καὶ ὁ Δαβὶδ τοῦτο μαρτυρεῖ· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. Καθαρώτερον δὲ τὴν διὰ σαρκὸς αὐτοῦ ἐπιφάνειαν τὸ, Κύριος ἔκτισέ με, διδάσκει, ὡς ἔφημεν.

η'. Κατὰ Μανιχαίων καὶ δυσσεβῶν ἄλλων, τὴν τοῦ Θεοῦ Λόγου οἰκονομίαν ἀθετούντων.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους.

Παύλου· «Τὰ γὰρ πάντα δι' ἡμᾶς. Καὶ, Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. Καὶ, Ἐπειδὴ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν.

Καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν.

Ἡσαΐου· Οὐκ ἄγγελος, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς. — *Πέτρου·* Περὶ ἧς σωτηρίας ἐξεζήτησαν. — *Εὐαγγελίου·* Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Καὶ, Ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Καὶ, Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί. Καὶ, Οὗτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός.

θ'. Προφητικῶς κατὰ Νεστορίου καὶ λοιπῶν ἀσεβῶν, τὴν τοῦ Θεοῦ Λόγου μὴ λεγόντων σάρκωσιν, καὶ καταβλασφημούντων κατὰ φαντασίαν ὀφθῆναι.

Κατελθόντα ἐκ τῶν οὐρανῶν.

Ἀποστόλου· Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβάς; — *Εὐαγγελίου·* Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ. — *Παύλου·* Ὁ γὰρ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας.

ι'. Κατὰ τῶν ληρούντων αἱρετικῶν, ἕτερον σῶμα καὶ μὴ ὁμοούσιον ἡμῖν ἀνειληφέναι τὸν Λόγον.

Καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου.

Ἡσαΐου· Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν. — *Εὐαγγελίου·* Καὶ πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Μὴ φοβοῦ, Μαριάμ. Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ Υἱόν. **318** Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Καὶ πρὸς τὸν Ἰωσήφ. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου. Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκεν τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον. — *Παύλου·* Καὶ ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός. — *Εὐαγγελίου·* Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

A inter homines, per quam opera mirabilia nostræ salutis in finem operatus est. Sicut et illud : Deus in sapientia fundavit terram ; principium operum ejus ostendens. Et illud : Omnia in sapientia fecisti. Et illud : Qui fecisti omnia in verbo tuo ; et denique cum dicit, Dominus posuit me, laudem habuisse sapientiæ intelligitur antequam operaretur et crearet. Quod et David testatur dicens : Verbo Domini cœli firmati sunt [61]. Melius autem docetur manifestatio ejus in carne his verbis : Dominus fundavit me, ut diximus.

8. Contra Manichæos et alios impios qui Verbi Dei œconomiam rejiciunt.

Qui propter nos homines.

B *Pauli :* Omnia enim propter vos [62]. Et : Si Deus pro nobis, quis contra nos [63]? Qui etiam proprio filio suo non pepercit, sed pro nobis omnibus tradidit illum [64]. Et : Quia ergo pueri communicaverunt carni et sanguini, et ipse similiter participavit eisdem [65].

Et propter nostram salutem.

Isaiæ : Neque angelus, neque sacerdos, sed ipse Dominus salvavit nos [66]. — *Petri :* De qua salute exquisierunt [67]. — *Evangelii :* Non veni ut judicem mundum, sed ut salvificem mundum [68]. Et : Ut salvetur mundus per ipsum [69]. Et : Quia salus ex Judæis est [70]. Et : Ipse est vere Salvator mundi Christus [71].

C 9. Prophetice contra Nestorium et cæteros impios negantes Incarnationem Verbi Dei ; et adversus eos qui eum blasphemant apparuisse in phantasmate.

Descendit de cœlis.

Apostoli : Qui descendit ipse est et qui ascendit [72]. — *Evangelii :* Quia descendi de cœlo [73]. — *Pauli :* Deus enim misit Filium suum in similitudinem carnis peccati [74].

10. Adversus vanas hæreticorum fabulas quibus Verbum assumpsisse corpus dissimile nostro affirmant.

Et incarnatus est de Spiritu sancto, ex Maria Virgine.

D *Isaiæ :* Ecce Virgo concipiet in utero et pariet Filium [75]. — *Evangelii :* Et quomodo fiet istud, quoniam virum non cognosco ? Ne timeas, Maria. Ecce concipies in utero, et paries filium ... Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi [76]. Et ad Joseph : Quod enim in ea natum est de Spiritu sancto est.... Et non cognoscebat eam donec peperit Filium suum primogenitum [76*]. — *Pauli :* Et misit Deus Filium suum factum ex muliere [77]. — *Evangelii :* Et Verbum caro factum est, et habitavit in nobis [78].

[61] Psal. XXXII, 6. [62] II Cor. IV, 15. [63] Rom. VIII, 31. [64] ibid. 32. [65] Hebr. II, 14. [66] Isa. XXXIII, 22; XXXV, 4. [67] I Petr. I, 10. [68] Joan. XII, 47. [69] Joan. III, 17. [70] Joan. IV, 22. [71] ibid. 42. [72] Ephes. IV, 10. [73] Joan. VI, 38. [74] Rom. VIII, 3. [75] Isa. VII, 14. [76] Luc. I, 30, 31, 34, 35. [76*] Matth. I, 20, 25. [77] Galat. IV, 4. [78] Joan. I, 14.

11. Contra Apollinarium dicentem stulte affirmari humanitatem Christi; contra Eutychen et Dioscorum Severumque et cæteros Acephalos unicam affirmantes Verbum Dei habuisse naturam et de incarnatione ejus insanientes; contra denique Pyrrhum cæterosque Monothelitas. A

Homo factus est.

Pauli : Qui cum in forma Dei esset non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit formam servi accipiens, in similitudinem hominum factus [79]. Et : Unus Deus et Pater omnium, unus mediator Dei et hominum, homo Christus Jesus [80]. — *Evangelii :* Quia Filius hominis est. Nolite mirari hoc [81]. Et : Quando sederit Filius hominis in sede majestatis suæ [82].

12. Adversus eos qui impie somniarunt Dominum non passum esse in carne, sed docuerunt ipsum passum esse phantastice. B

Crucifixus etiam pro nobis sub Pontio Pilato, passus et sepultus est.

Pauli : Præcipio tibi coram Deo qui vivificat omnia et Jesu Christo qui testimonium reddidit sub Pontio Pilato, bonam confessionem [83]. — *Evangelii :* Jesum quæritis crucifixum [84]. — *Pauli :* Et quia crucifixus est, et quia sepultus est et quia resurrexit tertia die, secundum Scripturas [85].

13. Contra Judæos et Græcos omnesque impios.

Et resurrexit tertia die secundum Scripturas. C

Evangelii : Surgens autem mane prima Sabbati [86]. Et : Tertia dies est hodie quod hæc facta sunt [87]. Et : Resurgens ex mortuis, stetit in medio discipulorum et dixit eis : Pax vobis [88]. Et : Recordamini qualiter locutus est vobis cum adhuc in Galilæa esset, dicens : Quia oportet Filium hominis tradi in manus peccatorum et crucifigi, et die tertia resurgere [89].

Et ascendit in cœlum sedet ad dexteram Patris.

Evangelii : Et Dominus quidem Jesus postquam locutus est eis, assumptus est in cœlum et sedet a dextris Dei [90]. Et factum est, dum benediceret illis, recessit ab eis, et ferebatur in cœlum [91]. — *Actorum :* Videntibus illis, elevatus est : et nubes eripuit eum ab oculis eorum [92]. D

Et iterum venturus est cum gloria judicare vivos et mortuos.

Actorum : Viri Galilæi, quid statis aspicientes in cœlum? Hic Jesus qui assumptus est a vobis in cœlum, sic veniet quemadmodum vidistis eum euntem in cœlum [93]. — *Evangelii :* Et tunc videbitis Filium hominis venientem cum gloria in nubibus [94]. Et : Tunc sedebit Filius hominis super sedem ma-

ια'. Κατὰ Ἀπολλιναρίου, ἄνουν τὸ ἀνθρώπινον τοῦ Χριστοῦ λέγοντος, Εὐτυχοῦς τε καὶ Διοσκόρου· ἔτι δὲ Σεβήρου, καὶ τῶν λοιπῶν Ἀκεφάλων, μίαν φύσιν αὐτὸν τὸν τοῦ Θεοῦ Λόγον καὶ μετὰ σάρκωσιν φληναφούντων· ἀλλὰ δὴ καὶ κατὰ Πύῤῥου καὶ τῶν λοιπῶν Μονοθελητῶν.

Καὶ ἐνανθρωπήσαντα.

Παύλου· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. Καὶ, Εἷς Θεὸς καὶ Πατὴρ πάντων, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός. — *Εὐαγγελίου·* Ὅτι Υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο. Καὶ, Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ.

ιβ'. Κατὰ τῶν ἀσεβῶς ληρούντων μὴ παθεῖν σαρκὶ τὸν Κύριον, ἀλλὰ δόξαι παθεῖν κατὰ φαντασίαν.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα.

Παύλου· Παραγγέλλω σοι ἐνώπιον Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Ἰησοῦ Χριστοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν. — *Εὐαγγελίου·* Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον; — *Παύλου·* Καὶ ὅτι ἐσταυρώθη, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

ιγ'. Κατὰ Ἰουδαίων καὶ Ἑλλήνων καὶ πάντων τῶν ἀσεβῶν.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Εὐαγγελίου· Ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ Σαββάτων. Καὶ Τρίτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Καὶ, Ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν μαθητῶν, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν. Καὶ, Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἐν τῇ Γαλιλαίᾳ λέγων, ὅτι δεῖ τὸν Υἱὸν τοῦ Θεοῦ παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Εὐαγγελίου· Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς· καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. — *Πράξεων·* Καὶ βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς.

Πράξεων· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τοὺς οὐρανοὺς, οὕτως ἐλεύσεται πάλιν, ὃν τρόπον ἐθεάσασθε αὐτὸν ἀνερχόμενον εἰς τὸν οὐρανόν. — *Εὐαγγελίου·* Καὶ τότε ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον μετὰ δόξης ἐπὶ τῶν

[79] Philipp. II, 6. [80] I Tim. II, 5. [81] Joan. v, 28. [82] Matth. XIX, 28. [83] I Tim. VI, 13. [84] Matth. XXVIII, 5. [85] I Cor. XV, 4. [86] Marc. XVI, 9. [87] Luc. XXIV, 21. [88] ibid. 36. [89] ibid. 6, 7. [90] Marc. XVI, 19. [91] Luc. XXIV, 51. [92] Act. I, 9. [93] ibid. 11. [94] Marc. XIV, 62.

νεφελῶν. Καὶ τότε καθίσει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου **317** δόξης αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη. — *Πράξεων* · Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. — *Δανιήλ* · Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθισε. Καὶ ἰδοὺ ὡς Υἱὸς ἀνθρώπου ἐπὶ τῶν νεφελῶν ἐρχόμενος, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ αὐτῷ ἐδόθη καὶ ἡ τιμὴ καὶ ἡ ἐξουσία.

Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Δανιήλ · Καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται. — *Εὐαγγελίου* · Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

ιδ'. Κατὰ Μακεδονίου τοῦ Πνευματομάχου.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον.

Εὐαγγελίου. Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. — *Δαβίδ* · Τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Τὸ Κύριον.

Παύλου · Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν. Ὅπου δὲ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. — *Πέτρου* · Ἵνα τί ἐψεύσω τὸ Πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

Τὸ ζωοποιόν.

Εὐαγγελίου · Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. — *Δαβίδ* · Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. — *Μωϋσέως* · Καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. — *Ἰεζεκιήλ* · Υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τὸ Πνεῦμα, καὶ ἦλθεν ἐπ' αὐτὰ Πνεῦμα, καὶ ἔζησαν.

ιε'. Προφητικῶς κατὰ τῆς καινοτομίας Λατίνων.

Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

Εὐαγγελίου · Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. — *Παύλου* · Καὶ ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ Θεοῦ. — *Δαβίδ* · Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.

ιϛ'. Ὅτι μία μὲν ἡ δόξα καὶ προσκύνησις τῆς Τριάδος, εἷς δὲ αἴτιος ὁ Πατὴρ, ὥσπερ μόνος τοῦ Μονογενοῦς, καὶ μόνος τοῦ Πνεύματος. Τὸ μὲν γὰρ πρῶτον εἰπεῖν, Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ὕστερον δὲ τὸ, Σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, τοῦτο ἀριδήλως διδάσκει.

jestatis suæ, et congregabuntur ante eum omnes gentes [95]. — *Actorum :* Qui manducavimus et bibimus cum illo postquam resurrexit a mortuis. Et præcepit nobis prædicare populo et testificari quia ipse est qui constitutus est a Deo judex vivorum et mortuorum [96]. — *Daniel :* Aspiciebam donec throni positi sunt et Antiquus dierum sedit..... Et ecce quasi Filius hominis cum nubibus veniebat et usque ad Antiqnum dierum pervenit.....et dedit ei potestatem et honorem [97].

Cujus regni non erit finis.

Daniel : Et regnum ejus regnum æternum, et regnum ejus alteri non relinquetur [98]. — *Evangelii :* Et regnabit in domo Jacob in æternum, et regni ejus non erit finis [99].

14. Contra Macedonium Spiritum sanctum negantem.

Et in Spiritum sanctum.

Evangelii : Baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti [1]. Cum autem venerit Paracletus [2] Spiritus sanctus, quem mittet Pater in nomine meo [3]. — *David :* Spiritum sanctum tuum ne auferas a me [4].

Dominum.

Pauli : Dominus autem Spiritus est. Ubi autem Spiritus Domini, ibi libertas [5]. — *Petri :* Quare mentitus es Spiritui sancto? ... non es mentitus hominibus, sed Deo [6].

Et vivificantem.

Evangelii : Spiritus est qui vivificat, caro autem non prodest quidquam [7]. — *David :* Emittes Spiritum tuum et creabuntur, et renovabis faciem terræ [8]. — *Moysis :* Et inspiravit in faciem ejus spiraculum vitæ [9]. — *Ezechiel :* Fili hominis, vaticinare ad Spiritum, et venit super ista Spiritus, et revixerunt [10].

15. Prophetice adversus novitatem Latinorum.

Qui ex Patre procedit.

Evangelii : quando venerit Paracletus quem mittam vobis a Patre; Spiritus veritatis qui a Patre procedit [11]. Et statim ascendens de aqua vidit cœlos apertos, et Spiritum tanquam columbam descendentem in ipsum [12]. — *Pauli :* Nos autem non spiritum hujus mundi accepimus, sed Spiritum qui ex Deo est [13]. — *David :* Verbo Domini cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum [14].

16. Quamvis una sit gloria et adoratio Trinitatis, unus tamen Pater producens est, sicut solus Filii unigeniti et solus Spiritus sancti. Primum igitur dicendum est Spiritum a Patre procedere et illum denique simul adorandum cum Patre et Filio : utrumque certatim ibi docetur.

[95] Matth. xxv, 31, 32. [96] Act. x, 41, 42. [97] Dan. vii, 9, 14. [98] Dan. ii, 44; vii, 14. [99] Luc. i, 32, 33. [1] Matth. xxviii, 19. [2] Joan. xv, 26. [3] Joan. xiv, 26. [4] Psal. l, 13. [5] I Cor. iii, 17. [6] Act. v, 3, 4. [7] Joan. vi, 63. [8] Psal. ciii, 30. [9] Gen. ii, 7. [10] Ezech. xxxvii, 9. [11] Joan. xv, 26. [12] Marc. i, 10. [13] I Cor. ii, 12. [14] Psal. xxxii, 6.

Qui cum Patre et Filio simul adoratur et conglorificatur. A

Evangelii : Baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti [15]. — *Pauli :* Nemo scit quæ sunt hominis, nisi Spiritus qui in ipso est. Ita et quæ Dei sunt, nemo cognovit, nisi Spiritus qui est in Deo [16]. Et in Isaia et in Ezechiele angeli dicunt : Sanctus, Sanctus, Sanctus Dominus Sabaoth ; pleni sunt cœli et terra gloria ejus, scilicet evidenter Patris et Filii et Spiritus sancti, unius in Trinitate Dei.

Τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον.

Εὐαγγελίου · Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ οὐδεὶς γινώσκει τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ Πνεῦμα τὸ κατοικοῦν ἐν αὐτῷ. Καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐν αὐτῷ. Καὶ ἐν τῷ Ἡσαΐᾳ καὶ Ἰεζεκιὴλ οἱ ἄγγελοι · Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ · πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. Δηλονότι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τοῦ μόνου ἐν **318** Τριάδι Θεοῦ.

17. Adversus hæreticos tollentes Legem et Prophetas.

Qui locutus est per prophetas.

B *Zachariæ* (verba in Evangelio S. Lucæ) : Sicut locutus est per os sanctorum qui a seculo sunt prophetarum ejus, salutem ex inimicis nostris [17]. — *Verba Deiparæ* (ibidem) : Sicut locutus est ad Patres nostros [18], *et sequentia*. —*Actorum :* Hoc omnes prophetæ testantur, remissionem peccatorum accipere per nomen ejus qui credunt in eum [19]. Et : Quem oportet quidem cœlum suscipere usque in tempora restitutionis omnium quæ locutus est Deus per os sanctorum omnium a sæculo prophetarum [20]. — *Evangelii :* Dicit David in Spiritu sancto : Dixit Dominus Domino meo, sede a dextris meis [21]. — *Actorum :* Et cum orassent, motus est locus in quo erant congregati, et repleti sunt omnes Spiritu sancto, et loquebantur verbum C Dei cum fiducia [22]. — *Exodi :* Et repleti sunt spiritu sancto et prophetabant (1).

ιζ'. Κατὰ τῶν ἀποβαλλομένων τὸν Νόμον καὶ τοὺς Προφήτας αἱρετικῶν.

Τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Ζαχαρίου · Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν.— *Τῆς Θεοτόκου* · Καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, καὶ τὰ ἑξῆς. — *Πράξεων* · Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Καὶ, Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς, διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος. — *Εὐαγγελίου* · Εἶπε Δαβὶδ ἐν Πνεύματι ἁγίῳ · Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου. — *Πράξεων* · Καὶ δεηθέντων αὐτῶν, ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας. — *Τῆς Ἐξόδου* · Καὶ ἐπλήσθησαν Πνεύματος ἁγίου, καὶ προεφήτευον ἐν τῇ παρεμβολῇ.

18. Contra eos qui dicunt Evangelio contradicere facta antiqua, et qui rejiciunt oracula prophetarum.

Et unam sanctam, catholicam et apostolicam Ecclesiam.

Pauli : Qui fecit utraque unum [23]. Et : Unus Dominus, una fides, unum baptisma [24]. Et : Fratres sancti [25]. Et : Superædificati super fundamentum apostolorum et prophetarum, ipso summo angulari lapide, Christo Jesu [26]. Et : Vos estis corpus Christi et membra de membro [27]. Et : Quosdam quidem posuit Deus in Ecclesia : primum apostolos, se- D cundo prophetas, tertio doctores [28]. Et : Ut ædificetur Ecclesia [29]. Et : Vos estis templum Dei vivi [30]. Et : Ad consummationem Ecclesiæ (hoc enim significant hæc verba : Ad consummationem sanctorum... in ædificationem corporis Christi quod est Ecclesia). Et : Ipso summo angulari lapide Christo Jesu ;... in quo et vos coædificamini [31]. Et : Ipse est caput corporis Ecclesiæ [32]. Et : Sicut septem Epistolæ dicuntur Catholicæ, quia ad omnes simul credentes scriptæ sunt, ita catholica dicitur Ecclesia quæ est omnium orthodoxorum.

ιη'. Κατὰ τῶν λεγόντων ὅτι ἐναντία τὰ παλαιὰ τοῖς τοῦ Εὐαγγελίου, καὶ τὰς προφητῶν ὁράσεις μὴ δεχομένων.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Παύλου · Ὁ ποιήσας τὰ ἀμφότερα ἕν. Καὶ, Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Καὶ, Ἀδελφοὶ ἅγιοι. Καὶ, Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ Ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ, Οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους. Καὶ, Ἵνα οἰκοδομῆται ἡ Ἐκκλησία. Καὶ, Ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος. Καὶ, Εἰς καταρτισμὸν τῆς Ἐκκλησίας. Καὶ, Ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε. Καὶ, Αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας. Καὶ, Ὡς Καθολικαὶ ἐπιστολαὶ αἱ ἑπτὰ, ὡς εἰς πάντας πιστοὺς γραφεῖσαι κοινῶς, καὶ καθολικὴ Ἐκκλησία ἡ πάντων ὀρθοδόξων γέγραπται.

[15] Matth. xxviii, 19. [16] I Cor. ii, 11. [17] Luc. i, 70, 71. [18] Luc. i, 55. [19] Act. x, 43. [20] Act. iii, 21. [21] Marc. xii, 36. [22] Act. iv, 31. [23] Ephes. ii, 14. [24] Ephes. iv, 5. [25] Hebr. iii, 1. [26] Ephes. ii, 20. [27] I Cor. xii, 27. [28] I Cor. xii, 28. [29] I Cor. xiv, 12. [30] II Cor. vi, 16. [31] Ephes. iv, 20, 22. [32] Coloss. i, 18.

(1) Hanc sententiolam non reperi in *Exodo*.

ιθ'. Κατὰ Βογομίλων καὶ πάντων ἀσεβῶν, τῶν μὴ δεχομένων τὸ βάπτισμα ἢ ἀδιάφορον ἐχόντων.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Παύλου· Ὡμολόγησας τὴν καλὴν ὁμολογίαν. Καί, Καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Βαπτίζοντες αὐτοὺς εἰς ἄφεσιν ἁμαρτιῶν. — *Εὐαγγελίου*· Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

κ'. Κατὰ Ἑλλήνων καὶ Ὠριγένους, τὴν τῶν νεκρῶν ἀνάστασιν ἀθετούντων, ὡς ἐντεῦθεν καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Πράξεων· Περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. — *Ἠσαΐου*· Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις. — *Παύλου*· Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. — *Εὐαγγελίου*· Ὅτι οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες, ζήσονται.

319 κβ'. Κατὰ Ὠριγένους καὶ τοῦτο, ἀλλοίωσιν ἐν τῷ μέλλοντι ληροῦντος, καὶ τέλος κολάσεως λέγοντος.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εὐαγγελίου· Ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. — *Πράξεων*· Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι. — *Ἠσαΐου*· Πατὴρ τοῦ μέλλοντος αἰῶνος. — *Εὐαγγελίου*· Ἐγὼ ζῶ, καὶ ὁ τρώγων με ζήσεται δι' ἐμέ. Καί, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. Καί, Ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Ἀμήν.

A 19. Adversus Bogomilos et omnes impios negantes baptisma aut illud judicantes inutile.

Confiteor unum baptisma in remissionem peccatorum.

Pauli : Confessus bonam confessionem [33]. Et : Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem [34]. Unus Dominus, una fides, unum baptisma [35]. Baptizantes eos in remissionem peccatorum [36]. — *Evangelii :* Baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti [37].

20. Contra Græcos et Origenem resurrectionem mortuorum rejicientes et consequenter ipsam resurrectionem Salvatoris nostri Jesu Christi.

Exspecto resurrectionem mortuorum.

Actorum : De spe et resurrectione mortuorum ego judicor [38]. — *Isaiæ :* Resurgent mortui, et B surgent qui in monumentis sunt. — *Pauli :* Nam exspectatio creaturæ revelationem filiorum Dei exspectat [39]. — *Evangelii :* Quia mortui audient vocem Filii Dei et qui audierint, vivent [40].

21. Adversus Origenem iterum, qui docet mutationem fore in vita futura, et pœnas finem habituras.

Et vitam venturi sæculi. Amen.

Evangelii : Qui odit animam suam in hoc mundo, in vitam æternam custodit eam [41]. — *Actorum :* Disputante autem illo de justitia et de castitate et de judicio futuro [42]. — *Isaiæ :* Pater futuri sæculi [43]. — *Evangelii :* Ego vivo, et qui manducat me vivet propter me [44]. Et : Ego sum resurrectio C et vita [45]. Et : Ibunt hi in supplicium æternum, justi autem in vitam æternam [46]. Amen.

[33] I Tim. vi, 12. [34] Rom. x, 10. [35] Ephes. iv, 5. [36] Luc. iii, 3. [37] Matth. xxviii, 19. [38] Act. xxiii, 6. [39] Rom. viii, 19. [40] Joan. v, 25. [41] Joan. xii, 25. [42] Act. xxiv, 25. [43] Isa. ix, 6. [44] Joan. vi, 58. [45] Joan. xi, 25. [46] Matth. xxv, 46.

ΠΕΡΙΕΚΤΙΚΑ

ΩΣ ΔΥΝΑΤΟΝ

ΤΗΣ ΜΟΝΗΣ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΗΜΩΝ ΠΙΣΤΕΩΣ

ΚΕΦΑΛΑΙΑ ΔΩΔΕΚΑ

ΑΠΕΡ ΤΙΝΕΣ ΑΡΘΡΑ ΚΑΛΟΥΣΙ ΤΗΣ ΠΙΣΤΕΩΣ,

Σαφέστερον συντεθέντα

ΠΑΡΑ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΜΕΩΝ

Καὶ ὅτι ταῦτα περιέχει τὸ θεῖον Σύμβολον· καὶ περὶ τῶν περιεκτικῶν ἀρετῶν.

—

CAPITA SIVE, UT AB ALIIS APPELLANTUR,

ARTICULI DUODECIM

FIDEM UNICAM NOSTRAM CHRISTIANORUM

QUANTUM FAS EST FIERI, COMPLECTENTES,

PERSPICUE EXPOSITA

A BEATO ARCHIEPISCOPO THESSALONICENSI

SYMEONE

Et quod eadem capita in divino Symbolo comprehendantur,

Et de virtutum commendatione quam eadem fides continet.

—

Quæ exsuperat omnem sensum et omnem ser- A monem excedit, certa et unica fides nostra Christiana, cum simul Dei unici et invisibilis, in Trinitate subsistentis sit certissima confessio, synoptice in sequentibus capitibus, licet infinita, exprimi et complecti potest, quæ omnis vere fidelis Christianus, salutis cupidus, profiteri sincere debet. Hæc autem capita a quibusdam articuli, principia seu fundamenta fidei vocantur. Duodecim numerantur typice, juxta numerum apostolorum Christi, Solis non habentis occasum: et optime quidem; nam credentem in perpetuum et sine fine gloriæ ejus annum introducunt. Tria quidem sunt de sancta Trinitate capita in honorem trium hujus Trinitatis personarum, quæ est æterna et omnium exsistentium causa. Sex deinde alia de Incarnatione Verbi capita. Et hoc mirabile. Cum enim unum sit Verbum in Trinitate, quod antea simplex, propter nos duplex factum

A Ἡ ἀληθὴς καὶ μόνη τῶν Χριστιανῶν ἡμῶν πίστις, ὑπὲρ νοῦν οὖσα καὶ λόγον, ὡς ὄντως καὶ μόνη πίστις, καὶ τοῦ ὑπὲρ γνῶσιν ἐν Τριάδι μόνου Θεοῦ ἀληθεστάτη ὁμολογία, ἐν τούτοις ἐν συνόψει τοῖς κεφαλαίοις εἰ καὶ ἄπειρος περιέχεται, ἃ καὶ πᾶς Χριστιανὸς ὀρθῶς πιστεύων, καὶ σωθῆναι θέλων, ὀφείλει ὁμολογεῖν. Ταῦτα δὲ τὰ κεφάλαια, παρά τινων μὲν ἄρθρα τῆς πίστεως λέγεται ἤτοι ἀρχαὶ καὶ θεμέλιοι. Εἰς δώδεκα δὲ ἀριθμοῦνται, τὸν τύπον σώζοντα τῶν ἀποστόλων Χριστοῦ, ὅς ὁ ἀνέσπερός ἐστιν Ἥλιος, καὶ εἰς τὸν αἰώνιον καὶ ἀτελεύτητον τῆς δόξης αὐτοῦ ἐνιαυτὸν, τὸν πιστεύοντα ὀρθῶς παραπέμπουσι. Καὶ τρία μὲν κεφάλαια περὶ τῆς ἁγίας Τριάδος εἰς τιμὴν αὐτῆς τῆς Τριάδος, ἥτις αἰώνιος οὖσα, καὶ αἰτία τῶν ὅλων ἐστίν· ἓξ δὲ B περὶ τῆς τοῦ Λόγου σαρκώσεως. Καὶ τοῦτο δὲ θαυμαστῶς. Ἐπεὶ εἷς ὢν οὗτος ὁ Λόγος τῆς ἁγίας Τριάδος, καὶ ἁπλοῦς, διπλοῦς γέγονε δι' ἡμᾶς, καὶ

διπλῆν τὴν Τριάδα ἔχει τῶν κεφαλαίων. Ἔτι δὲ καὶ τρία κεφάλαια περὶ τῆς συντελείας εἰσὶν εἰς τιμὴν καὶ ταῦτα τῆς ἀνάρχου Τριάδος, ἣ πάντα ἐκ μὴ ὄντων ποιήσασα, ἀγαθῶς συνέχει καὶ καλῶς διακυβερνᾷ.

Καὶ πρῶτον μὲν τῶν κεφαλαίων, ὅτι ἓν τὸ θεῖον τῇ φύσει, καὶ οὐ πολλά, καὶ ἓν τῇ δυνάμει καὶ ἀρχῇ καὶ παντοκρατορίᾳ καὶ κυριότητι.

Δεύτερον δὲ, ὅτι τρία τοῦτο τὸ θεῖον, καὶ οὐχ ἓν πρόσωπον, εἰ καὶ ἓν καὶ ἀδιαίρετον τῇ θεότητι, καὶ τῶν τριῶν προσώπων ἢ ὑποστάσεων εἰπεῖν ἢ ἰδιοτήτων, οὐ πλέον ὅλως ἐστί. Τῶν τριῶν δὲ τούτων τὸ μὲν ἀγέννητον, ἀναίτιον γὰρ καὶ οὐκ ἔκ τινος, τῶν ἐξ αὐτοῦ δὲ αἴτιον μόνον, ἀχρόνως καὶ ἀπαθῶς· τὸ δὲ γεννητὸν ἐξ αὐτοῦ τοῦ ἀγεννήτου· τὸ δὲ ἐκπορευτὸν, ἐξ αὐτοῦ καὶ τοῦτο τοῦ ἀναιτίου καὶ ἀγεννήτου. Καὶ τὸ μὲν ἀγέννητον καὶ ἀναίτιον καλεῖται Πατὴρ, τὸ δὲ γεννητὸν Υἱὸς, τὸ δὲ ἐκπορευτὸν Πνεῦμα ἅγιον. Καὶ ἀδιαίρετα ταῦτα καὶ ἄχρονα καὶ αἰώνια. Καὶ οὐ τρεῖς θεοὶ, ἢ τρεῖς κύριοι, ἀλλ' εἷς Θεὸς, εἷς Κύριος ἡ Τριὰς, ὡς καὶ οἱ ἄγγελοι μέλπουσιν, **320** Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ. Ἐπεὶ καὶ μία φύσις ἀχώριστος τῶν τριῶν, μία οὐσία, μία δύναμις, μία δόξα, μία θέλησις, μία κίνησις καὶ τὰ τρία ταῦτα, ὁ τρισυπόστατος εἷς Θεὸς, μία τῶν ὅλων ἀρχὴ, καὶ ἐνέργεια μία τούτων, ὡς καὶ μία λάμψις ἡλίου ἀκτῖνος καὶ φωτὸς, καὶ μία αὐγὴ καὶ θέρμη πυρὸς καὶ ἀπαυγάσματος καὶ φωτὸς, καὶ μία κίνησις τοῦ Λόγου καὶ Πνεύματος.

A est, duplex capitum trias ipsi dedicatur. Tribus denique totum absolvitur capitibus in honorem Trinitatis absque principio, quæ omnia ex nihilo creavit, optimeque omnia conservat et pulchre gubernat.

Primum quidem caput, quia una est Divinitas in (natura) substantia, non autem multiplex et una (in) virtute, auctoritate, omnipotentia et dominatione.

Secundum, quia in Deo tres sunt personæ, non una tantum, quamvis una sit et individua divinitas, et trium harum personarum seu hypostasium optime inter se distinctarum nulla omnino major esse potest. Hæ autem tres personæ ingenitæ, sine et ex nullo sunt factæ; sibimet causa ipsis uni a B causa sunt, æternæ et impassibiles. Generatio enim et creatio ex quodam ingenito et increato Et processio ex quodam increato et ingenito. Et illud ingenitum et increatum vocatur Pater, et genitum Filius, et procedens Spiritus santus. Et hi tres indivisibiles sunt et æterni et immortales. Et non sunt tres dii neque tres domini, sed unus Deus et unus in Trinitate Dominus: sicut et angeli canunt: Sanctus, sanctus, sanctus Dominus Sabaoth. Cum vero horum trium una eademque sit atque inseparabilis natura, una substantia, una virtus, una gloria, una voluntas, una motio, hi tres unus sunt in tribus personis Deus; una quoque horum in omnia suprema auctoritas, una potentia. Et sicut in sole radius et fulgor unum habent splendorem et in igne lucis et caloris una est fulgida productio, ita una est Verbi et Spiritus motio, processio.

Τρίτον δὲ κεφάλαιον, ὅτι αὕτη ἡ Τριὰς τῶν ὅλων ἐστὶ δημιουργὸς, ἐκ μὴ ὄντων ταῦτα ποιήσασα νοητά τε καὶ αἰσθητὰ, ὁρατὰ καὶ ἀόρατα, ὑπὸ χρόνον πάντα παραγαγοῦσα, ὅτε ἠθέλησεν αὐτὴ, μὴ προϋπάρχοντός τινος ὅλως, μὴ εἴδους, μὴ ὕλης, ἐξ οὐκ ὄντων δὲ παραγαγοῦσα τὰ πάντα. Αὕτη ἡ Τριὰς ὁ Θεὸς, καὶ πάντων τῶν ὄντων προνοητὴς, ὡς καὶ ποιητὴς, ὁ Πατὴρ μετὰ τοῦ Λόγου καὶ Πνεύματος, ὡς καὶ οἱ προφῆται φασι, καὶ τὸ Εὐαγγέλιον ἐκδιδάσκει.

Τέταρτον, ὅτι διὰ τὸ προνοεῖσθαι ἡμῶν τὸν ἐν Τριάδι Θεὸν, εὐδοκίᾳ Πατρὸς, καὶ συνεργείᾳ Πνεύματος, ὁ Λόγος μένων ἀναλλοίωτος καὶ ἄτρεπτος τῇ θεότητι, ἀπαθῶς καὶ ἀῤῥεύστως δι' ἡμᾶς ἐγένετο σὰρξ, τελείαν τὴν φύσιν ἡμῶν προσλαβόμενος ἐξ ἁγίας γυναικὸς, σῶμα ἔμψυχον, ψυχῇ ἡνωμένον νοερᾷ καὶ θελητικῇ, ὅλον τὸν ἄνθρωπον ἁγιάζων καὶ ὁ ἁπλοῦς γέγονεν διπλοῦς, καὶ εἷς ἐστιν ἐκ δύο τελείων τῶν φύσεων.

Πέμπτον, ὅτι ἐκ Παρθένου ἀσπόρως γεγέννηται, μὴ πεῖραν λαβούσης ἀνδρὸς, ὡς καὶ πρὸ τόκου, καὶ ἐν τόκῳ καὶ μετὰ τόκον φυλάξας αὐτὴν Παρθένον.

Ἕκτον, ὅτι σαρκὶ πέπονθε δι' ἡμᾶς, καὶ ἐσταυρώθη, καὶ τέθνηκεν ἑκουσίως, καὶ οὐ τῇ θεότητι· αὕτη γὰρ ἀεὶ ἀπαθής. Καὶ τῇ μὲν ψυχῇ, λυτρω-

C Tertium deinde caput, quia hæc ipsa Trinitas creator est omnium et opifex, quæ cuncta ex nihilo produxit, intelligibilia et sensibilia, visibilia et invisibilia; in tempore fecit omnia quando ipsa voluit neque secundum formam quamdam præexsistentem, neque ex materia quæ fuerit prius, sed ex nihilo fecit omnia. Ipsa Trinitas, unus Deus ea excogitavit et fecit; Pater scilicet per Verbum et Spiritum, ut loquuntur prophetæ et docet Evangelium.

Cognito jam nobis uno trinoque personis Deo, quartum caput nos docet, quia voluntate Patris et operatione Spiritus, Verbum idem et immutabile permanens divinitate, impassibile et incorruptum propter nos caro factum est, integram nostram D naturam accipiens ex muliere sancta: corpus scilicet vivens, animæ intelligenti et volenti copulatum, totum consecrans hominem, et prius simplex factum est duplex, et tamen unum omnino est in duabus integerrimis naturis.

Quintum, quia sine semine ex Virgine natus est; quæ, nunquam hominem experta, sicut ante partum, ita et in partu et post partum Virgo permansit intemerata.

Sextum, quia in carne passus est pro nobis, et crucifixus est, et mortuus est quia ipse voluit; non quidem in divinitate, cum sit hæc omnino et vere

impassibilis. Ejus autem anima animas redempturа, descendit ad inferos; ejus vero corpus sepultum est et interdum neque ab anima neque a corpore unquam absens fuit ejus divinitas.

Septimum, quia propria virtute resurrexit tertia die et pluries discipulis apparuit.

Octavum, quia quadragesima die post resurrectionem suam ascendit in cœlum coram discipulis et sedit ad dexteram Patris ubi collocavit conglorificandum et simul adorandum corpus suum jam inseparabile ab anima et quasi deificatum.

Nonum, quia iterum veniet in gloria Patris et servis suis dabit regnum suum, impiis vero et peccatoribus justum reddet judicium et meritam pœnam.

Decimum: sicut morte dissolvet omnem nostram naturam, ita restituet animas corporibus quibuscum vixerunt antea, ut iisdem non aliis denuo copulentur; et erunt corpora incorruptibilia.

Undecimum quia Christus judicabit vivos et mortuos secundum divinas leges, infideles et injustos condemnabit, pios vero justosque gloria coronabit.

Duodecimum: quod denique post hæc erit vita æterna, devicta jam mortis corruptione per purificationem carnis in libertatem filiorum Dei, sicut loquitur Apostolus: « Et non erit amplius mutatio. Itaque infidelibus et injustis inter dæmones erit pœna æterna, sicut dixit Dominus; piis vero et justis, vita, gaudium et regnum cum Christo æternum et infinitum. Quæ habebimus miseratione Jesu Christi Filii Dei et Dei nostri; si tamen orthodoxe credamus in nomine ejus et honorem ipsi fideliter exhibeamus, et ejus fidem constanter servemus, ut in ævum fruamur pace et beatitudine, precibus Virginis Deiparæ et omnium angelorum et sanctorum ejus.

Prædicta igitur duodecim fidei capita a quibusdam dicta articuli, principia, fundamenta fidei, ut notavimus, generatim et breviter exposita inveniuntur in sancto et divinissimo Symbolo quod primum a trecentis decem et octo Patribus Nicææ exaratum est et paulo post quasi profectum est a centum quinquaginta Constantinopolitanis sanctis Patribus, et denique approbatum, consecratum et promulgatum a cæteris quinque œcumenicis synodis. Sed insuper harum sancti Patres synodorum inter omnes celebres clarissime hæc prædicant, quæ cum illis gratia Christi pie firmiterque confitemur.

Habet igitur obvie primum caput quod unus est Deus, unus Dominus, Pater cum Filio et Spiritu. Deinde Patrem vocat Deum, Deum quoque Filium, et Dominum Spiritum sanctum; et profitetur unius esse substantiæ totam Trinitatem; et unam eam-

A τῆς τῶν ψυχῶν κατῆλθεν εἰς ᾅδην· τῷ δὲ σώματι τέθαπται. Καὶ οὐ κεχώρισται τῆς ἁγίας αὐτοῦ ψυχῆς ἢ τοῦ σώματος ἡ θεότης.

Ἕβδομον, ὅτι ἀνέστη αὐτεξουσίως τριήμερος καὶ τοῖς μαθηταῖς ἐνεφανίσθη πολλάκις.

Ὄγδοον, ὅτι μετὰ τεσσαρακοστὴν ἡμέραν τῆς ἐγέρσεως αὐτοῦ εἰς οὐρανοὺς ἀνελήφθη, καθορώντων τῶν μαθητῶν, καὶ ἐκ δεξιῶν τοῦ Πατρὸς κεκάθικεν, ὁμόδοξον καὶ συμπροσκυνούμενον τὸ ἀχώριστον καὶ ὁμόθεον αὐτοῦ ἀποδείξας σῶμα.

Ἔννατον, ὅτι ἐλεύσεται πάλιν εἰς τὴν γῆν ἀπ' οὐρανοῦ μετὰ τῆς Πατρικῆς δόξης, καὶ τὴν μὲν βασιλείαν αὐτοῦ παρέξει τοῖς δούλοις αὐτοῦ, τοῖς
B δὲ ἀσεβέσι καὶ ἁμαρτωλοῖς τὴν καταδίκην δικαίως καὶ κόλασιν.

Δέκατον, ὡς ἐξαναστήσει πᾶσαν ἡμῶν τὴν φύσιν, τῶν ψυχῶν ἑνωθεισῶν τοῖς ἐξαρχῆς σώμασιν οἷς συνέζησαν, καὶ οὐκ ἀλλοτρίοις, εἰς ἀνταπόδοσιν τῶν βεβιωμένων. Καὶ ἄφθαρτα τὰ σώματα ἔσονται.

Ἑνδέκατον, ὅτι κρινεῖ ζῶντας καὶ νεκροὺς κατὰ τοὺς θείους αὐτοῦ ὁ Χριστὸς νόμους. Καὶ τοὺς μὲν ἀπίστους καὶ ἀδίκους κατακρινεῖ· τοὺς εὐσεβεῖς δὲ καὶ δικαίους δοξάσει.

Δωδέκατον, ὅτι ἡ μετὰ ταῦτα ζωὴ αἰώνιος ἔσται, ὡς ἀφθαρτισθείσης τῆς φύσεως τῇ ἐλευθερίᾳ τῶν τέκνων τοῦ Θεοῦ ἀπὸ τῆς φθορᾶς, ὥς φησιν ὁ Ἀπόστολος· καὶ οὐκ ἔτι ἔσται ἀλ-
C λοίωσις. Διὸ τοῖς μὲν ἀπίστοις καὶ ἀδίκοις μετὰ τῶν δαιμόνων ἡ κόλασις αἰώνιος, ὥς φησιν ὁ Κύριος· τοῖς δὲ εὐσεβέσι καὶ δικαίοις ζωὴ καὶ ἀπόλαυσις καὶ βασιλεία παρὰ Χριστοῦ αἰώνιος καὶ ἀπέραντος. Ἧς καὶ τύχοιμεν ἐλέει αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ ζῶντος Θεοῦ, καὶ Θεοῦ ἡμῶν, οἱ εἰς τὸ ὄνομα τούτου ὀρθοδόξως πιστεύοντες, καὶ τούτῳ τετιμημένοι, καὶ τὴν πίστιν αὐτοῦ κρατοῦντες εἰς τέλος ἀσινῆ καὶ ἀσάλευτον, εὐχαῖς τῆς Θεοτόκου, καὶ πάντων τῶν ἀγγέλων καὶ τῶν ἁγίων αὐτοῦ.

Τὰ προειρημένα τοίνυν ταῦτα κεφάλαια τῆς πίστεως δυοκαίδεκα, ἃ καὶ ἄρθρα τινὲς καλοῦσιν, οἷον ἀρχὰς καὶ θεμελίους τῆς πίστεως, ὡς εἰρήκαμεν, περιεκτικὰ τῶν καθόλου, τυγχάνοντα,
D καὶ τὸ ἱερὸν περιέχει καὶ θειότατον Σύμβολον, ὃ ὑπὸ τῶν τριακοσίων δεκαοκτὼ μὲν ἐν Νικαίᾳ ἐξετέθη τοπρότερον, τετελείωται δὲ ὑπὸ τῶν ἑκατὸν πεντήκοντα ἐν Κωνσταντινουπόλει ἁγίων Πατέρων μετ' ὀλίγον ὕστερον· καὶ αἱ λοιπαὶ δὲ τοῦτο ἐπεσφράγισαν καὶ ἀνεκήρυξαν οἰκουμενικαὶ ἅγιαι πέντε σύνοδοι. Ἀλλὰ καὶ οἱ μέσον τῶν ἱερῶν τούτων **321** συνόδων ἀναλάμψαντες ἅγιοι Πατέρες τρανότατα ὡμολόγησαν. Καὶ ἡμεῖς δὲ τοῦτο καθομολογοῦμεν χάριτι Χριστοῦ σὺν αὐτοῖς.

Περιέχει δὲ εὐθὺς τὸ πρῶτον κεφάλαιον, ὅτι εἷς Θεός, εἷς Κύριος, ὁ Πατὴρ σὺν Υἱῷ καὶ τῷ Πνεύματι, ἐπεὶ καὶ Θεὸν τὸν Πατέρα, καὶ Θεὸν ἐκ Θεοῦ τὸν Υἱόν, καὶ Κύριον ὀνομάζει τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ὁμοούσιόν φησι τὴν Τριάδα, καὶ ὁμόδοξον τὸν Πα-

τέρα τῷ Υἱῷ καὶ Πνεύματι, καὶ ἅμα αἰώνιον, καὶ παντοκράτορα, καὶ ποιητὴν ἕνα ταῦτα, ὡς καὶ οἱ προφῆται φασι, τὸν Θεὸν καὶ Πατέρα μετὰ τοῦ Λόγου καὶ Πνεύματος· καὶ οἱ ἄγγελοι ἐν τρισὶν ἁγιασμοῖς ἕνα Κύριον μέλπουσιν.

Εἶτα καὶ τὸ δεύτερον τρανώτερον καταγγέλλει, ὅτι οὗτος ὁ μόνος Θεὸς, Τριὰς ὢν τοῖς προσώποις, καὶ μονὰς τῇ θεότητι, Πατήρ ἐστι καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. Καὶ ὁ μὲν Πατὴρ ἀγέννητος καὶ ἀναίτιος, αἴτιος δὲ μόνος τῶν ἐξ αὐτοῦ. Ὁ Υἱὸς δὲ γεννητὸς πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς ὁμοούσιος, φῶς ἐκ φωτὸς, Θεὸς ἐκ Θεοῦ· καὶ τὸ ἅγιον Πνεῦμα, Κύριον, ζωοποιὸν, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· καὶ ὅτι μία φύσις καὶ δόξα προαιώνιος τούτων· καὶ μία δύναμις καὶ προσκύνησις τῶν τριῶν. Φησὶ γὰρ περὶ τοῦ Πνεύματος, « Τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον. »

Τρίτον δὲ ἐκδιδάσκει, ὅτι δημιουργὸς ἡ Τριὰς, ἐκ τοῦ μὴ ὄντος τὰ πάντα, ὁρατὰ καὶ ἀόρατα, οὐσιώσασα καὶ ποιήσασα. Ὅθεν τὸν μὲν Πατέρα ποιητὴν φησιν οὐρανοῦ καὶ γῆς καὶ ἁπάντων, τὸν δὲ Υἱὸν, Δι' οὗ τὰ πάντα ἐγένετο. Τὸ δὲ Πνεῦμα λέγει ζωοποιὸν, ἐπεὶ τετελείωκε καὶ ζωοποιεῖ καὶ συνέχει τὰ σύμπαντα.

Ἔπειτα δὲ τὰ τῆς σαρκώσεως καταγγέλλων τοῦ Λόγου, τὸ τέταρτον ὑπογράφει κεφάλαιον, ὅτι ἐκ Πνεύματος ἁγίου καὶ τῆς Θεοτόκου Μαρίας ὁ Λόγος σεσάρκωται.

Καὶ Παρθένον ταύτην φησὶ τὸ πέμπτον κεφάλαιον, βεβαιοῦν ὅτι καὶ πρὸ τόκου, ἐν τόκῳ καὶ μετὰ τόκον ταύτην Παρθένον ἐφύλαξε. Καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα λέγει, ὅτι ἁπλοῦς ὢν οὗτος ὁ Λόγος, γέγονε διπλοῦς δι' ἡμᾶς, σῶμα ἔμψυχον λαβὼν, ψυχῇ νοερᾷ καὶ θελητικῇ, εἷς ἐκ δύο τελείων τῶν φύσεων.

Καὶ τὸ ἕκτον δὲ κηρύττει, τὸ σαρκὶ αὐτὸν σταυρωθῆναι ὑπὲρ ἡμῶν, καὶ παθεῖν, ἤτοι ἀποθανεῖν καὶ ταφῆναι.

Καὶ τὸ ἕβδομον δὲ, ὅτι ἀνέστη τριήμερος.

Καὶ τὸ ὄγδοον, ὅτι εἰς οὐρανοὺς ἀνελήφθη, καὶ ἐκ δεξιῶν τοῦ Πατρὸς κεκάθικε.

Καὶ τὸ ἔννατον μαρτυρεῖ, ὅτι ἐν τῇ συντελείᾳ οὗτος πάλιν ἀπ' οὐρανοῦ ἐλεύσεται μετὰ δόξης ἐπὶ τῆς γῆς.

Καὶ τὸ δέκατον ἐπιφέρει, ὅτι κρινεῖ ζῶντας καὶ νεκρούς.

Εἶτα, Προσδοκῶ ἀνάστασιν νεκρῶν, λέγει τὸ ἑνδέκατον, ἐπιβεβαιοῦν τὴν τῶν σωμάτων ἡμῶν τῶν ἰδίων καὶ οὐχ ἑτέρων ἀνάστασιν, ταῖς ψυχαῖς ἡμῶν ἑνωθέντων.

Καὶ τὸ δωδέκατον δὲ τὸ τῆς κολάσεως καὶ τῆς βασιλείας αἰώνιον ἐκδιδάσκει, λέγων, « Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. »

Ταῦτα μὲν οὖν τὰ κεφάλαια τὸ θεῖον Σύμβολον περιέχει, τῆς κατὰ Χριστὸν ὄντα ἐν θεωρίᾳ φιλοσο-

A demque gloriam habere Patrem, cum Filio et Spiritu, et simul cum eis esse æternum, et omnipotentem, et creatorem omnium, sicut loquuntur prophetæ, Deum vocantes tres simul Patrem cum Filio et Spiritu, juxta angelos, qui in Trisagio unum Dominum canunt.

Deinde secundum apertius docet hunc unicum Deum, trinum in personis et unum Divinitate esse Patrem et Filium et Spiritum. Pater quidem ingenitus et increatus, unica ipse causa omnium, quæ sunt ex ipso. Filius autem ex Patre genitus ante sæcula, ipsi consubstantialis, Lumen de lumine, Deus de Deo. Et Spiritus sanctus, Dominus, vivificans, ex Patre procedens : et horum una est natura et ea- B dem gloria ab æterno, et una quoque potentia et virtus et adoranda majestas : dicit enim de Spiritu : « Qui cum Patre et Filio simul adoratur et conglorificatur. »

Tertium postea docet Trinitatem creatorem fuisse et omnia visibilia et invisibilia ex nihilo formasse et creavisse. Unde Patrem vocat « Creatorem cœli et terræ ; » Filium « Per quem omnia facta sunt, » et denique Spiritum dicit « vivificantem » cum perfecerit et vivificaverit et ordinaverit omnia simul.

Subinde incarnationem Verbi docens caput quartum memorat Filium Dei carnem assumpsisse de C Spiritu sancto ex Maria Deipara.

Quam virginem appellat quintum caput, affirmans hanc nullum virginitatis passam fuisse detrimentum nec ante partum, nec in partu, nec post partum ; Verbumque dicit incarnatum et in humanis commoratum, quia Verbum cum esset simplex, duplex pro nobis effectum est, corpus animatum accipiens, animo intelligenti et volenti copulatum, unus homo ex duabus integris naturis.

Sextum porro proclamat Verbum ipsum in carne crucifixum esse pro nobis, passum esse, vere mortuum et sepultum.

Septimum, quia resurrexit tertia die.

Octavum, quia ascendit in cœlum et sedit ad dexte- D ram Patris.

Nonum testatur quod in consummatione sæculi Verbum iterum descendet cum gloria de cœlo in terram.

Et decimum addit quod judicabit vivos et mortuos.

Deinde undecimum dicit : « Exspecto resurrectionem mortuorum, » his verbis innuens eadem ipsa nostra corpora, non alia nobis esse reddenda et animabus propriis iterum unienda.

Duodecimum denique docet æternitatem et pœnæ et mercedis in regno Dei dicens : « et vitam venturi sæculi. Amen. »

Hæc igitur capita divinum complectitur Symbolum, quæ quidem efformant quasi rationem pie

vivendi in Christo, seu tenorem philosophiæ secundum Christum : tractat enim de actibus peragendis sapienter cum Christo et per Christum ; cujus pars potior est de moribus digne instituendis, ut nos instruens ad salutem perducat. Unde docet Christum descendisse et inter homines fuisse, ut nos vitam ejus imitantes salvemur. Illum deinde fuisse passum et mortuum pro nobis proclamat, ut hujus imitati passionem et mortem, firmam et veram in ejus resurrectione et vita gloriosa spem habeamus. Dum autem eum memorat venturum ad judicandum omnia, nos monet ut exspectemus Dominum nostrum et ita nostram in hoc provocat attentionem et sollicitudinem. Vitam denique prædicat æternam ut nos in spem alliciat felicitatis, dum pœnæ timorem incutit. Et sic tres facultates animarum nostrarum sanat. Primo quidem rationem per confessionem piæ Trinitatis, atque Verbi Incarnationis, et per baptismatis doctrinam. Iram deinde per memoriam vitæ Jesu inter homines nec non Passionis ejus salutaris, docens humilitatem in omnibus cum mansuetudine et patientia. Et denique desiderium, ambitionem per prædicationem resurrectionis et ascensionis ejus et ipsius adventus in gloria et posterioris vitæ in æterna felicitate, ut, hæc in desiderio habentes, satagamus currere bene ut feliciter attingamus. Cum autem septem sint virtutes cardinales : humilitas, odium vanitatis, paupertas, jejunium, castitas, patientia et mansuetudo, septem quoque sunt vitia his opposita : superbia, vana gloria, avaritia, helluatio, luxuria, acedia, ira. Sanctissimum ergo Symbolum vitia retundit et pugillat, virtutes vero commendat suadetque. Ad humilitatem enim nos excitat, dum Verbum Dei descendisse de cœlo et carnem assumpsisse profitetur. Odium vanitatis docet, cum dicit ipsum in humanis quasi velis latitasse ; simul docens paupertatem, jejunium, castitatem cum inter homines vivens non habuerit ubi caput reclinaret, et jejunaverit, et perpetuo virgo et impollutus vixerit, et ex Virgine natus sit, et denique virginitatem prædicaverit et suaserit. Patientiam ostendit, quia fuit mitis et humilis corde, sponteque et tacite sustinuit opprobria. Ad mansuetudinem allicit postremo, cum a discipulo proditus, cruci affixus, in cruce spiritum emiserit, et in ipsa passione preces fuderit pro persequentibus. Unde et ipsis virtutibus prædictis Salvator omnia repressit vitia : humanitate primum superbiam ex qua procedunt infidelitas et blasphemia in Deum; vilitate sua et simplicitate vanam hominum exclusit gloriam ex qua sunt vesania, livor, homicidium; paupertate sanavit avaritiam ex qua oriuntur furta, doli et fraudes, infidelitas quoque et perduellio erga Deum et odium fratrum. Jejunio gulam, ex qua ebrietas, comessatio, libido et omnes pessimæ passiones. Virginitate lasciviam, ex qua procedunt quæcunque spurcitiæ et tandem aversio et elongatio a Deo sanctissimo. Deinde patientia sanavit acediam et pusillanimitatem ex qua desperatio, in-

A σίας. Φιλοσοφεῖ δὲ καὶ περὶ τῆς κατὰ πρᾶξιν φιλοσοφίας τῆς ἐν Χριστῷ, ἧς ἐξαίρετον τὸ ἠθικόν ἐστι μέρος, παιδαγωγοῦν καὶ πρὸς σωτηρίαν ἄγον ἡμᾶς. Ὅθεν διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθεῖν φησι τὸν Κύριον καὶ ἐνανθρωπῆσαι, ἵνα τὴν ζωὴν αὐτοῦ μιμησώμεθα καὶ σωθῶμεν. Καὶ τὸ παθεῖν αὐτὸν ὑπὲρ ἡμῶν καὶ ἀποθανεῖν καταγγέλλει, ὥστε μιμεῖσθαι ἡμᾶς αὐτόν. Καὶ τὸ ἀναστῆναι καὶ ζῆν εἰς ἐλπίδα φησὶ τὴν πρὸς αὐτὸν ἡμῶν ἀληθῆ. Καὶ τὸ μέλλειν ἔρχεσθαι κρῖναι τὰ σύμπαντα, εἰς ἀπεκδοχὴν αὐτοῦ τοῦ Δεσπότου, καὶ ἑτοιμασίαν ἡμῶν ἐνταῦθα καὶ προσοχήν. Καὶ τὸ ζωὴν αἰώνιον εἶναι, εἰς ἐλπίδα ἀπολαύσεως, καὶ φόβον κολάσεως. Δι' ὧν τὸ τριμερὲς τῶν ψυχῶν ἡμῶν ἐκκαθαίρει· καὶ τὸ λογιστικὸν μὲν διὰ τῆς εὐσεβοῦς τῆς Τριάδος ὁμο-
B λογίας, καὶ τῆς τοῦ Λόγου σαρκώσεως, καὶ τῆς παραδόσεως τοῦ βαπτίσματος, τὸ θυμοειδὲς δὲ διὰ τῆς ὑπομνήσεως τῆς ἐνανθρωπήσεως καὶ τοῦ σωτηρίου πάθους αὐτοῦ, ταπείνωσιν διὰ τούτων μετὰ πραότητος καὶ ὑπομονῆς ἐκδιδάσκων· τὸ ἐπιθυμητικὸν δὲ διὰ τῆς ἀνακηρύξεως τῆς ἀναστάσεως αὐτοῦ καὶ ἀναλήψεως, μετὰ δόξης τε ἐλεύσεως, καὶ τῆς αἰωνίου ζωῆς, ὡς ἂν, τούτων ἐπιθυμητικῶς
322 ἔχοντες, τρέχωμεν βαδίζειν ὀρθῶς, ὥστε τούτων ἐπιτυχεῖν. Καὶ ἐπειδὴ ἑπτὰ μὲν αἱ περιεκτικαὶ ἀρεταί, ταπείνωσις, ἀκενοδοξία, ἀκτημοσύνη, νηστεία, ἁγνεία, ὑπομονὴ καὶ μακροθυμία. ἑπτὰ δὲ καὶ κακίαι ἐναντίαι ταύταις εἰσίν, ὑπερηφανία, κενοδοξία, φιλαργυρία, γαστριμαργία, πορνεία, ἀκηδία, καὶ ὀργιλότης· ἀποτρέπεται μὲν τὰς κακίας
C τὸ ἱερώτατον Σύμβολον, προτρέπεται δὲ ἡμᾶς πρὸς τὰς ἀρετάς. Καὶ πρὸς μὲν τὴν ταπείνωσιν διεγείρει διὰ τοῦ κατελθεῖν ἐκ τῶν οὐρανῶν τὸν Θεὸν Λόγον, καὶ σαρκωθῆναι ὁμολογεῖν, πρὸς ἀκενοδοξίαν δὲ διὰ τοῦ ἐνανθρωπῆσαι εἰπεῖν· ἔτι δὲ πρὸς ἀκτημοσύνην, νηστείαν τε καὶ ἁγνείαν ἐκ τούτου. Ἐπεὶ ὁ ἐνανθρωπήσας καὶ μὴ ἔχων ἦν, ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ νενήστευκε, καὶ παρθένος ἦν καὶ ἁγνός, καὶ ἐκ Παρθένου γεγέννηται, καὶ παρθενίαν ἐδίδασκε· πρὸς ὑπομονὴν δέ, ὅτι πρᾶος ἦν καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ ὕβρεις ὑπήνεγκε· καὶ πρὸς μακροθυμίαν τὸ τελευταῖον, ὅτι καὶ προεδόθη, καὶ ἐσταυρώθη, καὶ ὑπὲρ τῶν σταυρούντων ἀπέθανε, καὶ ἐν τῷ πάσχειν εὐχόμενος ἦν ὑπὲρ αὐτῶν. Ὅθεν
D καὶ διὰ τουτωνὶ τῶν προειρημένων ἀρετῶν πᾶσαν κακίαν κατήργησεν ὁ Σωτήρ· τῇ μὲν ταπεινώσει τὴν ὑπερηφανίαν, ἐξ ἧς ἀπιστία καὶ βλασφημία Θεοῦ, τῇ εὐτελείᾳ δὲ τὴν κενοδοξίαν, ἐξ ἧς μανία καὶ φθόνος καὶ φόνος τίκτεται· τῇ ἀκτησίᾳ δὲ τὴν φιλαργυρίαν, ἐξ ἧς κλοπή, δόλος, ψεῦδος, ἀπιστία, καὶ προδοσία Θεοῦ τε καὶ τῶν ἀδελφῶν· τῇ νηστείᾳ δὲ τὴν γαστριμαργίαν, ἐξ ἧς μέθη, ἀσωτεία, ἀταξία καὶ πᾶν πάθος πονηρόν· τῇ παρθενίᾳ δὲ τὴν πορνείαν, ἐξ ἧς μολυσμὸς ἅπας καὶ μακρυσμὸς ἀπὸ τοῦ ἁγίου Θεοῦ· τῇ ὑπομονῇ δὲ τὴν ἀκηδίαν τε καὶ μικροψυχίαν, ἐξ ἧς ἀνελπιστία, ἀχαριστία, σκότωσις νοός, καὶ ψυχῆς ἀπόγνωσις· καὶ ἔσχατον τῇ μακροθυμίᾳ τὴν ὀργιλότητα καὶ δαιμονιώδη κατὰ τῶν ἀδελφῶν καταθραύει μανίαν, ἐξ ἧς πᾶσα μῆνις,

ἔχθρα, μῖσος, μιαιφονία, καὶ τῶν τριῶν ὑψηλῶν καὶ κεφαλαιωδῶν ἀρετῶν ἀναίρεσις, ἐλπίδος φημὶ, καὶ πίστεως, καὶ ἀγάπης, αἳ καὶ τρεῖς οὖσαι εἰς τιμὴν τῆς Τριάδος, ὁλοτελῶς ἑνοῦσι τὸν ἔχοντα αὐτῷ τῷ ἐν Τριάδι Θεῷ, καὶ θεὸν κατὰ χάριν ἀποτελοῦσιν. Ὅθεν καὶ ἡμεῖς, ἀδελφοὶ, τῇ μὲν ὀρθῇ πίστει τὸ λογικὸν ἐκκαθαίρωμεν, ταῖς ἀρεταῖς δὲ, καὶ μᾶλλον ταῖς γενικαῖς, ἀνδρίᾳ δηλαδὴ, καὶ σωφροσύνῃ, δικαιοσύνῃ τε καὶ φρονήσει, ἐν αἷς καὶ αἱ λοιπαὶ κεφαλαιώδεις ἀρεταὶ καὶ πᾶσαί εἰσι, μετὰ τοῦ λογιστικοῦ καὶ τὸ θυμοειδὲς καὶ ἐπιθυμητικὸν ἡμῶν καθαγνίζοντες, εἰς ἀπάθειαν ἄγωμεν, καὶ ὅλοι ζῶμεν κατὰ Χριστὸν, τὴν ἀληθῆ πίστιν Χριστοῦ καὶ τὸν βίον ἐν ἑαυτοῖς περιφέροντες, καὶ ἀγαπῶμεν τὸν Χριστὸν, καὶ ἐννοῶμεν Χριστὸν, καὶ ναοὶ γινώμεθα Χριστοῦ, καὶ εὐωδία ὦμεν Χριστοῦ, καὶ ἡγιασμένοι ἐν Χριστῷ, ἵνα καὶ τῆς ἀθανάτου αὐτοῦ τοῦ Χριστοῦ ζωῆς καὶ δόξης καὶ βασιλείας ἐπιτύχωμεν αἰωνίως. Ὅτι αὐτῷ τῷ Χριστῷ τῷ Υἱῷ τοῦ ζῶντος Θεοῦ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A gratus animus, cæca mentis caligo, animique demissio. Ultimo denique, mansuetudine frangit iram et contra fratres diabolicam invidiam ex qua sunt omnes simultates, inimicitiæ, odia, neces, et trium illarum majorum et capitalium ablatio virtutum, spei, inquam, fidei et charitatis, quæ cum sint in honorem maximum Trinitatis, eum in quo residen perfectissime Deo uni et trino conjungunt, et quasi deificant per gratiam. Unde et nos, fratres, dum vera fide rationem individualem excludimus, virtutibus studemus mentem instruere, his præsertim quæ cardinales sunt et cæteras omnes includunt et generant, scilicet: fortitudine, temperantia, justitia et prudentia, et sic ratione recta iram et ambitionem expiante et purificante in sanctitatem B incedimus. Et perfecte viventes in Christo, veram Christi fidem et vitam in nobismetipsis circumferentes, et diligimus Christum et Christum cogitamus, et populus facti Christi, Christi bonus odor sumus atque in Christo sanctificati. Sicque acquiremus in æternum vitam, gloriam et regnum Christi Filii Dei viventis cui est gloria, honor et adoratio una cum ingenito Patre et vivificante Spiritu, in sæcula sæculorum. Amen.

ΤΟΥ ΑΥΤΟΥ

ΑΠΟΚΡΙΣΕΙΣ

ΠΡΟΣ ΤΙΝΑΣ ΕΡΩΤΗΣΕΙΣ ΑΡΧΙΕΡΕΩΣ

ΗΡΩΤΗΚΟΤΟΣ ΑΥΤΟΝ.

EJUSDEM RESPONSIONES

AD NONNULLA QUÆSITA EPISCOPI

QUI HÆC EX ILLO PERCONTATUS EST.

323 ΠΡΟΟΙΜΙΟΝ.

Ἔδει μὲν τὰς τοιαύτας των ἐρωτήσεων ὑψηλοτέρας οὔσας καὶ ὑπὲρ ἡμᾶς, ἡγιασμένε δέσποτα, καὶ ἐν Χριστῷ ποθεινότατε ἀδελφὲ, πρός τινα τῶν κεκαθαρμένων καὶ διαβατικὸν ἐχόντων τὸν νοῦν καὶ τὰ ὑπὲρ τὴν γῆν ἐννοοῦντα ποιήσασθαι. Ἡμεῖς γὰρ σκωλήκων δίκην περὶ τὴν γῆν εἱλιστρώμενοι, καὶ ὡς ἐκ πηλοῦ τὸ σῶμα λαβόντες, καὶ τὰ περὶ τοῦ πηλοῦ λογιζόμενοι, καὶ ὅλοι τῆς σαρκὸς ὄντες, καὶ μηδένα λόγον τοῦ ἐν ἡμῖν κατ' εἰκόνα Θεοῦ καὶ καθ' ὁμοίωσιν ἔχοντες, οὐδὲ λογίσασθαί τι περὶ τοιούτων, ἢ ἐννοῆσαι περὶ τῶν ὑψηλοτέρων ἰσχύομεν. Εἰ δὲ καὶ ἔννοιά τις ἡμῖν ἐπέλθοι σωτηρίου τινὸς, ὃ δὴ συμβαίνει φιλανθρωπίᾳ τοῦ ἀγαθοῦ, πάντοτε ἡμᾶς εἰς ὑπόμνησιν ἄγοντος τῶν πρὸς σωτηρίαν καὶ θείων,

C

PROŒMIUM.

Istas quæstiones altissimas et nos excedentes satius fuisset, sanctissime domine, et in Christo desideratissime frater, cuidam horum integrorum proponi, qui spiritum habent transcendentem et res supernaturales contemplari solent. Nos enim lumbricorum more super terram quasi repentes, et luteo corpore de luto disserentes, pene toti in carne sepulti, et vix ullum habentes sermonem huic consentaneum quod in nobis est ad imaginem et similitudinem Dei, non possumus de istis sublimioribus loqui, sed nec cogitare valemus. Si tamen quædam nobis salutaris cogitatio supervenerit, optimæ quidem philanthropiæ, quæ nos plene impellat in memoriam rerum ad salutem pertinentium

et ad Deum, tunc etsi cognoscamus ex parte maximam nostram abjectionem atque tenuitatem, quædam tamen de rebus super nos positis cognoscere gestimus, quas ex Patribus mutuamur, et in eis sufficientes esse nitimur, nihil harum inscrutatum relinquentes; persæpe quidem interrogati errorem extimescimus: cum autem peccata nostra sollicite recogitamus, illa desuper nobis ignosci precamur, ut non incauta et incerta loquamur; et idem cæteris suademus, de hoc propterea fusiores et multas allocutiones in Ecclesiis habentes. Disputare autem et inquirere de vanis dubiis credimus esse quasi levioris et inutilis curæ circa leporem rerum domesticarum; si quis autem sollicitus sit quomodo passiones depellat, et aliquam acquirat sanitatem et ad hoc Deum habeat misericordem et propitium, hoc inter utilissima mihi videtur, cum aptum sit ad salutem. Cum vero fratres necesse habent interrogare, qui pro posse suo respondet, et ipse meritum habet charitatis et obedientiæ simulque multam inde refert utilitatem: « Frater enim (ut ait Scriptura) qui adjuvatur a fratre quasi civitas firma [1]. » Interrogare de veritate signum est altæ humilitatis; respondere autem sine jactantia fructus est charitatis et humilitatis: ecce igitur cedimus petitioni tuæ pro bono tuo scopo; propter obedientiam tenuitatem nostram obliviscimur, et quibus circumvenimur occupationes, negotia et infirmitates parum curamus. Hoc enim in plerisque Patribus videmus et ab ipsis facere docemur, præsertim in theologis divino Amphilochio et vere maximo Basilio, quos vicissim videre est et quæstiones ponere et dare responsa: uterque autem thesaurus Spiritus sancti: quare ex alterutro quisque mutuatur. Paulum imitantur qui coapostolis Evangelii doctrinam suggerebat, et quod ipse viderat hoc nitidissime docere nitebatur. Basilius theologus qui respondebat ante profitebatur se ex interrogante proficere, et quæ responderet non ex se ipso, sed ex antecessoribus desumpsisse, et responsa stabiliebat sicut stabilita ab illis erant. Ipsorum precibus nunc et nos confisi in Christo tibi, qui doctior nobis es, fraterne quæ possumus dicimus propter obedientiam et charitatem. Et hoc dederit Dominus qui est Verbum Patris, vivens sapientia, qui et omnium novit sermones, qui omnia verbo suo operatus est et usque modo operatur, dans nobis sermonem convenientem ad solvendum quæ in quæstionibus his includuntur. Unde et ad primam quæstionem respondemus.

A καὶ τότε δὴ γινώσκω τες ἐκ μέρους ἡμῶν τὸ λίαν ταπεινόν τε καὶ χαμερπὲς, περὶ μὲν τῶν ὑπὲρ ἡμᾶς ἐκεῖνα σπεύδομεν ἐννοεῖν, ὅσαπερ ἐλάβομεν παρὰ τῶν Πατέρων, καὶ ἐν αὐτοῖς ἀρκεῖσθαι σπουδάζομεν· οὐ γὰρ ἐκείνοις τι ἀζήτητον ὑπολέλειπται· τὰ πλείω δὲ παραιτούμεθα, τὸν ὄλισθον δειλιῶντες. Περὶ δέ γε τῶν ἡμετέρων ἁμαρτιῶν μεριμνᾶν, ὡς ἀσφαλὲς λογιζόμεθα, καὶ εὐχόμεθα τοῦτο ἄνωθεν ἡμῖν βραβευθῆναι, καὶ τοῖς λοιποῖς εἰσηγούμεθα· διὸ δὴ καὶ ἐπ' ἐκκλησίας τοὺς περὶ τούτου ἐπὶ πλέον ποιούμεθα λόγους. Καὶ τὸ μὲν θεολογεῖν καὶ διαπορεῖν λεπτοτέρας τινὸς καὶ ἀμερίμνου διὰ καθαρότητα περὶ τὰ οἰκεῖα μελέτης νομίζομεν· τὸ δ' ἐμμέριμνον εἶναί τινα ὅπως τῶν παθῶν καθαρθείη, καὶ ἀπαθείας τι μέρος κτήσηται, καὶ διὰ τούτου B ἵλεων εὕροι Θεὸν, τῶν ἀναγκαιοτάτων ἐμοὶ δοκεῖ καὶ πρὸς σωτηρίαν ἀγόντων. Ἐπεὶ δ' ἀναγκαῖον καὶ παντὶ τῷ ἀδελφικῶς ἐρωτῶντι κατὰ δύναμιν ἀποκρίνεσθαι, ἅμα μὲν διὰ τὴν ἀγάπην τε καὶ ὑπακοὴν, ἅμα δὲ καὶ διὰ τὴν ἑπομένην ὠφέλειαν, « Ἀδελφὸς γὰρ ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις (φησὶν) ὀχυρὰ, » καὶ τὸ διερωτᾷν δὲ ἐν ἀληθείᾳ δεῖγμα μὲν ταπεινώσεως τῆς ἀνυψούσης ἐστὶ, τὸ ἀκομπάστως δὲ ἀποκρίνεσθαι αὖθις καρπὸς ἀγάπης καὶ ταπεινώσεως· ἰδοὺ κατὰ τὴν σὴν αἴτησιν εἴκομέν σου τῷ ἀγαθῷ σκοπῷ καὶ κελεύσματι, διὰ τὴν ὑπακοὴν, καὶ τῆς ἀσθενείας ἡμῶν ἐπιλαθόμενοι, καὶ τῶν ἐπικειμένων φροντίδων καὶ θλίψεων καταλιγωρήσαντες. Τοῦτο δὲ καὶ ἐν πλείστοις εἴδομεν τῶν Πατέρων, C καὶ παρ' αὐτῶν ἐδιδάχθημεν, ἐξαιρέτως δὲ παρὰ τῶν θεηγόρων, Ἀμφιλοχίου τοῦ θείου καὶ τοῦ μεγίστου ἀληθῶς Βασιλείου, ὧν ὁ μὲν τὰ τῶν ἐρωτήσεων, ὁ δὲ τὰ τῶν ἀποκρίσεων ἐποιεῖτο. Καίτοι γε ἄμφω οὗτοι Πνεύματος ἁγίου δοχεῖα, ἀλλὰ τὸ ἀσφαλὲς ἐξ ἑκατέρου ἐλάμβανεν ἕκαστος, μιμούμενοι τὸν Παῦλον οἱ κατὰ Παῦλον, τοῖς συναποστόλοις τὰ τοῦ Εὐαγγελίου κοινούμενον. Καὶ ὁ μὲν ὅπερ ᾔδει, καθαρώτερον ἐζήτει μαθεῖν· Βασίλειος δὲ ὁ θεοφάντωρ ἀποκρινόμενος ἦν, καὶ παρὰ τοῦ ἐρωτῶντος ὠφελεῖσθαι προοιμιάζετο. Καὶ ὥσπερ ἀπεκρίνατο, οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ἀπὸ τῶν πρὸ αὐτοῦ, καθὼς παρέλαβεν, ἔλεγε, καὶ τὰ παρ' ἑαυτοῖς ὁμοίως ἐκείνοις ἐξετίθει. Ταῖς εὐχαῖς τοίνυν αὐτῶν καὶ ἡμεῖς θαῤῥήσαντες ἐν Χριστῷ, σοὶ τῷ εἰδότι ὑπὲρ D ἡμᾶς ἀδελφικῶς τὰ κατὰ δύναμιν λέγομεν διὰ τὴν ὑπακοὴν καὶ ἀγάπην. Καὶ δῴη Κύριος ὁ τοῦ Θεοῦ Πατρὸς 324 Λόγος, ἡ ζῶσα σοφία, ὁ καὶ τοὺς λόγους πάντων εἰδὼς, καὶ πάντα κατὰ λόγον ποιήσας τε καὶ ποιῶν, καὶ λόγον ἡμῖν διδοὺς ἁρμοδίως εἰρηκέναι τὰ πρὸς τὰς λύσεις συντείνοντα. Ὅθεν πρὸς τὴν πρώτην ἐρώτησιν τοιαύτην ποιούμεθα τὴν ἀπόκρισιν.

QUÆSTIO I.

Qua ratione angelus sæpe sub hominis forma appareat, et quomodo dæmon transfiguretur in angelum lucis. Quomodo versetur agatque ille expers materiæ et incorporeus. Et num angeli sub aliis apparere formis valeant?

Formam quidem harum angelicarum apparitio-

ΕΡΩΤΗΣΙΣ Α'.

Τίνι τρόπῳ φαίνεται πολλάκις ὡς ἄνθρωπος ὁ ἄγγελος; Καὶ πῶς ὁ δαίμων μετασχηματίζεται εἰς ἄγγελον φωτός; Καὶ πῶς ὁμιλεῖ ἄϋλος ὤν; Καὶ εἰ δύνανται οἱ ἄγγελοι καὶ εἰς ἑτέρας φαίνεσθαι μορφάς;

Τὸν τρόπον μὲν τῶν τοιούτων ἀγγελικῶν ἐμφα-

[1] Prov. xviii, 19.

A ὁ ὤν, Πάτερ καὶ ἀδελφέ, Θεὸς ἂν εἰδείη καθαρῶς, ὁ καὶ πάντα ἐκ μὴ ὄντων πεποιηκώς, καὶ τὴν φύσιν ἑκάστου τῶν ὄντων καὶ τοὺς λόγους μόνος εἰδώς· ἡμεῖς δὲ παρὰ τῶν ἁγίων ὀπτασίας μὲν ἀγγέλων ἐμάθομεν· ὅπως δὲ γίνονται οὐκ ἐμάθομεν, καὶ οὐκ ἀνθρώπου μόνον ἐν εἴδει, ἀλλὰ καὶ ἐν ἄλλαις γινομένας ἰδέαις. Καὶ γὰρ τετράμορφα μὲν τὰ Χερουβὶμ καὶ πολυόμματα καὶ τετραπτέρυγα, καὶ κεφαλὰς τέσσαρας κεκτημένα· καὶ τὴν μὲν ὁμοίαν ἀετοῦ, τὴν δὲ βοός, τὴν δὲ λέοντος, τὴν δὲ ἀνθρώπου· καὶ περὶ ἑκάστου τούτων οἰκείας ἐννοίας καὶ διαφόρους οἱ ἅγιοι ἔφησαν. Καὶ τὰ Σεραφὶμ δὲ ἑξαπτέρυγα εἶπον οἱ προφῆται, καὶ θερμαίνοντα, καὶ πυρόεντα, καὶ καλούμενα οὕτως ἔμπυρα, ὡς καὶ τὰ Χερουβὶμ γνώσεως χύσιν, καὶ πόδας εἰκονίζειν καὶ χεῖρας ἐμάθομεν. B Καὶ ἄγγελον δὲ ὃν εἶδεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, ἄνδρα ἐσπασμένον ῥομφαίαν, καὶ ὃν εἶδε Δανιὴλ, ἄνδρα ἐνδεδυμένον ποδήρη, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός· καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὄχλου. Καὶ ἄλλοι δὲ ἐν ἀνθρώπου σχήματι ὤφθησαν. Καὶ ὁ μὲν παλαίων, ὡς ὁ ἐν τῷ Ἰακώβ, ὁ δὲ δεικνὺς αὐτῷ κλίμακα· ὁ δὲ λαλῶν Ἀβραὰμ διὰ τὸ μὴ σφαγῆναι τὸν Ἰσαάκ· ὁ δὲ ἐν τῇ βάτῳ δεικνὺς τὴν θεωρίαν τῷ Μωϋσῇ· ὁ δὲ τῷ Ζαχαρίᾳ φαινόμενος· οἱ δὲ ἄλλοις τῶν προφητῶν· ὁ δὲ τῇ Παρθένῳ εὐαγγελιζόμενος· οἱ δὲ ταῖς γυναιξὶ τὴν ἀνάστασιν λέγοντες· ὁ δὲ τὸν Πέτρον λύων τῶν δεσμῶν καὶ τῆς εἱρκτῆς, καὶ οἱ μὲν ὡς θρόνοι, οἱ δὲ ὡς τροχοί, οἱ δὲ ὡς φλὸξ πυρός, οἱ δὲ κατέχοντες ῥάβδους, οἱ δὲ λευκὰς ἐνδεδυμένοι ἐσθῆτας, C καὶ ἁπλῶς ἐν διαφόροις ταῖς μορφαῖς ὤφθησαν. Τί οὖν; φύσις ἄρα ταῦτα αὐτοῖς; Οὐδαμῶς· ἀσχημάτιστοι γὰρ καὶ ἀνείδεοι, ὡς μανθάνομεν ἀπὸ τῶν Πατέρων· ἐπεὶ καὶ ἀσώματοι. Πᾶν δὲ νοερὸν ἀνείδεον. Καὶ ὁ Διονύσιος περὶ τούτου φησί, καὶ ὁ Χρυσορρήμων ἐν τοῖς περὶ τῶν Σεραφὶμ τε καὶ ἀλλαχοῦ, καὶ οἱ τῶν Πατέρων λοιποί. Τί δαί; ἄρα ταῦτα πάντα ψευδῆ; Οὐδαμῶς· ἀλλὰ θείων εἰσὶν εἰκόνες, ἑκάστου τῶν ἀγγέλων τὸ ἔργον καὶ τὴν δύναμιν ὑπεμφαίνουσαι. Καὶ κατὰ μὲν τὸ ἄϋλον καὶ ἀσώματον ἀσχημάτιστοι τελοῦσιν οἱ ἄγγελοι· κατὰ δὲ τὴν ἀποστολὴν καὶ τὸ ἔργον εἰκονίζοντες τὴν οἰκείαν εἰσὶν ἐνέργειάν τε καὶ δύναμιν, καὶ τοῖς ἀνθρώποις ὡς ἐφικτὸν ἀνθρώποις ὁρώμενοι. Οὐ λέοντες οὖν ἢ μόσχοι, ἢ ἄνθρωποι, ἢ ἀετοὶ φύσει τυγχάνουσιν οἱ ἄγγελοι· D ἀλλὰ τὸ μὲν δηλοῖ τούτων τὸ ἐπηρμένον καὶ νοερὸν καὶ κοῦφον τῆς φύσεως, καὶ τὸ ἀτενῶς ἐνορᾷν πρὸς τὸν νοητὸν ἥλιον· καὶ τοῦτο δηλοῖ ὁ ἀετός· τὸ ἀνθρωπόμορφον δὲ τὸ περὶ τῆς ἀναπλάσεως ἡμῶν συνεργὸν ὑπαινίττεται καὶ τὸ τῆς σαρκώσεως τοῦ Λόγου, καὶ τὸ πρὸς τὴν θείαν εἰκόνα σπεύδειν ἡμᾶς ἐπανορθοῦν, καὶ τὸ ἐπιμελὲς αὐτῶν καὶ σπουδαῖον πρὸς τὸ σώζεσθαι τὸν ἄνθρωπον· τὸ τοῦ μόσχου δὲ τό τε δουλικὸν πρὸς τὸν Θεόν, καὶ τὸ πρὸς ἐργασίαν ἀκάματον, ἔτι δὲ καὶ τὸ καθαρὸν πρὸς τὰς ἀΰλους θυσίας· τὸ τοῦ λέοντος δὲ τὸ βασιλικόν τε καὶ θεῖον καὶ ζήλου πλῆρες καὶ ὁρμῆς κατὰ τῶν κινουμένων κατὰ τοῦ κτίσαντος. Ἐν τούτοις καὶ αἱ ῥάβδοι καὶ αἱ ζῶναι τὸ ἀρχικὸν τούτων καὶ ἰσχυρὸν σημαί-

num, Pater et frater, solus Deus videt distincte, cum ipse omnia de nihilo fecerit, solusque naturam et sermones cujusque entium noverit. Nos vero a sanctis angelorum apparitiones discimus, non autem quomodo fiant; quas non in sola forma et specie hominis, sed in aliis quoque formis fieri scimus. Etenim Cherubim dicuntur habere quatuor formas, plures oculos, quatuor alas et quatuor capita, aquilæ scilicet, bovis, leonis et hominis, et in unaquaque harum specierum sancti ipsis attribuunt notiones proprias et diversas. Et prophetæ dicunt Seraphim sex alas gerere, et calore ardere, et fulgure præcingi, unde et (empyra) quasi ignea vocantur: et quia per Cherubim scientiæ adumbratur diffusio, illis discimus affingi pedes et manus. Et angelum scimus quem vidit Jesus filius Nave quasi hominem, acutam habentem romphæam, et quem vidit Daniel hominem vestitum, et oculi ejus ut flamma ignis, et vox ejus sicut vox multitudinis. Et alii in specie hominis visi sunt; uti luctans, et Jacob illi ostendens scalam; qui loquens ad Abraham, vetuit ne immolaret Isaac; qui in rubo Moysi demonstravit virtutem et jussionem Dei; qui Zachariæ et aliis prophetis apparuerunt: qui Virgini nuntium attulit; qui mulieribus resurrectionem annuntiaverunt; qui Petrum solvit e carcere vincula rumpens; et qui sunt sicut throni, sicut currus, sicut flamma ignis; et qui ferunt virgas; et qui vestiuntur stolis albis et tandem variis in formis apparuerunt. Quid igitur? Numquid hoc eorum est natura? Minime. Sunt enim absque figura et absque specie visibili, sicut a Patribus discimus, cum sint absque corpore. Omnis enim creatura pure intelligens invisibilis: et de hoc ita habent Dionysius, et Chrysostomus in sermonibus de Seraphim, et cæteri Patrum. Quid igitur? Num ista simul falsa? Minime. Sed sunt imagines divinorum et cujusque angelorum ministerium et virtutem subindicant: cum enim angeli sint immateriales et incorporales, sunt quoque omnino absque figura; quod autem ad missionem et operationem spectat propria unicuique imagine attribuitur energia et virtus, hominibus ut convenit visibiles. Non ergo leonis neque tauri, neque hominis, neque aquilæ naturam habent angeli, sed illud eorum naturæ demonstrat sublimitatem, intelligentiam et subtilitatem, et perseverantiam in contemplatione solis intellectualis: quod significat aquila. Forma deinde hominis mystice innuit eorum in reformatione nostra cooperationem et incarnationem Verbi, et promptitudinem ad redintegrandum nos secundum imaginem Dei, et denique eorum sollicitudinem et zelum ad salutem hominis. Forma tauri ostendit submissionem Deo, constantiam infatigabilem in agendo, et insuper munditiem ad sacrificia non materialia. Forma denique leonis regnum significat et divinitatem, et plenitudinem zeli contra eos qui contradicunt Creatori vehementiam. Et in ipsis virgæ et zonæ imperium dicunt et

fortitudinem. Quod autem splendeant ut ignis et albis induantur, illud indicat puritatem sanctitatemque et similitudinem Dei in eis et per eos in nobis. Quod deinde igniformes dicantur, vitiorum et malitiæ consumptio significatur et in tenebris illuminatio. Quod denique alas habeant, illos esse spirituales innuitur et in aera ferri volantes : uno verbo singularitas formarum in quibusque incorporalium et spiritualium angelorum illorum manifestat super nos vim et energiam et veritatem harum apparitionum, et mirifice confert ad nostram eruditionem. Quamobrem et hæc imaginibus pingimus, et honore prosequimur et plane divina esse judicamus et testamur. Omnia vero quæ de malo feruntur et falsa sunt et phantastica et in fraudem et ruinam videntium facta. Se enim, ut dicit, qui tenebrosus totus est, transformat in angelum lucis; et varias induit formas et species belluarum, leonum et serpentium sicut ipsum decet, et scorpionum, et canum et cæterorum, sicut ante sanctum Antonium figuratus et phantasmatus est, et ante cæteros sanctos : quæ quidem omnia vana esse oportet. Neque una vice hæc phantastice ostendit, cum sit absque corpore, persæpe pessimus ille spiritus, et transformat et mutat se, ipsum spiritum hominis simulate gestit sua voluntate agere; se vertit et transfigurat versis sensibus et formis, et sæpe sub forma hominis homines seducit et decipit. Non solum ergo hæc : sed rebus quibusdam sceleratus dæmon et tenebris offusus adnectitur. Latet in fumo et camino, et fragosus in aera movetur, et sæpe videtur pulsare, et corpora dejicit. Et quidem hæc omnia facit decipere volens et in errorem inducere sicut decepit Græcos, a quibus ambiebat vivorum hominum sacrificia, ut, inter fumum eorum phantastice apparens, sibi quamdam honoris gratiam ex ipsis obtineret. Et hæc usque ad hanc diem, sicut novimus et per quasdam quærit incantationes. Cum autem sceleratus ille munusculum aliquod ab aliquo hominum acceperit ut vult, hunc miserum in ruinam certo inducit. Sed interea, dum ille malus de ruina eorum exsultans, sibi aliquid posse videtur, omnino tamen inanis et impotens virtuti et potestati Christi mei subjicitur. Non secundum hanc formam agunt angeli, sed apparent in imagine vera et inter divinas conceptiones et sanctissimas actiones : agunt quidem quasi præ se ferentes virtutem divinam; sermones et sonos emittunt non corporaliter et materialiter, sed quasi in nos ducatum exercentes, et sicut sancti spiritus spiritui nostro divinitus et vere appropinquantes et bona intentione se nobis jungentes, Dei voluntates manifestantes, non in fragoribus et tumultibus, sed in aliqua divina virtute et gratia, in ædificationem audientium, in pace et gaudio. Non insuper quærebant fumum sacrificii quo propitius Deus haberetur, sed ut in Manoe scriptum est : « Tetigit virga carnes angelus (virtute

νοῦσι· τὸ φωτιστικὸν δὲ καὶ λευκὸν, τὴν καθαρότητα καὶ ἁγιωσύνην, καὶ τὸ θεοειδὲς αὐτῶν καὶ δι' αὐτῶν ἐν **325** ἡμῖν· τὸ πυροειδὲς δὲ τὸ καταφλέγον τὴν κακίαν, καὶ καταυγάζον τοὺς ἐν σκότει· τὸ πτερὰ δὲ ἔχειν τὸ νοερὸν καὶ ὑψιπετὲς τοῦ νοός· καὶ ἁπλῶς ἕκαστον τῶν σχημάτων διὰ τῶν ἀσχηματίστων ἀγγέλων καὶ ἀσωμάτων τὴν ὑπὲρ ἡμῶν αὐτῶν ἐμφαίνει ἐνέργειαν· καὶ ἀληθῶς ὁρώμενα ταῦτα, εἰ καὶ ὑπερφυῶς πρὸς διδασκαλίαν ἡμῶν εἰσι. Διὸ καὶ εἰκονίζομεν ταῦτα, καὶ τιμῶμεν, καὶ θεῖα ἡγούμεθα. Τὰ τοῦ πονηροῦ δὲ πάντα ψευδῆ καὶ φανταστικὰ, καὶ κατὰ πλάνην καὶ ἀπώλειαν τῶν ὁρώντων γινόμενα. Μετασχηματίζεται γὰρ, φησὶ, σκότος ὢν, εἰς ἄγγελον φωτός, καὶ εἰς διάφορα σχήματα, καὶ θηρίων δὲ μορφὰς, λεόντων τε καὶ ὄφεων, ἀξίως ἑαυτοῦ, καὶ σκορπίων καὶ κυνῶν καὶ ἑτέρων, ὡς καὶ ἐν τῷ θείῳ Ἀντωνίῳ σχηματιζόμενος καὶ φαντασιούμενος ἦν, καὶ λοιποῖς ἄλλοις τῶν ἁγίων, ἅπερ δεῖ πάντα καταργεῖν. Οὐ μόνον δὲ ἀφ' ἑαυτοῦ φανταστικῶς ταῦτα δείκνυσιν, ὡς ἀσώματος ὢν, συνεχῶς ποικίλλων ἑαυτὸν ὡς πονηρότατος νοῦς, καὶ μετασχηματιζόμενος καὶ μεταβαλλόμενος, ὃ δὴ καὶ ἀνθρώπινος νοῦς ποικιλλόμενος πολλάκις πάσχει θελητικῶς, μεταστρέφει τε καὶ μεταμορφοῖ λόγοις καὶ ἐννοίαις καὶ σχήμασιν ἑαυτὸν, καὶ ποικίλως λέγει ὥσπερ βούλεται καὶ πολλάκις ἐξαπατᾷ ἄνθρωπος ὢν ἀνθρώπους. Οὐ μόνον οὖν τοιαῦτα, ἀλλὰ καὶ ὕλων τινων ὁ ἐναγὴς δαίμων καὶ σκοτεινὸς ἅπτεται, καὶ κνίσσῃ ὑπεισέρχεται καὶ καπνῷ, καὶ κτύπους εἰς ἀέρα κινεῖ, καὶ τύπτειν δοκεῖ πολλάκις, καὶ ὑπεισέρχεται σώματα. Ταῦτα δὲ πάντα ποιεῖ, φαντάζειν βουλόμενος καὶ ἐξαπατᾷν, ὡς καὶ τοὺς Ἕλληνας ἐξηπάτησε, καὶ θυσίας ἐζήτει ζώων, ἵνα κἂν διὰ τῆς κνίσσης αὐτῶν φαντάζῃ, καὶ δοκῇ λαμβάνειν τι ἐξ αὐτῶν. Ταῦτα δὲ μέχρι τοῦ νῦν, ὡς ἐμάθομεν, καὶ παρά τινων ζητεῖ ἐπῳδῶν, τὸ μὲν λαμβάνειν ὁ δείλαιος ὥς τι δῶρον παρά τινος τῶν ἀνθρώπων βουλόμενος, ἕλκων αὐτὸν εἰς ἀπώλειαν, τὸ δὲ καὶ ἐπιχαίρων τοῖς τοιούτοις ὁ ἄθλιος, ὥς τι δοκῶν ἐνεργεῖν, πάμπαν ὑπάρχων τῇ τοῦ Χριστοῦ μου δυνάμει ἀσθενὴς καὶ ἀνίσχυρος. Οὐ κατὰ τοῦτον τοίνυν τὸν τρόπον ἐνεργοῦσιν οἱ ἄγγελοι· ἀλλ' εἰκονικῶς ἐπιφαίνονται ἀληθῶς καὶ κατὰ θείας ἐννοίας καὶ πράξεις ἀγαθωτάτας, καὶ ἐνεργοῦσι θείᾳ δυνάμει τὰ πρόσφορα, καὶ λόγους καὶ φωνὰς ἐνεργοῦσιν, οὐ σωματικῶς καὶ παχέως, ἀλλὰ τὸ ἡγεμονικόν τι ποιοῦντες ἡμῶν, καὶ ὡς νόες ἅγιοι, τῷ ἡμετέρῳ νοῒ θείως καὶ ἀληθῶς ἐγγίζοντες καὶ ἀγαθοειδῶς ἑνούμενοι, καὶ τὰ τοῦ Θεοῦ βουλήματα ἀπαγγέλλοντες, οὐδὲ κτύποις καὶ ταραχαῖς, ἀλλὰ θείᾳ τινὶ δυνάμει καὶ χάριτι, πρὸς οἰκοδομὴν τῶν ἀκουόντων, ἐν εἰρήνῃ τε καὶ γαλήνῃ. Καὶ οὐδὲ καπνὸν ὑπεισήρχοντο θυσίας προσαγομένης Θεῷ ποτε, ἀλλὰ καθὼς γέγραπται ἐν τῷ Μανωὲ, « Ἥψατο τῇ ῥάβδῳ τῶν κρεάτων ὁ ἄγγελος, τῇ θείᾳ δυνάμει δηλαδὴ, καὶ ἐξελθόντος ἐκ τῆς πέτρας πυρὸς, ταῦτα κατέφαγε. » Τοῦτο δὲ καὶ διὰ τῆς προσευχῆς τοῦ Ἠλιοῦ γέγονε, καὶ ἀναφθέντος πυρὸς, τά τε κρέατα καὶ τὰς σχίδακας καὶ τὸ ὕδωρ καὶ τοὺς λίθους κατέφαγε. Καὶ ἄλλοι δὲ

πλεῖστοι τῶν ἁγίων πολλάκις ἴσα τοῖς ἀγγέλοις θείᾳ δυνάμει ἀληθῶς καὶ οὐ κατὰ φαντασίαν ἐνήργησαν. Ἀλλὰ καὶ ἐξαιρέτως θεῖαι εἰκόνες αἱ τῶν προφητῶν τοῦ Θεοῦ ὁράσεις καὶ ἀληθεῖς θεωρίαι. Καὶ πάντα ταῦτα λόγους κέκτηται θειοτέρους, καὶ ὑπὲρ ὠφελείας ἀνθρώπων γίνεται· καὶ καθ' ὁμοίωσιν τῶν θείων τούτων ὁράσεων, καὶ τῶν ἀγγέλων αἱ θεωρίαι ἀληθεῖς, εἰ καὶ εἰκονικῶς δι' ἡμᾶς καὶ ἐν σχήματι, διὰ τὸ καὶ ἡμᾶς ἐν μορφῇ εἶναι τοῦ σώματος καὶ ἐν σχήματι. Καὶ ταῦτα μὲν δι' ὀλίγων περὶ τῆς πρώτης ἐρωτήσεως.

A Dei scilicet), et exiens ignis de petra has consumpsit. » Hoc enim factum est per preces Eliæ: « et descendens ignis et carnes, et ligna, et aquam, et lapides consumpsit. » Et cæteri plerique sanctorum sæpe eadem per angelos et virtutem divinam vere et non phantastice operati sunt. Sed et præsertim divinæ imagines, oracula prophetarum Dei et veræ historiæ. Quibus omnibus sermones Dei constituuntur, in utilitatem hominum prolati: et sicut hæc divina oracula, ita et angelorum fideles historiæ, qui venerunt in imaginibus, propter nos et quadam specie et figura, quia et nos sumus in forma et figura corporis. Et hæc quidem breviter ad primam quæstionem.

ΕΡΩΤΗΣΙΣ Β'.

Ἡ ἀναπνοὴ πῶς ἐν ἡμῖν γίνεται; Καὶ πῶς τὸ βρέφος ἀναπνεῖ ἐν τῇ μήτρᾳ; Καὶ πῶς, κρατηθείσης τῆς πνοῆς, ἐξέρχεται ἡ ψυχή;

Πῶς δὲ ἐν τῷ ἀνθρώπῳ ἡ πνοὴ, καὶ πότε ἐν αὐτῷ, καὶ εἰ ἐν τῇ μήτρᾳ τὸ βρέφος ἀναπνεῖ, **326** καὶ τί τὸ ἐνεργοῦν αὐτὴν, καὶ πῶς κωλυθείσης νεκροῦται ὁ ἄνθρωπος, λέγομεν κατὰ δύναμιν οὕτω. Πρῶτον μὲν, ὅτι ταῦτα φυσικωτέρας ζητήσεως, καὶ οὐ χρεία περὶ τοιούτων λέγειν ἡμᾶς· ἔπειτα δὲ οὐδὲ λύσεως θειοτέρας εἰς ταῦτα χρεία. Διό φαμεν, ὡς ἐπειδὴ διπλοῦς ὁ ἄνθρωπος, ἰδίᾳ μὲν καὶ τὰ τῆς ψυχῆς, ἰδίᾳ δὲ καὶ τὰ τοῦ σώματος κέκτηται, εἰ καὶ ἕν ἐστι ζῶον, καὶ ἄνθρωπος εἷς ἅμα τῇ ψυχῇ καὶ τῷ σώματι. Ἡ ψυχὴ δὲ εἰ καὶ τὸ σῶμα ζωοποιεῖ, ἀλλὰ καὶ καθ' αὑτήν ἐστι. Καὶ δῆλον ὡς μένει καὶ ἔστι, λυομένου τούτου, καθὰ δὴ καὶ ἡ Ἐκκλησία δοξάζει, καὶ δείκνυσι, διά τε τοῦ ζωοποιοῦ τοῦ Σωτῆρος ἡμῶν τὸν κατὰ σαρκὸς θανάτου, χωρισθείσης τῆς ἁγίας αὐτοῦ ψυχῆς τῷ θανάτῳ τοῦ σώματος, καὶ πάλιν ἑνωθείσης τῇ ἀναστάσει, καὶ διὰ τῶν ἁγίων αὐτοῦ, ὧν μένουσιν αἱ ψυχαὶ καὶ μετὰ θάνατον ζῶσαι καὶ ἐνεργοῦσαι, ἐν αὐτῷ φαινόμεναι. Κέκτηται οὖν τὸ σῶμα φυσικάς τινας ἐνεργείας πρὸς τὸ ζῆν καὶ μένειν αἰσθητῶς, αἳ καὶ ἔμφυτοι τῆς σαρκὸς τελοῦσι δυνάμεις, κατὰ μίμησιν τῶν τε ζώων καὶ τῶν φυτῶν· ἐπεὶ ὡς καὶ ταῦτα ἐκ τεσσάρων στοιχείων, καὶ τὸ ἀνθρώπινον σῶμα σύγκειται, καὶ τούτοις στοιχείοις συμπάσχει, καὶ τοῖς καιροῖς συναλλοιοῦται, καὶ κατὰ τὰ ἄλογα σπείρεταί τε καὶ τίκτεται, καὶ γένεσιν καὶ αὔξησιν ἔχει καὶ φθίσιν, καὶ νεότητα καὶ γῆρας, καὶ τὰ λοιπὰ τοῦ σώματος. Ὅθεν νόσοις τε καὶ μαχαίρᾳ, καὶ πνιγμονῇ, καὶ λοιποῖς ἄλλοις συμπτώμασιν ἀποθνήσκει. Ἡ λογικὴ δὲ ψυχὴ εἰ καὶ συμπάσχει τῇ ἑνώσει, ἀλλ' οὐ συναποθνήσκει τῷ σώματι. Ὅθεν καὶ ἡ ἀναπνοὴ κατὰ φύσιν ἐν αὐτῷ ἐνεργεῖται τῷ σώματι, καὶ ὀργανικῶς διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος καὶ αὐτοῦ τοῦ γαργαρεῶνος οἰκονομεῖται. Καὶ ἡ μὲν καρδία ἀπωθεῖται εἰς τὸ ἔξω τὸ ἐν αὐτῇ τυγχάνον θερμόν· λαμβάνει δὲ ἐκ τῶν ἔξωθεν τὸν εἰσπνεόμενον ἀέρα, καὶ οὕτω ζῇ καὶ κινεῖται, καὶ ἐνεργεῖ τὸ ζῶον, ὁ ἄνθρωπος, ὡς καὶ διὰ τῶν λοιπῶν ἄλλων ὀργάνων τά τε τῆς τροφῆς κατεργάζεται, καὶ τὰ πρὸς σύστασιν οἰκείαν οἰκονομεῖ, καὶ τὰ περιττὰ ἀποῤῥίπτει τὸ σῶμα, τοῦ Θεοῦ Λόγου, τοῦ τὴν φύσιν δημιουργήσαντος, δυνα-

QUÆSTIO II.

B *Quomodo fiat in nobis respiratio, qua ratione infans respiret in utero matris, et quomodo respiratione intercepta homo exanimetur?*

Quomodo in homine respiratio, et unde sit hæc, et utrum fetus in matrice respiret, et quid respirationem producat, et quo modo hac cessante moriatur homo? Ita ad hæc respondemus pro posse. Primo quidem cum hæc quæstio sit potissime naturalis, nec utile nec necessarium nobis esset de istis rebus disserere. Neque insuper summa utilitas in solvenda ista quæstione ab altioribus et quasi divinioribus principiis. Idcirco tamen respondemus, quia, cum homo sit duplicis substantiæ, propria attributa animæ, et propria corporis attributa accepit, et est unum animal et unus homo in C anima simul et in corpore. Anima quidem corpus vivificat et insuper vitam suam habet propriam. Et certum est quod manet et superest, ipso soluto, sicut et prædicat Ecclesia, illud confirmans exemplo Salvatoris nostri, vitæ auctoris, cujus anima sanctissima, per mortem ejus secundum carnem, a corpore vita functo, primum separata est, cui per resurrectionem rursum præsens facta est, et per sanctos ejus quorum animæ post mortem manent in cœlo viventes, et in ipso viventes et agentes postea apparebunt. Accepit igitur corpus quasdam naturales virtutes et energias ad vivendum et manendum sensibile: naturalia enim carnis sunt veræ facultates, in similitudinem animalium et plantarum quæ ex quatuor elementis coalescunt, et idem D de humano corpore, quod sicut et hæc elementa afficitur, et pro temporibus mutat, et sicut irrationabilia seminatur et parturitur, habetque generationem, augmentum, incrementum, consumptionem, adolescentiam, et senectutem et cætera propria corporibus. Unde morbis, et gladio, et suffocatione, et cæteris casibus interire potest. Rationalis autem anima etsi simul corpore patitur, non tamen cum ipso moritur. Unde respiratio naturæ in corpore producitur et narium et oris ministerio exercetur et gutturis, stomachus autem aerem respiratum cum calidus evaserit, exspirat, novum respirandum de foris accipiens, et ita homo vivit et movetur et seipsum vivum præbet agendo, et cæteris omnibus organis utendo ad ali-

menta suscipienda, ad constitutionem propriam evolvendam, et tandem ad ejiciendum superflua corporis; sic a Dei Verbo, Creatore naturæ virtute accepta omnia faciendi in seipso secundum verbum Dei et convenienter et naturaliter. In matrice igitur fetus respirat per matricem; sicut enim totum corpus mulieris naturaliter ordinatur, ita et fetus in ipsa sicut membrum corporis ejus. Quidam enim dicunt, quod homo in matrice minime per respirationem vivit; sed, sicut philosophi dixerunt, omnino naturaliter. Nam sicut plantæ non vivunt per respirationem, sed eo quod radices habeant fixas in terra, ita et in matrice fetus per tenuem ligaturam, in membranis fixam matricis, introaccipit necessaria vitæ; parturitur deinde et per seipsum vivit alimentis et respiratione, sicut et cætera non rationalia animantia. Agitur anima rationali quæ est in ipso, et nutritum ab extra regitur. Sensim intelligentia proficit, non quasi ex anima rationali præexistente procedat, ut stultis placuit Græcis, sed profecto suæ ipsius animæ quæ a principio in ipso est, Dei Creatoris virtute cum spermate infusa, ut loquitur sanctus Gregorius Nyssenus. Primum enim animatum animal infirmum est et dejectum, et virtus animæ paulatim apparet cum perfectione organorum.

A μιν αὐτῇ δεδωκότος, πάντα κατὰ λόγον καὶ προσηκόντως ἐνεργεῖν ὑπὲρ ἑαυτῆς, καὶ φυσικῶς. Ἐν τῇ μήτρᾳ δὲ τὸ βρέφος ἀναπνεῖ διὰ τῆς μητρός. Ὡς γὰρ ἅπαν τὸ σῶμα τῆς γυναικὸς ἐξοικονομεῖται φυσικῶς, καὶ τὸ ἐν αὐτῇ βρέφος ὡς μέλος τοῦ σώματος αὐτῆς. Τινὲς δέ φασιν, ὡς ὁ ἄνθρωπος ἐν τῇ μήτρᾳ οὐ δι' ἀναπνοῆς ζῇ, ἀλλ' ὡς οἱ ἔξω σοφοὶ λέγουσιν, οἷον φυτικῶς. Ὡς γὰρ τὰ φυτὰ οὐ δι' ἀναπνοῆς ζῇ, ἀλλ' ἐκ τοῦ τὰς ῥίζας ἐμπεπηγυίας ἔχειν τῇ γῇ, οὕτω δὴ καὶ ἐν τῇ μήτρᾳ τὸ βρέφος διά τινος μορίου ἐμπεφυκότος τοῖς μέλεσι τῆς μητρὸς, τὰ τῆς ζωῆς ὑποδέχεται· ἀποτεχθὲν δὲ, καθ' ἑαυτὸ ζῇ διὰ τῆς τροφῆς καὶ ἀναπνοῆς, ὡς καὶ τὰ ἄλογα ζῶα. Τῇ λογικῇ δὲ ψυχῇ ἐν αὐτῷ οὔσῃ ἄγεται, καὶ τραφὲν ἐξοικονομεῖται. Εἰς ἔννοιαν ἔρχεται δὲ κατ' ὀλίγον B ὕστερον, οὐ τῆς λογικῆς ὕστερον ψυχῆς ὑπαρξάσης, οὐδὲ προϋπαρχούσης κατὰ τοὺς ἄφρονας Ἕλληνας, ἀλλ' οὔσης μὲν ἐν αὐτῷ φυσικῶς ἀρχῆθεν τῷ σπέρματι δημιουργικῇ θείᾳ δυνάμει, ὡς ὁ Νύσσης φησὶ Γρηγόριος θεῖος· ἔμψυχον γὰρ τὸ ζῶον ἐξ ἀρχῆς καταβάλλεται, τῆς δυνάμεως τῆς ψυχῆς ἐμφαινομένης δὲ τῇ τελειότητι τοῦ ὀργάνου.

QUÆSTIO III.

Qua ratione angeli Deo adsistant, et quomodo, ut in Jobi libro, medius inter ipsos steterit diabolus. Item unde angeli cognoscant quid Deus velit, et qua ratione dæmon ad tenebras damnatus possit versari coram facie Dei?

De dubio autem qua forma assistant angeli Deo, C quem non tamen cernere possunt, et quomodo ejus cognoscant voluntatem, et quomodo diabolus ipsi assistat in medio angelorum, dicemus, quod sub aliqua forma angeli Deo appareant dicere super nos est, et soli Deo notum atque angelis, et illis forte qui cum angelis sunt et hæc scire digni sunt habiti. Quomodo ergo nos cum pulvis simus, ea quæ de spiritualibus sunt et conceptum nostrum excedunt intelligemus? Modo quo per Scripturam possumus scire. Amori assistunt divino, quem immobiles contemplantur, et cujus desiderio consumuntur. Non quasi in loco, nam super omnia Deus, sed ipsi proximi sunt vinculis charitatis, et per puram intelligentiæ contemplationem, et insuper ipso pleni, ejus splendoris fulgurantis sunt partici- D pes; minime vero eum vident in substantia; cum et ipsis omnino invisibilis sit natura Dei et ultra creaturas ejus non possint attingere, nec Creatorem videre. Si enim nos angelos qui super nos sunt sensibus non possumus videre, multo minus ipsi increati naturam unquam assequentur. Idcirco solummodo participes esse possunt luminis inde erumpentis, et inde habere revelationes, spiritumque habent ex primo Spiritu et sermonem ex Verbo Dei viventis. Rationem habent per eum et sanctitatem et motum ex Spiritu, et sic intelligunt voluntatem Dei, et quidem plena certitudine etiam extra corpus; et ad opus ejus adimplendum fervidissime et sine intermissione feruntur.

ΕΡΩΤΗΣΙΣ Γ'.

Τίνι τρόπῳ παρίστανται οἱ ἄγγελοι τῷ Θεῷ; Καὶ πῶς ὡς ἐν τῷ Ἰὼβ, μέσον αὐτῶν καὶ ὁ Διάβολος ἔστη; Καὶ πῶς μανθάνουσι τὸ θέλημα οἱ ἄγγελοι τοῦ Θεοῦ; Καὶ πῶς ὁ ζοφερὸς Δαίμων ἐνώπιον τοῦ Θεοῦ;

Πρὸς δὲ τὸ ἀπόρημα τίνι παρίστανται τρόπῳ οἱ ἄγγελοι τῷ Θεῷ, μὴ ἑωρακότες αὐτὸν, καὶ πῶς τὸ αὐτοῦ μανθάνουσι θέλημα, καὶ πῶς ὁ διάβολος αὐτῷ παρίσταται μέσον τῶν ἀγγέλων, τοῦτο ἐροῦμεν, ὅτι τίνι τρόπῳ παρίστανται οἱ ἄγγελοι τῷ Θεῷ ὑπὲρ ἡμᾶς λέγειν καὶ μόνον τοῦτο Θεῷ καὶ αὐτοῖς γνωστὸν, τοῖς ἀγγέλοις, ἴσως δὲ καὶ τοῖς κατ' ἀγγέλους οὖσι καὶ **327** παρὰ Θεοῦ ταῦτα μανθάνειν ἠξιωμένοις. Πῶς οὖν ἡμεῖς, χοϊκοὶ ὄντες, τὰ περὶ τῶν ἀΰλων καὶ ὑπὲρ ἡμᾶς ἐννοήσωμεν; ὅμως, ὡς ἔχομεν ἀπὸ τῆς Γραφῆς ἐννοεῖν, ἔρωτι παρίστανται θείῳ καὶ θεωρίᾳ ἀκλινεῖ, καὶ τῷ πόθῳ περὶ αὐτὸν τελοῦσιν, οὐ τοπικῶς· ὑπὲρ τὸ πᾶν γὰρ ὁ Θεός· ἀλλὰ τῇ τῆς ἀγάπης ἐγγύτητι, καὶ τῇ νοητῇ θεωρίᾳ, ἔτι δὲ καὶ τῷ πληροῦσθαι καὶ μετέχειν ἐκεῖθεν ἀπαυγαζούσης ἀστραπῆς. Οὐ γὰρ κατ' οὐσίαν αὐτὸν ὁρῶσι. Καὶ τούτοις γὰρ ἀθεώρητος φύσει ἐστὶν ὁ Θεὸς, κτίσματα τελοῦσιν αὐτοῦ, καὶ τὸν ὑπὲρ τὴν φύσιν αὐτῶν καὶ κτίστην ὁρᾷν οὐκ ἰσχύουσιν. Εἰ γὰρ ἡμεῖς ἀδυνατοῦμεν ὁρᾷν ἀγγέλους, αἰσθητῶς ὑπὲρ ἡμᾶς ὄντας, πολλῷ γε μᾶλλον οὗτοι τὸν ἄκτιστον οὐ θεάσονται φύσει. Διὸ τοῦ ἐκεῖθεν φωτὸς μετέχουσι μόνον, κἀκεῖθεν ἀποκαλύψεις δέχονται, καὶ τὸν νοῦν ἐκ τοῦ πρώτου νοῦ κινούμενον ἔχοντες, καὶ τὸν λόγον ἐκ τοῦ Λόγου τοῦ ζῶντος. Λογικοὶ γάρ εἰσι δι' αὐτὸν, καὶ τὸν ἁγιασμὸν καὶ τὴν κίνησιν ἐκ τοῦ Πνεύματος κατανοοῦσι τὸ θεῖον θέλημα· καὶ ἀσωμάτως πληροφοροῦνται· καὶ πρὸς τὴν ἐργασίαν καὶ ἐκπλήρωσιν τούτου θερμοτάτως κινοῦνται καὶ ἀκαμάτως. Μέσον δὲ τούτων, κατὰ τὴν τοῦ Ἰὼβ ἱστορίαν, ἔστη

καὶ ὁ διάβολος, οὐ κατὰ τὸν τόπον καὶ στάσιν τὴν τῶν ἀγγέλων. Πῶς γὰρ ὁ ἐκ τοῦ οὐρανίου χώρου πεσών; ὡς ὁ Σωτὴρ ἔφη· « Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. » Ἐνδιαίτημα γὰρ τῶν ἀγγέλων ὁ οὐρανός. Καὶ γὰρ εἰ καὶ ἀσώματά εἰσι πνεύματα οἱ ἄγγελοι, ἀλλ' ὅμως περιγραπτοὶ καὶ ἐν τόπῳ, ὡς καὶ ὁ ἡμέτερος νοῦς. Μόνον δὲ τὸ Θεῖον ἀπεριόριστον. Ἵστατο οὖν ὁ πονηρὸς ἐν μέσῳ τῶν ἀγγέλων, οὐ τῷ τόπῳ καὶ τῇ στάσει, ἀλλὰ τῇ ἐπάρσει τῆς ἀλαζονείας αὐτοῦ, καὶ τῷ ὑψινεφεῖ τε καὶ ἀντιθέῳ τοῦ φρονήματος, οὐ γὰρ περαιτέρω τοῦ ἀέρος δύναται βαίνειν ὁ κατακριθεὶς μᾶλλον ὑπὸ τὴν γῆν καὶ τὸν ᾅδην εἶναι ἀεί. Ἵστατο οὖν κομπάζων, καὶ κατὰ Θεοῦ τοῦ ποιήσαντος αὐτὸν, καὶ ἀθάνατον καταστήσαντος, κινούμενος δυσσεβῶς, καὶ κατὰ τοῦ θεράποντος αὐτοῦ Ἰὼβ, ἐπαιρόμενος φθονερῶς, καὶ τὴν περὶ αὐτοῦ τοῦ Θεοῦ μαρτυρίαν σπεύδων ἀποδεῖξαι ψευδῆ. Ἀλλὰ καὶ τῇ θείᾳ θελήσει δέδοται αὐτῷ χώρα τὰ τῆς μανίας ἐνεργεῖν εἰς δοκιμὴν καὶ προκοπὴν τοῦ μακαρίου Ἰὼβ ἐκείνου, ἵνα μὴ τολμᾷ λέγειν ὁ πονηρὸς, ὡς οὐ δεδοκίμασται ὁ δίκαιος, οὐδὲ ἀνεφάνη τῇ πείρᾳ δίκαιος ὤν. Ὁ γὰρ κοινὸς ἐχθρὸς οὐκ ἰσχύει τι παρὰ γνώμην Θεοῦ κατὰ τῶν κτισμάτων αὐτοῦ, εἰ καὶ τὰ μὲν τῶν ἐπερχομένων ἀφίησι Θεὸς εὐδοκίᾳ γίνεσθαι τοῖς ἀνθρώποις, τὰ δὲ ἐγκαταλείψει παραχωρεῖ, ὡς ἐκ πάσης σχεδὸν τῆς Γραφῆς διδασκόμεθα. Καὶ ταῦτα μὲν ἐν βραχεῖ περὶ τῆς τρίτης ἐρωτήσεως.

ΕΡΩΤΗΣΙΣ Δ'.

Τὰς ἐξερχομένας ψυχὰς ἄγγελος εἷς λαμβάνει, ἢ πολλοί; Καὶ εἰ χωρὶς ἀγγέλου ἐξέρχονται. Καὶ πῶς λαμβάνεται ἡ ψυχὴ ἄϋλος οὖσα; καὶ ποῦ πορεύεται; Καὶ εἰ δύναται ψυχὴ κατέχεσθαι ὡς ἡ τοῦ πλουσίου ὑπὸ πυρός;

Περὶ δέ γε τῆς τετάρτης, ὅτι εἰ εἷς ἄγγελος ἢ πολλοὶ λαμβάνουσιν ἀνθρώπου ψυχὴν, καὶ εἰ χωρὶς ἀγγέλου τοῦ σώματος οὐκ ἐξέρχεται, καὶ πῶς λαμβάνεται ὑπ' ἀγγέλου, ἐπεὶ καὶ ἄμφω πνεύματα, καὶ ποῦ ἀπέρχεται, εἰς τὸν οὐρανὸν ἢ εἰς τὴν γῆν, ἢ εἰς τὸν ᾅδην, καὶ πῶς ἐν φλογὶ ἀσώματος οὖσα, ταῦτα κατὰ δύναμιν λέγομεν· Ὅτι μὲν ὑπ' ἀγγέλων ἁγίων λαμβάνονται αἱ τῶν δικαίων ψυχαὶ, αἱ δὲ τῶν ἀδίκων ὑπὸ δαιμόνων, ἀπὸ πολλῶν ἱστοριῶν καὶ πατρικῶν λόγων ἔγνωμεν· καὶ τὸ ἱερόν φησιν Εὐαγγέλιον περὶ τοῦ πένητος Λαζάρου ἀποθανόντος, αὐτὸν ὑπὸ ἀγγέλων ἀπενεχθῆναι εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. Μαρτυροῦσι δὲ καὶ αἱ θεωρηθεῖσαι τῷ θείῳ Ἀντωνίῳ ψυχαὶ, ἥ τε τοῦ Νητριώτου Ἀμοῦν, καὶ ἡ τοῦ Θηβαίου δὲ Παύλου, ὡς ὁ μέγας ἐκτίθησιν Ἀθανάσιος, καὶ πολλῶν δὲ ἄλλων ἁγίων μακαριώταται ψυχαὶ, οὐ μόνον ὑπὸ ἀγγέλων θείων προσλαμβανόμεναι, **328** ἀλλὰ καὶ ὑπὸ ψυχῶν ἁγίων δορυφορούμεναι, εἰς παράκλησιν αὐτῶν, οἶμαι, καὶ τιμὴν, ἀποστελλομένων τούτων παρὰ Θεοῦ. Ἀριθμὸν δὲ οὐκ ἔγνωμεν ἀγγέλων. Πολλάκις δὲ καὶ ἕνα, ὡς Εὐθύμιος ὁ μέγας ἔβλεψεν ἄγγελον κατέχοντα τρίαιναν, ἠκούσαμεν ἐν τοῖς τῶν Πατέρων λόγοις, καὶ δύο δὲ καὶ πλείονας ἀγγέλους παραγεγονότας, ἐπὶ τῷ λαβεῖν ψυχήν. Οἶμαι δὲ τοῦτο κατὰ τὴν

A In medio eorum secundum Job historiam stetit diabolus non in loco et sede angelorum. Quomodo enim ille e cœlesti choro cecidit? sicut dixit Salvator: « Videbam Satanam sicut fulgur de cœlo cadentem: » nam cœlum habitatio est angelorum. Etenim quamvis angeli spiritus sint incorporales, sed tamen circumscripti, et in loco sedent sicut et spiritus noster: unus enim Deus est infinitus. Stetit igitur Malus in medio angelorum, non locum occupans et sedem habens, sed in elatione jactantiæ et superbiæ suæ, et cogitans se esse super nubes et æqualem similemque Deo. Sed non potest ascendere ultra aerem, seu potius damnatur ad commorandum semper sub terra et in inferno. Stetit igitur plenus jactantia, et impie motus adversus B Deum qui fecit illum et constituit immortalem, et contra Job servum Dei invidiose inflatum, falsum esse ostendere volens quod de illo protulerat Deus testimonium. Sed et voluntate Dei datum est ei hic vesaniam ostendere in experimentum et processum ipsius beati Job, ut malus non possit dicere quia non est expertus justus, et quia tentatione non manifestata est justitia ejus. Impurus ergo hostis nihil potest contra creaturas præter Dei scientiam: et si quæ eveniunt hominibus, hæc ipsis benevolentia permittit Deus fieri, et omnibus quæ permittit utilia reddit, sicut ex omni fere Scriptura discimus. Et hæc breviter in tertiam quæstionem.

C QUÆSTIO IV.

Egressas a corporibus animas num singuli an plures angeli excipiant, et num sine angelo egrediantur. Quomodo possit excipi anima expers materiæ, et quorsum abeat. Num possit ab igne contineri sicut anima Divitis?

Ad quartam autem quæstionem utrum unus aut plures angeli auferant animam hominis; et an sine angelo non exeat e corpore; quomodo auferatur ab angelo cum sint uterque spiritus; et quo abeat, in cœlum, aut in terram, aut in infernum; et quomodo comburatur cum non habeat corpus: hæc pro posse dicemus: quod animæ justorum a sanctis angelis, impiorum vero a dæmoniis auferantur, et hoc multorum historicorum et Patrum sermonibus cognoscimus; idemque dixit D Evangelium de paupere Lazaro mortuo, quod ab angelis sublatus sit in sinum Abrahæ. Testantur enim sanctum Antonium contemplatum esse animas exeuntes, ut narravit magnus Athanasius de anima Pauli Thebani, et multorum aliorum beatissimas sanctorum animas. Neque solum a sanctis angelis ablatæ sunt, sed et custoditæ a sanctis animabus a Deo missis in protectionem quidem et honorem ipsarum. Numerum autem non scimus angelorum ad hoc deputatorum. Sæpe unum legimus in sermonibus Patrum; vidit Euthymius magnus custodientem Triænam et duos vel plures angelos præpositos ad suscipiendam animam, et illud forte propter dignitatem animarum suscipiendarum: et animas justorum a pluribus angelis suscipi pro

earum merito vel a paucioribus: animas denique peccatorum a dæmonibus rapi; sed non tamen præter notitiam Dei aut contra sententiam ejus: non enim absque præsentia angeli animæ peccatorum separantur a corpore, ne inimicus regiones circumeat nequiter et sine modo hominem interficiens, et denique ne credatur dominus mortis et vitæ [1]. Accipitur ab angelis immaterialibus anima, immaterialis et ipsa consequenter, imo natura sua. Habent enim necessitudinem aliquam cum immaterialibus angeli. Animæ vero proficiscuntur, ut a sanctis doctoribus discimus, ad loca earum vita et operationibus digna, et hæ quidem in cœlo, quarum conversatio in cœlis erat. Quædam vero in cœlum cum corporibus translatæ sunt, sicut eodem mente raptus Paulus docet, qui postea dissolvi cupiebat et esse cum Christo [2], et ut fiat illud Domini verbum: « Ubi sum ego et ipsi mecum sint [3]; » et illi sunt in paradiso, secundum illud: « Hodie mecum eris in paradiso [4]. » Ibi enim esse animas omnium qui post pœnitentiam mortui sunt, sicut et ejus animam cauti sapientisque latronis, credendum est. Et juste quidem: qui enim Christum perfecte sunt imitati, ipsum ascendentem in cœlum sequentur et cum ipso in cœlo erunt. In paradiso quoque sunt quos sicut latronem pœnituerit; nam et cœlum et paradisum aperuit Christus. Et anima quæque juxta vitam suam accipiet a Deo consolationem, omnes enim sunt imperfectæ usque dum veniat Dominus, sicut docemur: Ut non sine nobis, inquit, perfecti fiant [5]; et consequenter qui perfectionem ex fide percipiunt, non receperunt mercedem suam. Peccatorum vero atque infidelium animas in inferno esse credendum est, quemadmodum sanctorum in cœlo, et in aliis locis obscuris et tristibus, peccatis eorumdem et infidelitati correspondentibus, dæmonibus obnoxiæ, a quibus veluti tyrannis mœroribus ac laboribus cruciabuntur. Nunc autem pœnam non luunt perfectam cum nondum adsint corporibus quibuscum peccaverunt, et cum nondum de cœlo descenderit Dominus qui judicabit omnes et reddet unicuique secundum opera ejus. Sed neque est quædam castigatio prima in quam peccatrices animæ ingrediantur puniendæ juxta malitiam suam et postea liberandæ ab ulteriore pœna, sicut pessime blaterantur quidam... Cum enim sanctus Gregorius Dialogus dixit animas in igne torqueri, hoc secundum intelligentias dixit; ita ut animæ sint quasi captivæ in quodam loco postquam et secundum quod judicatæ et damnatæ fuerunt affligendas in igne per conscientiam; ita ut insuper gratiæ Dei factæ exheredes, dæmonibus subjiciantur; sicut et loquitur Chrysostomus, affirmans in Commentariis suis in Acta apostolorum animas cruciandas per conscientiam et per separationem a Deo hanc ultimam et æter-

A ἀξίαν γίνεσθαι τῶν μεθισταμένων ψυχῶν, καὶ τῶν δικαίων τὰς μὲν ὑπὸ πολλῶν παρακαλεῖσθαι ἐν τῇ ἐξόδῳ κατὰ τὴν αὐτῶν προκοπήν, τὰς δὲ ὑπὸ ἐλαττόνων, τὰς τῶν ἁμαρτησάντων δὲ πάλιν ὑπὸ δαιμόνων ἁρπάζεσθαι, τέως γε μὴν οὐ παρὰ γνώμην Θεοῦ. Καὶ γὰρ οὐδὲ τῶν ἁμαρτωλῶν αἱ ψυχαὶ χωρὶς ἀγγέλου χωρίζονται, ἵνα μὴ χώραν ὁ ἐχθρὸς εὕροι θανατοῦν τὸν ἄνθρωπον, καὶ παρὰ καιρὸν, καὶ ἵνα μὴ νομισθείη κύριος εἶναι τοῦ θανάτου καὶ τῆς ζωῆς. Λαμβάνεται δὲ ὑπ' ἀγγέλων ἀΰλων ἡ ψυχὴ ἄϋλος οὖσα, ἀκολούθως, μᾶλλον δὲ κατὰ φύσιν. Συγγενῶς γὰρ πρὸς τὰ ἄϋλα οἱ ἄγγελοι ἔχουσιν. Αἱ ψυχαὶ δὲ πορεύονται, ὡς παρὰ τῶν ἁγίων μανθάνομεν, ἐν τόποις τῆς ζωῆς αὐτῶν καὶ πολιτείας ἀξίοις· καὶ αἱ μὲν ἐν τῷ οὐρανῷ, αἷς καὶ τὸ πολί- B τευμα ἦν ἐν οὐρανοῖς. Αἵτινες δὴ καὶ μετὰ τοῦ σώματος οὖσαι εἰς οὐρανοὺς ἀνηνέχθησαν, ὥσπερ ὁ Παῦλος ἁρπαγεὶς ἐκεῖσε διδάσκει, καὶ ἐπιθυμῶν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, καὶ ἵνα γένηται τὸ, « Ὅπου εἰμὶ ἐγὼ, καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ, » ὅπερ ἔφη ὁ Κύριος. Οἱ δὲ ἐν τῷ παραδείσῳ εἰσὶ, κατὰ τὸ, « Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. » Ἔνθα καὶ πάντων τῶν διὰ μετανοίας ἐξερχομένων εἶναι τὰς ψυχὰς πιστευτέον, ὡς καὶ τὴν τοῦ εὐγνώμονος ἐκείνου λῃστοῦ ψυχήν. Καὶ δικαίως, οἱ μὲν ἐν τῷ οὐρανῷ ὡς τὸν Χριστὸν ὁλικῶς μιμησάμενοι, εἰς τοὺς οὐρανοὺς ἀναληφθέντι συνεῖναι, οἱ δὲ ἐν τῷ παραδείσῳ, ὡς ὁ λῃστὴς, μετανοήσαντες· καὶ γὰρ ὁ Χριστὸς καὶ τὸν οὐρανὸν καὶ τὸν παρά- C δεισον ἤνοιξεν. Ἀναλόγως δὲ τῇ ζωῇ ἑκάστη δέχεται καὶ παρὰ Θεοῦ τὴν παράκλησιν, πᾶσαι δέ εἰσιν ἀτελεῖς, ἕως ἂν ὁ Κύριος ἔλθῃ, καθὼς διδασκόμεθα· « Ἵνα μὴ χωρὶς ἡμῶν, φησὶ, τελειωθῶσι. » Καὶ οὗτοι πάντες τελειωθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν. Τὰς τῶν ἁμαρτωλῶν δὲ καὶ ἀπίστων ψυχὰς καὶ ἐν τῷ ᾅδῃ πιστευτέον εἶναι, ὥσπερ καὶ ἐν οὐρανῷ τῶν ἁγίων, καὶ ἐν ἑτέροις τόποις ἀφεγγέσι καὶ θλιβεροῖς, καὶ ἀναλόγως ταῖς ἁμαρτίαις αὐτῶν, καὶ τῇ ἀπιστίᾳ, ὑπὸ δαιμόνων ἄρχεσθαι καὶ τυραννουμένας ὀδυνᾶσθαι· οὐ μὴν δὲ νῦν τῇ τελείᾳ κολάσει παραδίδοσθαι. Ἐπεὶ οὔπω τοῖς αὐτῶν ἡνώθησαν σώμασι, μεθ' ὧν καὶ ἐξήμαρτον· οὐδ' ὁ Κύριος ἔτι ἦλθεν ἐξ οὐρανοῦ, ὃς κρινεῖ πάντας, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. D Ἀλλ' οὐδέ τις ἔστι κόλασις πρότερα, εἰς ἣν αἱ ἁμαρτωλαὶ ψυχαὶ ἐμβαλλόμεναι, καὶ δίκην τίνουσαι ἀνάλογον τῇ κακίᾳ, ἐλευθεροῦνται τῆς τιμωρίας, ὥς τινες φληναφοῦσιν. Εἰ γὰρ καὶ ὁ θεῖός φησι Γρηγόριος ὁ Διάλογος, ψυχὰς ἐν φλογὶ τιμωρεῖσθαι, νοητῶς τοῦτό φησι, καὶ τὸ εἶναι ὡς δεσμίους τὰς ψυχὰς ἐν τόπῳ τινὶ ὡς καταδεδικασμένας θλιβομένας, καὶ τῷ πυρὶ τῆς συνειδήσεως φλέγεσθαι· ἀλλὰ καὶ τὸ μὴ χάριν ἔχειν Θεοῦ, καὶ ὑπὸ δαιμόνων ὀδυνᾶσθαι, ὡς καὶ ὁ Χρυσοῤῥήμων τοῦτό φησιν ἐν τῇ Ἑρμηνείᾳ τῶν Πράξεων, τιμωρουμένας τῷ συνειδότι, καὶ τῷ μὴ παρακαλεῖσθαι ὑπὸ Θεοῦ, καὶ τῷ ἀπεκδέχεσθαι τὴν τελευταίαν ἐκείνην αἰώνιον κόλα-

[2] Philip. I, 23. [3] Joan. XVII, 24. [4] Luc. XXIII, 43. [5] Incerta lectio.

σιν. Εἰ οὖν καὶ μετρίως τινὲς αὐτῶν ἐξήμαρτον, A καὶ μόνον μετανοίᾳ τοῦ βίου τούτου ἐξῆλθον, διὰ τῆς ἱερωτάτης θυσίας καὶ εὐποιϊῶν καὶ λοιπῶν ἄλλων, δύνανται ἐλευθερίας τυχεῖν πρὸ τοῦ ἐλθεῖν τὸν κριτήν. Καὶ τοῦτο δεχομένη ἡ Ἐκκλησία, τὰς ὑπὲρ τῶν ἀποιχομένων ποιεῖται προσευχὰς καὶ θυσίας· καὶ πολλοὶ τοῦτο μαρτυροῦσι, καὶ οἱ λυόμενοι δεσμοῦ μετὰ θάνατον ὡς λυομένων καὶ τῶν σωμάτων αὐτῶν. Διὰ τοῦτο καὶ φλόγα τοῦ πλουσίου ἐκείνου τὴν τῆς συνειδήσεως τιμωρίαν νοητέον, καὶ τὸ μὴ μετέχειν χάριτος. Τὸ μακρόθεν δὲ τὸν Ἀβραὰμ καθορᾷν τὸ μακρὰν εἶναι Θεοῦ σημαίνει, καὶ ὑπὸ δαιμόνων θλίβεσθαι. Οὐ μὴν δὲ τελεία **329** νῦν δίδοται κόλασις. Εἰ δὲ διὰ τὸ τὸν Κύριον εἰρηκέναι ἐν γεέννῃ εἶναι τὸν πλούσιον, πιστευτέον ἐν κολάσει εἶναι αὐτὸν, καὶ διὰ τοῦτο ταῖς τῶν ἁμαρτωλῶν κόλασις ἐστι ψυχαῖς, αἰώνιος ἔσται, ἀῤῥαβὼν τῆς μελλούσης κολάσεως. Πλὴν ὅσον ἔστιν ἐννοεῖν ἀπὸ τῶν ἁγίων Γραφῶν, ἐπεὶ οὔπω ὑπὸ τὰ δεσμὰ καὶ τὸ πῦρ τὸ ἡτοιμασμένον αὐτῷ ὁ διάβολος σὺν τοῖς δαίμοσι, ἀλλ' ἔτι τὴν κακίαν ἐνεργοῦσι τῷ κόσμῳ, καὶ οὔπω δὲ ἡ ἀπόφασις καὶ τοῖς ἁμαρτωλοῖς γέγονε τὸ, « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον· » οὐ τελείᾳ κολάσει αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ παραδίδονται, εἰ καὶ ὁ Πλούσιος λέγεται ἐν γεέννῃ. Πάντως γὰρ ἔσται μὲν ἐν κολάσει, οὐ τελείᾳ δὲ, καὶ οὐδὲ δι' αὐτὴν τὴν ἐν μέρει κόλασιν ἀπαλλαγήσεται τῆς τελείας, ὡς οἱ Λατῖνοι περὶ τοῦ Πουργατωρίου φασί. Καὶ δῆλον, ὡς καὶ χάσμα εἶπεν εἶναι ὁ Ἀβραὰμ ἀνὰ μέσον τῶν ἁμαρτωλῶν καὶ δικαίων, τὸ ἀδύνατον τῆς ἑνώσεως παριστῶν, καὶ μηδὲ δύνασθαι ὑποστρέψαι εἰς τοὺς ζῶντας μετανοεῖν· ὅτι οὐκ ἔστιν ἐν τῷ ᾅδῃ μετάνοια, ἀλλ' ὥσπερ τὰς τῶν ἁγίων οὔπω τελείαν τὴν χάριν ἀπολαμβάνειν, οὕτω καὶ τὰς τῶν ἁμαρτωλῶν οὔπω τιμωρίας καὶ κολάσεως πεῖραν εὑρίσκειν τελείαν δοξάζομεν, ἄχρις ἂν τὸ τέλος ἑκάστῳ γένηται, τοῦ Κυρίου ἐλθόντος. Ὑπὸ δεσμὸν δὲ ἔσται καὶ ὀδύνην τὸ ἄϋλον πνεῦμα ἐν τῇ γεέννῃ κατὰ λόγον προσήκοντα. Καὶ τοῦτο μανθάνομεν ἀπὸ τῶν ἁγίων Γραφῶν, πλὴν καὶ ἀπὸ τῶν γινομένων ἐν ἡμῖν ἐνταῦθα γνῶναι ἔστι καὶ στοχάσασθαι περὶ τῶν μελλόντων δυνατόν. Πολλάκις γὰρ καὶ μὴ βασανιζομένου τοῦ σώματος, ἡ ψυχὴ καθ' ἑαυτὴν ὀδυνᾶται καὶ θλίβεται, περιστατικοῦ τινος ἐπενεχθέντος αὐτῇ καὶ παρὰ τὴν γνώμην αὐτῆς, ἀτιμίας δηλαδὴ, D ἢ ἀποστροφῆς ἀνθρωπίνης, ἢ φόβου, ἢ αἰσχύνης, ἢ παθῶν ἐπιθέσεως, ἢ λογισμῶν ἑτέρων αὐτὴν θλιβόντων καὶ πιεζόντων. Ἐπεὶ δὲ καὶ σώματι δεσμεῖται νῦν ἡ ψυχὴ, καὶ ἐν τῷ μέλλοντι πιστεύεται ἑνωθῆναι σώματι, τί θαυμαστὸν εἰ καὶ πυρὶ κολάζεται, καὶ μάλιστα τότε, ὅτε πάντα ἀλλοιωθήσονται, καὶ εἰς τὸ ἄφθαρτον ἀμειφθήσονται; καὶ ταῦτα κολάσεως ἡτοιμασμένης τῷ διαβόλῳ, ὃς ὑπάρχει ἀσώματος καὶ λεπτοτέρας φύσεως, ἤπερ ἡ ψυχή. Εἰ οὖν αὐτῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἡτοίμασται πῦρ αἰώνιον εἰς τιμωρίαν καὶ κόλασιν, πῶς οὐδὲ ταῖς ψυχαῖς ἔσται τοῦτο, ταῖς ὑποταγείσαις τῷ πο-

nam pœnam exspectantes. Si vero aliquis ex iisdem moderate deliquerit, et cum pœnitentia ex hac vita excesserit, per sacrosanctum sacrificium et bona opera et alia possunt libertatem consequi antequam judex advenerit. Et hoc probans Ecclesia pro defunctis preces et sacrificia peragit. Et hoc multi testantur, et inter eos qui post mortem solvuntur vinculo, non alia ratione qua eorumdem corpora dissolvuntur Et per hoc facile intelligere possumus et ignem quo comburitur dives ille, et cruciatum per conscientiam, et privationem gratiæ. Cum deinde longe et infra positæ dicuntur a conspectu Abrahæ hoc innuit eas longe esse a Deo, et torqueri sub tyrannide dæmonum : sed tamen nunc non plena luitur pœna. Inde Domino testante divitem esse B in gehenna, credendum est ipsum esse in pœna, et consequenter pœnam instare animabus peccatorum, futuræ pœnæ quæ erit æterna, arrhabonem. Etenim hoc insuper cognoscimus ex sacra Scriptura quæ nobis innuit diabolum nondum cum dæmonibus esse in vinculis et in igne præparato ipsi, sed adhuc inspirare malitiam in mundo, et nondum consummatam esse peccatorum separationem nec prolatum terribile hoc : « Discedite a me, maledicti, in ignem æternum [a]. » Perfecta pœna non afficiuntur animæ peccatorum : etsi enim dives dicatur esse in gehenna, omnino erit in pœna, non perfecta quidem, sed per hanc quæ est ex parte pœnam æternam non effugiet, sicut dicunt Latini de purgatorio. Et certo quidem; cum C Abraham dicat esse chaos magnum inter peccatores et justos, unde apparet non posse sibi præsentes esse proximos, et neminem inde remeare inter vivos ad pœnitentiam agendum, quia non est in infernis pœnitentia, sed sicut animabus justorum non datur jam nunc plenam accipere gratiam, sic nondum datur animabus peccatorum, nostro judicio, suppliciorum et castigationis perfectum adipisci experimentum, usquedum finis unicuique adveniat, descendente Domino. In vinculis ergo erit et in dolore spiritus immaterialis in gehenna secundum quod modo de his dicebamus : illud a sancta Scriptura discimus, et jam ab his quæ hic nobis contingunt cognoscere D possumus et conjicere quæ postea fient. Sæpe enim, sospite corpore, anima in seipsa dolore afficitur et conteritur, infortunio quodam ipsam pertinaciter insectante in intellectu : videlicet infamia, aut defectione hominum, aut timore, aut confusione, aut casibus ingruentibus, aut denique considerationibus alienis quæ ipsam ferunt et circumveniunt. Nunc autem vinculis detinetur corporis anima, et cum illud deposuerit, iterum in futuro sperat assumere. Quid ergo mirum si per ignem puniatur, eo tempore præsertim quo mutabuntur omnia ut in incorruptionem vertantur? Omnino ergo pœnam luet quæ parata fuit diabolo,

[a] Matth. xxv, 41.

qui nunquam habuit corpus et est subtilioris naturæ. Si enim paratus fuit ignis sempiternus in supplicium et pœnam diabolo et angelis ejus, quomodo non erit ipsis animabus, his præsertim animabus quæ malo servierunt, errantes a fide, pessimis actibus fœdatæ et magis corporibus se implicantes.

A νηρῷ, τῇ ἀπιστίᾳ, ἢ πονηροῖς ἄλλοις ἔργοις, καὶ μᾶλλον ἐνειλεῖσαις τοῖς σώμασιν;

QUÆSTIO V.

Qua ratione spiritus quidam sint personales, ut angeli et animæ, ac sub forma apparentes, licet expertes materiæ: alii autem destituti forma, ut aer et venti?

Ad quintam quæstionem hæc dicenda: Neque angeli, neque dæmones formas et species habent corporales, neque animæ, sive a corporibus separatæ, sive cum sunt in corporibus præsentes. Angeli quidem quoties in quadam videntur figura, non ut sunt conspiciuntur, sed per imaginem, ut dictum est, in qua a nobis videri possint. In imaginibus autem et visionibus cum apparent angeli, vere et fideliter repræsentantur potentia Dei, ut spiritus sancti, in nostram utilitatem. Ita quoque vere apparent animæ sanctorum et cæterorum mortuorum cum Deus concedit et jubet. Quod ad dæmones attinet, qui gratiam non habent Dei, phantastice, fallaciter, varia fraude, et nequissimo fine formas infimas et semper alteras induunt, et uno verbo dolose et mendaciter nobis apparent. Aer vero et ventus quamvis vocentur spiritus, minime similes sunt angelis neque animabus; sed sunt corpora subtiliora corporum nostrorum adjutricia sicut et animantium et vegetabilium, per aerem enim respiramus; et ignis est aere levior, sed ipse corpus est et corpora alia adjuvat et cæteris elementis circumdabitur. Denique, ut omnes dicunt, aer est unum ex quatuor elementis, ex quibus etiam corpora nostra coalescunt: corpus ergo est aer, etsi levior terra et aqua, et tenuior, in ventos moveatur et subtiliora quæque penetrat, et nullum e corporibus vacuum ab ipso esse permittitur.

ΕΡΩΤΗΣΙΣ Ε'.

Τίνι τρόπῳ τὰ μὲν εἰσιν ὡς ἐνυπόστατα Πνεύματα, ἄγγελοι καὶ ψυχαὶ, καὶ ὡς ἐν σχήματι, εἰ καὶ ἄϋλα, τὰ δὲ ἀσχημάτιστα ὡς ὁ ἀὴρ καὶ οἱ ἄνεμοι;

Εἰς δὲ τὴν πέμπτην ἐρώτησιν λεκτέον ταῦτα· Οὔτε οἱ ἄγγελοι μετὰ σωματικῶν σχημάτων εἰσὶν, οὔτε οἱ δαίμονες οὔτε αἱ ψυχαὶ τῶν σωμάτων χωρισθεῖσαι, ἢ σὺν τοῖς σώμασιν οὖσαι, ἐπειδὴ τὸ σχῆμα ἐν σώματι. Ὁρώμενοι δὲ ἐν σχήματι, οὐ καθὼς ἔχουσιν ὁρῶνται οἱ ἄγγελοι, ἀλλὰ καθόσον ὁρᾶσθαι δύνανται ὑφ' ἡμῶν εἰκονικῶς, ὥσπερ εἴρηται. Καὶ οἱ μὲν ἄγγελοι ἐν ταῖς εἰκόσι καὶ ὀπτασίαις ἀληθῶς εἰκονίζονται δυνάμει Θεοῦ ὡς νόες ἅγιοι, εἰς ὠφέλειαν ἡμετέραν. Καὶ αἱ τῶν ἁγίων δὲ ψυχαὶ, καὶ λοιπῶν ἀπελθόντων,
B ὡς ὁ Θεὸς δίδωσί τε καὶ βούλεται. Οἱ δαίμονες δὲ μὴ χάριν ἔχοντες Θεοῦ, φανταστικῶς καὶ ἀπατηλῶς, ποικίλως τε καὶ πονηρῶς μορφὰς ἐναλλάττουσι, καὶ τὸ ὅλον εἰπεῖν ψευδῶς. Ἀὴρ δὲ καὶ ἄνεμοι οὐ κατὰ τοὺς ἀγγέλους τελοῦσιν ἢ τὰς ψυχὰς, εἰ καὶ καλοῦνται πνεύματα, ἀλλ' εἰσὶ λεπτότερα σώματα συνεργὰ τῶν ἡμετέρων σωμάτων καὶ τῶν ζώων καὶ τῶν φυτῶν· διὰ τοῦ ἀέρος γὰρ ἀναπνέομεν. Καὶ τὸ πῦρ δὲ ὂν τοῦ ἀέρος λεπτότερον, καὶ αὐτὸ σῶμα τυγχάνει, καὶ τοῖς σώμασι συνεργὸν, καὶ τοῖς λοιποῖς στοιχείοις συμπεριέχεται. Καὶ ὡς πάντες φασὶν, ἓν τῶν τεσσάρων στοιχείων ἐστὶν ὁ ἀὴρ, ἐξ ὧν καὶ τὰ ἡμέτερα σύγκειται **329*** σώματα. Σῶμα τοίνυν ὁ ἀὴρ, εἰ καὶ κουφότερον γῆς τε καὶ ὕδατος καὶ λεπτότερον καὶ εἰς ἀνέμους κινούμενον καὶ ἐν τοῖς κούφοις πᾶσι χωροῦν·
C καὶ οὐδὲν τῶν σωμάτων κενόν ἐστι τοῦ ἀέρος.

QUÆSTIO VI.

Quomodo sermo internus sermonis nomine veniat, externus enim merito appellatur sermo quem loquimur. Et quomodo sermo sonum edat cum sit expers materiæ?

Hæc ad sextam quæstionem: Sermo in mente conceptus maxime et excellenter est sermo, qui quasi per guttur, per linguam et per labia carnem assumit, motione spiritus interioris et exterioris, et sic prolatus generatur. In ipso est imago incarnationis et per carnem inter homines manifestationis Verbi Dei viventis. Primo quidem invisibile et Patri coæternum et in ipso ab æterno manens, qui per illud omnia ut voluit fecit, deinde Verbum de Spiritu sancto ex Virgine carnem sumpsit, et nobis vere manifestatum est. Et in Patre totus erat et in Matre pariter totus secundum carnem: et erat in cœlo illuminans angelos, et in terra visus est et cum hominibus conversatus est. Omnia hæc in seipso vivide exprimit et repræsentat homo. Anima quidem ejus intelligentia in seipsa suum producit sermonem, verbum: quare ergo vocatur rationabilis, et sine sono et lingua, et intelligit in seipsa, et loquitur immaterialiter

ΕΡΩΤΗΣΙΣ ϛ'.

Πῶς ὁ ἐνδιάθετος λόγος καλεῖται λόγος; Ὁ προφορικὸς γὰρ εἰκότως λόγος, ὡς λαλούμενος. Καὶ τίνι τρόπῳ ἠχεῖται ὁ λόγος, ἄϋλος ὤν;

Πρὸς δὲ τὴν ἕκτην ἐρώτησιν ταῦτα· Ὁ ἐνδιάθετος λόγος μᾶλλον ἐξαιρέτως λόγος ἐστὶν, ὃς οἱονεὶ διὰ τοῦ γαργαρεῶνος καὶ τῆς γλώττης καὶ τῶν χειλέων σαρκούμενος ἐν τῇ κινήσει τοῦ ἐκτός τε καὶ
D ἔνδον πνεύματος προφορικὸς γίνεται, εἰκονίζων τὴν σάρκωσιν καὶ διὰ σαρκὸς φανέρωσιν ἐν ἀνθρώποις τοῦ ζῶντος Λόγου τοῦ Θεοῦ. Πρώην μὲν γὰρ οὗτος ἀόρατος ὢν καὶ συνάναρχος τῷ Πατρὶ καὶ ἐν αὐτῷ μένων ἀεὶ, δι' οὗ καὶ πάντα, ὅτε ἠθέλησεν, ἐποίησεν, ὕστερον Πνεύματι ἁγίῳ σαρκωθεὶς ἐκ Παρθένου, ἀληθῶς ἡμῖν πεφανέρωται. Καὶ ἐν τῷ Πατρὶ ὅλος ἦν, καὶ ἐν τῇ Μητρὶ μετὰ σαρκὸς ὅλος, καὶ ἐν τῷ οὐρανῷ ἦν, καὶ τοὺς ἀγγέλους ἐφώτιζε, καὶ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Τοῦτο οὖν εἰκονίζει ἐν ἑαυτῷ καὶ ὁ ἄνθρωπος. Καὶ ἡ μὲν ψυχὴ αὐτοῦ νοερῶς ἐν ἑαυτῇ τίκτει τὸν ἑαυτῆς λόγον· διὸ καὶ λογικὴ καλεῖται· καὶ χωρὶς φθόγγου καὶ γλώττης νοεῖ τε ἐν ἑαυτῇ, καὶ λέγει ἀΰλως, καθὰ καὶ οἱ ἄγγελοι· ἀσωμάτως γὰρ ἀλλήλοις τὴν

θείαν γνῶσιν διαπορθμεύουσι. Καὶ ὁμιλοῦσιν ἀλλήλοις νοερῶς δίχα γλώττης, καὶ σχήματι δὲ καὶ νεύματι ἡ ψυχὴ τὸν αὐτῆς ἀπαγγέλλει λόγον. Γλώττῃ δὲ καὶ γράμματι παχυνόμενον καὶ οἷον σαρκούμενον, τοῖς ἄλλοις ἅπασι φανερός. Ὃς καὶ ἐν αὐτῇ πάλιν μένει καὶ οὐ διΐσταται. Καὶ ὅλος ἐν πᾶσίν ἐστι τοῖς ἀκούσασι, καὶ ὅλος ἐστὶν ἐν αὐτῇ. Μᾶλλον οὖν τοῦ προφορικοῦ ὁ ἐνδιάθετος λόγος λόγος, μάλιστα δὲ ὁ αὐτὸς οὗτός ἐστιν, εἰ καὶ τοῖς ἔξω σοφοῖς ἄλλος μὲν ὁ ἐνδιάθετος δοκεῖ, ὃν καὶ διάνοιαν λέγουσιν, ἄλλος δὲ ὁ προφορικός. Τῇ ἀληθείᾳ γὰρ εἷς ἐστι. Καὶ οὗτος τὸν μονογενῆ εἰκονίζει Λόγον. Καὶ ἐνδιάθετος μὲν λόγος μένων ἐντὸς καὶ πολλοῖς μὴ νοούμενος. Παχυνόμενος δὲ, καὶ ἢ τοῖς φθόγγοις ἢ τοῖς γράμμασι φανερούμενος ὁ προφορικὸς, εἰκονίζων τοῦ Λόγου τὴν ἐνανθρώπησιν. Ὕστερον γὰρ ὁ Θεὸς Λόγος σαρκωθεὶς πεφανέρωται.

sicut et ipsi angeli, qui incorporaliter sibi invicem transmittunt notitiam Dei, atque ad alterutrum confabulantur absque lingua et intellectualiter. Ita anima sibi ipsi figura quadam et signo suum enuntiat sermonem: deinde lingua aut littera concretus et vere incarnatus, omnibus aliis apparet; qui et in ipsa iterum manet nec omnino separatur; et totus est in omnibus audientibus et totus simul est in anima permanens. Potius ergo in mente conceptus quam exterius prolatus sermo est sermo: maxime enim de illo hoc prædicatur. Quamvis exteris philosophis alius videatur sermo conceptus in mente quem cogitationem vocant, alius vero exterius expressus; in veritate unus est, unigenitum Verbum repræsentans, primum in mente conceptus et latens intus et pluribus ignotus, deinde concretus, et tum sonis, tum litteris manifestatus sonat exterius, et pingit Verbi in humanis vitam quod posterius Deus Verbum in carne apparuit.

ἘΡΩΤΗΣΙΣ Ζ'.

Εἰσὶν ἕτερα συστήματα ἐν τῷ οὐρανῷ ἄνω ὑδάτων παρὰ τὰ κάτω; καὶ πῶς ἵστανται;

Εἰς τὴν ἑβδόμην δὲ ἐρώτησιν ταῦτα· Ὕδατα ὑπεράνω τῶν οὐρανῶν πιστεύεται εἶναι τοῖς ἁγίοις. Καὶ περὶ τούτου φιλοσοφοῦσι στέργοντες τὰ τῆς Γραφῆς οἱ ἱεροὶ Πατέρες ἡμῶν Βασίλειος καὶ Χρυσόστομος, οἷς ἕπεσθαι ὑπὲρ πᾶν ἄλλο ἀναγκαῖον. Τινὲς δὲ καὶ ὕδατα ὑπεράνω τῶν οὐρανῶν τὰς ἀγγελικὰς νοοῦσι δυνάμεις, ὡς Πνεύματι κινουμένας ἁγίῳ, καὶ ὡς πλήρεις ἁγίου Πνεύματος, ὅτι καὶ ὕδωρ τὸ Πνεῦμα καλεῖται τὸ ἅγιον. Ἁπλοῦν μὲν ὂν καὶ τὸ αὐτὸ καὶ ἓν, ὥς φησι Παῦλος, ἑκάστῳ δὲ διαιροῦν τὰ χαρίσματα, ὡς καὶ τὸ ὕδωρ ὑπάρχον ἓν, ἑκάστῳ τῶν φυτῶν, καὶ ἑκάστῃ τῶν βοτανῶν ἰδίαν παρέχει κατὰ τὴν φύσιν τὴν δύναμιν καὶ ἐνέργειαν. Καὶ περὶ τούτου οὕτω σοφῶς ὁ μέγας φησὶ Μάξιμος· Ἕτεροι δὲ τὸ διὰ τῶν νεφελῶν ὕδωρ λέγουσιν· ἐπεὶ καὶ ὁ ἀὴρ οὐρανὸς ὀνομάζεται παρὰ τῇ Γραφῇ. Τὰ πετεινὰ γάρ φησι τοῦ οὐρανοῦ. Ὅμως ὕδωρ εἶναι ἐπάνω τοῦ στερεώματος, ὡς γεγραμμένον πιστευτέον. Οἶδε γὰρ ὁ πάντα πεποιηκὼς τίνι τρόπῳ τοῦτο ἐκεῖσε τέθεικε.

QUÆSTIO VII.

Num præter inferiores aquas sint alia systemata aquarum supracœlestium, et quomodo illæ subsistant?

Hæc ad septimam quæstionem: Opinantur sancti aquas esse desuper cœlorum: quo de argumento Scripturæ sacræ assentiunt disputantes e sanctis nostris Patribus Basilius et Chrysostomus, quibus videtur necesse aquas esse super omne aliud. Quidam aquas quæ sunt desuper cœlorum angelicas autumant esse virtutes, quia a sancto Spiritu moventur et quia Spiritu eodem sunt plenæ, et quia insuper aqua dicitur Spiritus sanctus. Spiritus quidem sanctus simplex et unus, ut loquitur Paulus, distribuens charismata singulis, sicut et aqua quæ una quidem est, et singulis arborum et herbarum propriam distribuit secundum naturam uniuscujusque vim et energiam: et de hoc sic loquitur sapienter Maximus magnus: Alii dicunt aquam esse ex nubibus, cum et aer cœlum appellatur a Scriptura, quæ dicit de avibus quia sunt volatilia cœli. Similiter et credere oportet aquam esse super firmamentum, sicut scriptum est. Viditque qui fecit omnia qua forma aquas illic stare fecit.

330 ἘΡΩΤΗΣΙΣ Η'.

Διατί παραλαμβάνουσιν οἱ ἄθεοι τοσαύτας μυριάδας πιστῶν τε καὶ νηπίων, καὶ ἐν τοσούτοις τοῖς χρόνοις· τὰ βρέφη δὲ μᾶλλον βεβαπτισμένα, καὶ μηδὲν γινώσκοντα, οὐκ ἔμελλε τούτων τις εἶναι εἰς ἀποδοχὴν Θεοῦ; καὶ διατί ἅπαντες παραδίδονται;

Πρὸς δὲ τὴν ὀγδόην ἐρώτησιν λεκτέον· Οὐδὲν μὲν δίχα τῆς τοῦ Θεοῦ προνοίας, οὐδὲ γεγονός τι παρὰ τὴν γνῶσιν αὐτοῦ· οὐ πάντα δὲ κατὰ θέλησιν καὶ εὐδοκίαν αὐτοῦ. Καὶ δῆλον ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως· ᾔδει γὰρ αὐτὴν γεγονέναι· καὶ τὸ ξύλον τῆς γνώσεως αὐτὸς ὁ φυτεύσας ἦν, ἀλλ' οὐχ ἵνα ὁ Ἀδὰμ παραβῇ, ἀλλ' ἵνα, κατὰ καιρὸν αὐτοῦ μεταλαβὼν, ὠφεληθῇ πλέον, πρῶτον ἑαυτοῦ τὴν ὑπακοὴν

QUÆSTIO VIII.

Quare athei (Muhammedani) tot myriades fidelium et infantium et tam longo jam tempore, puerosque maxime baptizatos et omnium rerum ignaros rapiunt? Num Deus nullius ex his rationem habet, et quare universi sic traduntur?

Ad octavam quæstionem dicendum. Neque enim sine Dei præscientia, neque præter ejus cognitionem quidquam evenit: neque omnia secundum ejus beneplacitum et benevolentiam. Quod evidenter constat per culpam Adæ: sciebat enim illam perpetratam esse: et lignum scientiæ plantaverat ipse, non quidem ut Adam reus fieret, sed ut opportune et commode de fructibus ejus sumens ma-

gis proficeret, suam imprimis obedientiam ostendens. Et plantatum erat lignum vitæ, cujus si fructus manducaret tempestive, immortalis maneret: non enim in vanum erat plantatum lignum vitæ. Cum autem fecerit hominem rationabilem, omnis qui rationem habet est liber, et qui liber est movetur voluntate, ita ut, si bene et feliciter gessisset juste approbaretur remuneratus, si vero peccasset, puniretur. Propterea insuper data sunt ei cum ratione intelligentia et consilium et præcipue interdictio et lex Dei, ut non caderet: minime ergo causa est Deus lapsus Adami, sed totum attribuendum est ipsius negligentiæ et legum contemptui. Et si quodammodo illusio aut fallacia Mali hujus occasio potuit esse, sed potius incuria et improvidum male cauti consilium; quid enim potuisset creaturæ mala suasio contra desiderium Dei, si vigilans fuisset Adam, et in seipsum custodiendo firmissimus, ut oportebat. Sed neque diabolum creavit Deus, qui fecit angelum bonum; et ille diabolus est effectus, ultro conversus ad malitiam, et anti-deus factus, sed simul infirmus exsistens, ut creatura sciens Deum esse creatorem; attamen apud Adamum, Dei quoque creaturam, Deum ipsum calumniavit, ut invidum eum introducens, qui Adamum vellet ab esu fructuum ligni præpedire, timens ne, si manducaret, ut Deus futurus foret. Indeque Satan factus, et appellatus est: quod est apostata. Et hæc satis ad solutionem totius hujus quæstionis.

A ἐνδειξάμενος. Καὶ ξύλον δὲ ἦν πεφυτευμένον ζωῆς, ὡς ἂν μεταλαβὼν ἐν καιρῷ ἀθάνατος μείνῃ· οὐ γὰρ εἰς μάτην τὸ ξύλον τῆς ζωῆς πεφύτευται. Ἐπεὶ οὖν λογικὸν τὸν ἄνθρωπον ἔπλασε, πᾶν δὲ λογικὸν αὐτεξούσιον, αὐτεξουσίου δὲ τὸ κινεῖσθαι θελητικῶς, ὡς ἂν ἢ κατορθοῦν ἐπαινῆται δικαίως, ἢ ἁμαρτάνον κολάζηται, καὶ γνῶσις δὲ τῷ λογικῷ καὶ σοφία δίδοται, καὶ παραγγελία ἐξαιρέτως καὶ νόμος Θεοῦ πρὸς τὸ μὴ πεσεῖν· οὐκ ἄρα Θεὸς αἴτιος τοῦ περιπεσεῖν τὸν Ἀδὰμ, ἀλλὰ τῆς ἀμελείας τοῦτο καὶ καταφρονήσεως τοῦ Ἀδάμ. Εἰ δὲ καὶ ἡ πλάνη τοῦ πονηροῦ πρόξενος τούτου γέγονεν, ἀπροσεξίας καὶ τοῦτο καὶ ἀφυλάκτου τῆς προαιρέσεως. Οὐ γὰρ ἂν ἴσχυε κτίσματος πονηρὰ συμβουλὴ κατὰ τῆς θείας βουλῆς, εἰ γρηγορῶν ἦν ὁ Ἀδὰμ, καὶ ἑαυτὸν φυλάσσων, καθὼς B ἐτάχθη. Ἀλλ' οὐδὲ διάβολον ὁ Θεὸς ἔκτισεν, ἄγγελον δὲ ἀγαθὸν, οὗτος δὲ διάβολος γέγονε, προαιρέσει πρὸς τὴν κακίαν τραπεὶς, καὶ ἀντίθεος γεγονὼς, καὶ ἀσθενὴς ὢν· κτίσμα γὰρ καὶ τοῦτο εἰδὼς τὸν Θεὸν τὸν κτίσαντα, αὐτὸς τὸ κτίσμα τοῦ Θεοῦ πρὸς ἕτερον τὸν Ἀδὰμ, τὸν Θεὸν αὐτὸν διαβαλὼν, ὡς φθονερὸν αὐτὸν εἰσάγων, καὶ ἀπὸ τοῦ ξύλου φαγεῖν τὸν Ἀδὰμ κωλύοντα, εἰδότα ὡς εἰ φάγεται ἀπ' αὐτοῦ ὡς Θεὸς γενήσεται. Διὸ Σατὰν γεγονὼς, καὶ ὠνομάσθη, ὅ ἐστιν ἀποστάτης. Ταῦτα ἱκανὰ πρὸς τὴν λύσιν παντὸς τοῦ ζητήματος.

QUÆSTIO IX.

Num Deus causa sit transgressionis Adami et incredulitatis gentium, siquidem inviti traduntur. Ac si non sit causa Deus, quomodo puniantur qui traduntur inviti?

Ad nonam quæstionem hæc: Primo quidem gentes istæ non sunt factæ, ut sint infideles, sed habeant fidem: propter hoc a principio omnia facta sunt, et in fine super omnia Dei Verbum incarnatum, ejusque salutaris prædicatio in omnem terram diffusa est, ut nullus haberet excusationem. « Numquid enim non audierunt? dixit Paulus; et quidem in omnem terram exivit sonus eorum [7]. » Et evidens est quot ex omnibus gentibus crediderunt et manserunt credentes, et quomodo qui ex gentibus non crediderunt propter hoc condemnati sunt, cum præsertim mysteria Dei in medio gentium splenduerint, et in gentibus sint loca in quibus corpore habitavit et in quibus incarnatus et passus est ipse volens. Sed ipsi mali unanimiter negant Verbi vitam inter homines, et passionem, et resurrectionem, et divinitatem, et incarnationem. Idcirco cum dæmonibus pœnam luunt, quia eorum sunt servi et complices ministri; et sicut diabolus homicida est et contra Deum blasphemator, et illi similiter. Deus quoque optime novit mundum a dæmonibus contra nos moveri; sed illis spretis et quantumvis contra molientibus, veri, legitimi et illustres servi Dei generantur, quo-

C

ΕΡΩΤΗΣΙΣ Θ'.

Ἆρα αἴτιος ὁ Θεὸς τῆς παραβάσεως τοῦ Ἀδὰμ καὶ τῆς ἀπιστίας τῶν ἐθνῶν, ἐπειδὴ ἄκοντες παραδίδονται; εἰ δὲ οὐκ αἴτιος, πῶς κολάζονται οὗτοι, παραδιδόμενοι ἄκοντες;

Πρὸς δὲ τὴν ἐννάτην ταῦτα· Πρῶτον μὲν αὐτὰ τὰ ἔθνη, οὐχ ἵνα ἄπιστα ὦσι γεγένηνται, ἀλλ' ἵνα ὦσι πιστά, καὶ διὰ τοῦτο τὰ ἐξ ἀρχῆς πάντα γέγονε. Καὶ τέλος ἡ τοῦ Θεοῦ Λόγου ὑπὲρ ἁπάντων οἰκονομία, καὶ τὸ σωτήριον τούτου κήρυγμα εἰς τὴν οἰκουμένην ἐξήπλωται, ἵνα μή τις ἀπολογίαν ἔχῃ. « Μὴ γὰρ οὐκ ἤκουσαν; φησὶ Παῦλος, μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. » Καὶ δῆλον ὡς ἐκ πάντων τῶν ἐθνῶν πεπιστεύκασι, καὶ μένουσι δὲ πιστοὶ, ὥστε τὰ ἄπιστα ἔθνη ἐκ τούτου κατάκριτα. Καὶ D μᾶλλον ὅτι τὰ τοῦ Θεοῦ μυστήρια κηρύττεται μέσον αὐτῶν, καὶ οἱ τόποι ἐν αὐτοῖς, ἐν οἷς σωματικῶς πεπολίτευται καὶ πέπονθεν ἑκουσίως ὁ σαρκωθείς. Αὐτοὶ δὲ καὶ τὸ ἐνανθρωπῆσαι καὶ τὸ παθεῖν καὶ ἀναστῆναι καὶ τὸ Θεὸν εἶναι καὶ σαρκωθῆναι, ἀθετοῦσι καθάπαξ οἱ δείλαιοι. Διὸ καὶ μετὰ τῶν δαιμόνων οὗτοί γε κολασθήσονται, ὅτι καὶ τούτων εἰσὶν ὑπουργοί τε καὶ συνεργοί. Καὶ ὡς ἀνθρωποκτόνος ἐκεῖνος καὶ κατὰ Θεοῦ βλασφημῶν, καὶ οὗτοι. Καὶ τὸ μὲν κινεῖσθαι τοῦτο καθ' ἡμῶν ὑπὸ τῶν δαιμόνων τὸ ἔθνος, γινώσκων ἐστὶν ὁ Θεὸς, οὐ κωλύει δὲ, ἵνα οἱ γνήσιοι τούτου δοῦλοι φανεροὶ γένωνται, καὶ οἱ κατωρθωκότες ἀναφανῶσιν, ὡς καὶ ὁ Ἄβελ καὶ Σὴθ, μόνοι ἐν τῇ γενεᾷ Κάϊν. Καὶ Νῶε μόνος σὺν τῇ οἰ-

[7] Rom. x, 18.

κίᾳ, ἐν τῇ γενεᾷ πάσῃ αὐτοῦ, ἥτις καὶ κατακλυσμῷ A ἐξωλόθρευται, ἐν ᾗ πάντως γενεᾷ τῇ φθαρείσῃ, καὶ νήπια μυριάδες, **331** πάντα καὶ αὐτὰ κατὰ τοὺς Πατέρας μέλλοντα ζῆσαι. Καὶ ὡς Ἀβραὰμ ἐν Χαλδαίοις καὶ πάσῃ γῇ πλὴν Μελχισεδὲκ καὶ τῶν ὁμοίων αὐτῷ, εἴπερ καὶ ἄλλοι κατ' αὐτόν· καὶ ὡς Λὼτ ἐν Σοδόμοις, καὶ Ἰωσὴφ ἐν Αἰγύπτῳ, καὶ τὸ ἔθνος τῶν Ἰουδαίων μόνον ἐν γῇ, καὶ αὐτὸ πλεῖστα πολλάκις σφαλλόμενον. Τίς οὖν ἄρα ὁ αἴτιος τῆς ἀσεβείας τοῖς ἀσεβοῦσι; Θεός; Ὑπὲρ πᾶσαν τοῦτο ἀσέβειαν εἴ τις ἐρεῖ καὶ βλασφημίαν. Δῆλον γὰρ ὡς κολάζει τοὺς ἀσεβεῖς. Διατί οὖν τιμᾷ μὲν δικαίους, καὶ τούτων κήδεται, τιμωρεῖται δὲ δυσσεβοῦντας καὶ ἀποστρέφεται; Πάντως ὡς τοὺς εὐσεβεῖς μὲν ἀποδεχόμενος, τοὺς ἀσεβεῖς δὲ ἀποστρεφόμενος, B ἐπεὶ οὐδὲ ἀφίησί τι τῶν πρὸς σωτηρίαν μὴ ἐνεργεῖν, ὥστε ἐπιγνῶναι αὐτόν· καὶ τὸν κόσμον γὰρ δι' ἡμᾶς ἐποίησέ τε καὶ διοικεῖ, καὶ τὰ τῆς ἀρετῆς ἔμφυτα ἔθηκεν ἐν ἡμῖν, καὶ δούλους ἀπέστειλεν αὐτοῦ τὸ αὐτοῦ κηρύττοντας θέλημα· καὶ νόμον ἔθετο θεῖον, καὶ προφήτας ἔδειξε, καὶ τέλος αὐτὸς ἦλθε δι' ἑαυτοῦ· καὶ μαθητῶν χορὸν ἐξελέξατο, καὶ εἰς τὸν κόσμον κηρύσσειν ἐξέπεμψε, καὶ θαύματα κατειργάσατο, ἅτινα δὴ καὶ μέχρι νῦν ἐνεργεῖται. Καὶ πρῶτον μὲν τοῦ ὀνόματος αὐτοῦ κηρυττομένου παντὶ τῷ κόσμῳ, ἔπειτα διὰ τῆς Παρθενίας αὐτοῦ πολιτευομένης ἐν γῇ· εἶτα διὰ τῆς τοῦ κόσμου φυγῆς, παρὰ πολλῶν ἄχρι τοῦ νῦν πραττομένης, καὶ ἔτι διὰ τῆς μονογαμίας καὶ σωφροσύνης τῶν κατὰ κόσμον ὀρθοδόξων πιστῶν αὐτοῦ, ἔπειτα διὰ τῆς κακοπα- C θείας τῆς σαρκὸς, ἐν πολλοῖς τῶν δούλων αὐτοῦ ἐνεργουμένης ἑκουσίως τῇ ἀσκήσει καὶ ἀναχωρήσει τῶν κοσμικῶν, ὡς αὐτὸς διετάξατο, καὶ διὰ τῶν ἀποθνησκόντων ἄχρι τοῦ νῦν καὶ διωκομένων ὑπὲρ τῆς αὐτοῦ μαρτυρίας καὶ τοῦ ὑπὲρ τῆς πίστεως ζήλου. Καὶ δι' αὐτῶν δὲ τῶν ἱερῶν τόπων, ἐν οἷς τὰ ὑπὲρ ἡμῶν ἐνήργησε, τὸ θαυμαστὸν καθορᾶται, ὑπὸ τῶν βλασφημούντων αὐτὸν ἀθέων τὰ ἐκεῖσε ἀρχόντων μὴ ἀφανιζομένων, συνισταμένων δὲ μᾶλλον ἁγίων ἐν αὐτοῖς οἴκων, καὶ τῷ τοῦ Σωτῆρος ὀνόματι τιμωμένων, καὶ ἁπλῶς δι' ἑτέρων ἀναριθμήτων θαυμάτων, τῶν τε ἐν ἁγίοις ναοῖς, ἐν ἁγίοις ὕδασιν, ἐν ἁγίαις εἰκόσιν, ἐν ἱεροῖς λειψάνοις ἐνεργουμένων, καὶ διὰ τοῦ μένειν αὐτὰ εὐώδη καὶ ἄσινῆ, ἔτι τε διὰ τοῦ μυστηρίου τῆς χάριτος τοῦ λύειν τε καὶ δεσμεῖν, D καὶ διὰ τοῦ μένειν διωκομένην τὴν Ἐκκλησίαν, καὶ μέσον οὖσαν τῶν ἐθνῶν μισουμένην καὶ θλιβομένην κατὰ τὴν προαγόρευσιν τῶν θείων λόγων αὐτοῦ, δι' ὧν καὶ τὴν βασιλείαν αὐτοῦ, ὡς ἔφη, ἐλπίζομεν. Τὸ μεῖζον δέ γε, ὅτι καὶ χωρὶς μαχαίρας, χωρίς τε στρατευμάτων, καὶ χωρὶς βασιλέων στρατευομένων ὑπὲρ αὐτοῦ, δι' ἁλιέων καὶ πενήτων, διωκομένων, ἀποθνησκόντων, ἰδιωτῶν, ἀγραμμάτων, λοιδορουμένων καὶ καταφρονουμένων δι' αὐτὸν, πάντας νικῆσαι, καὶ τὰ μεγάλα κατωρθωκέναι. Ἀλλὰ καὶ τὸ μένειν αὐτοῦ τὴν Ἐκκλησίαν δίχα κοσμικῆς νῦν ἐξουσίας, διωκομένην παρ' ἐχθρῶν, ὅπερ καὶ τοῖς πολλοῖς ἂν νομισθείη ἀσθένεια, δύναμις αὐτοῦ μᾶλλον καὶ κράτος ἔσται σαφῶς. Ἵνα μὴ καυχήσηται (Παῦλός φησι)

A rum recta et pia manifestatur vita, ut fuerunt Abel et Sem, soli in generatione Cain, et Noe solus cum sua domo in omni ejus generatione quæ et diluvio consumpta est: et in illa omnino corrupta generatione erant quoque infantes, et insuper omnes, ut notant Patres, qui modo ingressuri erant ad vitam; et Abraham in Chaldæis et in tota terra, præter Melchisedech, illi similes, alii enim dicuntur secundum exemplum ejus vixisse; et sicut Lot in Sodomis, et Joseph in Ægypto, et populus Israel solus inter populos terræ qui tamen et multum et sæpe deliquit. Quis ergo impiis causa est impietatis? Deus? Hoc si quis dixerit, super omnem impietatem et blasphemiam. Evidens enim est quantum puniat impios. Quare ergo honorat justos et de illis B curat, dum castigat et ejicit impios? Omnino sicut pios glorificat et impios elongat: cum quidem nihil non fecerit propter salutem nostram et ut cognosceretur; et orbem universum condidit propter nos et gubernat; et in nobis posuit semina virtutis; et misit servos suos qui nobis annuntient ejus voluntatem; et legem statuit divinam; et prophetas misit; et denique ipse venit; et discipulorum chorum elegit quos misit in universum mundum prædicaturos; et miracula fecit quæ quidem et usque nunc operatur. Quorum primum fuit ut prædicaretur nomen ejus in toto orbe terrarum; deinde ut per virginitatem ejus alliceretur et quasi gubernaretur terra; deinde ut mundus desereretur C et a multis etiam nunc deseratur; et ut credentes in eum de mundo didicerint et approbaverint monogamiam et castitatem. Deinde ut servorum ejus permulti amplexi sint mortificationem heroicam carnis sponte sua per contemplationem et anachoreticam aversionem a mundanis, sicut exemplo igne docuerat, et ut multi mortem subierint et exsilium usque nunc in testimonium ejus et zelo fidei: et ut in locis sanctis ubi propter nos laboravit perpetuum conspiciatur miraculum quod blasphemiis atheorum non obscurata et præcisa sint quæ inibi principium habuerunt, sed potius stabilitæ sint in illis sanctorum domus et eorum qui Salvatoris nomen glorificant. Uno verbo innumera alia patrata sunt miracula in sanctis templis, D in sanctis aquis, in sanctis imaginibus, in sanctis reliquiis quæ manebant plene incorruptæ et suavissimum efflabant odorem. Et insuper in mysterio gratiæ quæ solvit et ligat; in eo quod manet Ecclesia proscripta et quasi exsulans in medio gentium quæ eam oderunt et conculcant, ut adimpleantur sermones ejus divini quibus etiam sperare jubemur regnum ejus. Illud autem maxime stupendum quod absque machæra, absque exercitibus, et absque regibus pro illo pugnantibus per piscatores miseros, ejectos, occisos, ignorantes, diffamatos et contemptos propter ipsum, omnes vincere et magna dirigere potuit. Dum autem Ecclesia ejus omni manet mundana substantia et potestate destituta, ab inimicis repulsa et ejecta; quod a

multis judicaretur infirmitas, ejus potius erit virtus et robur evidenter. « Ut non glorificetur, ait Paulus, omnis caro in conspectu Dei [8]. » Et iterum : « Virtus autem mea in infirmitate perficitur [9]. » Et sicut prius a regibus ejecta Ecclesia Dei regnorum superavit potentiam, ita et nunc per pietatem refecta regali infirmitate, Ecclesia eadem iterum manet inter gentes et firmiter statuitur : pressuris et passionibus antecedentibus splendor ejus magis acuitur et hæc clarius relucet. Sed aliquis forte dicat : Potentiori permittebatur humiliare piorum regnum et virtutem ? Minime refero. Quomodo enim? Deus ipsum dilexit, ipsam posuit et auxit, et prædixit illum esse mansurum usque in finem sæculorum, juxta Paulum, dicens : B « Non veniet filius iniquitatis, nisi resistens pereat. » Pia certe Romana potestas, et tamen prona abivit in ignominiam et dejectionem per scelera, et contemnendo divina præcepta regis omnium Jesu Christi. Superbia et præsumptione prolapsa est in insolentiam et dissolutionem, et in spurcitias gentium et in injustas actiones, pauperum bona sibi ut propria rapiendo ascivit, contra eos prælia non dubitavit interserere, et Ecclesiæ filios ostentui habuit : hoc igitur omnibus fere devotis accidit conjuratione dæmonis, et ita factum est ut Paulus innuit dicens : « In novissimis diebus... erunt homines seipsos amantes,... voluptatum amatores, ... incontinentes, » etc., et denique in fine : « Habentes quidem speciem pietatis, virtutem C autem ejus abnegantes [10]. Nonne hoc similiter hodie, frater? Quis inter credentes ut verus et perfectus Christi servus vitæ tenorem instituit? Quis Christianam vitam agit? Quis pontificatum adeptus irreprehensibilem se custodit pontificem ? Ubi zelantes episcopi? Ubi scientia doctorum? Ubi immaculata vita ? Quis sacerdos sacerdotii munera inoffensa servat? Quis monachus intemeratam monachi professionem agit? Nonne omnes simul inutiles facti sumus? Quis igitur pretio perpendit nativitatis gratiam? Ad quid deinde ædificata sunt templa? Ad quid monasteria? Nonne ut sint officinæ salutis? Nunc autem, ut dixit Christus, domos Dei fecimus speluncas latronum : et monachi et D sacerdotes invadimus sancta : impure et arbitrio nostro vivimus; parentibus et amicis et proximis nostris quæ Dei sunt perperam effuseque impendimus, scelestius ita peccantes quam infideles qui disperdunt sancta, cum ut fideles Dei rerum administri facti simus. Idcirco multo minus ira Dei incenditur in gentes quæ fide carentes sancta despiciunt, quam in nos qui fidem habemus. Non ergo sciscitetur quis quomodo ab impiis contumeliose tractentur res sacræ aut quomodo sancti fideles ab infidelibus exagitentur; sed potius miretur quomodo adhuc subsistamus in terra tantum Dei contemptionem ostendentes. Quare enim imprimis

A πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.» Καὶ πάλιν· «Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.» Καὶ ὥσπερ διωχθεῖσα πρὶν ὑπὸ βασιλέων ἡ Ἐκκλησία αὐτοῦ τὴν βασιλείαν μᾶλλον ἑαυτῇ καθυπέταξεν, οὕτω καὶ νῦν τῆς εὐσεβοῦς βασιλείας ἀσθενοῦς γενομένης, ἡ Ἐκκλησία πάλιν μέσον τῶν ἐθνῶν μένει τε καὶ συνίσταται, θλιβομένη καὶ πάσχουσα, καθὼς προεῖπεν αὐτὸς, λαμπρύνεται μᾶλλον. Καὶ ἐρεῖ τις ἴσως, Λοιπὸν κρεῖσσον ἦν τὸ ταπεινωθῆναι τὴν τῶν εὐσεβῶν βασιλείαν; Οὐδαμῶς εἴποιμι. Πῶς γάρ; ἐπεὶ Θεὸς ταύτην ἠγάπησε, καὶ συστησάμενος ηὔξανε, καὶ διὰ Παύλου μέχρι τέλους αἰῶνος μένειν προέφησεν, «Οὐ μὴ ἔλθοι, λέγων, ὁ υἱὸς τῆς ἀνομίας, εἰ μὴ ὁ κατέχων ἐκ μέσου γένηται.» Ἡ Ῥωμαϊκὴ βασιλεία, ἡ B εὐσεβὴς δηλαδὴ, ἡ καὶ συνεχωρήθη ταπεινωθῆναι διὰ τὰς ἁμαρτίας, καὶ τὸ μὴ συντηρεῖν τὰ τοῦ βασιλέως τῶν ὅλων Ἰησοῦ Χριστοῦ θεῖα θελήματα, ὑπερηφανίᾳ δὲ καὶ οἰήσει καταπεσεῖν, καὶ τρυφαῖς καὶ ἀνέσεσιν, ἀκαθαρσίαις τε ἐθνικαῖς, καὶ ἀδίκοις ἔργοις, καὶ τὰ τῶν **332** πενήτων οἰκειοῦσθαι ὡς ἴδια, καὶ κατ' αὐτῶν ὁμόσε χωρεῖν, καὶ τῶν τῆς Ἐκκλησίας περιφρονεῖν. Τοῦτο οὖν καὶ τοῖς εὐσεβέσι σχεδὸν ἅπασι γέγονεν ἐπιθέσει τοῦ πονηροῦ, καὶ οὕτω συνέβη, καθὼς ὁ Παῦλός φησι λέγων· «Ἐν ταῖς ἐσχάταις ἡμέραις ἔσονται οἱ ἄνθρωποι φίλαυτοι, φιλήδονοι, ἀκρατεῖς,» καὶ τὰ ἑξῆς· καὶ τέλος, «μόρφωσιν ἔχοντες εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.» Οὐ τοῦτο σήμερον, ἀδελφέ; Τίς τῶν πιστῶν ἄρτι ὡς τοῦ Χριστοῦ δοῦλος γνήσιος πολιτεύεται; τίς τὴν Χριστιανικὴν ζῇ C ζωήν; τίς τὰ τῆς ἀρχιερωσύνης ἄμεμπτα συντηρεῖ τῶν ἀρχιερέων; ποῦ ὁ ζῆλος τῶν ἐπισκόπων; ποῦ ἡ διδασκαλία τῶν διδασκάλων; ποῦ ἡ καθαρότης τοῦ βίου; τίς ἱερεὺς τὰ τῆς ἱερωσύνης φυλάττει ἀλώβητα; τίς μοναχὸς τὰ τοῦ μοναχοῦ; οὐ πάντες ὁμοῦ ἠχρειώθημεν; τίς οὖν ἄρα θαυμάσοι τῶν γινομένων τὴν χάριν; διατί δὲ συνέστησαν οἱ ναοί; διατί αἱ μοναί; οὐχ ἵνα ἐργαστήρια σωτηρίας ὦσι; Νῦν δὲ, ὡς ἔφη Χριστὸς, τοὺς θείους οἴκους αὐτοῦ σπήλαια ποιοῦμεν λῃστῶν· ἁρπάζομεν τὰ ἱερὰ οἱ μοναχοί τε καὶ ἱερεῖς, ἀκαθάρτως ζῶμεν, ἰδιοῤῥύθμως· τῶν προσευχῶν ἀμελοῦμεν, τοῖς συγγενέσι καὶ τοῖς φιλουμένοις καὶ προσκειμένοις ἡμῖν τὰ τοῦ Θεοῦ πονηρῶς ἀναλίσκομεν, πλεῖον ἁμαρτάνοντες τῶν ἀπίστοις ῥιπτόντων τὰ ἅγια, ὡς πιστοὶ ὄντες D περὶ τὰ θεῖα περιφρονητικῶς διακείμενοι. Διὸ καὶ οὐ τοσοῦτον τὸ Θεῖον ὀργίζεται παρὰ τῶν ἐθνῶν περιφρονούντων τὰ ἅγια, ἀπίστων ὄντων, ἢ παρ' ἡμῶν τῶν πιστῶν. Μὴ διαπορείτω τοίνυν τις, πῶς ὑπ' ἀσεβῶν τὰ ἅγια καθυβρίζεται, ἢ πῶς οἱ πιστοὶ διώκονται παρ' ἀπίστων· ἀλλὰ θαυμαζέτω πῶς ὅλως μένομεν ἐπὶ γῆς, τοσοῦτον περιφρονηταὶ Θεοῦ δεδειγμένοι. Διατί δὲ μᾶλλον καὶ τὰ παλαιὰ εἰς προνομὴν οὕτω δέδοται, τὰ ποτὲ θείῳ νεύματι δεδομένα τῷ Μωϋσῇ, οὐ διὰ τὸ περιφρονητὰς τοῦ Θεοῦ γενέσθαι τοὺς υἱοὺς τοῦ Ἰσραήλ; Εἰ οὖν δι' ἐκεῖνα τοσοῦτος ζῆλος Θεοῦ, δι' ἀγγέλου τε δειχθέντα καὶ διὰ δούλου δοθέντα, πόσῳ γε μᾶλλον ἔσται ζῆλος

[8] I Cor. I, 29. [9] II Cor. XII, 9. [10] II Tim. III, 1-5, 5.

τῷ Θεῷ, διὰ τὰ πεπραγμένα παρὰ τοῦ μονογενοῦς A αὐτοῦ λόγου. Καὶ τοῦτο μαρτυρεῖ Παῦλος λέγων, Ἀθετήσας τις νόμον Μωϋσέως ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει, πόσῳ δοκεῖτε μείζονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας· καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὴν χάριν τοῦ Πνεύματος ἐνυβρίσας. Διὸ εἰ καὶ θαυμαστὸν τὸ λεγόμενον, ἀλλ' ὅμως ἀληθές, ὡς ἔλαττον ἡγεῖται Θεὸς παρ' ἀσεβῶν ἀτιμάζεσθαι τὰ αὐτοῦ, ἢ παρὰ τῶν δοκούντων αὐτοῦ. Τίνα δὲ καὶ ἀπολογίαν ἕξουσιν οἱ μέσον τῶν ἐθνῶν πιστοὶ ἀσεβοῦντες; ποῖον ἄρτι μαρτύριον; τίς διωγμός; ποῖαι κολάσεις; ἐν αἷς ποτε μᾶλλον οἱ ἅγιοι ἐνευφραινόμενοι ἦσαν; καὶ οὕτως ἀποθνήσκοντες μᾶλλον ἐπληθύνοντο. Τί πάσχεις; ὅτι δοῦλος ἐτάχθης; ὅτι τέλη παρέχεις; ὅτι τῶν B περιφρονουμένων εἶ; Καὶ τί τοῦτο; Ἕκαστον ἔθνος καὶ ταπεινοὺς ἔχει, καὶ δούλους κέκτηται. Καὶ ὑπηρέτας ἐκ τοῦ αὐτοῦ, καὶ ὁ μισθὸς αὐτοῖς τούτου ἕνεκα. Εἰ δὲ σὺ ὁ πιστὸς διὰ Χριστὸν φέρεις τοῦτο καὶ μόνον, οὐκ ἄμισθον ἔσται σοι. Καὶ οὐδὲ τοῦτο κἂν φέρεις; καὶ πῶς δοῦλος ἔσῃ Χριστοῦ; ὃς διὰ σὲ πάντα καὶ θάνατον ἤνεγκε; Διὰ ταῦτα οὐκ ἀπολογίαν ἕξουσιν οἱ πιστοὶ διωκόμενοι, εἰ ἀσεβοῦσιν ὥς φασι, κατ' ἀνάγκην. Ἀποστάται γάρ εἰσι. Οὐδὲ οἱ λαμβανόμενοι ἔτι νήπια· ἔμελλον γὰρ ὅμοιοι τοῖς πατράσιν εἶναι. Καὶ δῆλον ἀπὸ τῶν εἰς ἡλικίαν ἐλθόντων, ὅτι γνῶσιν ἔχοντες τὰ τῆς πίστεως οὐκ ἐφύλαξαν, ὡς τῆς σαρκὸς ὄντες ὅλοι, καὶ μηδενὸς τῶν τοῦ Θεοῦ λόγον ὅλως ποιούμενοι. Ταῦτα οἶμαι C ὡς ἀληθῆ, καὶ ὅτι τῶν παραπιπτόντων οὐχ ὁ Θεὸς αἴτιος, ἀλλ' ἡ ῥᾳθυμία καὶ τὸ φιληδονεῖν, καὶ φιλοζωεῖν. Ὅμως θαῤῥοῦντας ἡμᾶς τῇ τοῦ Θεοῦ ἀπείρῳ φιλανθρωπίᾳ, χρὴ διδόναι ἐλπίδα τοῖς ἐπιστρέφουσι, καὶ πάντας δέχεσθαι τοὺς ὁπωσοῦν μετανοοῦντας, οὐ μὴν τοὺς μηδόλως μετανοοῦντας· διακρίσει δὲ χρῆσθαι ἀγαθῇ καὶ περὶ τῶν ἐπιστρεφόντων, ἣν οἱ ἅγιοι διετάξαντο. Καὶ ἄλλως **333** μὲν ἐξοικονομεῖν τοὺς δίχα βασάνων καὶ διωγμοῦ, δι' ἔρωτα χρημάτων ἢ δόξαν ἢ ἡδονὴν γεγενημένους νεκρούς· οὕτω γὰρ ἐγὼ καλῶ μετὰ τοῦ ἠγαπημένου, τοὺς τὸν Θεὸν ἀθετήσαντας, ὡς πρὸς θάνατον ἁμαρτήσαντας. Ἑτέρως δὲ πάλιν τοὺς διωγμῷ καὶ βασάνοις ἢ ἀπειλαῖς καὶ ἐπηρείαις τισίν· ἑτέρως δ' αὖ τοὺς νήπια καὶ βρέφη ἁρπαγέντας. Ἐξ ὧν καὶ D τὰ τεθνηκότα μήπω εἰς γνῶσιν ἐλθόντα καλοῦ ὅλως ἢ πονηροῦ, ἢ βάπτισμα μόνον ἔσχον, ἐλεηθῆναι θαῤῥῶν εἰμι. Πάντες δὲ οἵ τε ἐκ προγόνων ἄπιστοι οὕτω μένοντες, μετὰ δαιμόνων δικαίως κατακριθήσονται, καὶ οἱ ἐκ πιστῶν ὄντες, καὶ τὴν πίστιν οἱῳδήτινι τρόπῳ ἀπαρνησάμενοι, εἰ μένωσιν ἄπιστοι· ὅτι οὐκ ἔστι λόγος αὐτοῖς, τοῦ θείου κηρύγματος ἐν τῷ κόσμῳ ὑπὲρ τὸν ἥλιον λάμψαντός τε καὶ λάμποντος, καὶ τῆς εὐαγγελικῆς καὶ οὐρανίου ζωῆς ὑπὲρ τὸ φῶς ἀστραπτούσης. Καὶ ταῦτα μὲν περὶ τούτου ὡς δυνατὸν δι' ὀλίγων. Τοῖς ἁγίοις δὲ Πατράσιν ἡμῶν πλατύτερον εἴρηται. Καὶ πᾶσα περὶ τούτου πλήρης ἁγία Γραφή.

vetera Judæorum sancta in direptionem tradita sunt; hæc maxime quæ olim Moysi data fuerant nonne quia filii Israel Deum contempserunt? Si ergo propter ista quæ angelus ostenderat, quæ servus dederat, tanta æmulatione Deus motus est, quanto magis movebitur propter ea quæ ab unigenito Verbo ejus allata sunt aut facta. Et illud testatur Paulus dicens: « Irritam faciens quis legem Moysis... duobus vel tribus testibus moritur; quanto magis putatis deteriora mereri supplicia qui Filium Dei conculcaverit, et sanguinem testamenti pollutum duxerit, in quo sanctificatus est, et Spiritus gratiæ contumeliam fecerit? » Quare hoc quamvis mirandum quod dicimus simul attamen verissimum ita ut minus judicet Deus res suas inhonorari ab impiis quam a credentibus in ipsum. Quam enim excusationem habent credentes impie viventes in medio gentium? quid novum proponitur martyrium? quæ persecutio instat? Quæ pœnæ præparantur? In eis sæpe magis gaudebant sancti, et sic morientes magis multiplicati sunt. Quid tantopere doles? quod servus constitutus es? quod tributa tibi imponuntur? quod inter contemptibiles inveniris? Sed quid est hoc? Quæque gens suos habet humiles et pusillos, et servos possidet, et ipsis est fructus obedientiæ causa. Si ergo tu, qui credis, propter Christum talia sustines, non eris sine mercede: sed si non hoc saltem patiaris, quomodo Christi servus esse poteris qui propter enim usque ad mortem toleravit? Propterea excusationem non habebunt fideles qui persecutione premuntur si impie agunt, ut dicunt, necessitate compulsi; sunt enim vere apostatæ. Nec aliter dicendum de his qui a pueritia abducti sunt: similes enim patribus suis futuri erant. Quod saltem evidens est de iis qui jamjam adoleverunt: intelligentiam enim habentes, documenta fidei minime servaverunt, carni acquieverunt, et nihil omnino de Dei Verbo curantes egerunt. Hæc, judicio meo, verissima: et omnino dicendum Deum non esse alicui causam lapsus, sed ignaviam, voluptatum et vitæ amorem. Veruntamen, plene confidentes infinitæ Dei bonitati, ut oportet resipiscentibus, spem excitare debemus, omnesque exspectare et suscipere quoquo modo pœnitentes, sed non eos qui pœnitentiam respuunt. Refert enim optime discernere inter conversos, secundum ordinem a sanctis præscriptum. Etenim qui ea lege agunt ut fugiant labores et tentationes persecutionum propter amorem bonorum, vel gloriæ, vel voluptatum morti se addicunt; mihi enim cum discipulo dilecto fas est dicere eos qui non confitentur Deum peccare ad mortem. Qui e contra passi sunt persecutionem, labores, minas et contumelias, alia mercede donabuntur. Ex pueris et infantulis qui ablati sunt, qui mortui fuerint antequam intelligentiam habuerint, boni vel mali omnino, modo baptisma receperint, misericorditer pieque a Deo recipiendos confido. Omnes autem infideles, sive avita infidelitate teneantur, cum dæmonibus juste condemnabuntur; sive etiam, olim

inter fideles conversati fidem quomodocunque negaverint, et maneant infideles pœnam parem luent: quia non est in ipsis verbum divinæ revelationis quod orbi terræ super solem illuxit et nunc splendet, et norma fulgens evangelicæ et cœlestis vitæ quæ super ignem et flammam illuminat et ardet. Et hæc ad quæstionem quam brevissime solvimus. A Patribus sanctis qui plura quæsierit habebit: et de hoc argumento plena est sacra Scriptura.

QUÆSTIO X.

Num indigni sacerdotis sacrificium, et baptismus, et quæcunque agit valida sint necne?

QUÆSTIO XI.

Num is qui indigne ordinatur, gratiam accipiat necne, et num admittenda quæ ab eo peraguntur?

QUÆSTIO XII.

Indignus aliquis ordinatus ad sacerdotium factusque Pater spiritalis, an peccata valide remittat, et cum ei sæpius non est mandatum, num remittere peccata potest; et cum monachus est simplex spiritualiter fungi munere valet?

QUÆSTIO XIII.

Indignus si quis fiat sacerdos aut episcopus, ordinetque dignos et indignos, atque constituat confessarios, et omnes obeant sacrum munus, num hæc omnia Deo accepta sunt?

Quatuor harum quæstionum: decimæ scilicet, undecimæ, duodecimæ et decimæ tertiæ unus est spiritus et sensus et simul omnibus respondemus juxta mentem sanctorum quam accepimus. Non omnes in sacra ordinat ministeria Spiritus sanctus, sed in omnibus operatur. Cæteroqui archiepiscopus et sacerdos, et qui spirituale munus exercet, et quivis alius clericus, canonice ordinatus, Dei vere minister est, et ad salutem hominum deputatus, et angelus alter Dei, et sanctitatis plenus distributor, sicut et luminis et gratiæ Dei, a quo fructum multum pro ministerio percipit. Et inprimis eorum quæ Dei sunt acerrimus et indefessus defensor est, ad præbendam in seipso prudentiæ et pietatis normam. Non enim pietas in otiositate est; sed qui munus aliquod sacrum suscepit, laboret; nam et ipsius salus est in labore ejus et salus omnium viventium et mortuorum. Videat ergo: Deo reddet rationem ignaviæ. Hæc autem dicit theologus Basilius. Quoties autem quis contra canones ordinatur vel archiepiscopus, vel sacerdos, vel clericus vel alius ministerio sacro deputatus, gratia in quovis eorum revera operatur ad salutem accedentium ad illum, et ab eo quisque secundum fidem suam accipit, et nemo recedit vacuus et frustratus. Quibus manus imposuerint vere ordinati sunt; et quibus peccata dimiserint vel retinuerint, dimissa vel retenta sunt: denique quæcunque agunt mysteria, illa vere perficiuntur, cum in his non homo operetur, sed gratia per operantem. Væ autem agenti huic si contra voluntatem operantis agit. Væ iterum homini tantas res contumeliose tractanti. Quod si ille qui sibi res infimas quidem et humanas, sed neque datas, neque labore aut pretio partas assumit tantæ jam pœnæ reus judicatur, ut latro, prædo, procax, et rapax et tandem male et contemptim se

ΕΡΩΤΗΣΙΣ Ι'.

A *Τοῦ ἀναξίως ἱερουργοῦντος δεκτή ἐστιν ἡ θυσία καὶ τὸ βάπτισμα, καὶ τὰ παρ' αὐτοῦ γινόμενα ἅπαντα, ἢ οὔ;*

ΕΡΩΤΗΣΙΣ ΙΑ'.

Ὁ ἀναξίως χειροτονούμενος λαμβάνει χάριν, ἢ οὔ; καὶ εἰ δεκτέα τὰ παρ' αὐτοῦ.

ΕΡΩΤΗΣΙΣ ΙΒ'.

Ἀνάξιός τις ἱερωσύνης χειροτονηθεὶς, καὶ πνευματικὸς γεγονὼς, συγχωρεῖ ἁμαρτήματα; Καὶ πολλάκις μὴ ἔχων ἔνταλμα, ἆρα συγκεχωρημένα τὰ παρ' αὐτοῦ; Ἢ τὰ παρ' ἰδιώτου μοναχοῦ ὡς πνευματικοῦ ἐνεργοῦντος;

ΕΡΩΤΗΣΙΣ ΙΓ'.

B *Μὴ ὢν ἄξιός τις, ἐγένετο ἱερεὺς, ἢ ἀρχιερεὺς, καὶ χειροτονεῖ ἀξίους καὶ ἀναξίους καὶ καθιστᾷ πνευματικοὺς, καὶ ἐνεργοῦσι πάντες, δεκτέα τὰ παρὰ πάντων Θεῷ;*

Τῆς δέ γε δεκάτης, ἑνδεκάτης δωδεκάτης τε καὶ δεκάτης τρίτης τῶν ἐρωτήσεων, εἷς ἐστιν ὁ νοῦς· καὶ ἅμα περὶ πασῶν κατὰ δύναμιν ὡς ἐκ τῶν ἁγίων παρελάβομεν λέγομεν. Ὡς οὐ πάντας μὲν χειροτονεῖ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ πάντων δὲ ἐνεργεῖ. Λοιπὸν ἀρχιερεύς τε καὶ ἱερεὺς καὶ πνευματικόν τις ἔχων λειτούργημα, καὶ πᾶς ἄλλος κληρικὸς, κανονικῶς χειροτονηθεὶς καὶ Θεοῦ ἀληθής ἐστιν ὑπηρέτης, καὶ σωτηρίας τοῖς ἀνθρώποις διάκονος, καὶ ἄγγελος ἄλλος Θεοῦ, καὶ ἁγιασμοῦ μεταδοτικός τε καὶ πλήρης, καὶ ὅλος θείου φωτισμοῦ τε καὶ χάριτος, καὶ τὸν μισθὸν τῆς διακονίας C ἐκεῖσε πολὺν λήψεται παρὰ τοῦ Θεοῦ, καὶ μᾶλλον ὅσον σπουδαστής ἐστι πρὸς τὰ θεῖα, καὶ μὴ ῥᾳθύμως πρὸς ταῦτα ἔχων, μηδ' ἀμελῶς διακείμενος διὰ δοκοῦσαν εὐλάβειαν. Οὐ γὰρ εὐλάβεια τὸ ἀργεῖν, ἀλλ' εἴγε μόνον κανονικῶς ἔλαβε τὸ λειτούργημα, ἐνεργείτω· ὅτι σωτήριον αὐτῷ τε καὶ πᾶσι πιστοῖς ζῶσί τε καὶ τεθνεῶσι. Εἰ δ' οὖν, δώσει λόγον τῆς ἑαυτοῦ ἀργίας τῷ Θεῷ. Καὶ τοῦτό φησιν ὁ θεοφάντωρ Βασίλειος. Πᾶς δὲ μὴ κατὰ κανόνας χειροτονηθεὶς ἀρχιερεὺς ἢ ἱερεὺς ἢ κληρικὸς ἢ πνευματικοῦ λειτουργήματος ὑπηρέτης, ἐνεργεῖ μὲν ἐν αὐτῷ τῇ χειροτονίᾳ ἡ χάρις, διὰ τὴν τῶν προσερχομένων αὐτῷ σωτηρίαν, καὶ ἕκαστος κατὰ τὴν πίστιν λαμβάνει, καὶ οὐδεὶς ἄμοιρος. Καὶ οἱ χειροτονούμενοι D παρ' αὐτῶν κεχειροτονημένοι εἰσὶ, καὶ οἱ λυόμενοι τῶν ἁμαρτημάτων ἢ δεσμούμενοι, λελυμένοι ἢ δεδεμένοι, καὶ τὰ μυστήρια δὲ πάντα μυστήρια. Οὐ γὰρ ἄνθρωπος ἐνεργεῖ, ἀλλὰ δι' ὀργάνου ἡ χάρις. Οὐαὶ δὲ τῷ ὀργάνῳ ἐκείνῳ, εἰ παρὰ γνώμην τοῦ ἐνεργοῦντος ἐνεργεῖ. Καὶ οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, τῷ καταφρονητῇ τηλικούτων. Καὶ εἰ τὰ κάτω καὶ τὰ ἀνθρώπινα, ἢ τὰ μὴ δεδομένα μηδὲ ἄξια λαμβάνων εἰς αὐτόν τις, τοσαύτης ἄξιος καταδίκης, ὡς κλέπτης ὢν καὶ λῃστὴς καὶ τολμητίας καὶ ἅρπαξ

καὶ τῶν ὑπὲρ τὴν ἀξίαν αὐτοῦ περιφρονητής, πόσῳ **334** γε μᾶλλον κατακριθήσεται ὁ ἐν τοῖς θείοις καὶ οὐρανίοις καταφρονῶν, καὶ μάλιστα τοῖς αὐτοῦ τοῦ Θεοῦ μόνου ἔργοις; Καὶ εἰ ὁ ἀναξίως κοινωνῶν μόνον κατάκριτος, ὁ καὶ ἀναξίως ἐνεργῶν, πόσῳ μᾶλλον. Καὶ ταῦτα μὲν περὶ τῶν χειροτονίαν δεξαμένων, οἵτινες εἴτε πρότερον, εἴτε ὕστερον ἥμαρτον, ἀνάξιοι πάντες. Καὶ εἴγε μετανοῆσαι καὶ σωθῆναι μέλει αὐτοῖς, ἀποστήτωσαν ἐνεργεῖν τὰ τῆς ἱερωσύνης ἁγιώτατα ἔργα, καὶ ἐν ἐξομολογήσει καὶ πένθει, τὸν Θεὸν ἑαυτοῖς ἱλεούσθωσαν. Οὐδὲ γὰρ ἄλλο τι αὐτοῖς εἰς μετάνοιαν, εἰ μὴ πρῶτον παύσωνται τὰ τῆς ἱερωσύνης ἐνεργεῖν. Εἰ δέ τινες παραχωρήσει Θεοῦ πρὸς τοῦτο ἥκασι τόλμης, ὥστε ἀπίστως καὶ δυσσεβῶς (ἀπιστία γὰρ τὸ τοιοῦτον) χωρὶς τοῦ ἱερωσύνης χειροτονίαν λαβεῖν, τὰ τῆς ἱερωσύνης διενεργεῖν, οὐκ ἔστι λόγος εἰπεῖν τὰ περὶ τῆς κατακρίσεως τοῦ τοιούτου. Χεῖρον γὰρ τοῦτο τὸ ἔργον καὶ ἀσεβῶν αὐτῶν, καὶ μόνον δαιμόνων εἰς ἄγγελον φωτὸς μετασχηματιζομένων, μὴ ὄντων, καὶ τὰ τοῦ Θεοῦ ὑποκρινομένων, ἀθέων ὄντων, καὶ ἀντιθέων. Οἱ τοιοῦτοι οὐ μόνον οὖν μεγίστην καὶ ἄῤῥητον ὑποστήσονται τιμωρίαν, κατὰ τῶν θείων οὕτω δὴ βλασφημήσαντες, οὐ γὰρ φωναὶ θεῖαι τὰ παρ' αὐτῶν, οὐδὲ θεῖα ἔργα, ἐπειδήπερ χάριν χειροτονίας οὐκ ἔχουσιν, ἀλλὰ καὶ δίκην τίσουσιν ἄλλην ἕνεκα τῶν ὑπ' αὐτῶν ἐξηπατημένων, καὶ ἢ δῆθεν βαπτισθέντων, ἢ χειροτονηθέντων. Οὗτοι γὰρ καὶ ἀχειροτόνητοι καὶ ἀβάπτιστοι. Οὐδὲν γὰρ ὁ μὴ ἔχων δίδωσι, καὶ οὐδέν τις λαμβάνει παρὰ τοῦ μὴ ἔχοντος, κἂν νομίζῃ ἔχειν αὐτόν. Ὅθεν καὶ ἀπατηθεὶς, καὶ πιστεύων εἶναι βεβαπτισμένος ἢ ἱερεὺς, οὐκ ἔστι, καὶ τῆς ἀπωλείας τούτου ὁ ἀπατήσας αἴτιος. Οὐ γὰρ ἄνθρωπός τι δύναται, μὴ λαβὼν παρὰ τοῦ Θεοῦ. Χωρὶς ἐμοῦ γὰρ, φησὶν, οὐ δύνασθε ποιεῖν οὐδέν.

Περὶ δέ γε πνευματικοῦ λειτουργήματος, ἐγγὺς τοῦ ἀχειροτονήτως ἐνεργοῦντος τῷ ἁμαρτήματι, καὶ ὁ δίχα προτροπῆς ἀρχιερέως καὶ ἐντάλματος ἐνεργῶν. Ὅτι τοῦτο τὸ λύειν τε καὶ δεσμεῖν, μόνον τῶν ἐπισκόπων ἐστὶ, καὶ διάφοροι περὶ τούτου κανόνες φασί. Καὶ δῆλον ὡς καὶ τοῖς ἀποστόλοις μόνοις τοῦτο δέδοται παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· τῶν ἀποστόλων δὲ διάδοχοι οἱ ἐπίσκοποι. Ὅθεν οἱ πρεσβύτεροι ὡς τῶν ἑβδομήκοντα τὴν τάξιν ἐπέχοντες, οὐκ ἔχουσιν ἄδειαν Πνεῦμα διδόναι, τουτέστι χάριν, καὶ ἢ χειροτονεῖν, ἢ μύρον ποιεῖν, ἢ λύσιν διδόναι ἁμαρτιῶν ἐν Πνεύματι, ὡς οὐδὲ Φίλιππος τῶν ἑπτὰ ἠδύνατο τοῦτο· ἐπιθέσει δὲ χειρῶν ἐδίδου τοῦτο Πέτρος καὶ Ἰωάννης, καὶ οἱ λοιποὶ τῆς δωδεκάδος ἀπόστολοι, καὶ οἱ τούτων διάδοχοι τῆς ἐπισκοπῆς. Ὅθεν καὶ ἐκ τῶν ἑβδομήκοντα πολλοὺς ὕστερον οὗτοι ἐπισκόπους ἐχειροτόνησαν. Διὸ οὐκ ἔχουσι τῇ χειροτονίᾳ τὸ λύειν καὶ δεσμεῖν οἱ πρεσβύτεροι, ἀλλ' οἱ ἐπίσκοποι μόνοι. Προτροπῇ μέντοι τῶν ἐπισκόπων ἤτοι ἐντάλματι κατ' ἀνάγκην, ὡς οἱ κανόνες φασὶ, δύνανται τοῦτο καὶ πρεσβύτεροι

[11] Joan. xv, 5.

A gerens erga res non suas, quanto magis condemnabitur qui contumeliose res divinas et cœlestes tractat, et quod fœdissimum est et improbisssimum erga ipsa opera soli Deo propria ? Et si communicans tantum indigne condemnatur, multo magis qui indigne tractat. Et hæc de illis qui ordinationem receperunt, sive ante susceptos ordines peccaverint, sive post, omnes indigni ; si modo ipsis pœnitentiæ et salutis cura supervenerit recedant ab exercendo sanctissima sacerdotii opera, et in confessione et luctu, Deum sibi propitium reddant. Nam ante pœnitentiam ministerio sacro valedicere debent. Si vero quidam permissione Dei eo dementiæ et impudentiæ pervenerint, ut, fidem abnegantes (fidei negatio est hoc) et religionem, privatim sacerdotii ordi-
B nem suscipiant, et munera exerceant lingua et vox deficiunt ad dicendum quantam mereantur condemnationem. Pejus enim faciunt quam ipsimet impii; et, quod solis proprium est dæmonibus, qui se transfigurant in angelos luminis, cum sint tenebrosi spiritus, isti pseudo-sacerdotes opera Dei simulant cum vere athei sint et Dei inimici. Hi autem non modo pœnam luent maximam et inenarrabilem, pro tantis in divina blasphemiis ; non habent enim vocem Dei, nec agere possunt Dei opera, cum nunquam habuerint gratiam ordinis ; sed insuper aliam dabunt pœnam propter eos quos deceperunt et quos certe aut baptizaverint aut ordinaverint. Isti quidem nec ordinati nec baptizati :
C nemo enim dare potest quod non habet ; et nemo aliquod valet accipere a non habente etsi credat illum habere. Unde et deceptus est, et credens esse baptizatus vel sacerdos minime est : et hujus ruinæ causa est impostor. Homo enim nihil potest, quam quod a Deo accepit facere. « Sine me nihil potestis facere [11], » dicit Dominus.

Ad ministerium sacrum quod attinet, idem est quoad peccatum de eo qui ministrat absque ordinatione et de eo qui agit in sacris sine admonitu vel jussione archiepiscopi : quia solvere et ligare solum episcoporum est, ut diversi de hoc habent canones. Et illud certum quod solis apostolis hanc potestatem dedit Christus Deus noster : apostolorum
D autem successores sunt episcopi. Unde et presbyteri qui horum septuaginta discipulorum locum tenent non possunt Spiritum dare, hoc est gratiam, neque ordinare, neque oleum consecrare, neque absolutionem peccatorum concedere in Spiritu ; sicut nec Philippus potuit unus e septem diaconis, sed hoc donaverunt Petrus et Joannes impositione manuum, et cæteri apostoli e numero duodecim, et eorum successores in episcopatu. Unde et plures e septuaginta illis apostoli ordinaverunt episcopos. Quare vi ordinationis presbyteri non possunt solvere et ligare, possunt vero episcopi solummodo. Admonitu autem episcoporum vel jussione, cum necessitas fuerit, sancti canones volunt presbyteros

illud quoque operari. Sed hujusmodi facultates A concedi debent ab episcopis, quibus plerumque majora reservantur; etenim presbyteris non licet in omnibus judicare. Et inprimis crimina negationis, et homicidii, et peccata sacerdotum, item perjuria et alia quædam non possunt absolvere, nisi soli episcopi. Si ergo et qui munus acceperunt commissum jussiones capessere debent, quam facultatem omnia solvendi habebunt qui muneris sunt expertes? Et si quis sanctus non sit, quanto magis hac carebit facultate? Quare et isti condemnabuntur sicut et illi qui munus non ordinati exercent. Si cui autem occurrat in necessitate nondum a suprema auctoritate licentiam accepisse pro gravi casu aliquorum, hos utique remittet ad episcopum, aut habenti facultatem cum munere sacro litteris B commissam. Illud sæpe accidere videmus sapientibus monachis et cautis. Ili autem curam habeant nunquam per seipsos absolvendi et seipsos nunquam dicant spirituales, quia illud non habent, sed tantum secundum necessitatem accipiunt. Dum vero se non esse spirituales confitentur, omni ope nitantur proponere quæ conferunt ad salutem. Unde si prope adsit sacrorum rituum minister, illuc mittant pœnitentem: si vero non præsto sit, tunc recipiant, et curent ut loquatur Patri eorum spirituali. Sed illi omnes quos acceperint vel audierint, curent remittere ad eos qui ex Deo facultatem solvendi habent, et sic absolutio erit secura. Quia vero monachis qui non sunt sacerdotes ar- C chiepiscopi concedunt aliquando cooperari ad pœnitentian, et accipere licentias, illud nobis minime videtur esse valde necessarium, cum oporteat ut habens a radice has licentias, benedicat et preces recitet, et admittat ad participationem mysteriorum eos qui postulant; uno verbo ut sit sacerdos, offerens et mediatoris partem habens pro pœnitentibus deprecari. In necessitate autem cum potissimum nullus adest aptus a sacerdotibus, conceditur monachis sapientibus facultas et licentia ad hoc munus, sed non ita ut solvant ex seipsis, sed ut pro loco rationem reddant archiepiscopo qui ipse totam causam instruet. Sed et sacerdote opus est hujus ministerii adjutore ut ab eo fiant quæ necessaria sunt: preces nempe absolutionis, participatio D mysteriorum et omnia utilia erga pœnitentem, et sanctum oleum cum cæteris sacerdotibus, uno verbo omnia alias præscripta, quæ quidem sacerdotium præstat. Ego vero in his maxime vereor; sed mihi non videtur necessarium opera quæ ad pœnitentiam spectant ab illo fieri qui non sit sacerdos: hæc enim plane ad sacerdotium spectant.

A ἐνεργεῖν. Πλὴν ὀφείλουσι τοῖς ἐπισκόποις ἀνατιθέναι τὴν ἐξουσίαν, ἔχουσι τὰ πλείω καὶ μείζονα· ὅτι οὐδὲ ἄδεια πρεσβυτέροις εἰς πάντα διακρίνειν. Ἐξαιρέτως δὲ τὰ τῆς ἀρνήσεως οὐκ ἰσχύουσιν οὗτοι λύειν, εἰ μὴ ἐπίσκοποι, οὐδὲ τὰ τοῦ φόνου, ἢ τῶν ἱερέων τὰ πταίσματα καὶ ἐπιορκίας δὲ καὶ λοιπά. Εἰ οὖν καὶ οἱ λαβόντες τὰ ἐνταλτήρια ὀφείλουσιν ἐρωτᾷν, ποίαν ἄδειαν ἕξουσιν ὅλως λύειν, οἱ μὴ λαβόντες; Εἰ δὲ καὶ ἀνίερός τις, πόσῳ γε μᾶλλον! Διὸ καὶ οὗτοι σὺν τοῖς ἀχειροτονήτως ἐνεργοῦσι κατακριθήσονται. Εἰ μήπου τις κατ' ἀνάγκην ἐν περιστάσει τινῶν λογισμοὺς ἀξιώσει δεξάμενος, ἀναθήσει τούτους τῷ ἐπισκόπῳ, ἢ τῷ ἔχοντι διὰ γράμματος τὸ λειτούργημα. Τὸ τοιοῦτον γὰρ εἴδομεν συμβαῖνον καὶ εἰς πλείστους τῶν εὐλαβῶν μοναχῶν. Οἳ προσοχὴν B ἐχέτωσαν, μὴ ἀφ' ἑαυτῶν λύειν, μηδὲ καλεῖν ἑαυτοὺς πνευματικοὺς, ὅτι οὐδ' ἔχουσι τοῦτο, ἀλλὰ κατ' ἀνάγκην δεχόμενοι, καὶ τοῦτο ὁμολογοῦντες ὡς οὐκ εἰσι πνευματικοὶ, τὰ πρὸς σωτηρίαν συντείνοντα προσφερέτωσαν. Καὶ εἰ μὲν ἐγγύς ἐστι τοῦ λειτουργήματος ὑπηρέτης, ἐκεῖσε τοῦτον 335-6 ἀποστελλέτωσαν. Εἰ δὲ οὐκ ἔστι, τότε μὲν δεχέσθωσαν, παραγγελλέτωσαν δὲ καὶ Πατρὶ εἰπεῖν πνευματικῷ. Καὶ αὐτοὶ δὲ ἅπερ ἐδέξαντό τε καὶ ἤκουσαν, τοῖς ἔχουσι δύναμιν ἀπὸ Θεοῦ λύειν ἀπαγγελλέτωσαν, καὶ οὕτως ἡ λύσις ἀσφαλὴς ἔσται. Ὅτι δὲ καὶ μοναχοῖς μὴ ἱερωσύνην ἔχουσι παρ' ἀρχιερέων ἐδόθη τὰ τῆς μετανοίας διενεργεῖν, καὶ δέχεσθαι λογισμοὺς, ἤκουσται μὲν καὶ ἡμῖν, ἀλλ' οὐκ ἀναγκαῖον C ὅλως δοκεῖ, ἐπεὶ χρεία τῷ δεχομένῳ λογισμοὺς καὶ εὐλογεῖν, καὶ εὐχὴν ἐπιλέγειν, καὶ μεταδιδόναι τῶν μυστηρίων τοῖς χρῄζουσι, καὶ ἁπλῶς εἶναι ἱερέα, ὥστε προσφέρειν καὶ μεσιτεύειν ὑπὲρ τῶν μετανοούντων καὶ εὔχεσθαι. Κατ' ἀνάγκην δέ ποτε πλείστην ἐν τῷ μὴ παρεῖναι ἱκανόν τινα τῶν ἱερωμένων πρὸς τοῦτο, τὴν ἄδειαν δίδοσθαι ὥστε δέχεσθαι λογισμοὺς καὶ μοναχοῖς εὐλαβέσι· πλὴν οὐχ ὥστε λύειν αὐτοὺς ἀφ' ἑαυτῶν, ἀλλ' ὥστε ἀναφέρειν τῷ κατὰ τόπον ἀρχιερεῖ, καὶ παρ' αὐτοῦ τὴν ἀπόφασιν γίνεσθαι. Ἀλλὰ καὶ ἱερέα χρὴ τοῦτον ἔχειν τοῦ ἔργου συνεργὸν, ὡς ἂν τὰ ἀναγκαῖα δι' αὐτοῦ γένοιτο, εὐχαί τε συγχωρήσεως, καὶ κοινωνία τῶν μυστηρίων, καὶ προσφορὰ ὑπὲρ τοῦ μετανοοῦντος, καὶ ἅγιον ἔλαιον μετὰ καὶ λοιπῶν ἱερέων, καὶ ἁπλῶς D ἅπαντα τὰ νενομισμένα, ἅτινα δὴ ἡ ἱερωσύνη ἐνεργεῖ. Ἐγὼ δὲ καὶ περὶ τούτου εὐλαβῶς ἔχω, καὶ οὐκ ἀναγκαῖον ἡγοῦμαι ἐνεργεῖν τινα τὰ τῆς μετανοίας ἔργα, ἱερωσύνην μὴ ἔχοντα. Ταῦτα γὰρ τῆς ἱερωσύνης εἰσί.

QUÆSTIO XIV et XV.

Sacerdotes, qui proxima nocte cum uxoribus suis concubuerunt utrum debeant sacram Cœnam celebrare necne? Num die sacræ Cœnæ celebratæ fas sit consuetudine uti mulieris?

Quæstionis decimæ quartæ et decimæ quintæ una mens est et unus sensus: An liceat sacerdoti con-

ΕΡΩΤΗΣΙΣ ΙΔ' καὶ ΙΕ'.

Τινὲς ἱερεῖς μετὰ τῶν γυναικῶν αὐτῶν εὑρισκόμενοι, ὀφείλουσιν ἱερουργεῖν, ἢ οὔ; καὶ κατὰ τὴν ἡμέραν τῆς λειτουργίας εἰ δεῖ ὁμιλεῖν γυναικί;

Καὶ ἡ τεσσαρεσκαιδεκάτη δὲ καὶ πεντεκαιδεκάτη ἐρώτησις τὴν αὐτὴν ἔννοιαν περιέχουσιν. Εἰ δεῖ ἱε-

ρωμένον γνῶναι τὴν ἰδίαν γυναῖκα, κα κατ' αὐτὴν A τὴν ἡμέραν ἱερουργῆσαι. ἢ μετὰ τὸ ἱερουργῆσαι γνῶναι αὐτήν. Τὰ τοιαῦτα γὰρ ἀδιαφορίας καὶ ἀκρασίας ἔργα εἰσίν. Ὁ δὲ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ὁ Παῦλός φησιν. Εἰ οὖν τοῖς θεωρῆσαι μόνον ἠξιωμένοις καπνιζόμενον τὸ ὄρος Σινᾶ, καὶ τῆς φωνῆς ἐπακοῦσαι τῆς σάλπιγγος, παραγγελία γέγονεν, ὥστε ἐν τρισὶν ἡμέραις μὴ προσελθεῖν γυναιξὶ, καὶ ὁ ἀρχιερεὺς Ἀβιάθαρ ζητήσαντι τῷ Δαβὶδ τοὺς τῆς προθέσεως ἄρτους φαγεῖν, ἠρώτησε, μή ποτε εἰσῆλθον εἰς γυναῖκα κατὰ τὴν νύκτα ἐκείνην, καὶ ὁμολογησάντων μὴ εἰσελθεῖν, τότε δὴ τεθάῤῥηκεν αὐτοῖς δοῦναι εἰς βρῶσιν τοὺς τυπικοὺς ἐκείνους ἄρτους· τίς ἄρα τολμητίας τοσοῦτον ἔσται, ὥστε μετὰ τὴν ὁμιλίαν τῆς γυναικὸς προσεγγίσαι τῷ θυσιαστηρίῳ; ἢ τῇ πρὸ τῆς θυσίας νυκτί; ὅπου B γε καὶ φαντασίας μόνον συμβάσης νυκτερινῆς χρεὼν εὐλαβεῖσθαι, ὡς ἐδιδάχθημεν; Εἰ γὰρ καὶ τίμιος ὁ γάμος, ὁ Παῦλός φησι, καὶ ἡ κοίτη ἀμίαντος, ἀλλ' ἐπάγει, «Πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.» Ὥστε διὰ τὸ μὴ πορνεύειν ἢ μοιχεύειν τοῦτό φησιν, οὐχὶ δὲ μὴ φθορὰν τοῦτο καὶ ἀκαθαρσίαν λογίζεσθαι. «Ἐν ἀνομίαις γὰρ, φησὶν ὁ Δαβὶδ, συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.» Ὥστε κατὰ συγχώρησιν ἐστιν ὁ γάμος, χάριν τῆς παιδοποιΐας καὶ μόνον, καὶ τῆς τοῦ γένους διαδοχῆς· οὐ μὴν δὲ Θεοῦ προηγούμενον θέλημα. Τοῦτο δὲ ἐκλεξάμενος Παῦλος τὸ ἁγνῶς ζῆν, ὅμως τοὺς λοιποὺς οὐ κωλύει, νομίμους ἔχειν γυναῖκας, ἵνα μὴ πορνεύοντες ἁμαρτάνωσιν, λέγων, «Θέλω C πάντας εἶναι ὡς κἀγώ,» τουτέστι παρθενεύειν καὶ σωφρονεῖν. «Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω.» Ὁρᾷς οἷον τὸ ἔργον τοῦ Παύλου; ὅτι ἁγιωσύνη. Διὰ δὲ τὸ μὴ πορνεύειν, συγκαταβαίνων φησί. Καὶ πάλιν εὐλαβεῖς ποιῶν τοὺς πιστοὺς λέγει, «Τὸ λοιπὸν ὁ καιρὸς συνεσταλμένος ἐστὶν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ χρώμενοι τῷ κόσμῳ, ὡς μὴ καταχρώμενοι.» Φυλαξάτωσαν οὖν ἑαυτοὺς οἱ ἱερωμένοι **337** ἐν τῷ μέλλειν ἱερουργεῖν, καὶ μετὰ τὴν ἱερουργίαν κατ' αὐτὴν τὴν ἡμέραν, ὡς ἡγιασμένοι ὄντες τῇ κοινωνίᾳ, ὅτι οὐ χρὴ κοινωνεῖν Θεῷ καὶ σαρκί. Καὶ εἰ μὲν οὐ βούλεται ἱερουργεῖν οὐ κωλύεται· εἰ δ' οὖν κωλύεται, ὅτι ἐκεῖνο μὲν σαρκὸς κοινωνία. Ἐπεὶ ἔσονται, φησὶν, οἱ δύο εἰς σάρκα μίαν. Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμά ἐστι. Καὶ τίς συμφώνησις Θεῷ καὶ σαρκί; Διὸ καὶ Παῦλός φησι πάλιν, «Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἄρα ἐκ συμφώνου.» Διατί; Ἵνα συνέρχησθε, φησὶν, ἐν ταῖς προσευχαῖς. Ἅμα οὖν καὶ ἄμφω διδάσκει, καὶ τὸ μὴ ἀποστερεῖν ἀλλήλους διὰ τὰς πορνείας, καὶ τὸ ἐγκρατεύεσθαι ἐκ συμφώνου διὰ τὰς προσευχὰς, βεβαιῶν καὶ οὗτος τὸ ῥηθὲν ὑπὸ τοῦ Θεοῦ, ἐν τῷ μέλλειν ἀνέρχεσθαι αὐτοὺς πρὸς τὸ ὄρος, «Τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί.» Εἰ οὖν ἁπλῶς ἐν τῷ θεωρῆσαι Θεοῦ τὴν δόξαν, καὶ ἐν τῷ προσεύξασθαι ἐγκρα-

jugem suam cognoscere, et præsertim die quo sacris functus est eam adire. Hæc sunt opera vel indifferentiæ vel intemperantiæ. Qui enim in agone contendit ab omnibus se abstinet, dicit Paulus [12]. Si igitur ut viderent solummodo montem Sinai fumo obvolutum, et audirent sonum buccinæ digne præparandi erant, et illis præscriptum fuerat ne tribus diebus appropinquarent uxoribus [13-3]: et si summus pontifex Abiathar postulanti David ut manducaret panes propositionis, respondit quærens num forte intraverint ad conjuges ipsa nocte, et cum asseveraverint se non intravisse, tunc non dubitavit illis tradere manducandos panes illos typicos [4]; quis tantæ erit audaciæ ut inter commercia conjugalia accedat ad altare? vel in ipsa nocte quæ præcedit sacrificium? Sed jam nonne apprime monemur ab ipsa religione ne vel conventus nocturni imagunculas admittamus? Etenim si, ut dicit Paulus, Honorabile connubium et thorus immaculatus, tamen addit: «Fornicatores autem et adulteros judicabit Deus [5].» Quamobrem simul his verbis innuitur non esse fornicandum nec adulterandum, et iterum non cogitanda esse stuprum aut lasciviam. Dicit enim David: «In iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea [6].» Ideo de venia quadam est connubium, in gratiam solum generis servandi et creandorum liberorum, non vero ex voluntate Dei antecedente. Eligens enim Paulus caste vivere, alios non prohibuit quin haberent legitimas uxores, ne in fornicationem incidentes peccarent, dicens: «Volo omnes esse sicut et ego sum, [7]» hoc est virgines et castos. Sed «propter fornicationem, addit, unusquisque suam uxorem habeat. [8]» Videsne qualem occupationem habeat Paulus? Sanctificationem. Ut non fornicarentur per indulgentiam loquebatur. Sed interim prudentes et pios volens facere credentes ait: «Reliquum est ut, tempore abbreviato, qui habent uxores tanquam non habentes sint.... et qui utuntur hoc mundo tanquam non utantur [9].» Custodiant ergo seipsos sacrificaturi tanquam perpetuo desiderantes offerre et modo celebraturi; et deinde post celebrationem per totam hanc diem sanctificati communione; non enim oportet communicare Deo et carni. Si vero noluerit offerre non prohibetur, bene autem prohibe- D tur si voluerit. Nam hoc est carnis communicatio, secundum illud: «Erunt duo in carne una,» Qui autem adhæret Domino, unus Spiritus est [10]. «Quæ enim conventio Deo et carni? Quare iterum Paulus dicit: «Nolite fraudare invicem, nisi forte ex consensu [11].» Quare tandem? Ut conveniatis, inquit, ad orationem. Duo igitur simul hic docet: scilicet ut usu defraudent se invicem propter fornicationem, et alterum ut abstineant ex consensu propter orationem: confirmans ipse quod Deus dixerat Israelitis cum modo accessuri erant ad montem: »

[12] I Cor. IX, 25. [13-3] Exod. XIX, 15, 16, 18. [4] I Reg. XXI, 4-6. [5] Hebr. XIII, 4. [6] Psal. L, 7. [7] I Cor. VII, 5. [8] Ibid. 2. [9] Ibid. 29. [10] I Cor. VI, 16, 17. [11] I Cor. VII, 5.

Tribus diebus ne appropinquetis uxoribus vestris.[11] Uno igitur verbo ad conspiciendam Dei gloriam, et ad preces Deo fundendas abstinere oportet a carnalibus, multo autem magis in obeundis sacris muneribus, et in participando tremenda nostra mysteria. Non ergo plura dicemus, nisi quod et die et nocte sacrificii et sequenti die oportet pie et sancte vivere.

A τεύεσθαι χρή, πολλῷ γε μᾶλλον ἐν τῷ ἱερουργῆσαι, καὶ τῶν φρικτοτάτων μυστηρίων μετασχεῖν. Εἰ οὖν οὐ πλείω, κἂν τῇ πρὸ τῆς ἱερουργίας ἡμέρᾳ τε καὶ νυκτὶ, καὶ τῇ μετ' αὐτὴν εὐλαβεῖσθαι δέον.

QUÆSTIO XVI.

Quid Patri spirituali sive confessario faciendum, viris et uxoribus sacræ Quadragesimæ tempore non continentibus se invicem, et sacris mysteriis uti desiderantibus?

Sed et laicis omnibus necesse est in sanctis jejuniis carnem domare, sicut quæstione decima sexta quæritur. Dies hæ omnes Deo sunt sacratæ, et vitæ nostræ quasi decima Domino solvenda sunt dies assiduarum precum et supplicationum, et inediarum. Si igitur qui sunt in mundo vitam voluptatibus male disperdant et non ab uxoribus abstineant, quomodo et quando, quæso, abstinebunt? Et si Moyses ut præcepta Dei in tabulis lapideis mereretur accipere, in monte quadraginta dies et quadraginta noctes jejunus et continens implevit, multo magis a carnalibus desideriis oportet abstinere eum qui carnem et sanguinem Dei in sacris mysteriis vult participare. Quod si nolint cunctis diebus abstinere, saltem sufficientes constituant sibi abstinendi dies, et dum tres dies continentiæ Israelitis legem accepturis constituebantur, multo sane plures exiguntur ab eis qui corpus et sanguinem Dei præsumunt accipere.

ΕΡΩΤΗΣΙΣ ΙϚ'.

Ἄνδρες ἁμοῦ καὶ γυναῖκες οὐκ ἐγκρατεύοντες ἀπ' ἀλλήλων τῇ ἁγίᾳ Τεσσαρακοστῇ, καὶ ζητοῦσι τῶν μυστηρίων μετασχεῖν, τί ποιήσει πνευματικός;

Ἀλλὰ καὶ ἐν ταῖς ἁγίαις νηστείαις οἱ λαϊκοὶ πάντες ὀφείλουσιν ἐγκρατεύεσθαι, καθὼς καὶ ἐν τῇ ἑκκαιδεκάτῃ ἐρωτῇς ἐρωτήσει. Πᾶσαι γὰρ αὗται αἱ ἡμέραι ἀφιερωμέναι εἰσὶ Θεῷ, καὶ ἀποδεκάτωσις B τῆς ζωῆς ἡμῶν, καὶ προσευχῆς καὶ δεήσεως καὶ ἐκτενείας ἡμέραι. Εἰ οὖν καὶ κατὰ ταύτας καθηδυπαθοῦσιν οἱ ἐν τῷ κόσμῳ, καὶ οὐκ ἐγκρατεύονται ἀπ' ἀλλήλων, πότε δὴ ἐγκρατεύσονται; Καὶ εἰ Μωϋσῆς, ἵνα τοὺς λόγους Θεοῦ διὰ πλακῶν δέξηται λιθίνων, τεσσαράκοντα ἡμέρας ἐν τῷ ὄρει, καὶ τεσσαράκοντα νύκτας ἄτροφος καὶ ἁγνεύων διήνυσε, πολλῷ γε χρὴ μᾶλλον ἐγκρατεύεσθαι ἐκ τῆς σαρκικῆς ἐπιθυμίας, τοὺς Θεοῦ μετασχεῖν τῆς σαρκὸς καὶ τοῦ αἵματος διὰ τῶν μυστηρίων ἐφιεμένους. Εἰ δὲ οὐ προαίρεσις ἐγκρατεύεσθαι ταῖς ὅλαις ἡμέραις, κἂν ἱκαναὶ ἡμέραι ἔστωσαν. Καὶ ἐὰν τρεῖς τοῖς τὸν νόμον δεχομένοις ἦσαν ἡμέραι, πολλῷ γε μᾶλλον πλείους τοῖς τὸ θεῖον σῶμα καὶ αἷμα τοῦ Θεοῦ δε- C χομένοις.

QUÆSTIO XVII.

Si ordinatus quis fuerit, quare opus sit sacris vestimentis; atque num possit sine stola sacrum officium peragere?

Ad sacerdotium homo cum dignus judicatus fuerit evehitur, et ab illo rite ordinato sicut per instrumentum sancta peraguntur mysteria. Sed homo ex anima et corpore coalescit et propterea duplicem relationem mysteriis exprimere valet: et sacerdoti opus est templum et altare. Nihilominus memorant semel sanctum Lucianum pro altari proprio usum fuisse pectore, cum propter Christum morte jamjam esset afficiendus, et ita vinctum sacrificium obtulisse in custodia. Sed et ille discipulos circumsedere jussit in modum templi. Ideo opus est indumentis sacris; et absque stola non licet sacerdotem agere quidquam: habent enim et sacra indumenta Dei gratiam, et horum unumquodque spiritualem præ se fert significationem; quare cuique accedit pontificis benedictio. Igitur ad divinum sacrificium quilibet sacerdos illis indui oportet: in cæteris autem sacris cæremoniis, sæpe fieri solitis, quæ sunt juxta præscriptam normam, nunquam prætereantur quantumvis videantur minima. Et in primis sine stola nulla perficiatur cæremonia; ac si quis necesse habeat aliquam perficere cæremoniam sive precem, sive baptisma, sive quod-

ΕΡΩΤΗΣΙΣ ΙΖ'.

Εἰ ὁ χειροτονούμενος ἄνθρωπός ἐστι, τίς χρεία τῶν ἱερῶν ἀμφίων; Καὶ εἰ δυνατὸν χωρὶς ἐπιτραχηλίου τὴν τελετὴν ἐνεργεῖν;

Τὴν ἱερωσύνην ὁ ἄνθρωπος ἱκανὸς εὑρεθεὶς ὑποδέχεται, καὶ δι' αὐτοῦ κεχειροτονημένου ὡς ὀργάνου τὰ ἱερὰ ἐνεργεῖται. Πλὴν ἐπειδήπερ ἄνθρωπος ἐκ σώματος καὶ ψυχῆς, καὶ τὰ μυστήρια διπλᾶ δίδοται γίνεσθαι, καὶ χρεία ναοῦ τῷ ἱερεῖ, καὶ θυσιαστηρίου. Εἰ καὶ ἅπαξ ὁ θεῖος Λουκιανὸς ἀντὶ θυσιαστηρίου τῷ στήθει ἐχρήσατο, διὰ Χριστὸν ἀποθνήσκων, καὶ ἱερούργησε δέσμιος ἐπὶ τῆς εἱρκτῆς. Πλὴν καὶ οὗτος τοὺς μαθητὰς ἀντὶ ναοῦ κύκλῳ ἔστησε. Διὸ καὶ τῶν ἱερῶν ἀμφίων χρεία, καὶ χωρὶς ἐπιτραχη- D λίου οὐ χρή τι τὸν ἱερέα διενεργεῖν, ἐπεὶ καὶ τὰ ἱερὰ ἄμφια χάριν ἔχουσι θείαν· ὅτι καὶ σημασίαν πνευματικὴν ἕκαστον τούτων ἔχει τινὰ, καὶ δι' εὐλογίας ἀρχιερατικῆς ἕκαστον τούτων δίδοται. Καὶ ἐν μὲν τῇ θείᾳ ἱερουργίᾳ, χρὴ ἅπαντα ἐνδεδῦσθαι· ἐν ταῖς λοιπαῖς δὲ ἱεραῖς τελεταῖς, ὅτε τοῦτο σύνηθες, καὶ τὰ κατὰ παράδοσιν ὄντα, μὴ καταλύειν ποτὲ, κἂν δοκῶσιν ἐλάχιστα· τέως δὲ χωρὶς ἐπιτραχηλίου, μηδεμίαν τελεῖν τελετὴν, καὶ εἰ ἀνάγκη τις ἐπέχει τινὰ γενέσθαι τελετὴν ἢ εὐχὴν, ἢ βάπτισμα, ἢ ἄλλο τι τῶν ἱερῶν, εἰ μὴ εὑρεθείη ἐπιτραχήλιον, ἵνα μὴ καταληφθείη τὸ ἔργον, ἢ ζώνην ἢ ἀπὸ σχοινίου τι μέρος, ἢ **338** ἀπὸ ὑφάσματος ὁ ἱερεὺς εὐλογείτω, καὶ

[11] Exod. xix, 15.

ὡς ἐπιτραχήλιον περιβαλλέσθω, καὶ ἐνεργείτω τὴν A τελετήν· καὶ μετὰ ταύτην ἐκεῖνο μὴ ὡς κοινὸν ἡγείσθω, ἀλλ' ἢ εἰς χρείαν ἐχέτω ἱερὰν εἰ ἁρμόδιον, ἢ ἐν ἰδίῳ τόπῳ ἀποτιθέσθω, ὥστε μὴ κοινὸν εἶναι· Ἐκεῖνα δὲ μόνον χωρὶς ἐπιτραχηλίου ἐνεργεῖ, ὅσα καὶ ἐν τοῖς μοναστηρίοις τοῖς ἱερεῦσι ποιεῖν σύνηθες ἔν τε τῷ μεσονυκτικῷ, ταῖς ὥραις, καὶ τοῖς ἀποδείπνοις.

vis aliud munus sacrum, non autem præsto sit stola sacerdos benedicat vel zonam, vel aliquem funiculum, aut pannum, et in modum orarii sumat et sic adimpleat cæremoniam. Completa autem re sacra id quo usus est non ut vulgare teneat, sed in usus sacros retineat, si convenienter possit adhiberi, et servetur in peculiari loco, ita ut nunquam communiter illud quis habeat. Hæc solummodo absque stola absolvuntur quæ solent facere in monasteriis sacerdotes, ut officia mediæ noctis, et horarum et vespertinum officium.

ΕΡΩΤΗΣΙΣ ΙΗ'.

Τί τὸ ἀνιστορούμενον ἐν ταῖς τῶν ἁγίων ἀγγέλων εἰκόσι μανδύλιον· καὶ τί τὸ φέγγιον καὶ τοῖς ἀγγέλοις καὶ τοῖς ἁγίοις. Καὶ τί τὸ νεφελοειδὲς κυκλικὸν σχῆμα ἐν ταῖς τῶν ἀγγέλων χερσί;

B Τὸ ἀνιστορούμενον ἐν ταῖς τῶν ἁγίων ἀγγέλων εἰκόσιν, οἱονεὶ περὶ τοὺς κροτάφους μανδύλιον, τὸ καθαρὸν αὐτῶν ὑπεμφαίνει τοῦ νοός, ἐπεὶ καὶ περὶ τὸν νοῦν, ὅτι καὶ Θεῷ συνδεδεμένοι νοερῶς οὗτοι, καὶ πρὸς τὰ ἔξω περὶ τὴν ἡμετέραν ἐκχέονται ἀγαθοειδῶς θεωρίαν καὶ φυλακήν. Ἔτι δὲ καὶ ὡς καθαροὶ ὄντες καὶ ἄϋλοι, οἷον στέφανον ἑαυτῶν τῆς παντελοῦς καὶ οὐρανίου ἁγνείας περιφέρουσι τοῦτο. Καὶ ὥσπερ δεδεμένας δὲ τὰς τρίχας ἔχουσιν, ὅτι οὐ περὶ τὰ ποικίλα καὶ περιττὰ κινοῦνται, ἀλλὰ περὶ τὰ θεῖα μόνον καὶ ἀναγκαῖα, καὶ τὸν νοῦν ἑαυτῶν ἄνω συντεταμένον ἔχουσι. Καὶ τὰ κυκλοειδῆ δὲ φεγγία, ἃ καὶ ἐν ταῖς τῶν ἁγίων εἰκόσι, τὴν τοῦ Θεοῦ τοῦ ἀνάρχου τε καὶ ἀτελευτήτου χάριν καὶ ἔλλαμψιν καὶ ἐνέργειαν ὑπεμφαίνουσι. Παρ' ἧς ἐνισχυθέντες καὶ C φωτισθέντες, ἤρξαντο τοῦ ἀγῶνος, καὶ καλῶς τοῦτον τετελεκότες, ἀεί εἰσι μετὰ τοῦ Θεοῦ, καὶ τὴν αὐτοῦ θείαν χάριν ἐν ἑαυτοῖς διηνεκῶς ἔχουσιν. Ἥτις τοῦ Θεοῦ οὖσα, οὔτε ἀρχήν, οὔτε τέλος ἔχει. Διὸ καὶ κυκλοειδές ἐστιν, ἐπὶ δὲ τοῦ Σωτῆρος τριφεγγές, ὅτι εἷς ἐστι τῆς Τριάδος, καὶ ἐν αὐτῷ ὅ τε Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ οἱ τὴν ἀρχιερατικὴν δὲ χάριν ὡς φωτιστικὴν οὖσαν λαβόντες, ταῦτο ἀνιστορούμενον φέρουσι· καὶ βασιλεῖς δέ, ὡς τὸ χρίσμα λαβόντες τῆς βασιλείας. Καὶ τὸ νεφελοειδὲς δὲ καὶ κυκλικὸν ὅπερ ἐν χερσὶ κρατοῦσιν οἱ ἄγγελοι, τὸν ἁγιασμὸν σημαίνει τοῦ Πνεύματος· καὶ ὅτι ἄτρεπτοι γεγόνασι τῇ τοῦ Σωτῆρος οἰκονομίᾳ. Ἐν μέσῳ δὲ τοῦ κύκλου, καὶ τὸ Χ στοιχεῖον γεγραμμένον ὑπάρχει, ὅτι τὸν Χριστὸν τοῦτο δηλοῖ. D Ἀλλὰ καὶ θεολογίας σημεῖον τοῦτο τὸ κυκλοειδές ἐστιν. Εἰ γὰρ καὶ σεσάρκωται διδάσκει Χριστός, ἀλλ' ὡς Θεὸς οὔτε ἀρχὴν οὔτε τέλος ἔχει· καὶ ὅτι τὴν οἰκουμένην ἔχει Χριστός, καὶ πάντα τὸν κόσμον ἐν τῇ χειρί, ὡς καὶ ὁ Δαβὶδ φησί.

QUÆSTIO XVIII.

Quid significet quod in sacrorum angelorum imaginibus conspicitur mantile, et qui nimbus circa angelorum sanctorumque capita, et circularis nubiformis figura in angelorum manibus?

Quæ circa tempora, in imaginibus angelorum depingitur infula, sanctitatem mentis eorum adumbrat. Illæ quidem sanctæ mentis Deo spiritualiter uniuntur, et non ad externa feruntur nisi quia in nostram custodiam et eruditionem de cœlo se profundunt cum summa benevolentia. Atque amplius: ut sunt puri et sine corpore, vitta illa donantur quasi corona, in signum æternæ, cœlestis et intemeratæ qua nitent innocentiæ. Hac denique capillos habent nodatos quia minime ad instabilia et superflua moventur, sed tantum ad divina et perutilia spectant, et mentem jugiter sursum omni conanime ferunt. Deinde in imaginibus sanctorum circulares cernuntur nimbi qui repræsentant gratiam, splendorem et potentiam Dei non habentis initium neque finem: a quo mutuali fortitudinem et irradiantem fulgorem, pugnam inierunt et pulchre perfecerunt ita ut nunc in æternum cum Deo sint; et gratia divina in seipsis continuo gaudent, quæ non habet initium neque finem, et ideo bene circulo adumbratur, cui in capiti Salvatoris radius tripartitus insertur, quia una est ex tribus Trinitatis personis, et quia in ipso sunt et Pater et Spiritus sanctus. Illique a Deo accipientes gratiam principalem, quatenus est illuminans, hujus signum nimbo depictum ferunt. Suntque quasi reges unctionem regni suscipientes. Circulo denique nebulæ quem in manibus ferunt angeli consecratio et sanctificatio Spiritus significatur, in qua confirmati et immutabiles facti sunt providentia Salvatoris. In medio autem circuli videtur hoc signum: X inscriptum, quia illo symbolo indicatur Christus. Sed etiam theologiæ, Dei scientiæ signum est forma circuli, quam Christus non docuit simul ut homo factus per incarnationem, et ut Deus non habens principium neque finem; et denique ita videmus Christum habere totius mundi administrationem et ipsum mundum in ejus manu esse, ut dicit propheta David.

ΕΡΩΤΗΣΙΣ ΙΘ'.

Διατί πολυσταύριον ἢ σάκκον οὐ φοροῦσιν ἐπίσκοποι; Καὶ εἰ ἐνδύσονται, τί βλαβερόν;

Πολυσταύριον δὲ οὐ φοροῦσιν ἐπίσκοποι, ὅτι τῆς τελειοτέρας τοῦτο τάξεως καὶ τῶν ἐγγιζόντων μᾶλ-

QUÆSTIO XIX.

Quare episcopi non induantur toga multis notata crucibus aut sacco. Atque, si hoc faciant, num sit reprehendendum?

Polystaurium non ferunt episcopi, quia illud est ordinis perfectioris indumentum, et magis

idoneum illis qui propius accedunt ad dignitatem A ejus qui pro nobis in cruce passus est; et illud excelsioris est ordinis. Si igitur episcopis, archiepiscopis et patriarchis una est potestas et virtus vi ordinationis, at diversa singulorum est ratio gradus, et hierarchæ, et sedis, et curæ et honoris, sicut et in angelis reperitur. Inter hos ministros principes Ecclesiæ, ut loquitur sanctus Dionysius, sunt ordine primi, medii et ultimi qui singulorum ordinum unam inter se habent distinctionem. Primi quidem sunt patriarchæ et excelsiores inter archiepiscopos, qui induuntur saccis publice et aperte Christum passum imitantes, qui pro nobis saccum per ludibrium induit, et deinde in cruce mortem subiit. Quare saccus plenus est crucibus. Medii sunt B metropolitani omnes, qui polystauria gerunt et vestibus testimonium Crucifixo reddunt, non autem sacco. Ultimi denique sunt episcopi, qui Christi passionem in genere tantum per crucem toleratam, humerali significant. Unusquisque est ut servet indumenta præscripta ordinis: nam superbia est facere quæ non permittuntur, et assumere quod non competit.

QUÆSTIO XX.

Quid denotet mitræ gestatio, et unde Romanus et Alexandrinus morem illa utendi acceperint; item quare cæteri episcopi sacrum officium peragant capite detecto?

Mitram in capite fert antistes Romanæ Ecclesiæ, C omnium ecclesiarum vinculum unitatis, sicut et Alexandrinus pontifex. Quis autem illis id concesserit, non invenire est, nisi dicatur mitram in usum venisse propter quamdam imitationem summi pontificis veteris legis, siquidem et ipse quondam capite gessit tiaram. Ut quidam dicunt, illud a primo rege Christiano divo Constantino concessum fuit beato papæ Romano Silvestro, quod quidem Latini dicunt scriptum fuisse in bulla aurea, quam a magno Constantino contendunt exaratam, ut sancto Silvestro Patri spirituali *stemma* daret regni, ad gloriam addendam sacerdotio. Cyrillum Alexandrinum hoc capitis indumentum obtinuisse ferunt a quadam synodo, quod postulavit propter infirmitatem. Alii dicunt illud D eidem a papa concessum, cum ejus loco Cyrillus præfuisset tertiæ synodo. Nos vero certiorem indicamus priorem sententiam, quia vetustissimorum rituum ibi videmus imitationem quoad indumenta sacerdotis, et iis qui ea assumunt munus gratiæ. Et si qui nolint in hoc habere memoriam antiquorum, saltem ibidem agnoscant typum spineæ coronæ et sacri sudarii. Quod autem omnes cæteri pontifices capite celebrent discooperto et orent similiter, secundum hoc quod caput habent Christum, sicut loquitur divinus Paulus. Et hoc magis consentaneum sermoni divino.

λον τῇ ἀξίᾳ τῷ δι' ἡμᾶς σταυρωθέντι, καὶ τὸ ὑπερμένων τῆς τάξεως. Εἰ οὖν καὶ μία ἐπισκόποις ἀρχιεπισκόποις τε καὶ πατριάρχαις ἡ τῆς ἀρχιερωσύνης ἐνέργειά τε καὶ δύναμις, ἀλλὰ καὶ διαφορά ἐστι τῆς τάξεώς τε καὶ τοῦ θρόνου, ἔτι τε τῆς ἀρχῆς καὶ τοῦ ἔργου καὶ τῆς προνοίας καὶ φροντίδος τῆς ὑπ' αὐτοὺς, ὡς καὶ ἐν ἀγγέλοις ἐστί. Πρῶτοι γὰρ καὶ ἐν ταῖς πρώταις αὐτῶν τάξεσίν εἰσιν, ὥς φησι Διονύσιος, καὶ μέσοι, καὶ τελευταῖοι, καίτοιγε μιᾶς οὔσης ἑκάστης τάξεως. Τοῦτο οὖν καὶ ἐν τῇ Ἐκκλησίᾳ ἐστὶ, τὰ οὐράνια μιμουμένῃ, μᾶλλον δὲ ὡς ἡνωμένῃ τοῖς οὐρανίοις. Καὶ πρῶτοι μὲν οἱ πατριάρχαι, καὶ οἱ τῶν ἀρχιεπισκόπων ἐξαίρετοι, οἱ καὶ ἐνδύονται σάκκους, προφανῶς μιμούμενοι πεπονθότα, τὸν ὑπὲρ ἡμῶν, σάκκον τε ἐνδυσάμενον παικτικῶς καὶ διὰ B σταυροῦ θάνατον ἐνεγκόντα. Διὸ καὶ πᾶς ὁ σάκκος πλήρης σταυρῶν. Μέσοι δὲ μητροπολῖται πάντες, οἱ τὰ πολυσταύρια ἐνδιδύσκονται, τοῦτον μαρτυροῦντες ἐσταυρωμένον τοῖς φαινολίοις, καὶ οὐ μετὰ σάκκου. Τελευταῖοι δὲ οἱ ἐπίσκοποι, διὰ τοῦ ὠμοφορίου, καὶ μόνον τὸ πάθος Χριστοῦ τὸ διὰ σταυροῦ φανεροῦντες. **339** Ἕκαστος οὖν χρὴ τηρεῖν αὐτοῦ τὰ τῆς τάξεως. Ὑπερηφανίας γὰρ τὸ παρὰ τὰ δεδομένα ποιεῖν, καὶ λαμβάνειν ὅπερ οὐκ ἔξεστιν.

ΕΡΩΤΗΣΙΣ Κʹ.

Τί δηλοῖ τὸ μίτραν φορεῖν. Καὶ πόθεν ὁ Ῥώμης καὶ ὁ Ἀλεξανδρείας ταύτην ἔλαβον φορεῖν. Καὶ πῶς οἱ λοιποὶ ἀρχιερεῖς ἀσκεπεῖς τῇ κεφαλῇ λειτουργοῦσιν;

C Ὁ Ῥώμης τὴν μίτραν καὶ ἡνωμένης τῆς Ἐκκλησίας οὔσης, ἐπὶ κεφαλῆς ἔφερεν, ὡς καὶ ὁ Ἀλεξανδρείας. Τίς δὲ ὁ δοὺς ἄδειαν, οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ ἀπό γε τοῦ παλαιοῦ ἀρχιερέως τοῦτο ἐλήφθη κατά τινα μίμησιν, ἐπεὶ κἀκεῖνος κίδαριν εἶχεν ἐπὶ τῆς κεφαλῆς. Τινὲς δέ φασιν ὡς παρὰ τοῦ πρώτου ἐν βασιλεῦσι Χριστιανοῦ τοῦ θειοτάτου Κωνσταντίνου τοῦτο ἐδόθη τῷ μακαρίῳ Πάπᾳ τῷ Ῥώμης Σιλβέστρῳ. Καὶ ἐν τῷ χρυσοβούλλῳ δὲ, ὃ Λατῖνοι προφέρουσι, τοῦ μεγάλου λέγοντες εἶναι Κωνσταντίνου, τοῦτο γέγραπται, ὡς τὸ στέμμα τῆς βασιλείας παρέσχε τῷ θείῳ Σιλβέστρῳ ὁ Κωνσταντῖνος ὡς πνευματικῷ Πατρὶ, τὴν ἱερωσύνην τιμῶν. Ἐπεὶ δὲ οὐ κατεδέξατο διὰ ταπείνωσιν Σίλβεστρος, τὸν λῶρον ἠνάγκασε λαβεῖν τὸν ἐπὶ τῆς βασιλικῆς κεφαλῆς. D Κύριλλον δὲ τὸν μέγαν τῆς Ἀλεξάνδρου ἀπὸ τῆς συνόδου λαβεῖν, τὸ ἔχειν ἐπὶ κεφαλῆς ἔνδυμα, δι' ἀσθένειαν ζητήσαντα τοῦτο. Ἕτεροι δέ φασι παρὰ τοῦ πάπα λαβεῖν, τὸν τόπον αὐτοῦ ἐπὶ τῆς τρίτης συνόδου ἔχοντα. Ἡμεῖς δὲ ἀναγκαιότερον ἡγούμεθα τὸ πρῶτον, ὡς κατὰ μίμησιν τῶν παλαιῶν ἐνδυμάτων τοῦ ἱερέως, καὶ τοῦτο λαβεῖν τοὺς τῆς χάριτος. Εἰ δὲ καὶ μὴ κατὰ μίμησιν ἐκείνου, διὰ τὸν τύπον τοῦ ἀκανθίνου στεφάνου, ἢ τοῦ ἱεροῦ σουδαρίου. Οἱ ἀσκεπῶς δὲ ἱερουργοῦντες καὶ προσευχόμενοι πάντες ἄλλοι ἀρχιερεῖς, διὰ τὸ τὸν Χριστὸν ἔχειν κεφαλὴν, ὡς ὁ θεσπέσιός φησι Παῦλος. Ὃ δὴ μᾶλλον καὶ κατὰ λόγον ἐστὶ θειότερον.

ΕΡΩΤΗΣΙΣ ΚΑ'.

Διατί ὁ μὲν παλαιὸς ἀρχιερεὺς ἐπὶ μὲν τῆς κεφαλῆς κίδαριν εἶχε, καὶ ἀνυπόδετος ἦν, ὁ ἡμέτερος δὲ ἀσκεπὴς τὴν κεφαλὴν, καὶ ὑποδεδεμένος τοὺς πόδας;

Διατί δὲ ὁ μὲν παλαιὸς ἀρχιερεὺς ἐπὶ μὲν τῆς κεφαλῆς τὴν κίδαριν εἶχεν, ἐπὶ τῶν ποδῶν δὲ οὐδὲν, ἀλλ' ἀνυπόδετος ἦν, καὶ λύειν τὸ ὑπόδημα ἐκ τῶν ποδῶν ἐκελεύετο; Ὅτι ἀτελὴς ἦν ἔτι καὶ περὶ τὴν σκιὰν στρεφόμενος, καὶ τὰ ἐπὶ γῆς θύων, ὡς διὰ τῶν ζώων ἱερουργῶν, καὶ τῇ σκιᾷ μόνῃ λατρεύων, καὶ ὑπὸ τοῦ ὄφεως τὴν πτέρναν τηρούμενος, καὶ θνήσκων ὑπὸ τοῦ ᾅδου κρατούμενος. Αἱ τῶν δικαίων γὰρ ψυχαὶ ἐν τῷ ᾅδῃ καὶ ὑπὸ γῆν ἦσαν ἔτι. Ἡμεῖς δὲ ἐνδεδυμένοι μὲν τοὺς πόδας, τὴν κεφαλὴν δὲ ἀπερικάλυπτον ἔχοντες, ὅτι δέδοται ἡμῖν ἐξουσία τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Καὶ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς, καὶ τὰ ἄνω φρονεῖν καὶ ζητεῖν ἐδιδάχθημεν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστὸς, ὅς ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας· ὃν καὶ τιμῶντες ἀπερικάλυπτοι τὰς κεφαλὰς προσευχόμεθα. Καὶ ὅτι οὕτω τὴν χειροτονίαν ἐλάβομεν, καὶ ἡ χάρις τοῦ Πνεύματος ἥτις ἐπεκάθισε καὶ τοῖς ἀποστόλοις ὡς κίδαρις ἡμῖν ἐστιν ἐπὶ κεφαλῆς. Καὶ ὅτι κατὰ τὸν ἱερὸν Διονύσιον, οὐ μίτραν ἡμεῖς χειροτονούμενοι ἐπὶ κεφαλῆς λαμβάνομεν, ἀλλὰ τὸ ἱερὸν Εὐαγγέλιον.

ΕΡΩΤΗΣΙΣ ΚΒ'.

Τί σημαίνει τὸ εἰλητὸν, καὶ ἡ κουρὰ τοῦ ἀναγνώστου καὶ ἱερέως;

Τὸ σουδάριον δὲ εἰκονίζει τὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ εἰλητὸν, καὶ τὸν ἀκάνθινον δὲ στέφανον, ἡ ἐν τῇ κεφαλῇ κουρὰ τοῦ ἱερέως, ἀπὸ τοῦ ἀναγνώστου διδομένη, καὶ ὀφειλομένη **340** διενεργεῖσθαι τοῖς ἱερεῦσιν ἅπασι πάντοτε, ὡς καὶ τοῖς ἱερομονάχοις τοῦτο σύνηθες ποιεῖν, εἰ καὶ ἐπὶ πλέον ἐκείνοις διὰ καὶ τὴν τοῦ μοναχοῦ κουράν.

ΕΡΩΤΗΣΙΣ ΚΓ'.

Διατί μύρῳ χρίεται ὁ ἐπιστρέψων ἀπὸ ἀρνήσεως, καὶ οὐ πάλιν βαπτίζεται;

Τὸν δὲ ἐπιστρέφοντα ἀπὸ ἀρνήσεως ἄνθρωπον, μύρῳ χρίομεν, καὶ οὐ βαπτίζομεν πάλιν, ὅτι τὸ βάπτισμα τὸ εἶναι παρέχει ἐν Χριστῷ. Τὸ μύρον δὲ τὴν κατὰ Χριστὸν ζωὴν καὶ πνοὴν καὶ ἁγιωσύνην καὶ σφραγῖδα. Ὥσπερ οὖν τοῖς νοεροῖς ἀγγέλοις ἐξ ἀρχῆς τὸ εἶναι καὶ ἀθανάτους μένειν δέδοται, τινὲς δὲ ἔπεσον ἐξ αὐτῶν, καὶ εἰσὶ μὲν ὡς ζῶντες τῇ ἀΰλῳ φύσει αὐτῶν, οὐ κατὰ Θεὸν δὲ ζῶσιν, οὐδ' ἁγνοί εἰσιν, οὐδὲ τὴν θείαν ἔχουσι σφραγῖδα ἐν ἑαυτοῖς, ἢ τὸ θεομίμητον, ἢ τὴν χάριν, ἀλλ' ἀντίθεοί εἰσι καὶ σκοτεινὰ σκεύη καὶ ἀλλότριοι τοῦ Θεοῦ, οὕτω δὴ καὶ οἱ ἄνθρωποι τῷ βαπτίσματι· τὴν τῆς Χριστοῦ ἀναστάσεως καὶ ἀφθαρσίας ἔλαβον χάριν, καὶ τοῦτον ἐνεδύσαντο τῷ βαπτίσματι, καὶ τὸν ἁγιασμὸν αὐτοῦ καὶ τὴν σφραγῖδα τοῦ Πνεύματος ἔλαβον τῷ μύρῳ. Εἰ οὖν ἐξ αὐτῶν τινες ἀρνήσονται, ἔχουσι μὲν τὸ μένειν, καὶ ἀναστήσονται τότε, καὶ ἄφθαρτοι ἔσονται.

QUÆSTIO XXI.

Quare pontifex max. tempore Veteris Test. cidarim habebat in capite, pedibus vero nudus erat: noster autem episcopus sacra obit capite aperto, et calceatus?

Veterum summus pontifex tiaram in capite gerebat, et nihil in pedibus, sed permittebat sibi calceamenta solvi et nudipes incedebat, eo quod imperfectus erat et quasi in umbra latebat, et de terra habebat unde sacrificaret, cum non immolaret nisi animantia, et solum in umbra adorabat, et a serpente custodiebat calcaneum, et moriens in inferno detinebatur: nam animæ justorum in inferno et sub terram erant pariter. Nos vero vestitos pedes et apertum caput habemus, quia nobis datur potestas calcandi desuper serpentes et scorpiones, et nostra conversatio in cœlis, et altiora cogitare et inquirere docti sumus, divino Prodromo ante nos incedente Christo, qui caput est corporis Ecclesiæ. Quem honoris causa discooperto capite deprecamur. Ita enim accepimus impositionem manuum ut gratia sancti Spiritus quæ in apostolos ante diffusa est, quasi tiaram in capite nostro impositam. Denique secundum sanctum Dionysium, non mitram nos ordinati accipimus in capite, sed sanctum Evangelium.

QUÆSTIO XXII.

Quid significet linteum cui corpus Christi et sanguis superponitur, et quid tonsura lectoris ac sacerdotis?

Pannus ille involutus quo ad sacram synaxim utendum est significat sudarium Christi, et corona spinea adumbratur tonsura quæ capiti sacerdotis imponitur, a die quo in lectorem est consecratus, et quam semper radere debent omnes sacerdotes, sicut et monachi sacerdotio initiati solent facere; isti autem magis juxta normam rasuræ monarchorum.

QUÆSTIO XXIII.

Quare reversus ab apostasia tantum sacro unguento ungatur, non iterum baptizetur.

Eum qui ab apostasia se converterit myro ungimus, sed non rebaptizamus, quia baptismate efficitur ut quis sit in Christo: unguentum vero exprimit vitam in Christo, et Spiritum Christi, et sanctitatem per Christum, et sigillum amoris Christi, sicut et angelis intelligentibus ex principio datum est esse et manere immortales. Quidam autem ceciderunt ex ipsis, et sunt quidem quasi viventes in natura sua incorporali, sed non vivunt secundum Deum, et non sunt jam immaculati, et non habent sigillum Dei in semetipsis, neque similitudinem divinam, neque gratiam, sed sunt infensi Deo, et tenebrosum quoddam spolium, et alieni a Deo. Ita et homines per baptisma gratiam acceperunt resurrectionis et incorruptibilitatis Christi; Christum ipsum induerunt in baptismate; consecrationem ejus et sancti sigillum Spiritus

Myro acceperunt. Si igitur ex ipsis quidam fidem negaverint, habent quidem servare aliquam scintillam vitæ inamissibilem, et aliquando resurgent, et essent immortales; sed non habebunt sanctitatem et gratiam Spiritus sancti; et cum dæmonibus punientur. Sicut enim una est generatio hominis secundum carnem, ita una quoque secundum Spiritum datur. Impii enim accedentes ad fidem et baptisma suscipientes, sicut omnium peccatorum lotionem habent dono Dei ex sacro fonte, si digne contendant, etiam in sacerdotium introducuntur. Qui vero labuntur post baptisma, cum illud unum sit, et una per gratiam remissio, et pœnitentiam agant, recipiuntur quidem, sed sacerdotium exercere, aut ideo accipere non possunt. Propterea qui fidem negavit cum sit recipiendus, quia datur hominibus hic dignam agere pœnitentiam secundum carnis fragilitatem et infirmitatem, hunc pœnitentem Deo reconciliamus per preces sacras, et ut reviviscat Dei sigillum et consecratio, illum myro divino renovamus et totum sanctitati devovemus. Et hoc David in peccato lapsus enixe et humiliter postulavit dicens: « Et spiritum rectum innova in visceribus meis [13]. » Baptismum ergo non iteramus, quia unum est, et una per gratiam remissio: et hæc per lacrymas pœnitentiæ.

A Οὐ μὴν δὲ τὴν ἁγιωσύνην οὐδὲ τὴν χάριν τοῦ Πνεύματος ἕξουσιν, ἀλλὰ μετὰ τῶν ἀποστατῶν δαιμόνων κατακριθήσονται. Ὅτι ὥσπερ μία τῆς σαρκὸς, οὕτω καὶ μία γέννησις ἐν Πνεύματι δίδοται. Διὸ οἱ ταύτην μολύναντες, οὐδὲ εἰς ἱερωσύνην ἐπανελθόντες προσάγονται. Ἀσεβεῖς δὲ προσελθόντες τῇ πίστει, καὶ τὸ βάπτισμα λαβόντες, ὡς πάντων ἁμαρτημάτων ἀπαλλαγέντες δωρεὰν τῷ θείῳ λουτρῷ, εἰ ἁρμόδιοι φανεῖεν, καὶ εἰς ἱερωσύνην ἔρχονται. Οἱ δὲ πεσόντες μετὰ τὸ βάπτισμα, ἐπεὶ ἓν τοῦτο, καὶ μία ἡ κατὰ χάριν ἄφεσις, μετανοοῦντες, δέχονται μὲν, ἱερωσύνην δὲ ἐνεργεῖν, ἢ λαβεῖν οὐ δύνανται. Διὰ τοῦτο ὁ ἀρνησάμενος δεκτέος μὲν, ὅτι δίδοται τοῖς ἀνθρώποις ἐνταῦθα μετάνοια, διὰ τὸ τῆς σαρκὸς εὐόλισθόν τε καὶ ἀσθενές. Καὶ διὰ τῶν ἱερατικῶν εὐχῶν καταλ-B λάσσομεν τοῦτον τῇ μετανοίᾳ τῷ Θεῷ, καὶ ἣν ἠχρείωσε θείαν σφραγῖδα καὶ τὸν ἁγιασμὸν, τῷ θείῳ μύρῳ πάλιν ἀνανεοῦμεν, καὶ ἐν αὐτῷ ἐγκαινίζομεν. Καὶ ὁ Δαβὶδ τοῦτο ἁμαρτήσας ᾐτεῖτο, καὶ ἔλαβε μετανοίᾳ, καὶ Πνεῦμα εὐθὲς, λέγων, « Ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, » Βάπτισμα δὲ οὐκ ἐπιφέρομεν πάλιν, ὅτι ἓν καὶ μία ἡ κατὰ χάριν ἄφεσις, ἡ δὲ τῆς μετανοίας διὰ δακρύων.

QUÆSTIO XXIV.

Num quæ quis jam est confessus, eadem iterum confiteri aliis debeat?

Si quis peccata confessus fuerit uni e Patribus spiritualibus, sacros exsequens canones, et rite ad opera pœnitentiæ se disposuerit, minime debet eadem iterum confiteri aliis; nam bis urgere regulam, priorem irritam facit. Si vero forte in eadem peccata relapsus sit, ut perfecte confiteatur, et velit declarare quasi radices et causas recentium peccatorum et posterioris lapsus, priora aperit peccata ad augendum humilitatem, contritionem cordis et contemptum sui, quibus magis proficit humilitas.

ΕΡΩΤΗΣΙΣ ΚΔ'.

Ἅπερ τις ἐξωμολογήσατο, ὀφείλει πάλιν ἐξομολογεῖσθαι;

Ἅπερ ἐξωμολογήσατό τις Πατράσι πνευματικοῖς, καὶ κανόνα ἐδέξατο, καὶ ᾠκονομήθη κανονικῶς τοῖς ἔργοις τῆς μετανοίας, οὐκ ὀφείλει πάλιν ἐξομολο-C γεῖσθαι ἄνωθεν ἑτέροις, καὶ κανόνα ἐπιζητεῖν, ἀθετεῖ γὰρ τὸν πρῶτον, εἰ μή που τοῖς αὐτοῖς περιπέπτωκεν ἁμαρτήμασι, καὶ καθαρῶς ἐξομολογούμενος, ὡς ῥίζας τινὰς καὶ αἰτίας τῆς ἁμαρτίας τῆς δευτέρας, καὶ τὰ πρότερον ἐξαγορεύει διὰ ταπείνωσιν ἁμαρτήματα, ἢ καὶ ἁπλῶς διὰ συντριβὴν καρδίας καὶ ἐξουδένωσιν, ὡς ἄν τι πλέον κερδάνῃ τῇ ταπεινώσει.

QUÆSTIO XXV.

An fas sit sanctæ Quadragesimæ tempore baptizare vel celebrare nuptias?

Etiam in sacra et maxima Quadragesima necesse est baptizare omnes qui accedunt, in quo nullum esse potest impedimentum, neque tempus, neque dies, neque quodvis aliud; est enim hoc donum ad salutem. Sed et si quis fidelium voluerit suscipere professionem monasticam induere vestem monasticam, optime conveniens est tempus pœnitentiæ. Similiter nihil impedit quin tum aliquis ad sacerdotium evehatur. Diaconi ordinatio fiet iis sacrificio præsanctificatorum, presbyteri autem in missa completa, quia presbyter est minister initiatus ad omnia, diaconus vero ad quædam officia sacra, ut et subdiaconus. Nuptias vero non oportet facere omnino, quia opus carnale illud est, quod proficit ad gaudium et utilitatem carnis, nec potest aliquis quæ carnis sunt curare et pœnitentiæ vacare, aut

ΕΡΩΤΗΣΙΣ ΚΕ'.

Εἰ χρὴ βαπτίζειν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, ἢ γάμον ποιεῖν;

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ βαπτίζειν ἅπαντα προσερχόμενον ἀναγκαῖον. Καὶ οὐδὲν πρὸς τοῦτο κώλυμα, οὐ καιρὸς, οὐχ ἡμέρα, οὐδὲν τῶν ὅλων, ἐπεὶ τῶν πρὸς σωτηρίαν τοῦτο τὸ δώρημα. D Καὶ μοναχικὸν δὲ σχῆμα περιβάλλεσθαι τινὰ τῶν βουλομένων πιστῶν, οὗτος μᾶλλον ὁ καιρὸς τῆς μετανοίας ἐφαρμόσει. Καὶ ἱερωσύνην δὲ λαβεῖν τινα τῶν ἀξίων, οὐδὲν τὸ κωλύον. Καὶ διακόνου μὲν χειροτονίαν ἐν τῇ τῶν προηγιασμένων ἱερουργίᾳ, πρεσβυτέρου δὲ ἐν τελείᾳ λειτουργίᾳ, ὅτι τελεστικὸς μὲν ὁ πρεσβύτερος, διάκονος δὲ **341** λειτουργικὸς, ἤτοι ὑπηρέτης. Γάμον δὲ οὐ χρὴ ποιεῖν ὅλως, ὅτι σαρκὸς τοῦτο τὸ ἔργον, καὶ σαρκικῆς εὐφροσύνης πρόξενον, καὶ οὐ δύναταί τις τὰ τῆς σαρκὸς μεριμνᾶν, καὶ μετανοεῖν, οὐδὲ κοσμικοὺς ἔχειν λογισμοὺς, καὶ πενθεῖν ὑπὲρ τῆς ψυχῆς. Διὸ οὐδὲ συνάλλαγμα γάμου

[13] Psal. L, 12.

ποιεῖν χρή, εἰ μὴ κατ' ἀνάγκην τινά, καὶ ἅπαξ, καὶ τοῦτο γενέσθαι ἐν τῇ τοῦ Εὐαγγελισμοῦ ἡμέρᾳ, εἰ ἔξω τῆς μεγάλης Ἑβδομάδος εὑρεθῇ, καὶ τῇ κυριακῇ τῶν Βαΐων;

ΕΡΩΤΗΣΙΣ ΚϚ'.

Ὁ Κύριος πῶς ἐλεύσεται ἐν τῇ δευτέρᾳ παρουσίᾳ, καὶ ποία ἡ τοῦ Θεοῦ βασιλεία καὶ τὸ φῶς τὸ ἀνέσπερον;

Ὁ Κύριος ὡς ἀνελήφθη μετὰ σαρκὸς, οὕτω καὶ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἐλεύσεται. Καὶ τοῦτο οἱ ἄγγελοι ἔφησαν, λέγοντες, « Οὕτως ἐλεύσεται πάλιν ὃν τρόπον ἐθεάσασθε αὐτὸν ἀνερχόμενον εἰς τὸν οὐρανὸν, » βασιλεία δὲ Θεοῦ καὶ ζωὴ αἰώνιος αὐτὸς ἔσται. Οὗτος γὰρ, ὃν Δαβὶδ φησιν Ὁ Κύριος τῆς δόξης· καὶ, « Οὗτος, ὁ ἠγαπημένος φησὶν, Ὁ ἀληθινὸς Θεὸς, καὶ ζωὴ αἰώνιος, » καὶ φῶς οὗτος διαπαντὸς τοῖς δικαίοις ἔξουσιν τὴν δόξαν αὐτοῦ καὶ λαμβάνουσι τὴν λαμπρότητα αὐτοῦ, τὸ ἐξ αὐτοῦ τῆς χάριτος φῶς καὶ οὐ τὴν οὐσίαν αὐτοῦ, ἀμέθεκτος γὰρ αὕτη καὶ τοῖς ἀγγέλοις ἀπερινόητος. Διὸ καὶ Θεὸς ἔσται ἐν μέσῳ θεῶν, τῶν ὑπ' αὐτοῦ θεουμένων τῇ χάριτι, καὶ φῶς τῶν φωτιζομένων. Ὅτι οὗτος « τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον « εἰς τὸν κόσμον. » Καὶ ἐν τῇ Ἀποκαλύψει δὲ « Τὸ ἀρνίον ἔσται, φησὶν, ἥλιος τοῖς δικαίοις. » Βασιλεία μὲν οὖν καὶ ἀπόλαυσις αὐτὸς, ὡς τὴν δόξαν αὐτοῦ διδούς. Ἀλλὰ καὶ ὡς νικητὴς καταβαλὼν τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τελευταῖον τὸν θάνατον, καὶ μένων ἀεὶ μετὰ τῶν δούλων αὐτοῦ.

ΕΡΩΤΗΣΙΣ ΚΖ'.

Ἆρα καὶ ὁ παράδεισος ἀλλοιωθήσεται καὶ πᾶσα κτίσις; καὶ πῶς ἀλλοιωθήσονται;

Εἰς τὸ κρεῖττον καὶ τὴν ἀφθαρσίαν, καὶ ὁ ἐπὶ γῆς παράδεισος καὶ πᾶσα κτίσις ἀλλοιωθήσεται. Καὶ ὁ Πέτρος τοῦτό φησιν, ὅτι ἔσται πάντα καινά. Καὶ ὁ Παῦλος, Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. Κτίσις δὲ καὶ ὁ παράδεισος, καὶ οὗτος χωρίον μᾶλλον τῶν τέκνων τοῦ Θεοῦ, εἰ καὶ πολλὰς μονὰς διὰ τοῦ Μονογενοῦς σαρκωθέντος ἔχουσιν ἐν τῇ οἰκίᾳ τοῦ Πατρὸς, ἤτοι τῇ καινῇ κτίσει, ὡς καινὰ γεγονότες κτίσματα, εἰς ἀφθαρσίαν ἐλθόντες. Πῶς δὲ ἡ ἀλλοίωσις γενήσεται, οἶδεν ὁ ἐκ μὴ ὄντων ποιήσας. Ἔσται δὲ ἐν ἁγίῳ Πνεύματι. Ἐξαποστελεῖς γὰρ, φησὶ, τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Καὶ ὡς ὁ Θεὸς ἐδημιούργησε ταῦτα καί εἰσι καὶ εἰς τὸ κρεῖττον ἀλλοιωθήσονται δι' αὐτοῦ. Καὶ ὡς σεσάρκωται δι' ἡμᾶς ὁ Λόγος, καὶ ὤφθη ἡμῖν, καὶ φθαρτοῖς ἔτι οὖσι, καὶ ἀφθάρτοις γεγονόσι, πολλῷ μᾶλλον ἐλέει ὀφθήσεται. Καὶ μᾶλλον διὰ τῆς ἡμῶν ἀπαρχῆς οὗ προσείληφε σώματος Θεοϋποστάτου μετὰ ψυχῆς. Διὰ τούτου οὖν μᾶλλον ἡμῖν καὶ διὰ τῆς ψυχῆς τοῖς ἁγίοις ἀγγέλοις κατὰ φύσιν ὀφθήσεται. Καὶ διὰ τοῦτο μᾶλλον σεσάρκωται, ἵν' οἰκειοτέρως ἴδωμεν αὐτὸν, καὶ τούτου μετάσχωμεν, εἰ

A mundanas habere sollicitudines, et flere propter animam. Itaque non oportet fieri in sacra Quadragesima nuptiales contractus nisi propter quamdam necessitatem et semel : et hoc fiat in die festo, nunquam tamen in majori Hebdomada et in Dominica Palmarum?

QUÆSTIO XXVI.

Quomodo Dominus venturus sit in secundo adventu suo, et qualè Dei regnum, et lumen expers vesperæ?

Ut ascendit in carne, ita secundo Dominus cum carne descendet secundum quod locuti sunt angeli, dicentes : » Veniet iterum, quemadmodum vidistis eum ascendentem in cœlum [14]. Regnum Dei et vita æterna ille erit, quem David vocat Dominum gloriæ B et de quo discipulus dilectus ait : « Hic est verus Deus et vita æterna [15]. » Et ipse Lux erit in cæterum, iis qui cum justitia gloriam ejus adepti fuerint, et in splendorem ejus ingressi fuerint ; ea quidem lux est gratiæ ejus non vero substantiæ, quæ est incommunicabilis et angelis etiam inscrutabilis; itaque Deus erit in medio deorum, eorum scilicet quos deificaverit ipse per gratiam, et lux eorum quos illuminaverit. Quia ipse est : « lux vera quæ illuminat « omnem hominem venientem in mundum [16]. » Et dicitur in Apocalypsi : « Agnus erit sol justorum [17]. » Ipse est ergo regnum et gaudium beatorum, quia illis suam gloriam infundit. Eritque ut victor qui stratis inimicis et devicta morte, ma- C net in æternum cum discipulis suis dilectis.

QUÆSTIO XXVII.

Nunquid et Paradisus et omnis creatura die extremo immutanda sit, et quomodo?

Paradisus qui est in terra et omnis creatura in melius mutabitur et in incorruptionem. Petrus enim dicit, omnia futura esse nova [18]. Et Paulus : « Quia et ipsa creatura liberabitur a servitute corruptionis [19] » : creatura autem et paradisus : Ille autem potius est habitatio filiorum Dei, qui per Unigenitum incarnatum multas in domo Patris mansiones habent [20] id est nova creatione ; quasi novæ facti creaturæ, incorruptionem induunt. Quomodo autem hæc fiat mutatio, novit qui omnia e D nihilo fecit. Erit enim in sancto Spiritu. Nam dicitur : « Emittes Spiritum tuum et creabuntur, et renovabis faciem terræ [21]. Et sicut Deus operatus est omnia quæ sunt, ita ab ipso in melius mutabuntur. Et sicut propter nos caro factum Verbum nobis adhuc in corruptione se videndum præbuit, multo magis eliget videri a nobis cum incorrupti facti fuerimus : non enim nisi pro nobis initio assumpsit corpus hypostatice unitum Deo cum anima. Per illud ergo potius nobis et per animam sanctis angelis, cuique secundum propriam naturam videbitur Nam propterea carnem assumpsit ut familiarius eum videremus, et ipsum participa-

[14] Act. I, 12. [15] I Joan. v, 20. [16] Joan. I, 9. [17] Apoc. xxi, 23. [18] II Petr. III, 13. [19] Rom. VIII, 21. [20] Joan. xiv, 2. [21] Psal. CIII, 30.

temus quamvis super nos sit divinitate. Sed ejus gratiæ solummodo participes sumus, non substantiæ.

QUÆSTIO XXVIII.

An finis futurus sit sub exitum septem æonum, an octavo ævo, vel quando is sit futurus?

De septem ætatibus mundi multi loquuntur. Sed sanctus Paulus non dicit septem fore ætates, sed Dominum esse prope. Et Petrus atque David dicunt mille annos coram Domino esse sicut diem unum; et quia veniet et non tardabit. Dominus autem dicit finem esse venturum, cum refrigescet charitas quæ est plenitudo Legis et Evangelii, et veniet finis. Sed quamvis placuerit quibusdam opinari tempora ante finem septem ætatum circulo complenda esse ad normam hebdomadæ quæ septem dierum circuio completur, non tamen oportet hæc existimare facienda solo ordine naturali; Creator enim omnia mutabit, prout opportune voluerit, et quando voluerit. Cum autem consummata fuerit iniquitas, et obliterata virtus, ut jam nunc videtur: cum refrignerint in fide credentes: cum jam non invenietur charitas, credendum erit adesse finem; solum enim opus Dei charitas: Deus enim est charitas, et per charitatem ille fuit inter homines: finis ergo erit, cum charitas Dei non poterit in creaturis compleri. Et jam nunc est videre quasi desertam charitatem, et cum illa omnem fere virtutem: omnes enim eam simul dereliquimus, sacerdotes et monachi, ministri et laici; et ab officio deterremur: oportet ergo credere jam adesse finem. Idcirco multiplicantur persecutiones: et locum in nobis invenit diabolus, et inter nos multos excitat atheos.

QUÆSTIO XXIX.

Quidam vestimenta sacerdotum quando templum ingrediuntur exosculantur: alii crucem in terra signant; ecquis hujus rei usus?

Qui in ingressu sacerdotis ejus sacra indumenta deosculatur nihil absurdi facit, sed opus fidei exercet, et salvabitur sicut et illi qui fimbriam Jesu tangebant sanabantur: quia salus per ipsum est. Sed facere cruces in terra inconveniens sic enim pedibus conculcatur signum sacrum et divinum. Sit ergo illis qui hoc ignorantes faciunt vetitum ne omnino in posterius faciant.

QUÆSTIO XXX.

Si episcopus iratus castiget aut sacris interdicat, vel sacerdos vel confessorius hoc sustineat facere, num id bonum sit, et quid faciendum si qui castigatur nolit admittere?

Ira moveri archiepiscopum vel sacerdotem, est vere pessimum, maxime cum tunc in aliquem objurgationibus et anathematismis invehuntur, nec justum; et necesse est illud denuo fieri canonice, ne quis alienis peccatis innodetur: illud non est tolerantiæ et correctionis, sed potius ruinæ causa. Nemo tamen debet esse indulgentior quam Patres: nec quisquam in propriis reatibus absolvitur, ex eo quod absurde præsumit sibi veniam condonari,

καὶ ὑπὲρ ἡμᾶς ἐστι τῇ θεότητι, καὶ οὐ τῆς οὐσίας ἡμεῖς, ἀλλὰ τῆς χάριτος μόνης μεθέξομεν.

ΕΡΩΤΗΣΙΣ ΚΗ'.

Εἰς τὸ τέλος τῶν ἑπτὰ αἰώνων γενήσεται τὸ τέλος, ἢ ἐν τῷ ὀγδόῳ αἰῶνι; ἢ πότε ἔσται;

Περὶ τῶν ἑπτὰ αἰώνων λέγεται τοῖς πολλοῖς· ὁ δέ γε θεῖος Παῦλος οὐχ ἑπτά φησιν, ἀλλ' ὅτι ὁ Κύριος ἐγγύς· καὶ ὅτι χίλια ἔτη ἐνώπιον Κυρίου, ὡς ἡμέρα μία, Πέτρος φησὶ μετὰ τοῦ Δαβίδ. Καὶ ὅτι ἥξει, καὶ οὐ χρονιεῖ. Ὡς δὲ ὁ Κύριος, ἐν τῷ ψυγῆναι τὴν ἀγάπην ἥξειν τὸ τέλος φησί. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται **342** ἡ ἀγάπη, οὔσης ἥτις πλήρωμα νόμου καὶ τοῦ Εὐαγγελίου ἐστὶ, τὸ τέλος ἐλεύσεται. Καὶ τοῦτον τὸν ἑβδοματικὸν χρόνον τὸν δι' ἑπτὰ κυκλούμενον ἡμερῶν, εἰ καὶ δι' ἑπτὰ αἰώνων πληροῦσθαι συμβαίνει νομίζειν τινὰς, ἀλλ' οὐ χρὴ προσδοκᾷν τοῦτο φυσικῶς μόνον ὀφείλειν γενέσθαι, ἀλλ' ὅτι ὁ ποιήσας, καὶ μετασκευάσει πρὸς τὸ συμφέρον, ὅτε βούλεται, καὶ ὡς βούλεται. Καὶ ἐν τῷ πληθυνθῆναι τὴν κακίαν καὶ ἐκλιπεῖν τὴν ἀρετὴν, ὡς καὶ νῦν ὁρᾶται· καὶ τοὺς πιστοὺς δὲ ψυχρανθῆναι κατὰ τὴν πίστιν, καὶ τὴν ἀγάπην εὑρίσκεσθαι μηδαμῶς, πιστευτέον ἐλθεῖν τὸ τέλος, ὅτι καὶ μόνον ἔργον ἡ ἀγάπη τοῦ Θεοῦ. Ὁ Θεὸς γὰρ ἀγάπη ἐστὶ, καὶ δι' ἀγάπην αὐτὸς ἐνηνθρώπησε, καὶ ἐν τῷ μηδὲν δι' ἀγάπην Θεοῦ τελεῖσθαι, ἐλθεῖν τὸ τέλος. Καὶ νῦν ἔστιν ἰδεῖν ἐκλείπουσαν ἤδη τὴν ἀγάπην, καὶ σὺν αὐτῇ σχεδὸν πᾶσαν ἀρετὴν, καὶ πάντες ταύτην ὁμοῦ κατελίπομεν, ἱερωμένοι καὶ μοναχοὶ, ἄρχοντες καὶ λαϊκοὶ, καὶ τοῦ καθήκοντος ἐξετράπημεν, καὶ τὸ τέλος ἐλθεῖν ἤδη χρὴ προσδοκᾷν. Διὸ καὶ διωγμοὶ ἐπεκτείνονται, καὶ χώραν εὑρίσκει ὁ πονηρὸς καθ' ἡμῶν, καὶ διεγείρει καθ' ἡμῶν τοὺς ἀθέους.

ΕΡΩΤΗΣΙΣ ΚΘ'.

Τινὲς τὰ τῶν ἱερέων ἄμφια ἐν τῇ εἰσόδῳ ἀσπάζονται· ἄλλοι δὲ καὶ σταυρὸν ἐν τῇ γῇ ποιοῦσι, τί ὠφέλιμον ἄρα τοῦτο;

Ἐν τῇ εἰσόδῳ ὁ τὰ ἱερὰ ἄμφια τοῦ ἱερέως κατασπαζόμενος, οὐδὲν ἀπᾷδον ποιεῖ, μᾶλλον δὲ πίστεως ἔργον ἐνεργεῖ· καὶ σωθήσεται, ὡς καὶ οἱ τοῦ κρασπέδου τοῦ Ἰησοῦ ἁψάμενοι διεσώθησαν, ὅτι καὶ δι' ἐκεῖνον τοῦτο. Τὸ δὲ ποιεῖν σταυρὸν εἰς τὴν γῆν, οὐχ ἁρμόδιον. Καταπατηθήσεται γὰρ τὸ θεῖον ἐκ τούτου σημεῖον. Καὶ τοῖς ἀγνώστως ποιοῦσιν ἔστω παραγγελία τοῦ μὴ ποιεῖν.

ΕΡΩΤΗΣΙΣ Λ.

Θυμούμενος ἀρχιερεὺς, ἐπιτιμᾷ καὶ ἀφορίζει, ἢ ἱερεὺς, ἢ πνευματικὸς, ἆρα ἅπτεται τοῦτο, ἢ ἀγαθόν; καὶ ἐὰν μὴ προσδέχηται ὁ ἐπιτιμήσας, τί ποιητέον;

Τὸ θυμοῦσθαι ἀρχιερέα ἢ ἱερέα καὶ παρὰ λόγον ἐπιτιμᾷν τε καὶ ἀφορίζειν, οὐκ ἀγαθὸν, οὐδὲ δίκαιον. Ἀναγκαῖον δὲ πάλιν κανονικῶς τοῦτο ποιεῖν, ἵνα μή τις ἀλλοτρίοις ἐνέχηται ἁμαρτήμασι. Καὶ οὐδ' ἀνοχῆς τοῦτο, ἀλλ' ἀπωλείας ἔσται παραίτιον, καὶ οὐδὲ φιλανθρωπότερον εἶναι δεῖ τινα τῶν Πατέρων, μηδὲ κρατούμενον οἰκείοις ἐγκλήμασιν, ἐκ τοῦ ἀλόγως συγκαταβαίνειν νομίζειν, καὶ ἑαυτὸν συγχωρεῖν, ἀλλ' ὑπὲρ μὲν τῶν οἰκείων αἰτεῖσθαι συγ-

χώρησιν, δίκαιον δὲ ἐκδικεῖν τε τὰ τοῦ Θεοῦ, πλὴν μετὰ πραότητος. Ἔστι δὲ ὅτε καὶ μετὰ ζήλου, τοῦ καιροῦ καλοῦντος πρὸς τοῦτο, ἕτοιμόν τε τοῖς μετανοοῦσιν εἶναι ἀεὶ, εἴ γε μόνον μετανοοῦσι. Τοῦτο δὲ ἔσται ἐν τῷ ἀποστῆναι τοῦ κακοῦ, καὶ ταπεινωθῆναι τὸν πταίσαντα.

A quia ipse sibi ignoscit; sed etiam propriorum reatuum venia est exposcenda et juste examinanda, et judicanda sunt peccata secundum præcepta Dei, sed cum mansuetudine. Est aliquando zeli opportune vocare reum ad pœnitentiam; sed maxime semper paratum esse ministrum ad recipiendos pœnitentes, modo tamen solum eos pœniteat. Sic arcebitur malum, et humiliati frangentur rei contumaces.

ΕΡΩΤΗΣΙΣ ΛΑ'.

Περὶ ἀφορισθέντος, πῶς ἄρα διατεθήσεται;

Πᾶς δὲ ἀφορισθεὶς, εἴτε ἀλόγως, ὡς τούτῳ δοκεῖ, εἴτε ἐννόμως, μὴ καταφρονείτω ὅλως, μηδὲ κριτὴς αὐτὸς ἑαυτοῦ γινέσθω, μηδ' ἄλλος αὐτὸν ἀπατάτω, ὡς οὐχ ἅπτεται τούτου· προθύμως δὲ τῷ ἐπιτιμήσαντι προσερχέσθω ψυχῆς ταπεινώσει καὶ συντριβῇ. Εἰ δὲ οὐ προσδέχεται ὁ ἐπιτιμήσας, μετὰ τὸ προσελθεῖν πολλάκις, καὶ διά τινων εὐλαβῶν, εἰ μὴ προσδεχθείη, τῷ μείζονι προσιέτω ἀρχιερεῖ, καὶ τότε ζητῶν τὴν συγχώρησιν, οὐ κατὰ τοῦ ἐπιτιμήσαντος δὲ χωρῶν, ἀλλὰ ταπεινῶς καὶ εὐλαβῶς αἰτούμενος τὴν συγχώρησιν, ἵνα γένηται καὶ κατὰ λόγον ἡ λύσις, καὶ μὴ λυπούμενος ὁ ἐπιτιμήσας ἀφεθῇ, μήποτε δικαίως λυπῆται. Ἄλλη γὰρ, φησὶν, ἡ κρίσις τῶν ἀνθρώπων, καὶ ἄλλη ἡ τοῦ Θεοῦ.

QUÆSTIO XXXI.

De excommunicato, quomodo gerere se debeat

Omnis qui anathematis sententiam sustinuerit sive inconsiderate, ut ipsi videtur, sive legitime, non contemnat omnino; neque fiat sui ipsius judex: sed neque alium audiat qui forte in errorem eum inducat, fingens firmum non esse judicium. Adeat B vero sponte et mente humili et dolore contritus eum ex cujus sententia mulctatus est; quod si ab illo non recipiatur, postquam pluries accessit, nec post interventum quorumdam piorum et prudentium, ne forte maneat innodatus et irreconciliatus, sed supremum adeat pontificem, et tunc quærat absolutionem, non quidem contra exprobrantem redarguens, sed humiliter et cum discretione petens, ut absolvi possit secundum regulam, et ne qui reprehendit contristatus non absolvat: nisi forte contristetur. Aliud est enim, ait judicium hominum, aliud Dei judicium.

343 ΕΡΩΤΗΣΙΣ ΛΒ'.

Ὁ ἑαυτὸν ἀφορίσας ἢ ἀναθεματίσας, τί ὀφείλει ποιεῖν;

Ὁμοίως καὶ ὁ ἑαυτὸν ἀφορίσας ἢ ἀναθεματίσας προπετείᾳ ἢ θυμῷ, ἢ ἄρνησιν Θεοῦ ἐξειπὼν, ὀφείλει μετὰ δακρύων καὶ συντριβῆς ἀρχιερεῖ ἐξαιρέτως προσέρχεσθαι, ἢ τούτου μὴ ὄντος ἐγγὺς, πνευματικῷ τινι Πατρὶ, δοκίμῳ, καὶ ἐξαγγέλλειν καὶ δακρύειν, καὶ συγχώρησιν ἐξαιτεῖσθαι καὶ εὐχὴν, καὶ ἔργα μετανοίας ποιεῖσθαι, καὶ μὴ ἁπλῶς πρὸς τὰ τοιαῦτα διακεῖσθαι, ὅτι πολὺ τὸ κατάκριμα.

QUÆSTIO XXXII.

Quid ei faciendum, qui se ipsum sacris prohibuit aut anathemati subjecit?

C Similiter eum qui seipsum separavit aut anathematizavit temere, inconsideranter aut iracunde, vel falso insimulavit negatione Dei, oportet cum lacrymis et contritione ad pontificem accedere singulariter; vel si prope non sit hic, coram uno probatissimo spiritualium Patrum se sistat, et cum lacrymis confiteatur, petens veniam et preces, opera deinde agat pœnitentiæ, vereque sit dispositus in futurum minime amplius ita judicare et condemnare.

ΕΡΩΤΗΣΙΣ ΛΓ'.

Τί ἄρα μεῖζον ἡ ἱερωσύνη, ἢ τὸ σχῆμα τοῦ μοναχοῦ;

Κατὰ μὲν τὴν τάξιν μείζων ἡ ἱερωσύνη τοῦ μοναχικοῦ σχήματος ὑπὲρ λόγον· τὰ γὰρ ἔργα ταύτης, ἔργα Θεοῦ καὶ χωρὶς τῆς ἱερωσύνης οὐ Χριστιανός τις, οὐδὲ ἁγιασμὸν ἔχων, οὐδὲ Θεοῦ κοινωνῶν. Μείζων δὲ πάλιν ἡ μοναχικὴ τάξις τοῦ κατὰ κόσμον ἱερέως, ὥς φησι Διονύσιος, οὐ κατὰ τὴν ἱερωσύνην, ἀλλὰ κατὰ τὸν βίον. Διὸ καὶ ὁ μοναχὸς ἱερεὺς ὢν, ὑπέρτερος τοῦ κατὰ κόσμον ἐστὶ, καὶ μοναχὸς δὲ ἁπλῶς, ὑπέρτερος τοῦ κατὰ κόσμον ἱερέως, οὐ κατὰ τὴν ἱερωσύνην, ὡς ἔφημεν. Αὕτη γὰρ Θεοῦ ἔργον, ἀλλὰ κατὰ τὸν βίον. Τῇ ἱερωσύνῃ δὲ πάντοτε εὐλογεῖ καὶ ἁγιάζει καὶ τὸν ὑψηλότερον τῷ βίῳ μοναχὸν ὁ ἱερεύς. Διὸ καὶ Ἀντώνιος ὑπέκυπτε, καὶ τὴν κεφαλὴν ὑπέκλινεν οὐ μόνον ἐπισκόποις, ἀλλὰ καὶ παντὶ κληρικῷ. Καὶ πᾶς οὖν ἱερεὺς, ὡς τὴν μεγάλην ἔχων ἀξίαν, ἁγίως πολιτευέσθω, καὶ μᾶλλον

QUÆSTIO XXXIII.

Ecquid majus sit, munus sacerdotis aut monachi conditio?

Secundum ordinem et gradum sacerdotium monachi professionem excedit supra id quod dici potest: sacerdotii enim opera sunt opera Dei, et D sine sacerdotio nemo est Christianus, nemo gratiam sanctitatis et consecrationis habens nemo cum Deo communicans. Sed iterum major est professione monachus quam sacerdos: non quidem, ut loquitur Dionysius, secundum sacerdotium, sed secundum vitam. Idcirco monachus sacerdos sacerdoti qui vivit in mundo longe præstat; et etiam simplex monachus huic præstat, non, ut diximus, sacerdotio quod est opus Dei, sed vita: nam sacerdos ratione sacerdotii etiam monachum sibi vita præstantiorem benedicit et consecrat et sanctificat. Unde sanctus Antonius cedebat et capitis inclinatione venerabundus obsequebatur non solum epi-

scopis, sed et cuilibet clerico. Omnis itaque sacerdos cum tanta polleat dignitate, sancte vitam instituat, et cum monachis sanctitate certet, et ipse quasi monachus fieri vita sua pro opportunitate satagat.

A ἀγωνιζέσθω, κατὰ μοναχοὺς ζῆν, ὃ καὶ μοναχὸς γενέσθαι κατὰ καιρὸν σπευδέτω.

QUÆSTIO XXXIV.

Quænam peccata ad mortem sive mortalia?

Peccata ad mortem quidam dicunt esse octo; quia et octo sunt passiones, speciatimque sequentia statuunt: Negationem Dei, homicidium, meretricium, et similia id genus, avaritiam et ejus similia, perjurium, mendacium, superbiam et arrogantiam. Nullum autem horum ad mortem erit illis qui amori Dei et pœnitentiæ legitime sese dederint; et nisi e contra seipsos morti tradant vel desperando, vel cor superbia et arrogantia inflando, vel blasphemando contra Deum.

ΕΡΩΤΗΣΙΣ ΛΔʹ.

Τίνα τὰ πρὸς θάνατον ἁμαρτήματα;

Πρὸς θάνατον ἁμαρτήματα ὀκτώ φασιν εἶναί τινες, ἐπεὶ καὶ ὀκτὼ τὰ πάθη· ἐξαιρέτως δὲ εἶναι ταῦτα, ἄρνησιν Θεοῦ, φόνον, πορνείαν καὶ τὰ σὺν αὐτῇ, φιλαργυρίαν καὶ τὰ αὐτῆς, ἐπιορκίαν, ψεῦδος, ὑπερηφανίαν, καὶ οἴησιν. Οὐδὲν δὲ τούτων πρὸς θάνατον φιλανθρωπίᾳ Θεοῦ τοῖς μετανοοῦσι γνησίως, εἰ μὴ τὸ ἑαυτὸν θανατῶσαι, καὶ τὸ ἀπογνῶναι ἑαυ-B τοῦ, καὶ τὸ ὑπερηφανίᾳ καὶ οἰήσει ἐκστῆναι τοῦ νοῦ, καὶ κατὰ Θεοῦ βλασφημεῖν.

QUÆSTIO XXXV.

Cum principes sacerdotum sint perinde patriarcha, metropolita et episcopus, quænam inter illos differentia, et quomodo alius alio sit superior?

Gratia et potestate pontificia nulla interest differentia inter patriarcham et metropolitam, inter metropolitam et episcopum. Eadem enim quisque horum agit et potest. Sed quoad ordinem sedis et auctoritatem et rationem subjectionis et curam eorum qui ipsi committuntur regendi patriarcha Pater est omnium et caput, metropolitas et archiepiscopos ordinans, et judicans una cum sancta synodo, ipsi omnium commissorum cura est habenda. Deinde metropolita pater est quoque et caput suorum episcoporum et clericorum quos omnes ordinat, et totius suæ provinciæ et Dominus et Dispensator, quam cum omni sapientia regere debet. Episcopus denique et Pater et caput est clericorum et laicorum in regione ipsi commissa degentium. Igitur secundum normam desuper e cœlo constitutam et divinam obedientiam episcopus est inferior archiepiscopo suo, et ipsi subordinatur, et ab ipso judicatur sicut et episcopo subjiciuntur ejus clerici et laici. Metropolita vero patriarchæ subest et synodo sed non subjicitur episcopis suæ provinciæ. Sed patriarcha estne sub majori synodo? Certe quidem, hæc omnia sunt optime statuta ordinatione admirabili et cœlesti constitutione. Unusquisque igitur pulchre constituitur sub regimine eorum a quibus accipit ordinationem. Ea solummodo quæ ad fidem spectant, ut sunt omnibus fidelibus communia, ab omnibus et patriarchis, et archiepiscopis et episcopis communiter approbantur et statuuntur, decreto quod ex sacris Scripturis desumitur, et sic convenienter determinantur. Quisque igitur maneat in suo ordine sicut et in futuro erit, testante Paulo, apostolo sanctissimo.

ΕΡΩΤΗΣΙΣ ΛΕʹ.

Εἰ ἀρχιερεὺς ὁμοίως πατριάρχης μητροπολίτης τε καὶ ἐπίσκοπος, πῶς διαφορὰ ἐν αὐτοῖς; καὶ πῶς ὑπερέχει εἷς τοῦ ἑτέρου;

Ὁ πατριάρχης μητροπολίτου, ἢ μητροπολίτης ἐπισκόπου, κατὰ χάριν καὶ ἐνέργειαν τῆς ἀρχιερωσύνης οὐδεμίαν ἔχει διαφοράν. Τὰ αὐτὰ γὰρ ἐνεργεῖ καὶ δύναται ἕκαστος. Κατὰ δὲ τὴν τάξιν τοῦ θρόνου καὶ τὴν ἀρχὴν καὶ τὸν τῆς ὑποταγῆς λόγον, καὶ τὴν εἰς τοὺς ὑφ' αὐτὸν τελοῦντας πρόνοιαν, ὁ μὲν πατριάρχης Πατήρ ἐστι πάντων καὶ κεφαλή, τούς τε C μητροπολίτας καὶ ἀρχιεπισκόπους χειροτονῶν καὶ ἀνακρίνων σὺν τῇ ἱερᾷ συνόδῳ, καὶ πάντων φροντίζειν ὀφείλων τῶν ὑπ' αὐτόν. Ὁ δέ γε μητροπολίτης Πατήρ ἐστι πάλιν καὶ κεφαλὴ τῶν ἐπισκόπων αὐτοῦ καὶ τῶν κληρικῶν, ἅπαντας χειροτονῶν, καὶ πάσης τῆς ἑαυτοῦ ἐπαρχίας ἄρχων τε καὶ διοικητής, ταύτην καλῶς ὀφείλων οἰκονομεῖν. Ὁ δέ γε ἐπίσκοπος, Πατήρ τε καὶ κεφαλὴ τῶν κληρικῶν τε καὶ λαϊκῶν τῶν ὑπὸ τὴν ἐνορίαν αὐτοῦ. Καὶ ἐπίσκοπος μὲν κατὰ τὴν ἄνωθεν οὐράνιον τάξιν τε καὶ ὑπακοήν, ὑπόκειται τῷ ἀρχιεπισκόπῳ αὐτοῦ, καὶ ὑποτάσσεται αὐτῷ, καὶ κρίνεται ὑπ' αὐτοῦ, ὡς καὶ ὑπὸ τοῦ ἐπισκόπου οἱ κληρικοὶ αὐτοῦ τε καὶ λαϊκοί. Ὁ μητροπολίτης δὲ ὑπὸ τοῦ πατριάρχου καὶ τῆς συνόδου, οὐ μὴν ὑπὸ τῶν ἐπισκόπων αὐτοῦ. Ὁ πατριάρχης δὲ ὑπὸ τῆς D μεγάλης συνόδου; Καὶ ὄντως ταῦτα κατὰ θείαν εἰσὶν εὐταξίαν τε καὶ κατάστασιν τὴν οὐράνιον. Ἕκαστος γὰρ ὑφ' ὧν **344** χειροτονεῖται, διευθετεῖται. Τὰ τῆς πίστεως δὲ μόνα ὡς κοινὰ πᾶσι πιστοῖς, παρὰ πάντων πατριαρχῶν τε καὶ ἀρχιεπισκόπων καὶ ἐπισκόπων κοινῶς δοκιμάζεται, καὶ τὴν ἀπόφασιν ἐκ τῶν θείων Γραφῶν δέχεται, καὶ προσηκόντως ὁρίζεται. Ἕκαστος οὖν μενέτω ἐν τῷ οἰκείῳ τάγματι, ὡς καὶ ἐν τῷ μέλλοντι ἔσται, καθὰ Παῦλος μαρτυρεῖ ὁ θειότατος.

QUÆSTIO XXXVI.

Num bonum ac probandum sit quod episcopi facultatem dant monachis confessiones peccatorum audiendi, atque hi licet sacerdotes non sint, promiscue benedicunt et remittunt peccata?

Ego quoque audivi, qui fieret ut monachis

ΕΡΩΤΗΣΙΣ ΛϚʹ.

Ἀρχιερεῖς ἄδειαν δίδουσι μοναχοῖς λογισμοὺς δέχεσθαι· οἳ καὶ χωρὶς ἱερωσύνης εὐλογοῦσι καὶ συγχωροῦσιν ἀδιαφόρως. Ἆρα τοῦτο ἀγαθόν;

Ἤκουσται κἀμοί, ὡς μοναχοῖς ἰδιώταις δίδοται

παρ' ἀρχιερέων τὸ λογισμοὺς δέχεσθαι, Ἐγὼ δὲ καὶ πρὶν ἔφην, καὶ νῦν λέγω γνώμην ἐμήν, καὶ θαῤῥῶ τῶν Πατέρων εἶναι· ὡς τῆς ἱερωσύνης τοῦτο ἔργον ἐστὶ, καὶ παρ' ἀρχιερέων καὶ ἱερέων χρὴ τοῦτο διενεργεῖσθαι. Οὐδαμῶς δὲ τοῦτο παρ' ἰδιωτῶν, εἰ μή που ἀνάγκη τις μὴ ὄντος ἱερέως βιάσηται ἐνεργῆσαι καὶ μοναχὸν ἐνδόσει ἀρχιερέως, εὐλαβῆ ὄντα, καὶ νόμους εἰδότα Θεοῦ, τοὺς ἱερούς φημι κανόνας. Πλὴν ὥστε μόνον δέξασθαι λογισμοὺς, ἵνα ἀναγγείλῃ τῷ ἐπισκόπῳ, ἢ ἵνα διακρίνῃ τῶν ψυχωφελῶν τι τῷ ζητοῦντι, οὐ μὴν ὥστε συγχωρῆσαι καὶ λῦσαι. Εἰ δ' οὖν, οὗτος ἔσται καὶ ἱερουργῶν ἱερωσύνης χωρὶς, καὶ βαπτίζων, καὶ εὐλογῶν, καὶ τὰ λοιπὰ ποιῶν, ὅπερ τῆς Ἐκκλησίας ἀλλότριον.

idiotis a pontificibus concederetur audire rationes animarum, Ego enim antea dixi et nunc dico quid sentiam, et confido quod idem sentiant Patres. Hoc totum opus est sacerdotii proprium quod a pontificibus aut sacerdotibus oportet exerceri, non autem ab idiotis. Si unquam aliqua necessitas, deficiente sacerdote, cogat monachum ad id exercendum, sit discretus, et prudens, et probe gnarus legum Dei, sanctorum dico canonum. Sed ita tales rationes sibi meminerit commissas ut illas deinceps ipse credat episcopo, vel ut quamdam animæ profutura interroganti præstet discrete referre, minime vero ut condonet et absolvat. Sin aliter, ille sacerdotis munus exercebit, sacerdotalis potestatis expers, baptizans, benedicens, et cætera agens: quod est usibus Ecclesiæ omnino extraneum.

ΕΡΩΤΗΣΙΣ ΛΖ'.

Τίς ἡ διαφορὰ ἐπισκόπου ἢ ἱερέως; καὶ διατί οὐ χειροτονεῖ ἱερεὺς, ἐπεὶ λειτουργεῖ καὶ βαπτίζει;

Διάφορά εἰσι τοῦ Πνεύματος τὰ χαρίσματα, καὶ ᾧ μὲν δίδοται τοῦτο, ᾧ δὲ ἐκεῖνο τὸ χάρισμα. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, ὡς γέγραπται. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, καὶ τὰ ἑξῆς. Ὅθεν ὁ μέν ἐστιν ἀναγινώσκων τῷ λαῷ, ὁ δὲ ὑπηρέτης, ὁ δὲ διάκονος, ὃς καὶ λειτουργικὸς παρὰ τῷ θείῳ καλεῖται Διονυσίῳ. Ὁ δὲ ἱερεὺς, ὃς καὶ τελεστικὸς λέγεται, ὡς μέχρι τούτου τὸ τὰς τελετὰς ἐνεργεῖν δυνάμενος, οὐ μεταδιδόναι δὲ χάρισμα. Ὁ δέ ἐστιν ἱεράρχης, ὡς τὰ ἱερὰ καὶ θεῖα πάντα ἐνεργεῖν δυνάμενος, καὶ μεταδοτικὸς τούτων ὤν. Διὸ καὶ φωτιστικὸς ὀνομάζεται, ὡς ἐν ἑαυτῷ τὴν πηγὴν ἔχων τῶν φωτισμάτων τὴν τελειοτάτην χάριν, ὡς καὶ ὁ Σωτὴρ τοῦτο περί τε ἑαυτοῦ ἔφη καὶ περὶ τῶν αὐτοῦ μαθητῶν. Αὐτὸς μὲν καὶ σωματικῶς τὸ πλήρωμα ἅπαν τῆς θεότητος ἔχων, οἱ μαθηταὶ δὲ κατὰ μετοχὴν αὐτοῦ τὰ χαρίσματα. Διὸ καὶ Ἐγώ εἰμι, φησὶ, τὸ φῶς τοῦ κόσμου. Καὶ τοῖς μαθηταῖς δὲ, « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Δι' αὐτῶν τοίνυν καὶ τῶν διαδόχων αὐτῶν τῶν ἀρχιερέων, ἡ χάρις ὡς φῶς τοῖς πᾶσι μετοχετεύεται. Οἱ δὲ ἱερεῖς ταύτην τὴν χάριν οὐκ ἔχουσιν, ἀλλὰ μόνον ἱερουργεῖν ἰσχύουσι καὶ βαπτίζειν. Καὶ ταῦτα δὲ χωρὶς ἀρχιερατικῆς οὐ ποιοῦσι δυνάμεως μύρου τε καὶ χειροτονίας.

QUÆSTIO XXXVII.

Quænam differentia inter episcopum et sacerdotem? et quare non ordinet sacerdos, etsi sacram Cœnam celebrat ac baptizat?

Varia sunt sancti Spiritus charismata, et illi quidem dedit illud, huic autem hoc charisma dedit... Hæc autem omnia operatur unus atque idem Spiritus, ut scriptum est [22]. « Et quosdam quidem posuit Deus in Ecclesia primum apostolos, secundo prophetas, » et cætera. Unde quidem sunt lector, subdiaconus, diaconus, qui a divino Dionysio vocatur liturgicus administer, et sacerdos, qui et mysteriorum initiatus minister dicitur, quia solus sine diacono operari potest cæremonias mysteriorum, non vero distribuere charismata; est enim hierarcha qui omnia sancta divinaque agere potest, et eadem insuper communicare cæteris: quare insuper vocatur illuminans, utpote in seipso habens doctrinæ et plenissimæ ac perfectissimæ gratiæ fontem, ita ut Salvator quod de seipso dicebat idem de discipulis suis affirmaverit. Quamvis in ipso corporaliter esset plenitudo divinitatis et ejus discipuli communicationem tantum haberent ejusdem per charismatum dona. De seipso dicit: Ego sum lux mundi [23]; discipulis autem suis ait: « Vos estis lux mundi [24]. » Ab eis ergo et a successoribus eorum pontificibus, gratia sicut lux omnibus dispergitur. Sacerdotes autem talem non habent gratiam; sed tantum possunt sacrificium offerre et baptizare; illa autem non possunt agere quæ sunt olei confirmationis et ordinationis per impositionem manuum, quia non fiunt sine pontificia virtute.

ΕΡΩΤΗΣΙΣ ΛΗ'.

Εἰ χρὴ μόνον ἀρχιερέα ἱερουργεῖν;

Τὸ ἱερουργεῖν μόνον ἀρχιερέα τινὰ δίχα πρεσβυτέρου ἢ διακόνου οὐδὲν κωλύει, ἐπεὶ καὶ οὗτος ὁ τελειότατος καὶ τοῖς ἄλλοις παρέχων τὸ ἐνεργεῖν. Διὰ δὲ τὸ εὔτακτόν τε καὶ εὔκοσμον, καὶ τὴν τῆς ἀρχιερωσύνης τιμὴν, χρὴ πλείονας

QUÆSTIO XXXVIII.

Num solum episcopum nullo presbytero vel diacono præsente sacram cœnam fas sit celebrare?

Nihil obstat quin pontifex solus sine presbytero et sine diacono sacrificium offerat; est enim plenissime ad cæremonias aptus cum ipse cæteris det illas exercere. Si vero dignitati et convenientiæ attendatur et honori pontificiæ auctoritati debito.

[22] I Cor. XII, 11, 28. [23] Joan. VIII, 12; IX, 5. [24] Matth. V, 14.

consulatur oportet ut pluribus stipetur presbyteris et diaconibus; qui si deficiant saltem unus præsto sit presbyter et unus diaconus : præsertimque in ordinationibus oportet præsentes esse presbyteros et diaconos qui ordinandos introducant et osculo recipiant qui sunt ejusdem ordinis et sic sanctæ regulæ plene adimpleantur. Videmus tamen persæpe pontificem sancta conficere solum defectu clericorum, in basilicis quas inter vias visitat. Alium quoque tali posse gaudere indulgentia judicabimus, qui inopinate et sine mora ad celebrandum quasi cogitur necessitati ut mysteriorum Christi alicui præstet communionem. Sed quamvis quominus absolute fiat nihil obstat, rectus tamen servandus est ordo, præsertim in ordinationibus et in majoribus Ecclesiis, quando frequens adest populus.

A πρεσβυτέρους ἔχειν καὶ διακόνους. Καὶ τοῦτο μᾶλλον τυποῖ τὸ τὸν Κύριον μετὰ τῶν μαθητῶν εἶναι. Εἰ δέ γε σπάνις κληρικῶν, κἂν εἷς πρεσβύτερος, καὶ εἷς διάκονος ἔστω, καὶ μᾶλλον ἐν ταῖς χειροτονίαις χρὴ πρεσβυτέρους εἶναι καὶ διακόνους, ἵνα καὶ παρ' αὐτῶν προσάγηται ὁ χειροτονούμενος, καὶ ὁ ἀσπασμὸς γένηται μετὰ τῶν ὁμοταγῶν καὶ τὰ τῆς τάξεως ἐκτελῆται. Εἴδομεν δὲ καὶ μόνον ἐν ἀποδημίαις βασιλικαῖς ἀρχιερέα διὰ σπάνιν κληρικῶν πολλάκις ἱερουργήσαντα. Καὶ 345 ἄλλον ἔνδοσιν εἰληφότα, καὶ κελλικῶς κατὰ χρείαν μόνον καὶ κοινωνίαν τῶν μυστηρίων ἱερουργοῦντα. Ἀλλ' εἰ καὶ οὐδὲν τὸ κωλῦον, ὅμως καὶ τὰ τῆς εὐταξίας τηρητέον, καὶ μᾶλλον ἐν χειροτονίαις καὶ καθολικοῖς ναοῖς, καὶ λαοῦ παρόντος ἱκα- B νοῦ.

QUÆSTIO XXXIX.

Quare ut lectores plures simul ordinat episcopus, non etiam plures simul diaconos et presbyteros solent ordinare. Et num deceat extra celebrationem sacræ Cœnæ ordinare sacerdotes?

Plures simul ordinatos lectores et subdiaconos videmus et accepimus, qui et extra chorum et ante suggestum ordinantur : unum vero diaconum, et unum presbyterum, et unum episcopum intus ordinatos ad sacram mensam. Qui hunc ordinem mutaverit ille innovat, et qui innovat non sequitur Ecclesiam. Sed et extra missam nullum oportet ordinari : sic enim accepimus. Et hoc monet divus Dionysius apostolorum decessor, dicens omnes ordinandos et consecrandos esse intra sacrificium, et cum participatione mysteriorum Christi, et prostratos ante altare, et cum manuum impositione, et cum invocatione gratiæ quæ sigillum divinum est, et inter sanctas preces, cum proclamatione et fraterno osculo; et talibus cæremoniis complendæ sunt ordinationes et cæteris similibus quas tradidit. Qui igitur ita non ordinatus fuerit, non secundum traditionem ordinatus est. Et nescio quid futurus sit, cui quomodo sancta exercebit qui non secundum normam fuerit, consecratus. Non licet ergo plures episcopos, vel plures diaconos, vel plures presbyteros ordinari simul in una missa, sed episcopum unum, et presbyterum et diaconum; quemque autem eorum tempore convenienti et præfixo ritibus. Episcopum quidem post sacrum hymnum Trisagium, ut apostolus agnoscatur. Deinde presbyterum postquam in mensa sacra deposita fuerint dona consecranda. Diaconum denique post ultimas preces, ut significetur in ipso esse memoriam rerum omnium sanctarum. Et tunc episcopum in throno esse constituendum, quia in ordinem apostolorum introducitur. Presbyter vero ordinatur post oblata dona sacra, quia eorum minister constituitur. Diaconus demum post ultimas preces, quia ipse est in ultimo ordine, et quia non suscipit potestatem deprecandi, sed ministrandi et exhortandi ad sanctas preces.

ΕΡΩΤΗΣΙΣ ΛΘ'.

Διατί ὡς ἀναγνώστας πλείονας ὁμοῦ χειροτονεῖ ὁ ἐπίσκοπος, μὴ καὶ πλείονας ὁμοῦ χειροτονεῖ διακόνους καὶ πρεσβυτέρους· καὶ εἰ χρὴ χωρὶς λειτουργίας χειροτονεῖν ἱερεῖς;

Ἀναγνώστας μὲν ὁμοῦ πλείονας, καὶ ὑποδιακόνους εἴδομεν χειροτονεῖσθαι, καὶ παρελάβομεν, οἳ καὶ ἔξωθεν χειροθετοῦνται τοῦ βήματος· ἕνα δὲ διάκονον, καὶ ἕνα πρεσβύτερον, καὶ ἕνα ἐπίσκοπον ἐντὸς χειροτονουμένους ἐπὶ τῆς ἱερᾶς τραπέζης. Ὁ δὲ ἀνατρέπων καινοτομεῖ· ὁ δὲ καινοτομῶν οὐ τῇ Ἐκκλησίᾳ ἕπεται. Καὶ χωρὶς δὲ λειτουργίας οὐ χρὴ C χειροτονεῖσθαί τινα· οὕτω γὰρ παρελάβομεν. Καὶ ὁ θεῖος τοῦτο παρακελεύεται Διονύσιος τῶν ἀποστόλων ὁ διάδοχος, πάντας διὰ τῆς ἱερουργίας καὶ κοινωνίας τῶν μυστηρίων τοῦ Χριστοῦ λέγων τελειοῦσθαι, ἐν τῷ ὑποπίπτειν αὐτοὺς τῷ θυσιαστηρίῳ καὶ τῇ χειροθεσίᾳ καὶ σφραγῖδι καὶ ἐπικλήσει τῆς χάριτος, καὶ ταῖς ἱεραῖς εὐχαῖς, τῇ ἀνακηρύξει τε καὶ τῷ ἀσπασμῷ, καὶ ἐν τούτοις καθιεροῦσθαι καὶ τοῖς λοιποῖς οἷς παραδέδωκεν. Ὁ οὖν μὴ οὕτω χειροτονηθεὶς οὐ κατὰ τὴν παράδοσίν ἐστι χειροτονηθείς. Καὶ οὐκ οἶδ' ὅ τι οὗτος μὴ κατὰ τὴν τάξιν τελεσθεὶς ἔσται. Οὐ πολλοὺς οὖν ἐπισκόπους ἅμα ἢ πρεσβυτέρους ἢ διακόνους χειροτονεῖν ἐν μιᾷ λειτουργίᾳ χρὴ, ἀλλ' ἐπίσκοπον ἕνα καὶ πρεσβύτερον καὶ διάκονον. Καὶ τούτων ἕκαστον ἐν τῷ ἁρμοδίῳ και- D ρῷ καὶ τεταγμένῳ. Καὶ τὸν μὲν ἐπίσκοπον μετὰ τὸν Τρισάγιον ὕμνον πρὸ τοῦ τὸν ἀπόστολον ἀναγνωσθῆναι· πρεσβύτερον δὲ μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ θείᾳ τραπέζῃ· διάκονον δὲ μετὰ τὴν τελευταίαν εὐχὴν, πρὸ τοῦ εἰπεῖν, « Πάντων τῶν ἁγίων μνημονεύσαντες. » Καὶ τότε μὲν τὸν ἐπίσκοπον ὡς ἂν ἐνθρονισθείη τῷ θρόνῳ· καὶ ὅτι εἰς τὴν τάξιν τῶν ἀποστόλων ἐλήλυθε· μετὰ τὸ τεθῆναι δὲ τὰ θεῖα δῶρα τὸν πρεσβύτερον, ὅτι τούτων ἱερουργὸς καθίσταται· ἐν τῇ τελευταίᾳ δὲ εὐχῇ τὸν διάκονον, ὅτι τελευταία τάξις οὗτος, καὶ οὐ δύναμιν εἴληφεν εὔχεσθαι, ἀλλ' ὑπηρετεῖν καὶ προσκαλεῖσθαι πρὸς τὰς εὐχάς.

ΕΡΩΤΗΣΙΣ Μ'.

Χρὴ διάκονον κοινωνεῖν τινα εἰς ἀνάγκην, μὴ ὄντος ἱερέως;

Εἰς ἀνάγκην διάκονος, μὴ ὄντος ἱερέως, πρὸς θάνατον ἀφορῶντί τινι μεταδοῦναι τῶν προηγιασμένων λαϊκῷ οὐ κωλυθήσεται, ἀνάγκην μόνον ἰδών. Πλὴν ἐξειπεῖν ὀφείλει τῷ ἱερεῖ εἴτε πρότερον, εἰ δυνατὸν, εἴτε ὕστερον. Καθῃρημένῳ δὲ ἢ ἀνιέρῳ οὐκ ἔξεστι κοινωνεῖν ἑαυτὸν τῶν μυστηρίων, ἀλλὰ προσέρχεσθαι τούτων ἕκαστον ἱερεῖ, καὶ μάλιστα διά τε τὴν ταπείνωσιν καὶ συγχώρησιν.

QUÆSTIO XL.

Num fas sit ex necessitate, ubi nullus præsto est sacerdos, diaconum alicui sacram Cœnam ministrare?

Cum necessitas interfuerit, deficiente sacerdote, et laico in periculo mortis constituto, nihil obstat quin diaconus præsanctificata mysteria participanda præbeat, sed tantum cum necessitatem urgere viderit. Sed oportet confiteri apud sacerdotem sive ante si possibile sit, sive post. Peccatori autem expiato non licet sibi ipsi sumere sancta mysteria, sed unusquisque eorum adire debet sacerdotem, præsertim ut humilis et pœnitens absolvatur.

ΕΡΩΤΗΣΙΣ ΜΑ'.

Ἐμάθομεν καὶ μοναχοὺς ἐν ἐρήμοις μόνους κοινωνεῖν· καὶ εἰ χρὴ τοῦτο ποιεῖν, καὶ πῶς κοινωνεῖν.

Τισὶ δὲ ἐρημίταις οὖσι καὶ μὴ εὑρίσκουσιν ἱερεῖ; παρ' ἀρχιερέως ἐνδέδοται, ὡς ἐμάθομεν, προηγιασμένα ἔχειν ἐν πυξίῳ, καὶ ἐν καιρῷ ἀνάγκης ἐξ αὐτῶν αὐτοὺς κοινωνεῖν μετὰ πολλῆς εὐλαβείας, οὐ καθὼς δὲ οἱ ἱερεῖς, ἀλλ' οὕτω ποιοῦντας, ὡς καὶ ἄλλοθεν ἔγνωμεν, καὶ ἡμεῖς τοῖς ἠρωτηκόσι διεταξάμεθα· ἐν καθαρῷ τινι τόπῳ ἁπλοῦντας ἱερὸν ὕφασμα, ἐπάνω τούτου τιθέναι ἅγιον κάλυμμα· ἐπὶ τοῦ καλύμματος δὲ διὰ τῆς λαβίδος τοῦ παναγίου ἄρτου μερίδα· καὶ οὕτω ψάλλοντας θυμιῶντας καὶ προσκυνοῦντας **346** εὐλαβῶς τρὶς, οὐ τῇ χειρὶ, ἀλλὰ τῷ στόματι τοῦ θείου ἄρτου μετασχεῖν· εἶτα διά τινος ποτηρίου οἴνῳ σὺν ὕδατι ἢ ὕδατι μόνῳ ἀποκλύζειν τὸ στόμα. Εἰ οὖν καὶ ἀποθνήσκων τις εἴη, καὶ μὴ πάρεστιν ἱερεὺς ἢ διάκονος, διὰ τὴν πολλὴν ἀνάγκην, ὡς τῇ ὁσίᾳ Θεοκτίστῃ ὑπηρέτησε ναυτικός. Εἰ ζωοποιὸς ἄρτος ἐστὶ, τινὶ τῶν ἀναγνωστῶν ἢ τῶν εὐλαβεστέρων καὶ καθαρωτέρων πιστῶν τοῦτο ἐνδοθήσεται· καὶ μετὰ φόβου καὶ εὐλαβείας, διὰ τῆς λαβίδος εἰς τὸ ἱερὸν κάλυμμα μέρος ἐμβαλὼν οὕτως τι λεπτότατον τοῦ παναγίου σώματος, προσαγέτω τῷ τοῦ ἀποθνήσκοντος στόματι εἰς ἐφόδιον ζωῆς αἰωνίου. Πλὴν κατὰ πολλὴν, ὡς ἔφημεν, τὴν ἀνάγκην, καὶ μετὰ πλείστης ὅτι τῆς προσοχῆς· καὶ εἴ γε πρὸς θάνατον ὁ ἄνθρωπος ἀφορᾷ, καὶ οὐκ ἔτι ἐστὶν ἐλπίς. Εἶτα ἀπαγγελλέτω τῷ ἱερεῖ ὁ ὑπηρετήσας, καὶ συγχώρησιν ἐξαιτείσθω.

QUÆSTIO XLI.

Accepimus etiam monachos in desertis solos communionem impertire; et num deceat ita agere, et quomodo communicandum sit.

Quibusdam eremitis, quibus non præsto erant sacerdotes, a pontificibus concessum est, ut novimus, præsanctificata mysteria in pyxide asservare, et in casu necessitatis sibimet ipsis ea sumere religiosissime, non quidem more sacerdotum, sed modo peculiari, ut aliunde novimus, et ipsi nos iis qui postulaverunt præscripsimus. In loco mundissimo linteum extendunt sacrum, super quem sanctum deponunt involucrum, et in illo velo partem panis sanctissimi consecrati cum manubrio aliquo vel forcipe: ante illum sic psallentes, et thura cremantes, ter adorent piissime procumbentes et denique mysteria sancta sumant, non manu, sed ore. Deinde e quodam cyatho bibant vinum cum aqua mistum vel aquam meram, abluentes os suum. Si igitur quis fuerit morti proximus, nec præsto sit sacerdos vel diaconus, et habeatur panis sanctus et vivificans, propter imminentem necessitatem conceditur ut ab uno inter lectores, vel inter piissimos et innocentiores fideles, cum multa reverentia et religione, manubrio vel forcipe in sacro linteamine deponatur particula sanctissimi corporis, quæ ori morientis admoveatur, in viaticum vitæ æternæ. Sed, ut diximus, id tantum fiat imminente necessitate vera, cum maxima reverentia et cura et cum homo absque ulla spe propinquat ad mortem. Deinde ille qui ita ministravit confitebitur sacerdoti, et absolutionem postulet.

ΕΡΩΤΗΣΙΣ ΜΒ'.

Ἐὰν θυμῷ τις ἀρνήσηται λόγῳ ἱερεὺς, ἢ ἄλλος πιστὸς, τί ποιητέον; καὶ εἰ χρὴ τὸν ἱερέα ἱερουργεῖν.

Ἄλλως τὰ διὰ τοῦ λόγου καὶ ἄλλως τὰ διὰ τῶν ἔργων ἁμαρτήματα κρίνεται. Διὸ ὁ εἰπὼν θυμῷ λόγῳ μόνῳ ἀσεβῆσαι, ἱερεὺς ὤν, καὶ μὴ ποιήσας, κατακρίνεται μὲν, καὶ τῆς ἱερωσύνης εἴργεται ἐπιπολύ· οὐ μὴν δὲ καθαιρέσει ὑποβάλλεται, διὰ τὸ μὴ τελέσαι τὸ ἔργον· ὅτι καὶ περὶ τοῦ μοναχικοῦ σχήματος γέγραπται ἔν τισι Πατράσιν, ὡς ἐὰν μελετήσῃ τις ῥίψαι τὸ σχῆμα, καὶ μὴ ῥίψας, φθάσῃ ἀποθανὼν, μετὰ μοναχῶν ἔσται· ὡς καὶ ὁ λαϊκὸς λαϊκὸς ἔσται, εἰ μελετήσας μόνον μοναχὸς γενέσθαι

QUÆSTIO XLII.

Si sacerdos aut alius fidelis per iræ æstum verbis Deum abnegaverit, quid faciendum; et an tali sacerdoti sacra facere liceat?

Aliter judicantur verba peccaminosa, aliter facta. Quare si quis arroganter et audacter loquens verbis tantum simulaverit impietatem, non vero fecerit, et fuerit sacerdos, judicabitur quidem et a ministerio sacerdotis plurimum arcebitur, non tamen condemnationi erit obnoxius, quia non opus complevit. De monachorum professione scripserunt Patres, eum qui statum hunc in animo habuerit dimittere, de facto autem minime dimiserit, monachum esse usque ad mortem. Ita et laicus laicus

manet, licet monachus fieri in animo habeat, quandiu factis non tale complet desiderium : in quo enim statu quis esse elegerit, vere est, et inde judicatur.

QUÆSTIO XLIII.

Peccatorum patratorem, si confiteatur, recipiendum esse, et quænam ex hoc utilitas?

Qui peccavit et adhuc peccat, optime faciet pœnitentiam agendo coram Deo et coram Patre spirituali peccata confitens, quod est initium pœnitentiæ. Confitendo enim, cognoscet seipsum et plenam inveniet pœnitentiam; quia primo non desperabit, quia deinde seipsum judicabit, quia iterum admonitiones doctrinæ suscipiet, et denique preces sanctorum habebit ut possit resipiscere. Ita enim proficiet, ut Deus non sinat eum in impœnitentia vivere.

QUÆSTIO XLIV.

Num propter omnia peccata etiam minima homo pœnis fiat obnoxius?

Vere propter omne peccatum homo punietur. Quandoquidem etiam pro verbo otioso ratio reddenda est, ut Veritas ipsa dicit, ipse omnium judex, et pro visione, quæ fuerit passioni obnoxia, etsi cœlum aut terram jure jurando advocaverimus : tum etiamsi quod amplius affirmationi, sic, aut negationi, non, addiderimus. Pœnæ tamen errori ipsi respondebunt, cum multæ punitiones sint, et multæ apud Deum mansiones electis. Pœnitentia ergo et confessione omnia solvuntur peccata. Et quid hoc dono majus? Igitur pœnitentiam agamus, ut salvemur : Pœnitentiam agite, clamant et Baptista et Dominus.

QUÆSTIO XLV.

Num quisquam a peccato immunis moriatur?

Nullus hominum absque peccatis morietur. Etenim statim post baptisma parvulis etiam accidit ut juxta viam eorum a quibus educantur, voluntarie et ignoranter plurima faciant peccata : in peccatis enim concipiuntur et generantur parvuli. Solus Dominus absque peccato incarnatus, conceptus et natus est, et vixit et mortuus est Salvator omnium, et resurrexit in æternum victurus et mansurus absque omni labe peccati.

QUÆSTIO XLVI.

Varias interjecto tempore oblationes qui accepit sacerdos, num ex omnibus offerre debeat?

Cum aliquando plures acceperit oblationes sacerdos, non debet simul ex omnibus his oblationibus offerre : erunt ipsi in cibum utpote ministro divinorum mysteriorum; sed debet pro omnibus offerre Deo partem aliquam pro unoquoque eorum nominatim qui dona obtulerunt. Quare notanda sunt accurate nomina offerentium : et non tunc solummodo cum proferunt dona pro ipsis offerre debet sacerdos, sed et aliis temporibus; nam unusquisque offert quæ donat pro integro sacrificio. Ex una tantum oblatione mundissima consecrare debet

A οὐκ ἔφθασεν· ἐν ᾧ γάρ τις ἔφθασεν εἶναι, καὶ ἔστι, καὶ κρίνεται.

ΕΡΩΤΗΣΙΣ ΜΓʹ.

Ὁ τὴν ἁμαρτίαν ἐργαζόμενος δεκτέος ἐξομολογούμενος; καὶ τί τὸ ἀπὸ τούτου ὄφελος;

Ὁ ἁμαρτάνων καὶ μὴ ἀφιστάμενος καλῶς ποιήσει μετανοῶν τῷ Θεῷ καὶ ἐξομολογούμενος Πατρὶ πνευματικῷ. Ἀρχὴ γὰρ τοῦτο μετανοίας. Καὶ ἐν τῷ ἐξομολογεῖσθαι καὶ καταγινώσκειν ἑαυτοῦ, καὶ εἰς τὸ μετανοῆσαι τελείως ἐλεύσεται· ὅτι τε οὐκ ἀπογινώσκει, καὶ ὅτι ἑαυτὸν κατακρίνει, καὶ ὅτι λόγους διδασκαλίας δέχεται, καὶ ὑπὲρ τοῦ μετανοῆσαι εὐχάς, καὶ οὐδὲ τὸν οὕτως ἔχοντα καταλείψει B Θεὸς μὴ μετανοῆσαι.

ΕΡΩΤΗΣΙΣ ΜΔʹ.

Ἆρα διὰ πᾶσαν ἁμαρτίαν καὶ τὴν ἐλαχίστην κολάζεται ὁ ἄνθρωπος;

Ἀληθῶς διὰ πᾶσαν ἁμαρτίαν κολασθήσεται ἄνθρωπος· ἐπεὶ καὶ περὶ ἀργοῦ λόγου δώσομεν λόγον, ὥς φησιν ἡ ἀλήθεια, αὐτὸς ὁ πάντων κριτής, καὶ χάριν βλέμματος ἐμπαθοῦς, καὶ χάριν τοῦ ὀμόσαι τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ χάριν τοῦ περισσότερον εἰπεῖν τοῦ ναὶ καὶ τοῦ οὔ. Πλὴν καὶ ἀναλόγως τῷ πταίσματι ἔσται ἡ τιμωρία· ὅτι καὶ πολλαὶ κολάσεις· ἐπεὶ καὶ πολλαὶ παρὰ τῷ Θεῷ μοναὶ τελοῦσι τοῖς ἐκλεκτοῖς. Τῇ μετανοίᾳ δὲ πάντα καὶ C ἐξομολογήσει λύεται. Καὶ τί τοῦ δώρου τούτου μεῖζον; Μετανοῶμεν οὖν, ἵνα σωθῶμεν· ἐπεὶ καὶ, Μετανοεῖτε, φησὶν ὁ Βαπτιστὴς καὶ ὁ Κύριος.

ΕΡΩΤΗΣΙΣ ΜΕʹ.

Ἆρα ἀποθνήσκει τις χωρὶς ἁμαρτίας;

Οὐδεὶς τῶν ἀνθρώπων χωρὶς ἔσται θανὼν τῆς ἁμαρτίας. Εὐθὺς γὰρ μετὰ τὸ βάπτισμα καὶ τοῖς νηπίοις αὐτοῖς παρακολουθεῖ διὰ τῶν ἀνατρεφόντων πλεῖστα τὰ πλημμελήματα, καὶ ἑκουσίως καὶ ἀγνοίᾳ· ἐπεὶ δι' αὐτὰ τὰ νήπια γίνεται. Μόνος δὲ ὁ Κύριος σαρκωθεὶς, καὶ ἀναμαρτήτως συνελήφθη, καὶ ἁγίως ἐτέχθη, καὶ ἔζησε καὶ ἀπέθανεν ὑπὲρ ἁπάντων ὁ λυτρωτὴς, καὶ ἀναστὰς ζῇ, καὶ μένει μόνος ὢν ἀναμάρτητος.

D

347 ΕΡΩΤΗΣΙΣ ΜϚʹ.

Ὁ ἱερεὺς πολλάκις κατὰ καιρὸν δεχόμενος προσφορὰς, ὀφείλει προσφέρειν ἐκ πασῶν;

Ὁ ἱερεὺς πολλὰς δεχόμενος προσφορὰς κατὰ καιρὸν, οὐκ ὀφείλει μὲν προσφέρειν ἐκ πασῶν τῶν προσφορῶν· τραφήσεται γὰρ καὶ ἐκ τούτων ὡς ὑπηρέτης τῶν θείων. Ὀφείλει δὲ ὑπὲρ ἁπάντων προσενεγκεῖν ὀνομαστικῶς τῶν προσενεγκόντων ὑπὲρ ἑκάστου τῷ Θεῷ μερίδα. Διὸ καὶ χρὴ σημειοῦσθαι τὰ τῶν προσφερόντων ὀνόματα· καὶ οὐ τότε μόνον προσφέρειν, ἀλλὰ καὶ ἐν ἄλλοις καιροῖς· ἐπειδήπερ ἕκαστος ὑπὲρ τελείας ἃ δέδωκε προσήνεγκε λειτουργίας. Ἐκ μιᾶς μὲν οὖν προσφορᾶς τῆς καθαρωτέρας τὴν ἱερου[illegible] οὐκ ἐν

πολλῶν, εἰ μὴ ἐν ταῖς Κυριακαῖς μόνον τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ τῇ ἁγίᾳ μεγάλῃ Πέμπτῃ.

ΕΡΩΤΗΣΙΣ ΜΖʹ.

Τί εἰσιν αἱ μερίδες, καὶ τί δύνανται προσφερόμεναι· καὶ εἰ χρὴ προσφέρειν ὑπὲρ γυναικῶν συνοικουσῶν αἱρετικοῖς ἢ ἀσεβέσιν.

Ἐκ δὲ τῶν λοιπῶν προσφορῶν τὰς ὑπὲρ τῶν ἁγίων μερίδας, καὶ ὑπὲρ τῶν προσενεγκάντων πιστῶν προσάγειν. Καὶ μὴ ἀμελεῖν τοῦ προσφέρειν μερίδας ὑπέρ τε ἑκάστου τάγματος τῶν ἁγίων, καὶ ὑπὲρ πάντων ὁμοῦ, καὶ ὑπὲρ ἑκάστου τῶν προσφερόντων πιστῶν· εἰ δὲ μὴ, προδήλως μόνον παρανομοῦσί τινες καὶ ἁμαρτάνουσιν. Ὅτι ἀντὶ τῶν προσώπων αἱ μερίδες τῶν προσαγόντων εἰσί· καὶ νοητὴ γίνεται μετὰ Χριστοῦ τούτοις κοινωνία. Διὸ οὔτε τῶν ἁμαρτανόντων φανερῶς καὶ μὴ ἀφισταμένων χρὴ δέχεσθαι τὰς προσφορὰς, οὔτε γυναικῶν, κἂν πισταὶ ἢ ὀρθόδοξοι ὦσι, συνοικοῦσαι ἢ ἀσεβέσιν ἀνδράσιν ἢ αἱρετίζουσι. Κηροὺς δὲ καὶ ἔλαιον προσδέχεσθαι δέον παρ' αὐτῶν εἰς ἐλπίδα σωτηρίας αὐτῶν, καὶ παρακλήσεις ὑπὲρ τούτων καὶ δεήσεις ποιεῖσθαι μὴ ὀκνητέον, καὶ ἐλεημοσύνας αὐτὰς παραγγέλλειν ἐνεργεῖν, οὐ μὴν δὲ προσφέρειν ὑπὲρ αὐτῶν, οὐδὲ κοινωνεῖν αὐτὰς, εἰ μή τί γε ἐν τῷ τέλει εὐχελαίου γινομένου ὑπὲρ αὐτῶν. Ἁγίασμα δὲ καὶ ἀντίδωρον κατὰ καιρὸν λαμβανέτωσαν, ὁμολογοῦσαι πισταὶ εἶναι, δι' ἁγιασμὸν καὶ τὴν ἐλπίδα τῆς σωτηρίας, ἵνα μὴ εἰς τὸ μέγα καὶ πρὸς θάνατον τῆς ἀπογνώσεως ἁμάρτημα διὰ τῆς ἀποστροφῆς ἐκκυλισθῶσιν.

ΕΡΩΤΗΣΙΣ ΜΗʹ.

Ἆρα δυνατὸν ἕνα ἱερέα ποιεῖν εὐχέλαιον;

Οὐ χρὴ ἕνα ἱερέα ποιεῖν εὐχέλαιον, ἐπεὶ, « Προσκαλεσάσθωσαν, φησὶ, τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας » καὶ οὐχ ἕνα πρεσβύτερον· καὶ δεῖ τὴν τάξιν φυλάττεσθαι. Καθὰ οὖν ἐπίσκοπον οὐ χειροτονεῖ εἷς ἐπίσκοπος, οὕτως οὐδ' εὐχέλαιον ποιεῖ εἷς πρεσβύτερος.

ΕΡΩΤΗΣΙΣ ΜΘʹ.

Ἐάν τις καταγνοὺς ἱερέως ἔν τινι, καὶ ἀπιστίαν ἔχῃ ἁγιάζεσθαι παρ' αὐτοῦ, τί ποιήσει;

Εἰ σύνοιδέ τις τινι τῶν ἱερέων ἁμάρτημα, ὁ μὲν μέγας φησὶ Βασίλειος ἀναγγεῖλαι τὸν εἰδότα τῷ ἀρχιερεῖ, ὥστε δηλονότι δι' αὐτοῦ γενέσθαι τὴν ἐξέτασιν· οὐ μὴν δὲ αὐτὸς ὀφείλει ἀργὸν τοῦτον ἔχειν ὁ συνειδὼς πρὸ τῆς Ἐκκλησίας αὐτοῦ. Διὰ τοῦτο ἕως ἂν μὴ αὐτὸς ἀφ' ἑαυτοῦ ὁ ἱερεὺς κωλύηται, οὐ δεῖ τοῦτον ἢ ἐκπομπεύειν ἢ κωλύειν ἢ ἀποστρέφεσθαι. Εἰ δὲ καθ' ἑαυτὸν διακρίνεταί τις, πορευέσθω πρὸς ἕτερον ἱερέα. Οὐκ ἀνάγκη γὰρ χωρὶς πίστεως προσέρχεσθαι. Καὶ εἰ μὲν ἦν ἀφιεὶς τῷ Θεῷ τὰ περὶ τοῦ ἱερέως καὶ τὰ τῆς χάριτος ὡς δι' ὀργάνου δεχόμενος, τέλειον ἂν εἶχε τὸν ἁγιασμὸν, καὶ μισθὸν πλείονα μᾶλλον, ὡς κατὰ πίστιν τῇ χάριτι, καὶ οὐχ

panem sanctum non ex pluribus, nisi forte in Dominicis Quadragesimæ sanctæ et in magna et sancta die quinta majoris hebdomadæ.

QUÆSTIO XLVII.

Quid sint particulæ et quid valeant efficere cum offeruntur. Item num offerre fas sit pro mulieribus quæ hæreticis impiisve cohabitavere.

Ex cæteris oblationibus consecrantur partes pro sanctis, et specialiter pro fidelibus qui obtulerunt eas. Nunquam autem omittendum est offerre partes illas pro unoquoque ordine sanctorum, et pro omnibus cujusque ordinis, et pro singulis fidelibus qui oblationes fecerunt; nisi forte quidam publice contra legem Dei graviter peccaverint. Oblationes enim et præcipue partes quæ consecrantur, loco personarum offerentium ponuntur, et sic fit communio spiritualis cum Christo. Ideo non oportet accipere oblationes peccatorum publicorum qui non resipuerint, nec magis mulierum, licet fidelium et orthodoxarum, quæ sunt matrimonio junctæ impiis manifestis et hæreticis. Illæ autem offerre debent cereos et oleum, in spem salutis, et non prætermittere licet eas consolari et pro eis fusiores emittere preces, et ipsis suadere ut faciant eleemosynas; sed non tamen offerri debet pro illis, neque ipsis permitti communio sancta, nisi forte quod in decessu illæ ungantur oleo supremo benedicto. Munuscula vero sacra mutua vice identidem accipiant, ad confitendum quod fidem servant in testimonium expiationis et spei salutaris, ut non deficientes incidant in maximum et lethale crimen desperationis.

QUÆSTIO XLVIII.

Num ab uno presbytero possit oleum sanctum confici?

Uni sacerdoti non licet oleum sanctum conficere juxta illud: « Inducant presbyteros Ecclesiæ, » non vero unum presbyterum: et oportet ut servetur norma. Sicut ergo unus episcopus alium episcopum non consecrat, ita nec unus presbyter oleum sanctum conficit.

QUÆSTIO XLIX.

Si quis sacerdotem aliqua in re dignum condemnatione existimet, nec credat se posse ab eo sanctificari, quid illi faciendum?

Si quis peccatum in aliquo sacerdote deprehenderit, hunc monet magnus Basilius, ut hoc pontifici detegat, qui postmodum de his diligenter inquiret; non enim oportet talem reum statim Ecclesiæ suæ innotescere. Propterea quandiu sacerdos per seipsum non irretitur, illum non debebit manifestare, et ita forte a pœnitentia cohibere; si vero seipsum dijudicaverit tandem, adeat alium sacerdotem, fide firma aliquis motus, Deusque forsitan ignoscens, gratiam quasi per instrumentum ut par est sacerdoti, donabit, plenam expiationem et mercedem magnam nimis secundum fidem ex gratia non virtute hominis obtinebit, secundum Deum

et in Deo solummodo agens. Absque fide non accedat; scriptum est enim: « Omne quod non est ex fide, peccatum est [85]; » sed si fidem habet, accedat. Sed attendat donec magna mercede fraudetur et sic non condemnabitur. Forte contra illusioni obnoxius judicare alios incipiet maxime sacerdotes insontes et pios, male ab inimico inductus, condemnabit et abominabitur, et ita in salutis periculum incidet.

QUÆSTIO L.

Num sacerdos, qui in peccatum prolapsus est, possit ab episcopo vel synodo iterum ordinari aut quavis ratione ad sacrum munus revocari.

Qui vere deliquit sacerdos et pontifici vel synodo reus innotuit, non potest iterum consecrare neque modo et ritu quocunque rursus ad sacerdotium ordinari. Qui enim post baptisma fornicatus est vel concubinæ adhæsit non potest esse episcopus, nec presbyter, nec diaconus, nec omnino in catalogum sacrum inseri. Ita loquuntur trecenti octodecim Patres Nicænæ synodi.

QUÆSTIO LI.

Quare non data sit dæmonibus pœnitentia sive conversio, sed tantum hominibus?

Angeli qui peccaverunt, id est dæmones, utpote spiritualem habentes naturam, omnem redintegrationis spem amisere. Ratio est quia non ex alterius cujusvis fallacia vel circumventione fraudulenta deliquerunt, neque ignorantia melioris boni, sed sola petulantiori superbia, et idcirco in æternum dejecti sunt et ad infima quæque provoluti; nec unquam concedet Deus, etsi summe benignus, ut pœnitentiam agere possint, et justitiam recuperare, sed hoc erit illis semper et omnino impossibile. Quidam dixerunt dæmones delicto dolere posse, sed ab istis fœde illusi sunt, ita ut vel cum Origene finem pœnæ futuram esse somniarint, vel in Deum triste blasphemaverint. Non erigentur quia consulto perfideque peccaverunt. Neque illis sarcina carnis fuit occasio peccandi et causa dejectionis, sed voluntas præmeditata. Neque ulla necessitate compulsi impegerunt, cum spirituales essent, nulla premebantur penuria. Nos vero egentes et a dæmonibus illusi, et quasi fame laborantes, cibum præ voluptate surripuimus: propter quod et morti destinati sumus et plurimo indigemus auxilio; nam timore mortis multum peccamus, sicut dixit sanctus Paulus: « Et liberabit eos qui timore mortis per totam vitam obnoxii erant servituti; » ex quo infert: « Nusquam enim angelos apprehendit, sed semen Abrahæ apprehendit [86]. » Juste ergo Deus concessit nobis hic pœnitentiam, non vero angelis: illic enim non erit pœnitentia, sed operum remuneratio. Operandi nunc tempus est; in futuro autem mercedem recipiendi.

[85] Rom. xiv, 23. [86] Hebr. ii, 15, 16.

A ἀνθρώπου ἀρετῇ προσερχόμενος καὶ διὰ Θεὸν ποιῶν μόνον. **348** Ἐπεὶ δὲ οὐ πίστει προσέρχεται, « Πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν, » ὡς γέγραπται, ὅπου τὴν πίστιν ἔχει καὶ πορευέσθω. Πλὴν γινωσκέτω, ὡς ἀποτυγχάνει τοῦ μεγάλου μισθοῦ τοῦ μὴ κατακρίνειν. Ἴσως δὲ καὶ πλανώμενος ἔσται. Καὶ εἰ ἄρξεται κρίνειν, καὶ τοῦτα ἱερεῖς, καὶ τοὺς ἀθώους καὶ καθαροὺς ἐπηρείᾳ ἐχθροῦ κατακρινεῖ καὶ βδελύξεται, καὶ οὕτω κινδυνεύσει περὶ τὴν αὐτοῦ σωτηρίαν.

ΕΡΩΤΗΣΙΣ Ν'.

Εἰ δυνατὸν τὸν περιπεπτωκότα ἁμαρτήματι ἱερέα παρ' ἀρχιερέως ἢ συνόδου ἀναχειροτονεῖσθαι, ἢ ἐπαναχαλεῖσθαι τρόπῳ τινί.

B Τὸν περιπεσόντα ἀληθῶς ἱερέα καὶ τῷ ἀρχιερεῖ ἐγνωσμένον ὄντα ἢ τῇ συνόδῳ οὐ δυνατὸν ἢ ἀναχειροτονεῖν ἢ ἐπαναχαλεῖσθαι ὅλως τρόπῳ τινὶ εἰς τὰ τῆς ἱερωσύνης. Ὁ γὰρ μετὰ τὸ βάπτισμα πορνεύσας, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται ἐπίσκοπος εἶναι ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ. Καὶ τοῦτο οἱ τριακόσιοι δεκαοκτὼ τῆς ἐν Νικαίᾳ φασὶ συνόδου.

ΕΡΩΤΗΣΙΣ ΝΑ'.

Διατί τοῖς μὲν δαίμοσιν οὐκ ἐδόθη μετάνοια καὶ ἀνάκλησις, τοῖς ἀνθρώποις δὲ μόνον;

Ἡ νοερὰ φύσις τῶν ἀγγέλων παραπεσοῦσα, τουτέστιν οἱ δαίμονες, οὐκ ἔχει ἀνάκλησιν, ὅτι οὐ κατηνέχθη ἀπάτῃ οὐδὲ πλάνῃ τινὸς ἑτέρου, οὐδ' ἀγνωσίᾳ
C τοῦ κρείττονος, ἀλλ' ἀφ' ἑαυτῶν τῇ οἰήσει μόνῃ. Καὶ πρὸς τοῦτο ἀεὶ κυλίονται καὶ χείρονες ἔτι γίνονται. Καὶ οὐκ ἂν παρῃτεῖτο τοῦτο Θεὸς φιλάγαθος ὤν, εἰ δυνατὸν ἦν αὐτοὺς μετανοῆσαι, καὶ εἰ δίκαιον ἦν. Ἀλλ' οὐ δυνατὸν ὅλως. Καὶ οἱ λέγοντες ὅτι δυνατὸν, ὑπὸ δαιμόνων ἐμπαίζονται, ἵνα ἢ τέλος φρονήσωσιν ὡς Ὠριγένης κολάσεως, ἢ κατὰ Θεοῦ βλασφημήσωσιν. Οὐκ ἐγείρονται οὖν, ὅτι ἐθελοκακοῦντες πεπτώκασι· καὶ ὅτι οὐδὲ παραπέτασμα τῆς σαρκὸς τούτοις ἦν αἴτιον τοῦ κακῶς πεσεῖν καὶ κεῖσθαι, ἀλλὰ προαίρεσις· καὶ ὅτι οὐκ ἀνάγκῃ· ἄϋλοι γὰρ καὶ κατὰ τὴν χρείαν ἀνενδεεῖς. Ἡμεῖς δὲ ἐπιδεεῖς καὶ ἐξηπατημένοι παρ' αὐτῶν τῶν δαιμόνων, καὶ ὡς χρείαν ἔχοντες τρέφεσθαι, τροφῆς ἡδονῇ κλαπέντες. Ἀφ' οὗ δὲ καὶ θνήσκειν
D κατεκρίθημεν, πλείονος χρῄζομεν βοηθείας, ὡς καὶ διὰ τὸν τοῦ θανάτου φόβον πλέον ἁμαρτάνοντες, καθὰ καὶ ὁ θεῖός φησι Παῦλος, « Καὶ ἀπαλλάξει τούτους, λέγων, ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας ». Καὶ ἐπιφέρει, « Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται ». Ὅθεν τὴν μετάνοιαν δικαίως ἡμῖν ἐνταῦθα καὶ οὐ τοῖς ἀγγέλοις ἐδωρήσατο ὁ Θεός. Ἐκεῖσε γὰρ οὐκ ἔσται μετάνοια, ἀλλὰ τῶν ἔργων ἀντίδοσις. Ὅτι ἐργασίας ὁ παρὼν καιρὸς, ὁ δὲ μέλλων ἀνταποδόσεως.

ΕΡΩΤΗΣΙΣ ΝΒ'

A

Τίς ἡ νηστεία τοῦ Κυρίου, καὶ πῶς Τεσσαρακοστὴ λέγεται, πλείονας τῶν τεσσαράκοντα ἡμερῶν ἔχουσα, καὶ πῶς ἀποδεκάτωσις. Ἀποδεκατοῦμεν ἡμέρας.

Νηστείαν νηστεύομεν ἣν ὁ Κύριος ἐνήστευσε τὴν ἁγίαν καὶ μεγάλην καλουμένην καὶ οὖσαν Τεσσαρακοστὴν, εἰς κάθαρσιν ἡμῶν τε καὶ ἱλασμὸν, καὶ ἀπαρχὴν καὶ δεκάτωσιν κατ' ἐνιαυτὸν τῆς ζωῆς ἡμῶν. Ἥτις ἄρχεται μὲν ἀπὸ δευτέρας ἡμέρας, λήγει δὲ συναπτῶς εἰς Παρασκευὴν, τῶν Κυριακῶν καὶ Σαββάτων εἰσαγομένων. Ἐπεὶ καὶ ἐν τούτοις τὰ τοῦ κανόνος τε ἐνεργοῦμεν, δὶς τῆς ἡμέρας ἐσθίοντες, καὶ τὰ τῆς νηστείας τηροῦμεν, κρέατός τε καὶ τυροῦ καὶ ἰχθύος ἀπεχόμενοι. Καὶ ὁ Σωτὴρ δὲ συναπτῶς ἡμέρας ὁμοῦ καὶ νύκτας νενήστευκε τεσσαράκοντα. Καὶ B Κλήμης περὶ τούτου ὁ Πέτρου ἐν Ῥώμῃ διάδοχος ἐν ταῖς Διατάξεσι γράφει τῶν ἀποστόλων, καὶ οἱ Πατέρες δὲ πάντες παραδεδώκασιν, ὁ θεῖός τε Σάββας, καὶ ὁ
349 ἐκ Δαμασκοῦ Ἰωάννης διὰ τοῦ Ἱεροσολυμητικοῦ τυπικοῦ. Οἱ ὁμολογηταὶ δὲ αὐτάδελφοι, Ἰωσὴφ Θεσσαλονίκης, καὶ Θεόδωρος ὁ Στουδίτης, διὰ τῶν ἐν τῇ Τεσσαρακοστῇ τῇ ἁγίᾳ ὕμνων αὐτῶν· καὶ οἱ τὰ ἰδιόμελα δὲ γεγραφότες Πατέρες, τῇ Παρασκευῇ τοῦ Λαζάρου ψάλλειν ἐκθέμενοι τὴν ψυχωφελῆ πληρώσαντες Τεσσαρακοστὴν, τὴν ἔγερσίν τε τοῦ Λαζάρου, καὶ τὴν ἑορτὴν τῶν Βαΐων ὡς ἰδίας ἑορτάζοντες ἑορτὰς, καὶ ἔτι τὴν ἁγίαν ἑβδομάδα τῶν τοῦ Κυρίου σωτηρίων παθῶν, ἰδίᾳ παρὰ τὴν νηστείαν ἄγοντες τῶν τεσσαράκοντα ἡμερῶν δι' αὐτὰ ἐξαιρέτως τὰ τοῦ Κυρίου ἁγιώτατα πάθη, ἃ ὑπὲρ ἡμῶν ἤνεγκε, τὴν ἀπάθειαν ἡμῖν χορηγῶν. Ὅθεν καὶ πανηγυρίζομεν χαίροντες τῇ ἀναστάσει αὐτοῦ. Τοῦτο οὖν πάλιν καὶ ἐν ταῖς Διατάξεσιν, ὡς εἴπομεν, γέγραπται, καὶ διὰ τῶν ὕμνων οἱ Πατέρες μαρτυροῦσι καὶ ἡ ἀρχαία παράδοσις. Ἀλλ' οἱ Λατῖνοι καὶ ἐνταῦθα καινοτομοῦσι, τὰς δύο ἡμέρας τῆς ἁγίας νηστείας λύοντες παρὰ τὸν κανόνα, καὶ πᾶσαν ἀχρειοῦντες αὐτήν. Πλὴν οὖν τῶν Κυριακῶν τεσσαράκοντα ἀριθμοῦσιν ἄχρι τοῦ μεγάλου Σαββάτου· οἳ καὶ εὑρίσκονται μηδεμίαν ἡμέραν διὰ τὰ τίμια πάθη τοῦ Κυρίου νηστεύοντες, καθὰ παραδέδοται, οὐδὲ τεσσαρακοστὴν ἄγοντες· ἐπεὶ καὶ κατὰ τὰς Κυριακὰς οὔτε κρεάτων, οὔτε τυροῦ ἀπογεύονται. Τινὰς οὖν ἡμεῖς ἐξ αὐτῶν ἐρωτήσαντες, Ποίαν οὖν νηστείαν ὑπὲρ τῶν σωτηρίων παθῶν νηστεύετε; διαπορήσαντας εὕρομεν αὐτούς. Καὶ πάλιν, ἐπειδὴ ἀριθμοῦσι τεσσαράκοντα πλὴν τῶν Κυριακῶν, ἐρωτήσαντες, Διατί τὰς Κυριακὰς ἄνωθεν κατὰ παράδοσιν νηστεύετε; πάλιν ἠπόρησαν. Αὕτη οὖν ἐστιν ἡ νηστεία τοῦ Κυρίου ἡμῶν τῶν τεσσαράκοντα ἡμερῶν, καὶ ἡ ἑβδομὰς μετ' αὐτὴν τῶν ἁγίων παθῶν αὐτοῦ. Τὴν νηστείαν δὲ οὐκ αὐτῆς χρήζων τετέλεκε, πῶς γὰρ ὁ μόνος ὢν ἀναμάρτητος; ἀλλὰ δι' ἡμᾶς νενήστευκε. Τοῦτο δὲ πεποίηκεν ἡμῖν παρέχων νηστείας ὑπογραμμὸν, τὴν τοῦ Ἀδὰμ ἀναιρῶν παράβασιν, καὶ τὸν δι' ἀκρασίας καὶ γαστριμαργίας πεσόντα διὰ νηστείας ἀνορθῶν. Διὸ καὶ τοῖς ἁγίοις ἡ νηστεία ἐσπούδασται εἰς κατάλυσιν τῆς πρώτης ἐκείνης διὰ

QUÆSTIO LII.

Quodnam jejunium Domini, et quomodo dicatur Quadragesima, quæ pluribus quam quadraginta diebus constat, et quomodo decimatio, qua dies decimamus.

Jejunium agimus ad instar Domini per sanctam et magnam, ut vocatur, et vere est, Quadragesimam, in nostram expiationem et propitiationem, et simul quasi in renovationem et decimationem vitæ nostræ per singulos annos. Incipit illa a secunda die hebdomadis (feria secunda) et explicit absolute in Parasceve, includens Dominicas et Sabbata quæ intercedunt. His omnibus diebus ea omnia quæ canonibus præscribuntur facimus: bis in die manducamus, et juxta jejunii leges abstinemus a carne, a caseo et a piscibus. Salvator etenim jejunavit quadraginta dies et noctes continuatim sine intermissione, quod testatur Clemens, qui Romæ Petri successor fuit, in constitutionibus apostolorum quas recensuit. Ita et Patres omnes tradiderunt: sanctus nempe Sabbas et Joannes Damascenus in Typico Hierosolymitano. Idem fatentur fratres Joseph Thessalonicensis et Theodorus Studites in hymnis de sancta Quadragesima. Item alii Patres qui cantica particularia scripserunt in Parasceve sancti Lazari, cantantes completam Quadragesimam animæ salutarem, et resurrectionem Lazari cum festo Palmarum singulari solemnitate celebrantes. Post jejunium quadraginta dierum, addimus et unam hebdomadem, quam C sanctam vocamus, similiter jejunantes propter salutarem quam pro nobis Dominus sanctissimam passionem pertulit, ut nos in immortalitatem et impassibilitatem introduceret; unde postea lætantes et exsultantes resurrectionem ejus celebramus. Omnia hæc scripta sunt, ut dicimus, in Constit. apostolicis, et Patres testantur in hymnis suis et vetus traditio. Latini vero et in hoc innovant, duos dies jejunii sacri solventes contra canones, et sic totam Quadragesimam vanam facientes. Numerant autem quadraginta dies, exceptis Dominicis usque ad majus Sabbatum, et sic deprehenduntur ne unam quidem diem jejunantes in honorem pretiosæ passionis Domini, sicut a traditione monemur facere. D Non ergo habent Quadragesimam, cum et in Dominicis neque carnes, neque caseum gustant. Quosdam et nos ex illis interrogavimus: Quam jejunii partem exercetis propter salutarem Domini passionem? Hæsitantes invenimus. Et iterum: cum numerent quadraginta dies exceptis Dominicis, interrogavimus: Quare in Dominicis juxta antiquam traditionem jejunatis? Hærent iterum. Hæc igitur est mos sacri jejunii Domini quadraginta dierum; et hæc est hebdomas major post ipsam consecrata jejunio ad sanctam Passionis ejus memoriam. Ille autem non necesse habuit jejunare: quomodo talis necessitas illi qui solus est absque peccato? sed propter nos jejunavit, ut scilicet nobis præberet sancti jejunii exemplar: ita delevit Adæ prævari-

cationem et eum qui intemperantia et gulæ voluptate ceciderat, abstinentia erexit. Idcirco jejuniis strenue vacant sancti viri, ut solvant prioris hujus intemperantiæ maledictum. Prophetæ etiam in hoc satagere videmus, maxime Moysem, Eliam, Danielem et alios plures. Item de apostolis, de pontificibus, et sanctis fidelibus quibus illud opus antiquius erat. Gratia autem inest jejunio ad frangendum desideria ventris, et nobis proponitur in similitudinem jejunii Salvatoris in purificationem et resurrectionem. Idcirco in abstinentia ciborum non erit nobis mors, sed erectio et vitæ Dei immaculatæ participatio, meritorumque jejunii quod in nos exercuit, simulque mortis et resurrectionis; cum ipso enim resurgemus.

A τῆς ἀκρασίας ἀρᾶς, καὶ οἱ προφῆται πρὸς τοῦτο ἀγωνιζόμενοι ὤφθησαν, καὶ μᾶλλον Μωϋσῆς τε καὶ Ἠλιοῦ, καὶ Δανιὴλ, καὶ ἕτεροι πλεῖστοι· καὶ ἐν τοῖς ἀποστόλοις καὶ ἱεράρχαις καὶ ὁσίοις τοῦτο ἐξαίρετον ἔργον ἦν. Τούτου οὖν χάριν εἰς κατάλυσιν τῆς ἐπιθυμίας τῆς γαστρὸς, καὶ ἡμῖν αὕτη δίδοται, εἰς τύπον τῆς σωτηρίου νηστείας, διὰ κάθαρσιν ἡμῶν καὶ ἀνέγερσιν. Διὸ καὶ ἐν τῷ τέλει τῆς νηστείας οὐχὶ θάνατος ἡμῖν, ἀλλ' ἔγερσις ἕπεται, τοῦ ἀναμαρτήτως ζήσαντος καὶ νενηστευκότος ὑπὲρ ἡμῶν θανόντος καὶ ἀναστάντος, καὶ ἡμᾶς συνεγείραντος.

QUÆSTIO LIII.

Quare jejunemus quartam feriam hebdomadis et Parasceven cæteraque jejunia. Et num laicos quoque tantumdem jejunare fas sit?

Jejunium diei quartæ et Parasceve ideo institutum est ut prius revocaret in memoriam consilium a Judæis initum ut Salvatorem dolo tenerent, quod in quarta die factum est; posterius autem significaret finem hujus captivitatis, quod scilicet Jesum ad crucem alligaverunt in die Parasceves, sicut et Adam edens de ligno mortuus est. In Parasceve et hora sexta clavis confixerunt eum, quia Adam de ligno edit. Et mortuus est Salvator hora nona, nam et in paradiso apparuit, et chirographum mortis quod erat contra Adam delevit, illud scilicet: « Terra es, et in terram reverteris, » et mortalis Adam factus est.

ΕΡΩΤΗΣΙΣ ΝΓ'.

B *Διατί νηστεύομεν Τετράδα καὶ Παρασκευὴν, καὶ τὰς ἄλλας νηστείας. Δύνανται οἱ λαϊκοὶ τοσαύτας νηστεύειν;*

Ἡ Τετρὰς δὲ καὶ Παρασκευὴ διὰ τοῦτο· ἡ μὲν διὰ τὴν συμβουλὴν τῆς κατὰ τοῦ Σωτῆρος ἐπιβουλῆς ἐν Τετράδι γεγενημένης, ἡ δὲ διὰ τὸ τέλος τῆς ἐπιβουλῆς, ὅτι τοῦτον ἐν τῇ Παρασκευῇ ἐσταύρωσαν, ὅτε καὶ τοῦ ξύλου ὁ Ἀδὰμ ἀψάμενος τέθνηκε. Κατὰ τὴν Παρασκευὴν γὰρ καὶ κατὰ τὴν ἕκτην ὥραν τοῦτον προσήλωσαν, ὅτε τοῦ ξύλου καὶ ὁ Ἀδὰμ ἥψατο. Καὶ τέθνηκεν ὁ Σωτὴρ ἐν τῇ ἐννάτῃ ὥρᾳ, ὅτε καὶ ἐν τῷ δειλινῷ ὀφθεὶς αὐτὸς ἐν τῷ παραδείσῳ, κατὰ τοῦ Ἀδὰμ ἐξήνεγκε τὴν τοῦ θανάτου ἀπόφασιν, τὸ, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, καὶ νεκρὸς Ἀδὰμ γέγονεν.

C

QUÆSTIO LIV.

Unde jejunium Quadragesimæ et sanctorum apostolorum Deiparæ Virginis, et quis illa primum instituerit? cum sint qui novum illud esse contendunt.

Cætera vero omnia jejunia ab antiquis tradita sunt, ut usus testatur, veteresque Constitutiones, nec Unionis tomus tacuit, qui eorum meminit, et Typicum Hierosolymiticum, quod ut supra diximus, sanctissimum Sabbam, et post eum theologum Damascenum auctores institutoresque agnoscit, quorum alter tempore quartæ œcumenicæ synodi, alter inter sextam et septimam vitam agebat, qui ambo Typicum composuere: nam cum a divino Sabba compositum barbarorum incursione periisset, magnus hic Joannes ab initio illud ut antiquitus erat conscripsit ordinavitque. Suam vero quæque jejuniorum series propriam habet rationem. Primo quidem jejunium quadraginta dierum typum refert jejunii Moysis, qui postquam jejunaverit XL dies et XL noctes accepit sermones et leges Dei in tabulis lapideis scriptas. Nos vero post jejunium XL dierum Verbum vitæ, non scriptum, sed incarnatum et postea natum ex Virgine videmus, accipimus et carnis participamus ejus sanctissimæ. Videsne similitudinem jejunii nostri cum jejunio Moysis, seu potius superioritatem jejunii nostri? Non enim jejunamus, cum quotidie manducamus, et multum quidem differt quod accipi-

ΕΡΩΤΗΣΙΣ ΝΔ'.

Ἡ τοῦ τεσσαρακονθημέρου, καὶ τῶν ἁγίων ἀποστόλων, καὶ τῆς Θεοτόκου νηστεία, πόθεν; καὶ τίς ὁ ἀπαρχῆς παραδούς; τινὲς γὰρ λέγουσι νέας εἶναι.

Αἱ λοιπαὶ δὲ νηστεῖαι, καὶ ἅπασαι μὲν κατὰ παράδοσιν ἀρχαίαν, ὡς ἡ συνήθεια μαρτυρεῖ, **350** καὶ αἱ ἀπαρχῆς διατάξεις, καὶ ὁ τῆς ἑνώσεως τόμος αὐτῶν μεμνημένος, καὶ τὸ Ἱεροσολυμητικὸν, ὡς προέφημεν, τυπικὸν, ὃ τὸν θειότατον Σάββαν, καὶ μετ' αὐτὸν τὸν ἐκ Δαμασκοῦ θεολόγον συγγραφεῖς ἔχει καὶ νομοθέτας· καὶ ὁ μὲν κατὰ τὴν τετάρτην οἰκουμενικὴν σύνοδον, ὁ δὲ μέσον τῆς ἕκτης καὶ τῆς ἑβδόμης, καὶ ἄμφω τῆς Ἐκκλησίας Πατέρες τε D καὶ διδάσκαλοι. Οἱ δύο δὲ τὸ τυπικὸν συντεθείκασιν, ὅτι τὸ παρὰ τοῦ θείου Σάββα τῇ ἐπιδρομῇ τῶν ἐθνῶν ἀπολεσθὲν, ὁ μέγας Ἰωάννης ἐξαρχῆς τοῦτο κατὰ τὴν ἄνωθεν τάξιν συνέθηκε καὶ διετυπώσατο. Ἰδίαν δὲ ἑκάστη τῶν νηστειῶν καὶ τὴν ἔννοιαν ἔχει. Καὶ ἡ μὲν τοῦ Τεσσαρακονθημέρου τυποῖ τὴν τοῦ Μωϋσέως νηστείαν, ὃς τεσσαράκοντα ἡμέρας καὶ νύκτας νηστεύσας, ἐν πλαξὶ λιθίναις διὰ γραμμάτων λόγους τοῦ Θεοῦ ἐδέξατο· ἡμεῖς δὲ νηστεύοντες τεσσαράκοντα, τὸν ζῶντα Λόγον ἐκ τῆς Παρθένου οὐ γεγραμμένον ἐν λίθοις, ἀλλὰ σεσαρκωμένον τεχθέντα καὶ βλέπομεν καὶ λαμβάνομεν, καὶ κοινωνοῦμεν αὐτοῦ τῆς θειοτέρας σαρκός. Ὁρᾷς τὸ ἴσον μὲν τῆς νηστείας Μωϋσέως τε καὶ ἡμῶν, μᾶλλον δὲ τὸ τῆς ἐγκρατείας ἡμῶν; οὐ γὰρ νηστεύομεν ἡμεῖς, καθ'

ἡμέραν ἐσθίοντες, καταπολὺ δὲ τὸ τῆς δωρεᾶς διαλλάττον ἐν ἡμῖν καὶ τῷ Μωϋσῇ· δωρεὰ γὰρ καὶ χάρις μείζων τοῦ Μωϋσέως ὑπὲρ πάντα νοῦν ἐν ἡμῖν. Λοιπὸν μὴ ἀμφίβαλλε. Ἡ νηστεία δέ γε τῶν ἀποστόλων διὰ τὴν τούτων τιμήν. Καὶ δικαίως· ὅτι πλείστων ἀγαθῶν δι' αὐτῶν ἠξιώμεθα· καὶ ὅτι νηστείας οὗτοι καὶ ὑπακοῆς ἄχρι θανάτου καὶ ἐγκρατείας ἐργάται ὤφθησαν ἡμῖν καὶ διδάσκαλοι. Καὶ Λατῖνοι τοῦτο καὶ ἄκοντες μαρτυροῦσι, διὰ νηστείας ἐν ταῖς μνήμαις αὐτῶν τιμῶντες αὐτούς. Ἀλλ' ἡμεῖς μὲν κατὰ τὰς Διατάξεις τῶν ἀποστόλων διὰ τοῦ Κλήμεντος μετὰ τὴν ἐπιδημίαν τοῦ Πνεύματος εὐφραινόμεθα ἑβδομάδα μίαν, αὖθις δὲ νηστεύομεν ἑβδομάδα, ἵνα μὴ τῇ τρυφῇ ἐκλυθῶμεν, ὡς διδασκόμεθα· καὶ συναπτῶς τῇ νηστείᾳ ἐκείνῃ καὶ τοὺς παραδεδωκότας νηστεύειν ἀποστόλους τιμῶντες νηστεύομεν. Ἡ δέ γε τοῦ Αὐγούστου νηστεία εἰς τιμὴν ὑπάρχει τῆς τοῦ Θεοῦ Λόγου Μητρὸς, ἥτις προγνοῦσα τὴν μετάστασιν ἑαυτῆς, καὶ πάντοτε μὲν ἦν ἀγωνιζομένη ὑπὲρ ἡμῶν καὶ νηστεύουσα, μὴ χρείαν ἔχουσα νηστείας ἡ καθαρὰ καὶ πανάμωμος· ὅμως δὲ ἀγγελικῶς διαιτωμένη ἡ ὑπὲρ τοὺς ἀγγέλους οὖσά τε καὶ βιοῦσα, καὶ προσευχομένη συνεχῶς, ἑνουμένη μὲν θείῳ Πνεύματι τῇ μακαρίᾳ ψυχῇ τῷ Υἱῷ αὐτῆς, καὶ ὑπὲρ ἡμῶν ἱκετεύουσα, τότε δὲ μᾶλλον ἐν τῷ μέλλειν τῶν ὧδε μεταβαίνειν λεπτυνομένη πλέον ἁγίῳ ἔρωτι τοῦ Υἱοῦ. Διὸ καὶ ἡμεῖς τότε νηστεύειν καὶ ἀνυμνεῖν αὐτὴν ὀφείλομεν, τόν τε βίον αὐτῆς ἐκμιμούμενοι, καὶ εἰς τὰς ὑπὲρ ἡμῶν διεγείροντες ἱκεσίας. Τινὲς μὲν οὖν φασι καὶ διὰ τὸ δύο εἶναι ἑορτὰς τὴν τοιαύτην νηστείαν, τῆς τε Μεταμορφώσεως καὶ Κοιμήσεως· ἐγὼ δὲ ἀναγκαῖον νομίζω καὶ τῶν δύο μὲν μεμνῆσθαι ἑορτῶν, τῆς μὲν ὡς φωτισμοῦ παραιτίας, τῆς δὲ ὡς ἱλασμοῦ καὶ μεσιτείας ὑπὲρ ἡμῶν. Ὅμως χρεὼν τὴν Παναγίαν ἐν πάσαις ἐπικαλεῖσθαι Παρθένον τὴν Θεοτόκον, ἵνα δι' αὐτῆς ἵλεως ἡμῖν εἴη ὁ ἐξ αὐτῆς, καὶ τῆς θείας αὐτοῦ δι' αὐτῆς λαμπρότητος ἐπιτύχωμεν. Τούτου οὖν χάριν αἱ νηστεῖαι· καὶ ἀναγκαῖαι παντὶ πιστῷ· καὶ οὐ μόνον ἐν τούτῳ τῷ καιρῷ, ἀλλὰ καὶ πάντοτε καὶ διηνεκῶς· ὅτι νηστεία ἔργον Θεοῦ· οὐ γὰρ τροφῆς αὐτῷ χρεία, καὶ ζωὴ ἀγγέλων καὶ βιοτὴ, ἄτροφοι γάρ· καὶ νέκρωσις σώματος· ὅτι, τούτου τρυφήσαντος, νεκροὶ καθέστημεν ἡμεῖς. Καὶ ἀποβολὴ παθῶν ἡ νηστεία. Τὰ γὰρ ὑπογάστρια ἡ γαστριμαργία κινεῖ πάθη. « Τὰ βρώματα δὲ, φησὶ Παῦλος, τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. » Διὰ τοῦτο τοίνυν καὶ τοῖς Πατράσιν αὕτη ἡ νηστεία ἐσπούδαστο, καὶ τοῖς ἀποστόλοις αὐτοῖς, καὶ τῷ Παύλῳ μὲν, λέγοντι, « Ἐν νηστείαις πολλάκις, » καὶ « Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· » Τῷ Πέτρῳ δὲ Ἀσσαρίου θερμίοις τρεφομένῳ, καὶ τῷ Κυρίῳ αὐτῷ, κριθίνους ἄρτους ἐσθίοντι, καὶ πολλάκις νηστεύοντι.

A mus ab eo quod datum Moysi : gratia et donum est, sed hoc donum Moysi datum omnem cogitationem superat. Cæterum non ambigitur. Jejunium autem apostolorum in honorem eorum institutum est : justissime quidem, quia ab eis plurima accepimus bona et quia fuerunt nobis abstinentiæ, obedientiæ usque ad mortem et temperantiæ opifices et magistri. Hoc et Latini, inviti quidem, testantur, jejunio festa eorum honorantes : sed nos juxta decreta apostolorum a sancto Clemente tradita post adventum Spiritus sancti per unam gaudemus hebdomadam, et iterum hebdomade una jejunamus, ne deliciis dissolvamur, sicut docti sumus, et aptissime simul jejunio hoc apostolos honoramus a quibus jejunare didicimus.

B Jejunium denique Augusti in honorem Verbi Dei Matris, quæ præsciens translationem suam, semper tamen laboravit et jejunavit pro nobis, cum tamen jejunii necessitatem non haberet purissima et omnino irreprehensibilis manens ; simulque angelice vivens seu potius et virtute et vita angelos præcellens, constanter deprecans, Spiritui sancto intime unitam habens animam beatissimam per Filium suum, pro nobis orabat, maxime cum fieret decessus ejus proximus magis ac magis amore Filii consumebatur. Idcirco jejunando et ipsam exaltando multum proficimus, cum maxime imitando ejus vitam propitiationem et preces ipsius in nos excitamus. Unde quidam aiunt in hoc jejunio duplicem

C esse festivitatem ejus, scilicet transfigurationis et mortis. Et mihi videtur perutile nobis duas illas memorari festivitates ; prior enim splendoris origo, posterior propitiationis et interventionis erga nos manifesta fluenta. Sicque hanc præ omnibus sanctam Virginem Dei Genitricem justum est invocare, ut propitius sit nobis Filius ejus, et divinam in nobis sui luminis claritatem multiplicet. Hujus gratia ex jejuniis : sunt ergo omni credenti necessaria, non solum in tali vel tali tempore, sed semper et sine intermissione exercenda, et frequentanda ; sunt enim opus Dei, cui cibo non est opus ; sunt et angelorum vita et agendi ratio, quippe qui nequaquam manducant ; sunt corporis interemptio, quod si delicate nutriamus, certo moriemur ; sunt

D denique jejunia passionum evacuatio, quas potenter excitant et movent gula et ingluvies. Dicit Paulus : « Esca ventri, et venter escis : Deus autem et hunc et has destruet [37]. » Propterea quoque strenue Patres jejunio vacarunt, sicut et apostoli, inter quos et Paulus dicens : « In jejuniis multis [38]. » Et : « Qui in agone contendit ab omnibus se abstinet [39]. » Et tandem Petrus captivus atque ipse Dominus qui panes hordeaceos manducabat frequenter jejunaverunt.

[37] I Cor. vi, 13. [38] II Cor. xi, 27. [39] I Cor. ix, 25.

QUÆSTIO LV.

Unde traditio de missa præsanctificatorum, et quare perfecta non sit, et quare in aliis jejuniis non celebretur, unde quidam negant cætera jejunia tradita esse ab apostolis.

Præsanctificatorum liturgia a primis temporibus et a successoribus apostolorum descendit, ut testantur preces ejusdem, et traditio perantiqua, et vere ab apostolis eam fuisse introductam credimus, et ex principio ordinatam propter hoc ipsum jejunium, ut doceremur lugere et festive non agere diebus pœnitentiæ et luctus, ut alibi dictum est. Ita Patres ordinaverunt, ne gratiæ omnino expertes essemus quæ habetur ex participatione mysteriorum Christi, et propitiationis sanctarum precum. Et quidem hora nona qua illud sacrum B perficitur munus, integrum servatur tempus jejunii, quia monemur semel esse edendum versus vesperam; precibus ad sanctitatem excitamur; et simul mente et quasi ictu oculorum videmus Dominum a sacerdotibus custoditum, et ante nos in propitiationem positum, et se præbentem dignis in edulium ad convescendum. Debemus ergo interdum fervide procumbere coram illo genua flectentes, et confessione peccatorum veniam postulare, omnium fidelium memoriam facere, sicque perficiuntur mysteria, corpus scilicet et sanguis Christi. Et si oblata digne ante consecrationem præparata honorabilia sint, ut typica et Deo destinata, multo magis postquam divina gratia et actione sacerdotis C consecrata fuerint, cum tunc vere sint corpus et sanguis Christi.

A **351** ## ΕΡΩΤΗΣΙΣ ΝΕ'.

Πόθεν ἡ παράδοσις τῆς προηγιασμένης λειτουργίας· καὶ διατί οὐ τελεία· καὶ πῶς ἐν ταῖς ἄλλαις νηστείαις οὐ λειτουργεῖται· ἐκ τούτου γάρ φασί τινες, ὡς οὐ παραδεδομέναι αἱ ἄλλαι νηστεῖαι.

Ἡ προηγιασμένη λειτουργία ἄνωθεν καὶ ἐκ τῶν διαδόχων τῶν ἀποστόλων ἐστὶν, ὡς καὶ αἱ εὐχαὶ μαρτυροῦσι, καὶ ἡ παράδοσις αὐτὴ ἀρχαία οὖσα, καὶ ἀληθῶς τῶν ἀποστόλων εἶναι ταύτην πιστεύομεν, ἐξαρχῆς γεγενημένην δι' αὐτὴν τὴν νηστείαν· ὥστε πενθεῖν καὶ μὴ ἑορτάζειν ἡμᾶς ἐν ταῖς τοῦ πένθους ἡμέραις, ὡς καὶ ἄλλοις περὶ τούτου πρότερον εἴρηται. Ἵν' οὖν πάλιν μὴ καθόλου ἀμέτοχοι τῆς ἀπὸ τῶν τοῦ Χριστοῦ μυστηρίων τυγχάνωμεν χάριτος, καὶ τοῦ διὰ τῶν ἱερῶν εὐχῶν ἱλασμοῦ, τοῦτο ἐπινενόηται τοῖς Πατράσι. Καὶ περὶ μὲν τὴν ἐννάτην B ὥραν ταύτην τελοῦμεν τὴν τελετὴν, ἀποσώζοντες τὸν ὅρον τῆς νηστείας, ἅπαξ πρὸς ἑσπέραν ἐσθίειν τετυπωμένου· ἁγιαζόμεθα δὲ ταῖς εὐχαῖς, καὶ τῇ ὄψει τῶν ὀφθαλμῶν ἅμα τῷ νῷ αὐτὸν ὁρῶντες τὸν Κύριον κατεχόμενον ὑπὸ τῶν ἱερέων, καὶ εἰς ἱλασμὸν ἡμῶν προτιθέμενον, καὶ μεταδιδόμενον τοῖς ἀξίοις τῆς αὐτοῦ κοινωνίας· ὅθεν καὶ προσπίπτειν θερμῶς αὐτῷ ὀφείλομεν ἐπ' ἐδάφους, καὶ συγχώρησιν ἐξαιτεῖσθαι τῶν ἐσφαλμένων, καὶ πάντων μεμνῆσθαι πιστῶν, δηλονότι κατὰ τὸν καιρὸν τῆς εἰσόδου, ἡνίκα ἐπὶ κεφαλῆς αὐτὸν κατέχει ὁ ἱερεύς. Καὶ γάρ τετελεσμένα εἰσὶ τὰ μυστήρια, καὶ αὐτὸ τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. Καὶ εἰ πρὸ τοῦ τελεσθῆναι ἄξια C τιμᾶσθαι τὰ δῶρα, ὡς ἀντίτυπα, καὶ ἀφιερωμένα Θεῷ, πολλῷ γε μᾶλλον τετελεσμένα ὄντα τῇ θείᾳ χάριτι διὰ τῆς ἱερουργίας, καὶ σῶμα ἀληθῶς καὶ αἷμα τελοῦντα Χριστοῦ.

QUÆSTIO LVI.

Quare præsanctificata non in aliis etiam jejuniis celebrentur.

Non fiunt Præsanctificata in aliis jejuniis, quod inter alia hoc solum primum est et eximium, et Domini jejunium; et in eo solo quinque hebdomadis diebus id peragi traditum est, ad majus nostrum certamen: namque cum apprime et ante alia necessarium sit tremendum et sacrosanctum hoc sacrificium, et mundi universi salutare, non est visum operæ pretium, illud omnino cessare, neque D in ipsa, quæ Magna nuncupatur et est, Quadragesima. Quapropter et in ea, Sabbato et Dominica, Patres constituerunt, sacrum nos sacrificium peragere, Domini præceptum explentes, dicentis, *Hoc facite in meam commemorationem*; omni nempe tempore. Quinque itaque diebus Præsanctificata facere, et nullo alio die incruentum ac vivum sacrificium celebrare, lege sanxerunt, exceptis duabus aliis diebus, feria nempe quarta et sexta hebdomadis, quæ ab edendo caseo nomen habuit Tyrophagi, quas velut sanctorum jejuniorum procemia decreverunt. Quandoquidem et hebdomas Tyrophagus excogitata est ad purgationem nostram, et ad sacra jejunia apparatum, ut jejunio prius expurgati accedamus, et a cibis carneis, quæ pin-

ΕΡΩΤΗΣΙΣ ΝϚ'.

Διατί οὐ τελεῖται τὰ προηγιασμένα καὶ ἐν ταῖς ἄλλαις νηστείαις.

Οὐ τελεῖται δὲ τὰ προηγιασμένα καὶ ἐν ταῖς ἄλλαις νηστείαις, ὅτι αὕτη παρὰ τὰς ἄλλας μόνη πρώτη ἐστὶ καὶ ἐξαίρετος, καὶ τοῦ Κυρίου νηστεία. Καὶ ἐν αὐτῇ μόνῃ ἐν ταῖς τῆς ἑβδομάδος πέντε ἡμέραις τοῦτο δὴ παραδίδοται ἐνεργεῖν, εἰς μεῖζον ἡμῶν ἀγώνισμα. Ἐπεὶ γὰρ ἀναγκαιοτάτη πρὸ παντὸς ἡ φρικτοτάτη καὶ ἱερὰ τελετὴ, καὶ τοῦ κόσμου παντὸς σωτήριον, οὐκ ἔδοξε δίκαιον εἶναι καθόλου πεπαῦ- D σθαι ταύτην, οὐδὲ κατ' αὐτὴν τὴν μεγάλην ὀνομαζομένην καὶ οὖσαν Τεσσαρακοστήν. Διὸ καὶ ἐν αὐτῇ κατὰ Σάββατον μὲν οἱ Πατέρες διετυπώσαντο καὶ Κυριακὴν, τὴν ἱερὰν ἐπιτελεῖν ἡμᾶς θυσίαν, ἐκπληροῦντες τὸ τοῦ Κυρίου παράγγελμα, λέγοντος, *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*, ἀντὶ τοῦ διαπαντός. Ἐν ταῖς πέντε δὲ ἡμέραις λειτουργεῖν προηγιασμένα, καὶ οὐδ' ἐν ἄλλῃ τινὶ ἡμέρᾳ τὴν ἀναίμακτον καὶ ζωόθυτον θυσίαν τελεῖσθαι οὐ νενομοθετήκασιν· εἰ μὴ ἐν ἄλλαις ἡμέραις δυσὶ κατὰ τὴν Τετράδα τε καὶ Παρασκευὴν τῆς Τυροφάγου λεγομένης, καὶ κατὰ τὴν μεγάλην Παρασκευήν. Καὶ τὰς μὲν τῆς Τυροφάγου δύο ὡς προοίμια ἔθεντο τῶν ἱερῶν νηστειῶν. Ἐπεὶ καὶ ἡ Τυροφάγος ἑβδομὰς διὰ τοῦτο νενομοθέτηται, εἰς προκάθαρσιν ἡμῶν,

καὶ πρὸς τὴν ἁγίαν νηστείαν ἑτοιμασίαν, ἵνα προ- A καθαρθέντες τῇ νηστείᾳ προσέλθωμεν, καὶ ἀπὸ βρωμάτων λιπαινόντων καὶ σαρκωδῶν πρὸς ὀλίγον ἐγκρατευσάμενοι, τῆς νηστείας ἀψώμεθα, καθαροὶ τῆς καθαρωτάτης, καὶ ἅγιοι τῆς ἁγνῆς. Διὸ καὶ πρότερον μὲν οἱ Πατέρες τὴν ψυχὴν ἐκκαθαίρουσιν ἐν τρισὶν ἑβδομάσιν εἰς τιμὴν τῆς Τριάδος, τὰ περὶ τῆς νηστείας κηρύττοντες τοῖς εὐαγγελικοῖς τοῦ Σωτῆρος ῥήμασι πρὸς τὴν μετάνοιαν καὶ τὴν κάθαρσιν ἡμᾶς ἐκκαλούμενοι. Καὶ διὰ μὲν τοῦ τελώνου καὶ Φαρισαίου μὴ ἐπαίρεσθαι τοῖς πόνοις, ἀλλὰ ταπεινοῦσθαι διδάσκουσι, καὶ μᾶλλον οὕτω σώζεσθαι· διὰ δὲ τῆς τοῦ ἀσώτου παραβολῆς μὴ ἀπογινώσκειν, ἀλλ' ὑποστρέφειν ἐν ἐξομολογήσει πρὸς τὸν 352 ἀγαθὸν Πατέρα τε καὶ φιλάνθρωπον. Διὰ δὲ τῆς ὑπομνήσεως τῆς τοῦ Σωτῆρος ἡμῶν δευτέρας παρ- B ουσίας εἰς φόβον ἐμβάλλουσι τοῦ ἀδεκάστου κριτηρίου αὐτοῦ· καὶ διὰ τοῦ πρὸς τοὺς πένητας ἐλέου παριστῶσιν, ὡς ἐλεηθησόμεθα. Τελευταῖον δὲ τὰ τῆς ἐξορίας τοῦ Ἀδὰμ προτιθέασιν, ἥτις ἐγεγόνει διὰ τρυφῆς τε καὶ ἡδονῆς πρὸς τὴν νηστείαν ἡμᾶς διεγείροντες. Ὅθεν καὶ τὴν πρὸ τῆς νηστείας ἑβδομάδα οὐ κρεοφάγον, ἀλλὰ τυροφάγον εἶναι νενομοθετήκασι· καὶ προεόρτιον τῆς νηστείας ταύτην φασί. Καὶ τριῴδια ψάλλειν καὶ ἰδιόμελα, ὡς καὶ κατὰ τὴν ἁγίαν Τεσσαρακοστὴν διετύπωσαν. Καὶ τὰς δύο ταύτας μέσον τεθείκασι νηστείας Τετράδος τε καὶ Παρασκευῆς, ἐν αἷς καὶ προφητῶν ῥήσεις περὶ νηστείας, καὶ τοὺς περὶ αὐτῆς λόγους τοῦ θεοφάντορος Βασιλείου λέγεσθαι διετάξαντο. Ὅθεν καὶ ὡς τὸ ἀρχαῖόν φησι τυπικὸν τῆς μεγάλης Ἐκκλησίας, ὁ C πατριάρχης κατὰ τὴν Τετράδα τῆς Τυροφάγου πρῶτος ἐλειτούργει τὰ προηγιασμένα, ἐν ᾗ δὴ καὶ τῇ Παρασκευῇ μετὰ τῆς νηστείας καὶ τυρὸν ἐσθίειν ἔθος ἦν, πρὸς ἀναίρεσιν αἱρετικῆς τινος δόξης. Ἐν ταῖς δυσὶν οὖν ἐκείναις τῆς Τυροφάγου νηστείαις τὰ τῶν προηγιασμένων οὕτως ἐτελεῖτο ἐξαρχῆς· καὶ ἐν ταῖς παλαιαῖς εὑρίσκεται διατάξεσι, καὶ τὰ ἀναγνώσματα μαρτυροῦσι τὰ προφητικά, ὡς εἰρήκαμεν· καὶ τὸ μηδὲ Εὐαγγέλια λέγεσθαι ἐν αὐταῖς ταῖς ἡμέραις, ὡς οὐδὲ ταῖς πέντε τῆς ἑβδομάδος ἐν πάσῃ τῇ Τεσσαρακοστῇ, ὡς πάντα δηλοῦσι τὰ εὐαγγελικὰ βιβλία. Καὶ κατὰ τὴν ἁγίαν δὲ καὶ μεγάλην Παρασκευὴν οὕτως ἐξαρχῆς προηγιασμένα ἐτελεῖτο. Οὐ γάρ ποτε τοῖς Πατράσιν ἐδόκει ἀνεκτὸν εἶναι ἡμέ- D ραν τινὰ παρελθεῖν, καὶ μὴ ἑωρακέναι διὰ τῶν μυστηρίων τὸν Κύριον, δι' ὧν ἔφη καὶ αὐτὸς ἓν εἶναι μεθ' ἡμῶν· καὶ τό, *Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος*. Τοῦτο γὰρ ἔφη, οὐχ ὅτι μετὰ ταῦτα οὐκ ἔμελλεν εἶναι πάντοτε μεθ' ἡμῶν, πῶς; ὁ πρὸς τὸν Πατέρα ἐν τῷ εὔχεσθαι λέγων, *Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν*. Καὶ πρὸ ὀλίγου, *Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν, καὶ ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν*. Ἀλλ' ἕως μὲν τῆς συντελείας τοῦ αἰῶνος ἔσται διὰ τῶν μυστηρίων αὐτοῦ. Ἔτι δὲ

A guem hominem reddunt, ad breve tempus abstinentes, jejunium exordiamur, puri purissimum, sanctique intemeratum. Hinc etiam factum est, ut Patres prius tribus hebdomadibus animum expurgent, in honorem Triadis, quæ jejunii sunt, evangelicis Salvatoris nostri verbis prædicantes, excitantesque nos ad pœnitentiam et expurgationem. Et per Publicani et Pharisæi parabolam, non esse laboribus superbiendum, sed compescendos animi conatus, docent, et hac potius ratione salutem comparandam. Per Prodigi parabolam, non esse despondendum, sed revertendum confessione ad Patrem optimum atque humanissimum. Per recordationem Salvatoris nostri adventus, incorrupti illius judicii timorem incutiunt, et per misericordiam in pau- B peres instruunt, nos quoque misericordiam consecuturos. Tandem exsilium Adami proponentes, quod propter luxum et voluptatem accidit, ad jejunium adhortantur. Propterea que hebdomadem, quæ ante jejunium est, ut a carnibus abstineretur, non item a caseo, lege sanxerunt. Quam jejunii profestum nuncupant, et Triodia canere, et Idiomela, ut aliis sacri Quadragesimalis jejunii diebus præscripserunt, et duas hasce medias ad jejunandum posuere, feriam quartam et sextam; quibus et prophetarum de jejunio dicta, et de hoc eodem divini Basilii orationes legendas esse decreverunt. Hinc, ut vetustum Typicum refert magnæ Ecclesiæ, patriarcha, Tyrophagi feria quarta, primus ante alios Præsanctificata celebrabat, C qua et feria sexta cum jejunio caseum edere moris erat, ad refellendam quamdam hæreticam sententiam. Illis itaque duobus Tyrophagi jejuniis, Præsanctificatorum missa, ab initio, hoc modo peragebatur, ut et in antiquis constitutionibus animadvertitur et prophetarum lectiones testantur, ut diximus; et quod Evangelia illis diebus non recitantur, quemadmodum et reliquis quinque universæ Quadragesimæ hebdomadibus, ut omnes Evangeliorum libri commonefaciunt. Sancta quoque et magna Feria sexta, ab initio, hac ratione, Præsanctificata peragebantur. Neque enim Patribus sustinendum videbatur, diem aliquem præteriisse, neque per mysteria Dominum conspexisse, per quæ, ut D et ipse aiebat, unum nobiscum esset. Et, « Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi. » Hoc porro dixit, non quod postea semper non esset una nobiscum futurus; qui enim id fieri potuit, cum ipse ad Patrem inter orandum diceret : « Pater, quos dedisti mihi, volo, ut, ubi ego sum, et illi sint mecum, ut videant gloriam meam. » Et paucis interjectis : « Et ego gloriam, quam dedisti mihi, dedi eis, ut sint unum, quemadmodum et nos unum sumus, et ego in illis, et tu in me, ut sint perfecti in unum : » verumtamen ad consummationem usque sæculi erit per sua mysteria. Præterea id quoque dixit, quod nunc non videatur, postquam corpore ascendit, quousque tum venerit : ne quis in eam sententiam iverit, eum nunc non esse no-

biscum, quod non sit nobis conjunctus, sed credat, A multo intervallo dissitum, nobiscum esse, unumque cum nobis, suis mysteriis, fieri. Tum vero videbimus eum sicuti est, ut dilectus tradit. Et hac ratione perpetuo una cum Domino erimus, ut Paulus docet. Sed nunc nescio qua ratione desitum sit eo tempore Præsanctificata peragi : opinor autem quod perfectum jejunium non sit, neque Missam, uti moris est, perfectam fieri, ideoque etiam Præsanctificata neglexisse. Adhuc etiam ex Hierosolymitano Typico, quod proprium monachorum est, et aliud a magnæ Ecclesiæ Typico, quod universæ Ecclesiæ sequebantur ; continuæ vero gentium irruptiones ordinem illius perverterunt, et nunc in catholica tantummodo Thessalonicensium Ecclesia reliquum est. B Sancta vero et magna Parasceve non perfectam Missam celebramus, quod tradens, feria

Dominus mysteria in memoriam suæ passionis, feria sexta passionem volens subiit, ut dictum est, et per crucem semetipsum sacrificavit, facultatem præbens iis qui ipsum morti tradebant. Quapropter veluti in divino ejus corpore sacrificio per passionem peracto, non est necesse rursus, ut nos, quæ ad memoriam passionis ejus faciunt, peragamus, cum ipse tum eam subierit : propterea que absolutum sacrificium facere, eo tempore prorsus traditum non recepimus. Verumtamen Præsanctificata proponere et ministrare accepimus, quemadmodum in multis supra recensitis Constitutionibus, C librisque reliquis antiquis, in quibus Evangelia scriptaque apostolica digeruntur, hoc idem scriptum invenies. Nihilominus nunc ex monastico Hierosolymorum Typico in usu non est. Non itaque, quod in aliis jejuniis præsanctificata non fiunt, ea contemnenda sunt, sed observanda potius ; cum et in magno jejunio, Sabbato et Dominica, perfectam missam celebramus, et in aliis etiam jejuniis, quæ violare nefas, veluti vigilia Christi natalium, Luminum, et magna Feria v, ita peragimus, nec in illis jejunium solvimus quod perfecto sacrificio utamur. Imo et magnum, sacræ Quadragesimæ additum, alia quoque jejunia esse innuit : et ob id potius inter alias magna dicitur, quod et aliæ sint, ipsa vero alias supereminent. Apte igitur justeque hæc vocatur decima ; D quia etsi Deo, qui nos e nihilo creavit, vitam omnem nostram restituere debemus, insuper tamen, prævaricationibus infirmi et debiles effecti, pluribusque sollicitudinibus carnis abrepti, tempora quædam præstituta et præpignerata habere debemus, in honorem et gloriam ejus qui nos plasmavit ; in quibus a rebus vitæ avertentes, sancteque cogitantes de gratiarum actione et laudibus erga Creatorem, de petenda ab ipso venia infinitorum peccatorum nostrorum ; propterea statuta sunt tempora, Dominicæ dies, festa et jejunia, et illud imprimis majoris hebdomadæ, integerrime omnia Deo consecranda. Dantur enim ea lege ut non præoccupentur in agendo pro necessitatibus terrenis, nullique libertas relinquitur

τοῦτο εἴρηκε, καὶ διὰ τὸ μὴ ὁρᾶσθαι νῦν μετὰ τὸ ἀναληφθῆναι σωματικῶς ἄχρι τοῦ ἐλθεῖν τότε. Ἵνα μή τις νομίσῃ, ὅτι γε μὴ ὁρώμενος ἡμῖν, μεθ' ἡμῶν οὐκ ἔστι νῦν, ἀλλὰ πιστεύῃ ὡς ἀδιαστάτως ἐστὶ μεθ' ἡμῶν, καὶ ἓν γίνεται μεθ' ἡμῶν τοῖς μυστηρίοις αὐτοῦ. Τότε δὲ ὀψόμεθα αὐτὸν καθώς ἐστιν, ὡς καὶ ὁ ἠγαπημένος φησί, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, ὥσπερ ὁ Παῦλος διδάσκει. Ἀλλ' οὐκ οἶδ' ὅπως τοῦτο νῦν ἠμέληται, τὸ προηγιασμένα τότε λειτουργεῖσθαι. Οἶμαι δὲ διὰ τὸ μὴ τελείαν εἶναι νηστείαν, καὶ μηδὲ λειτουργίαν ὡς ἔθος τελείαν γίνεσθαι, καὶ τῆς τῶν προηγιασμένων καταμελῆσαι. Ἔτι δὲ καὶ ἀπὸ τοῦ Ἱεροσολυμητικοῦ τυπικοῦ, ὅπερ μοναχικόν ἐστιν. Ἕτερον δ' ἐστὶ τὸ τῆς μεγάλης Ἐκκλησίας, ὅπερ δὴ καὶ πᾶσαι εἶχον ἐκκλησίαι. Αἱ συνεχεῖς δὲ τῶν ἐθνῶν ἐπιδρομαὶ τὴν τάξιν τούτου κατέλυσαν. Ἐν τῇ καθολικῇ δὲ μόνῃ ὑπολέλειπται τῶν Θεσσαλονικέων Ἐκκλησίᾳ. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ οὐ τελείαν λειτουργίαν ποιοῦμεν, ὅτι παραδοὺς τῇ πέμπτῃ ὁ Κύριος τὰ μυστήρια εἰς ἀνάμνησιν τοῦ πάθους αὐτοῦ, κατὰ τὴν Παρασκευὴν τὸ πάθος ἑκουσίως ὑπέμεινε· καὶ διὰ τοῦ σταυροῦ ἱερούργησεν ἑαυτὸν τῷ Πατρὶ ἐθελουσίως, ὡς εἴρηται, ἐκδοὺς ἑαυτὸν, καὶ οὐ προδοὺς, τοῖς βουλομένοις φονεῦσαι. Διὸ καὶ ὡς γεγενημένης ἐν τῷ θείῳ αὐτοῦ σώματι τότε τῆς θυσίας διὰ τοῦ πάθους, οὐ χρεία πάλιν ποιεῖν ἡμᾶς τὰ εἰς ἀνάμνησιν τοῦ πάθους αὐτοῦ, ὅτε αὐτὸς τοῦτο πέπονθε. Διὰ τοῦτο τελείαν μὲν τότε θυσίαν ἐνεργεῖν οὐ παρελάβομεν ὅλως· προηγιασμένα δὲ προτιθέναι καὶ λειτουργεῖν παρελάβομεν ὡς ἐν πολλοῖς τῶν ἄνωθεν διατάξεων. Καὶ ἐν εὐαγγελικαῖς καὶ **353** ἀποστολικαῖς βίβλοις ἀρχαίαις εὑρήσεις τοῦτο γεγραμμένον. Ὅμως δὲ νῦν οὐκ ἐνεργεῖται ἀπὸ τοῦ μοναχικοῦ τῶν Ἱεροσολύμων τυπικοῦ. Οὐ κατὰ τοῦτο οὖν ὅτι οὐ προηγιασμένη λειτουργία τελεῖται ἐν ταῖς ἄλλαις νηστείαις, ἐκείνας παροπτέον, ἀλλὰ τηρητέον μᾶλλον. Ἐπεὶ καὶ ἐν τῇ μεγάλῃ νηστείᾳ Σαββάτῳ τε καὶ Κυριακῇ τελοῦμεν λειτουργίαν τελείαν· καὶ ἐν ἄλλαις δὲ ἀπαραβάτοις νηστείαις, τῆς τε παραμονῆς τῶν Χριστοῦ γέννων φημὶ, καὶ τῶν Φώτων, καὶ κατὰ τὴν μεγάλην Πέμπτην, οὕτω ποιοῦμεν· καὶ οὐ καταλύομεν τὴν νηστείαν ἐν αὐταῖς, διὰ τὸ τελείως ἱερουργεῖν. Καὶ τὸ μεγάλην δὲ καλεῖσθαι τὴν ἁγίαν Τεσσαρακοστὴν, καὶ ἄλλας εἶναι διδάσκει νηστείας. Καὶ διὰ τοῦτο μᾶλλον μεγάλη λέγεται, ὅτι καὶ ἕτεραί εἰσιν· αὕτη δὲ τούτων ὑπερέχει. Ἀποδεκάτωσις δὲ δικαίως αὕτη λέγεται· ὅτι εἰ καὶ πᾶσαν ἡμῶν ὀφείλομεν τῷ Θεῷ ἀνατιθέναι τὴν ζωὴν, ἐπεὶ καὶ διὰ τοῦτο ἐκ μὴ ὄντων γεγόναμεν, ἀλλ' ὅμως τῇ παραβάσει ἀσθενεῖς γεγονότες, καὶ τὸ πλέον περὶ τῆς σαρκὸς μεριμνῶντες, κἂν καιροὺς ἀποτεταγμένους ἔχειν ὀφείλωμεν, εἴς τε τιμὴν καὶ δόξαν τοῦ πλάσαντος, καὶ ἀποχὴν τῶν βιωτικῶν, καὶ φροντίδα τινὰ τῆς τε εὐχαριστίας καὶ δοξολογίας τοῦ κτίστου, καὶ αἴτησιν ἀφέσεως παρ' αὐτοῦ τῶν ἀμυθήτων ἡμῶν ἁμαρτιῶν· δι' ἣν αἰτίαν καὶ Κυριακαὶ, καὶ ἑορταὶ, καὶ νηστεῖαι, καὶ ἐξαιρέτως αὕτη παραδέδοται. Καὶ ἀφιερωμέναι πᾶσαι Θεῷ, καὶ

τῷ μὴ προχειρουμένῳ κατ' ἀνάγκην ἐνεργεῖν διδομέναι. Καὶ οὐδεὶς μίαν τινὰ καταλῦσαι ἄδειαν εἴληφε. Καὶ ὁ περὶ τούτου δὲ τῶν Πατέρων σκοπὸς ἀγαθὸς λίαν καὶ φιλανθρωπότατος, καὶ μοναχοῖς καὶ λαϊκοῖς ὠφέλιμός τε καὶ ἐλαφρὸς καὶ οὐ βίαιος. Ἐγκράτεια γὰρ καὶ οὐκ ἀσιτία τὸ παραδεδομένον, καὶ εἰς ὑπόμνησιν Θεοῦ ἄγον ἡμᾶς, καὶ τῶν ἡμετέρων ἁμαρτημάτων φροντίσαι καὶ τοῦ θανάτου καὶ τῆς ἀνταποδόσεως, ἔτι δὲ καὶ τῆς εὐσεβείας εἰς φυλακήν τε καὶ δεῖγμα, καὶ εἰς χρηστὸν ἔθος δι' ὀλίγου πόνου τινός. Ἐκ τούτου δὲ ἡ σωτηρία καὶ μὴ γινωσκόντων ἡμῶν Θεοῦ ἐλέει διὰ τῶν μικρῶν τούτων ἡμῖν ἐπιβραβεύεται. Οὐ κόπος οὖν καὶ τοῖς κοσμικοῖς μικρὸν ἐγκρατευομένοις, εἰς πάντα ἄδειαν ἔχουσι, πλὴν ὀλιγίστων τινῶν, τοῖς δέ γε μοναχοῖς ἀεὶ ἐποφειλομένη ἡ ἐγκράτειά ἐστι καὶ νηστεία, ὡς καὶ Θεῷ ἐπηγγείλαντο.

vel unam solvendi. In hoc autem Patrum scopus optimus et benevolentissimus, monachis necnon laicis utilissimus, facilis nec coactus: temperantia enim traditione præscribitur, non exinanitio; in memoriam Dei nos revocat, et in considerationem propriorum peccatorum et mortis et mercedis adducit, simul et in custodiam et demonstrationem pietatis, et in utiliorem usum laboris minimi. Ex his salus etiam non sollicitius agentibus: miseretur Deus et coronat nos pro parvis istis curis. Nullus igitur labor eis qui in mundo sunt a paucis abstinendum; libertas ad omnia, exceptis paucissimis quibusdam; monachis vero perpetuo servanda sunt temperantia et jejunium, siquidem publice voverunt.

ΕΡΩΤΗΣΙΣ ΝΖ'.

Ἆρα λαμβάνουσί τι διὰ τῶν εὐχῶν τὰ προηγιασμένα ἅγια;

Τὰ προηγιασμένα ἁγιώτατα δῶρα οὐδὲν διὰ τῶν ἐπιγινομένων εὐχῶν προσλαμβάνουσι, τέλεια γάρ εἰσι. Καὶ αἱ λεγόμεναι ἐν τῇ λειτουργίᾳ εὐχαὶ τοῦτο δὴ μαρτυροῦσι, δεήσεως οὖσαι καὶ ἱλασμοῦ ὑπὲρ ἡμῶν, διὰ τῶν προκειμένων φρικτῶν μυστηρίων, τοῦ σώματος καὶ αἵματος τοῦ Μονογενοῦς, τὸν Θεὸν καὶ Πατέρα ἡμῖν ἱλεούμεναι, καὶ πρὸς τὴν μετοχὴν τῆς κοινωνίας Χριστοῦ ἱκανοὺς ἡμᾶς ἐργαζόμεναι. Αἱ εἴσοδοι δὲ ἡ μέν ἐστι τοῦ ἑσπερινοῦ, ἡ δευτέρα δὲ διὰ τὸ ἀπενεχθῆναι τὰ δῶρα ἐν τῇ τραπέζῃ, καὶ ὥστε ἡμᾶς κατιδόντας καὶ προσκυνήσαντας καθαγιασθῆναι τῇ αὐτοῦ θεωρίᾳ καὶ χάριτι. Τί δὲ τυποῦσιν αὗται αἱ εἴσοδοι, ἐν ἄλλοις εἰρήκαμεν. Ἀλλ' οὐδὲ ἕνωσιν ἑτέραν ποιοῦμεν· πῶς γάρ; ἐπειδὴ τετελειωμένος ὁ ἄρτος ἱερουργηθεὶς καὶ ἀνυψωθείς, καὶ ἡνωμένος τῷ θείῳ αἵματι. Ἀλλ' ἐν τῷ ἱερῷ ποτηρίῳ εἰσάγεται δίχα τινὸς ἐπιλεγομένης εὐχῆς οἶνός τε καὶ ὕδωρ, ἵνα μελισθέντος τοῦ θείου ἄρτου, καὶ κατὰ τὸν τύπον ἐν αὐτῷ εἰσαχθείσης τῆς ἄνω μερίδος, ἁγιασθῶσι τῇ μετοχῇ τὰ ἐν τῷ ποτηρίῳ, καὶ κατὰ τὴν ἐν τῇ λειτουργίᾳ τάξιν, ἔκ τε τοῦ ἄρτου κοινωνήσῃ καὶ τοῦ ποτηρίου ὁ ἱερεύς, μεταδώσῃ τε καὶ τοῖς χρείαν ἔχουσι μετασχεῖν, εἴτε ἱερωμένοις ἐντὸς κατὰ τὸ ἔθος, εἴτε λαϊκοῖς διὰ τῆς λαβίδος. Ὅπερ δὴ καὶ βουλόμενοί τινα κοινωνῆσαι τῶν μυστηρίων, χωρὶς ἱερουργίας ἀπὸ τοῦ φυλαττομένου ἄρτου μερίδα λαμβάνοντες, καὶ οἴνῳ σὺν ὕδατι μιγνύντες, ἢ καὶ ξηρῷ πολλάκις μόνῳ τῷ **354** ζωοποιῷ ἄρτῳ χρώμενοι ὡς ἡνωμένῳ τῷ αἵματι, τὴν κοινωνίαν ποιοῦμεν. Ἐνταῦθα δὲ ἐν τῇ λειτουργίᾳ τῶν προηγιασμένων, διὰ τὸ τὸν τύπον τελεσθῆναι τῆς κοινωνίας, ὡς εἴρηται, καὶ διὰ τὸ εἰ χρεία ἐστὶ πλείονας κοινωνῆσαι, τοῦτο γίνεται. Οὐ τῇ ἐπικλήσει τοίνυν τοῦ ἁγίου Πνεύματος καὶ σφραγῖδι τὰ ἐν τῷ ποτηρίῳ ἐν τῇ προηγιασμένῃ λειτουργίᾳ καθαγιάζεται, ἀλλὰ τῇ μετοχῇ καὶ ἑνώσει τοῦ ζωοποιοῦ ἄρτου, σώματος ἀληθῶς ὄντος τοῦ Χριστοῦ, καὶ ἡνωμένου τῷ αἵματι.

QUÆSTIO LVII.

Num præsanctificatis sanctis donis aliquid per preces accedat?

Præsanctificata sanctissima munera nihil per preces quæ supra illa fiunt accipiunt: perfecta enim sunt. Idque abunde testantur preces quæ in Missa recitantur, tanquam quæ supplicationis et propitiationis sunt, pro nobis per proposita tremenda mysteria corporis et sanguinis Unigeniti Deum et Patrem nostrum propitium reddentes, aptosque nos ad communionem Christi constituentes. Introituum hic quidem Vesperi est, alter vero, ut dona ad altare transferantur, et nos ipsi, ea videntes et adorantes, eorum aspectu et gratia sanctificemur. Quid porro notent hi introitus, a nobis jam alibi dictum est. Sed nec unionem aliam facimus. Qua enim ratione id fiet, cum panis perfectus, sacrificatus, exaltatus, et divino sanguine tinctus sit? Verum in sacrum calicem immittitur sine ulla prece vinum et aqua, ut, divino pane diviso, et, ut ordo postulat, superiori particula in illum injecta, participatione illius, quæ in calice sunt, sanctitatem habeant; sicque, ut in Liturgia fieri solet, et pane et calice sacerdos communicet, aliisque sive in sacris ordinibus constitutis pro more intus sanctuarium, sive laicis, communione indigentibus, cochleari distribuat. Nos etiam, cum quempiam mysteriorum participem facere volumus sine prævio sacrificio, a conservato pane particulam desumentes, et vino atque aquæ immiscentes, sæpe etiam sic eo solo vivifico pane utentes, tanquam qui jam sanguine tinctus est, communionem expedimus. At in missa Præsanctificatorum, ut ordo communionis observetur, sicut diximus, et quod plures communicent, hoc fit. Non itaque invocatione Spiritus sancti et illius signaculo, quæ in calice sunt, in Præsanctificatorum missa sanctificantur, sed participatione et unione vivifici panis, qui vere corpus Christi est, et jam sanguine tinctus.

QUÆSTIO LVIII.

Num in Missa præsanctificatorum fragmen divini panis an integer afferri debeat?

Panis porro non debet esse particula, sed integer, ut in partes, uti moris est, dividi possit, fractusque distribuatur; hoc enim minus habet a missa perfecta. Et aqua calida tunc quoque intromittitur, non perfectionis alicujus gratia, cum nec in missa perfecta ob perfectionem aliquam intromittatur, sed ut tepido tremendo illo calice facto, illud animo concipiamus, etiam Christo demortuo, vivificum illius corpus a divinitate neque avulsum neque separatum, quemadmodum divina ejus anima, sed operationibus Spiritus fuisse oppletum. Illud quoque calida innuit, Spiritum esse vivificum, et vivifico Spiritu a Christo non sejuncto, neque divinitatem ab eo fuisse divisam. Immo et aqua imago est Spiritus, qui aqua nuncupatur, et calor, tanquam qui ab igne est divinitatis, quod Deus noster ignis absumens est; ideoque, cum eam infundit, dicit: «Calor Spiritus sancti, Amen.» Quare nullam majorem gratiam divina munera accipiunt, cum perfecta sint; sed causa nostri tantummodo proponuntur, ut per ea necnon et preces sanctificemur.

QUÆSTIO LIX.

Quare et in aliis anni diebus non celebretur missa Præsanctificatorum.

Diebus, quibus ex præscripto Præsanctificatorum missa non imperatur, ab ea celebranda abstinendum est: qui enim præter id quod traditum est agit, pœnis obnoxius fit. «Servate namque, ait Paulus, traditiones, quas tradidimus vobis, sive per vocem, sive per epistolam.» Hoc itaque et in aliis servandum est omnibus, quæ ab antiquo nobis tradita sunt.

QUÆSTIO LX.

Ecquis primus tradiderit divinum sanctumque habitum monachorum, quare angelicus dicatur, et quæ sit illius traditi ratio.

De angelica et divina monastica professione primus scripsit Dionysius: sed illam instituit ipse Salvator, observaverunt ejus discipuli. Non enim solummodo a sanctis Pachomio, Paulo Thebano et Antonio incepit et leges invenit, ut quidam dixerunt, sed ab ipso Salvatore et in apostolos invexit; nam et illi monastice vivebant in continentia, in paupertate, in cibis, in vestibus, in orationibus; et inter successores aucta est et inter sanctos Patres mirifice splenduit. Quidam etiam fideles idiotæ consecrandi accedebant huic vitæ tempore jam apostolorum: et hoc manifestum est in monacho Demophilo quem Dionysius vocat Dei famulum vel monachum, Deum colentem: et mysterium exponit monasticæ perfectionis, quam aperte ponit postremo ordine eorum qui se Deo colendo devovent. Illud et prophetæ præfigurabant sicut et cætera vitæ Salvatoris; crucem et passionem, resurrectionem et ascensionem, nativitatem ejus sine semine humano, sanctissimum ejus baptisma et sanctam ejus

A

ΕΡΩΤΗΣΙΣ ΝΗ'.

Ἐν τῇ λειτουργίᾳ τῶν προηγιασμένων χρὴ προσφέρειν καὶ τμῆμα τοῦ θείου ἄρτου ἢ ὅλον;

Ὀφείλει δὲ καὶ ὁ ἄρτος μὴ τμῆμα εἶναι, ἀλλὰ τέλειος, ὡς ἂν μελισθῇ κατὰ τὸ ἔθος, καὶ κλασθεὶς μεταδοθῇ. Τοῦτο γὰρ λείπεται ἀπὸ τῆς ἐντελοῦς λειτουργίας. Καὶ τὸ ζέον δὲ τότε εἰσάγεται, οὐ χάριν τινὸς τελειώσεως, ἐπεὶ οὐδὲ κατὰ τὴν τελείαν λειτουργίαν διὰ τελείωσίν τινα εἰσάγεται, ἀλλ' ἵνα χλιαροῦ τοῦ φρικτοῦ ποτηρίου γενόμενοι, ἐννοῶμεν, ὡς καὶ νεκρωθέντος Χριστοῦ, τὸ ζωοποιὸν αὐτοῦ σῶμα ἀχώριστον ἦν καὶ ἀδιαίρετον τῆς θεότητος, ὡς καὶ ἡ θεία ψυχὴ, καὶ τῶν ἐνεργειῶν τοῦ Πνεύματος πλῆρες. Καὶ τοῦτο τὸ θερμὸν ἐκτυποῖ, ὅτι ζωοποιὸν τὸ Πνεῦμα, καὶ τοῦ ζωοποιοῦ σώματος τοῦ B Χριστοῦ μὴ ἀποστὰν, οὐδὲ ἡ θεότης αὐτοῦ κεχώρισται. Ἅμα οὖν καὶ τὸ ὕδωρ τὸ Πνεῦμα εἰκονίζει, ὕδωρ καλούμενον, καὶ τὸ θερμὸν ὡς τοῦ πυρὸς τὴν θεότητα. Ὅτι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, φησί. Διὸ καὶ ἐπιλέγει, «Ζέσις Πνεύματος ἁγίου. Ἀμήν.» Ὅθεν καὶ οὐ πλείονα χάριν τινὰ τὰ θεῖα δῶρα λαμβάνουσι τέλεια ὄντα· ἀλλὰ δι' ἡμᾶς προτίθεται μόνον, ἵν' ἁγιασθῶμεν ἡμεῖς δι' αὐτῶν τε καὶ τῶν εὐχῶν.

ΕΡΩΤΗΣΙΣ ΝΘ'.

Διατί καὶ ἐν ἄλλαις τοῦ χρόνου ἡμέραις οὐ λειτουργεῖται ἡ λειτουργία τῶν προηγιασμένων.

Οὐ χρὴ παρὰ τὰς τεταγμένας ἡμέρας προηγιασμένα λειτουργεῖν· οὐ γὰρ παραδέδοται. Ὁ τοίνυν παρὰ τὰ παραδιδόμενα ποιῶν κανονίζεται. C «Φυλάσσετε γὰρ, φησὶ Παῦλος, τὰς παραδόσεις ἃς παραδώκαμεν ὑμῖν εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς.» Τοῦτο οὖν τηρητέον καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς παραδεδομένοις ἄνωθεν πᾶσι.

ΕΡΩΤΗΣΙΣ Ξ'.

Τὸ θεῖον καὶ ἅγιον σχῆμα τῶν μοναχῶν τίς ὁ παραδούς; καὶ πῶς ἀγγελικὸν λέγεται; καὶ διατί παραδέδοται;

Περὶ τοῦ ἀγγελικοῦ καὶ θείου μοναχικοῦ σχήματος πρῶτον μὲν ὁ θεῖος ἔγραψε Διονύσιος· τὸ περὶ τούτου δὲ καὶ αὐτὸς παρέδωκεν ὁ Σωτήρ. Καὶ τοῦτο οἱ τούτου ἐτήρησαν μαθηταί. Οὐ γὰρ ἀπὸ τῶν ὁσίων μόνον, Παχωμίου τε καὶ Θηβαίου Παύλου, καὶ Ἀν- D τωνίου τοῦτο ἤρξατο ἢ νενομοθέτηται, ὥς τινές φασιν, ἀλλ' ἀπ' αὐτοῦ τοῦ Σωτῆρος καὶ εἰς τοὺς ἀποστόλους ἐλθὸν, ἐπεὶ κἀκεῖνοι μοναδικῶς ἔζων ἔν τε ἁγνείᾳ καὶ τροφαῖς καὶ ἐνδύμασι καὶ ἀκτησίᾳ καὶ προσευχαῖς, καὶ εἰς τοὺς μετ' ἐκείνους ηὐξήθη, καὶ εἰς τοὺς ὁσίους Πατέρας ἐξέλαμψε. Καὶ ἱερωμένοι δὲ μετήρχοντο τοῦτο καὶ ἰδιῶταί τινες ἐν τῷ καιρῷ τῶν ἀποστόλων. Καὶ δῆλον ἀπὸ μοναχοῦ Δημοφίλου, ὃν θεραπευτὴν ἤτοι μοναχὸν, Θεὸν θεραπεύοντα, ἢ Θεοῦ θεράποντα καλεῖ Διονύσιος. Καὶ μυστήριον ἐκτίθεται μοναχικῆς τελειώσεως, καὶ τὴν τάξιν τούτου, ὅτι εὐθὺς μετὰ τοὺς ἱερωμένους ἐστί. Προετύπωσαν δὲ τοῦτο καὶ οἱ προφῆται, ὡς καὶ τὰ λοιπὰ τοῦ Σωτῆρος, τὸν σταυρὸν καὶ τὰ πάθη, καὶ τὴν ἀνάστασιν, καὶ ἀνάληψιν, καὶ τὸν χωρὶς σπορᾶς τόκον, καὶ τὸ

θειότατον βάπτισμα, καὶ τὴν ἱερὰν πολιτείαν, ὡς εἴρηται, καὶ σχεδὸν 355 ἅπαντα, καὶ πλεῖστοι τῶν δικαίων καὶ προφητῶν, μάλιστα δὲ Ἡλιοῦ ἀναχωρῶν, καὶ παρθένος μένων ὑπὲρ τὸν νόμον, καὶ Ἐλισσαῖος αὐτῷ καθυποτασσόμενος, καὶ οἰκῶν τὸ ὄρος, καὶ ὁ Βαπτιστὴς ὕστερον ἁγνὸς καὶ γυμνὸς καὶ ἄτροφος διαιτώμενος, καὶ ἐν ταῖς ἐρήμοις οἰκῶν καὶ κηρύττων μετάνοιαν. Τετελείωκε δὲ καὶ παραδίδωκεν, ὡς ἔφημεν, ὁ Σωτὴρ, δι' ὃν πάντα προετυπώθη, ὁ καὶ μόνος ὑπάρχων ἀλήθεια, ἐκ Παρθένου ἁγνῆς τεχθεὶς, καὶ παρθένος μένων, καὶ ἁγίως ζῶν, καὶ πτωχεύων, καὶ πεζοπορῶν, καὶ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι, καὶ εὐτελῶς διαιτώμενος, καὶ ὑποτασσόμενος ἄχρι θανάτου τῷ Πατρὶ, καὶ διωκόμενος καὶ θλιβόμενος καὶ πάσχων καὶ θανατούμενος, καὶ πάντα ὑποφέρων πρᾳέως, καὶ ἀναχωρῶν πολλάκις, καὶ κατ' ἰδίαν προσευχόμενος, τὰ τῆς ἡσυχίας τυπῶν· ὅτι καὶ τὰ τελειότερα ἐν τῷ ὄρει ἐδίδαξε, καὶ τὴν δόξαν αὐτοῦ τῆς θεότητος ἔδειξεν, ἣν ἀεὶ τοῖς καθαιρομένοις δι' αὐτὸν καὶ ποθοῦσιν αὐτὸν ὁλοκαρδίως φανεροῖ, καὶ μᾶλλον τοῖς ζητοῦσι δι' ἡσυχίας. Καὶ κοινοῦ δὲ βίου τάξιν ὑπέδειξε διὰ τῶν αὐτοῦ μαθητῶν. Καὶ τὸ καταλιμπάνειν δὲ πατέρας δι' αὐτὸν, ἀδελφούς τε καὶ γυναῖκα, καὶ τέκνα καὶ συγγενεῖς καὶ ἀγροὺς καὶ πάντα τὰ ἐν τῷ κόσμῳ, νενομοθέτηκε τοῖς θέλουσιν αἴρειν τὸν σταυρὸν, καὶ ὀπίσω αὐτοῦ ἀκολουθεῖν, καὶ μαθητὰς αὐτοῦ καὶ ἀξίους αὐτοῦ μόνους ἔφη τοὺς αὐτὸν ἀγαπῶντας μόνον πλέον τοῦ κόσμου παντός. Λοιπὸν τὸ σχῆμα τὸ ἅγιον καὶ προφητικὸν καὶ ἀποστολικὸν, καὶ ἐξαιρέτως ἀγγελικὸν, ὡς τὴν παρθενίαν τῶν ἀγγέλων μιμούμενον καὶ ὑποταγὴν καὶ ὑμνολογίαν, καὶ ἀκτημοσύνην, καὶ ἄγρυπνον προσευχὴν, καὶ δοξολογίαν καὶ λειτουργίαν ἀκάματον. Ἴδιά δὲ τοῦ Σωτῆρος ἡμῶν ἐστι πολίτευμά τε καὶ σχῆμα. Οὗτος γὰρ ἐπανορθῶν ἡμῶν τὴν φύσιν, καὶ εἰς τὸ ἀρχαῖον ἐπανάγων, καὶ Θεοῦ καθ' ὁμοίωσιν ποιῶν, ἡμῖν ἡνώθη, καὶ καθ' ἡμᾶς γέγονε. Καὶ ἀναιρῶν τὴν παροῦσαν τοῦ κόσμου φθαρτὴν ζωὴν, ἥτις συνέστη διὰ τῆς παραβάσεως καὶ ῥοῆς, τὴν ἐπουράνιον ταύτην ζωὴν καὶ πολιτείαν ὑπέδειξε. Καὶ λοιπὸν οὐκ ἔτι ἐπίγειος καὶ τοῦ κόσμου τούτου ὁ μοναχὸς, ἀλλ' ὑπερκόσμιος καὶ οὐράνιος, καὶ τὸ πολίτευμα ἀληθῶς μετὰ τοῦ Παύλου ἔχων ἐν οὐρανοῖς, καὶ τοῦτο ἐπαγγελλόμενος. Διὸ γινωσκέτω πᾶς μοναχὸς, ὡς οὐκ ἔστιν ἔτι τῆς παρούσης ζωῆς, ἀλλὰ τῷ βίῳ τούτῳ νενέκρωται, καὶ ἄφθαρτός ἐστι καὶ ἐπουράνιος ἄνθρωπος· καὶ κατὰ Παῦλον αὖθις εἰπεῖν, « Ὁ κόσμος αὐτῷ ἐσταύρωται, καὶ αὐτὸς τῷ κόσμῳ. » Καὶ τὸ σχῆμα δὲ τοῦ μοναχοῦ ἅπαν τοῦτο δηλοῖ. Καὶ μέλαν μὲν ἅπαν διά τε τὸ πένθος καὶ τὸν θάνατον τῆς σαρκὸς, καὶ τὸ ζοφῶδες τῆς ἁμαρτίας· ἐκ τριχῶν δὲ διὰ τὴν νέκρωσιν, καὶ τοὺς δερματίνους χιτῶνας. Καὶ χιτὼν μὲν διὰ τὴν ἐκ Θεοῦ χάριν, τὸ τῆς ἀφθαρσίας ἔνδυμα· παλλίον δὲ διὰ τὴν ἐκ Θεοῦ σκέπην· κουκούλιον δὲ διὰ τὴν ἀκακίαν καὶ φυλακὴν τῶν αἰσθήσεων, καὶ τὴν ταπεινοφροσύνην,

A conversationem, ut dictum est: omnia ferme ejus vitæ in plerisque sanctorum et prophetarum. Maxime quidem in Elia, qui, solus vivens, supra legem virgo permansit; et in Elisæo qui illi subjectus erat, et in monte habitabat, et in Baptista denique, qui castus, nudus vivebat, nec manducabat, et in desertis habitans pœnitentiam prædicabat. Hæc omnia adimplevit Salvator et continuanda tradidit ea quæ de ipso præfigurata fuerant. Solus enim est veritas et in veritate complevit omnia. Ex castissima Virgine natus est, virgo permansit, sanctissime vixit, cibum mendicavit, pedibus iter fecit, non habuit ubi caput reclinaret, parce vixit usque ad mortem Patri optime subjectus; persecutus, attritus et interem-
B ptus est, omnia æquo sustinens: sæpe loca remota petens, solus orabat, pacis desiderium significans; perfectiora in monte docuit, et in monte quoque gloriam divinitatis ostendit, quam in æternum possidendam concessurus erat omnibus qui illum toto corde desiderantes pacem maxime quæsierint. Apostolis autem suis normam communiter vivendi ostendit, aperte docens propter ipsum relinquendum esse patrem et fratres et uxorem, et filios, et affines et agros et omnia quæ in mundo sunt, præscripsitque eis tollere crucem, ut ipsum sequentes et diligentes super omnia quæ in mundo sunt ejus discipuli, magistro digni sic solum fieri possent. De reliquo vita ejus sanctissima ut prophetam decet, et apostolum, sive potius angelum; nam angelorum
C virginitatem imitatus est et obedientiam et concentus et paupertatem et vigilantem orationem et ad Deum laudes et indefessam adorationem: hæc erat propria Salvatoris nostri et vita et professio, et ita naturam nostram reparavit, et ad priorem reduxit gloriam, et nos exaltavit usque ad similitudinem Dei, dum similis nobis factus est: mundique corruptam et fluxam destruens vitam quæ nunc est et quæ in peccatis constituebatur, illam supercœlestem vitam et mortem docuit. Monachus igitur non terrenus est hujus mundi, sed cœlestis et super humana negotia, et ejus conversatio vere, juxta Paulum, in cœlis est, et hoc Jesus docuit. Idcirco omnis monachus sciat, quia non jam hujus est vitæ; sed præsenti vitæ mortuus, incorruptibilis et cœlestis homo esse debet: et cum Paulo dicat: « Mihi mundus crucifixus est, et ego mundo [30]. » Hoc enim et tota monachi persona demonstrat. Color niger ut ostendat luctum et tristitiam et interitum carnis, et peccati tenebras. Tonsura capillorum propter mortificationem. Tunica pellicea proter gratiam Dei, vestimentum puritatis. Pallium autem ut tegumentum Dei. Cucullio propter innocentiam et custodiam sensuum, et humilitatem et ad custodiendam puram et fortem animam in regendo corpore. Scapulare ad significandum crucem gestandam esse humeris post Salvatorem. Zona dicit fortitudinem, pudentiam et castitatem. Sandalia portat ut rectam ambulet viam

[30] Galat., vi 14.

et desuper gradiatur frangatque omnem inimici virtutem. Denique penula providentiæ Dei imaginem refert quæ omnia continet, regit et conservat; significat deinde sepulcrum corporis, et tandem nihil monachum posse facere de mundanis actibus, cum manus sub penula latentes habeat. In omnibus denique istis imago est crucis, nam crucifixa esse debet tota vita monachi; etenim crucem Domini imitatur et portat, cum, ut uno verbo dicam, habitus ille errorem depellat, et maledictum mortis auferat, et hominis substantiam liberet ab infirmitate, ab omni labe et arceat a voluptate: et paradisum aperit et cœlum, immortalitatem donat, et jam in terra cœlestis est principium vitæ. Indumenta vero monachi non solum oportet ut non sint variegata, sed neque serica vel linea esse debent, sed ex lana tantum et omnino paupertati consentanea, in operimentum solummodo gestata. Habitus enim monachi longe sit a lautitia et a splendore et magnificentia: sed tantum habeat quæ necessaria sint et quasi redoleant indigentiam, minime vero superfluitatem. Curent enim ita vivere, ut adorent atque serviant constanter juxta prophetas et apostolos.

καὶ τοῦ ἡγεμονικοῦ δὲ τὸ καθαρόν τε καὶ περιφυλακτικόν· ἀνάλαβος δὲ διὰ τὸ τὸν σταυρὸν ἐπ' ὤμων αἴρειν καὶ ἀκολουθεῖν τῷ Σωτῆρι· ζώνη δὲ διὰ τὴν ἰσχὺν, τὴν σωφροσύνην τε καὶ ἁγνείαν· ὑποδήματα δὲ, ἵνα τὴν εὐθεῖαν ὁδὸν ὁδεύῃ, καὶ ἐπάνω βαίνῃ πάσης δυνάμεως τοῦ ἐχθροῦ· ὁ μανδύας δὲ διὰ τὸ περιεκτικὸν τῆς θείας προνοίας καὶ συνεκτικὸν καὶ φυλακτικὸν, καὶ διὰ τὸ εἰκονίζειν τὸν τοῦ σώματος τάφον, καὶ τὸ μὴ δύνασθαί τι πράττειν ὅλως τῶν κοσμικῶν, ἔνδον τὰς χεῖρας ἔχοντα. Καὶ ἐν πᾶσι τούτοις σταυρικὸς τύπος, ὅτι ἐσταυρωμένος ὅλος ὁ βίος τοῦ μοναχοῦ, καὶ τῷ ἐσταυρωμένῳ ἕπεται. Καὶ τὸν σταυρὸν αὐτοῦ μιμεῖται καὶ φέρει, καὶ ἁπλῶς τοῦτο τὸ σχῆμα τὴν παρακοὴν καταλύει, καὶ τὴν ἀρὰν τοῦ θανάτου, καὶ τὴν διὰ ῥοῆς μολυσμοῦ τε καὶ ἡδονῆς ἀνθρωπίνην σύστασιν. Καὶ τὸν παράδεισον διανοίγει. Καὶ τὸν οὐρανὸν αὐτὸν, καὶ τὴν ἀθανασίαν χαρίζεται· καὶ τῆς αἰωνίου ζωῆς ἐστιν ἀπαρχή. Τὰ ἐνδύματα δὲ τοῦ μοναχοῦ οὐ μόνον ποικίλα εἶναι οὐ χρὴ, οὔτε σηρικὰ, οὔτε ἀπὸ λίνου, ἀλλὰ καὶ ἐξ ἐρίου πενιχρὰ, καὶ μόνον εἰς σκέπην. Πόῤῥω γὰρ τοῦ μοναχικοῦ σχήματος πᾶσα **356** θρύψις καὶ περιττότης. Χρεία δὲ μόνον τῶν ἀναγκαίων καὶ τῶν ἀνηκόντων τῇ ἀσθενείᾳ, καὶ τούτων οὐ περιττῶν. Καὶ τὸ ἐζωσμένους δὲ εἶναι ἀναγκαῖον, ὡς λειτουργοῦντας Θεῷ καὶ διακονοῦντας αὐτῷ κατὰ τοὺς προφήτας καὶ ἀποστόλους.

QUÆSTIO LXI.

Quam significationem habeant indumenta monachi, et num semper hunc illis indutum esse oporteat.

Quisque debet suæ professionis insignia proferre: hæc enim inducunt in sanctissimam ejus notionem: ad id enim forma vestium sacrarum religionis instituta est, ut illis induti in memoriam adducamur eorum quæ significant. Pondus autem non sunt, nec ferreum onus, nec vinculorum catena: in illis denique monachi sepeliuntur; et sacerdotes cum sacerdotali ornatu sepulti inveniuntur. Non quod cum illis resurrecturi sint, sed symbolum quoddam divinorum mysteriorum præ se ferunt, quo significetur eum qui talibus induitur vitam ad eorum virtutem instituisse; aut si ante non sic vixerit, simul ac illas vestes suscepit ad novam et sanctam earum normam se statuisse gerere. Quisque ergo maneat in suo ordine proprio, et consequenter sive monachus sive sacerdos suæ professionis et ordinis vestes induat, et sic accedat ad Deum, ut sit in religione vel in sacerdotio beatus. Cum vero et præsens tempus sit laboris meta, futurum contra mercedis requies, certo sciat ideo unusquisque, in quo ordine beate et sancte vixerit, in eodem gloriose constituendum fore. Idcirco quemque oportet in suo proprio habitu sepeliri, ne moriens gloria sua quasi exuatur.

ΕΡΩΤΗΣΙΣ ΞΑ'.

Τίνα σημασίαν τὰ τοῦ μοναχοῦ ἐνδύματα κέκτηται· καὶ εἰ χρὴ ταῦτα τοῦτον πάντοτε ἐνδεδῦσθαι.

Καὶ πάντα τὰ σύμβολα δὲ τοῦ σχήματος ἐνδεδῦσθαι χρή. Εἰς ἔννοιαν γὰρ ἄγουσι θειοτέραν. Καὶ διὰ τοῦτο τετύπωται, ἵνα αὐτὰ ἐνδυόμενοι, εἰς ὑπόμνησιν ἐρχώμεθα ὧν τυποῦσι. Καὶ οὐ βάρος ἐκ τούτου· οὐ γὰρ σιδηρᾶ ταῦτα, ἢ ἕτεροί εἰσι δεσμοί· καὶ ὅτι συνθάπτεται ταῦτα τοῖς μοναχοῖς. Καὶ τοῖς ἱερεῦσι δὲ τὰ τῆς ἱερωσύνης ἁρμόδιον· οὐχ ὅτι μετ' αὐτῶν ἀναστήσονται, ἀλλ' ὅτι σύμβολα ταῦτα θείων τινῶν, καὶ πρὸς τὴν δύναμιν τούτων ὁ ἐνδυσάμενος ἔζησεν. Εἰ δὲ μὴ ἔζησεν οὕτως, ὅμως ἦλθε καὶ ὑπέταξεν ἑαυτόν. Ἐπεὶ οὖν ἕκαστος ἔσται ἐν τῷ οἰκείῳ τάγματι, καὶ ὁ μοναχὸς, καὶ ὁ ἱερεὺς ἐκ τῶν ἐντεῦθεν τὰ τοῦ σχήματος καὶ τῆς τάξεως περιβάλλεται, καὶ σὺν τούτοις Θεῷ προσφέρεται· καὶ ὅτι ἐν τῷ σχήματι ἢ τῇ ἱερωσύνῃ εὑρέθη. Καὶ ἐπεὶ ὁ παρὼν μὲν καιρὸς ἐργασίας, ὁ δὲ μέλλων ἀνταποδόσεως, μαρτυρεῖται ἐντεῦθεν ἕκαστος, ὡς ἐν ᾧπερ εὑρέθη τάγματι, κἀκεῖ συνταγήσεται. Διὸ καὶ μετὰ τοῦ ἁρμοδίου τῇ τάξει σχήματος συνθάπτεσθαι δέον, ἵνα μὴ δόξῃ ὡς τοῦτο ἀπεβάλλετο θνήσκων.

QUÆSTIO LXII.

Quidam ex infirmitate aut ob aliam causam sedentes psallunt, sive in itinere, sive in nave, sive domi: alii totum precum officium absolvunt vesperi, alii alio tempore: quid igitur faciendum? num officium precum ideo quia sedeat aliquis, intermittendum, aut aliter agendum?

Hæc dicit Apostolus: « Sine intermissione ora-

ΕΡΩΤΗΣΙΣ ΞΒ'.

Τινὲς ἀσθενείᾳ ἢ καὶ ἄλλῳ τρόπῳ τινὶ καθήμενοι ψάλλουσιν ἢ ἐν ὁδῷ ἢ ἐν πλοίῳ ἢ οἴκῳ· τινὲς δὲ καὶ ἐν ἑσπέρᾳ τὴν ἀκολουθίαν πᾶσαν πληροῦσιν, ἄλλοι δὲ ἐν ἄλλοις καιροῖς. Τί οὖν ποιητέον; παραιτητέον τὴν ἀκολουθίαν διὰ τὸ καθῆσθαι, ἢ ἄλλο τι ποιεῖν;

« Ἀδιαλείπτως προσεύχεσθε ἐν παντὶ εὐχαρι-

στεῖτε », φησὶν ὁ Ἀπόστολος. Καὶ, « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. » Καὶ ὁ Κύριος, *Γρηγορεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι*. Καὶ ὁ Δαβὶδ, *Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ*. Λοιπὸν πᾶς καιρὸς ἀναγκαῖος εἰς προσευχήν· καὶ τοῦτο ποιεῖν ὀφείλομεν διαπαντός. Διὸ οὔτε ἐν ὁδῷ, οὔτε ἐν τραπέζῃ, οὔτε ἐν κλίνῃ, οὔτε ἐν ἔργῳ, οὔτε ἐν διαλέξεσιν, οὔτε ἐν ἄλλῳ καιρῷ τινι, ἀφίστασθαι δεῖ τῆς προσευχῆς. Τὸ δὲ ἱστάμενον ψάλλειν, ἢ καθήμενον, ἢ ἀφ' ἑσπέρας, ἢ πρωῒ, κατὰ τὴν προαίρεσιν ἑκάστῳ ἔσται δεόντως, καὶ τὴν τοῦ σώματος δύναμιν, καὶ κατὰ τὴν ἀσθένειαν, καὶ τὴν τοῦ οἰκονομοῦντος πνευματικὴν διάκρισιν. Ἐπεὶ καὶ πάντα διακρίσει θείων ἀνδρῶν καὶ συμβουλῇ χρὴ ποιεῖν. Τέως ἀπαράβατα πᾶσιν ἔστω τὰ παραδεδομένα τῇ Ἐκκλησίᾳ. Καὶ πάντας μὲν χρὴ προστρέχειν τοῖς θείοις ναοῖς, ὡς καθιερωμένοις Θεῷ καὶ προσευχῆς οὖσιν οἴκοις, ἐν οἷς καὶ τὰ θεῖα θυσιαστήρια δύναμιν ἔχοντα ἀνάγειν ἡμῶν τὰς προσευχὰς τῷ Θεῷ, ἰδίᾳ δὲ τοῖς μοναχοῖς. Καὶ ἔτι τοὺς ἀναχωροῦντας καὶ ἡσυχάζοντας ἔν τε Κυριακαῖς προστρέχειν καὶ ἑορταῖς, ἵνα καὶ τῆς ἀπὸ τῆς θείας ἱερουργίας μετέχωσιν ὠφελείας, καὶ κοινωνίας ἀξιῶνται τῶν μυστηρίων διὰ τοῦ ἱερέως, καθὰ νενόμισται, καὶ τὴν ὑποταγὴν διδῶσι τῇ Ἐκκλησίᾳ, καὶ μὴ οἰήσει νομίζωσιν ὑπὲρ τοὺς ναοὺς εἶναι τὰ ἴδια καταγώγια, μηδὲ τὰς ἰδιαζούσας προσευχὰς κρείττονας ἡγεῖσθαι τῶν παρὰ τῆς Ἐκκλησίας ἐνεργουμένων. Καὶ γὰρ Πέτρον ὠφέλησεν ἡ τῆς Ἐκκλησίας προσευχή. Καὶ Παῦλος αὐτὴν αἰτεῖται, « Προσεύχεσθε, λέγων, ὑπὲρ ἡμῶν. » Καὶ, « Συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει. » Καὶ, « Εὔχεσθε ὑπὲρ ἀλλήλων, » διδάσκει ὁ Ἀδελφόθεος· « Καὶ ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, » φησὶ Παῦλος.

A te. In omnibus gratias agite [31-1]. » Et iterum : « Sive manducatis, sive bibitis, sive aliud quid facitis, omnia in gloriam Dei facite [2]. » Et Dominus : « Vigilate ergo, omni tempore orantes [3], » Et David : « Benedicam Dominum in omni tempore [4]. » Cæterum omne tempus utile ad orandum : et nullum debemus ab oratione expers terere. Quare neque in via, neque in mensa, neque in lectulo, neque in labore, neque inter colloquia, neque in alio quovis tempore, ab oratione deficere oportet. Psallere autem stando, vel sedendo, vel sub vesperam, vel mane : hoc juxta morem cujusque constituendum vel pro viribus corporis, et habita ratione infirmitatis, et prout judicaverit qui spiritualiter præest : quia absque judicio et consilio sanctorum virorum B nihil faciendum est. Sed ante omnia nulli prætermittenda sunt quæ tradita et constituta sunt ab Ecclesia. Omnes ergo ad sancta templa properare debent, quia Deo consecrata et domus orationis facta sunt : in illis insuper sacra sunt altaria a quibus et orationes nostræ vim mutuantur ut ad Deum ferantur; maxime monachis hoc speciale munus erit. Etiam anachoretice viventes et silentes ad templa convenire debent diebus Dominicis et festis ut partem habeant fructuum sanctissimi sacrificii, et dignentur communicare mysteriis de manu sacerdotis, ut præscriptum est, et sic obediant Ecclesiæ; nec porro super templa esse eorum privata hospitia æstiment, neque suas singulares et privatas preces efficaciores esse judicent C precibus quæ publice et solemniter ab Ecclesia fiunt. Petrum liberavit Ecclesiæ oratio [5], et Paulus illam humiliter implorat dicens : « Orate pro nobis. [6] » Et : « Adjuvantibus et vobis in oratione pro nobis [7]. » Et docet Frater Domini : « Orate pro invicem [8] ». Et addit Paulus : « Ut unanimus in uno Spiritu (*al.* uno ore) honorificetis Deum et Patrem Domini nostri Jesu Christi [9]. »

357 ΕΡΩΤΗΣΙΣ ΞΓ'.

Εἰ δεῖ ἐργοχειρεῖν καὶ ψάλλειν.

Καὶ τὸ ἐνεργεῖν δὲ ἐργόχειρον καὶ προσεύχεσθαι ἔργον μοναχοῦ. Ἐπεὶ, « Ἀδιαλείπτως, φησὶ Παῦλος, προσεύχεσθε. » Καὶ, « Ὅσα ἂν ποιῆτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε· » ἡ γὰρ προσευχὴ παντὸς ἔργου θείου κεφάλαιον· καὶ αὐτὴ μόνη ἡ Θεῷ ἑνοῦσα τὸν ἄνθρωπον. Τοῖς οὖν ἀκριβεστέροις τῶν μοναχῶν αὕτη μόνη ἐργασία διηνεκὴς, καὶ οὐδὲν ἄλλο ἔργον. Πλεῖστος δὲ ὁ περὶ τῆς προσευχῆς λόγος, καὶ ἐξετάζων παρὰ τοῖς ἁγίοις τοῦτον καὶ τοῖς πεῖραν ταύτης ἔχουσιν εὑρήσεις τε καὶ μαθήσῃ.

QUÆSTIO LXIII.

Num simul manibus operari et psallere sive precari deceat.

Manibus operari et orare simul, hoc opus monachi, cum Paulus dicat : « Sine intermissione orate, » et : « Quæcunque facitis omnia in gloriam Dei facite. » Etenim oratio caput est omnis sancti D operis, quæ sola Deo hominem conjungit. Diligentioribus ergo officii sui monachis hæc sola jugis occupatio, et nullus alius labor. Multa de oratione dicenda, quæ si a sanctis quærantur et ab eis qui ejus experientiam habent, invenientur et discentur.

ΕΡΩΤΗΣΙΣ ΞΔ'

Περὶ τῶν ἑπτὰ αἰώνων, καὶ πότε τὸ τέλος.

Τὸ, « Δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτὼ, » περὶ τοῦ μέλλοντος αἰῶνος νοοῦσιν οἱ ἅγιοι, ὡς καὶ ὁ Θεολόγος Γρηγόριος. Ἑπτὰ μὲν τὸν ἑβδοματιαῖον

QUÆSTIO LXIV.

De septem ætatibus sive temporibus, et quando horum finis?

Quod dicitur : « Da partem illis septem, aut saltem illis octo, » sancti opinantur dictum de futuro sæculo; ita Gregorius Theologus. Septenario dicunt

[31-1] I Thess. v, 16, 17. [2] I Cor. x, 31. [3] Luc. xxi, 36. [4] Psal xxxiii, 1. [5] Act. xii, 5. [6] I Thess. v, 25. [7] II Cor. i, 11. [8] Jac. v, 16. [9] Rom. xv, 6.

indicari quemdam ad instar hebdomadis dierum circulum. Et octonario significari volunt sæculum futurum, utpote finem non habiturum. Quamobrem, dicunt, Moyses *primam* diem vocavit *unam*, quia *prima* est quasi in capite hebdomadis, scilicet Sabbatum. Octava vero est post completam hebdomadem, in qua resurrexit Dominus, et quæ erit ultima dies resurrectionis omnium, qua elapsa non jam erit nox, sed una erit ipsa dies.

QUÆSTIO LXV.

Num finem habiturus sit mundus.

Quod finem habiturus sit mundus universus, hoc demonstrat quia partes ejus finem habere videmus, et maxime quia homo moritur, propter quem tamen mundus iste universus factus est. Et quidem mundi fabricatio tota absoluta est circulo septem dierum. Et nunc homo in hebdomada annorum ad florentem attingit ætatem vicibus variis. Ipsaque corporis mala vitiaque hebdomadibus singulis vel semi-hebdomadibus crises suas vario discrimine patiuntur. Cæterum non desunt qui septem planetas septemque zonas earumque diversas motiones curiose observent ut ex his mundum præsagiant in septima ætate convellendum. Alia est scientia doctrinaque Ecclesiæ, nec talibus innixa deliramentis; pulchre enim sentit universa secundum Dei beneplacitum fuisse constituta et consistere, et sicut ad veram utilitatem ex nihilo cuncta processerunt, ita quoque ad veram utilitatem in melius mutanda fore : et tunc solum, cum in mundo non invenietur virtus, cujus caput est charitas, propter quam et Deus omnia fecit, et Filium suum unigenitum pro nobis donavit. Quare ipse Filius finis nobis indicavit signum, cum jam non erit charitas inter homines. Sed tunc deficiet in multis charitas, cum completa fuerit iniquitas et abominatio. « Qui autem perseveraverit usque in finem « hic salvus erit [10]. » Qui ergo finis doctrinam adulterant, impii sunt, Græcorum deliria sectantes et omnes Evangelii et sacrarum Scripturarum sententias perimentes.

τοῦτον λέγοντες χρόνον· ὄγδοον δὲ τὸν μέλλοντα, ὡς ἀπέραντον. Δι' ἣν αἰτίαν, φασὶ, καὶ μίαν εἶπε Μωϋσῆς ἡμέραν τὴν πρώτην, ὡς πρώτην μὲν οὖσαν πρὸς τὴν ἑβδόμην, τὸ Σάββατον δηλονότι, ὀγδόην δὲ μετὰ τὴν ἑβδόμην, καθ' ἣν καὶ ἀνέστη ὁ Κύριος, καὶ ἡ τελευταία ἡμέρα τῆς κοινῆς ἀναστάσεως γενήσεται, μεθ' ἣν οὐκ ἔσται ἔτι ποτὲ νὺξ, ἀλλ' αὐτὴ μόνη μία ἔσται ἡμέρα.

ΕΡΩΤΗΣΙΣ ΞΕ'.

Εἰ τέλος ἔχει ὁ κόσμος.

Τὸν κόσμον τελευτᾷν, τὰ μέρη αὐτοῦ τελευτῶντα δεικνύουσι, καὶ μᾶλλον ὁ ἄνθρωπος ἀποθνήσκων, δι' ὃν ὁ κόσμος οὗτος γεγένηται. Καὶ ὁ κόσμος ἐν ἑπτὰ κυκλοφορούμενος ἵσταται ἡμέραις. Καὶ ὁ ἄνθρωπος δὲ καθ' ἑβδομάδα ἐνιαυτῶν ἡλικίαν ἀμείβει. Καὶ τὰ νοσήματα δὲ τοῦ σώματος, ὥς φασί τινες, ἢ ἐν ἑβδομάσιν, ἢ ἐν ἡμίσεσιν ἑβδομάδων κρίνονται. Λοιπὸν σκοποῦσί τινες καὶ διὰ τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἑπτὰ ζώνας, καὶ τὰς ἐν αὐταῖς κινήσεις αὐτῶν, ὡς καὶ τῷ ἑβδόμῳ αἰῶνι ὁ κόσμος οὗτος ἀλλοιωθήσεται. Ἀλλ' ἡ τῆς Ἐκκλησίας γνῶσις οὐκ ἐν τούτοις, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ βουλῇ τὸ πᾶν ἵστασθαι φρονεῖ. Καὶ ὡς δι' ὠφέλειαν συνέστη ἐκ μὴ ὄντων τὸ πᾶν, καὶ δι' ὠφέλειαν εἰς τὸ κρεῖττον ἀλλοιωθήσεται· καὶ τότε, ὅτε οὐκ ἀπολειφθήσεται ἐν τῷ κόσμῳ ἡ ἀρετὴ, ἧς κεφάλαιον ἡ ἀγάπη. Δι' ἣν ἀγάπην καὶ Θεὸς τὰ πάντα πεποίηκε, καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ὑπὲρ ἡμῶν δέδωκε. Διὸ καὶ αὐτὸς σημεῖα περὶ τοῦ τέλους φησὶν, ἐν τῷ μὴ εἶναι τὴν ἀγάπην λέγων. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. « Ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. » Οἱ ἀθετοῦντες οὖν τὴν συντέλειαν δυσσεβεῖς, καὶ τὰ τῶν Ἑλλήνων φρονοῦντες, καὶ πάντα ἀθετοῦντες τὰ τοῦ Εὐαγγελίου καὶ τῶν ἁγίων Γραφῶν.

QUÆSTIO LXVI.

Quomodo peccata cujusque in judicio extremo manifestabuntur?

Unicuique sua peccata animo repræsentat remordens conscientia et, cui nihil latet, judicis intima reformidatio. Sed cum omnes in incorruptionem immutabimur crassa omnia pondera quisque alterius peccata intelliget per quædam indicia : sicut nunc per formas humanas et crassiores quidam dignoscitur. Si ergo hic jam cognoscitur impuritas vasorum, quanto magis tunc cum illuxerit lucis veræ radius! Sicut enim sol justi resplendebunt, et sic apparebunt qui non erunt justi, et quisque eorum seipsum condemnabit.

QUÆSTIO LXVII.

Quid apud Theologum Gregorium Nazianzenum denotet vox συνούλωσις (cicatrices veluti remanentes in pœnitentibus de peccatis post baptismum admissis).

Peccati reparatio in eo esse Theologo videtur

[10] Matth. x, 22.

ΕΡΩΤΗΣΙΣ ΞϚ'.

Πῶς ἐνώπιον τὰ ἁμαρτήματα δείκνυται.

Ἑκάστῳ τὰ ἁμαρτήματα ἐνώπιον παριστᾷ αὐτὸ δὴ τὸ συνειδὸς, καὶ τὸ ἀλάθητον τοῦ κριτοῦ. Ἀλλὰ καὶ πάντες εἰς ἀφθαρσίαν ἀλλοιωθέντες ὡς πάχους ἀπηλλαγμένοι, ἕκαστος τὰ ἑκάστου ἔσται κατανοῶν ἀπό τινων γνωρισμάτων, ὡς καὶ νῦν ἀπὸ σχημάτων ἀνθρωπίνων καὶ παχυτέρων τινὲς γνώριμοι γίνονται. Εἰ οὖν ἐνταῦθα, πολλῷ δὴ μᾶλλον τότε, τοῦ ἀληθινοῦ λάμψαντος φωτὸς, ὅτε τὰ μὴ καθαρὰ σκεύη γνωσθήσονται· ὡς γὰρ οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, καὶ οἱ μὴ τοιοῦτοι φανερωθήσονται· καὶ ἕκαστος ἑαυτὸν τῶν ἀδίκων κατακρινεῖ.

358 ΕΡΩΤΗΣΙΣ ΞΖ'.

Τίς ἡ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ συνούλωσις.

Συνούλωσις δὲ τῷ Θεολόγῳ δοκεῖ ἡ διὰ τῆς μετα-

νοίας τῶν τραυμάτων τῆς ἁμαρτίας ἴασις· ἥτις εἰ καὶ ἀληθῶς ἴσταται, καὶ ἰατρεία τελεία γίνεται, ἀλλὰ τοῖς μετὰ τὸ βάπτισμα πταίσασιν ἔτι καὶ σημεῖα μένουσι τῶν πληγῶν. Μία γὰρ καὶ μόνη ἀνάπλασις ἡ καὶ τὰς οὐλὰς ἐξαλείφουσα, τὸ βάπτισμα μόνον, καὶ μετ' αὐτὸ τὸ μαρτύριον.

A quod per pœnitentiam vulnera peccatorum curantur; quæ etsi vere dicatur peccati medicina, et fieri possit perfecta sanatio, tamen in iis qui post baptismum peccaverunt manent cicatrices plagarum et symptomata morborum : una est perfecta reparatio quæ etiam animæ vulnera et peccati reliquias ex integro tollat, baptisma scilicet et post baptisma martyrium.

ΕΡΩΤΗΣΙΣ ΞΗ'.

Τίς ἡ παρὰ τῷ ἁγίῳ Μακαρίῳ ζόφωσίς τε καὶ δυσωδία.

Ζόφωσις δὲ καὶ δυσωδία, ὡς παρὰ τῷ ἁγίῳ γέγραπται Μακαρίῳ, καὶ νῦν ἐστι νοητῶς ταῖς τῶν ἀμετανοήτως ἁμαρτανόντων ψυχαῖς, καὶ ταῖς ἐξερχομέναις δίχα μετανοίας τοῦ σώματος. Ἐπειδὴ γὰρ δι' ἐξαγορεύσεως καὶ μετανοίας ἔργων καὶ τῶν δακρύων οὐκ ἀπεπλύνθησαν, περιφέρουσι τὴν δυσωδίαν αὐτῶν καὶ ἀσχημοσύνην, ὡς καὶ οἱ δαίμονες, οἱ καὶ πολλοῖς τῶν ἁγίων ὡς κύνες ἢ χοῖροι ἢ δυσωδία τάφου ὀφθέντες ἔδοξαν, μὴ τὸν θεῖον φωτισμὸν ἔχοντες, μηδὲ τὴν εὐωδίαν τοῦ Πνεύματος.

QUÆSTIO LXVIII.

Quid apud S. Macarium caligo et fœtor.

Caligo et fœtor, secundum quod scribit sanctus Macarius, etiam nunc intellectualiter inest animabus peccatorum impœnitentium, et quæ e corpore exeunt absque pœnitentia. Cum enim non se laverint B et confessione et pœnitentiæ operibus et lacrymis, secum circumferunt fœtorem et deformitatem, sicut olim dæmonibus accidit, qui multis sanctis, ut antea notavi, apparuerunt sub forma canum, porcorum cum sepulcri fœtore, divini splendoris et suaveolentiæ sancti Spiritus penitus expertes.

ΕΡΩΤΗΣΙΣ ΞΘ'.

Εἰ ἄφεσιν λαμβάνει πᾶς ἐξομολογούμενος, καὶ ἐν τρισὶν ὥραις, ὡς ὁ Χρυσορρήμων φησί.

Διὰ τῆς γνησίας μετανοίας πᾶς ἄνθρωπος ἐκκαθαίρεται, ἐν τῷ ἐξαγορεῦσαι κατὰ μέρος τὰς ἁμαρτίας, καὶ ἐκκλῖναι τοῦ κακοῦ, καὶ ἄρξασθαι τοῦ ἀγαθοῦ, καὶ δοῦναι τῷ Θεῷ λόγον, μηκέτι ποιῆσαι τὴν ἁμαρτίαν. Εὐθὺς γὰρ ἅμα λαμβάνει τὴν ἄφεσιν, καὶ οὐχ ἐν τρισὶν, ὡς φῂς, ὥραις. Καὶ δῆλον ἀπὸ τῆς προσελθούσης τῷ Χριστῷ πόρνης, C καὶ τοῦ ἀσώτου, καὶ τοῦ τελώνου, καὶ τοῦ παραλυτικοῦ ἐγερθέντος. Δεῖ δὲ τηρῆσαι τὸ δῶρον, καὶ τὰ τῆς μετανοίας φυλάξαι, μή ποτέ τι χεῖρον αὐτῷ τῷ μεταγνόντι παραβάντι γένηται, ὡς καὶ τῷ παραλυτικῷ αὐτὴ φησιν ἡ ἀλήθεια· « Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. » Ἄφεσιν μὲν οὖν λαμβάνει εὐθὺς μετανοήσας καθαρῶς ὁ ἄνθρωπος, οὐ μὴν δὲ καὶ τιμὰς καὶ ἀνάβασιν. Ἀλλ' ἀφείθη μὲν μὴ ἀποθανεῖν, κατάκριτος ὢν ἀποθανεῖν, τουτέστι μὴ κολασθῆναι· οὐ μὴν δὲ καὶ ἄξιος τοῦ γέρα λαβεῖν καὶ στεφάνους. Διὸ ἀγωνιστέον τούς τε ζῶντας ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῶν οἰκείων τεθνηκότων. Συμβαίνει δὲ καὶ τὸ πρόθυμον τῆς μετανοίας ὡς ἐπὶ τοῦ λῃστοῦ καὶ ἀσώτου καὶ τῆς πόρνης ἐκείνης φιλανθρωπίᾳ τοῦ Δεσπότου, οὐ μόνον τὴν ἄφεσιν, ἀλλὰ καὶ δῶρα χαρίσασθαι. « Ἀμὴν γὰρ, φησὶ, λέγω σοι, ὅτι ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ. Ὧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. » Κατὰ τὴν πίστιν ἄρα καὶ τὸ πρόθυμον τῆς ψυχῆς καὶ ἡ ἄφεσις χορηγεῖται, ὡς καὶ, « Κατὰ τὴν πίστιν σου, φησὶ, γενηθήτω σοι. »

QUÆSTIO LXIX.

Num remissionem consequatur quisquis confitetur, idque et tribus horis, ut ait Chrysostomus.

Per veram pœnitentiam omnis homo mundatur, sua sigillatim confitendo peccata, declinando a malo, et se ad bonum convertendo, Deoque vere promittendo se non amplius peccaturum : statimque et simul veniam habet, non tribus horis, ut dicis. Et hoc manifestum est ex ea meretrice quæ ad Christum accessit, et ex prodigo, et ex publicano, et ex paralytico sanato. Servandum est ergo donum et jura pœnitentiæ observanda, ne quid deterius fiat peccatori converso, ut ipsa Veritas sanatum paralyticum monitum voluit : « Ecce sanus factus es : jam noli peccare, ne deterius tibi aliquid accidat [11]. » Veniam quidem suscipit homo legitime pœnitens, non vero honorem et ad majora progressum : sed condemnatus ad mortem ab illa eximitur, hoc est a pœna ipsi luenda : nondum tamen dignus habetur mercede et corona. Quare contendant dum vivunt homines et pro seipsis et pro parentibus mortuis. Alacri et impigro pœnitentiæ zelo idem contingit ac latroni et meretrici ipsi, ut nempe D benevolentia Domini donetur non solum venia sed et aliis muneribus. Dicit enim Dominus : « Amen dico tibi : remittuntur ei peccata multa, quoniam dilexit multum. Cui autem minus dimittitur, minus diligit [12]. » Igitur secundum fidem et animæ contentionem et venia mensuratur, ut dixit : « Secundum fidem tuam fiat tibi [13]. »

ΕΡΩΤΗΣΙΣ Ο'.

Πόθεν τὰς ἀφορμὰς τῆς ἀφέσεως καὶ μετανοίας οἱ ἀπόστολοι ἔλαβον.

Ποῦ δὲ τὸ τῆς ἀφέσεως εἶπεν ὁ Κύριος, καὶ ἔλαβον οἱ ἀπόστολοι ἀφορμήν; Ἐν παντὶ τῷ Εὐαγ-

QUÆSTIO LXX.

Unde apostoli acceperint ansam tradendæ remissionis peccatorum ac pœnitentiæ.

Ubi de concedenda remissione locutus est Dominus, et eamdem facultatem acceperunt apostoli? In

[11] Joan. v, 14. [12] Luc. vii, 47. [13] Matth. ix, 29.

toto Evangelio hoc prædicavit, hoc docuit, hoc remissionis peccatorum donum discipulis tradidit. Illud præscripsit postulari enixis precibus, quia majus est donum nobis concessum, et omne nostræ spei fundamentum. Illud apostolis dedit munus et Petro ante resurrectionem, et post resurrectionem iteravit.

QUÆSTIO LXXI.

Quare in hac vita multos modos demittentis se ad nos benignitatis, bonitatis ac pœnitentiæ Deus demonstrat, in altera autem rigide atque in æternum puniet? ubi igitur ejus bonitas?

Bonus supra modum est Deus, et bonitatis ejus non est omnino finis, et nunquam a bonitate decessurus est, cum unus sit natura bonus et solus omnino immutabilis. Idcirco sive quosdam beatificet, sive quosdam puniat, utrumque optime facit, cum sit natura bonus et justus. Justitiæ nunquam obliviscens, bonitate sola nos ex nihilo produxit, et cum justitia gubernat. Omne bonum in nostrum creavit commodum; unde etiam eduxit mundum hunc quem videmus universum, paradisum quoque creans propter nos, in illo futura nobis bona disponens, quibus pro justitia et opportune fruamur omnibus bonis, hic præsentibus, illic futuris. Ad imaginem nam propriis manibus nos plasmavit. In nobis posuit animam, intelligentia, ratione et voluntate præditam, quam replevit totius sapientiæ et scientiæ donis, in ipsa superseminans divina omnium virtutum semina: ita ut etiam sine magistro nosse possimus et quæ Deo sunt grata et quæ odit Deus; sed et horum a principio magistros præbuit. Primo quidem creationem omnem ostendit voluntati suæ optime obedientem et ipsa motam, ut nos quoque Deo obediamus, et ejus beneplacito moveamur. Deinde præbuit sanctorum patriarcharum et prophetarum ingentem multitudinem: legemque desuper constituit; mirabilia operatus est signa; malos et peccatores minis primum insecutus punivit; bonis benedixit; denique, ingravescente malitia, venit ipse sua sponte Dei Verbum descendens usque ad nos propter nos; carnem sanctam ex Virgine sumpsit, divinam agens vitam, miracula producens innumera, cœlestem tradens doctrinam et divina præcepta, tandem pro nobis passus est, et mortuus resurrexit et in cœlos ascendens gratia et fortitudine nos replevit, in nos demittens e cœlo dona Spiritus sancti, per quem sanctos suos consecravit præcones, potentes opere et verbo, qui et nomen ejus et doctrinam in toto orbe terrarum spargerent. Unde ubique apparuerunt sacerdotum populi, martyrum chori, monachorum et virginum agmina, et credentium omnium immensæ multitudines, ex omnibus gentibus congregatæ, absque imperio et violentia, sed in solo Dei verbo et virtute; et a piscatoribus orbis salutaribus retibus captus est; et multi ex conversis elevati sunt, qui juxta apostolos signis et virtutibus pariter splenduerunt. Datum est denique illud perfectissimum pœnitentiæ munus, omnem sermo-

A γελίῳ καὶ τοῦτο ἐκήρυξε, καὶ τοῦτο ἐδίδαξε· καὶ τοῦτο τοῖς μαθηταῖς δέδωκε δῶρον τὸ ἀφιέναι· καὶ τοῦτο προσεύχεσθαι προσέταξε· καὶ τοῦτο τὸ μέγιστον δῶρον ἐν ἡμῖν· καὶ ἡ ἐλπὶς ἡμῶν ἐν τούτῳ. Καὶ πρὸ τῆς ἀναστάσεως δὲ τοῦτο τοῖς ἀποστόλοις δέδωκε καὶ τῷ Πέτρῳ, καὶ μετὰ τὴν ἀνάστασιν.

ΕΡΩΤΗΣΙΣ ΟΑ'.

Διατί ἐνταῦθα μὲν πολλοὺς τρόπους συγκαταβάσεως καὶ ἀγαθότητος καὶ μετανοίας ἔδειξεν ὁ Θεός, ἐκεῖσε δὲ ἀποτόμως κολάζει καὶ αἰωνίως; Ποῦ ἄρα τὸ ἀγαθόν;

Ἀγαθὸς καὶ ὑπεράγαθος ὁ Θεός, καὶ τῆς αὐτοῦ ἀγαθότητος ὅλως οὐκ ἔστιν ὅρος. **359** Οὐκ ἐξίσταται οὖν τῆς ἀγαθότητος πώποτε, φύσει μόνος B ὢν ἀγαθός, καὶ ἀναλλοίωτος μόνος ὤν. Διὸ καὶ εὐεργετῶν καὶ τιμωρούμενός τινας, ἀγαθῶς ἕκαστον ποιεῖ, ἐπεὶ καὶ ἀγαθὸς φύσει, καὶ δίκαιος φύσει ἐστί, καὶ τὰ τῆς δικαιοσύνης οὐκ ἀποβάλλεται. Διὸ τῇ ἀγαθότητι μόνῃ παραγαγὼν ἡμᾶς ἐκ μὴ ὄντων, ἐν δικαιοσύνῃ καὶ κρίσει οἰκονομεῖ, καὶ οὐδὲν τῶν ἀγαθῶν ἐνέλιπε μὴ ποιήσας δι' ἡμᾶς. Ὅθεν παρήγαγε μὲν τὸν ὁρώμενον τοῦτον κόσμον· τὸν παράδεισόν τε κτίσας δι' ἡμᾶς, καὶ τὰ μέλλοντα ἡμῖν ἀγαθὰ ἑτοιμάσας, ἵνα τούτων ἁπάντων δικαίως καὶ κατὰ καιρὸν ἀπολαύωμεν, ἐνταῦθα μὲν τῶν παρόντων, ἐκεῖσε δὲ τῶν μελλόντων ὕστερον. Κατ' εἰκόνα ἰδίαν οἰκείαις χερσὶν ἔπλασεν ἡμᾶς. Ἐνέθηκεν ἡμῖν νοερὰν καὶ λογικὴν καὶ θελητικὴν ψυχήν· ἐνέπλη- C σεν αὐτὴν πάσης σοφίας καὶ γνώσεως. Ἐνεφύτευσεν αὐτῇ πᾶν εἶδος θείας ἀρετῆς, καὶ διδασκάλου χωρὶς γνωστὰ ἡμῖν ἐστι τὰ θεοφιλῆ πάντα καὶ τὰ θεομισῆ· ἀλλὰ καὶ διδασκάλους ἐξ ἀρχῆς δέδωκε. Πρῶτον μὲν τὴν ὁρωμένην κτίσιν κατὰ τὴν θέλησιν αὐτοῦ καλῶς κινουμένην, ἵν' ὑποτασσώμεθα καὶ ἡμεῖς αὐτῷ τῷ Θεῷ, καὶ κατὰ βούλησιν τούτου κινώμεθα· Ἔπειτα δικαίων ἔδειξε πλῆθος καὶ πατριαρχῶν καὶ προφητῶν· νόμον τε ἐπέστησε· σημεῖα εἰργάσατο· ἠπείλησεν ἁμαρτάνουσιν· ἐκόλασεν· εὐηργέτησεν ἀγαθούς· τέλος, αὐξηθείσης τῆς κακίας, ἦλθεν αὐτὸς δι' ἑαυτοῦ ὁ τοῦ Θεοῦ Λόγος δι' ἡμᾶς μέχρις ἡμῶν. Σεσάρκωται ἁγίως ἐκ τῆς Παρθένου· πεπολίτευται θείως· εἰργάσατο θαυμαστά, νενομοθέτηκεν ἐπουράνια, πέπονθεν ὑπὲρ ἡμῶν, καὶ ἀναστὰς καὶ ἀνα- D ληφθεὶς ἐχαρίτωσε, καὶ ἐνεδυνάμωσεν ἡμᾶς, ἐξαποστείλας ἡμῖν ἐξ οὐρανοῦ τὴν χάριν τοῦ Πνεύματος, δι' ἧς ἀνέδειξε κήρυκας θείους ἑαυτοῦ, δυνατοὺς ἐν ἔργῳ καὶ λόγῳ· τῇ οἰκουμένῃ πάσῃ τὴν ἑαυτοῦ γνῶσιν ἐξήπλωσεν. Ὅθεν ἱερέων ὤφθησαν δῆμοι, μαρτύρων χοροί, ἀσκητῶν καὶ παρθένων πλήθη, καὶ τῶν πεπιστευκότων ἁπάντων τὸ ἀναρίθμητον σύστημα, ἐκ πάντων συναθροισθέντων ἐθνῶν, τυραννίδος χωρὶς ἐν λόγῳ μόνῳ Θεοῦ καὶ θείαις δυνάμεσι· καὶ δι' ἁλιέων ἡ οἰκουμένη ἐσαγηνεύθη, καὶ πολλοὶ τῶν κατωρθωκότων γεγόνασι, καὶ κατὰ τοὺς ἀποστόλους αὐτούς, ἐν σημείοις τε καὶ δυνάμεσιν ἔλαμψαν. Τὸ μέγα δὲ τελευταῖον τῆς μετανοίας δέδοται δῶρον, ὑπὲρ λόγον ὂν καὶ ἔννοιαν εὐεργέτημα. Ἄχρι γὰρ καὶ αὐτῆς τῆς τελευταίας ἀναπνοῆς χορηγεῖται, μέ-

A νον τῆς μετανοίας γνησίως γινομένης καὶ καθαρῶς. Ταῦτα τοίνυν ἅπαντα καὶ ἔτι πλείω ἃ οὐ δυνατὸν λέγειν ὅλως ἢ ἐννοεῖν οὐ μεγίστης ἀγαθότητος ἔργα; Πάντως ὑπερβαλλούσης καὶ ὑπὲρ λόγον. Λοιπὸν καὶ ἡ ἐν τῷ μέλλοντι βασιλεία δωρεᾶς τε καὶ ἀγαθότητος· καὶ ἡ αἰώνιος τιμωρία δικαιοσύνης καὶ ἀγαθότητος· δικαιοσύνης μὲν, ὅτι ὅπερ τις ᾑρετίσατο εἴληφε, καὶ ἐν ᾧπερ ἔμεινεν ἄχρι τὴν ἐξουσίαν ἐνταῦθα εἶχε τὴν ἑαυτοῦ, ἐν τούτῳ εὑρίσκεται· ἀγαθότητος δὲ, διὰ τὸ μὴ τὰ ἴσα δοῦναι λαβεῖν τοῖς δικαίοις τοὺς ἁμαρτήσαντας. Ὅθεν ὁ ἀγαπήσας ἀγαπηθήσεται δικαίως. Καὶ οὐ τοσοῦτον ὅσον ἠγάπησεν, ἀλλ' ὅσον ἀγαπᾷ ὁ Θεός τε καὶ δίδωσι. Καὶ ὁ ἁμαρτήσας καὶ μεταγνοὺς ἀγαθότητι ἐλεεῖται· καὶ οὐ μόνον λυτροῦται τῆς δικαιοτάτης τιμωρίας, ἀλλὰ καὶ μεταλαμβάνει, κατὰ χάριν τῶν ἀγαθῶν. B Ὁ δὲ μὴ θελήσας ἀγαθὸς εἶναι, μηδὲ καταγνοὺς τῶν κακῶν, μηδὲ ἀποστῆναι θελήσας ὅλως, μηδὲ τῇ μετανοίᾳ χρησάμενος, τίνι λόγῳ ἐλεηθήσεται μὴ θελήσας; Ὅθεν ἐπεὶ ἕκαστος ἐκ τῶν ὧδε τὸ αἰώνιον συνιστᾷ διὰ τῆς προαιρέσεως ἑαυτοῦ, εἴτε ἀρετὴν, εἴτε κακίαν ἑλόμενος, καὶ τῷ καιρῷ τῆς ἀνταποδόσεως ἀγαθότητι καὶ δικαιοσύνῃ Θεοῦ τοῖς τε δικαίοις ἡ τῶν ἀγαθῶν εὐφροσύνη αἰώνιος ἔσται, καὶ τοῖς πονηροῖς ἡ τιμωρία αἰώνιος. Καὶ τοῦτο μᾶλλον ἔργον τοῦ φύσει ἀγαθοῦ καὶ ὑπεραγάθου Θεοῦ, ὅς ἐστιν ἀγαθός. Μεγίστη οὖν πλάνη καὶ τὸ τέλος ἐννοῆσαι κολάσεως, καὶ τὸ μὴ ἀγαθὸν εἶναι νομίζειν τὸν ὑπεράγαθον Θεὸν, τοὺς πονηροὺς δικαίως καὶ ἀγαθῶς τιμωρούμενον· καὶ τῆς θείας οἰκονομίας **360** τοῦ C Λόγου τοῦτό ἐστιν ἀνατροπῆς ἐπιχείρησις, καὶ τῶν παλαιῶν νομίμων ἐκ Θεοῦ πάντων καὶ νέων ἀθέτησις, καὶ πρὸς ἀπώλειαν τοὺς φρονοῦντας ἀλόγως ἄγουσα παντελῆ καὶ ἀσέβειαν. Διὸ φευκτέον ἐκ ταύτης τῆς λύμης πάσῃ σπουδῇ, καὶ ἔργοις καὶ λόγοις καὶ ἐννοίαις φρονῶμεν τὰ τῆς Ἐκκλησίας ὡς ἀληθῆ· καὶ τῶν τῆς μετανοίας ἀντεχώμεθα, δι' ὧν σωθῆναι ἐξομολογήσει μόνῃ καὶ ἀποχῇ τοῦ κακοῦ, φιλανθρωπίᾳ τοῦ ἀγαθοῦ· καὶ τὰ τῆς μετανοίας πάντα ἐννοῶμεν· ἐπεὶ καὶ, « Μετανοεῖτε, » φησὶν, « ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. »

nem et cogitationem excedens beneficium, quo usque ad ultimum vitæ spiritum docemur vere legitimo et sancto dolore peccata purgare. Hæc igitur omnia et plura quæ nec dicere nec cogitare omnino possumus, nonne sunt maximæ dilectionis et bonitatis opera? Certe quidem tanta ut verbis exprimi nequeant. Cæterum regnum quod in futuro promittitur, gratiæ munus erit et bonitatis; et pœna quæ pariter æternum luenda erit, justitiæ et bonitatis est: justitiæ quidem, quia quod quis elegit illud accepit; et in quo statu mansit quamdiu libertatis suæ usum hic habebat, in eodem invenitur in æternum; bonitatis vero, quia peccatoribus non similia et eadem conferuntur dona quæ justis. Unde, qui dilexit, merito diligetur. Et non dat Deus tantum quantum quis dilexit, sed quantum ipse diligit Deus renumerat. Etenim qui peccator exstitit si resipuerit misericordiam consequetur, et non modo eximitur a pœna quam justissime meruerat, sed accipiet de infinita bonitate secundum gratiam. Qui vero noluerit esse bonus, qui mala non fugerit et contempserit, et ab eis noluerit averti nec pœnitentiæ fructus facere, qua ratione misericordia prosequetur nolentem? Unde cum unusquisque æternum permaneat in eo quod vivens elegerit sive in virtute, sive in malitia, ita et in tempore remunerationis, et a bonitate et justitia Dei justi erit perennis fruitio bonorum, malis vero jugis et perpetua passio pœnarum. Et illud est maxime opus Dei qui natura bonus, imo summe bonus est, ut vere est bonus. Maximus igitur error, pœnarum finem æstimare futurum, et bonitate carere summe bonum Deum cum puniat malos juste benigneque: hoc est providentiæ et sapientiæ Verbi Dei subversionem attentare; antiquarum et recentium constitutionum testimonium amandare; qui error absurdus in ruinam et impietatem impingit. Idcirco omni conamine fugienda est talis pernicies; opere, verbo, et sensu quæ docet Ecclesia ut verissima credamus: pœnitentiæ operibus in quibus est salus, firmiter adhæreamus, nimirum confessioni, aversioni a malo et amori summi boni: pœnitentiamque semper cogitemus, meditemur et sectemur. Dominus enim dixit: «Pœnitentiam agite; appropinquavit enim regnum cœlorum [14]. »

ΕΡΩΤΗΣΙΣ ΟΒ'.

D

Τινὲς δι' αἰσχροκέρδειαν ἴσως τοὺς προσιόντας πνευματικοὶ κανονίζουσιν ἐλεημοσύνας ποιεῖν, καὶ τὸ δόμα ζητοῦσι. Κωλύουσι δὲ τὸ εὐχέλαια καὶ λειτουργίας ποιεῖν διὰ ζημίαν τῶν ἱερέων, εἰ καὶ καλὸν εἶναι τούτοις δοκεῖ τὸ τοιοῦτον. Ποῖον δὲ ἐκ τούτων τὸ κρεῖσσον;

Τὸ τοὺς πνευματικοὺς Πατέρας ἐκδιδάσκειν τοὺς δι' ἐξαγόρευσιν πλημμελημάτων αὐτοῖς προσιόντας, ἐλεημοσύνας ποιεῖν καὶ αἰχμαλώτων ἐλευθερίας, εὐχέλαιά τε καὶ λειτουργίας καὶ λοιπὰ ὅμοια, ἀγαθὸν καὶ ὑπὸ τῶν Πατέρων τεταγμένον, καὶ λίαν ἐπωφελές· καὶ ὁσάπερ διεγείρει τίς τινα πρὸς τὰ ὑπὲρ αὐτοῦ θεῖα ἔργα, εἴτε πρόθυμον εὑρὼν, εἴτε

QUÆSTIO LXXII.

Quidam confessionarii, ex turpis lucri cupiditate fortassis, injungunt accedentibus pœnitentibus eleemosynas facere, et donum quærunt: in detrimentum sacerdotum autem prohibent ad euchelæa conferre, et ad liturgias, licet et illud bonum esse existiment. Quæritur utrum horum sit melius.

Quod Patres spirituales eos qui accedunt ad confessionem peccatorum admoneant facere eleemosynas in redemptionem captivorum, confectionem olei sacri vel missæ celebrationem, aut alia similia, bonum est et a Patribus ita constitutum, et multam exinde habebit utilitatem: et quotiescumque aliquis excitat alium ad peragenda pro se opera di-

[14] Matth. III, 2; IV, 17; X, 7.

vina, sive jam paratum inveniat, sive non paratum impellat, multam illi conferet utilitatem, et ipse communicabit mercedi operarii. Nec oportet eos tantum qui peccaverunt ad eleemosynam et cætera opera misericordiæ et pietatis excitare, sed etiam fratrem qui non peccavit; fieri enim non potest ut quis non peccet. Attamen juste vivere potest homo, opera justitiæ exercens. Et justitia est ut Deo et fratri secundum quod docemur debita præstemus officia et charitatem. Amor erga Deum vult ut vivamus immaculati et irreprehensibiles, et ut ipsum precemur, et ejus canamus gloriam, et conveniamus ad templa ipsius sancta. Ad hæc etiam afferre ei debemus quod accepimus ab eo, ad ejus gloriam et honorem et nostram innocentiam, et ut sanctitatis et consecrationis divinæ possimus participes esse. Amori autem erga fratres includuntur non solum oblivio injuriarum ex animo, bona conversatio et vinculum pacis, et unitas conformitasque sermonum laudumque, quæ debemus præstare; sed hæc operibus oportet ostendere: escam tribuendo esurienti et sitienti potum, peregrino hospitium, nudo vestimentum, et infirmo consolationem, et in carcere detentis curam et sollicitudinem, ut docuit Salvator; qui illa opera exercentes benedictos vocat, eis in fine gratificaturus regnum cœlorum. Maxime ergo necessarium est, ut dictum est, fratres docere et exhortari ut opera bonitatis exerceant, eleemosynas et sacrificia offerant. His deinde qui contentionibus implicati sunt hæc sit agendi norma; ut reliqui ita exhortari satagant, ne contentiones iterum fiant, propter officia quæ Deo debentur et ne quis in peccatum labatur. Sed et pro parentibus et consanguineis et cæteris piis oportet omnes offerre sacrificia Deo, sicut et in honorem et memoriam sanctorum, quos invenire possimus mediatores salutis nostræ, et deinde cum ipsis communicare gloriam Christi. Pœnitentes insuper qui accedunt monere oportet ut ista faciant vero amore Dei. Quod præterea ad Patres spirituales attinet, hæc omnia non propter quæstum faciant, quæ Dei sunt intercipientes, in suam pessimam ruinam, et de quibus ratio erit reddenda. Offerentes autem idem faciunt ac illi qui projiciebant bona quæ habebant ante pedes apostolorum; cum partem ex eis retinent imitantur Ananiam cum Saphira et pejus agunt. Ille quidem ex propriis subtrahens, totum agri pretium attulisse se prædicabat et ante pedes sancti Petri exspiravit simul cum uxore, sacrilegii manifeste reus factus. Tale judicium sibi parant, ut et antea dixi, opinor, qui subtrahunt ea quæ Dei sunt ut exinde thesaurizent. Sed non dedignandum, neque denegandum, operarium quemlibet ad suam solam utilitatem fructum percipere. Sic enim docet Paulus, nobis gregem proponens laborantis coloni et pastoris fructum facientis; quamvis ipse Evangelium gratis prædicans et mercedem e cœlo sperans non utetur hac facultate. Nam idcirco laborabat et opere suo

A μὴ πρόθυμον διεγείρας, πολλὴν αὐτῷ προξενεῖ τὴν ὠφέλειαν, καὶ κοινωνὸς ἔσται τῷ ἐνεργοῦντι τοῦ μισθοῦ. Καὶ χρὴ οὐ μόνον ἡμαρτηκότας πρὸς ἔλεον καὶ τὰ λοιπὰ διεγείρειν, ἀλλὰ καὶ τὸν μὴ πλημμελήσαντα ἀδελφὸν, ὅπερ ἐστὶν ἀδύνατον μὴ ἁμαρτῆσαί τινα. Ὅμως εἰ καὶ δικαίως βιῶν ἐστί τις, καὶ τούτου δίκαιος ἔσται, ἐκ τοῦ τὰ ἔργα τῆς δικαιοσύνης ποιεῖν. Δικαιοσύνη δὲ ἀπονέμειν τῷ Θεῷ καὶ τῷ ἀδελφῷ καθὰ διδασκόμεθα τὰ τῆς ὀφειλῆς καὶ ἀγάπης. Ἀγάπη δὲ εἰς Θεὸν καὶ τὸ καθαρεύειν μὲν καὶ προσεύχεσθαι καὶ ἀνυμνεῖν αὐτὸν καὶ δοξολογεῖν, καὶ προστρέχειν αὐτοῦ τοῖς θείοις ναοῖς. Πρὸς τούτοις δὲ καὶ τὸ προσάγειν αὐτῷ ἐξ ὧν λαμβάνομεν παρ' αὐτοῦ, εἰς δόξαν αὐτοῦ καὶ τιμὴν καὶ ἡμετέραν κάθαρσιν, καὶ τοῦ θείου ἁγιασμοῦ B μετοχήν. Καὶ ἐν τοῖς ἀδελφοῖς δὲ οὐ μόνον διὰ τῆς ἀμνησικάκου γνώμης καὶ καλῆς διαθέσεως καὶ τρόπου εἰρηνικοῦ, καὶ συνεργίας τῆς διὰ λόγων καὶ ἐπαίνων καὶ ἐγκωμίων, ἀπονέμειν τὸ ὀφειλόμενον, ἀλλὰ καὶ δι' ἔργων τοῦτο δεικνύναι, ἐν τῷ τρέφειν πεινῶντα, καὶ ποτίζειν διψῶντα, καὶ ξένον συνάγειν, καὶ γυμνὸν περιβάλλειν, καὶ ἀσθενῆ ἐπισκέπτεσθαι, καὶ τῶν ἐν φυλακῇ προνοεῖσθαι, ὡς ἐδίδαξεν ὁ Σωτὴρ, δι' ὧν καὶ εὐλογημένους καλεῖ τοὺς τὰ τοιαῦτα δρῶντας, καὶ τὴν βασιλείαν αὐτοῖς χαρίζεται. Ἀναγκαιότατον οὖν, ὡς εἴρηται, τὸ ἀγαθοεργεῖν ἐκδιδάσκειν, καὶ ἐλεημοσύνας καὶ θυσίας ἱερὰς ἐκτελεῖν τοὺς ἀδελφούς. Καὶ τοῖς ἐγκλήμασι μὲν ὑποκειμένοις ὡς κανόνα τοῦτο διδόναι χρὴ, τοὺς λοιποὺς δὲ C τοῦτο παραινεῖν ποιεῖν καὶ μὴ ἐνεχομένους ἐγκλήμασι, διά τε τὴν πρὸς Θεὸν ὀφειλὴν, καὶ τὸ μὴ ἀναμάρτητόν τινα εἶναι. Καὶ ὑπὲρ γονέων δὲ καὶ συγγενῶν καὶ λοιπῶν ἄλλων εὐσεβῶν ὀφείλειν προσφέρειν Θεῷ πάντας, καὶ ὑπὲρ τιμῆς καὶ μνήμης ἁγίων, ὡς ἂν μεσίτας ἐκείνους εὕροιμεν καὶ συγκοινωνοὺς τῆς δόξης Χριστοῦ. Καὶ ταῦτα μὲν διδάσκειν τοὺς προσιόντας θεοφιλῶς ἐνεργεῖν· οὐ μὴν δὲ τοὺς πνευματικοὺς Πατέρας ἐπὶ κέρδει τοῦτο ποιεῖν, τὰ τοῦ Θεοῦ νοσφιζομένους· ζημία γὰρ αὐτοῖς ἡ μεγίστη, καὶ λόγον ἀπαιτηθήσονται. Καὶ οἱ μὲν διδόντες ἐκεῖνο ποιοῦσι τὸ τῶν ῥιπτόντων τὰ ὑπάρχοντα παρὰ τοὺς πόδας τῶν ἀποστόλων· οἱ δέ γε παρακρατοῦντες, ὅπερ σὺν τῇ Σαπφείρᾳ ὁ Ἀνανίας, καὶ χεῖρον· ἐπεὶ ἐκεῖνος ἐκ τῶν ἰδίων ἐνοσφίσατο. Οὗ- D τος γὰρ ὁ Ἀνανίας ἐπαγγειλάμενος ἅπαν δοῦναι τὸ τοῦ κτήματος τίμημα, καὶ νοσφισάμενος ἐξ αὐτοῦ, παρὰ τοὺς πόδας τοῦ θείου τέθνηκε Πέτρου σύναμα τῇ γυναικὶ, ἱερόσυλος ἐκφανθείς, οὗ τὸ κατάκριμα οἶμαι, ὡς καὶ προέφην, λαμβάνειν εἰς ἑαυτοὺς, τοὺς παρακρατοῦντας τὰ τοῦ Θεοῦ καὶ 361 ἐξ αὐτῶν θησαυρίζοντας. Τὴν χρείαν δέ γε μόνην λαμβάνειν ὡς κοπιῶντά τινα, οὐκ ἀπόβλητον. Καὶ Παῦλος τοῦτό φησιν, ἀπὸ τοῦ κοπιῶντος γεωργοῦ καὶ τοῦ ποιμαίνοντος ποίμνην παριστῶν ἡμῖν, εἰ καὶ αὐτὸς ἀδάπανον ἐτίθη τὸ Εὐαγγέλιον, καὶ τοὺς μισθοὺς ἐλπίζων ἐξ οὐρανοῦ οὐκ ἐχρήσατο ταύτῃ τῇ ἐξουσίᾳ. Διὸ καὶ κοπιῶν ἦν καὶ ἐργαζόμενος ταῖς χερσί. « Καὶ ταῖς χρείαις μου, φησὶ, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. »

Διὸ ὁ τῶν ψυχῶν οἰκονόμος ὀφείλει σχεδὸν μηδενὸς ἅπτεσθαι τῶν προσφερομένων, εἰ δυνατὸν, ἵνα μὴ ἀνάγκην ἔχῃ ἀνασπᾷν ἀλλοτρίας ἀκάνθας· εἰ δέ γε χρεία τροφῆς ἢ ἐνδύματος, μὴ τὸ περιττὸν, ἀλλὰ τὸ πρὸς χρείαν μόνον ποιείτω, καὶ τὰς εὐχὰς ἀποδιδότω, καὶ τὰς θυσίας ἐκτελείτω ὑπὲρ τοῦ προσενέγκαντος τῷ Θεῷ, μεμνημένος καὶ τῶν πενήτων, καὶ ὅτι οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ ἕτεροι τῆς χρείας ἀνάγκην ἔχουσιν. Εἰ δὲ καὶ ἰδιώτης ὁ τὰ τῶν μετανοούντων δεχόμενος, ἀσφαλιζέσθω πλέον· ὅτι διὰ τῆς ἱερωσύνης τὰ τῆς σωτηρίας τοῖς ἀνθρώποις ἐνεργεῖται, καὶ διὰ τῆς ἱερᾶς δὲ θυσίας καὶ εὐχελαίου καὶ τῶν λοιπῶν τελετῶν ἡ ἄφεσίς τε καὶ κάθαρσις δίδοται, καὶ ἡ μετάδοσις τοῦ ἁγιασμοῦ, καὶ μᾶλλον τῆς χρείας ἔχουσι κοινωνίας ἡ μετὰ Χριστοῦ ἕνωσις. Διὸ εἰ πάθει τις οἰκείῳ, ἢ ὡς διαφθονούμενος ἱερεῖ, ἢ ὡς παρακερδαίνειν αὐτὸς βουλόμενος, κωλύει μὲν ἱερεῦσι διδόναι, ἢ τὴν φρικτὴν θυσίαν ἢ τὰ τοῦ εὐχελαίου γενέσθαι ὑπέρ τινος, προφασίζεται δὲ τὴν ἐλεημοσύνην, καὶ τοῦτο κρεῖσσον εἶναι πάντων φησὶ, καὶ ἀποστερεῖ τινα τῶν πιστῶν τῆς ἀπὸ τοῦ ἁγίου ἐλαίου καὶ τῶν εὐχῶν καθάρσεως, καὶ τοῦ θείου ἀπὸ τῆς κοινωνίας ἢ ἱερουργίας ἁγιασμοῦ, αὐτὸς τὸν περὶ τούτου λόγον μᾶλλον ἀπαιτηθήσεται. Πλὴν καὶ ἕκαστον τῶν ἁμαρτημάτων τὸ οἰκεῖον ἕξει καὶ ἀνάλογον ἐπιτίμιον, καὶ οὐ πάντα δι' ἑνὸς ἔσονται συγχωρούμενα· ἀλλ' εἰ μὲν φόνος εἴη τὸ ἔγκλημα, μετὰ τὸν κανόνα τῆς Ἐκκλησίας καὶ αἰχμαλώτου λύτρον ὑπὲρ τοῦ ἡμαρτηκότος καὶ τοῦ τεθνηκότος εἰ περιουσίαν ὁ φονεύσας ἔχει, γινέσθω ψυχὴ ἀντὶ τῆς ψυχῆς· εἰ δέ γε ἐμβρύου ἀποβολὴ, δι' ἀναδοχῆς καὶ ἀνατροφῆς πτωχοῦ νηπίου ἡ ἰατρεία ἔστω. Εἰ δὲ πορνεία ἢ μοιχεία ἤ τις ἀκαθαρσία, δι' ἀποχῆς πρῶτον μὲν τοῦ πταίσματος καὶ τῆς ἁμαρτίας, ἔπειτα δὲ διὰ τῆς κατὰ δύναμιν κακοπαθείας τῆς σαρκός· ὅτι καὶ τρυφῆς καὶ σαρκὸς ἡδονῆς τὸ ἁμάρτημα. Καὶ ὡς τῇ Εὔᾳ λῦπαι ἀντὶ τῆς ἡδονῆς, καὶ τῷ Ἀδὰμ ἱδρῶτες καὶ ἄκανθαι, ὁμοίως στένωσις σαρκὸς εἰς ταπείνωσιν αὐτῆς τε καὶ ἰατρείαν ἔσται τῷ διὰ φιληδονίας πεσόντι. Εἰ δ' οὐ προαίρεσις οὐδὲ ἰσχὺς, δι' ἐλεημοσύνης ἰατρευθήτω ἢ ἐγκρατείας ἢ λυτρώσεως αἰχμαλώτου, εἰ εὐπορία τῷ ἡμαρτηκότι ἐστίν· εἰ δὲ ἀδικίας ἔργα συνέβη, διὰ τῆς ἀποδόσεως τοῦ ληφθέντος ἔσται τῆς ἁμαρτίας ἀπαλλαγή. Ἐλεημοσύνη δὲ κατὰ τὸν Ζακχαῖον κάθαρσις ἔστω τοῦ τῆς ἀδικίας καὶ ἁρπαγῆς ἐγκλήματος. Εἰ δὲ βλασφημία ἢ ἄρνησίς τινι γέγονε, διὰ προσευχῆς συνεχοῦς, ἵνα τὴν βλασφημίαν ἐξέλῃ, καὶ δακρύων, ἵν' ἐκπλυνθῇ, καὶ ἐλεημοσύνης ἵν' ἐλέους ἐπιτύχῃ ἀθετήσας τὸν ποιητὴν, καὶ ἐγκρατείας διὰ τὰς κρεωφαγίας καὶ τὰς ἀκαθάρτους ἄλλας τροφάς. Ἐπιορκία δὲ εἰ συμβαίη, ἢ διαβολή τινος πρὸς ἕτερον, ἢ προδοσία πρὸς ἄρχοντα πταίσαντος ἢ μὴ πταίσαντος, διὰ τῶν ὁμοίων τῆς βλασφημίας διορθωθήσεται ὁ πεσὼν, καὶ τοῦ ἀπαλλάξαι τὸν ἄνθρωπον τοῦ κακοῦ. Ἐνέχεται γὰρ τοῦτο πρῶτον ποιῆσαι, εἰ δύναται, ὡς καὶ τὴν ἀδικίαν πρῶτον ἀποδοῦναι ὁ ἀδικήσας ἢ κλέψας, εἴτε

[16] Act. XX, 34.

victum quærebat, ut testatur: « Ad ea quæ mihi opus erant, et his qui mecum sunt ministraverunt manus istæ [10]. » Quare moderator animarum nihil prope ab oblatis desumere debet, si fieri potest, nisi forte necesse habeat alienis difficultatibus obvenire, aut opus habeat in victum et in vestimentum, non splendide quidem impendere, sed tantum prout necesse habet, et fundat preces, et sacrificia Deo adimpleat pro offerente, pauperum recordatus; non enim ipse solus, sed adhuc cæteri jus habent in tales fructus. Et si privatus aliquis a pœnitentibus recipiat, caveat magis, quia per sacerdotium salus hominibus provenit, et quia per divinum sacrificium, per sacrum oleum et per cæteras sanctas cæremonias venia conceditur et innocentia restauratur, et participatio sanctificationis Dei, et maxime unio cum Christo per fructus communionis. Quare si acciderit alicui ut vel invidia erga sacerdotem, vel spe proprii commodi et lucri, prohibeat oblationes fieri sacerdotibus, vel offerri sacrificium tremendum, vel confici oleum sacrum pro aliquo, eleemosynam vero prætendat, quasi sit hæc omnium bonorum maximum, et ita aliquem fidelium arceat a comparanda innocentia quæ ex sacro oleo obtinetur, vel a divina benedictione quæ ex communione aut sacrificio percipitur, ille maxime hujus criminis rationem reddere debebit. Interea vero caveatur insuper singulis peccatis suam propriam deberi multam, nec omnia eodem modo expianda esse et remittenda. Si ergo agatur de homicidii reatu, secundum Ecclesiæ canones, si occidenti fuerit fortunæ copia, pro se et pro occiso expiaturus solvet pretium unius captivi, et sic erit anima pro anima. Si fuerit abortivus, remissionem mereatur alendo et educando pauperem aliquem infantem. Si de fornicatione agatur, vel adulterio, vel alia quavis impuritate, remissio fiet primo per cessationem culpæ et peccati: deinde carnem pro posse castigando, quia peccatum fuit in mollitie et voluptate carnis. Et sicut Evæ dolores pro voluptate, et Adamo sudores et tribulos et spinas minatus est Deus, ita repressio carnis sit in ejus humiliationem et sanationem illi qui concupiscentia carnis peccavit. Si vero nec vitæ genus, nec infirmitas obstet, pœnitentiam faciet per eleemosynam, abstinentiam aut redemptionem captivi. Si vero opes injustitia partæ sint alicui, restitutione ablati peccati venia impetrabitur, ut Zachæi monemur exemplo, qui eleemosyna redemit injustitiæ et avaritiæ reatum. Si autem peccatum blasphemiæ vel Dei negationis alicui acciderit, assiduis vacet orationibus, ut misericordiam pro blasphemia obtineat, et jugibus lacrymis eam abluat, et eleemosyna, ut misereat Deum miseri hujus, qui antea Creatorem spreverat, et denique abstinentia ab esu carnium vel ab aliis quoquomodo impuris. Si crimen perjurii incurrerit, vel calumniæ alicujus contra proximum, vel proditionis

viri principis, similibus castigabitur remediis ac reus blasphemiæ, modo avertat se homo a peccato. Quod primum pro posse studebit agere, sicut et primum oportet ut ablatum reddat injuste retinens vel latro vel ille qui aliquid invenit alterius, maxime si jussus fuerit; et nulla fiet remissio nisi reddatur possessori injuste spoliato, vel illi qui perdidit, vel eorum filiis, vel erogetur pauperibus fratribus arbitrio Patris spiritualis; denique in cæteris omnibus agendum est ut canones Ecclesiæ præscribunt. Ideo oportet ut animarum præpositus eos probe noscat, et eos ad apicem exsequatur, nec absolvat inopportune, laxiori scilicet misericordia, quæ perdit, dum non cavet ut impensissima cura innocentiam inquirat, ne in desperationem incidat. Omnia in perfecta mensura sunt facienda: perfecta autem mensura sanctorum, per quos in nos ut donum descendit; et in nobis erit, dummodo eorum exempla sequi nitamur. Erit ergo judicio sanctorum indulgentiæ ratio erga eos qui industriam diligenter afferent, et fervide pœnitentes longe a malo discedent, judicem sic propitiatum habentes, intro accipient mercedem ad mensuram fervoris et pœnitentiæ de bono promisso. Uno verbo in omnibus viventium peccatis præcipuum opus et efficacius est captivorum redemptio, ad typum erectionis animæ ab impietate et a servitute peccati, quod est a morte redemptio, primum inter maxima opera, et operit multitudinem peccatorum, ut scriptum est [1]. Deinde si minus copiosæ peccanti fuerint opes, eleemosyna, in cujus operibus præcipuum locum obtinet orphani derelicti et indigentis soli situdo: et deinde infirmorum et in carcere detentorum cura et consolatio. Postquam autem peccator a peccatis fuerit evectus, et digne pœnitentiam egerit, sacrum offeratur sacrificium; in condemnationem enim esset ei qui peccavit participatio sacræ oblationis: et sicut qui communicat indigne judicium sibi manducat et bibit, juxta verba Pauli, ita condemnabitur qui offert indigne, festa Dei vel sanctorum ejus celebrans quin deseruerit peccatum et resipuerit. Sacrum autem oleum inter septem sacramenta utilissimum ut ad sanctificationem, pro infirmis, ut traditum est nobis, et pro omni fideli qui accedit ad celebranda tremenda mysteria, maxime cum peccatis cumulatus, canones pœnitentiæ adimplevit, remissionem a Patre accepit et ad communionem properat: purgat enim peccata consecratio et unctio sancti olei, ut scribit frater Domini apostolus, et ad hoc concurrunt orationes sacerdotum. Mortuis vero maxime proficuum est ante omnia sacrificium altaris, cætera autem secundaria, quia post mortem homo cessat a peccatis, et Christo communicat per sacrificium, atque omni gaudio et gratia cœlesti repletur et ab omni dolore redimitur divina misericordia. Ante omnia ergo pro eo offeratur sacrificium; si deinde ei sit copia for-

A τί τινος εὑρηκώς, καὶ μᾶλλον εἰ καὶ ἐντολὴ γέγονε· καὶ οὐδὲν ἔσται τὸ λῦον, εἰ μὴ ἢ τῷ ἀδικηθέντι, ἢ τῷ ἀπολέσαντι ἀποδῷ, ἢ τοῖς τέκνοις αὐτοῦ, ἢ τοῖς πένησιν ἀδελφοῖς διακρίσει πνευματικοῦ Πατρός· καὶ ἐν τοῖς λοιποῖς πᾶσι ποιεῖν, ὡς οἱ κανόνες διακελεύονται. Διὸ χρὴ τὸν οἰκονομοῦντα ψυχὰς τούτους εἰδέναι, καὶ κατὰ τὸν ὅρον ποιεῖν, καὶ μήτε ἀφιέναι ἀκαίρως, συμπαθῶς δῆθεν, ὅτι ἀπόλλυσι, μήθ' ὑπερβαίνειν **362** ὡς δῆθεν ἐξακριβούμενον καὶ καθαρὸν ὄντα, ἵνα μὴ παραπέμψῃ τῇ ἀπογνώσει· ἐν ἀρίστῳ δὲ μέτρῳ πάντα ποιεῖν· ἄριστον δὲ τὸ τῶν ἁγίων· ὅτι καὶ δι' αὐτῶν εἰς ἡμᾶς ἡ δωρεά· καὶ ἔσται ἐν ἡμῖν, εἰ τὰ ἐκείνων τηρεῖν σπουδάζομεν. Ἔσται δὲ κατ' αὐτοὺς καὶ συγκαταβάσεως τρόπος τοῖς προθυμίαν ἐνδεικνυμένοις καὶ μετα- B νοοῦσι θερμῶς καὶ τοῦ κακοῦ ἀφισταμένοις, οἳ καὶ τὸν κριτὴν ἱλεοῦνται, καὶ μεταδοῦναι τούτοις καὶ ἔνδον τοῦ ὡρισμένου τοῦ ἀγαθοῦ διὰ τὸ θερμὸν καὶ τὴν μετάνοιαν, ἀγαθόν. Ἁπλῶς δὲ ἐν τοῖς τῶν ζώντων ἁμαρτήμασι πᾶσιν ἡ τῶν αἰχμαλώτων ἀνάῤῥυσις προτιμοτέρα τῶν ἄλλων ἔργων· ὅτι πρῶτον παντὸς ἔργου τὸ ψυχὴν ἐξαγαγεῖν ἀπὸ ἀσεβείας τε καὶ δουλείας· ὅ ἐστιν ἐκ θανάτου ἐξαγαγεῖν· καὶ τοῦτο καλύπτει πλῆθος ἁμαρτιῶν, ὡς γέγραπται. Ἔπειτα ἐλεημοσύνη εἰ μὴ ἱκανὸς βίος εἴη τῷ ἁμαρτήσαντι· ἐν ταύτῃ δὲ ὀρφανοῦ πρόνοια ἀπορουμένου τε καὶ πτωχοῦ, προτιμηθήσεται μᾶλλον· εἶτα ἀσθενούντων καὶ τῶν ἐν φυλακαῖς καὶ τῶν λοιπῶν ἐπιμέλεια. Τὰ τῶν λειτουργιῶν δὲ γινέσθω C μετὰ τὸ στῆναι τὸν πταίσαντα τῆς ἁμαρτίας, καὶ μετανοεῖν γνησίως· εἰς κατάκριμα γὰρ ἔσται προσφερομένη μερὶς ὑπὲρ ἐνεργοῦντος τὴν ἁμαρτίαν· καὶ ὥσπερ ὁ κοινωνῶν ἀναξίως εἰς κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, φησὶν ὁ Παῦλος, οὕτω κατάκριμα ἕξει καὶ ὁ προσφέρων ἀναξίως, ἐν τῷ μὴ ἀφίστασθαι τῆς ἁμαρτίας, ἢ καὶ ἑορτὴν ποιεῖν τῷ Θεῷ ἢ τοῖς ἁγίοις αὐτοῦ. Τὸ δέ γε εὐχέλαιον ἀναγκαιότατον ὡς ἱερὰ τελετὴ καὶ τῶν ἑπτὰ μυστηρίων ὑπέρ τε ἀῤῥωστούντων, ὡς παρελάβομεν, καὶ ὑπὲρ πιστοῦ παντὸς βουλομένου προσελθεῖν τοῖς φρικτοῖς μυστηρίοις, μᾶλλον δὲ καὶ ὑπὲρ παντὸς περιπεπτωκότος ἁμαρτήμασι, καὶ τὸν κανόνα τῆς μετανοίας τετελεκότος, καὶ πρὸς τὸ κοινωνῆσαι σπεύδοντος, D ἔνδοσιν παρὰ τοῦ Πατρὸς εἰληφότος· ἀφίησι γὰρ ἡ τοῦ ἁγίου ἐλαίου ἱερὰ τελετή τε καὶ χρίσις τὰ ἁμαρτήματα, ὡς ὁ Ἀδελφόθεος γράφει· καὶ αἱ εὐχαὶ πρὸς τοῦτο συντελοῦσι τῶν ἱερέων. Τοῖς δὲ κεκοιμημένοις λυσιτελεστάτη πρὸ παντὸς ἡ ἱερουργία· τὰ δὲ λοιπὰ δεύτερα· ὅτι πέπαυται μὲν ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας ἀποθανὼν, κοινωνεῖ δὲ διὰ τῆς θυσίας Χριστῷ καὶ εὐφροσύνης θείας καὶ χάριτος ἐκπληροῦται, καὶ πάσης ἐκλυτροῦται ὀδύνης θείῳ ἐλέει. Πρὸ πάντων οὖν ὑπὲρ αὐτοῦ τὰ τῆς ἱερουργίας τελείσθω· ἔπειτα εἰ βίος ἐστὶν αὐτῷ, γινέσθω καὶ λύτρωσις αἰχμαλώτων, καὶ ἐλεημοσύναι τοῖς πένησι, καὶ οἰκοδομαὶ θείων οἴκων, καὶ λοιπὰ ἕτερα πρὸς σωτηρίαν αὐτοῦ συντείνοντα.

[1] Prov. x, 12.

tunæ, procuretur redemptio captivorum, et eleemosynæ pauperibus erogentur, et domûs Dei ædificentur et omnia cætera fiant quæ ad salutem ejus conferre possunt.

ΕΡΩΤΗΣΙΣ ΟΓ'.

Ὀφείλουσιν οἱ πνευματικοὶ Πατέρες ἀπαιτεῖν τὰ τῆς ἐλεημοσύνης, ὥστε αὐτοὶ διδόναι; καὶ εἰ λαμβάνοντες παρακατέχουσι, τί ἐκ τούτου;

Ὁ πνευματικὸς Πατὴρ οὐκ αὐτὸς ὀφείλει ζητεῖν τὰ διδόμενα εἰς ἐλεημοσύνην λαμβάνειν, ἵνα μὴ καὶ μῶμον ἑαυτῷ καὶ σκάνδαλον τοῖς ἀδελφοῖς προξενήσῃ, ἀλλ' εἴ γε θέλει καὶ σωτηριωδῶς ἐνεργεῖν καὶ ἐπωφελῶς τοῖς προσερχομένοις, προτρεπέτω μόνον καὶ κανονιζέτω ποιεῖν· αὐτὸς δὲ μηδὲν λαμβανέτω· ὡς παρὰ πλείστων ἁγίων τοῦτο σπουδαζόντων τὸ μὴ λαμβάνειν ἐμάθομεν. Τοῦτο δὲ καὶ Παῦλος ἐποίει, μηδένα βαρύνων, μηδὲ λαμβάνων, εἰ καὶ ὑπὲρ τῶν ἐν Ἱεροσολύμοις πενήτων ἀδελφῶν παρεκίνει τε καὶ ἀπέστελλεν. Ἀναγκαζόμενος δέ τις λαβεῖν ἀπὸ πίστεως τοῦ διδόντος, πάλιν εἰς πληροφορίαν τούτου, μετὰ καὶ γνώσεως αὐτοῦ καὶ εἰδήσεως τὰ ὑπὲρ αὐτοῦ ποιείτω, ἵνα μὴ διχόνοιαν ἔχῃ. Εἰ οὖν ἱερεύς, λαμβάνετω καὶ αὐτὸς ὡς ἱερεύς· καὶ ἑτέρους δὲ προσκαλείσθω, καὶ μὴ τοὺς φίλους, ἀλλὰ τοὺς ἐνδεῶς ἔχοντας μᾶλλον, καὶ τοὺς εὐλαβεστέρους. Εἰ δὲ τυχὸν ἰδιώτης, μηδὲν ἀπὸ τῶν χάριν λειτουργιῶν διδομένων λαμβανέτω· ὅτι ἱερέων ταῦτα, καὶ ἱερεῦσι διανεμέτω. Ἀπὸ δὲ τῶν διδομένων μοῖραν χάριν ἐλέους ἐχέτω καὶ αὐτὸς κοπιῶν τὰ τῆς χρείας μεταδιδοὺς καὶ τοῖς πένησιν.

A QUÆSTIO LXXIII.

Num debeant Patres confessionarii eleemosynas postulare, ut ipsi eas distribuant? atque si accipiant habeantque, quid illis agendum?

Spiritualis Pater non debet ipse postulare dona quæ in eleemosynam præstanda sunt, ne confusionem et vituperium incurrat, dum fratribus scandalum affert; sed si ipsi cura sit pro salute sua et pro accedentium utilitate agere, hortetur solum ut faciant, et regulam faciendi tradat; ipse autem minime aliquid accipiat: ita docemur a multis sanctis quibus summa fuit cura ut non acciperent. Ita faciebat Paulus, neminem premens, et nihil pro se accipiens, quamvis enixe satageret eleemosynas
B pauperibus fratribus qui erant in Jerusalem colligere, quas fideliter mittebat. Si quis vero compulsus fuerit ab offerente fideli accipere, nihil hæsitet et vicissim pro tali munus suum adimpleat cum omni scientia et sedulitate, ne dissensio oriatur. Si fuerit sacerdos, accipiat et ipse ut sacerdos, deinde alios convocet, non amicos, sed egentes et sapientiores. Si vero forte fuerit privatus, nihil oblatorum propter sacrificii meritum accipiat sibi, quia hæc sacerdotum sunt: distribuat ergo sacerdotibus; sed ipse labore functus partem habeat propter misericordiam, et pauperibus quoque meminerit erogare.

363 ΕΡΩΤΗΣΙΣ ΟΔ'.

Ὁ ἱερεὺς λειτουργίας δεχόμενος καὶ μὴ λειτουργῶν, τί προξενεῖ τῷ διδόντι; καὶ εἰ ἐν τούτῳ ἐνέχεται.

Ὁ λαβὼν χάριν λειτουργίας, καὶ μὴ ποιήσας, ἐνέχεται καὶ διὰ τὸ μὴ ποιῆσαι, καὶ διὰ τὸ ἀποστερῆσαι τοῦ ἁγιασμοῦ τὸν προσενεγκόντα. Οὐ γὰρ λειτουργίας λαμβάνει ἁγιασμόν, ἀλλ' ἴσως ἐλεημοσύνης μισθόν· καὶ οὐ τοσοῦτον, οἷον εἰ δέδωκε πένητι. Διὸ πᾶς ὁ λαβὼν λειτουργείτω, ἵνα μὴ καὶ ὡς ἀδικῶν, καὶ ὡς κλέπτων, καὶ τὸν ἀδελφὸν ἀποστερῶν τοῦ ἁγιασμοῦ, κατακριθείη παρὰ Θεοῦ.

QUÆSTIO LXXIV.

C *Sacerdos liturgiam celebrandam in se suscipiens si eam non celebret, quid prosit ei qui pro illa facienda donum obtulit, et num ad illam obeundam sit obligatus.*

Qui accepit in gratiam sacrificii, si hoc non adimpleat, vere reus est quod non satisfecerit, et quod offerentem fructu et sanctificatione sacrificii privaverit. Non enim sacrificii meritum suscipiet, sed tantum pretium eleemosynæ, minus tamen quam si pauperi tribuerit. Quare omnis qui sic accipit celebret sacrificium, ne condemnetur a Deo ut injustus, ut fur, qui fratrem fructu sacro spoliavit.

ΕΡΩΤΗΣΙΣ ΟΚ'.

Ποία κρείττων ἐλεημοσύνη ἐστίν;

Ὁ βουλόμενος ποιεῖν ἐλεημοσύνην, εἰ δύναται πρὸ πάντων ὑπὲρ ἐλευθερίας, ὡς ἔφημεν, ποιείτω τῶν αἰχμαλώτων, καὶ μάλιστα νηπίων καὶ παίδων κινδυνευόντων κατὰ ψυχήν· εἶτα ὑπέρ τε ἱερέων αἰχμαλώτων καὶ γηραιῶν καὶ λοιπῶν. Δεύτερον δὲ διδότω ἀσθενέσι λελωβημένοις τε καὶ λοιποῖς τοῖς καὶ πολλῆς βοηθείας δεομένοις. Σὺν αὐτοῖς δὲ καὶ τοῖς διὰ Θεὸν ἐναποκλείστοις τῶν μοναχῶν, ὡς οἱ Πατέρες φασίν, ἐπεὶ Θεοῦ δοῦλοι οὗτοι, καὶ ἔργον ἐνεργοῦσιν ἀγγέλων, καὶ διὰ Θεὸν εἰσιν ἐναπόκλειστοι, καὶ εἴ γε ζῶσι κατὰ Θεόν, ἐν αὐτοῖς πᾶσαι πληροῦνται αἱ ἐντολαί· ἔπειτα τοῖς ἐν φυλακῇ καὶ χήραις, καὶ λοιποῖς ἄλλοις, μὴ ἔθος ἔχουσι τῆς οἰκίας ἐξελθεῖν· καὶ τελευταῖον τοῖς λοιποῖς ἅπασι πτωχοῖς. Καὶ ἡ τῶν

QUÆSTIO LXXV.

Quodnam sit genus optimum eleemosynæ.

Qui eleemosynam facere in animo habuerit, ante
D omnia, ut diximus, faciat in libertatem captivorum, maxime infantium et puerorum qui in periculo sunt pro anima; deinde pro sacerdotibus captivis, pro senibus et cæteris omnibus. Postea injuriose tractatis egentibus eroget et cæteris quibus auxilio præstantiori opus est. Inter quos annumerandi sunt et monachi propter Deum reclusi, ut loquuntur Patres, sunt enim Dei servi, angelorum operibus occupati, reclusionem propter Deum eligentes; cumque secundum Deum vivant, in ipsis omnia adimplentur mandata; deinde carcere detentis et viduis tribuendum et cæteris, qui a domo discedere non solent; postremo miseris quibuscumque. Curam quoque

agat hospitum, maxime egentium, et copiosa fruetur mercede, ut Deus Salvator noster et judex docuit.

QUÆSTIO LXXVI.

Si quis habeat decem numismata, præterque sint captivus unus et pauperes decem, cuinam ex his largietur?

Si decem numismatum pretio redimi possit captivus, potius in id sunt eroganda quam ad sublevandos decem vel plures pauperes qui non indigent, nisi alimentis ad victum, sed quibus spes inveniendi apud beneficos remanet. Si vero pauperes isti sint in extrema fame constituti cum periculo mortis, inter captivum et illos partienda eleemosyna. Prius enim præstanda sunt necessaria auxilia.

B

QUÆSTIO LXXVII.

Daturus eleemosynam num dabit ipse per se an per Patrem spiritualem?

Quod quis dare debet in eleemosynam nihil hæsitans et fide certa, melius est ut det per Patrem suum spiritualem, ne si dederit ipse vanæ gloriæ sit obnoxius, neve donet forte cum minori utilitate et fructu, et aliunde ut addat meritum agendo per obedientiam. Si autem hæsitaverit vel non habeat fidem in bonam Patris administrationem, ipse eleemosynas distribuat.

QUÆSTIO LXXVIII.

C

Quomodo blasphemanti in Spiritum sanctum neque in hoc, neque in futuro ævo peccatum remittitur? Numquid igitur etiam in futuro ævo est peccatorum remissio? an major est Spiritus sanctus Patre Filioque?

Ei qui blasphemat contra Spiritum sanctum non dimitti peccatum neque in præsenti sæculo neque in futuro, semper docuerunt: non quod in futuro sæculo unquam possit esse remissio, sed quod hic non remittitur neque illic remittetur: illudque maxime certum est quod illic non remittatur antequam hic fiat remissio. Itaque usque ad ultimum vitæ spiritum spatium est pœnitentiæ. Non vero propter hoc excellentior est Spiritus sanctus Patre vel Filio; sed similis utrique et consubstantialis potius ostenditur. Non enim hoc Salvator dixit nisi propter divinam qua signa faciebat potestatem, qua pariter dæmones ab hominibus ejiciebat, D quæ quidem potestas et auctoritas Patri et Filio et Spiritui sancto est communis, ita ut negatio Spiritus sancti in totam Trinitatem recidat, contra sic blasphemantes. Omnis ergo hæreticus in hoc cum aliis blasphemans donec manet in hæresi non habet remissionem. Enimvero dictum est: Blasphemanti in Filium hominis, remittetur illi [17], hoc est qui blasphemaverit in naturam humanam, per quam vere hunc esse hominem videre poterant Judæi, licet non possent cognoscere quod in eo majus erat; et de hoc eorum absolvebat peccatum, sicut orabat pro crucifigentibus. Sed cum quidam blasphemarent dicentes illum divina signa in Beelzebut fa-

A ξένων δὲ θεραπεία καὶ μάλιστα ἐνδεῶν πολὺν παρέχεται τὸν μισθόν. Ὡς καὶ ὁ Σωτὴρ ἡμῶν ὁ καὶ κριτὴς καὶ Θεὸς ἐδίδαξεν.

ΕΡΩΤΗΣΙΣ ΟϚʹ.

Εἰ ἔχων τις νομίσματα δέκα, αἰχμάλωτος δ' ἐστὶ καὶ πένητες δέκα, τίνι δώσει ἐκ τούτων;

Εἰ δύναταί τις διὰ τῶν δέκα νομισμάτων αἰχμάλωτον ῥύσασθαι, κρεῖσσον δοῦναι ὑπὲρ αὐτοῦ ἤπερ εἰς δέκα ἢ καὶ πλείονας πτωχοὺς τοὺς διὰ τροφὴν αἰτοῦντας μόνον, εἴ γε ἐλπὶς ταύτην παρ' ἄλλων εὑρεῖν. Εἰ δὲ λιμοῦ κίνδυνος καὶ θανάτου, καὶ τῷ αἰχμαλώτῳ καὶ τοῖς πτωχοῖς μεριστέον. Τὰ γὰρ τῆς βίας ἀναγκαιότερα.

ΕΡΩΤΗΣΙΣ ΟΖʹ.

Ὁ θέλων ἐλεημοσύνην ποιῆσαι δι' αὐτοῦ ποιήσει, ἢ διὰ πνευματικοῦ Πατρός;

Ὃ ὀφείλει τις δοῦναι εἰ πληροφορεῖται καὶ πίστιν ἔχει, μᾶλλον διδότω διὰ τοῦ Πατρὸς αὐτοῦ, ἵνα μὴ κενοδοξήσῃ διδοὺς, ἢ μήποτε οὐκ εἰς ἀναγκαῖα καὶ ἐπωφελέστερα δώσῃ, καὶ ἵνα ποιῇ μεθ' ὑποταγῆς. Εἰ δ' οὐ πληροφορεῖται, οὐδ' ἔχει πίστιν ἀσφαλῆ πρὸς τὸν ἐξοικονομοῦντα, ἀφ' ἑαυτοῦ ποιείτω πλὴν μετὰ ἐρωτήσεως.

ΕΡΩΤΗΣΙΣ ΟΗʹ.

Πῶς τῷ βλασφημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀφίεται οὔτε νῦν οὔτε ἐν τῷ μέλλοντι; Ἆρα καὶ ἐν τῷ μέλλοντι ἄφεσις; ἢ μεῖζον τὸ Πνεῦμα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ;

Τῷ βλασφημήσαντι εἰς τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀφίεσθαι οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι τὸ διηνεκὲς ὑπεμφαίνει· οὐχ ὅτι ἔστιν ἐν τῷ μέλλοντι αἰῶνί τις ἄφεσις, ἀλλ' ὅτι ὅπερ ἀσυγχώρητον ἐκ τῶν ὧδε, κἀκεῖσε ἔσται· καὶ μᾶλλον τοῦτο συνιστᾷ τὸ μὴ εἶναι ἐκεῖσε ἄφεσιν πρὸ τοῦ γενέσθαι ἐκ τῶν ἐντεῦθεν. Διὸ καὶ ἄχρι τελευταίας ἀναπνοῆς ἡ μετάνοια. Οὐχ ὑπερέχον δὲ διὰ τοῦτο τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα· ἀλλ' ἴσον καὶ ὁμοούσιον μᾶλλον δείκνυται. Οὐ γὰρ δι' ἄλλο τι λέλεκται τοῦτο τῷ Σωτῆρι ἢ διὰ τὴν θείαν **364** δύναμιν καὶ ἐνέργειαν, δι' ἧς ἐποίει τὰ σημεῖα, καὶ τὰ δαιμόνια τῶν ἀνθρώπων ἐδίωκεν· ἥτις δύναμις καὶ ἐνέργεια κοινή ἐστι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ὥστε ἡ ἀπόφασις αὕτη κατὰ τῶν βλασφημούντων εἰς τὴν Τριάδα ἐστί. Καὶ πᾶς αἱρετικὸς ἐκ τούτου μετὰ τῶν ἄλλων βλασφήμων ἐν τῇ αἱρέσει μένων, οὐκ ἔχει ἄφεσιν. Καὶ γὰρ τῷ μὲν βλασφημήσαντι, φησὶν, εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, τουτέστιν εἰς τὸ ἀνθρώπινον, διὰ τὸ ὁρᾷν ἀληθῶς αὐτὸν μετὰ σαρκὸς ἄνθρωπον τότε τοὺς Ἰουδαίους, καὶ μὴ δύνασθαι νοεῖν ὑψηλότερον, καὶ τὴν περὶ τούτου ἤφιεν ἁμαρτίαν, ὡς καὶ ὑπὲρ τῶν σταυρωτῶν αὐτοῦ ηὔχετο. Τὸ δὲ τὰ θεῖα σημεῖα λέγειν αὐτόν τινας βλασφημοῦντας ἐν Βεελζεβοὺλ ποιεῖν, καὶ τὴν θείαν δύναμιν ἀθετεῖν, τοῦτο ἔλεγεν

[17] Luc. XII, 10.

ἀσυγχώρητον. Πλὴν τοῖς μὴ προσελθοῦσι τῇ πίστει ἀσυγχώρητον ἔσται μόνοις· πᾶς δὲ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται. Καὶ περὶ τούτου πολλοί φασι τῶν ἁγίων, καὶ Παῦλος ὁ πρώην βλάσφημος καὶ χριστοκήρυξ ὕστερον μαρτυρεῖ.

A cere, et sic negarent ipsi potestatem Dei propriam: hoc dixit irremissibile; illis tamen tantummodo qui fidei meritum abnuunt; nam omnis qui crediderit et baptizatus fuerit salvabitur. De hoc loquuntur plurimi sanctorum, et ipse Paulus primum blasphemator, deinde Christi prædicator, testatur.

ΕΡΩΤΗΣΙΣ ΟΘ'.

Τί τὸ, « Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε· » καὶ τίνες αἱ ἑπτὰ αἰνέσεις εἰσί;

Τὸ, « Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, » τὸ πολλάκις δηλοῖ διαπαντὸς, ὡς καὶ ἐν ἄλλοις ὁ αὐτὸς ψαλμῳδὸς προφήτης φησὶν, « Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ. » Καὶ πάλιν, « Διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. » Καὶ ὁ θεῖος δὲ Παῦλος, « Ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. » Ἐξαιρέτως δὲ ὁ μόνος Σωτὴρ οὕτω διδάσκει· « Γρηγορεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι. » Διατί; Ἵνα ὦμεν ἓν μετὰ τοῦ Θεοῦ, ὅπερ ἔργον ἐστὶν ἀδιάλειπτον· ἡ προσευχὴ γὰρ ἑνοῖ τῷ Θεῷ· ὃ πάντων ἔργων ἐστὶ μέγιστον. Καὶ τί κρεῖττον τοῦ ὁμιλεῖν τῷ Θεῷ, καὶ εἶναι μετὰ Θεοῦ; ὅπερ ἔργον ἀγγέλων ἐστὶν ἀδιάλειπτον. Ἐν τούτῳ οὖν καὶ ὡς ἄγγελοί ἐσμεν, καὶ λειτουργοὶ Θεοῦ, καὶ ποιοῦντες τὸ θέλημα αὐτοῦ, καὶ καθαροὶ τὴν καρδίαν, καὶ Θεὸν ὁρῶντες, καὶ ὑμνῳδοὶ θεῖοι, καὶ τὴν ὀφειλὴν ἀποδιδόντες αὐτῷ. Ἐκ τούτου δὲ καὶ καθαιρόμενοι, καὶ λύσιν λαμβάνοντες τῶν ἁμαρτιῶν, καὶ λυτρούμενοι ἐκ τοῦ πονηροῦ καὶ ἐκ παντὸς πειρασμοῦ, καὶ ἐκ πάντων τῶν ἐπερχομένων δεινῶν, καὶ ἄξιοι γινόμενοι τῆς αὐτοῦ παραστάσεως, καὶ τοῦ φωτισμοῦ αὐτοῦ καὶ τῆς βασιλείας καταξιούμενοι. Καὶ ἔτι τίς ἀριθμήσει, ἢ τίς δυνήσεται ἐξειπεῖν ἀξίως τὰ διὰ τῆς προσευχῆς ἡμῖν χορηγούμενα; δι' ἧς πᾶν ὃ αἰτοῦμεν λαμβάνομεν παρὰ τοῦ Θεοῦ, ὡς αὐτὸς ἐπηγγείλατο. Καὶ σημεῖα δὲ καὶ τέρατα γέγονε δι' αὐτῆς καὶ γίνεται, καὶ σωτηρία πολλοῖς, καὶ ἰαμάτων δωρήματα, καὶ πᾶν ὅ τι τῶν ἀγαθῶν· καὶ οὐδὲν ἀγαθὸν χωρὶς ταύτης· καὶ πρὸ πάντων τοῦτο ἔργον τῆς Ἐκκλησίας, ὡς καὶ τῷ Σωτῆρι καὶ τοῖς ἀποστόλοις καὶ τοῖς Πατράσιν ἀνελλιπές. Πάντοτε μὲν οὖν τοῦτο τὸ ἔργον ἡμῖν ὡς δούλοις καὶ κτίσμασιν ἀναγκαῖον καὶ κεχρεωστημένον προσφέρειν τῷ Θεῷ, καὶ οὕτω λυσιτελέστατον· ὅμως δὲ διὰ τὴν ἀσθένειαν καὶ τοῖς ὀλιγώρως ἔχουσι κατ' ἐμὲ καὶ καιροί εἰσι τεταγμένοι, οὓς καὶ ὁ Δαβὶδ ἐτήρει καὶ ἡ Ἐκκλησία τηρεῖ. Διὸ καὶ, « Μεσονύκτιον ἐξηγειρόμην, » φησί. Καὶ ἡμεῖς τὰ τοῦ μεσονυκτικοῦ σὺν ἐκείνῳ ψάλλομεν, καὶ τὸ, « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, » καὶ ἡμεῖς τὰ τοῦ ὄρθρου, καὶ τὸ, « Πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, καὶ τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με, » καὶ ἡμεῖς σὺν τούτῳ τὰ τῆς πρώτης ὥρας λέγομεν. « Καὶ ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου, » καὶ ἡμεῖς τὰ τῶν ὡρῶν καὶ τοῦ ἑσπερινοῦ

QUÆSTIO LXXIX.

Quis sensus verborum, « Septies per diem te laudavi ;» et quænam sunt septem illæ laudationes?

Illud: « Septies in die laudem dixi tibi [1], » significat pluries aut semper, ut alibi loquitur ipse propheticus Psaltes: « Benedicam Dominum in omni tempore [2]; » et iterum: « Semper laus ejus in ore meo [3]. » Et sanctus Paulus: « Sine intermissione B orate, in omnibus gratias agite [4]. » Excellentius ipse Salvator hoc docet: « Vigilate itaque omni tempore orantes [5]. » Quarenam? Ut simus unum cum Deo, opere scilicet perpetuo fungentes. Oratione conjungimur Deo; hoc est operum omnium maximum. Quid enim dignius quam Dei colloquio uti, et Deo adesse? Hoc opus angelorum assiduum. Dum igitur tali operi vacamus sicut angeli sumus, et Dei ministri, et voluntatem ejus perficientes, immaculati corde, Dei spectatores, divini modulatores, ipsi Deo familiariter inservientes. Per orationem enim mundamur, et peccatorum remissionem accipimus; a malo et ejus tentationibus omnibus liberamur, digni lumine et regno Dei habemur. C Imo vero quis enumerare vel saltem dicere poterit quanta nobis per orationem proveniant bona? Quæcumque enim a Deo postulamus accipimus per eum, ut ipse promisit. Per orationem miracula prodigiaque effecta sunt et quotidie fiunt, et multi salvantur; fiunt curationum dona; et si quid bonum omne ab ipsa, et sine illa nullum bonum. Denique hæc est ante omnia opus Ecclesiæ a quo nec Salvator, nec apostoli, nec Patres unquam recesserunt. Nobis igitur continua necessitate incumbit hoc opus, et cum simus servi Dei et creaturæ ut munus debitum nobis mandatur summe item proficuum; propter autem infirmitatem simul, quantum ego judico, eis qui negligenter agunt statuta orationibus deducuntur tempora, quæ et ser- D vabat David et nunc quoque servat Ecclesia. Ideo dicebat David: « Media nocte surgebam [6], » et nos media nocte cum ipso psallimus; et alibi: « Deus, Deus meus, ad te de luce vigilo [7]. » Et nos diluculi habemus laudes. Ait iterum: « Mane exaudies vocem meam [8], » et: « Mane astabo tibi, et videbis me [9]. » Et nos cum eo horæ primæ dicimus orationes. Et ait, « Vespere et mane et meridie narrabo et annuntiabo; et exaudiet vocem meam [10]. » Et nos cantamus Deo horas et canticum vespertinum. Ait porro: « Lavabo per singulas noctes lectum meum, et lacrymis meis stra-

[1] Psal. CXVIII, 164. [2] Psal. XXXIII, 2. [3] Ibid. [4] I Thess. V, 17, 18. [5] Luc. XXI, 36. [6] Psal. CXVIII, 62. [7] Psal. LXII, 1. [8] Psal. V, 4. [9] Ibid. 5. [10] Psal. LIV, 18.

tum meum rigabo [11-12]. » Nos quoque Domino post cœnam vicissim cantamus. Ille autem semper cantabat et orabat juxta illud : « Exaltabo te, Deus meus, rex, et benedicam nomen tuum in sæculum. » Et : « Per singulos dies benedicam tibi; et laudabo nomen tuum in sæculum et in sæculum sæculi [13]. » Et : « Adhæsit anima mea post te [14]. » Etiam nos adunat et invitat dicens : « Laudate Dominum, omnes gentes, laudate eum, omnes populi [15]. » Nos quoque igitur in horis statutis Deum laudemus, et alacriter surgamus, et tota spiritus intelligentia eum cantemus, quia ipse est Dominus Deus noster, et ipse salvabit nos. Primo quidem septuplicem laudem in Ecclesia habemus ; mediæ noctis canticum et diluculi, cum prima hora, hora tertia, sexta, nona, et vespertinus post cœnam cantus. Hymnus autem mediæ noctis propter Salvatoris resurrectionem et secundum adventum, cum veniet ut sponsus gloria circumdatus. Dicit enim ipse : « Media nocte clamor factus est : Ecce sponsus venit, exite obviam ei [16]. » Hymnus diluculi in gratiarum actionem quod fugans tenebras nobis fecit lucem illucescere. Ideo statim post illum agitur laus horæ primæ, ut in principio diei ad Deum, canentes gloriam ejus accedamus. In tertia hora de Spiritus sancti effusione gratias cantantes agimus. Sexta hora crucifixionem Salvatoris recordamur qui in hac cruci affixus est, ut Adæ culpam evacuaret, quæ pariter hora sexta locum habuerat. Hora nona Domini nostri mortem canit vivificantem in cruce, per quam Adæ solvit condemnationem. Cantus vespertinus ad hoc promitur ut gratias Deo agamus, quod in diei finem pervenimus et ad honorandam Salvatoris sepulturam, quæ vespertinis horis adimpleta est. Et denique post cœnam iterum laudamus Deum, quia post laborem nobis advenit requies; et ipsi consecramus initium noctis, postulantes ut tota labatur in pace, et ut in pace dormientes iterum surgamus et lucem videre possimus, atque omnia subtilius et divinius a nobis probe intelligentibus cognoscantur. Meminisse enim debemus somnum esse mortis imaginem, dum evigilatio nobis indicat illam post mortem futuram resurrectionem. Item noctis et diei successio nobis sperandum innuit post hanc umbris offusam impacatamque et curis exercitam vitam fore ut illucescat tandem illa sine occasu dies et tranquilla sine fine vita. Cætera autem similiter oportet intelligat qui Deum diligit, ut alibi nos pro viribus exposuimus juxta placita Patrum. Septuplex igitur Deo laus est dicenda ; sed præ illis omnibus suam unicam, propriam et altissimam ordinis rationem habet divina actio sanctæ mystagogiæ ; hæc enim proprium est opus et Domini et sacerdotum ejus, nec unquam adimpleri potest absque sacerdote vel altari. Hæc ergo quæ super mentem sunt donat, et eum qui digne participavit divina mysteria concorporalem efficit Christo, et ut

A ὕμνου τῷ Θεῷ μελῳδοῦμεν· καί, « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. » καὶ ἡμεῖς τὰ τῶν ἀποδείπνων τῷ Κυρίῳ προσᾴδομεν. Καὶ πάντοτε μὲν ἐκεῖνος ὕμνει καὶ εὔχεται κατὰ τό, « Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· » καί, « Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· » καί, « Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. » Καὶ ἡμᾶς προσκαλεῖται λέγων, « Αἰνεῖτε τὸν **265** Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί. » Ἡμεῖς δὲ καὶ ἐν ταῖς ἀποτεταγμέναις ὥραις τοῦτον αἰνέσωμεν, καὶ προθύμως στῶμεν, καὶ ὅλῃ διανοίᾳ αὐτὸν ἀνυμνήσωμεν· ὅτι αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ αὐτὸς σώσει ἡμᾶς. Τέως δὲ B ἑπτὰ αἰνέσεις παρὰ τῇ Ἐκκλησίᾳ εἰσί, μεσονυκτικόν, ὄρθρος σὺν τῇ πρώτῃ ὥρᾳ, τρίτη ὥρα, ἕκτη, ἐννάτη, ἑσπερινός, καὶ ἀπόδειπνα. Καὶ μεσονυκτικὸς μὲν ὕμνος διὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν καὶ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ὅτε ὡς νυμφίος μετὰ δόξης ἐλεύσεται. Καὶ γάρ φησιν αὐτός, « Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ· » ὁ τοῦ ὄρθρου δὲ δι' εὐχαριστίαν τοῦ λύειν τὸ σκότος, καὶ ἐγγίζειν ἡμῖν τὸ φῶς. Διὸ συναπτῶς τούτῳ καὶ ἡ τῆς πρώτης ὥρας λέγεται αἴνεσις, εἰς ἀπαρχὴν τῆς ἡμέρας, μετὰ δοξολογίας προσαγομένη Θεῷ. Ἐν δέ γε τῇ τρίτῃ ὥρᾳ διὰ τὴν ἐπιδημίαν τοῦ θείου Πνεύματος εὐχαριστοῦμεν καὶ μέλπομεν· ἐν τῇ ἕκτῃ δὲ διὰ τὴν τοῦ Σωτῆρος σταύρωσιν, ἐν ταύτῃ τῇ ὥρᾳ σταυρωθέντος, C ἐν ᾗ καὶ τὴν παράβασιν ἐξιάσατο τοῦ Ἀδάμ, ἐν αὐτῇ τῇ ἕκτῃ γεγονυῖαν. Ἡ ἐννάτη δὲ διὰ τὸν ἐπὶ τοῦ σταυροῦ ζωοποιὸν αὐτοῦ τοῦ Κυρίου ἡμῶν θάνατον, δι' οὗ ἔλυσε τὴν κατάκρισιν τοῦ Ἀδάμ. Ὁ ἑσπερινὸς δέ, εὐχαριστία ὅτι πρὸς τὸ τέλος κατηντήσαμεν τῆς ἡμέρας· ἔτι δὲ καὶ διὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ταφήν· ἐν ἑσπέρᾳ γὰρ τέθαπται. Καὶ τὰ ἀπόδειπνα, ὅτι εἰς ἀνάπαυσιν κατηντήσαμεν ἐκ τοῦ κόπου, καὶ τὴν ἀπαρχὴν αὐτῷ τῆς νυκτὸς προσάγομεν, αἰτούμενοι πᾶσαν ἔχειν εἰρηνικήν, καὶ ἵνα ἐν εἰρήνῃ ὑπνώσαντες ἀναστῶμεν, ἰδόντες πάλιν τὸ φῶς. Ἃ πάντα καὶ λεπτοτέρως καὶ θειοτέρως νοοῦνται τοῖς συνιοῦσι. Καὶ ἐκ μὲν τοῦ ὑπνώττειν καὶ ἐξεγείρεσθαι τὸν θάνατον ἔστιν ἐννοεῖν καὶ τὴν ἐκ τοῦ θανάτου μέλλουσαν ἐκείνην ἀνάστασιν· ἐκ τῆς D νυκτὸς δὲ ἡμέραν τὴν ἐκ τοῦ σκοτεινοῦ τούτου καὶ ταραχώδους βίου πρὸς τὴν ἀνέσπερον ἐκείνην ἡμέραν καὶ ζωὴν μεταβίωσιν· καὶ τὰ λοιπὰ δὲ ὁμοίως χρὴ νοεῖν τὸν θεοφιλῆ, ὡς καὶ ἐν ἄλλοις ἡμεῖς περὶ τούτου κατὰ δύναμιν ἡμετέραν εἰρήκαμεν, ἀπὸ τῶν Πατέρων λαβόντες. Καὶ ἡ μὲν ἑπτάκις αἴνεσις ἐν τούτοις· ἡ θεία δὲ τάξις τῆς ἱερᾶς μυσταγωγίας ἰδία παρὰ πάσας ταύτας ἐστίν, ὡς ἔργον οὖσα ἴδιον τοῦ Κυρίου καὶ τῆς ἱερωσύνης αὐτοῦ, καὶ μὴ δυνατὸν τελεῖσθαι ταύτην χωρὶς ἱερέως ὅλως, ἢ θυσιαστηρίου. Αὕτη τοίνυν τὰ ὑπὲρ νοῦν δωρεῖται· καὶ τὸν μὲν κοινωνοῦντα τῶν μυστηρίων ἀξίως σύσσω-

[11-12] Psal. VI, 7. [13] Psal. CXLIV, 1, 2. [14] Psal. LXII, 9. [15] Psal. CXVI, 1. [16] Matth. XXV, 6.

μον ποιεῖται Χριστῷ, καὶ ἓν μέλος καθίστησι μετ' A αὐτοῦ, καὶ ναὸν Κυρίου κατασκευάζει. Τοὺς μὴ κοινωνοῦντας δὲ δι' εὐλάβειαν, πίστει δὲ καὶ προθυμίᾳ παρισταμένους, τῶν ἁμαρτημάτων καθαίρει, ἀλλοιοῖ πρὸς τὰ κρείττονα, μετὰ τῶν ἀγγέλων καὶ τῶν ἁγίων ἑνοῖ, ἁγιασμοῦ θείου πληροῖ, καὶ ψυχὴν φωτίζει, καὶ λόγον, καὶ νοῦν, καὶ τὰ τοῦ σώματος αἰσθητήρια. Διὰ γὰρ τῆς ἱερουργίας τοῦ Κυριακοῦ σώματός τε καὶ αἵματος, Πνεύματος ἁγίου ἐπιδημοῦντος, καὶ τηλικαύτης ἀλλοιώσεως καὶ μεταβολῆς γινομένης, τοῦ κοινοῦ ἄρτου καὶ ποτηρίου εἰς σῶμα ἀληθῶς καὶ αἷμα μεταβαλλομένου Δεσποτικὸν, αὐτὸ ἀληθῶς καὶ οὐκ ἄλλο, εὐδοκίᾳ Πατρὸς, αὐτουργίᾳ Υἱοῦ, καὶ συνεργίᾳ τοῦ Πνεύματος. Τί οὐκ ἂν ἀγαθὸν χορηγηθείη τοῖς μετὰ πίστεως καὶ εὐλαβείας προσοχῆς τε καὶ προσευχῆς ἐκεῖσε παρισταμένοις; B Οὐ γὰρ ἔτι εἰς γῆν εἰσιν οὗτοι, ἀλλ' εἰς οὐρανὸν ἀληθῶς. Οὕτω γὰρ ἠθέλησεν ὁ ἀγαθὸς ἁπάντων Δεσπότης καὶ τοῦ οὐρανοῦ βασιλεὺς, ἐπὶ τῆς γῆς καταβῆναι δι' ἡμᾶς, καὶ ἄνω ἡμᾶς ὑψῶσαι, καὶ πάντοτε εἶναι μεθ' ἡμῶν. Καὶ τὰ ξένα ταῦτα διὰ τῆς ἱερωσύνης ἐνεργεῖ πανταχοῦ παρὼν, καὶ διὰ πάντων αὐτοῦ τῶν ἱερέων φιλάγαθος ὢν, ὡς καὶ τοὺς ἀγγέλους αὐτοῦ καὶ τὰς τῶν ἁγίων ψυχὰς λαμπρύνει τε καὶ ὑψοῖ, καὶ πάντας τοὺς αὐτοῦ ταπεινοὺς δούλους ἡμᾶς εἰς τὸ κρεῖττον ἀλλοιοῖ καὶ συμπαθῶς κατοικτείρει καὶ φωτίζων καθαγιάζει. Προσερχώμεθα οὖν μετὰ πόθου καὶ εὐλαβείας διηνεκῶς **366** εἰ δυνατὸν ὑπὲρ πᾶσαν ἄλλην προσευχὴν καθ' ἑκάστην τῇ ἱερᾷ μυσταγωγίᾳ· ὅτι οὐδὲν ἐξ ἄλλου παντὶ C πιστῷ ὡς ἐκ τούτου τὸ ὄφελος. Καὶ μηδὲ ἱερεύς τις τούτου καταμελείτω, ἵνα μὴ καὶ αὐτῷ καὶ παντὶ πιστῷ μεγίστην προξενῇ τὴν ζημίαν. Καὶ γὰρ ἵνα βλάβην καὶ ζημίαν καθ' ὑπερβολὴν ἔχωμεν, καὶ πάντοτε μὲν εἰς τὰς προσευχὰς ὁ πονηρὸς ῥαθύμους τε καὶ ἀκηδιῶντας τοὺς εὐσεβεῖς ἡμᾶς καὶ ὀρθοδόξους ἐργάζεται· τοὐναντίον δὲ τοὺς ἀθέους καὶ αἱρετίζοντας εἰς τὰς μιαρὰς αὐτῶν προσευχὰς αὐτοὺς διεγείρει, ὡς ἂν ἐκεῖνοι μὲν διὰ τῶν ἐναγῶν προσευχῶν αὐτῶν, ὡς ἐπὶ πλέον βλασφημοῦντες κατακριθῶσι· θεομαχοῦσι γὰρ καὶ οὐκ εὔχονται· ἡμεῖς δὲ μὴ εὐχόμενοι τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῆς αὐτοῦ χάριτος στερηθῶμεν. Διὸ καὶ πάντοτε μὲν ἡμᾶς σπεύδει κωλύειν τῆς προσευχῆς, μάλιστα δὲ κατὰ D τὴν θείαν ἱερουργίαν. Καὶ ἐπιτίθεται βαρύτερον, καὶ τὴν θείαν θέλει κωλύειν λειτουργίαν. Καὶ ἢ ῥαθυμίᾳ ἢ εὐλόγοις δῆθεν αἰτίαις ἀπάγειν ταύτης ἐπιχειρεῖ· καὶ φαντασίαις δὲ νυκτεριναῖς τοὺς ἱερωμένους τε καὶ τοὺς βουλομένους μετέχειν τῶν μυστηρίων, ἐμποδίζειν οὐ παραιτεῖται, ὡς διὰ πολλῶν ἔγνωμεν, βασκαίνων τοῦ ἁγιασμοῦ καὶ τῆς δωρεᾶς, τοῖς τε ἱερωμένοις ὀρθοδόξοις ἡμῖν ἐν Χριστῷ καὶ τοῖς λαϊκοῖς, ἐκ τούτου μᾶλλον ὁ δείλαιος ἐλεγχόμενος καὶ καταισχυνόμενος, ὡς βάσκανος ὢν καὶ πονηρός. Καὶ ἄκων δὲ μαρτυρεῖ τὸ θεῖον τοῦ ἔργου, καὶ τὸ τῆς χάριτος μέγεθος. Οὐ γὰρ ἂν ἐκώλυε, μὴ μεγίστην νομίζων τὴν δωρεὰν, καὶ ὠφέλειαν. Ἀλλὰ προσεκτέον· καὶ τοῦτον μὲν συντρίψει Χριστὸς, τῇ ἐξομολογήσει δὲ καὶ ταπεινώσει ἐν μετα-

membrum unum illi coaptat, et templum Domino consecrat; eos etiam qui non communicant et qui erga illam in pietate zeloque radicati manent mundat a peccatis, mutat in melius, angelis et sanctis conjungit, sancta Dei gratia replet; animam, mentem et rationem illuminat etiam in corporis sensibus quasi repercussa vibratione. Etenim per oblationem corporis et sanguinis Domini, Spiritu sancto desuper obumbrante, tanta perficitur mutatio et transsubstantiatio, ut panis antea communis et potus vulgaris in corpus et sanguinem transeat; et vere superest corpus ipsum cum vero sanguine Christi, non aliud, voluntate Patris, opere Filii et cooperatione Spiritus sancti. Quod bonum non proveniet his qui fide firma, et pietate fervida attenti et orantes hujusmodi sacrificio assistent? Nec jam in terra tales erunt, sed vere in cœlum transibunt; ita enim voluit optimus omnium Dominus et cœlorum rex, qui propter nos in terram descendit ut nos elevaret in cœlos et semper nobiscum maneret. Et mirabilia hæc et terris aliena per sacerdotium operatur ubique vivens, et per omnes suos sacerdotes suæ bonitatis et dilectionis operarios. Et sicut omnes angelos et animas sanctorum claritate et fulgore vestit et elevat in sedes cœlestes, ita nos omnes servos suos humillimo in optimum mutat, et peramanter suscipit fovetque, ut lumine suo circumfusos societ sanctitati. Accedamus igitur assidue anhelantes desiderio et pietate ferventes, quantum possumus, ad sanctum sacrificium præ omnibus et singulis orationibus; quia ex nulla alia tanta potest fideli cuicunque obvenire utilitas. Et sacerdos nunquam illud negligens prætermittat, ne ipse sibi et omnibus fidelibus summum inferat damnum. Mirifice enim hic et præjudicium et damnum incurrere possumus; nam semper malus pios et orthodoxos in orando segnes et acediosos solet facere, atheos contra et hæreticos ad impuras et nefarias quas dicunt preces impellere satagit, ut suis orationibus magis ac magis blasphemantes condemnentur: Deum enim impugnant nedum orent; nos vero ne Deo nostro preces non fundentes gratia ejus destituamur. Idcirco semper nititur nos arcere ab oratione, sed maxime a sancto et divino sacrificio, et instantius premit ut impediat celebrationem Missæ, et sive negligentia justis de causis ab illa deterrere tentat; nec dedignatur nocturnis illusionibus, et eos qui consecraturi sunt et eos qui mysteria participare intendunt, ut in pluribus factum novimus, præpedire a proposito, irridens consecrationem Deo et Dei donum nobis consecrantibus in Christo et laicis, inde maxime improbitatis et nequitiæ convictus et fascinationis et pessimæ artis nota inustus. Invitus tamen operis illius divinitatem testatur et gratiæ excellentiam; dum enim ab illis dissuadet, sedulo cavet ne celsitudini et bono doni hujus attendatur. Sed diligenter animadvertendum est; hunc quidem Christus comminuet: confessione autem et humi-

litate in pœnitentia assidua ad Christum accedamus. « Accedite ad eum, dicit, et illuminamini, et facies vestræ non confundentur [17]. »

QUÆSTIO LXXX.

Quis est qui tantas et tam multas primus tradidit suscipiendas molestias, exercitationes, labores doloresque, afflictiones carnis et vexationes, virginitatis et sanctimoniæ studium, ac super omnia summam patientiam ac submissionem? Quam ob causam hæc omnia, et quæ ex his utilitas?

Quantumvis mirum videatur quod quæris, esse scilicet sufferendos sanctos agones, varios carnis labores, dolorem quemque et tribulationem, paupertatem et animæ contritionem, ut est humilitas; et quæras ad quid hæc omnia, et quis ea constituerit; et denique quæ sit ex his utilitas: tamen utilissima est quæstio, ut intelligamus ea non esse hominis, sed opera Dei in suo Filio qui pro nobis incarnatus est in nostram reformationem, ut evacuemus illam quæ est ex luxuria consumptionem et ex præsumptione commissam culpam reparemus, et pulchritudine excellentiori gloriaque majori quam prius ditemur, sicut factum est humiliatione et paupertate Christi, qui sustinuit usque ad venditionem, ad irrisionem, ad improperia, ad tormenta, ad millia cætera mala et ad mortem usque, ut et nos omni intentione nitamur illum imitari, et æmulatores ejus sanctos, generose perferendo non solum tribulationes voluntate nostra quæsitas, sed et illas quæ præter voluntatem ingruunt tristi impetu, usque ad mortem millies si fieri posset pro Domino, summo cum nostro profectu, susceptam. Quomodo enim ad ipsum possemus accedere sine verberibus, etiamsi foremus innocentes? sed peccata nostra omnem excedunt numerum et modum. Vide ergo ut Salvatoris vestigia prementes doloris et pressurarum viam viventes ingressi, sunt et justi qui ejus typum olim gerebant, et prophetæ, et apostoli, et pastores, et martyres, et magistri, et eremitarum virginumque et omnium fidelium Dei amatorum turmæ; absque laboribus nullus est salvatus; in quibus omnibus excellentior dux atque magister Christus Deus noster, ut notavimus. Quis autem sit doloris et pressuræ carnis fructus et humilitatis et paupertatis, et obedientiæ pro Deo usque ad mortem, ipse sæpius nobis demonstravit, suum incorruptibile corpus ostendens, quod in cœlum est elevatum, cujus ope se nobis manducandum præbens, corpus humilitatis nostræ reformat [18], nos corruptibiles incorruptibiles efficiens, et constituit hæredes gloriæ suæ æternæ, « et procedent, ut ipse dixit, qui bona fecerunt in resurrectionem vitæ, qui vero mala egerunt in resurrectionem judicii [19], » id est condemnationis. Omnis ergo dolor contra prævaricationem Adæ et superbiam pugnat, et peccatorum nostrorum justa retributio. Dictum est enim Adæ: « Maledicta terra

A νοίᾳ διηνεκεῖ Χριστῷ προσερχώμεθα. « Προσέλθετε γὰρ (φησὶ) πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. »

ΕΡΩΤΗΣΙΣ Π'.

Τίς ὁ τοσούτους παραδεδωκὼς πόνους, ἀσκήσεις, κακοπαθείας, θλίψεις σαρκὸς καὶ πιεσμούς, παρθενίαν, ἁγνείαν, καὶ ἐπὶ πᾶσιν ἄκραν ὑπομονὴν καὶ ταπείνωσιν; Διατί ταῦτα; καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια;

Εἰ καὶ θαυμαστὸν δοκεῖ ὃ ἠρώτησας περὶ τῶν ἀπαιτουμένων θείων ἀγώνων, διαφόρων πόνων σαρκός, κακοπαθείας ἁπάσης καὶ θλίψεως, ἔτι δὲ πτωχείας καὶ ψυχικῆς συντριβῆς, ἥτις ἐστὶν ἡ ταπείνωσις, ὅτι διατί ταῦτα, καὶ τίς ὁ ταῦτα παραδεδωκώς, B καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια, ἀλλ' ἐπωφελὴς ἡ ἐρώτησις· ἵνα ἐννοήσαντες ὡς οὐχ ἀνθρώπου ταῦτα, ἀλλὰ Θεοῦ ἔργα εἰσὶ τοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν Υἱοῦ τοῦ Θεοῦ εἰς ἡμετέραν ἀνάπλασιν, ἵνα τῆς ἀπὸ τῆς τρυφῆς συντριβῆς ἀπαλλαγῶμεν, καὶ τοῦ ἀπὸ τῆς οἰήσεως πτώματος ἐπανακληθῶμεν, καὶ κρεῖττον τοῦ πρώτου κάλλος, καὶ μείζονα τὴν δόξαν πλουτήσωμεν, καθὼς καὶ διὰ τῆς ταπεινώσεως καὶ πτωχείας γέγονε Χριστοῦ, καὶ τῆς μέχρι πράσεως καὶ ἐμπαιγμοῦ καὶ ὀνειδισμῶν καὶ δεσμῶν, καὶ μυρίων ἄλλων παθῶν καὶ αὐτοῦ θανάτου θλίψεως, σπουδάσωμεν ὅλῃ προθέσει κατὰ μίμησιν αὐτοῦ καὶ τῶν ζηλωσάντων αὐτὸν ἁγίων, οὐ μόνον ἑκούσιον πᾶσαν θλῖψιν, ἀλλὰ καὶ τὰς ἀκουσίους ἐπιφορὰς γενναίως φέρειν ἄχρι καὶ αὐτοῦ τοῦ θανάτου, καὶ μυC ριάκις εἰ δυνατὸν ἦν· ὅτι καὶ ἡ πρὸς τὸν Δεσπότην ὀφειλὴ ὑπὲρ λόγον. Καὶ τί προσάξομεν τούτῳ εἰ καὶ ἀνέγκλητοι ἦμεν ἀντὶ καὶ μόνου ῥαπίσματος; καὶ ὅτι τὰ πταίσματα ἡμῶν ὑπὲρ ἀριθμόν. Οἶδας οὖν, ὡς ἐκμιμούμενοι τὸν Σωτῆρα καὶ προτυποῦντες τὰ αὐτοῦ δίκαιοι καὶ προφῆται καὶ ἀπόστολοι καὶ ποιμένες καὶ μάρτυρες καὶ διδάσκαλοι, καὶ τῶν ἀσκητῶν ἡ πληθὺς, καὶ τῶν παρθένων καὶ πάντων θεοφιλῶν, τὴν τῆς κακοπαθείας καὶ θλίψεως ὁδὸν ἐν τῷ βίῳ τούτῳ καὶ τῆς ταπεινοφροσύνης διῆλθον· καὶ χωρὶς τούτων οὐδεὶς σέσωσται. Ἐξαίρετος δὲ τούτων, καθάπερ εἰρήκαμεν, ὑφηγητὴς καὶ διδάσκαλος καὶ ἐργάτης ἄχρι θανάτου Χριστὸς ὁ Θεὸς D ἡμῶν. Τί δὲ τὸ ὄφελος τῆς κακοπαθείας καὶ θλίψεως τῆς σαρκὸς καὶ τῆς ταπεινώσεως καὶ πτωχείας καὶ ὑπακοῆς πρὸς τὸν Θεὸν μέχρι θανάτου, 367 αὐτὸς ἔδειξε πάλιν, ἄφθαρτον ἀποδείξας τὸ πανάγιον αὐτοῦ σῶμα, καὶ εἰς τοὺς οὐρανοὺς ἀνυψώσας, ἐξ οὗπερ αὐτὸν ἀπεκδεχόμεθα, καὶ ἡμῶν μετασχηματίσαι τὸ σῶμα τῆς ταπεινώσεως, καὶ ἀπὸ φθαρτῶν ἀναδεῖξαι ἡμᾶς ἀφθάρτους, καὶ κληρονόμους καταστῆσαι τῆς αἰωνίου δόξης αὐτοῦ, ὅτε « καὶ οἱ τὰ ἀγαθὰ ποιήσαντες, ὡς αὐτός φησιν, ἐξελεύσονται εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως, ἤτοι κατακρίσεως. » Πᾶσα οὖν κακοπάθεια τῆς παραβάσεως καὶ τρυφῆς Ἀδάμ ἐστιν ἐναντίωσις, καὶ τῶν ἁμαρτημάτων ἡμῶν ἀντ-

[17] Psal. XXXIII, 5. [18] Philip. III, 21. [19] Joan. V, 29.

ἀπόδομα· » ὡς καὶ τῷ Ἀδὰμ, « Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, » καὶ τὰ λοιπὰ τῆς ὀδύνης. Διὸ καὶ οἱ μὲν ἡμαρτηκότες, δι' ὀδύνης καὶ πόνων τὰ τῆς ἡδονῆς λύουσι, καὶ τῆς ὀδύνης ἐκείνης οὐκ αἰσθανθήσονται, καθὰ δὴ καὶ πολὺ πλῆθος εἰργάσατο τῶν ὁσίων, καὶ οἱ ἐν τῇ κλίμακι μακάριοι ἐκεῖνοι κατάδικοι· οἱ μὴ πλημμελήσαντες δὲ, ὅπερ σχεδὸν οὐδενὶ, καὶ διὰ τὴν τοῦ Δεσπότου τιμὴν τηλικαῦτα δι' ἡμᾶς πεπονθότος, καὶ δι' ἅπερ ὀφείλουσι, καὶ διὰ τὸ μὴ πεσεῖν, ἀνάγκην ἔχουσιν ἐνεργεῖν. Εἰ γὰρ ὁ Παῦλος ἐδουλαγώγει τὸ σῶμα, ἵνα μὴ ἀδόκιμος γένηται, τίς ὅλως θαῤῥήσει τῷ σώματι; « Ἀλλὰ καὶ βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, » ἡ Ἀλήθεια ἔφη, « καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. » Καὶ ταῦτα μὲν περὶ τῆς ἐν Χριστῷ κακοπαθείας. Ἡ ταπείνωσις δὲ τὴν τοῦ ὑπερηφάνου οἴησιν ἄθεον, καὶ τὸ τῆς ἰσοθεΐας ἀντίθεον φρόνημα τοῦ πρωτοπλάστου καθαίρει, καὶ τὸν ἄνθρωπον ἀνυψοῖ. Διὸ καὶ πᾶς μὲν ταπεινούμενος ἀληθής· ὅτι καὶ κτίσμα καὶ οὐδὲν ἀφ' ἑαυτοῦ κέκτηται, κἂν ἔχειν δοκῇ. Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; φησί. Πᾶς δὲ ἀλαζὼν, ὡς ὁ διάβολος, ψεύστης, μήτε θέλων εἰδέναι, μήτε εἰδὼς τὸν αἴτιον καὶ δημιουργὸν, κἂν καὶ εἰδέναι δοκῇ· καὶ πᾶς μὲν κακοπαθῶν διὰ Χριστὸν, ἀθλητὴς, καὶ τὴν τρυφὴν δι' ἣν πεπτώκαμεν καταλύων καὶ ἀναιρῶν, καὶ μὴ θερίζων ἀπὸ τῆς σαρκὸς φθοράν. Ὁ δὲ σπαταλῶν κομίζεται ὄλεθρον, καὶ ζῶν ἀποθνήσκει, καὶ συνιστᾷ τὴν παράβασιν, καὶ σαρκός ἐστι δοῦλος, καὶ τρυγᾷ θάνατον ὁμοῦ καὶ φθοράν. Εἰ οὖν καὶ ὁ Κύριος κακοπαθῶν ἦν μὴ ὀφείλων, καὶ Παῦλος ὑποπιάζων τὸ σῶμα καὶ δουλαγωγῶν καὶ τῶν ἀποστόλων δὲ καὶ ἱερέων καὶ πάντων ἐκλεκτῶν οἱ χοροὶ, ὁ Σωτὴρ δὲ καὶ σωματικῶς ὑπήνεγκε θάνατον καὶ μυρίας ἄλλας κακοπαθείας καὶ θλίψεις, καὶ οἱ ἀπαρχῆς τοῦ νόμου καὶ τῆς χάριτος ὑπηρέται, καὶ μαρτύρων πλήθη ἄχρι βασάνων καὶ θανάτου ἀνδρισαμένων, μοναστῶν τε καὶ ἀσκητῶν καὶ παρθένων ὑπὲρ ἀριθμὸν σύλλογοι, τίς περὶ τούτου διαπορήσειε πλέον; Καὶ σὺ τοίνυν, ἀδελφὲ ποθεινότατε, καθαρῶς εἰδὼς τὰ τοιαῦτα καὶ κατ' ἐκείνους ὁδεύων τοὺς τοῦ Χριστοῦ, καὶ αὐτὸν δὲ τὸν Δεσπότην ἡμῶν ζηλῶν, καὶ ὡς ἐνὸν ἐκμιμούμενος, εὔχου καὶ ἡμᾶς καταφρονητὰς ὀφθῆναι ἐν αὐτῷ τῷ Κυρίῳ τῆς φθειρομένης σαρκὸς, καὶ ἐραστὰς γενέσθαι τῶν οὐρανίων, ὡς ἂν καταξιωθῶμεν ἐλέει τούτου ἀναλύσαντες ἐκ τοῦ σώματος, σὺν αὐτῷ εἶναι διαπαντὸς, τῷ μόνῳ ἐραστῷ Χριστῷ τῷ Θεῷ ἡμῶν.

A in operibus tuis [20], » et reliqua doloris argumenta. Idcirco tum qui peccaverunt per doloris pœnas et labores voluptatis opera luunt: ejus tamen aculeos doloris non sentient aliquando, ut in pluribus sanctis factum est; et beatis illis qui in climace condemnati manebant; tum qui non deliquerunt, at hoc fere nulli contigit, et propter honorem Domini qui tanta pro nobis pertulit, et propter debitum officium, et propter perseverantiam in non peccando, necesse habent exercere dolorem. Nonne enim Paulus corpus suum in servitutem redigebat, ne reprobus efficeretur [21]? Quis ergo corpori indulgebit? sed et Veritas dixit: « Vim patitur regnum cœlorum, et violenti rapiunt illud [22]. » B Et hæc de perferendo dolore in Christo. Humilitas vero sanat et purgat superbiæ præsumptionem Dei immemorem, imo contra Deum se extollentem, ut in protoparente, qui se æqualem Deo æstimabat, et ita hominem vere extollit. Ideo omnis qui se humiliat, in veritate est; nam cum sit creatura, nihil sibi ipse contulit de his quæ crediderit habere. « Quid enim habes quod non accepisti? » ait Paulus [23]. Omnis ergo qui se jactat et extollit, ut diabolus mendax est veterator; neque volens agnoscere, neque sciens causam et opificem etsi credat agnoscere. Omnis qui patitur propter Christum, athleta, superbiam per quam deliquimus solvens et destruens, non de carne metit corruptionem, dum ille qui deliciose vivit, ruinam accelerat, C et vivens mortuus est, et culpam auget, et servus carnis constitutus, de carne metit simul corruptionem et mortem. Cum igitur et Dominus passus sit, qui tamen nec merebatur nec opus habebat; si Paulus conterens corpus illud in servitutem redegit; si apostolorum, et sacerdotum, et omnium electorum chori, Domino qui mortem corporaliter subierat et mille alias toleraverat ærumnas, vices easdem reddiderint; si legis servi a principio et gratiæ filii, et martyrum agmina viriliter sustinuerunt ad tormenta et usque ad mortem; si monachorum et eremitarum et virginum multitudines in idem abierunt propositum, quis super his dubitare jam queat? Tu ergo, frater desideratissime, probe doctus hæc omnia, incedas et ipse post vestigia D Christi, et illum omni desiderio prosequaris, et ipsum solum memoria cordeque habeas; precamur autem et nos ut possimus semper videri contemnentes in Christo Domino carnem hanc corruptibilem, et cœlestium ardentes amatores fieri, ut digni habeamur ex hac carnis sarcina ejus misericordia eximi, ut cum ipso in æternum simus, unice amabili et amando Jesu Christo Deo nostro.

ΕΡΩΘΗΣΙΣ ΠΑ'.

Εἰ συμβῇ χυθῆναι ἐν τῇ εἰσόδῳ τὰ Ἅγια, ἢ βρωθῆναι ὑπό τινος ζῴου, τί ποιητέον;

Συμβαίνει τὰ τοιαῦτα καὶ ἐκχεῖται τὰ Ἅγια, καὶ μάλιστα ἐπηρείᾳ τοῦ πονηροῦ· πολλάκις δὲ καὶ ἀσθενείᾳ ἢ ἀμελείᾳ καὶ ἀπροσεξίᾳ τῶν ἱερέων. Ὁ

QUÆSTIO LXXXI.

Si accidat ut inter offerendum effundantur sacra, vel ab animali quodam consumantur: ecquid faciendum?

Accidit aliquando ut sancta mysteria effundantur, maxime dæmonis malitia: sæpe tamen et accidit ex infirmitate vel incuria, vel negligentia sacerdotum.

[20] Gen. III, 17. [21] I Cor. IX, 27. [22] Matth. XI, 12. [23] I Cor. IV, 7.

Sacerdos cui acciderit sancta effudisse, constituatur A hoc præsertim pontifici, a quo præscripta observanda accipiet : maxime si id ex negligentia vel incuria acciderit, et a sancto ministerio arceatur ad tempus. Quod si in hoc loco necesse sit vel utile munus ejus in abstinentiam, oratione et genuflexionibus illi injungatur ratio pœnitendi, ne unquam omnino salutare intermittatur opus sacrificii. Si, dum in templum ingreditur ad sacrificium adimplendum, effundatur quod in calice continetur, et quidem totum, statim ut hoc in sanctis mysteriis accidit, iterum de novo fiat oblatio, et preces præparationis dicantur : et sic ordine post solemnem ingressum munera sacrificii perficiantur. Similiter si acciderit ut panem oblatum et consecratum mures vel alia ex animalibus eroserint, quin viderit B sacerdos, nec resciverit ante ingressum, alterum panem providebit, quem rite dividens, et benedicens propheticis verbis, ea dicens et faciens quæ secundum morem, addens preces oblationis, et deinde post solemnem ingressum ritus sacrificii adimplebit. Sancta autem mysteria debent a sacerdote colligi in sancto aliquo vase et in loco convenienti et securo collocari, ne pedibus conculcentur, vel aliquod incongruum experiantur. Opportunissimus erit locus ille in quo post collectam sacerdos manus lavat, quem oportet habere facile claudendum et convenientem : et simul curandum est ne quid horum cadat exterius e loco hoc, neque ex aqua purificationis, cum sit sanctum, utpote quod laverit C labia communione sanctificata et manus sacerdotis. Quasi sancta piscina est hicce locus, et aqua purificationis sacerdotalis sanctificata, ex qua novimus et sanationes fieri, si inde unguntur aut bibunt infirmi. Neque autem temere hæc sunt tractanda : præcipiendumque est ut ille qui his uti optat, innocens sit et jejunus. Similiter ille qui his ungi cupierit oportet ut iterum lavetur in loco separato et convenienti. Hic igitur post communionem lavabitur sacerdos, vel in loco aptiori securiorique, si adsit, sancta mysteria quæ effusa sunt colligens pie devoteque cum aquali hic deponet. Pavimentum sit e marmore, ut hæc apte sancteque in loco deponantur. Sintque maxima et fixa D marmora quæ profunde fodiantur in aptum receptaculum pro sanctis oblationibus hic deponendis separatim, ut diximus. Ita confodiantur ut lavari possit et receptaculum. Si vero consecratæ oblationes non sint ex toto effusæ, sed pars earum remanserit, tunc addatur pars altera secundum quod opus est, et perficiatur sacrificium. Si vero acciderit ut hæc oblata desuper effundantur in vestes sacerdotales, et quidem ante sacrificium, si pretiosiora tantum et pulchriora indumenta attigerint, tunc hæc vestimenta laventur aqua in vase sancto, ita ut nihil in illis remaneat, et aqua immittatur in locum sacrum, ut dictum est. Quod si acciderit post sacrificium effundi in commune indumentum, ex eo resecandum est quantum est necesse ut ex

A τοίνυν ἱερεὺς ἐν ᾧ τοῦτο συνέβη τὸ ἐκχυθῆναι τὰ Ἅγια, ἐξομολογείσθω προηγουμένως τῷ ἀρχιερεῖ. Καὶ ἱκανῶς κανονιζέσθω· καὶ μᾶλλον εἰ ῥᾳθυμίᾳ τούτου ἢ ἀπροσεξίᾳ συνέβη· καὶ τῆς θείας ὑπηρεσίας εἰργέσθω ἐπὶ καιρόν. Εἰ δ' ἀνάγκη καὶ χρεία ἱερέως ἐν τῷ τόπῳ, δι' ἐγκρατείας καὶ προσευχῆς ἢ γονυκλισιῶν ἔστω τὰ τοῦ κανόνος αὐτῷ, ἵνα μὴ τὸ σωτήριον **368** ὅλως ἐμποδισθείη ἔργον. Ἐν τῷ καιρῷ δὲ ἐκείνῳ, καθ' ὃν συνέβη τὸ γεγονὸς εἰς τὰ Ἅγια, εἰ μὲν ἐν τῷ ναῷ τῆς εἰσόδου τελουμένης ἐξεχύθη τὸ ἐν τῷ ποτηρίῳ καὶ ἅπαν, ἕνωσιν πάλιν ποιείτω, καὶ τὴν εὐχὴν ἐπιλεγέτω τῆς προθέσεως· καὶ οὕτω καθεξῆς ἀπὸ τῆς μεγάλης εἰσόδου τὰ τῶν εὐχῶν ἐκτελείτω. Ὁμοίως δὲ καὶ εἰ συνέβη τὸν προσενεχ- B θέντα θεῖον ἄρτον ὑπὸ μυῶν, ἢ ἑτέρου ζώου βρωθῆναι, καὶ μὴ ἴδοι ὁ ἱερεὺς, μετὰ δὲ τὴν εἴσοδον γνῷ, προσκομίσει ἕτερον ἄρτον ἀνατεμὼν συνήθως, καὶ ἐπιλέγων τὰ προφητικὰ ῥήματα, καὶ ὅσα λέγειν καὶ ποιεῖν ἔθος· καὶ τὴν εὐχὴν τῆς προσκομιδῆς ἐπιλέγειν, εἶτα ἐπάγειν ἀπὸ τῆς μεγάλης εἰσόδου τὰ τῶν εὐχῶν, αἳ καὶ τελεστικαί εἰσι μᾶλλον. Αἱ πρότερον γὰρ ἐῤῥέθησαν ἱλασμοῦ καὶ δεήσεως οὖσαι, καὶ πρὸς τὴν ἱερουργίαν οἰκονομοῦσαι τὸν ἱερέα. Τὰ ἐκχυθέντα δὲ Ἅγια χρεὼν συναχθῆναι ὑπὸ τοῦ ἱερέως ἐν σκεύει ἁγίῳ τινὶ, καὶ ἐν ἱερῷ τόπῳ καὶ ἀσφαλεῖ ἀποτεθῆναι, ὥστε μὴ καταπατηθῆναι, ἢ ἄλλο τι τῶν μὴ δεόντων παθεῖν. Ἐξαίρετος δὲ τόπος ἔσται ἔνθα μετὰ τὸ κοινωνῆσαι ὁ ἱερεὺς ἀπονίπτεται· ὃν καὶ ὀφείλει ἠσφαλισμένον ἔχειν πάν- C τοθεν καὶ ἁρμόδιον, καὶ προσοχὴν ἔχειν, μὴ ἐκπίπτειν ἔξωθέν τι τοῦ τόπου ἐκείνου, μήτε ἐκ τοῦ νίμματος· ἐπειδὴ ἅγιόν ἐστι, τὰ χείλη τε τὰ ἐκ τῆς κοινωνίας ἡγιασμένα καὶ τὰς χεῖρας ἐκπλῦνον· καὶ ὡς τὸ ἱερὸν ποτήριον ἐκεῖνος ὁ τόπος ἐστὶ καὶ τὸ νίμμα ἡγιασμένον, δι' οὗ καὶ ἰάματα, ὡς ἔγνωμεν, γίνεται, χριομένων ἐκ τούτου τινῶν ἀῤῥωστούντων, ἢ ἐκπινόντων· καὶ οὐδ' ἁπλῶς τοῦτο παρέχειν χρὴ, ἀλλ' ὥστε παραγγέλλειν προσέχειν, καὶ τὸν μὲν βουλόμενον ἐκπιεῖν εἶναι καθαρόν τε καὶ νῆστιν. Ὁμοίως δὲ καὶ τὸν βουλόμενον ἀλείψασθαι, ὃς καὶ ὀφείλει νίπτεσθαι ὕστερον ἐν ἰδιάζοντι τόπῳ. Ἐκεῖσε τοίνυν ἔνθα ὁ ἱερεὺς μετὰ τὴν κοινωνίαν ἀπονίπτεται, ἢ ἐν ἀσφαλεστέρῳ τόπῳ εἰ ἔστι, τὰ ἐκχυ- D θέντα Ἅγια συλλέξας εὐλαβῶς μετὰ τῆς ἐκεῖσε ὕλης καὶ τοῦ χοὸς ἀποθήσει. Εἰ δὲ μάρμαρα κατεστρωμένα εἰσὶν, ἵνα ταῦτα ἐκεῖθεν ἐξελὼν, ἐν τόπῳ ἱερῷ καὶ ἰδιάζοντι ἀποθήσῃ. Εἰ δὲ μέγιστα καὶ ἀκίνητα, ἵνα λατομήσας εἰς βάθος ἱκανῶς τὸν τόπον ἔνθα δὴ ἐξηπλώθη τὰ Ἅγια, τὰ ἐξενεχθέντα ἐκεῖσε θήσῃ, ἐν τόπῳ, ὡς ἔφημεν. Ἀλλὰ καὶ ἔνθα λελατόμηκεν, ἵνα ἐκπλύνῃ τὸν τόπον ὡς δυνατόν. Εἰ δὲ τὰ Ἅγια οὐ πάντα ἐκκέχυται, ἀλλὰ μέρος ἐναπελείφθη, ἵνα καὶ ἕτερον ἐπιβαλὼν ὅσον εἰς χρείαν, ἐκτελέσῃ τὰ τῆς ἱερουργίας. Καὶ ἐὰν τὰ Ἅγια ἐπάνω τῶν ἀμφίων τοῦ ἱερέως ἐξεχύθη, εἰ μὲν πρὸ τῆς τελειώσεως, εἰ τίμια μόνον εἰσὶ καὶ πολυτελῆ, ἵνα ἰδίως ἐν σκεύει ἐκπλύνας ἱερῷ ἱκανῶς, ὥστε μὴ ὑπολειφθῆναι ἐν τοῖς ἐνδύμασί τι, τὸ νίμμα ἐμβάλῃ ἐν τόπῳ ἱερῷ καὶ ἀσφαλεῖ, καθὼς εἴρηται.

Εἰ δὲ μετὰ τὴν τελείωσιν ἐκκέχυται, ἵνα κατὰ πᾶσαν ἀνάγκην ἐκκόπτηται τὸ μέρος ἐκεῖνο τοῦ ἱεροῦ ἐνδύματος, καὶ θεῖον κάλυμμα γίνηται, ἐκπλυθὲν καὶ αὐτὸ ἐν τόπῳ ἰδιαιτάτῳ, ἔνθα καὶ ἱερὸν ποτήριον ἐκπλυθῆναι δυνατὸν, καὶ σπόγγον ῥύπου πλησθέντα καὶ σήψεως, ἢ ἱερὸν κάλυμμα. Καὶ ταῦτα γὰρ ἀποπλύνειν κατὰ καιρὸν, μόνον εὐλαβῶς καὶ ἐν ἀσφαλεῖ τόπῳ καὶ μᾶλλον καλῶς ἔχοντι καὶ ἀσφαλῶς τῷ λεγομένῳ νιπτηρίῳ, οὐ βλαβερὸν, ἀλλὰ μᾶλλον θεοφιλὲς, εἰς τιμὴν καὶ ὡραϊσμὸν τῶν τοῦ Θεοῦ ὂν ἱερῶν σκευῶν. Εὑρίσκομεν γὰρ καὶ ἐν τῇ παλαιᾷ διατάξει, ὡς κάλπην εἶχέ τινα ἡ Μεγάλη ἐκκλησία, οἷον μικρὰν λεκάνην, ἐν ᾗ τὰ ἱερὰ ἀπέπλυνον ποτήρια διὰ χλιαροῦ ὕδατος.

B

ΕΡΩΤΗΣΙΣ ΠΓ'.

Ὅπως χρὴ κοινωνεῖν τοὺς μὴ δυναμένους εἰς τὸν ναὸν παραγενέσθαι ἀῤῥώστους.

Ὅθεν προσεκτέον τῷ ἱερεῖ εἰς πάντα τὰ Ἅγια καὶ τὴν ἱερὰν παρακαταθήκην, τὸν προηγιασμένον, καὶ ἡνωμένον τῷ θείῳ αἵματι ζωοποιὸν καὶ πανάγιον ἄρτον, ὥστε ἐν πυξίῳ καθαρῷ καὶ ἀσφαλεῖ ἔχειν, καὶ μετὰ καθαροῦ ἠσφαλισμένον ὑφάσματος καὶ τιμίου. Αὐτὸ γάρ ἐστι τὸ θειότατον σῶμα καὶ αἷμα τὸ Δεσποτικόν. Καὶ προσκυνεῖν **369** καὶ θυμιᾷν καὶ τιμᾷν χρὴ ὅλῃ προθέσει, καὶ ὑπεράνω πρὸς ἀνατολὰς τῆς θείας τραπέζης ἠωρημένον ἔχειν, καὶ ἐπιβλέπειν ἵνα μή τι συμβαίη ἀμελείᾳ τῶν μὴ δεόντων. Καὶ ἐν τῷ μέλλειν δέ τινα κοινωνεῖν, μὴ εἰς τὸν κόλπον λαμβάνειν καὶ πορεύεσθαι, ὥς τινες νῦν καταφρονητικῶς ἢ C ἀμελῶς ἢ ἀσυλλογίστως ποιοῦσιν, ἀλλ' ἑτοιμάζειν ἐν τῷ ἱερῷ ποτηρίῳ τὴν θείαν μερίδα ἐν τῇ λαβίδι κατὰ τὴν πρόθεσιν, ὡς ἔθος ἦν ἐξαρχῆς, καὶ ἡμεῖς φθάσαντες εἴδομεν, καὶ προηγουμένης λαμπάδος, τὸν ἱερέα ἐνδεδυμένον ἐπιτραχήλιον, κρατοῦντα πορεύεσθαι, καὶ οὕτω μετὰ τὸ κοινωνῆσαι τὸν ἀῤῥωστοῦντα ἐπανέρχεσθαι πάλιν. Καὶ τοῦτο ποιεῖν οὐ τοὺς κοσμικοὺς ἱερεῖς μόνον, ἀλλὰ καὶ τοὺς μοναχοὺς ἐν τοῖς μοναστηρίοις, ἵνα καὶ τίμιον ᾖ, καὶ εἰς τὴν τοῦ Χριστοῦ δόξαν, καὶ ἡμῶν εἰς τὰ θεῖα εὐλάβειαν, καὶ μή τι τῶν ἀπευκταίων συμβαίη, ὡς εἴδομεν. Ἀνεπιτηδείου γὰρ ὄντος τοῦ τόπου, ἐν τῷ ἐξάγειν βούλεσθαι τοῦ πυξίου τὴν θείαν μερίδα, συμβέβηκε πολλάκις τὸ φρίκης καὶ καταδίκης ἄξιον, ὡς ἐμάθομεν, ῥιφῆναι τὰ Ἅγια. D Ἀλλὰ καὶ τὸ κατέχειν ταῦτα ἐν κόλποις καὶ ὁδεύειν ἢ καθῆσθαι οὐκ εὐλαβές. Καὶ τίς χρεία τοῦτο ποιεῖν, δυναμένοις εὑρίσκειν ἐν πᾶσι ναοῖς τῶν θείων φυλαττομένων μυστηρίων; Διόπερ εἰ δι' αἰσχροκέρδειαν ποιεῖ τις πνευματικὸς ἢ ἱερεὺς τὸ τοιοῦτον, ἁμαρτάνει, εἰ μή που κατὰ πολλὴν ὅτι καὶ μεγίστην ἀνάγκην, ἐρημίας οὔσης, καὶ μὴ δυνατοῦ ὄντος τοῦ τὴν τάξιν γενέσθαι, ἢ ἐὰν μέσον ἐθνικῶν ἐστί τις, καὶ παῤῥησιάσασθαι οὐ δύναται, μήποτέ τις καὶ ἀτιμία γένηται τοῖς Ἁγίοις· χωρὶς δὲ τοῦτο, ἀναγκαῖον τὸ μετὰ τιμῆς προπέμπειν τὰ Ἅγια. Καὶ ὅρα τὴν Ἐκκλησίαν τοῦτο ἀεὶ ποιοῦσαν ἐν ταῖς τῆς λειτουργίας εἰσόδοις, καὶ μὴ τελείων ὄντων τῶν θείων δώρων.

A hoc panno fiat velum sacrum, quod pariter est lavandum in loco mundissimo: mundabitur et sacra piscina, spongia vel aliquo linteo siccabitur ut purificetur a sordibus. Hæc autem facienda sunt pro opportunitate, devote tamen et cum magna sedulitate. Optimum quidem esset si ad hoc haberetur pelvis vel nitidissimum labrum in quo honorifice et laudabiliter mundarentur vasa sacra Deo. In veteribus decretis invenimus quod Magna ecclesia habuerit amphoram vel tantum labellum minimum ad lavanda in aqua tepida vasa sacra.

QUÆSTIO LXXXII.

Quomodo oporteat communicare infirmos, qui in templo præsentes adesse nequeunt.

Attendat sedulo sacerdos ipsi esse reservandum ex omnibus sacrificiis sacrum depositum; præsanctificatum scilicet panem vivificantem et sacrosanctum, unitum vere sancto Domini sanguini, quem habeat in pyxide munda et tuto reclusa, involutaque velo mundissimo et pretioso: hic panis enim est sanctissimum corpus et sanguis Domini. Genuflectat, thurificet et adoret omni intentione, teneat elevatum ante sanctam mensam, et circumspiciat diligenter ne quid incuria sua fiat incongruenter. Cum igitur aliquis fuerit sacra communione reficiendus, sacerdos non sumat sancta sacramenta in sinu ut adeat infirmum, ut quidam irreverenter, sine cura dignitatis et absurde fecerunt, sed particulam sacram pie reponat in sancto calice cum forcipe, sicut moris est a principio, et nos prius vidimus. Sacerdos indutus stola præcedente lampade potest incedere, sicque ad infirmum sacra communione roborandum accedere. Et ita agere debent non solum sæculares sacerdotes, sed etiam monachi in monasteriis, quibus, in honorem Christi et propter eam qua sancta tractare debemus pietatem, habenda est ad hoc pretiosa supellex; et quibus pari cura vitanda sunt abominanda ista quæ accidere vidimus: particulam sacram asservari in loco indecenti, et cum eam ex pyxide desumere volunt, sæpe fieri ut sancta ruant, ut audivimus, quod sane horrore plenum et diro judicio dignum. Sed et hæc Sancta habere in sinu incedendo vel stando omnino impium: et quæ alioquin utilitas ex hoc esse potest, cum possint sacramentum invenire in quovis templo asservatum? Quamobrem peccat spiritualis Pater vel sacerdos qui hoc facit; nisi forte maxima impellatur necessitate, in eremo scilicet, et non possit normam sequi præscriptam, aut si habitet in medio ethnicorum, nec possit confidenter et libere agere, metusque est ne quiddam irreverentia sacramentis inferatur, prudenter omittat præscripta: sed extra hunc casum, frequenti comitatu et cum honore multo deducenda sunt sancta ad infirmos.

Animadvertet etiam quod semper sic egerit et agendum statuat Ecclesia, cum ad sacrificium procedit, et cum dona Dei contra normam perficiuntur.

QUÆSTIO LXXXIII.

Si per oblivionem sacerdotis contingat unionem sacramentalem non fieri, et vacuum ille poculum obtexerit, quid faciendum?

Si oblitus fuerit sacerdos sub utraque specie unum conficere sacrificium, et vacuum calicem cooperuerit, et huic oblivioni attenderit in introitu, statim in sacra mensa debet unitatem victimæ ex duabus speciebus procurare et preces præparationis proferre, et sic sacrificium adimplebit consummabitque. Si vero non animadverterit, et sacrificium ignorans perfecerit, et defectum cognoverit solummodo cum sumere cogitat consecratas species, debet alteram in unitatem victimæ consecrare speciem, preces præparationis proferre et omnes alias ex ordine dicere preces ab introitu solemni, et tunc solummodo cooperire quasi sigillo calicem per invocationem sancti Spiritus, et ita sumere. Ita hoc opinor ego sacerdoti agendum esse, si modo sapienter dictum senserint alii Christi pontifices, et præsertim magna synodus. Evidens interea videtur non posse consecrari completum sacrificium ad quod non accedunt preces, quod non signatur sigillo et invocatione sancti Spiritus ut in sanguinem divinum Christi transmutetur, nec ideo præsentem in altari monstrat. Tria enim sunt ad sacrificium complendum necessaria: præparatio et oblatio elementorum, ad quæ accedunt preces sacerdotis et consecratio sigillumque Spiritus sancti.

A

ΕΡΩΤΗΣΙΣ ΠΓ.

Ἐὰν λήθῃ τοῦ ἱερέως συμβαίη μὴ ἕνωσιν γενέσθαι, καὶ καλύψῃ κενὸν τὸ ποτήριον, τί ποιητέον;

Ἐὰν τῇ λήθῃ τοῦ ἱερέως συμβαίη μὴ ἕνωσιν γενέσθαι, καὶ καλύψῃ κενὸν τὸ ποτήριον, εἰ μὲν ἐν τῇ εἰσόδῳ γνῷ, εὐθὺς ἐν τῇ θείᾳ τραπέζῃ τὴν ἕνωσιν ὀφείλει ποιῆσαι, καὶ τὴν εὐχὴν εἰπεῖν τῆς προθέσεως, καὶ οὕτω τὰ τῆς λειτουργίας τελέσαι. Εἰ δ' οὐ προσέσχε, καὶ τὰ τῆς λειτουργίας ἐκτετέλεκεν, ἐν δὲ τῷ μέλλειν μεταλαβεῖν τοῦτο ἔγνω, ὀφείλει τὴν ἕνωσιν ποιῆσαι, καὶ τὴν εὐχὴν εἰπεῖν τῆς προθέσεως, καὶ ἐξ ἀρχῆς πάλιν τὰς ἀπὸ τῆς μεγάλης εἰσόδου εὐχὰς εἰπεῖν, καὶ ἐν τῇ ἐπικλήσει τοῦ Πνεύματος, μόνον τὸ ποτήριον σφραγίσαι, καὶ τὰ
B ἑξῆς τελέσαι, καὶ τότε μετασχεῖν. Οὕτως ἐγὼ περὶ τούτου λογίζομαι δίκαιον εἶναι ποιῆσαι τὸν ἱερέα, εἴγε καὶ ἄλλοις δόξει τοῦτο τῶν ἀρχιερέων Χριστοῦ ἁρμόδιον, καὶ μάλιστα τῇ μεγάλῃ συνόδῳ. Ἐπεὶ οὐκ ἂν εἴη τετελεσμένον τὸ μὴ δεξάμενον τὰς εὐχάς, μηδὲ διὰ τῆς σφραγῖδος καὶ ἐπικλήσεως τοῦ Πνεύματος εἰς τὸ θεῖον αἷμα μεταβληθὲν, μὴ εὑρεθὲν ἐκεῖσε τότε. Τὸ γὰρ ἱερουργηθῆναι, διὰ τοῦ προκεῖσθαι καὶ τὰς εὐχὰς παρὰ τοῦ ἱερέως καὶ τὴν σφραγῖδα δέξασθαι γίνεται.

Has promptissime et synoptice secundum eam quæ in nobis est facultatem quæstionibus propositis retulimus responsiones, impares omnino minusque idoneas scientes, sed ad mensuram attingentes intelligentiæ nostræ in Christo et, ut aiebamus, meritum saltem obedientiæ et charitatis habentes. Perfectiorem sane horum et similium notitiam habes, ut verum dicam, apud temetipsum vel ex fratribus mente altiori et majori sanctitate præditis, qui et Patrum medullam subtilius scrutati sunt. A quocunque ergo eorum sciscitatus fueris, non desunt enim qui Deum diligunt, puriorem per teipsum accipies horum et subtiliorem intelligentiam. Nobis autem dederit Deus vestris sanctis precibus a passionibus expiari, pulsisque terrenis quibus mens offunditur tenebris, etiam paululum illuminari ut cogitemus ut par est de nostra salute, et tandem feliciter salvemur misericordia Christi Salvatoris nostri et veri luminis. Inveniamus ergo postremo nostram salutem precibus omnium fratrum, omnium sanctorum et sacrosanctæ semper Virginis intercessione, miseratione et amore Domini nostri Jesu Christi, unigeniti Filii Dei, cum quo Deo Patri et simul Spiritu sancto sit gloria nunc et semper, et in sæcula sæculorum. Amen.

Ταύτας προχείρως καὶ ἐν συνόψει κατὰ τὴν ἐνοῦσαν ἡμῖν δύναμιν πρὸς τὰς ἐρωτήσεις τὰς ἀποκρί-
C σεις ἐποιησάμεθα, οὐχ ἱκανὰς νομίζοντες εἶναι, ἀλλὰ καθόσον ἡμεῖς ἐν Χριστῷ ἐξισχύσαμεν γνῶναι, καὶ τῆς ὑπακοῆς χάριν τε καὶ ἀγάπης, ὡς ἔφαμεν. Ἡ τελειοτέρα δὲ γνῶσις τῶν τοιούτων καὶ τῶν ὁμοίων, ἀληθῶς φημι παρὰ σοὶ, καὶ παρ' ἀδελφοῖς ὑψηλοτέροις τὸν νοῦν καὶ καθαρωτέροις, καὶ τοῖς τῶν Πατέρων λεπτότερον ἐπιβάλλουσιν· οἷς καὶ ἐντυγχάνων (οὐ γὰρ ἐπιλελοίπασιν οἱ φίλοι Θεοῦ) καθαρωτέραν εὑρήσεις ἀπὸ σαυτοῦ τε καὶ ἐκείνων καὶ λεπτοτέραν τὴν ἔννοιαν. Δῴη δὲ καὶ ἡμῖν Θεὸς ὑμετέραις θείαις εὐχαῖς τῶν τε παθῶν καθαρθῆναι, καὶ τῆς θολούσης τὸν νοῦν προσγείου ταύτης συγχύσεως, καὶ μικρὸν φωτισθῆναι, καὶ τι φροντίσαι περὶ τῆς ἡμῶν σωτηρίας, μᾶλλον δὲ σωθῆναι, ἐλέει τοῦ Σωτῆρος
D ἡμῶν **370** Χριστοῦ, τοῦ ἀληθινοῦ φωτός. Καὶ γένοιτο τούτου ἡμᾶς ἐπιτυχεῖν τοῦ σωθῆναι εὐχαῖς πάντων τῶν ἀδελφῶν, καὶ πάντων τῶν ἁγίων, καὶ τῆς ἀειπαρθένου καὶ παναγίας Θεοτόκου πρεσβείαις, οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ
ΠΡΟΣ ΤΙΝΑ ΤΩΝ ΕΥΛΑΒΩΝ ΜΟΝΑΧΩΝ
ΙΕΡΑΣ ΔΙΑΚΟΝΙΑΣ ΗΞΙΩΜΕΝΟΝ,
ΕΤΙ ΚΑΙ ΤΟΥ ΑΡΧΙΕΡΕΩΣ ΕΙΣ ΤΟΝ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΕΛΟΥΝΤΟΣ ΤΟΤΕ ΒΑΘΜΟΝ.

EJUSDEM
DE SACERDOTIO
AD PIORUM MONACHORUM QUEMDAM
SACRO DIACONI MUNERE ORNATUM
NEC NON AB EPISCOPO DEINDE EVECTUM AD GRADUM PRESBYTERI.

A Ἐν Χριστῷ μοι ἀγαπητὲ καὶ γνησιώτατε ἀδελφὲ, τὴν ὀφειλὴν τῆς ἀγάπης πᾶσι κατὰ τὴν ἐντολὴν ὀφείλοντες, πολλῷ μᾶλλον ταύτην ὀφείλομεν τοῖς γνησίοις καὶ τοῖς φιλοῦσιν. Εἰ γὰρ καὶ ἀμερὴς ἡ κατὰ Θεὸν ἀγάπη καὶ ἁπλῆ, καὶ ἀποίκιλος, καὶ πᾶσιν ἴσως ὀφειλομένη κατὰ τὸν τέλειον λόγον, ἀλλ' ἡ αὐτοαγάπη καὶ αὐτοτελειότης Ἰησοῦς, ἑαυτὸν διδοὺς πᾶσιν, ὅμως κατὰ τὴν γνώμην ἑκάστου φανεροῦται τοῖς βουλομένοις, ὡς καὶ τὸ φῶς αὐγάζων ἴσως πᾶσιν ὁ ἥλιος, κατὰ τὸ θέλειν ὁρᾷν καὶ τὸ δυνατὸν τῆς ὁράσεως, καθορᾶται ἑκάστῳ. Ὅθεν καί φησιν αὐτὸς ὁ Σωτήρ· « Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· » οὐχ ὅτι τινὰς μὲν φιλεῖ, τινὰς δὲ οὐ φιλεῖ, ἀλλ' ἁπλῶς πάντας ὡς αὐτοαγάπη ὤν, ἀγαπῶν τοὺς μὴ βουλομένους αὐτὸν ἀγαπᾷν καὶ μακρυνομένους αὐτοῦ, οὐ τυραννικῶς ἀναγκάζει. B Καὶ γὰρ οὐκ ἀναιρεῖ τὴν προαίρεσιν, ὥσπερ καὶ τοῖς φιλοῦσιν αὐτὸν καὶ ἐγγίζειν ἐπιποθοῦσιν ἑαυτὸν ὅλον παρέχει, καὶ τὰ τῆς ἀγάπης αὐτοαγαθότης ὢν ἐπιδείκνυσι. Καὶ ὁ Ἀπόστολος δὲ τοῖς οἰκείοις πρὸ πάντων τὴν πρόνοιαν χορηγεῖν ἐπιτρέπει, τοὺς οἰκείους λέγων τῇ πίστει. Καὶ αὐτὸς τοίνυν εἰ καὶ τῶν ἐλαχίστων ἐλαχιστότατος τυγχάνων εἰμὶ, πιστὸς δ' ὅμως Χριστοῦ ἐν αὐτῷ τῇ τούτου τε ἀντιλήψει ἱερεὺς καὶ δοῦλος αὐτοῦ, κατὰ τὸ ἐνὸν ἐμοὶ, ἀνάγκην ἔχω τῶν ἐντολῶν αὐτοῦ μεμνῆσθαι, καὶ τῆς τοῦ κεφαλαίου πασῶν μᾶλλον ἀγάπης ὡς ἐφικτὸν, ἵνα κατὰ τὸν ἠγαπημένον αὐτῷ μαθητὴν, καὶ Χριστὸς αὐτὸς διὰ ταύτης μικράν τινα χώραν ἐν ἐμοὶ καὶ μονὴν ἔχων εὑρεθῇ. « Ὁ μένων γὰρ, φησὶν, ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. » Λοιπὸν καὶ αὐτὸς ταύτην τηρεῖν ὀφεί-

In Christo dilecte mihi et fidissime frater, officium charitatis nostræ juxta mandatum omnibus debentes, multo magis illam ingenuis et diligentibus debemus. Etsi enim quæ secundum Deum est charitas indivisa, simplex et uniformis sit, et illam omnibus debeamus secundum legis perfectionem, ad instar Domini Jesu, qui est ipsa charitas et ipsa perfectio et sese pro omnibus dedit, sed tamen illis qui eum desiderant declaratur secundum intentionem cujusque. Ita et lumen in sole lucens similiter omnibus, ab unoquoque cernitur juxta voluntatem videndi et visionis potentiam. Unde et dicit ipse Salvator : « Ego diligentes me diligo [1] : » non quod aliquos quidem diligat et quosdam odio habeat ; sed cum sit charitas ipsa, omnes diligit, et eos qui eum nolunt amare et qui se avertunt ab eo non tyrannice cogit ; etenim non aufert arbitrium, sed prout diligunt illum et ad eum accedere student, se totum tradit et donat, et cum sit bonitas ipsa, amoris testimonia præbet. Et Apostolus domesticis ante omnes mandat esse providendum, domesticos vocans ejusdem fidei famulos. Ego igitur, quamvis forte minimus sim inter minimos, fidelis tamen sum Christi, in ipsa ejus susceptione et auxilio sacerdos ejus et servus, quantum in me est, necesse habeo meminisse mandatorum ejus, maxime charitatis, quæ omnium caput est, pro viribus meis, ut secundum discipulum ipsi dilectum, Christus in me ipse solus parvam inveniatur habens quamdam mansionem ; dicit enim Joannes : « Qui manet in charitate in Deo manet, et Deus in

[1] Prov. VIII, 17.

eo [1]. » Cæterum, cum ipse illam debeam servare et, secundum præceptum, omnibus ostendere, sed magis eis qui me diligunt, te habens inter conjunctissimos et mihi amicissimos, tibi et sincerissime nunc charitatem ostendere gestio. Non exhortationis formam hic sequar, sed tradam quasi memoriale verbum et notitiam brevissimam ejus quem suscepturus es diaconatus, per quod tibi assistam, quasi ante te hoc ministerium ingressus, et sacerdos Christi factus et minister mysteriorum ejus, qui me infinita sua bonitate maximis et divinis dignatus est bonis.

Ecce igitur, charissime, dignus habitus es qui minister fieres Christi et diaconus ejus et socius, et interpres mysteriorum et ejus propinquus familiarisque, et communicans, et præco Evangeliorum: neque jam velis quibuscumque irretitus, sed aperte videns, neque mediante Seraphim, sacerdote scilicet, ab instrumento communicans, sed ipse inventus Seraphim, sacerdotio modo honoratus. Tu vocans ad preces, non ipse vocatus, alios impellens ut ad Deum accedant, ipse non cessans a divinis commerciis: et fidelibus prædicans, eos ad attentionem et obedientiam exhortans, et positus prope Christum, totus aliorum via et exemplar et conductor factus ad lumen. Et quid aliud eris quam Cherubim, totus inter mysteria eum transpiciens qui videt omnia? Aut Seraphim igneus fruens viventi Deo qui ignis est? aut thronus, habens in te sedentem eum qui est ubique, sacrificio et communione? aut etiam angelus quidam, utpote ejus minister et legatus? Et hæc omnia tibi non in figura aut imagine contingent; quia non figuræ cuidam et typo es ministraturus, sed ipsi vero Domino quem in cœlis circumstant custodientes spiritus. Quod enim illi faciunt in cœlis, tu hic in terris adimpleturus es. Etenim sic voluit omnium cœlestis architecta quod nempe in cœlis et in terra ministerium ageretur sacrum. Et ipse ita fecit ut videretur: et homo visus est per seipsum suam nobiscum unionem adimplens. Cum enim solus esset spiritus purus, sponte formam induit materialem, et secundum hanc formam sensibilem hominibus similis factus est; natura sua increatus et æternus, non assumpsit spirituum naturam creatam immaterialem, creaturæ se uniendum cogitans: illos autem ex nihilo producens gratia mirifica spirituales et immortales fecit eos, cuique simul pro gradu partem gloriæ suæ impertitus. Et nobis tribuit ut nostram naturam creatam assumpserit hypostatice sibi uniendam. Humanæ itaque naturæ consors effectus indivulsa et inconfusa unione, ipsam gloriosorum divinitatis attributorum in participationem vocavit: « In ipso enim, inquit Paulus, habitat plenitudo divinitatis corporaliter [2]. » Visus est igitur, et iterum videndum modo quem amore elegit se præbet: et seipsum nobis dedit, et etiamnum pro nobis se tradit

A λων, καὶ δεικνῦναι πᾶσι κατὰ τὸν ὅρον, καὶ μάλιστα τοῖς φιλοῦσί σε τῶν φιλτάτων ἔχων, σοὶ καὶ γνησίως ἐν τῷ παρόντι ταύτην ἐνδείκνυμι· οὐ παραινέσεως τύπον διενεργῶν ἐν τῷδε, ἀλλ' ὑπομνήσεως λόγον καὶ γνῶσίν τινα λεπτοτέραν ἧς ἠξίωσαι διακονίας διὰ τοῦδέ σοι παρεχόμενος, ὡς καὶ αὐτὸς πρὸ σοῦ ταύτην ὑπεισελθὼν τὴν ἱερὰν λειτουργίαν, καὶ ἱερεὺς Χριστοῦ τυγχάνων καὶ ὑπηρέτης τῶν αὐτοῦ μυστηρίων, ἄχρα τούτου χρηστότητι τῶν ὑπὲρ ἐμὲ μεγίστων τε καὶ θείων ἠξιωμένος.

Ἰδοὺ τοίνυν ἠξιώθης, ἀγαπητὲ, λειτουργὸς γενέσθαι Χριστοῦ, καὶ διάκονος αὐτοῦ καὶ παραστάτης εἶναι καὶ θεωρὸς τῶν μυστηρίων, καὶ ἐγγίζων, καὶ κοινω-
B νὸς, καὶ τῶν Εὐαγγελίων κῆρυξ, καὶ οὐκ ἔτι παραπετάσμασί τισι κωλυόμενος, ἀλλ' ἀπαρικαλύπτως ὁρῶν, οὐδὲ διὰ Σεραφεὶμ, ἱερέως δηλαδὴ, τῇ λαβίδι μετέχων, ἀλλ' αὐτὸς τυγχάνων ὁ Σεραφεὶμ, ἱερωσύνης
371 ἠξιωμένος. Καὶ καλῶν πρὸς προσευχὰς, οὐ καλούμενος, καὶ ἐγγίζειν ἄλλους ἐνάγων πρὸς Θεὸν, αὐτὸς ὁ κατέχων τελῶν τὰ θεῖα, καὶ προσφωνῶν τοῖς πιστοῖς, καὶ προσέχειν παρεγγυῶν, καὶ παρατιθεὶς τῷ Χριστῷ, καὶ ὅλος ἑτέρων ὢν ὁδός τε καὶ πρὸς τὸ φῶς ὁδηγός. Καὶ τί ἕτερον ἢ Χερουβεὶμ, ὁρῶν ὅλος διὰ τῶν μυστηρίων τὸν ὁρῶντα τὰ πάντα, καὶ Σεραφεὶμ πυρφόρος, τὸν ζῶντα κατέχων ἄνθρακα, καὶ θρόνος, ὡς ἀναπαυόμενον ἔχων ἐν σοὶ τὸν πανταχοῦ τῇ τελετῇ καὶ τῇ κοινωνίᾳ· καὶ ἄγ-
C γελος ὡς ὑπηρέτης αὐτοῦ καὶ λειτουργός· καὶ ταῦτα οὐκ εἰκόνι τινὶ, οὐδὲ γὰρ τύπῳ διακονῶν ὑπάρχεις, ἀλλ' αὐτῷ τῷ ὑπὸ τῶν ἀΰλων ἄνω δορυφορουμένῳ Δεσπότῃ. Καὶ ὅπερ οὗτοί γε ἄνω, αὐτὸς κάτω διατελεῖς· οὕτω γὰρ ἠθέλησεν ὁ πάντων τεχνίτης τὴν αὐτὴν λειτουργίαν ἄνω τε καὶ κάτω τελεῖσθαι· καὶ αὐτὸς οὕτως ὤφθη πεποιηκὼς, καὶ ἄνθρωπος ὀφθεὶς, δι' ἑαυτοῦ τὴν μεθ' ἡμῶν ἕνωσιν ἐξετέλεσε. Μόνος ἄϋλος γὰρ ὢν, ὕλην ἐνεδύσατο θέλων, καὶ τοῖς κατ' αἴσθησιν ἡνώθη βροτοῖς. Καὶ ἄκτιστος τῇ φύσει τελῶν καὶ ἄναρχος, οὐ τῆς κτιστῆς ἀΰλου τῶν νόων μετείληφε φύσεως, ἑνωθῆναι τῇ κτίσει βουληθείς. Κτίσας δ' αὐτοὺς ἐκ μὴ ὄντων, κατὰ χάριν ἀΰλους καὶ ἀθανάτους τούτους εἰργάσατο· καὶ δόξης μετέχειν αὐτοῦ, δωρεὰν τούτοις ἀναλόγως ἑκάστῳ
D δίδωσιν. Ἡμῶν δὲ τὴν κτιστὴν προσείληφε φύσιν καὶ ὑποστατικῶς ἡμῖν ἥνωται· καὶ τῇ βροτείᾳ φύσει τῶν τῆς θεότητος μεταδίδωσιν αὐχημάτων ἐνδεδυμένος ἀχωρίστως καὶ ἀσυγχύτως αὐτήν. « Ἐν αὐτῷ γὰρ, φησὶ, κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. » Ὡράθη οὖν, καὶ πάλιν ὡς εὐδόκησε καθορᾶται. Καὶ ἑαυτὸν δέδωκεν ἡμῖν, καὶ ὑπὲρ ἡμῶν καὶ τανῦν αὖθις δίδωσι. Καὶ τῶν τοιούτων ἔργων, ὢ πολλῆς ἀγαθότητος, ἡμεῖς λειτουργοί τε καὶ ὑπηρέται καὶ μύσται. Τί τούτου μεῖζον, κατὰ τὸ ἐνεργεῖν τὰ μυστήρια, ὑπὲρ ἀγγέλους τὴν ἀξίαν εἰλήφαμεν. Ὢ τῆς χρηστότητος τοῦ Δεσπότου! ὃς πάντα περιέχει, καὶ ἀπερίληπτος, ἐν τόπῳ

[1] I Joan. IV, 16. [2] Coloss. II, 9.

δι' ἡμᾶς· ὁ ἀναφὴς κατεχόμενος· ὁ ἀόρατος ἐν αἰσθήσει· ὁ νοῒ ἀκατάληπτος τοῖς θνητοῖς μετεχόμενος δι' ἡμῶν τε τῶν τῆς ταπεινῆς καὶ παραπεπτωκυίας φύσεως, διὰ τῆς δεδομένης ἡμῖν ἱερωσύνης, ὢ τοῦ θαύματος! τοῖς μυστηρίοις γινόμενος καὶ φαινόμενος, καὶ διδόμενος, καὶ φερόμενος, καὶ χορηγούμενος, καὶ οἰκιζόμενος, καὶ ἐνδυόμενος, καὶ ὀργιζόμενος, καὶ καταλλαττόμενος, καὶ ἐλεούμενος, καὶ μεταλαμβανόμενος. Τί καινότερον τῶν τοιούτων; τί μεῖζον ἀγαθὸν πρὸς ἀνθρώπους; τίς δύναμις ὑπερτέρα; τίς ἐξουσία μείζους πλουτοῦσα χάριτας; Ἰδοὺ ὁ χοῦς ἡμεῖς καὶ πηλός τε καὶ σκώληξ; ἐξουσίαι καὶ δυνάμεις ὁρώμεθα· μᾶλλον δὲ καὶ πλείω τούτων δυνάμενοι τῇ τῆς ἱερωσύνης δυνάμει. Καὶ πλάσται γὰρ τῆς κρείττονος πλάσεως τῷ βαπτίσματι καὶ τοῖς λοιποῖς μυστηρίοις· καὶ Θεοῦ B υἱῶν πατέρες, καὶ θέσει θεῶν ἐνεργοί, καὶ ἁμαρτίας ἀναιρέται, καὶ ἐλευθερωταὶ ψυχῶν, καὶ λύται δεσμῶν αἰωνίων, καὶ παραδείσου κλειδοῦχοι, καὶ τὰ Θεοῦ δυνάμενοι· καὶ αὐτοῦ δεικνύμεθα συνεργοὶ πρὸς σωτηρίαν ἀνθρώποις.

A iterum atque iterum : et hujus operis, o bonitas ineffabilis! nos sumus ministri, mystæ et sacerdotes. Quid hoc majus? hac suprema sacra mysteria celebrandi potestate, angelos ipsos dignitate vincimus. Sed o Magistri clementia! Qui omnia continet nec contineri potest, in parvo contrahitur loco pro nobis : qui palpari non potest, digitis tractatur et retinetur; invisibilis, sensibus objicitur; qui mente comprehendi non potest, mortalibus communicat in natura nostra infima et fallibili, et per sacerdotium quo dignati sumus, o prodigium! mysteriis generatur, manifestatur, datur, producitur, introducitur, in loco collocatur, induitur, ad iracundiam provocatus et reconciliatus, et misericordia motus, et communione susceptus. Quid B horum magis stupendum? Quod majus in his hominibus collatum beneficium? Quæ potestas sublimior? Quæ auctoritas majores conferens gratias? Ecce nos pulvis, lutum, vermes auctoritate et virtute pleni apparemus, maxime et super omnia cum sacerdotii excellentem exercemus potestatem. Etenim sumus creatores sublimioris creationis baptismate et aliis sacramentis, et Dei Filiorum Patres, et divinorum instituti operatores, et peccati destructores, et liberatores animarum, solventes vincula æterna et paradisum reserantes, sic Dei potestatis sequestres et custodes, ejus scilicet cooperatores ad salutem hominum.

Μᾶλλον δὲ τί πρὸς ταῦτα ἡμεῖς; Πόσων ὀφειλέται Θεῷ ἕνεκα τηλικούτων δώρων; Ὁποῖοι δὲ εἶναι κεχρεωστήκαμεν, οὐδὲ εἰ κατὰ τὴν θεωρίαν ἦμεν τῶν πολυομμάτων ἐκείνων ἱκανοὶ πρὸς τοιαῦτα; Τίς γὰρ φύσις κτιστὴ τῶν τοῦ Θεοῦ ἀξία χαρίτων; Αἱ πρῶται τῶν ἄνω τάξεις τρέμουσι, συστέλλονται, C φρίττουσιν, αὐτὰ τὰ δι' ἡμῶν ἐνεργούμενα καθορῶσαι. Καὶ γὰρ μᾶλλον θαυμάζουσι, τὸ πολυποίκιλον τῆς τοῦ Θεοῦ σοφίας διὰ τῆς Ἐκκλησίας καταμανθάνουσαι, ὡς ὁ Παῦλός φησι. Καὶ αὗται μὲν ἐπιγινώσκουσαι τὸ κτιστὸν ἑαυτῶν, καὶ τὸ ὑπέρμετρον τῆς τοῦ Θεοῦ ἀγαθότητος, δειλιῶσί τε καὶ ἐκπλήκτως βοῶσι, καὶ τοῖς γινομένοις θαυμάζουσιν. Ἡμεῖς δὲ τούτων τῶν θειοτάτων τε καὶ μεγίστων ὑπουργοὶ τυγχάνειν καὶ ὑπηρέται ἠξιωμένοι, ὁποίως διακείμεθα; τὴν φοβερὰν ἐξουσίαν ταύτην καὶ φρικτοτάτην ἐγχείρησιν, ἔστιν ὅτε εἰς ἀρχὴν (οἴμοι!) παθῶν, **372** καὶ ὕλην ἁμαρτίας, τὴν ἁμαρτίας καὶ παθῶν ἀναιρέτιν ἀπεργαζόμεθα, εἰς ἐξουσίαν ἀρχικήν τε καὶ κοσμικὴν ταύτην ἕλκοντές D τινες καὶ πονηρῶς βιαζόμενοι, καὶ μανιωδῶς ἐπιπηδῶντες αὐτῇ, καὶ τὰ καθ' ὧν κατέστη διενεργοῦντες, ἵνα ταύτης φεῦ! ἐπιδράξωνται, εἴγε καὶ ταύτης οὕτω μετέχουσι, καὶ οὐ μακρύνονται μᾶλλον. Τοῦ τοιούτου ὕψους εἰς ἔννοιαν οἱ κατ' ἀγγέλους ἐκεῖνοι τῶν ἁγίων γινόμενοι, κατὰ τὰ θειότατα φρίττοντες, ὡς εἴρηται, Σεραφίμ, τὸ μέγα τῆς ἱερωσύνης ἔφευγόν τε καὶ ὑπεστέλλοντο· ἀξιούμενοι δὲ ταύτης, ὅπως τὸν ἑαυτῶν ᾠκονόμουν βίον, δῆλον ἐξ ὧν εἰργάσαντο.

Quid amplius ad hæc nos dicemus? Quot et quanta Deo debemus! quantum abest ut satis digne de eo judicemus, etiamsi oculatiores essemus! Quæ enim creata natura beneficiis Dei invenietur digna? Primi cœlestium spirituum ordines tremunt, C se prosternunt, timore corripiuntur ea quæ agimus cernentes : etenim maxime mirantur quoniam per ecclesiam prædicatur multiformis Dei sapientia, ut loquitur Paulus [a]; ipsique agnoscentes a quo creati sunt et immensam Dei in se bonitatem timent et stupentes proclamant de his quæ fiunt miraculis. Nos vero sanctissimarum maximarumque rerum ministerio et dispensatione dignati quonam animo sumus? Tremendam hanc auctoritatem et formidandam fabricationem sæpe, heu! in nobis imperio passionum et carnis peccati subjicimus, dum peccati et passionum fugam et derelictionem super illo complemus, et in hanc potestatem omnium primam, quasi mundana foret trahantur quidam etiam male viventes, et in eam D stulte furioseque insilientes ita quæ sunt præcepta faciunt ut illam arripiant, qui, heu! ab illa arceri meruissent, nedum his omnibus emendemus. Illi vero qui sanctorum more viventes ad instar angelorum intelligentiam et existimationem hujus adepti sunt celsitudinis, trementes, ut diximus de sanctissimis Seraphim, magnam sacerdotii effugiunt dignitatem et ab ea se subducunt : dignos autem ejus se ostendunt manifestis operibus quibus vitam ordinant et regunt.

[a] Ephes. III, 10.

Nos ergo, charissime, hujus meriti participes esse A cupientes, quantum poterimus, enitemur vitam regere et reformare ad eorum exemplum et normam. Hoc opus non solum non est nostrum qui sumus tantuli inter minimos, nec consequens ex nostro merito, sed etiam neque est opus eorum qui sunt quam maxime puri et qui secundum angelos vivunt, sed neque opus est ipsorum angelorum. Solius divinæ est opus naturæ producentis ex nihilo quæ sunt et non fuerunt prius, quæ omnia conservat, et quæ potest pro voluntatis nutu ea mutare. Quod inde patet. Soli inter res creatas reformationem exspectamus qua indigemus, misere triturati et pulchritudinis pristinæ jacturam passi non audiendo vocem Dei æterni, immortalis, immaculati et immutabilis; bono autem ex nihilo creato servientes; voluntarie B corrupti ex eo, divina immortalitate spoliati, et separatione et alienatione ab immortalibus mortales facti, in tantam gratiæ necessitatem incidimus et penuriam auxilii. Etsi enim apostata sibi ipsi vivens et stans videatur, tamen privatur vera Dei vita, pessima mutatione sponte sua mutatus; et hac ipsa persuasione adversarius constituitur Domini qui fecit illum et propterea sibi ipsi et nobis quos perfide alliciens ad imitationem sui persuasit, causa perditionis fuit. Sed ille mansit apostata, nec malitiam deseruit; nos vero et post peccatum locum habuimus ad vitam remeandi, bonitate ejus qui fecit nos. Ille enim non illusionem quamcunque passus est ut caderet; nec erat pondere carnis et C materiæ illecebris innodatus, sed voluntarie, etsi ejus veram et lucidam haberet cognitionem, decidit a bono. Hinc ergo et pœnitentiæ locum non habens, perfidia maxime malus, in malitia perseveravit, et malitiam suam auxit. Nos autem e sensibus crepti et contra pessimas ejus seductiones muniti, gratiam accepimus pœnitentiæ, ut si quando in tentationem mali hujus hostis nostri inciderimus, sensum et intelligentiam adepti verorum et divinorum bonorum, e quibus excidimus, resipiscamus, iterum revocemur, et pro culpa misericordiæ gratiam habeamus, et denuo in participationem bonitatis divinæ redintegremur. Cum igitur ad hæc tendant et prophetæ et lex et cæremoniæ sacrificiaque omnia lege præscripta et deni- D que Dei incarnatio inter homines, ut malum peccati doceamur, quatenus ab illo recedentes et hunc qui nos corrumpit et seducit, fugientes, inveniamur sicut prius fuimus, aut potius meliores, natura scilicet nostra Creatori unita, ut dictum est; denique per incarnationem revocati sumus ad Dominum summe diligentem et bonum. Sed cum impossibile esset ut incarnatus perpetuo maneret hic inter nos, quod humanæ naturæ alienum hoc esset, proprium autem et legitimum vitæ quam post sacrificium resumpsit, non poterat insuper carnem morte immortalitate jam donatam mortalibus subjicere oculis, maxime impiorum et peccatorum hominum, nec istorum operari reformationem: quia etiam illud

A Τούτων τῆς ἀξίας καὶ ἡμεῖς κοινωνοί, ἀγαπητέ, θείᾳ χάριτι γεγονότες, ὡς δύναμις ἐξακριβοῦν τὸν βίον καὶ διευθύνειν κατ' ἐκείνους σπουδάσωμεν. Τοῦτο τὸ ἔργον οὐχ ὅπως τῶν ἐλαχίστων ἡμῶν οὐκ ἔστιν ἔργον ἀξίας τῆς ἡμετέρας ἀκόλουθον, ἀλλ' οὐδὲ τῆς τῶν ἄκρως κεκαθαρμένων ἐκείνων, καὶ τῶν κατ' ἀγγέλους καὶ ἀγγέλων αὐτῶν. Μόνης δὲ τῆς θείας τοῦτο τυγχάνει φύσεως ἔργον, τῆς τὰ ὄντα παραγαγούσης μὴ ὄντα πρότερον, καὶ αὖθις συγκρατούσης, καὶ ἀλλοιοῦν δυναμένης ὡς βούλεται. Καὶ δῆλον ἐντεῦθεν. Ἐπεὶ γὰρ ἡμεῖς μόνοι τῶν γεγονότων ἁπάντων τῆς ἀναμορφώσεως ἐχρῄζομεν, συντριβέντες ἀθλίως καὶ τὸ πρῴην ἀπολέσαντες κάλλος τοῦ ἀεὶ μὲν ὄντος καὶ ἀθανάτου καὶ ἀφθάρτου καὶ ἀναλλοιώτου Θεοῦ παρακούσαντες, B ὑπακούσαντες δὲ τοῦ ἐκ μὴ ὄντος γεγονότος ἀγαθοῦ, καὶ παραφθαρέντος ἑκουσίως, καὶ τὴν ἀθανασίαν ἀπολωλεκότος τὴν θείαν, θνητοῦ τε καταστάντος τῇ διαστάσει τοῦ ἀθανάτου, εἰς τὴν χρείαν τῆς χάριτος ταύτης ἤλθομεν. Εἰ γὰρ καὶ ζῶν καὶ μένων ὁ ἀποστάτης δοκεῖ, ἀλλὰ τῆς ἀληθοῦς ζωῆς τῆς τοῦ Θεοῦ ἀπεστέρηται, ἀλλοιωθεὶς αὐτοθελῶς τὴν πονηρὰν ἀλλοίωσιν, καὶ ἐναντίος κατὰ τὸ δοκοῦν αὐτῷ ὑπάρξας τῷ πεποιηκότι αὐτὸν Δεσπότῃ, καὶ διὰ τοῦτο ἀπωλείας τῆς ἴσης αὐτῷ, καὶ ἡμῖν αὐτῷ πεπεισμένοις παραίτιος γέγονεν. Ἀλλ' ἐκεῖνος μὲν ἀποστάτης μένει, καὶ ἡ κακία αὐτῷ ἀναπόβλητος· ἡμεῖς δὲ καὶ μετὰ τὸ πεσεῖν, ἐγερθῆναι χώραν εἰλήφαμεν ἀγαθότητι τοῦ πεποιηκότος· ὅτι ἐκεῖνος C μὲν οὐκ ἀπάτῃ πέπτωκεν, οὐδὲ γὰρ σαρκὸς πάχει καὶ ὕλῃ συμπέπλεκτο· ἑκουσίως δὲ, οὗπερ ἀληθῶς τὴν γνῶσιν εἶχεν, ἀπεπήδησεν ἀγαθοῦ. Ἐντεῦθεν οὖν καὶ μετανοίας χώραν οὐκ ἔχων, ἐθελοκακῶν μᾶλλον μένει, καὶ τῇ πονηρίᾳ πλατύνεται. Ἡμεῖς δὲ, αἰσθήσει κλαπέντες καὶ πλάνῃ τούτου πονηρᾷ, χάριν εἰλήφαμεν μετανοίας, ὡς εἰ τοῦ κακοῦ γεγονότες ἐν πείρᾳ, τούτου καταφρονήσομεν, εἰς αἴσθησίν τε τῶν ἀληθῶν καὶ θείων ὧν ἐκπεπτώκαμεν γεγονότες μεταμεληθῶμεν, αὖθις ἀνακληθῶμεν, καὶ τῆς ἀπάτης ἐκείνης χάριν ἐλεηθῶμεν, τῆς θείας δὲ πάλιν μεταλάβωμεν ἀγαθότητος. Ἐπεὶ οὖν διὰ ταῦτα καὶ προφῆται, καὶ νόμος, καὶ τελετὴ πᾶσα τούτου, καὶ τελευταῖον Θεοῦ ἐνανθρώπησις, ἵνα καὶ διδαχθῶμεν τὴν πτῶσιν, καὶ ταύτης ἀπο- D στάντες καὶ τοῦ φθείραντος ἡμᾶς καὶ πλανήσαντος, γενώμεθα ὡς τὸ πρῴην· μᾶλλον δέ γε καὶ κρεῖττον, ὡς τῆς ἡμετέρας, ὡς εἴρηται, φύσεως τῷ ποιητῇ ἑνωθείσης, τοῦτο ἤδη καὶ γέγονε, καὶ διὰ τῆς ἐνανθρωπήσεως ἀνεκλήθημεν τοῦ φιλανθρωποτάτου Δεσπότου. Πλὴν ἐπειδήπερ τὸν σαρκωθέντα ἐνταῦθα πάντοτε μένειν οὐ δυνατὸν ἦν, οὐδὲ γὰρ φύσεως ἀνθρωπίνης τοῦτο, ὅρον ζωῆς λαβούσης μετὰ τὸ ἐπιτίμιον, καὶ τὴν σάρκα δὲ τῷ θανάτῳ ἀθανατίσαντα, οὐκ ἦν δυνατὸν αὖθις ὁρᾶσθαι θνητοῖς, καὶ ἀσεβέσι μᾶλλον ἢ πλημμελοῦσιν ἀνθρώποις, καὶ τούτων ἐνεργεῖν τὴν ἀνάπλασιν· ὅτι καὶ παρ' ἀξίαν τοῦ θείου καὶ ἀφθάρτου καὶ ἀλήπτου σώματος ἐκείνου τοῦτο ἦν, καὶ ὅτι οὐδὲ παρὰ πάντων ἀνθρώπων αὐτεξουσίῳ χρωμένων, ὑπακούεσθαι εἶχεν

ἂν καὶ τὰ ὑπὲρ αὐτῶν ἐνεργεῖν, ἔμελλε δὲ μᾶλλον A καὶ πάλιν ἀθετεῖσθαι. Καὶ εἰ δυνατὸν πάσχειν, καὶ θνήσκειν ἀπειράκις, ὡς καὶ ἠθετήθη καὶ ἀθετεῖται, καὶ ἔπαθε καὶ πάσχει πάλιν διὰ τῶν αὐτοῦ πάντοτε πασχόντων ὑπὲρ αὐτοῦ· διὰ ταῦτα τοίνυν αὐτὸς μὲν ἀνελήφθη. Καὶ τοῦτο ποιῶν ὑπὲρ ἡμῶν ὁ ἀχωρίστως μένων ἐν κόλποις τοῖς Πατρικοῖς, καὶ πανταχοῦ παρὼν πάντοτε, τὸ σῶμα συναναψῶν, καὶ τῷ Πατρὶ προσάγων ὡς δῶρον, καὶ σύνεδρον ποιῶν ἄνω, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, ὡς ἔφη Παῦλος, καταστησάμενος, **373** καὶ ὁμόθεον ἀποδείξας, δοξαζόμενον καὶ προσκυνούμενον παρὰ πάσης τῆς κτίσεως, ὃ καὶ ὑπὲρ ἡμῶν ἀεὶ κεῖται, θῦμα καὶ προσφέρεται τῷ Πατρὶ, καὶ παράκλητός ἐστι, καὶ ἱλασμὸς, καὶ λυτήριον, καὶ μετοχὴ, καὶ δῶρον, καὶ βραβεῖον, καὶ πᾶσα ἀπόλαυσις. B Ἐπεὶ οὖν ταῦτα οὕτως ἐξετελέσθη, καὶ ὁ μὲν ἐ ω κ δεξιῶν τοῦ Πατρὸς, οἱ σωζόμενοι δὲ τοῦ σώζοντος ἐν χρείᾳ εἰσὶν, ὁ Σωτὴρ τὴν χάριν τοῦ σωτηρίου, ὢ τῆς πολλῆς εὐσπλαγχνίας! τοῖς ἴσοις τὴν φύσιν ἤτοι ὁμοιοπαθέσιν ἀνθρώποις, τοῖς σωζομένοις παρέσχετο· ἐπεὶ καὶ αὐτὸς σῶσαι θέλων ἀνθρώπους, κατ' ἀνθρώπους ἐγένετο· οὐκ ἀγγέλοις τοῦτο παρασχὼν, ὡς εἴρηται, ὅτι οὐδ' ἀγγέλοις ἡνώθη, εἰ μὴ νοητῶς μόνον· οὐδὲ γὰρ χρεία τούτοις ἀνακαινίσεως. Σωτῆρας οὖν ἀντ' αὐτοῦ, καὶ ψυχῶν πλάστας, καὶ πρὸς οὐρανὸν ὁδηγοὺς, καὶ φῶς, καὶ ζωὴν, καὶ Πατέρας, καὶ ποιμένας καὶ φύλακας, τοὺς ἱερεῖς κατεστήσατο, τὴν αὐτοῦ δύναμιν κεκτημένους· οὐχ ὑπὲρ ἑαυτῶν γεγονότας C οὐδὲ δι' αὐτοὺς μόνον, ἀλλ' ὑπὲρ ἄλλων τοῦτό γε καταστάντας.

Φροντιστέον τοίνυν ὁπόση δύναμις, ὡς πρὸς τὸ τοῦ μυστηρίου ὕψος ἑαυτοὺς ἱκανοὺς παρέχειν ὡς ἐγχωρεῖ· ὡς ὀφείλει Θεοῦ δύναμιν καὶ ἐξουσίαν καὶ χάριν ἐπὶ γῆς τινας κεκτημένους· καὶ οὕτως οὐχ ἑαυτοὺς μόνον ὠφελεῖν δυναμένους, ἀλλὰ τῶν πολλῶν χάριν μᾶλλον αὐτοὺς παρέχειν· καὶ τοῦτο μέχρι θανάτου· οὕτω καὶ γὰρ τὸ ἀρχέτυπον. « Τὴν ψυχήν μου γὰρ, φησὶ, τίθημι ὑπὲρ τῶν προβάτων. » Καὶ Πέτρος δὲ, « Χριστὸς, φησὶν, ἔπαθεν ὑπὲρ ἡμῶν. » Καὶ Παῦλος περὶ τοῦ Πατρὸς λέγει· « Ὃς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν ἑαυτόν. » Καὶ ταῦτα μὲν κοινὰ πᾶσιν ἱερεῦσι· τί δὲ καὶ τοῖς τὸ θεῖον σχῆμα καὶ D σταυροφόρον ἐνδεδυμένοις οὐ τῆς πτωχείας τοῦτο σημεῖον τοῦ Ἰησοῦ; Τοῦ σταυροῦ σύμβολόν ἐστι, τοῦ θανάτου εἰκὼν, ὅλων τῶν ἄνω μελέτημα, τῶν κάτω πάντων ἀπόθεσις. Διὸ καὶ οἱ ἐν γνώσει τούτου μύσται ποτὲ, τὸ ὕψος τῆς ἱερᾶς δόξης ἔφευγον· οὐχ ὅτι φευκτὸν ἡ ἱερωσύνη, ἀλλ' ὅτι ἱκανῆς δεῖται καὶ μεγάλης τῆς μελλούσης οἰκονομεῖν τὰ ἱερὰ ἔργα ψυχῆς· καὶ καθαρᾶς μὲν ὡς δυνατόν· προθύμου δὲ ὑπὲρ ὠφελείας τῶν ἀδελφῶν· ὅτι καὶ Θεοῦ ἔργον καὶ ἀγαπητὸν αὐτῷ, καὶ δι' ἀγάπην δεδομένον, ὡς καὶ τὸν Πέτρον Χριστὸς ἐδίδαξε. Παρῃτοῦντο τοίνυν ὡς ὑπὲρ αὐτοὺς λογιζόμενοι τὴν μεγάλην ἱερωσύ-

erat huic sancto, porro et impalpabili corpori inconveniens; quia denique coram omnibus hominibus libero arbitrio utentibus non potuit agere quæ pro illis subiit, elegit potius iterum exinaniri, et quantum posset pati et mori millies, et ultra, sicut exinanitus est et exinanitur, passus est et patitur per suos continuo quotidie pro illo patientes: et propterea ipse ascendit in cœlum. Et hoc pro nobis fecit qui ab æterno manet in sinu Patris; atque ubique semper præsens est: corpus suum extollens coram Patre collocavit quasi donum humanæ naturæ, et sedere fecit in cœlo: « Super omnem principatum, et potestatem et virtutem, » ut ait Paulus [5]. Illudque corpus deificum præbuit glorificatum et adoratum super omnem creationem, et denique constituta pro nobis in æternum victima offertur Deo Patri: sicque ipse est consolator noster, propitiatio nostra, redemptio nostra, pars nostra, donum nostrum, bravium nostrum, omnisque fructus noster et gaudium. Postquam ergo hæc ita adimplevit, et ipse sedet in cœlo ad dexteram Patris, salvati autem Salvatore indigent et Salvator, o pietatis infinita dignatio! salutis gratiam, hominibus sibi natura et passione similibus tribuit: salvare volens homines, hominibus similis factus est. Non angelis, ut dictum est, tale contulit beneficium ut angelorum naturam sibi uniret ne quidem intellectualiter; ipsi non egebant renovatione. Pro se ergo sacerdotes constituit salvatores, animarum formatores, ductores in cœlum, lumen, vitam, patres, pastores et custodes; ejus virtutem adepti sunt et ad hoc constituti non pro seipsis solum et propter seipsos, sed pro aliis etiam.

Considerandum est igitur quanta sit hæc potestas, ut nos ipsos idoneos præbere ad altissimum illud mysterium pro viribus satagamus. Sic oportet quosdam super terram adipisci Dei virtutem, auctoritatem et gratiam, ut non solum in propriam utilitatem exerceant, sed et in profectum multorum illi habeant et tribuant etiam usque ad mortem parati. Sic enim fecit et dixit archetypum nostrum: « Animam meam pono pro ovibus meis [6]. » Petrus autem: « Christus, inquit, pro nobis passus est. » Et Paulus de Patre dicit: « Proprio Filio suo non pepercit, sed pro nobis omnibus tradidit illum [7]; » et hæc omnia communiter dicta sunt de Jesu et de omnibus sacerdotibus. Quid sibi vult quod induantur sancto habitu et stola crucibus ornata? nonne hoc est signum paupertatis Jesu? Crucis Dominicæ symbolum est, mortis ejus imago, cœlestium omnium exercitatio, terrenorum evacuatio. Idcirco quidam spirituales homines jam ministerio sacro initiati aliquando ultimum divinæ gloriæ culmen effugerunt, non quod sacerdotium sit quodam modo effugiendum, sed timetur quia ad illud officium et regimen sanctarum rerum requiritur mens omnino apta et altissima maximaque sapiens; et quam purissima; zeloque in bonum

[5] Ephes. I, 21. [6] Joan. X, 15. [7] Rom. VIII, 32.

fratrum flagrantissima; et quia hoc est opus Dei, cujus illi cura est amore et æmulatione plena, et amori mercede donatum, sicut Christus docuit Petrum [a]. Summis igitur precibus se excusabant, exemplo Patrum illorum qui præ humilitate supra se esse sacerdotium profitebantur. Atqui ab hominibus illis præsertim post susceptum habitum recusabatur sacerdotium, quos propter meriti eminentiam et puræ vitæ excellentiam, multi dignos judicaverant: illud enim timetur ab anima forti et immaculata: porro candor, innocentia et pietas huic maxime conveniunt professioni. Et hic multorum est honor splendidissimus, maxime eorum qui sunt ex Ecclesia; qui tantopere est virtute et stabilitate donatus ut fere totius Ecclesiæ familia, a monachis dirigi videretur. Si enim accurate inquiras, vix invenias aliquam a sæculo ad hierarchiam sacram evectum fuisse: hoc quasi sorte monachis reservatur: et nosti quod si qui ad sacros ordines diriguntur ex mundana vita, hoc ab Ecclesia conceditur ut monachorum habitu primum induantur. Sed dum hæc fidelium existimatio et præsertim sanctorum qui in Ecclesia præsunt, sacræ huic professioni secundum cœlestem normam et institutionem suscep'æ honorem conferre gestit, mala multorum dispositio ipsa omnia corrumpit, professionis cæremonias inutiles reddit, heu! et solvit: et quidam ordines hierarchiæ usurpantes, minime tractant ut oporteret. Sed id unum satagunt obtinere ut sacratissima hac auctoritate potiantur, et ad hoc nihil non faciunt. Nihil horum quæ ad ejus dignitatem conferunt exercent, imo aliquando potius quæ sunt contra illam faciunt, sed illa contra eos maxime vergunt. Etenim propterea sacro habitu non induendi sunt, sed scopo ejus attendendum est, et cum sacerdotio aliqui dignandi sunt, eligendi sunt inter eos qui magis pii conversatione ostenduntur, et qui maxime humilitate radicati humilem Dominum imitantur. Continuo quidem deprehendere habemus eos qui regulam et imaginem Domini non susceperint in sacra ordinatione, plerumque invenire arrogantiæ et vanæ ostensionis causam, non per seipsam, sed per voluntatem nostram, quæ, Dei spiritu dirigi renuens, unice ad bona inferiora præceps ruit et etiam se illis implicat et miscet sensibus. Non autem debemus decipi. Hæc contra me scribo, sæpe cogitationibus præsumptionis illusus, sed non excusationem quæram, scio enim quam sit sancta hæc loquendi necessitas, et me cum aliis confitendi mendacem. Impossibile est nullum in nobis profectum emergere ex memoria et cognitione bonorum etiam cum adversamur per quæ non oportet opinamenta. Etenim per nos non stat opinionum notiones et convenientias detegere, quia errori obnoxios esse nobis natura accidit et inconstantiæ et mutationi subesse: sed optime possumus cognoscere quod patimur et quod nobis expedit et iterum ad melius agi et converti: hoc certo scientes quod pœnam luemus si mali simus. Aliunde memoria retinere bona pretiosissima et æterna aliquid in nobis ingerit et seminat divinissimum.

A νην οἱ ταπεινόφρονες ἐκεῖνοι Πατέρες. Νῦν δὲ παρὰ τῶν τὸ σχῆμα ἐκείνων ἐνδεδυμένων τοῦτο διώκεται μᾶλλον, καὶ τούτοις δίδοσθαι διὰ τὸ μέγα τῆς ἀξίας ὑψηλόν τε καὶ καθαρὸν ἄξιον κρίνεται τοῖς πολλοῖς, ὅτι καὶ τῆς δυνατῆς καὶ κεκαθαρμένης τοῦτο δεῖται ψυχῆς. Καθαρότης δὲ καὶ εὐλάβεια συντρέχει μᾶλλον τῷ σχήματι. Καὶ ἡ τοιαύτη τῶν πολλῶν δόξα καλλίστη, καὶ τῶν καθόλου μᾶλλον τῆς Ἐκκλησίας· καὶ κατὰ τοσοῦτον βεβαιωθεῖσά ἐστιν, ὡς καὶ τὴν προστασίαν τῆς Ἐκκλησίας πάσης σχεδὸν τοῖς μοναχοῖς ἐγχειρίζεσθαι. Καὶ ἐξετάζων ἤδη σπανιάκις εὕροις τινά ποτε τῶν ἐν τῷ κόσμῳ ἱεραρχίας ἠξιωμένον· τοῖς μοναχοῖς δὲ τοῦτο ὥσπερ ἀποκεκλήρωται. Καὶ ἴδοις ἂν τινας ἐκ τοῦ κοσμικοῦ βίου πρὸς ἱεραρχίαν ἀναγομένους.
B Καὶ τοῦτο δὴ παρὰ τῆς Ἐκκλησίας ἀπαιτουμένους, τὸ τῶν μοναχῶν πρότερον ἔνδυμα ἐπενδύσασθαι. Ἀλλὰ ταῦτα μὲν κρίσις κοινὴ τῶν πιστῶν καὶ τῶν τῆς Ἐκκλησίας θείων προστατῶν μᾶλλον, τῷ σχήματι τῷ θείῳ κατὰ τὴν ἄνωθεν τούτου τάξιν καὶ τὸ ἐπάγγελμα, ἀπονεμόντων τὴν τιμήν· ἡ τῶν πολλῶν δὲ οὐκ ἀγαθὴ γνώμη τὰ πάντα παρέφθειρε. Καὶ τὰ τοῦ σχήματος ἠχρειώθη (φεῦ!) καὶ παρατέθραυσται. Καὶ τῆς ἱεραρχίας ἐπειλημμένοι τινὲς, οὐχ ὥσπερ ἐχρῆν ταύτην οἰκονομοῦσιν, ἀλλ' ὥστε μὲν μόνον τῆς θειοτάτης ἀξίας ἐπιτυχεῖν σπεύδουσιν ὅση δύναμις, καὶ πάντα πράττουσιν ἐπὶ τούτῳ· οὐδὲν δὲ τῶν κατ' ἀξίαν **374** αὐτῆς διενεργοῦσιν, ἔστιν ὅτε δὲ μάλιστα, καὶ τὰ κατ' αὐτῆς, καθ' ἑαυτῶν δὲ μᾶλλον
C ποιοῦσι. Δέον γὰρ μὴ διὰ τοῦτο τὸ σχῆμα ἐνδύεσθαι, τῷ σκοπῷ δὲ τούτου προσέχειν, καὶ τῆς ἱερωσύνης δὲ ἀξιωθέντας, πρὸς τοῦτο ἀπολεγέντας, εὐλαβεστέρους δείκνυσθαι, καὶ τῷ ταπεινωθέντι συνταπεινοῦσθαι Δεσπότῃ, οὗ τὴν τάξιν καὶ τὴν εἰκόνα εἰλήφασιν, ἔστιν ὁρᾷν, ἐπάρσεως μᾶλλον τὴν θείαν τάξιν ταύτην καὶ τύφου πολλοῖς γινομένην αἰτίαν, οὐ παρ' αὐτὴν, παρὰ δὲ τὴν ἡμετέραν οὐ πρὸς τὸν θεῖον νοῦν τεταμένην προαίρεσιν, πρὸς μόνα δὲ κεχηνυῖαν, καὶ ὅλην ἐκκρεμαμένην τὰ κάτω καὶ ἐν αἰσθήσει. Ὀφείλομεν δὲ μὴ οὕτω σκοπεῖν. Εἰ γὰρ καὶ κατ' ἐμαυτοῦ ταῦτα γράφω, τοῖς αὐτοῖς λογισμοῖς τῆς οἰήσεως πολλάκις ἐχόμενος, ἀλλ' οὐ παραιτήσομαι· καὶ ὅσον ἐννοῶ θεῖον εἶναι καὶ ὀφειλόμενον λέγειν, καὶ μετὰ τῶν ἄλλων καὶ ἐμαυτὸν
D ἐξελέγχειν. Ἀδύνατον γὰρ μὴ ὄνησίν τινα γίνεσθαι τῇ μνήμῃ καὶ ἐννοίᾳ τῶν ἀγαθῶν ἐν ἡμῖν, καὶ ὑπὸ μὴ δεόντων λογισμῶν κλεπτομένοις. Τὸ γὰρ ἐννοίας δέχεσθαι καὶ προσβολὰς λογισμῶν ἡμᾶς τῶν οὐκ ἐφ' ἡμῖν· καὶ τὸ ἀπατᾶσθαι ἐπισυμβαίνειν πέφυκεν ἡμῖν ἀλλοιώσει κεκρατημένοις. Ἀλλὰ τὸ ἐννοεῖν τὸ συνοῖσον, καὶ αὖθις ἐπανάγεσθαι πρὸς τὸ κρεῖττον, τῶν ἐφ' ἡμῖν. Τοῦτο οὖν παρορῶντες, ὑπ' εὐθύνην ἂν εἴημεν. Ἄλλως τε καὶ τὸ μεριμνᾷν περὶ καλλίστων ἀεὶ, πέφυκέ τι θειότερον ἀποτίκτειν.

[a] Joan. xx, 15 seq.

A Λοιπὸν ὀφείλομεν ἐξετάζειν τίνος ἐσμὲν ὑπηρέται, καὶ τίνος ἔργου διάκονοι· καὶ τὴν εἰκόνα φέρομεν τίνος. Θεοῦ τοίνυν ἐσμὲν ὑπηρέται τοῦ κτίσαντος τὰ πάντα, καὶ εἶναι εὖ εἶναι ποιήσαντός τε καὶ ἀεὶ βουλομένου· καὶ μεταβεβλημένων ἑκουσίως εἰς τὸ κακῶς εἶναί τινων, καὶ μᾶλλον ἀνθρώπων, αὖθις εἰς τὸ εὖ εἶναι ἀποκαταστῆσαι θελήσαντός τε καὶ εὐδοκήσαντος, καὶ ἐνεργοῦντος τοῦτο διὰ τῶν ἱερέων. Ἔργου δὲ διάκονοι ὑπάρχομεν τοῦ μεγίστου. Ὧ γὰρ ἡνώθη τὰ ἐπὶ γῆς τοῖς ἄνω καὶ ἡ ἔχθρα ἐλύθη, καὶ Θεὸς βροτοῖς κατηλλάγη, καὶ πλάνη πέπαυται πᾶσα, καὶ δαιμόνων κράτος ὤλετο, καὶ ἄνθρωποι μετ' ἀγγέλων, καὶ υἱοὶ Θεοῦ καὶ θεοὶ γεγόναμεν κατὰ χάριν, τούτου ἐνεργοὶ, λειτουργοὶ, οἰκονόμοι, μύσται τυγχάνομεν ἀποῤῥήτως. Εἰκόνα B δὲ φέρομεν, ὡς θείαν τε καὶ μεγίστην, κατὰ τὴν ἀξίαν ἕκαστος ἀναλόγως. Ἐπίσκοπος γὰρ εἰκὼν Ἰησοῦ· καὶ μετ' αὐτὸν πρεσβύτερος κατὰ τὸ θύειν τὰ μυστικά· τοῖς δ' ἄλλοις χαρίσμασιν ἐπίσκοπος μὲν εἰκὼν τοῦ τῶν φώτων Πατρὸς, παρ' ᾧ πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, καὶ φωτιστικὸς διὰ ταῦτα. Πρεσβύτερος δὲ, τῶν ὑπερτέρων τάξεων τύπον ἔχων, καὶ δεύτερον φῶς, καὶ μεταδοτικὸς καὶ ἐνεργὸς μυστηρίων, καὶ διὰ τοῦτο τελεστικός. Διάκονος δὲ τρίτη τάξις, ἀγγέλων τύπον ἔχων Λειτουργικῶν, ἀποστελλομένων ἀεὶ διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· καὶ διὰ τοῦτο καὶ κήρυξ, καὶ ἑτοιμάζων, καὶ λειτουργικὸς οὗτος. Πάντες δὲ ἑνὸς Θεοῦ παραστάται, ἑνὸς θύματος θεαταί· τοῦ αὐτοῦ δὲ καὶ κοινωνοὶ, καὶ σύσσωμοι, καὶ σύνδοξοι, C καὶ ἄλλοις μεταδοτικοὶ χάριτι θείᾳ, εἰ καὶ πρώτως τοῦτο γίνεται καὶ δευτέρως, κατὰ τὴν τάξιν τὴν ἑκάστῳ ἄνωθεν διδομένην.

Ἴδωμεν τοίνυν τὸν Ἰησοῦν. Θεὸς ἀληθὴς, ἐκ τοῦ ὄντος ὢν, ἀνάρχου Νοῦ Λόγος· Πατρὸς ὑψίστου Υἱὸς μονογενὴς, τοῦ ἐξ οὗ τὰ πάντα, Σοφία, Δύναμις, καὶ Λόγος, δι' οὗ τὰ πάντα. Παντοκράτωρ Κύριος, ἄϋλος, ἀόρατος, ἄφραστος, ἀπερίληπτος, ἀκατάληπτος, ἀπερίγραπτος, ἀναφὴς, ἀθάνατος. Τέλος τί δι' ἡμᾶς; Ἄνθρωπος, ὁρατὸς, περιγραπτὸς, παθητὸς, θνητὸς, πτωχὸς, ἄπολις, ἄτιμος, πραθεὶς, κατάκριτος, ὑβρισθεὶς, ἐμπαιχθεὶς, βασανισθεὶς, σταυρωθείς. Ταῦτα δι' ἡμᾶς. Τί θειότερον; τί δεῖγμα ἀγαθότητος ἄλλο μέγιστον; Ἀβύσσου εὐσπλαγχνίας D τί γνωριμώτερον; ταπεινώσεως Θεοῦ τί φανερώτερον; Ὁ κτίστης κτίσμα, ὁ ποιητὴς ποίημα, καὶ πάσχων ὑπὲρ κτισμάτων ὑπὸ τῶν κτισμάτων αὐτοῦ, ὑπὸ τῶν δούλων ὑπὲρ αὐτῶν ὁ Δεσπότης, ὑπὲρ ἀπίστων ἐχθίστων γεγενημένων αὐτῷ, ἑκοντὶ μακρυνθέντων, τῷ ἐχθρῷ αὐτοῦ δουλευσάντων, αὐτὸν
375 ἠγνοηκότων τὸν κτίστην, μὴ μεταγνόντων, μὴ ζητησάντων, μὴ προσδραμόντων, ἀποπηδώντων δὲ μᾶλλον, διωκόντων, βλασφημούντων καὶ θανατούντων, ἑαυτὸν ὁ ἀγαθὸς δέδωκεν, ἔπαθε, τέθνηκεν, ἀνέστη, καὶ ἡμᾶς συνήγειρεν, ἀνελήφθη, καὶ ἡμᾶς συνανύψωσε· καὶ τέλος τίθησιν ἑαυτὸν ἀεὶ δι' ἡμᾶς,

De cætero diligentissime inquirere debemus cujus simus ministri, et cujus operis administri, et cujus imaginem typumque geramus. Dei namque sumus ministri qui creavit omnia, qui omnia fecit bona et ita illa esse in æternum voluntatem habet: qui creaturas quasdam, præsertim homines, cum in malum voluntarie inciderint, iterum ad bonum esse vult restitui: et hoc procurat per sacerdotes. Maximi vere operis administri sumus, quo terrestria cœlestibus miscentur, et odium solvitur, et Deus hominibus reconciliatur, et omnis error confringitur, et potestas dæmonum eradicatur, disperditur, et homines cum angelis consociantur, et filii facti sunt Dei et dei ipsi per gratiam; operis ejus opifices, ministri, œconomi, sacri antistites invenimur ineffabiliter. Sacrum et maximum divinumque typum gerimus unusquisque secundum dignitatem. Episcopus enim imago est Dei, et post ipsum presbyter, quia sacrificia offert. Aliis vero charismatibus, episcopus imago est Patris luminum « a quo omne datum optimum et omne donum perfectum [a], » et propter hoc fidelium est illuminator. Presbyter autem ordinum sublimiorum typum habet, et lumen alterum, et distributor donorum et mysteriorum operator, et propter hoc perfecte initiatus dicitur. Diaconus autem est in tertio ordine, Angelorum qui Deo ministrant typum gerens, quos perpetuo mittit ad eos qui volunt hæreditare salutem; et propter hoc præco, custos et minister est. Omnes sunt Deo assistentes, unius victimæ spectatores, cujus sunt communicantes, concorporales, et conglorificati, et aliis distributores gratia Dei, quamvis hoc primo et secundo gradu fiat, juxta regulam unicuique datam cœlitus.

Consideremus ergo Jesum. Deus est verus, ipse est ex eo qui est, Intelligentiæ increatæ Verbum, Patris altissimi Filius, ejus a quo sunt omnia, Sapientia, Virtus et Verbum; per quem omnia, omnipotens Dominus, immaterialis, invisibilis, ineffabilis, incomprehensibilis, immensus, incircumscriptus, impalpabilis, immortalis; quid denique pro nobis factus est? Homo, visibilis, circumscriptus, passibilis, mortalis, pauper, peregrinus, contemptibilis, venditus, condemnatus, injuriatus, illusus, flagellatus, crucifixus. Hæc pro nobis pertulit. Quid divinius? quid aptius majoris bonitatis testimonium? Quid magis conferre potest ad revelandum abyssum misericordiæ? ad manifestandam humilitatem Dei? Creator factus creatura, opifex factus opus, et pro creaturis a suis passus plurima creaturis: pro servis ab ipsis servis Dominus abjectus; pro infidelibus ipsi factis infensissimis, a longe sponte recedentibus, inimico ejus adversarioque servientibus; ipsum nolentibus agnoscere Creatorem suum, impœnitentibus, illum quærere nolentibus, nec illi accurrentibus, sed potius fugientibus; ejicientibus eum, blasphemantibus et trucidantibus seipsum ipse

[a] Jac. I, 17.

Bonus tradidit, passus est, mortuus est, resurrexit A et nos secum excitavit e somno; ascendit in cœlum et nos secum elevavit, et denique se ipsum posuit propter nos in æternum! Nos sibi miscet et concorporat: et membrum sui ipsius facit et manere semper in nobis exoptat, et hoc jubet et omni copamine satagit ut fiat. Quid pro his referamus? Quot et quantas mortes pro ipso deberemus sufferre si contigerit? sed semper de istis debitores erimus, nec unquam debita rependere valentes. De cætero quando ad eum accedimus, opera et verba humilitatis loquimur et exercemus; humiliemur ergo in conspectu ejus qui nos humiliat et qui pro nobis humiliatus est. Contremiscamus cogitantes eum cui astamus: medius nobis adstat Christus invisibilis in se, sed visibilis per sanctum panem B corporis, per venerandum calicem sanguinis, quibus et passiones ejus repræsentantur: sacrificium, clavi, sanguis et mors. Trementes accedamus et astemus ei; cernimus enim eum absque velo; dividimus et manducamus, et de sanguine bibimus et gratia Dei nobis attributa aliis distribuimus. Tunc mirantur cherubim, stupent seraphim, tremunt omnes sanctissimæ virtutes, considerant ex alto, cum timore assistunt, et agnoscunt naturam propriam et debilem creaturæ. Et stupentes glorificant immensam Dei bonitatem. Nobiscum stant: circum altare pressis agminibus humiles et cum tremore manent, præstolantur zelantes inspicere sanctum mysterium, non enim otiose vaneque assistunt: C illinc propriæ claritatis accipiunt radium et splendorem: indidem pariter luminis eorum flamma, ignisque eorum ardor, eorum vita, sapientia, consecratio. Si ergo ita assistunt isti nescientes corpoream densitatem, ignarique omnis passionis, quomodo assistere debemus nos qui sumus terra, pulvis, vermes? Quomodo nosmetipsos servabimus ad tantum Dei opus? Satagentes custodire nos in omni timore et in omni desiderio in accedendo et in tali negotio ministrando. Cum autem illud tantum negotium amor solus perfecerit, «Diligemus eum qui prior dilexit nos [9-10].» Et ad ministerium amoris omni animæ virtute et potestate accedamus. Cum deinde amor nobis ostenderit tantum Deum humiliatum, opere humilitatis ei ministrabimus nos similes, affines humilitate et dilectione: cum denique vivens in humanis Deus nobis ostenderit non D posse homines naturaliter absque Deo resurgere, qui seipsos voluntarie ad culpam tradiderunt et propter hoc ipsis necessaria fuit unio cum Deo, cogitemus semper quantum debiles facti simus, et perpetuo indigeamus auxilio Dei, et ad nullam absque illo assurgere possimus scientiam; dicit enim: «Sine me nihil potestis facere [11].» Itaque et nos ipsi consociemus, et indivulse maneamus in illo. Malus amentia et superbia factus est apostata: nos cognitione et confessione miseriæ nostræ fa-

καὶ συγκεράζει, καὶ συμμίγνυσι, καὶ μέλη ποιεῖ ἑαυτοῦ, καὶ μένειν ἀχωρίστως ἐν ἡμῖν βούλεται, καὶ ἐφίεται τούτου, καὶ σπεύδει πρὸς τοῦτο. Τί προσοίσομεν ἀντὶ τούτων; πόσων θανάτων, εἰ ἐνεχώρει, καὶ ἀμετρήτων ὀφειλέται τούτῳ τυγχάνομεν; καὶ ταῦτα χρεωσται διαπαντὸς ὄντες, καὶ οὐδὲ τὰ χρέα ἀποτίσαι δυνάμενοι. Λοιπὸν ὁπότε κἂν παριστάμεθα τούτῳ, καὶ τὰ τῆς ταπεινώσεως ἔργα καὶ τοὺς λόγους λέγομέν τε καὶ πράττομεν, ταπεινωθῶμεν ὁρῶντες τὸν ταπεινωθέντα καὶ ταπεινούμενον· φρίξωμεν ἐννοοῦντες αὐτὸν, ᾧ παριστάμεθα. Μέσος ἡμῶν πρόκειται καὶ ἀοράτως Χριστὸς καὶ ὁρατῶς τῷ θείῳ ἄρτῳ τοῦ σώματος, καὶ τῷ σεπτῷ ποτηρίῳ τοῦ αἵματος, τὰ πάθη δεικνὺς ἑαυτοῦ, τὴν σφαγὴν, τοὺς ἥλους, τὸ αἷμα, τὸν θάνατον· τρόμῳ παριστῶμεν ἐγγίζοντες αὐτῷ, καὶ ἀμέσως τοῦτον ὁρῶντες, τέμνοντές τε καὶ ἐσθίοντες, καὶ πίνοντες ἐκ τοῦ αἵματος, καὶ ἑτέροις μεταδιδόντες κατὰ τὴν δοθεῖσαν χάριν ἡμῖν. Τότε θαυμάζει τὰ Χερουβὶμ, ἐξίσταται τὰ Σεραφὶμ, πᾶσα θειοτάτη δύναμις πέφρικε καθορῶσα, καὶ δέει παρίσταται, καὶ τὴν οἰκείαν ἐπιγινώσκει φύσιν ὡς κτιστὴ καὶ ἀσθενὴς, καὶ ἐκπλήττεται· δοξάζει τῆς τοῦ Θεοῦ τὸ ἄμετρον ἀγαθότητος· μεθ' ἡμῶν ἵστανται ταῦτα, κύκλῳ τοῦ θυσιαστηρίου συστελλόμενα φόβῳ μένει. Ἐπιθυμοῦσιν ἀτενίζειν τῷ μυστηρίῳ. Οὐ γὰρ ἀπράκτως παρίστανται. Ἐκεῖθεν τοῦ ἰδίου φάους δέχονται τὴν ἀκτῖνα. Αὐτόθεν γὰρ τοῦ φωτὸς αὐτῶν ἡ πηγὴ, ἡ τοῦ πυρὸς αὐτῶν θέρμη, ἡ ζωὴ, ἡ σοφία, ἡ μύησις. Εἰ τοίνυν οὕτως οὗτοι παρίστανται, οἱ ἔξω πάθους, οἱ πόῤῥω πάχους παντὸς, ὁ χοῦς ἡμεῖς, ὁ πηλὸς, ὁ σκώληξ, πῶς παρεστάναι ὀφείλομεν; πῶς ἑτοιμάζειν ἑαυτοὺς πρὸς ἔργον Θεοῦ τηλικοῦτον; Ὅλῳ φόβῳ καὶ ὅλῳ πόθῳ προσέρχεσθαί τε καὶ ἐξυπηρετεῖσθαι τοσούτῳ πράγματι ἑαυτοὺς ἑτοιμάσωμεν. Ἐπεὶ γὰρ τὸ τοσοῦτον οὐκ ἄλλο τι, ἢ ἀγάπη μόνον τετέλεκεν, ἀγαπήσωμεν αὐτὸν τὸν ἀγαπήσαντα πρῶτον ἡμᾶς, καὶ τῇ διακονίᾳ τῆς ἀγάπης, ὅλῳ σθένει ψυχῆς προσερχώμεθα. Ἐπείπερ ἀγάπη ταπεινωθέντα τοσοῦτον τὸν Θεὸν ἔδειξε, τῷ ἔργῳ τῆς ταπεινώσεως οἰκείους ἐν ταπεινώσει καὶ ἀγάπῃ ὑπηρετήσωμεν, ἐπεὶ ἔδειξεν ἐνανθρωπήσας ὁ Θεὸς, ὡς ἀδύνατον ἦν δίχα Θεοῦ τὴν βροτῶν ἀναστῆναι φύσιν, ἑαυτὴν ἑκουσίως ἐκδοῦσαν τῷ πτώματι, καὶ διὰ τοῦτο Θεοῦ ἐδεήθη ἑνώσεως ἄνθρωπος, ἑαυτοὺς καὶ ἡμεῖς ὡς πεφύκαμεν ἀσθενεῖς ἀεὶ λογιζόμεθα, καὶ δεηθῶμεν ἀεὶ Θεοῦ βοηθείας, καὶ μηδὲν χωρὶς τούτου πάντοτε ἐννοῶμεν, ὅτι καὶ, «Χωρὶς ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδὲν,» ἔφη· ἵνα καὶ ἑνωθῶμεν αὐτῷ, καὶ ἀχωρίστως συνῶμεν. Εἰ ἀποστάτης ὁ πονηρὸς τῇ ἐπάρσει καὶ ἀπονοίᾳ γεγένηται, τῇ ἐπιγνώσει τῆς πτωχείας ἡμῶν, ἡμεῖς οἰκειωθῶμεν τῷ Κτίσαντι. «Ὁ ταπεινῶν γὰρ, φησὶν, ἑαυτὸν ὑψωθήσεται.» Εἰ ὑπὲρ πάντων δέδωκεν ἑαυτὸν ὁ Δεσπότης, καὶ πᾶσι τοῖς χρῄζουσι τὰ πάντα ἐγένετο, ἑαυτοὺς ἡμεῖς αὐτῷ δῶμεν, ἵνα καὶ τῶν αὐτοῦ πάθους γενώμεθα μέτοχοι. Διακονήσωμεν αὐτοῦ τῷ ἔργῳ

[9-10] I Joan. iv, 10. [11] Joan. xv, 5.

προθύμως, καὶ εἰ δυνατὸν καθ' ἑκάστην τὴν φρικτὴν αὐτῷ θυσίαν προσφέρωμεν. Ἐπιθυμητὸν γὰρ αὐτῷ τοῦτο. « Ἐπιθυμίᾳ, φησὶν, ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν. » Καὶ διηνεκῶς τοῦτο ζητεῖ. « Οὐ Ποιήσατε γάρ, ἔφη, ἀλλὰ « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, » τουτέστι διηνεκῶς. Καὶ τί ἄλλο μεῖζον ἔργον ἂν εἴη τοῦ ἔργου τούτου; ὅπερ ἐστὶ Χριστοῦ ἡ ἀνάμνησις, τὸ σφαγῆναι τοῦτον ὑπὲρ ἡμῶν καὶ διηνεκῶς θύεσθαι. « Τοῦτο γάρ ἐστιν, ἔφη, τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον, » τουτέστιν ἀεί· « Καὶ τοῦτό ἐστι τὸ αἷμά μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, » οὐχ ἅπαξ ἐκχυθὲν, ἀλλὰ πάντοτε δηλονότι. Οὐδὲν ἄρα **376** ταύτης τῆς θυσίας ἐπωφελέστερον ἡμῖν καὶ Θεῷ προσφιλέστερον. Ὅτι καὶ ἔργον αὐτοῦ, καὶ τῆς ἀνθρωπότητος ἀνακαίνισις, καὶ τούτου κοινωνία μεθ' ἡμῶν, καθὼς καὶ B σαρκωθεὶς ἔδειξε, καὶ μέλλων πάσχειν, ηὔξατο τοῦτο. « Ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς, » φησίν. Ὅτι δὲ διὰ τούτου ἓν γινόμεθα μετ' αὐτοῦ, αὐτὸς μαρτυρεῖ. « Ὁ τρώγων μου, φησὶ, τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. »

A miliare Dei lucrabimur consortium. Dictum est enim : « Qui se humiliat exaltabitur [12]. » Pro omnibus seipsum tradidit Dominus, et omnibus proficua fuerunt quæ fecit : ipsi nos donemus ut vicissim bonorum ejus habeamus participationem. Hoc opere ejus zelanter fungemur ministrantes, et si fieri potest, quotidie sacrificium tremendum offeremus ei; illud ipse vehementer exoptat, dicens : « Desiderio desideravi hoc pascha manducare vobiscum [13]. » Et illud perpetuo postulat : non dicit enim : Facietis, sed : « Hoc facite in meam commemorationem [14], » hoc est, perpetuo. Quodnam est aliud opus isto opere majus? quod est Christi commemoratio, illum nempe pro nobis sacrificari et perpetuo offerri : « Hoc est enim corpus meum quod pro vobis traditur [15]; » hoc est, semper. Et : « Hic est sanguis meus qui pro vobis funditur [16]. » Non semel effusus est, sed hodieque et semper funditur, evidenter. Nihil est autem et nobis magis proficuum et Deo magis glorificum, quia hoc est opus ejus dilectum et humanitatis renovatio, et ejus nobiscum communicatio, ut ostendit incarnatus, et mox passurus apertius innuit dicens : « Ut sint unum sicut nos [17]. » Nos autem hoc opere unum fieri cum ipso, ipse testatur cum ait : « Qui manducat meam carnem et bibit meum sanguinem in me manet et ego in eo [18]. »

Ὑπὲρ πᾶσαν τοίνυν προσευχήν τε καὶ αἴνεσιν, τούτου ἐπιμελητέον τοῦ ἔργου· ὅτι καὶ διὰ τοῦτο πᾶσα προσευχή. Καὶ τὸ πλέον τῶν ἡμερῶν τῆς ἡμετέρας ζωῆς τοῦτο ποιῶμεν. Ὅτι καὶ τοῦτο περὶ τούτου λογίζεσθαι χρεὼν, εἰ ἐνεργὰ τὰ θεῖα πάντα ἔργα τε καὶ λόγοι οἱ ἐν τῷ κόσμῳ, καὶ οὐδὲν ἀργὸν μετὰ τὸ γενέσθαι ποτέ. Καὶ δῆλον ἐξ ὧν ὁρῶμεν πάντων κτισμάτων ἐνεργῶν ὄντων ἀεὶ, οὐρανοῦ τε λέγω κινουμένου ἀεὶ, καὶ γῆς βλαστανούσης καὶ τῶν C ἐν τῷ μέσῳ διενεργούντων ἑκάστου τὸ ἴδιον· πολλῷ μᾶλλον ἐνεργὸς ὀφείλει τυγχάνειν ὁ πρὸς τὸ ἔργον τοῦτο τὸ θειότατον καὶ μέγιστον καταστάς. Καὶ εἰ τὰ αἰσθητὰ πάντα ἀκαμάτως ἐνεργεῖ, καὶ ὁ μικρὸς κόσμος οὗτος καὶ μέγας ὁ ἄνθρωπος, τοῦτο δείκνυσιν, ἐνεργὸς ἀεὶ τελῶν, τῷ αἰσθητῷ μὲν τοῖς αἰσθητοῖς, τρεφόμενος, αὐξανόμενος, ἀλλοιούμενος, τῷ νοητῷ δὲ, τοῖς νοητοῖς, ἀεὶ τῷ νῷ καὶ τῷ λογικῷ τῆς ψυχῆς ἐνεργῶν καὶ κινούμενος, ὡς ἐντεῦθεν ἐκ τῆς τοῦ ἀνθρωπίνου νοὸς κινήσεως καὶ τὰς νοερὰς καὶ θείας δυνάμεις ἀεικινήτους εἶναι λογίζεσθαι. Πῶς ἄρα τὸ μέγιστον ἔργον τῆς μεγάλης ταύτης διακονίας τοῦ Θεοῦ, τὸ ὑπὲρ πάσης κτίσεως, δι' οὗ εἰς τὸ εὖ εἶναι τὰ ὄντα χειραγωγεῖται, Θεῷ ἑνούμενα, καὶ D θεῖα γινόμενα, καὶ μᾶλλον τὰ λογικὰ, καὶ ἄνθρωποι πρὸ πάντων τεθνηκότες καὶ ζῶντες, ἀργὸν ἔσται ποτὲ διὰ τῆς ῥαθυμίας, ἢ καὶ δοκούσης εὐλαβείας τῶν ἱερέων; Οὐκ ἔστι τῆς τῶν μυστηρίων ἱερουργίας ἡ ἀργία εὐλάβεια, οὐκ ἔστι, κώλυμα δὲ μᾶλλον τῆς σωτηρίου θυσίας καὶ τῆς ἐντεῦθεν ὠφελείας. Εἰ οὖν μὴ τὸ κωλῦον πρὸς τὸ ἱερουργεῖν ἐστιν, ἡ σωτήριος θυσία διηνεκῶς ἐνεργείσθω. Ὄργανον ἱερὸν ὁ ἱερεὺς ἀπεδείχθη· μὴ ἀργὸν μενέτω. Δώσει γὰρ λόγον, ὡς λογίζομαι, τῆς ἀργίας· ὥς καὶ ὁ θεῖός φησι Βασι-

Super omnem ergo precem et laudem hujus operis ratio curanda est, quia propter ipsum et per ipsum omnis oratio. Et præcipuum dierum omnium vitæ nostræ negotium hoc faciamus; quia et hoc de illo dicendum : Si opera sermonesque quæ in orbe aguntur suam a Deo vim habent actionis, et nullum otiosum est postquam creatum est. Illud autem est evidens ex hoc quod videmus omnia creata operatione constanti exerceri, cœlum inquam semper moveri, et terram frondibus virere et quæ in illa sunt unumquodque quod ipsi proprium est agere : multo magis operantem deprehendere oportet quem Deus constituit super opus sanctissimum et maximum. Et si sensibilia omnia sine intermissione agunt, hic parvus et simul magnus mundus qui est homo, illud in se demonstrat, agens perfecte absque requie, sensibiliter utpote sensibilibus similis, nutritus alimentis, et crescens, et successive mutatus : intellectualiter autem secundum quod habet cum intelligentiis similitudinem, continuo intellectu et ratione animæ suæ agens et movens : ex motione spiritus humani intelligendum perpetuo moveri agique et agere intellectuales et divinas omnes virtutes. Quomodo igitur maximum opus hujus magni ministerii Dei, quod est pro omni creatione, per quod ad bonum quasi manuducuntur quæ sunt, Deo conjuncta, et divina facta, maxime quæ jam ratione donantur, et præ omnibus homines mortui et vivi, quomodo, inquam, opus hoc otiosum maneret aliqua negligentia, quæ pietas in sacerdotibus judicaretur? Non est enim pietas negligentia in celebrando mysteria; imo est impedimentum potius sacrificii salutaris, et ejus quæ est ex eo utilitatis.

[12] Matth. xxiii, 12. [13] Luc. xxii, 15. [14] Luc. xxii, 19. [15] ibid. 19. [16] ibid. 20. [17] Joan. xvii, 11. [18] Joan. vi, 57.

Nisi ergo aliquod fuerit impedimentum celebrandi, semper fiat salutare sacrificium. Organum sacrum appareat sacerdos, quod nunquam otiosum maneat; dabit enim, ut opinor, rationem negligentiæ suæ : ita quoque loquitur sanctus Basilius ad Gregorium quemdam, arguens ejus negligentiam : vel enim abnuat esse rationabile organum, negligendo opus ministerii, vel satagat esse divinum instrumentum, et ita manens nunquam ab opere quiescat. Quisque enim operis sui mercedem habebit. Et scriptum est : « Maledictus qui facit opus Dei negligenter [19]. » Quidnam enim inter opera Dei aliud hoc opere majus est? Ruina est negligentia hujus operis, ut diximus. Dummodo secundum Patres accipiat habeatque gratiam, nec implicetur eis quæ sunt contra illam, videat ne omittat exercere. Deus timendus est qui rationem exiget operis; negligentia enim cessat fructus sacrificii, pro iis qui exoptant illum colligere; Salvatoris commemoratio intermittitur, et divinæ passionis festiva celebratio. Quiescat qui quomodocumque irretitur ab impedimentis quibus stantibus concesserunt, tradiderunt, docuerunt Patres a sacrificio quiescere. Qui non agit ad mentem et normam Patrum, juxta proprium agit placitum et contra seipsum, et reus est mysteriorum Christi. Si enim communicans tantum indigne impeditur, quanto magis ille qui offert? Docemur quidem neminem inter homines dignum esse erga hoc opus, quod etiam angelis tremendum. Cum autem hominibus illud Deus concesserit, juxta quod possibile est datum est. Utpote homines pugnas habebimus, et hac gratia pro posse nostro dignabimur : fervido zelo hanc exerceant Domini vitam totam ut poterunt imitantes; ut perpetuo inveniantur qui celebrent et qui communicent, qui ejus typum gerant, et quotidie, si possunt, ejus commemorationem celebrent : sicque unio erit inter Deum et nos, et inter angelos et Deum et nos, et animas sanctas, atque animas fidelium omnium qui pie vivunt; sive perseveraverint et proficiant in vivendo recte, sive cum peccaverint, per pœnitentiam, misericordiam et conversionem ad puritatem meruerint, et insuper ex hoc in omnem creaturam multa redundat sanctificatio : in iis enim quorum opus habemus in ordine ad sensibilem vitam, maximum nobis in hoc invenitur auxilium, et illi qui offert pie et impigre multa valde merces. Quod si non potest quotidie celebrare, saltem offerat quater in hebdomade, secundum Basilium Magnum, qui ita agebat, tres dies alios prætermittens; alternum ita sacrificium offerebat juxta præscriptum magisterii. Quotidie offerendum esse non a me ipso confido docere, sed ipse a Salvatore edoctus, cujus hoc est verbum : « Hoc facite in meam commemorationem. » Et istud : « Ego vivo et qui manducat me ipse vivet propter me [20]. » Et apostoli sic fecisse declarantur : etenim orationi et fractioni panis instantes erant ut scriptum est, sacrificio scilicet et communioni.

λειος πρὸς Γρηγόριόν τινα, ἀπειλῶν αὐτῷ τὴν ἀργίαν. Ἢ γὰρ παραιτείσθω εὐλόγως ὄργανον εἶναι, καὶ ἀπέστω τοῦ ἔργου, ἢ κατασκευασθεὶς ἐννόμως θεῖον ὄργανον εἶναι, καὶ μένων ἐν τούτῳ, μὴ ἀμελείτω περὶ τὸ ἔργον. Ἕκαστος γὰρ τοῦ ἰδίου ἔργου τὸν μισθὸν λήψεται. Καί, « Ἐπικατάρατος, γέγραπται, ὁ ποιῶν τὸ ἔργον τοῦ Θεοῦ ἀμελῶς. » Τί δὲ μεῖζον τούτου ἔργον ἄλλο Θεοῦ; Ἡ ἀργία τοῦ ἔργου τούτου ἐπιβλαβής ἐστιν, ὡς εἰρήκαμεν. Εἰ μόνον κατὰ τοὺς Πατέρας τὴν χάριν ἔλαβεν ἄνθρωπος, καὶ οὐκ ἐνέχεται τοῖς ἐναντίοις τῆς χάριτος, εὐλαβείσθω μὴ ἐνεργῶν. Θεὸν φοβείσθω· ἀπαιτηθήσεται τὸν λόγον τοῦ ἔργου· παύεται γὰρ τῇ ἀργίᾳ τῆς ἱερᾶς θυσίας ἡ τῶν μελλόντων ὠφεληθῆναι διὰ ταύτης ὠφέλεια· ἡ τοῦ Σωτῆρός τε οὐκ ἐνεργεῖται ἀνάμνησις, οὐδὲ τὰ τοῦ θείου πάθους ἐγκαίνια. Ἀργείτω πᾶς ἐνεχόμενος, οἷς ἀργεῖν τοὺς ἐνεχομένους παραδεδώκασιν οἱ Πατέρες. Ὁ μὴ κατὰ τοὺς Πατέρας ἐνεργῶν καθ' ἑαυτοῦ ἐνεργεῖ, καὶ ἔνοχός ἐστι τῶν τοῦ Χριστοῦ μυστηρίων. Εἰ γὰρ ὁ μετέχων ἀναξίως ἐνέχεται, ὁ καὶ ἐνεργῶν πόσῳ μᾶλλον; Οὐδεὶς μὲν οὖν ἄξιος, ὡς ἐμάθομεν ἄνθρωπος πρὸς τὸ ἔργον, ὅτι καὶ τοῖς ἀγγέλοις φοβερόν· ἐπεὶ δὲ βροτοῖς τοῦτο συγκατέβη δοὺς ὁ Θεός, ὡς ἐγχωρεῖ καὶ ἐνδέδοται, βροτοὶ βιασώμεθα, καὶ οἱ ὡς ἐνεχώρει ἠξιωμένοι τῆς χάριτος προθύμως ταύτην ἐνεργείτωσαν, τὴν ὅλην πολιτείαν ἐκμιμούμενοι ὡς δυνατὸν τοῦ Δεσπότου, ἵνα καὶ ἐνεργοὶ ἀεὶ καὶ κοινωνοὶ τούτου ὦσιν οἱ ἐκείνου τὸν τύπον φέροντες, καὶ καθεκάστην εἰ δυνατὸν τὴν ἐκείνου μνείαν ποιείτωσαν. Ἕνωσις γὰρ ἔσται Θεοῦ μετ' αὐτῶν καὶ ἀγγέλων μετὰ Θεοῦ καὶ αὐτῶν, καὶ ψυχῶν ἱερῶν, καὶ ψυχῶν πιστῶν ἁπασῶν, καὶ τῶν ζώντων δὲ εὐσεβῶς. εἴτε κατορθούντων προκοπή τε καὶ στηριγμός. Εἴτε πταιόντων, εἰ μεταγνοῖεν, ἱλασμὸς καὶ καθάρσιον· καὶ ἔτι τῇ κτίσει πάσῃ ἐκ τούτου ἔσται 377 ἁγιασμός· καὶ ἐν οἷς δὲ χρῄζομεν αἰσθητῶς, μεγίστη βοήθεια· καὶ ὁ ὑπὲρ τούτου μισθὸς τῷ εὐλαβῶς ἱερουργοῦντι καὶ προθύμως ὅτι πολύς. Εἰ δ' οὐ δυνατὸν τὸ καθ' ἡμέραν ἱερουργεῖν, κἂν τετράκις τῆς ἑβδομάδος κατὰ τὸν μέγαν Βασίλειον. Τοῦτο δ' ἐποίει οὗτος, τὰς τρεῖς καταλιμπάνων, ἱερουργίαν ἑτέραν τὴν διὰ τοῦ λόγου τῆς διδασκαλίας ἐνεργῶν. Τὸ δὲ καθ' ἡμέραν ἱερουργεῖν οὐκ ἐγὼ ἀπ' ἐμαυτοῦ θαῤῥῶ λέγειν, ἀλλ' ἀπὸ τοῦ Σωτῆρος μαθών, « Τοῦτο ποιεῖτε, λέγοντος, εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Καί, « Ἐγὼ ζῶ, καὶ ὁ τρώγων με ζήσεται δι' ἐμέ. » Καὶ οἱ ἀπόστολοι δὲ οὕτω ποιοῦντες ἐδείκνυντο, σχολάζοντες τῇ προσευχῇ καὶ τῇ κλάσει τοῦ ἄρτου, ὡς γέγραπται· τῇ ἱερουργίᾳ τῶν μυστηρίων δηλαδὴ καὶ τῇ κοινωνίᾳ.

De hoc plurimorum habemus Patrum dicta et facta; beatissimi primum Gregorii Romani qui

Ἀλλὰ καὶ πολλοῖς τῶν Πατέρων περὶ τούτου λέλεκταί τε καὶ πέπρακται, τῷ τε μακαρίῳ Γρηγορίῳ

[19] Jerem. XLVIII, 10. [20] Joan. VI, 58.

τῷ Ῥώμης περὶ τούτου προθυμουμένῳ τὸ θεῖον ἔργον. καὶ ἐν ταῖς νηστείαις ἐν τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ, ὡς λέγεται, τελείαν ἱερουργίαν νομοθετήσαντι, καὶ περί τινος ἐπισκόπου τοῦτο ποιοῦντος τὸ καθ' ἡμέραν ἱερουργεῖν ἐκδιδάξαντι· ὃν δὴ ἐπίσκοπον οἱ κορυφαῖοι κατὰ τὴν αὐτῶν μνήμην προσελάβοντο, φησὶ, μετὰ τὴν θείαν ἱερουργίαν, ὡς καὶ καθ' ὕπνους αὐτῷ προηγόρευσαν· καὶ Ἀπολλωνίῳ τῷ ὁσίῳ, οὗ καὶ οἱ μαθηταὶ καθ' ἑκάστην, καὶ ἱερούργουν καὶ μετεῖχον τῶν μυστηρίων. Καὶ ὁ ἱερὸς δὲ Χρυσόστομος ἐν τούτῳ τὰ τῆς θείας μυσταγωγίας συνεγράψατο σὺν τῷ Πατρὶ Βασιλείῳ, ἐπαινεῖ τε καθ' ἡμέραν τοὺς τῆς κοινωνίας μετέχοντας, μόνον εὐλαβῶς καὶ ἀξίως, καὶ ἐν ταῖς καθολικαῖς δὲ Ἐκκλησίαις καὶ πανταχοῦ τοῖς προθυμουμένοις καθ' ἑκάστην ἐνεργεῖσθαι τὰ τῆς μυσταγωγίας παραδέδοται. Ἵνα δὲ μή τισι τὸ ῥηθὲν ἔξω λόγου δόξῃ, τῷ καὶ κοσμικοὺς μὲν ὑποκεῖσθαι καὶ τῇ τοιαύτῃ διακονίᾳ γυναιξὶ συζῶντας, καὶ τοῖς μοναχοῖς δὲ πολλάκις τὴν νυκτερινὴν ἐπισυμβαίνειν ἐπήρειαν, ἀλλὰ καὶ θυμοῦ καὶ μνησικακίας, καὶ πολλῶν ἑτέρων παθῶν ἐπήρειαν ἐπιγίνεσθαι πλείστοις ἐπιθέσει τοῦ πονηροῦ. Τούτων δὲ πάντων ἀπηλλαγμένος ὀφείλει εἶναι ὁ ἀληθῶς ἱερεὺς, τὸ τοῦ μεγάλου Βασιλείου, εἰ δυνατὸν, ἐνεργείσθω, τὸ τῆς ἑβδομάδος τετράκις ἱερουργεῖν, ὡς εἴρηται. Εἰ δ' οὖν, κἂν δὶς τῆς ἑβδομάδος ἀπαραιτήτως. Τοῦτο γὰρ καὶ τοῖς ἐν κόσμῳ καὶ μοναχοῖς δυνατόν ἐστι καὶ οὐ χώρα τούτοις ἀπολογίας, τῇ τῶν πέντε ἡμερῶν μελέτῃ καὶ προσοχῇ καὶ ἐξομολογήσει προκαθαίρεσθαι δυναμένοις. Διὸ καὶ τῆς ἐξαγορεύσεως πρὸ παντὸς αὐτοῖς ἀνθεκτέον· ὅτι καὶ αὕτη πρὸ τῶν ἄλλων καθαίρειν δύναται, καὶ τοῖς ἱερεῦσιν ἀναγκαιοτέρα δὲ μᾶλλον αὕτη τοῖς διηνεκῶς ἐγγίζουσι τῷ πάντα εἰδότι Θεῷ, καὶ τῇ μετανοίᾳ τὴν ἄφεσιν δεδωκότι. Εἰ δέ γε πάθους τινὸς ἐπικράτεια μᾶλλον κατά τινος γένοιτο· τοῦτο δὲ τοῖς μνησικακοῦσι συμβαίνει πλέον καὶ τοῖς βασκανίᾳ καὶ φθόνῳ κεκρατημένοις· οὐ δέον μὲν τὸν τῷ πάθει ἁλόντα τῷ ἀγαθῷ καὶ τῆς εἰρήνης χορηγῷ προσεγγίσαι, ὄργανον καταστάντα τῷ πονηρῷ, ὡς ἐν αὐτῷ διὰ τοῦ πάθους οἰκήσαντι· γινωσκέτω δὲ οὗτος, ὡς τὸν τοῦ πάθους λόγον καὶ τῆς ἀργίας ἀπαιτηθήσεται, αὐτεξουσίῳ γνώμῃ ἑαυτὸν ἐκδοὺς ταῖς τοῦ πονηροῦ συμβουλαῖς. Οὐδὲ γὰρ ἰσχὺς τῷ ἐχθρῷ ὅπῃ βουλητὸν αὐτῷ ἡμᾶς καταφέρειν· ὅτι δέδοται ἡμῖν ἐξουσία πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, τῶν ἐπιβούλων καὶ νεκροποιῶν δαιμόνων, καὶ ἐπὶ πᾶσαν αὐτοῦ τοῦ πονηροῦ τὴν δύναμιν. Μόνον γὰρ προσβάλλειν χώραν εὑρίσκει ὁ τῆς κακίας εὑρέτης. Εἰς δοκιμὴν δὲ καὶ τοῦτο, ὡς ἔγνωμεν, τῶν πιστῶν τε καὶ ἐκλεκτῶν· οὐ μὴν βίαν ἐπάγειν ὅλως καὶ τυραννεῖν. Ὅτι οὐδὲ κατὰ τῶν ἀλόγων ἰσχύει, κτίσμα τυγχάνων Θεοῦ. Τῇ προαιρέσει τοίνυν ἡμῶν καὶ θελήσει κειμένου τοῦ νικᾷν αὐτὸν, καὶ τὴν ἀρετὴν κατορθοῦν, κατακριθησόμεθα νικώμενοι παρ' αὐτοῦ, καὶ διὰ πάθος τι βδελυκτὸν, τηλικαύτης στερούμενοι ὑπερουρανίου δωρεᾶς, τῆς τε ἱερουργίας φημὶ, καὶ τοῦ ἐκ ταύτης ἁγιασμοῦ. Διὰ τοῦτο καὶ καθαρτέον ὁπόση δύναμις, καὶ σπουδαστέον

A summa cura celebrationi divini operis invigilabat, et legibus providebat quomodo in festis Ecclesiæ Romanæ offerretur sacrificium, et occasione alicujus Episcopi qui quotidie celebrabat decreverat ita faciendum; deinde sancti Apollonii, cujus discipuli sacrum celebrabant quotidie sacrificium et communicabant sanctis mysteriis. Et sanctus Chrysostomus in hoc quod ad sacram mystagogiam spectat consentit Patri Basilio : laudatque eos qui quotidie communioni participant, modo pie digneque accipiant, et in ecclesiis catholicis et ubique illis qui satagunt quotidie celebrare munera traduntur initiationis. Ne autem quibusdam præpostere dictum videatur; nam et in mundo vivunt tali ministerio initiati habitantes cum uxoribus; et monachis etiam B persæpe accidunt nocturnæ tentationes, vel iræ et animi rancoris aut plurium aliarum passionum tentationes maxime præoccupatione dæmonis ; ab illis omnibus longe abesse debet qui vere sacerdos est et quantum potest magni Basilii normam sequi ut quater in hebdomada celebret. Sin aliter, saltem bis in hebdomada sed certo ; hoc enim et iis qui in mundo sunt et monachis omnino possibile est, nec illis esse potest excusationis locus; possuntque per alios quinque dies meditatione et attenta cura et confessione innocentiam recuperare. Quare et prædicationi illis est instandum ante omnia, quæ præ aliis innocentiæ origo esse potest, et magis est sacerdotibus necessaria qui perpetim accedunt ad C Deum qui omnia videt et pœnitentiæ dat veniam. Si igitur alicujus vis passionis contra quemdam sæviat; hoc autem magis accidit amaris vel sævientibus odio vel invidia consumptis ; non quidem oportet accedere ad eum qui bonus est et dux pacificus; eum qui passione excæcatur cum ipse sit factus mali organum qui in eo sedem per passionem habet. Cognoscat autem ille quia passionis et negligentiæ rationem reddet, se voluntarie scienterque subdens mali suggestionibus. Non est enim inimico potestas nos quocumque voluerit impellere ; nobis equidem data est libertas calcandi serpentes, aspides et scorpiones, dæmones scilicet tentantes et mortem inferentes, et incedendi super omnem virtutem dæmonis. Solummodo licentiam habet nos D impugnandi malitiæ iste tristis inventor, in experimentum, ut novimus fidelium et electorum, non autem vitam agendi et tyrannice omnino regendi. Contra irrationabilia nihil potest, quæ Dei sunt creatura. Cum igitur per nos stet ut inclinatione mentis et voluntate vincamus illum et secundum virtutem recte vivamus, condemnabimur si ab ipso atteramur et illud horrendum subeamus ut a tanta decidamus gratia supercœlesti, sacerdotio inquam, et consecratione quæ est ex illo. Quare ergo sancte et pure nobis vivendum est omni conamine et fortitudine; et omnino nitendum ne incidamus in retia mali. Custodiamus nosmetipsos qui sacerdotio digni sumus habiti, ut immaculati quantum in nobis est assistamus et ministremus Deo immaculato et

sanctissimo; ut electis ejus verbis satagamus vitam sancte ordinare in operibus, in verbis, in cogitationibus, et in nobis ejus divina gerere exempla. Quænam autem hæc sunt? Amor, humilitas, misericordia, charitas in omnes, pax et divinorum contemplatio donorum: ante autem omnia communio inter nos et sanctitas; sanctus enim Deus noster et eos qui appropinquant illi sanctificat; et illum in sanctis habitare et quiscere juvat; qui et nos dignos faciet partem habere cum electis et sanctis ejus. Hic enim constituit custoditque in sanctificatione usque in finem dignos ministros sanctissimorum mysteriorum; vicissimque illic inducet in Sancta sanctorum, et eos qui communioni intimæ cum ipso participaverint perficiet uniendo in sæcula æterna. Quare omnis sit gloria. honor, magnificatio, et laus ipsi Jesu Christo, Filio Dei viventis et Deo nostro, qui pro nobis seipsum sanctificavit crucis sacrificio, ut ipsi sanctificati simus in veritate cum Patre ingenito, et sanctissimo et bono et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A μὴ περιπίπτειν ὡς **378** ἔτυχε ταῖς τοῦ πονηροῦ πάγαις. Συντηρῶμεν δὲ ἑαυτοὺς οἱ ἱερωσύνης ἠξιωμένοι ὥστε καθαροὺς, ὡς δυνατὸν, παρεστάναι καὶ λειτουργεῖν τῷ καθαρωτάτῳ, καὶ τοῖς ἐξαιρέτοις τῶν ἰδιωμάτων αὐτοῦ σπεύδειν κατακοσμεῖσθαι ἐν ἔργοις τε καὶ λόγοις καὶ λογισμοῖς· καὶ τούτου φέρειν ἐν ἑαυτοῖς τινα ἐκμιμήματα. Τίνα δὲ τὰ ἐκείνου; Φιλανθρωπία, ταπείνωσις, ἔλεος, ἀγάπη πρὸς πάντας, εἰρήνη, καὶ θείων μετάδοσις δωρεῶν· πρὸ δὲ πάντων κοινωνία μεθ' ἡμῶν καὶ ἁγιωσύνη. Ἅγιος γὰρ ὢν ὁ Θεὸς ἡμῶν, καὶ ἁγιάζει τοὺς ἐγγίζοντας αὐτῷ, καὶ ἐν ἁγίοις ἀναπαύεσθαι εὐδοκεῖ· ὃς καὶ τῆς μερίδος ἡμᾶς ἀξιώσειε τῶν ἐκλεκτῶν αὐτοῦ καὶ ἁγίων, ἐνταῦθα μὲν ἀξίους καταστησάμενος καὶ φυλάσσων ἄχρι τέλους τῶν ἁγιωτάτων αὐτοῦ μυ-
B στηρίων ἐν ἁγιασμῷ ὑπηρέτας, ἐκεῖσε δὲ πάλιν εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσαγὼν, καὶ τῆς ἀμέσου κοινωνίας αὐτοῦ μετόχους ἀπεργαζόμενος αἰωνίως· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, μεγαλωσύνη καὶ αἴνεσις Ἰησοῦ Χριστῷ τῷ Υἱῷ τοῦ ζῶντος Θεοῦ καὶ Θεῷ ἡμῶν, τῷ ἑαυτὸν ὑπὲρ ἡμῶν ἁγιάσαντι διὰ τῆς τοῦ σταυροῦ θυσίας, ἵνα καὶ ἡμεῖς ὦμεν ἡγιασμένοι ἐν ἀληθείᾳ, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΠΙΝΑΞ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ

ΤΗΣ ΠΑΡΟΥΣΗΣ ΒΙΒΛΟΥ ΠΑΝΥ ΩΦΕΛΙΜΟΣ

ΣΥΝΤΕΘΕΙΣ

ΠΑΡΑ ΤΟΥ ΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΙΟΥ ΙΩΑΝΝΟΥ ΜΟΛΙΒΔΟΥ, ΤΟΥ ΕΞ ΗΡΑΚΛΕΙΑΣ.

(Numeri indicant paginas editionis Tergobystensis, quarum seriem typis crassioribus in textu Græco expressimus.)

—

Α

N

Ξ

O

Π

Τ

Υ



Φ



X



Ψ

Χριστὲ, δίδου πονέσαντι τεὴν πολύολβον ἀρωγήν.



ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

De Pœnitentia. 469

De honesto et legitimo Conjugio. 505

De sacro ritu sancti Olei sive Euchelæi, 515

De sacra Precatione. 535

De fine et exitu nostro e vita et de sacro ordine sepulturæ, et quæ pro memoria defunctorum solent fieri. 669

Expositio de divino Templo et de sacerdotibus ejus ac diaconis episcopisque ac de sacris stolis quibus horum quilibet induitur, necnon de divina Missa, ubi singulorum quæ in illa divino ritu peraguntur, ratio redditur.

FINIS TOMI CENTESIMI QUINQUAGESIMI QUINTI.

Parisiis. — Ex Typis L. MIGNE.


A000005714759


1855

